This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

Digitized by Google

8308

UNIVERSITEITSBIBLIOTHEEK GENT
900000004484

Digitized by Google

Digitized by Google

Digitized by Google

ΠΙΝΔΑΡΟΥ ΤΑ ΣΩΖΟΜΕΝΑ.

PINDARI OPERA

QVAE SVPERSVNT.

TEXTVM IN GENVINA METRA RESTITVIT
ET EX FIDE LIBRORVM MANVSCRIPTORVM
DOCTORVMQVE CONIECTVRIS RECENSVIT
ANNOTATIONEM CRITICAM SCHOLIA INTEGRA
INTERPRETATIONEM LATINAM
COMMENTARIVM PERPETVVM ET INDICES
ADIECIT

AVGVSTVS BOECKHIVS
IN VNIVERSITATE LITTERARVM REGIA BEROLINENSI
ELOQ. PROF. PVBL. ORD. ACAD. DOCTR. BORVSS. SOD.

TOMVS SECVNDVS. Pars prima.

LIPSIAE
APVD IOANN. AVGVST. GOTTLOB WEIGEL
MDCCCXIX.

Digitized by Google

Digitized by Google

PRAEFATIO EDITORIS.

Operis huius, quod per aliquot annos aliis studiis et occupationibus remiseram, tomum alterum paranti mihi quoniam ex re visum est priorem partem, quae Scholia complectitur, separatim edere, cui brevi deinceps intervallo interpretatio Latina, commentarii, fragmenta Pindarica, indices verborum et rerum succedant una compage iuncta: hoc mihi loco praeter paucula, quae meas et Hermanni rationes metricas spectant, de solis Scholiis disserendum est. Quae quum initio sperassem *Eduardum Gerhardum*, meum olim auditorem, virum doctum et ingeniosum, qui haud exiguam in iis operam collocaverat, esse recensiturum: quod is mox tristi et miseranda luminum valetudine laborare coepit, copiis, quas ille tanta industria sollertiaque collegerat, mecum liberaliter communicatis ipse me ad absolvendam rem accinxi; quodque illius maxime nomine eruditis tradere cupiveram, commune opus iam meo nomine coactus sum in lucem emittere.

In illa autem supellectile facile principem locum tenet liber scriptus *Vratislaviensis*, de quo quae mihi Gerhardus perscripsit, accipe. „Rehdigeranum codicem, inquit, unum contuli, sed tripartitum. Duo tenet bibliotheca illa Olympiorum scripta exempla: alterum, Vrat. B. forma quaterna, foede scriptum et laceratum neque tibi in Pindaro recensendo utile visum est neque mihi in Scholiis. Tenet istud iuncta Pindaricis Euripidea, Hesiodea cum Moschopuli notis: quocirca nescio an etiam Pindarica scholia solius sint Moschopuli. Alter codex, quem tu Vrat. A. vocasti, textum spectanti tibi unus est, mihi Scholia recensenti ternorum libro-

Digitized by Google

rum potestatem habet, quia triplex scholiorum volumen est: quam ipsam ob rem posteriores partes voco Vrat. C. et Vrat. D. Eas igitur tres partes describam accuratius. Prima, *Vrat. A.* textum continet supra scriptis glossematis, metricis notatis quodvis carmen antecedentibus, scholiis subsequentibus. Primum folium implent *Βίος Πινδάρου, Ἀποφθέγματα Πινδάρου,* utrumque quo ego tempore transcribebam, ineditum. Margines ille codex fere puros habet; textui tamen saepiuscule rubro adscriptae sunt criticae eiusdem et generis et auctoris notae, cuius ex lacero libro Mosc. B. haud pauca tu edidisti. Sed Scholia ea ipsa sunt, quae me invito iam sunt famosa facta, postquam Schneiderus a me, qui ea pridem transcripta tibi Berolini tradideram, Vratislaviae de ea re monitus Vitam et Dicta Pindari ex illo codice edidit. Nam quae is evulgavit, ea totius inventi et sanissima et praestantissima sunt: quamquam etiam in Scholiis illustrium grammaticorum aliorumque scriptorum nomina fulgent. At Scholia haec corruptissima sunt; quae, opinor, librarius litterarum nitide pingendarum quam sententiarum curiosior ex pluribus et diversis libris corrasit, ex quibus ceteri bene asservati erant, is, unde inedita fluxerunt, pessime. Immo deerant haud dubie integra folia: ut tamen exstaret aliquid, librarius ea aliunde supplevit: quo factum, ut neque ad primum neque ad ultima duo Olympiorum carmina talia, qualia in ceteris, scholia legantur, sed ad illud vulgata vetera, ad haec recentiora: Praeterea scholia inedita in eo, quem librarius tractabat, codice marginibus, ut solent, allita videntur fuisse: quibus abscissis aut contritis lacunae plurimae natae sunt et pro sententiis insulsa vocabula. Quae sequuntur, voco *Vrat. C.* Librarius enim ex eo libro, unde recentiora ad Olymp. XIII. XIV. scholia desumpserat, addidit *Σχόλια τῶν αὐτῶν,* quippe recentiorum, ad Olymp. IV. in medio vs. 21. vulg. desinentia, deinde ad Olymp. V. et VI. et post spatium intermedium, ad VIII. inde a vs. 61. item ad IX—XIII. omnia sine textu et metricis, quibus tamen spatium relictum est cum inscriptione: *Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ .. εἴδους. ἔστι δὲ τὸ ᾆσμα*

Digitized by Google

στροφῶν . . Παλαιόν. Postremo in *Vrat. D.* continentur Ἐπιτομὴ τῶν ἐννέα μέτρων ἐκ τοῦ ἐγχειριδίου Ἡφαιστίωνος: Δημητρίου Τρικλινίου: Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου: Vita Pindari a Thoma Magistro recensita, versusque de Pindaro et novem Lyricis: Scholia Olympiorum vetera vulgata, item recentiora ad Olymp. I. et metrica." Hactenus Gerhardus. Ceterum codicis Vrat. A. recentiora Scholia a vulgato, quem inde correxi, textu perpaucis locis differunt: veterum, quae ex Mediceo eo, unde fragmentum Pindari de Aegina et extrema pars Scholiorum ad Isthmia fluxerunt, transcripta esse Schneiderus in Praefatione ad Nicandri Theriaca sine causa coniicit, ea est condicio, ut multa mutatis aliquot vocabulis concinant vulgatae Scholiorum editioni, alia mutila, corrupta, sensu cassa sint, alia nova et bona, immo egregia: ex quibus ego, ut promisso starem T. I. P. II, p. 581. dato, cuius Schneiderum nostrum in fine illius praefationis immemorem fuisse video, quidquid inediti reperi, deprompsi, atque aut separatum aut ubi ratio postulabat, cum vulgaribus coniunctum edidi, praeter Gerhardi apographum ipsius Schneideri excerptis mihi benigne concessis adiutus, ex quibus ultro intellexi, recentia Scholia ad Olymp. I. quae ex Gerhardi narratione libro Vrat. D. annumeravi, non plena esse, sed saltem Moschopuleis carere; in universo autem negotio ita versatus, ut verear magnopere, ne cordatis harum rerum existimatoribus nimium religiosus fuisse, sordium studiosis superbo iudicio esse usus videar. Qua vero diligentia Vratislaviensem librum, eadem *Gottingensem* in Pythiis Olympiorumque primis contulit Gerhardus: qui codex in his fere cum Vrat. D. congruens sola vetera continet ac supplendis atque in formam magis genuinam redigendis Scholiis usum haud exiguum praestitit. Idem denuo tractavit librum *Mosc. B.* olim a me inspectum: is satis laceratus sola recentiora continet, profuit tamen auctoribus Scholiorum distinguendis, de qua re infra dicam: sed nescio an in extremis Olympiis, ubi unum et alterum recentiorum scholium a Mosc. B. abesse perhibui, aliquoties potius Vrat. B. in-

Digitized by Google

telligendus sit, quia Gerhardus sola sigla B. usus est, qua utervis liber potest designatus esse: in quo si falsus sum, illud me in errorem induxit, quod ex iis, quae Gerhardus ad me scripserat, debere colligi putabam, librum Vrat. B. ab illo plane non tractatum esse. Et omnino si quid aliud in siglis codicum apponendis erratum deprehendent, qui codices hos aliquando retractaverint, in re exigui momenti veniam mihi dari par est, quod alienis chartis insudante manu non poteram quovis loco ab ipso auctore, absente praesertim et oculis aegroto edoceri. Ipse consului codicem *Pal. C.* qui quum a me in not. crit. ad Olymp. XIII, 88. deperditus haberetur, Heidelberga Romam, inde Parisios, hinc in pristinam sedem venerat, et roganti mihi liberali indulgentia huc transmissus est. Est is in Wilkenii nostri catalogo inter auctores Graecos secundo loco positus: v. programma, quo Universitas litterarum Heidelbergensis praemia civibus a. MDCCCXVI. ex more addicta promulgavit, p. 23. et Historiam bibliothecae Heidelbergensis p. 276. Textum Erasmo Schmidio inspectum in meos usus duo auditores contulerunt: glossas interlineares, quae usque ad finem Pyth. IX. pertinent, non multum curavi. In margine alia manus metrica adscripsit vulgata quidem, sed ab editis eadem fere qua in Vrat. D. ratione discedentia: supersunt tamen in solis Olymp. I. II. III. IX. X. XI. in ceteris Olympiis et Pythiorum primo cum margine abscisso videntur periisse: inde a Pythio quarto margo quidem servatus est, neque tamen metrica, Tricliniana illa, adscripta reperiuntur. Quae aetatem tulerunt, ex iis varias lectiones enotavi, sed edere omnes non est operae pretium visum. Scholia vero in eo libro paucissima exstant: unum textui Olymp. II. praemissum, ut ibi dixi; cetera in margine rara, breve aliquod et editum vetus ad Olymp. III. inde ab Olymp. IX. plura quidem, sed nullius fere pretii, eaque minutissima littera scripta, quae nostram editionem si non ornant, certe augent. Alius praeterea codex manuscriptus ab Italico Gallicoque exilio in Palatinam urbem rediit, chartaceus, manu recenti quaternis scriptus, olim num. CCCLIII. in Wilkenianis num. XXI. p. 26. pro-

Digitized by Google

grammatis, p. 287. Hist. Bibl. Heidelberg. quem *Pal. D.* voco: insunt sola Scholia cum metricis vulgata ad Pyth. V—XII. sed lacunosa. Hunc quoque conferendum curavi, sed nullus inde fructus redundavit. Inspexi etiam *Cizensem*, quem etsi Praef. T. I, p. XVIII. vetera Scholia continere scripsi, quod Hermannum Scholia, quae vulgo Didymi vocentur, inesse dicentem ita intelligendum iudicabam, postquam ab humanissimo Muellero is liber ad me missus est, sola recentiora inveni, eaque prope integra, assutis adeo nonnullis ineditis laciniis, metrica vero nonnisi ad Olymp. II. praeterea *Lipsiensem*, lacerum evanidisque litteris, in quo Olympiis praemissa sunt Hesiodi Opera et Dies cum Moschopuli notis, et Theocritus cum scholiis, quae et ipsa Moschopuli videntur. Quapropter, quum Lipsiensia scholia viderem minus plena esse, suspicio nata est, solius ea Moschopuli esse: sed quamquam et Lipsiensem et Cizensem librum, verborum varietate in recentiorum notis non magnopere spectata, eo maxime fine tractavi, ut auctores scholiorum distinguerem, tamen inde aut non multum aut nihil profeci. *Cygneus* codex, cuius varietates etiam in scholiis Io. Aloys. Martyni-Laguna in Heynii usum notaverat, sola recentiorum, non ut Praef. T. I, p. XVIII. diximus, veterum una continet, ac tantum Olymp. X. et XII—XIV. complectitur, neque ea omnia, sed opinor sine Triclinianis. Cum hoc consentit *Leid. B.* quo in solo Olymp. XII. uti licuit; eum certe Moschopulea habere inde intellexi, quod Olymp. I. incipit a Moschopuli scholio † *Ἄριστον μὲν ὕδωρ*, sequente altero eiusdem auctoris † *Ἄτε διαπρέπει.* Neque alius generis est *Leid. A.* recentiora eadem complectens, ut ex specimine, quod Moserus misit, Olymp. XIII, 4—14. didici. Postremo *Hafniensis* codicis scholia ad Olymp. I, 1—10. a Niebuhrio collata recentiora sunt et minus plena, nec tamen sola Moschopulea.

His subsidiis Scholiorum recensionem aggressus primum id curavi, ut nova scholia suis locis insererem, maximam in hac re molestiam creantibus Vratislaviensibus notulis, quamquam in iis viam patefecerat Gerhardus,

Digitized by Google

qui quo tempore mihi apparatum tradebat, Scholia ad Olymp. II. et IX. aliquo modo iam digesserat. Inter quae emendationem incepi scholiorum tum Vratislaviensium immane quantum corruptorum, tum olim vulgatorum, in eaque id temperamentum tenui, ut permulta ex libris novarem, sed in potissimis tantum, unde quidque petitum esset, traderem; de coniectura autem sive mea sive aliorum, ne huic editioni fides codicum deesset, in textum nihil quidquam nisi monito lectore inferrem, si pauculas exceperis et minutissimas quasdam in metricis maxime correctiones, quas in plagulas madidas, quum ex officina afferebantur, coniecci: praeterea ut quod ferri aliqua ratione posset, id sine libris ne mutarem, immo ut multa intellectu difficilia aliis enucleanda et emendanda relinquerem crimenque devitarem sane non capitale, quod doctorum unus et alter scholiis pro arbitrio constituendis in se admisit: postremo ut ne quid eorum, quae ex ullo libro enotata essent, plane perire paterer. Ex editionibus Romanam diligenter contuli, indeque passim, quae in beati Heynii editione per incuriam interciderant, restitui; quamquam in primis plagulis ad eam rem haud omnibus fortasse locis satis attentus fui: Brubachianam, Oxoniensem, Beckianam frequenter consului, Beckioque, viro diligentissimo, hanc laudem deberi video, quod editione principe accuratissime usus est; Heynius autem ante nos multa ex codice Gottingensi apte emendaverat. Nec Schneiderus defuit, de cuius exemplo pro ipsius erga me favore mihi concesso aliquot notas et emendationes deprompsi, in illis ubi opus videbatur, in his vero omnibus locis auctore nominato. Tandem Scholiorum congeriem interpositis siglis § et in Moschopuleis † in suos articulos distinxi, partim sententiis partim libris ducibus, in quibus quae aut omissa aut alio loco posita sunt, ea a ceteris separanda esse sponte patet. Versuum numeros vulgatos retinui, quod Scholiorum editioni commodiores videbantur. Annotationum vero parcissimus fui, ne moles operis mea culpa cresceret: et putidum iudico Scholia, quae auctori illustrando inserviant atque in textus emendandi et interpretandi subsidiis sint, prolixis com-

Digitized by Google

mentariis onerare. Itaque nonnisi uno et altero loco, ubi id ipsa lectionis constitutio flagitabat, latius excurrendum censui. Ceterum quamvis improbum et ingratum laborem atque insuper invidiae obnoxium, quod multa me rectius edere, multa supplere, et certe Olympiorum ac partim Pythiorum scholiis novam prorsus faciem induere posse intelligebam, non sine studio exantlavi.

Tantum de mea opera: dicendum nunc ex ordine de ipsis *Scholiis veteribus, recentioribus, glossis, metricis notatis.* Quo loco iuvat telam pertexere, quam in Praefatione T. I, p. IX. inchoavi, ut Scholiis maxime ducentibus criticos et grammaticos, qui in Pindaro illustrando inter veteres allaboravere, deinceps percurrendo, postquam novis iam subsidiis firmati sumus, hanc historiae litterariae partem, quantum fieri potest, in luce ponamus. Igitur Pindari carmina, quae antea sparsa haud dubie circumferebantur, ab Alexandrinis collecta et in ordinem redacta esse, non est quod quisquam ambigat: tamen credibile est, vel ante conditam Pindaricorum operum iustam editionem de singulis partibus carminibusve singulos commentatos esse. Quorum princeps est *Chamaeleon* Heracleota Ponticus, Peripateticus, Theophrasto et Heraclidae Pontico aetate suppar, ut ex iis, quae Ionsius Script. Hist. philos. I, 17, 2. disputavit, ac praeterea inde liquet, quod liber de Voluptate ab aliis Chamaeleonti, ab aliis Theophrasto tribuebatur (Athen. VIII, p. 347. E.). Is vero non solum de Iliade, Alcmane, Alcaeo, Sapphone, Anacreonte, Stesichoro, Thespide, Laso, Aeschylo, Simonide, et de antiqua comoedia ac Satyris scripserat, quorum librorum plurimis quasi commentarios in poetarum illorum carmina complexum eum esse Vossius H. Gr. III, p. 340. recte iudicat, sed etiam librum *περὶ Πινδάρου* ediderat, ex quo quae Athenaeus XIII, p. 573. C sqq. petiit, eorum partem agnoscimus in Scholiis ad Olymp. XIII, 32. Grammaticus audit apud Eustathium ad Iliad. *ψ*, p. 1290. 26. cf. ibid. p. 1310. 29. et alibi, item Schol. Victor. ad Iliad. *τ*, 62. ap. Heyn. T. VII, p. 805. Fabric. B. Gr. T. I, p. 508. Harl. et Van Goens de Simonide p. 4 sq. Huic succedat *Zenodotus Ephesius*, sub Ptolemaeo Lagida bibliothecae Alexan-

Digitized by Google

drinae praefectus: huius enim, non Cratetei ignobilioris (v. Wolf. Prolegg. Hom. p. CXCIX.), lectionem *ἀκροθίνια* pro vetere *ἀκροθόνια* in Vrat. A. ad Olymp. II, 7. (cf. Etym. M. p. 53. 10.), huius coniecturam deperditam in eodem ad Olymp. VI, 91. et interpolationem Anacreontis ad Olymp. III, 52. esse iudico. Quis vero non exspectet, *Callimachum*, doctissimum sollertissimumque tabularum auctorem, qui sub Philadelpho imprimis inclaruit, vel in his ipsis aliquid ad digerenda Pindarica contulisse? Ad quas me iudice pertinet, quod Pyth. II. init. Callimachus carmen quod nunc secundum Pythium est, Nemeum dixerat. Sed maiora de Pindaricis merita *Aristophanis Byzantii* sub Ptolemaeis Philopatore et Epiphane maxime florentis fuerunt: qui textum emendavit et metricam curavit rationem, quod uno certe exemplo ex Vrat. A. ad Olymp. II, 48. cognitum habemus, unde constat versum alienum *Φιλέοντε δὲ Μοῖσαι* ab illo esse obelo transfixum; idem vero Lyricos, atque in his, ne de aliis dicam, Pindarum et Simonidem colis metricis distinxit, auctore Dionysio Halicarnassensi de compos. verb. c. 22. p. 313. Schaef. ubi de colis Pindarici dithyrambi a se constitutis: *Κῶλα δέ με δέξαι νυνὶ λέγειν, οὐχ οἷς Ἀριστοφάνης ἢ τῶν ἄλλων τις μετρικῶν διεκόσμησε τὰς ᾠδάς*: et c. 26. p. 428. *Ἐκ δὲ τῆς μελικῆς τὰ Σιμωνίδεια ταῦτα· γέγραπται δὲ κατὰ διαστολάς, οὐχ ὧν Ἀριστοφάνης ἢ ἄλλος τις κατεσκεύασε κώλων* etc. ubi quae de alio quopiam metrico dicuntur, non dubitantis de Aristophanis opera sunt, sed etiam alios in eo genere elaborasse diversa ratione docent. Porro Aristophanes Pindari carmina disposuit, atque alterutrum ordinem instituisse videtur septendecim operum, quae a Suida traduntur p. 5. huius Scholiorum editionis et in Vit. Vrat. p. 10. Cf. Vitam a Thoma recensitam p. 4. Hoc enim Latinorum scriptorum inscitiae condonabimus, quod Pindarum ipsum libros suos digessisse putabant, ut Quintilianus VIII, 6, 71. *Exquisitam vero figuram huius rei deprehendisse apud principem Lyricorum Pindarum videor in libro, quem inscripsit Ὕμνους*; et Servius ad Virg. Aen. X, 738. *Unde Pindarus opus suum, quod et hominum et deorum con-*

Digitized by Google

tinet laudes, Paeanas vocavit. Sed istud *ἐπιγράφει* in Vit. Vrat. p. 10. librario, non Graeco grammatico tribuerim. Etiamnunc vero quem locum Aristophanes primo Olympio assignavit, eum hoc carmen tuetur, etsi quam levibus rationibus in ordinandis Pindaricis usus sit, patet ex iis, quae de hac ipsa oda in Vita a Thoma Magistro recensita p. 5. prodita memoriae sunt. Et quum temporum seriem in quovis saltem genere sequi praestitisset, Aristophanes quique alii Pindaro digerendo operam dedere, sola carminum genera, Dithyrambos, Parthenia, Olympia, Pythia, cetera spectarunt: cuius rei auctor Schol. Isthm. IV. inscr. *Οὐκ αἰτιατέον δὲ τοὺς διατάξαντας τὸν Πίνδαρον· οὐ γὰρ κατὰ χρόνους συνέτασσον αὐτὸν, ἀλλὰ κατὰ τὰ εἴδη.* Schol. Pyth. VI. inscr. *Φανερὸν δὲ, ὅτι αἱ ᾠδαὶ οὐ κατὰ χρόνον διάκειντα· ἡ γὰρ πρὸ ταύτης ᾠδὴ Ἀρκεσίλᾳ γέγραπται νικήσαντι τὴν λαῖ Πυθιάδα.* Temporum tamen rationem Hephaestio habuit, Isthm. IV. init. de quo grammatico infra dicemus: atque in Hymnis certe id carmen primo loco positum fuit, quod ex historiae fide a iuvene Pindaro scriptum erat; etsi utrum ex hac ratione, an quod plurimorum deorum et heroum laudes complectebatur, eum locum sortitum sit, incertum est: qua de re in Fragmentis dico. Sed de ipso genere magna in quibusdam carminibus lis fuit, ut in Pythio secundo, quod quum Callimachus Nemeis annumerasset, Timaeus autem rerum scriptor *θυσιατήριον* dixisset, Ammonius et Callistratus Olympicum esse, alii, inter quos Dionysius Phaselites, Panathenaicum, Apollonius *ὁ εἰδογράφος*, quem in generibus carminum etiam pro harmoniae diversitate dignoscendis in bibliotheca Alexandrina constat diligentissimum fuisse, Pythicum contendebant. V. Schol. Pyth. II. inscr. et ibi not. Praeterea alia post Aristophanem Epiniciis videntur accessisse: inter quae est carmen Olympiorum quintum, quod *ἐν τοῖς ἐδαφίοις*, primitivis, ut arbitror, exemplaribus ab Aristophane profectis, non legebatur, sed in Didymi commentariis Pindaro tributum erat, ut docemur a Schol. Olymp. V. init. Neque Nem. IX. X. XI. ab initio Nemeis attributa erant, unde nota Nem. IX. init. *αὗται δὲ*

Digitized by Google

αἱ ᾠδαὶ οὐκέτι Νεμεονίκαις εἰσὶ γεγραμμέναι· διὸ κεχωρισμένως φέρονται: postquam addita erant, iure hoc in ultimo certe carmine reprehendebant Dionysius Phaselita cum asseclis suis et Didymus. V. Schol. Nem. XI. init. Simile autem, ni fallor, acciderat in Partheniis, quorum tertius liber τὰ κεχωρισμένα τῶν Παρθενίων dictus (v. Vit. Vrat. p. 10. Schol. Pyth. III, 139. Schol. Theocr. II, 10.) ea videtur carmina comprehendisse, quae ex Partheniis eiicienda videbantur. Sed tota haec de ordine Pindaricorum carminum a grammaticis instituto disputatio etiam aliis impedita difficultatibus est, de quibus in Fragmentorum prooemio monebo: ex quo hoc tantum praelibo, non Suidae, sed Vitae Vratislaviensis seriem ab Aristophane profectam videri. Vel ante Aristophanem autem vel paullo post eius editionem commentarios in Pindarum ediderat *Chrysippus* Stoicus Solensis, Zenodoti Ephesii, Callimachi et Eratosthenis discipulus, Aristarchi magister, qui vixit sub Ptolemaeis Euergeta et Philopatore: inter cuius grammatica opera, a Suida T. III, p. 692. generatim commemorata Diogenes Laertius quidem scriptum de Pindaro non enumerat, nisi quis, quod parum probabile, opus περὶ ποιημάτων notas ad Pindarum esse complexum putabit: sed inter Chrysippi libros plures quam quinque et septingentos cum multis aliis titulis hic quoque intercidit. Eum vero non solorum Isthmiorum, in quibus frequentissime nominatur, sed totius Periodi interpretem egisse, tum ex Schol. Nem. I, 49. patet, tum ex iis, quae Olymp. II, 104. recens accesserunt: et ex hoc ipso scholio, philosophi tragoediarum studiosissimi, qui etiam in Schol. Vict. ad Iliad. ο, 241. ap. Heynium T. VII, p. 776. et in Schol. Venet. Iliad. ϑ, 441. atque alibi, ac passim apud Etymologum laudatur, non alius cuiusdam Chrysippi hos commentarios fuisse sponte intelligitur; eiusdem vero Παροιμίας Schol. Isthm. II, 17. affert. Nec praetereundum est, Chrysippi aetate iam illa grammaticorum signa (σημεῖα) Pindaricis apposita fuisse, quoniam Isthm. III, IV, 47. legitur in Scholiis: Χρύσιππος δὲ, σεσημείωται, φησὶν, ὁ τόπος διὰ τὴν φράσιν, nempe σημείῳ χ'. Eiusdem aetatem at-

Digitized by Google

tingunt Aristophanei, *Callistratus*, ex cuius commentariis, quos etiam apud Hesychium v. θρώσκω γνώμα haud male sibi reperire Hemsterhusius visus est, interpretationes per totum opus Olympiis exceptis aliquoties referuntur, Isthm. II, 19. etiam τοῖς περὶ Καλλίστρατον commemoratis, si modo ea formula aliud designat ac Callistratum ipsum; et *Diodorus Aristophaneus*, a Schol. Isthm. II, 54. ex parte merito castigatus, is ipse credo, qui in titulo libri Chrysippei, πρὸς τοὺς κριτικοὺς πρὸς Διόδωρον comparet. De utroque conf. Wolf. Prolegg. Hom. p. CCXVI sq. de hoc etiam Villoison. Prolegg. Hom. p. XXIX. Atque eiusdem Chrysippi aequalem fuisse *Leptinem* Olymp. XI, 55. a me repositum mihi quidem probabile videtur, ut ibi advocato Diogene Laertio exposui: eiusdem ad Homerum meminerunt Scholia Vict. et Townl. apud Heynium T. VIII, p. 327. ubi homo doctissimus, quis ille fuerit, se non reperire fatetur. Sed sub Philometore eminuit *Aristarchus*, quo praeter Didymum vel olim nemo frequentius commemorabatur; quibus locis ex Indice petendis iam alii accesserunt, Olymp. II, 58. 82. 102. 113. 140. III, 41. 46. 66. V, 54. VI, 23. 152. 158. VII, 117. VIII, 4. 41. XI, 15. ex quibus Scholiis quantumvis corruptis, celeberrimi grammatici partim lectiones partim explicationes cognoscimus: sed etsi is passim haud mediocria attulit, tamen neque interpretatione neque critica arte in Pindaricis magnopere videtur excelluisse, in metricis autem certe non ita peritus fuit, ut ubi spondeo, ubi dactylo locus esset, satis posset distinguere: qua in re Pyth. III, 75. mirifice coniectando peccavit. Aristarchum vero haud secus atque Aristophanem iustam Pindari editionem adornasse vel inde intelligas, quod eius siglae textui appositae exstabant, ut patet maxime ex Schol. Isthm. V, 47. Huius aemulus, ni fallor, *Crates* Mallotes sive Pergamenus est, qui recte sed prava de causa damnatam Scholiastis coniecturam Nem. II, 16. ausus erat: addamque huic *Artemonem Pergamenum* historicum, et ipsum Pindari interpretem, in solis Siculorum Epiniciis Siculisque rebus, quarum curiosus admodum erat, a Scholiastis allatum, Olymp. II, 16. Pyth. I, 1.

Digitized by Google

III, 48. Isthm. II, 1. nunc praeterea Olymp. V, 1. Etiam *Apollonium τὸν εἰδογράφον* in Pindarica commentatum esse, partim ex Schol. Pyth. II. init. colligo, partim ex Schol. Pyth. I, 3. ubi *τρόπου* in re musica commemoratio non alium quam *εἰδογράφον* intelligendum suadet: sed eidem nomini Pyth. VII, 4. in varia lectione occurrenti non confido. At plures deinceps Aristarcheorum, quos Schol. Isthm. I, 11. nominat, in Pindarum commentarii exstitere: in his *Ammonii Alexandrini*, qui praeceptori Aristarcho in schola Alexandrina successit (conf. Villoison. Prolegg. Hom. p. XXVI sq.), ad Pythia Nemeaque hinc inde citati, ac semel in Olympiorum Scholiis Vratislaviensibus I, 121. Deinde per omnes quattuor partes celebratur *Aristodemus* Aristarchi discipulus (Schol. Nem. VII, 1.), Alexandrinus dictus ap. Schol. Isthm. I, 11. sed eundem esse Eleum Harpocrationi indeque Suidae v. *Ἑλλανοδίκαι* nominatum, probabile fit vel ex Schol. Olymp. XI, 55. ubi eximia eius exstat coniectura *Ἄλτιν* pro *Ἄλιν* pridem in textum recepta; et in Vratislaviensibus *οἱ περὶ Ἀριστόδημον* memorantur. Ex iisdem Scholiis bis iam idem nomen accessit, primum Olymp. III, 22. ubi haec leguntur: *Περὶ δὲ τοῦ τῶν Ἑλλανοδικῶν ἀριθμοῦ Ἑλλάνικός φησι καὶ Ἀριστόδημος, ὅτι τὸ μὲν πρῶτον β', τὸ δὲ τελευταῖον ι'. τοσαῦται γὰρ αἱ τῶν Ἠλείων φυλαὶ, καὶ ἀφ' ἑκάστης εἷς ἦν Ἑλλανοδίκης,* quae ipsa Aristodemo Eleo tribuit Harpocratio l. c. *Ἀριστόδημος δ' ὁ Ἠλεῖός φησι τοὺς τελευταίους τιθέντας τὸν ἀγῶνα Ἑλλανοδίκας εἶναι δέκα, ἀφ' ἑκάστης φυλῆς ἕνα.* Alter locus est Olymp. VI, 23. ubi extrema de Niobae liberis corruptissima sunt, quibuscum conferri merentur quae Schol. Eurip. Phoen. 162. et 1126. ex Aristodemo aliisque refert: neque hinc aliena eiusdem Aristodemi commemoratio ib. 1120. et 1163. Ex quibus tamen locis et Valckenarii disputatione (Annott. ad Schol. p. 114 sq.) Suidae loco v. *Τευμησσία* (vulgo *Τελμισία*) augenda alius haec omnia Thebani Aristodemi esse collegeris, nisi potius Eleus grammaticus Thebaica scripsit, maleque is apud Scholiastam Theocriti Thebanus dicitur: quod mihi quidem probabilius est. Elei autem tertium li-

Digitized by Google

brum περὶ Πινδάρου citat Athenaeus XI, p. 495. F. Ἀριστόδημος δ' ἐν τρίτῳ περὶ Πινδάρου τοῖς Σκειῤῥοις φησὶν Ἀθήναζε ἀγῶνα ἐπιτελεῖσθαι τῶν ἐφήβων δρόμου, τρέχειν δ' αὐτοὺς ἔχοντας ἀμπέλου κλάδον κατάκαρπον τὸν καλούμενον ὤσχον· τρέχουσι δ' ἐκ τοῦ ἱεροῦ τοῦ Διονύσου μέχρι τοῦ τῆς Σκιράδος Ἀθηνᾶς ἱεροῦ, καὶ ὁ νικήσας λαμβάνει κύλικα τὴν λεγομένην πενταπλόον καὶ κωμάζει μετὰ χοροῦ. πενταπλόα δ' ἡ κύλιξ καλεῖται, καθόσον οἶνον ἔχει καὶ μέλι καὶ τυρὸν καὶ ἄλφιτον καὶ ἐλαίου βραχύ: quem locum non, ut videri possit, ad Epinicia, sed ad Scoliorum κύλικας Ἀθηναίας ap. Athen. XI, p. 480. C. pertinere arbitror. Ad rem confer Proclum Chrestom. ap. Phot. p. 526. ubi de Oschophoriis: Ἦν δὲ τοῖς Ἀθηναίοις ἡ παραπομπὴ ἐκ τοῦ Διονυσιακοῦ ἱεροῦ εἰς τὸ τῆς Ἀθηνᾶς τῆς Σκιριάδος τέμενος, εἵπετο δὲ τοῖς νεανίαις ὁ χορὸς καὶ ᾖδε τὰ μέλη· ἐξ ἑκάστης δὲ φυλῆς ἔφηβοι διημιλλῶντο πρὸς ἀλλήλους δρόμῳ· καὶ τούτων ὁ πρότερος ἐγεύετο ἐκ τῆς πενταπλῆς λεγομένης φιάλης, ἣ συνεκιρνᾶτο ἐλαίῳ καὶ οἴνῳ καὶ μέλιτι καὶ τυρῷ καὶ ἀλφίτοις. Idem haud dubie Aristodemus est, qui in Olympiadum computo commemoratur ap. Euseb. Chronic. I, p. 37. Thes. Temp. ed. pr. qua de re potest in ipsis Pindaricis commentariis dixisse; sed alii sunt Nysaei, de quibus v. Voss. H. Gr. I, p. 137 sq. et Schol. Venet. Iliad. ι, 453. Tertius Aristarchi discipulus videtur esse *Menecrates*, cuius bis mentio exstat Olymp. II, 16. Isthm. IV, 104. si modo is Nysaeus est, de quo v. Voss. l. c. Sed Aristarchi adversarius fuit *Ptolemaeus Epitheta*, discipulus Hellanici, qui Agathoclem audiverat Zenodoti alumnum, semel commemoratus in Vrat. ad Olymp. V, 44. ubi v. not. cui adde apud Suidam scribendum esse διότι ἐπέθετο τῷ Ἀριστάρχῳ, *quod Aristarchum aggredi solebat*, ut scite perspexit Villoisonus Prolegg. Hom. p. XXX. At is nescio an Pindari commentatoribus non annumerandus sit. Praeter hos Pindarum explicuere *Asclepiades*, haud dubie Tragilensis Apollodoro et Didymo antiquior, Τραγῳδουμένων auctor, quae et ipsa cum eiusdem de Μεγάλαις Ἠοίαις opere in Scholiis laudantur: eius coniectura mihi non probata exstat Olymp.

Digitized by Google

VIII, 10. et ex commentariis Pindaricis deprompta notata Olymp. VIII, 28. Pyth. IV, 18. 61. Nem. II, 19. ubi *οἱ περὶ Ἀσκληπιάδην*, Nem. VI. init. Isthm. II. init. et qui loci nunc demum additi sunt, Olymp. III, 22. VI, 26. atque, ut videtur, Olymp. VII, 24. Pyth. III, 14. *Aristonicus*, quippe ille Alexandrinus grammaticus, qui de Homericis et Hesiodeis ac de Museo Alexandrino scripsit (v. Ions. Scr. Hist. philos. III, 2, 3.), atque ut pater Ptolemaeus Romae artem professus est, ut narrat Suidas T. I, p. 326. T. III, p. 224. passim in Scholiis ad Homerum nominatus (cf. Villoison. Prolegg. p. XXXI.), item apud Eustathium aliquoties, apud Suidam et Hesychium v. *ἀκοστήσας* saepiusque apud Etymologum et Strabonem, cui dicitur *Ἀριστόνικος ὁ καθ' ἡμᾶς*, in Pindaricis semel olim. Olymp. I, 33. nunc item Olymp. III, 31. VII, 153. ex quo loco eum ante Didymum scripsisse patet: *Chaeris* grammaticus, in Venetis Homeri Scholiis Iliad. *β*, 311. Boeot. 372. *ζ*, 71. *ι*, 601. in Pindaricis maxime Pyth. IV. sed etiam ad Nemea, I, 49. citatus, qui praeter interpretationem et iudicia quae vocant aesthetica coniecturas ausus est, Pyth. IV, 61. metro adversantem, sed bonam et nunc receptam Pyth. IV, 195. mediocres et spernendas Pyth. IV, 188. 259. 459. conf. et Schol. Pyth. IV, 446. ex quo Didymo antiquiorem habeo. Porro *Dionysii Phaselitae* absurda quaedam coniectura exstat ad Pyth. II. init. et *οἱ περὶ Φασηλίτην* comparent ad Nem. XI. init. iidem qui in Vrat. ad Olymp. XI, 55. *οἱ περὶ Διονύσιον* vocantur et *τοῖς περὶ Ἀριστόδημον καὶ Λεπτίνην* coniunguntur. Alius autem est *Dionysius Sidonius*, iam Varroni de L. L. IX, p. 162. Bip. commemoratus, Pyth. I, 172. simpliciter Sidonius dictus, ut in Schol. Wassenb. ad Iliad. *α*, 364. p. 130. Schol. Venet. Iliad. *α*, 8. 364. *β*, 262. *γ*, 128. *ζ*, 465. *ξ*, 40. *χ*, 29. Schol. Vict. Iliad. *γ*, 35. ap. Heyn. Animadv. T. IV, p. 695. Schol. Lips. Vict. ad Iliad. *α*, 554. ap. Heyn. ib. p. 682. et saepius, Apollon. Lex. Hom. v. *ἕρμα*, et Eustath. ad Iliad. *ξ*, p. 966. 16. *ο*, p. 1017. 32. qui eum alibi ad Odyss. *α*, p. 1410. 59. *Σιδώνιον Διονύσιον* vocat. *Διονύσιος Σίδιος* est ap. Etym. p. 783. 20. ubi *Σιδώνιος* scribendum. Eun-

Digitized by Google

dem esse, qui Pyth. I, 109. Dionysius vocatur, non dubito. Semel in re grammatica *Dionysius Charmidis* appellatur Nem. VII, 35. itemque grammaticus et Pindari interpres *Agestratus* videtur fuisse, de quo Schol. Pyth. X, 85. Quibus opinor omnibus successit *Didymus* Alexandrinus ille *Χαλκέντερος*, Aristarcheus, Caesaris Dictatoris Triumvirorumque et Octaviani Augusti temporibus florens, cuius frequentissima in Scholiis mentio fit, praeter eos locos, qui e vulgatis in Indicem relati sunt, in nostris Olymp. II, 82. 140. III, 54. VI, 115. VII, 34. 153. 159. VIII. inscr. IX, 34. XI, 17. ne commemorem eos, in quibus recens edita cum pristinis fere consentiunt. Erant autem Didymi in Pindarum commentarii (*ὑπομνήματα*, ut vocantur Olymp. V. inscr.) varii: primum in Paeanas, quorum *ὑπόμνημα πρῶτον* commemorat Ammonius v. *Θηβαγενεῖς*, iis, quae Schol. Pyth. XI, 5. tradit, similia inde referens, deinde in Epinicia, in quibus quae scholiis antiquioris meliorisque notae continentur, ea ex Didymi commentariis excerpta maximam partem videntur: et Didymus ipse, ni fallor, priorum interpretum sententias plerasque scriptis suis complexus erat. Quodsi Didymi hi commentarii pro Scholiorum nostrorum fundamento fuerunt, consentaneum est quiqui recentiorum scriptorum in his nominati reperiuntur, eos ab iis, qui Scholia antiquiora posthac retractaverint, additos esse: qua de re infra dicam: ac sane in illa de hoc Scholiorum fundamento sententia illud me maxime confirmat, quod Didymi commentarii in Paeanas saepius ita citantur, ut ab ipso auctore ad illos te ablegatum putes. Schol. Pyth. VI, 4. *ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάπῃ, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται, τῇ Πυθοῖ. § ἢ οὕτως· ἔνθα, ἐν τῷ ναῷ τῷ ἐν Πυθοῖ. ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται.* Schol. Pyth. XII, 45. *εἴρηται δὲ καὶ ἐν Παιᾶσι περὶ αὐλητικῆς.* Nam utroque loco non Pindarum, sed Didymi commentarios ad Pindarica intelligendos esse, ipsa formulae ratio docet. Adde Olymp. II, 70. *ἐν δὲ τοῖς Παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει.* Quartus locus est

Digitized by Google

Olymp. I, 26. *περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστιν,* ubi etsi verba *Δώριον μέλος σεμνότατον* Pindari esse censeas, ut ipse olim de metr. Pind. III, 8. p. 239. arbitrabar, tamen ob eandem, quam in ceteris tribus scholiis, locutionem ad commentarios suos antea scriptos a Didymo ipso provocari contenderim. Illud verendum non est, ne quis haec ita dicta existimet, ut negem plurima et addita Didymeis et omissa et mutata esse. Ceterum praeter Scholia nostra Didymi in Pindarum commentarios memorat Lactantius Div. Inst. I, 22. „Didymus in libris *ἐξηγήσεως Πινδαρικῆς* ait, Melissea Cretensium regem primum diis sacrificasse ac ritus novos sacrorumque pompas introduxisse. Huius duas fuisse filias, Amaltheam et Melissam, quae Iovem puerum caprino lacte et melle nutrierunt: unde poetica illa fabula originem sumpsit, advolasse apes atque os pueri melle complesse. Melissam vero a patre primam sacerdotem Matri Magnae constitutam, unde adhuc eiusdem Matris antistites Melissae nuncupantur." Quod Didymus ad Pyth. IV, 104. aut ad alterum locum ibi a Scholiaste allatum narraverat. Praeterea interpres Pluti Aristophanei vs. 9. suos ad Pindari hymnos commentarios citat: *Καὶ τὰ μὲν περὶ τοῦ Πυθίου τρίποδος διαφόρως ἱστορούμενα ἐν τοῖς Πινδάρου Ὕμνοις εὐκαίρως ἡμῖν διείληπται*: ubi etsi Eleaticum Palamedem agnoscere possis, tamen Schneideri nostri coniecturae de Didymo cogitantis plus tribuo.

Quamquam autem ex his antiquis grammaticis bonas observationes plurimas, praesertim ex fabularum rerumque gestarum notitia accurata haustas in vetera Scholia venisse iudico, mixtas quidem iis nugis, quae in omnibus prope Graecorum grammaticorum scriptis passim sparsae deprehenduntur: tamen etiam ex iis Pindari commentatoribus, qui post Christi natales vixerunt, aliquid Scholiis accessisse probabile est. Inter quos, ne de *Plutarcho* dicam, qui nonnisi de vita Pindari scripserat (v. not. ad p. 6.), certe *Hephaestio* referendus videtur Isthm. IV. init. de ordine Pindaricorum carminum duorum disputans: nisi is alius est ac praeceptor Aelii Veri,

Digitized by Google

cuius hodieque Enchiridium superest. Et Athenaei Naucratitae demum aetate commentarium de Pindaro edidit *Eleaticus Palamedes*, de quo Suidas: *Παλαμήδης, Ἐλεάτης, γραμματικός· Κωμικὴν καὶ τραγικὴν λέξιν, Ὀνοματολόγον, Ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.* Qui quod *Ὀνοματολόγον* scripserat, Athenaeo ipse *Ὀνοματολόγος* dicitur IX, p. 397. A. *Ὁ Ἐλεατικὸς Παλαμήδης ὀνοματολόγος.* Meminit eiusdem Etymologus v. *Ἁρμάτειον μέλος: Παλαμήδης ἱστορικὸς ὁ τὴν κωμικὴν λέξιν συναγαγών*: et ipsius auctoritate in vocabulis obscurioribus explicandis Scholiastae Aristophanis Comici Rhodiique Apollonii aliquoties utuntur. Sed eum historicum dici, cum Vossio H. Gr. III, p. 396. et Hemsterhusio ad Aristoph. Plut. p. 98 sq. miror magnopere; neque dubito apud Etymologum corrigere: *Παλαμήδης Ἐλεατικὸς ὁ τὴν κωμικὴν* etc. Magis autem mirum est, Elea sive Velia Athenaei aetate prodiisse grammaticum Graecum, quo tempore ea civitas desierat iamdudum Graeca esse: quo argumento mihi constat hunc Palamedem Eleaten non fuisse. Verius eius nomen servavit Athenaeus, apud quem audit *ὁ Ἐλεατικὸς Παλαμήδης.* Quippe quum ille vir Palamedes vocaretur, nescio unde oriundus, ob acumen et sollertiam in glossis explicandis aequalibus comprobatam ex Platonis Phaedro p. 261. D. hanc meruit denominationem, ubi Zeno ille vocatur *ὁ Ἐλεατικὸς Παλαμήδης, ὅτι δή,* ut Scholiastes ait, *πανεπιστήμων σχεδὸν ἦν ὁ ἀνὴρ, ὡς καὶ Παλαμήδης.* V. ibi Heindorf. indeque corrige rudem Fabricii congeriem Bibl. Gr. T. I, p. 206. Harl. Adde Hermiam ad Phaedr. p. 184. *Τὸν δὲ Ἐλεατικὸν Ζήνωνα (ἀπεικάζει) τῷ Παλαμήδῃ, ἐπειδὴ καὶ ἀριθμῶν καὶ κύβων καὶ πολλῶν ἄλλων εὑρετὴς ἐγένετο Παλαμήδης· ὡς τεχνικὸν οὖν τὸν Ζήνωνα παρέβαλε τῷ Παλαμήδῃ.* Postremo hoc loco nomino *Tryphonem* Ammonii, Alexandrinum, grammaticum, qui etsi Pindari commentator non fuit, tamen ob librum Suidae citatum *περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς* praetermitti non debet. Qui quum Augusti

Digitized by Google

Olymp. I, 26. *περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστιν,* ubi etsi verba *Δώριον μέλος σεμνότατον* Pindari esse censeas, ut ipse olim de metr. Pind. III, 8. p. 239. arbitrabar, tamen ob eandem, quam in ceteris tribus scholiis, locutionem ad commentarios suos antea scriptos a Didymo ipso provocari contenderim. Illud verendum non est, ne quis haec ita dicta existimet, ut negem plurima et addita Didymeis et omissa et mutata esse. Ceterum praeter Scholia nostra Didymi in Pindarum commentarios memorat Lactantius Div. Inst. I, 22. „Didymus in libris *ἐξηγήσεως Πινδαρικῆς* ait, Melissea Cretensium regem primum diis sacrificasse ac ritus novos sacrorumque pompas introduxisse. Huius duas fuisse filias, Amaltheam et Melissam, quae Iovem puerum caprino lacte et melle nutrierunt: unde poetica illa fabula originem sumpsit, advolasse apes atque os pueri melle complesse. Melissam vero a patre primam sacerdotem Matri Magnae constitutam, unde adhuc eiusdem Matris antistites Melissae nuncupantur." Quod Didymus ad Pyth. IV, 104. aut ad alterum locum ibi a Scholiaste allatum narraverat. Praeterea interpres Pluti Aristophanei vs. 9. suos ad Pindari hymnos commentarios citat: *Καὶ τὰ μὲν περὶ τοῦ Πυθίου τρίποδος διαφόρως ἱστορούμενα ἐν τοῖς Πινδάρου Ὕμνοις εὐκαίρως ἡμῖν διείληπται:* ubi etsi Eleaticum Palamedem agnoscere possis, tamen Schneideri nostri coniecturae de Didymo cogitantis plus tribuo.

Quamquam autem ex his antiquis grammaticis bonas observationes plurimas, praesertim ex fabularum rerumque gestarum notitia accurata haustas in vetera Scholia venisse iudico, mixtas quidem iis nugis, quae in omnibus prope Graecorum grammaticorum scriptis passim sparsae deprehenduntur: tamen etiam ex iis Pindari commentatoribus, qui post Christi natales vixerunt, aliquid Scholiis accessisse probabile est. Inter quos, ne de *Plutarcho* dicam, qui nonnisi de vita Pindari scripserat (v. not. ad p. 6.), certe *Hephaestio* referendus videtur Isthm. IV. init. de ordine Pindaricorum carminum duorum disputans: nisi is alius est ac praeceptor Aelii Veri,

Digitized by Google

cuius hodieque Enchiridium superest. Et Athenaei Naucratitae demum aetate commentarium de Pindaro edidit *Eleaticus Palamedes*, de quo Suidas: *Παλαμήδης, Ἐλεάτης, γραμματικός· Κωμικὴν καὶ τραγικὴν λέξιν, Ὀνοματολόγον, Ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.* Qui quod *Ὀνοματολόγον* scripserat, Athenaeo ipse *Ὀνοματολόγος* dicitur IX, p. 397. A. *Ὁ Ἐλεατικὸς Παλαμήδης ὀνοματολόγος.* Meminit eiusdem Etymologus v. *Ἁρμάτειον μέλος: Παλαμήδης ἱστορικὸς ὁ τὴν κωμικὴν λέξιν συναγαγών:* et ipsius auctoritate in vocabulis obscurioribus explicandis Scholiastae Aristophanis Comici Rhodiique Apollonii aliquoties utuntur. Sed eum historicum dici, cum Vossio H. Gr. III, p. 396. et Hemsterhusio ad Aristoph. Plut. p. 98 sq. miror magnopere; neque dubito apud Etymologum corrigere: *Παλαμήδης Ἐλεατικὸς ὁ τὴν κωμικὴν* etc. Magis autem mirum est, Elea sive Velia Athenaei aetate prodiisse grammaticum Graecum, quo tempore ea civitas desierat iamdudum Graeca esse: quo argumento mihi constat hunc Palamedem Eleaten non fuisse. Verius eius nomen servavit Athenaeus, apud quem audit *ὁ Ἐλεατικὸς Παλαμήδης.* Quippe quum ille vir Palamedes vocaretur, nescio unde oriundus, ob acumen et sollertiam in glossis explicandis aequalibus comprobatam ex Platonis Phaedro p. 261. D. hanc meruit denominationem, ubi Zeno ille vocatur *ὁ Ἐλεατικὸς Παλαμήδης, ὅτι δή,* ut Scholiastes ait, *πανεπιστήμων σχεδὸν ἦν ὁ ἀνὴρ, ὡς καὶ Παλαμήδης.* V. ibi Heindorf. indeque corrige rudem Fabricii congeriem Bibl. Gr. T. I, p. 206. Harl. Adde Hermiam ad Phaedr. p. 184. *Τὸν δὲ Ἐλεατικὸν Ζήνωνα (ἀπεικάζει) τῷ Παλαμήδῃ, ἐπειδὴ καὶ ἀριθμῶν καὶ κύβων καὶ πολλῶν ἄλλων εὑρετὴς ἐγένετο Παλαμήδης· ὡς τεχνικὸν οὖν τὸν Ζήνωνα παρέβαλε τῷ Παλαμήδῃ.* Postremo hoc loco nomino *Tryphonem* Ammonii, Alexandrinum, grammaticum, qui etsi Pindari commentator non fuit, tamen ob librum Suidae citatum *περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς* praetermitti non debet. Qui quum Augusti

Digitized by Google

Olymp. I, 26. *περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστιν,* ubi etsi verba *Δώριον μέλος σεμνότατον* Pindari esse censeas, ut ipse olim de metr. Pind. III, 8. p. 239. arbitrabar, tamen ob eandem, quam in ceteris tribus scholiis, locutionem ad commentarios suos antea scriptos a Didymo ipso provocari contenderim. Illud verendum non est, ne quis haec ita dicta existimet, ut negem plurima et addita Didymeis et omissa et mutata esse. Ceterum praeter Scholia nostra Didymi in Pindarum commentarios memorat Lactantius Div. Inst. I, 22. „Didymus in libris *ἐξηγήσεως Πινδαρικῆς* ait, Melissea Cretensium regem primum diis sacrificasse ac ritus novos sacrorumque pompas introduxisse. Huius duas fuisse filias, Amaltheam et Melissam, quae Iovem puerum caprino lacte et melle nutrierunt: unde poetica illa fabula originem sumpsit, advolasse apes atque os pueri melle complesse. Melissam vero a patre primam sacerdotem Matri Magnae constitutam, unde adhuc eiusdem Matris antistites Melissae nuncupantur." Quod Didymus ad Pyth. IV, 104. aut ad alterum locum ibi a Scholiaste allatum narraverat. Praeterea interpres Pluti Aristophanei vs. 9. suos ad Pindari hymnos commentarios citat: *Καὶ τὰ μὲν περὶ τοῦ Πυθίου τρίποδος διαφόρως ἱστορούμενα ἐν τοῖς Πινδάρου Ὕμνοις εὐκαίρως ἡμῖν διείληπται:* ubi etsi Eleaticum Palamedem agnoscere possis, tamen Schneideri nostri coniecturae de Didymo cogitantis plus tribuo.

Quamquam autem ex his antiquis grammaticis bonas observationes plurimas, praesertim ex fabularum rerumque gestarum notitia accurata haustas in vetera Scholia venisse iudico, mixtas quidem iis nugis, quae in omnibus prope Graecorum grammaticorum scriptis passim sparsae deprehenduntur: tamen etiam ex iis Pindari commentatoribus, qui post Christi natales vixerunt, aliquid Scholiis accessisse probabile est. Inter quos, ne de *Plutarcho* dicam, qui nonnisi de vita Pindari scripserat (v. not. ad p. 6.), certe *Hephaestio* referendus videtur Isthm. IV. init. de ordine Pindaricorum carminum duorum disputans: nisi is alius est ac praeceptor Aelii Veri,

Digitized by Google

cuius hodieque Enchiridium superest. Et Athenaei Naucratitae demum aetate commentarium de Pindaro edidit *Eleaticus Palamedes*, de quo Suidas: *Παλαμήδης, Ἐλεάτης, γραμματικός· Κωμικὴν καὶ τραγικὴν λέξιν, Ὀνοματολόγον, Ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.* Qui quod *Ὀνοματολόγον* scripserat, Athenaeo ipse *Ὀνοματολόγος* dicitur IX, p. 397. A. *Ὁ Ἐλεατικὸς Παλαμήδης ὀνοματολόγος.* Meminit eiusdem Etymologus v. *Ἁρμάτειον μέλος: Παλαμήδης ἱστορικὸς ὁ τὴν κωμικὴν λέξιν συναγαγών*: et ipsius auctoritate in vocabulis obscurioribus explicandis Scholiastae Aristophanis Comici Rhodiique Apollonii aliquoties utuntur. Sed eum historicum dici, cum Vossio H. Gr. III, p. 396. et Hemsterhusio ad Aristoph. Plut. p. 98 sq. miror magnopere; neque dubito apud Etymologum corrigere: *Παλαμήδης Ἐλεατικὸς ὁ τὴν κωμικὴν* etc. Magis autem mirum est, Elea sive Velia Athenaei aetate prodiisse grammaticum Graecum, quo tempore ea civitas desierat iamdudum Graeca esse: quo argumento mihi constat hunc Palamedem Eleaten non fuisse. Verius eius nomen servavit Athenaeus, apud quem audit *ὁ Ἐλεατικὸς Παλαμήδης.* Quippe quum ille vir Palamedes vocaretur, nescio unde oriundus, ob acumen et sollertiam in glossis explicandis aequalibus comprobatam ex Platonis Phaedro p. 261. D. hanc meruit denominationem, ubi Zeno ille vocatur *ὁ Ἐλεατικὸς Παλαμήδης, ὅτι δή,* ut Scholiastes ait, *πανεπιστήμων σχεδὸν ἦν ὁ ἀνὴρ, ὡς καὶ Παλαμήδης.* V. ibi Heindorf. indeque corrige rudem Fabricii congeriem Bibl. Gr. T. I, p. 206. Harl. Adde Hermiam ad Phaedr. p. 184. *Τὸν δὲ Ἐλεατικὸν Ζήνωνα (ἀπεικάζει) τῷ Παλαμήδῃ, ἐπειδὴ καὶ ἀριθμῶν καὶ κύβων καὶ πολλῶν ἄλλων εὑρετὴς ἐγένετο Παλαμήδης· ὡς τεχνικὸν οὖν τὸν Ζήνωνα παρέβαλε τῷ Παλαμήδῃ.* Postremo hoc loco nomino *Tryphonem* Ammonii, Alexandrinum, grammaticum, qui etsi Pindari commentator non fuit, tamen ob librum Suidae citatum *περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων καὶ Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ Ἀλκμᾶνι καὶ τοῖς ἄλλοις λυρικοῖς* praetermitti non debet. Qui quum Augusti

Digitized by Google

temporibus et prius vixerit, si is liber superesset, de dialectorum apud Pindarum ratione accuratius fortasse iudicium nobis constaret.

At auctorum, qui in Scholiis veteribus producuntur, pars longe plurima aetate Didymum antecedit. In quibus enumerandis primo loco eos pono, quorum sufficiet nomina appellasse: *Homerum*, *Hesiodum*, cuius ineditus versus accessit Olymp. XI, 79. et alia nova mentio Olymp. VII, 42. *Musaeum* recens allatum Olymp. VII, 66. *Orphicos*, *Eumelum Corinthium*, Olymp. XIII, 74. ubi ultimo versu scribendum iam videtur ἤθ' υἱωνός: de quo poeta v. Voss. H. Gr. I, p. 5. et IV, p. 366. quem etiam *Eumolpo* Olymp. XIII, 31. substituendum suadet Lil. Gyraldus l. c. ap. Voss. *Thebaidem cyclicam*, quae ex ineditis accessit Olymp. VI, 26. *Aethiopidem*, *Cypria*, *Leschae Iliadem parvam*, *Pisandrum Camirensem*, cuius nova commemoratio exstat Olymp. III, 52. *Theogniden*, *Epimeniden*, *Panyasin*, *Antimachum*, qui Olymp. VI, 21. accessit, *Theocritum*, *Aratum*, *Callimachum*, *Apollonium Rhodium* Argonauticorum scriptorem, ex cuius alio libro quopiam historico ea deprompta videntur, quae Olymp. VII, 86. edidi; *Euphorionem*, cuius fragmentum addidimus Olymp. VIII, 41. *Diphili Theseidem*, cuius nova mentio accessit Olymp. III, 52. *Archilochum*, *Alcmanem*, *Stesichorum*, quem adiecimus Olymp. IX, 128. *Anacreontem*, *Sappho*, *Alcaeum*, cuius fragmentum edidi ex Vrat. A. Olymp. X, 15. *Ibycum* etiam in recens edito Olymp. IX, 128. commemoratum, *Simonidem*, cuius ineditum fragmentum v. Olymp. IX, 74. *Bacchylidem*, *Mimnermum*, *Aeschylum*, *Sophoclem*, *Euripidem*, *Epicharmum*, *Cratinum*, *Aristophanem* Comicum, *Sophronem*, *Pherecydem* ex ineditis quater additum, *Acusilaum* Olymp. IX, 70. primum allatum, et Pyth. III, 25. restitutum, quem iam video, ut Socratem, in Argivorum rebus de Coronide dixisse, quod Epidauri Aesculapius natus ferebatur (Pausan. II, 26.); eundem vero Olymp. VII, 42. nonnisi exempli causa *Achaeo*, qui historicus putatur, substitutum: porro *Hecataeum* Olymp. III, 28. ex Vrat. A. allatum, *Hellanicum*, Lesbium opinor, qui ter accessit, Olymp. III, 22. VII, 135. IX, 64. *Herodotum*, *Thucydidem*,

Digitized by Google

Philistum, cuius nova mentio Olymp. VI, 158. *Theopompum*, *Ephorum*, *Timaeum* ter ex ineditis additum Olymp. II, 16. VI, 158. VII, 159. *Platonem*, *Aristotelem*, *Theophrastum*, *Demosthenem*. Etiam *Pindari* ipsius haud pauca fragmina insunt, ex quibus quae intacta reliqui, ea in Fragmentorum collectione iam absoluta emendatiora praesto. Praeter hos autem et alii certae aetatis antiqui neque ignobiles scriptores memorantur; quorum agmen ducat auctor vetustissimus *Hippias* Pyth. IV, 288. et Nem. VII, 53. et hoc quidem loco in re Eliaca, ibi in genealogia heroica ad partes vocatus: quapropter non dubito esse Eleum Sophistam, quem de veterum urbium et heroum rebus et de universa archaeologia disputasse Plato auctor est Hipp. mai. p. 285. D. Exempla praeter Scholiastam nostrum praebent Plutarchus vit. Lycurg. c. 23. et Argumentum Sophocl. Oed. T. quod compilavit Suidas v. *τύραννος*: et manasse haec ex illius *Συναγωγῇ* videntur, cuius apud Athenaeum mentio facta est. Aliam rem antiquam de Ameristo Stesichori fratre geometriam tractante ex Hippia Eleo refert Proclus in Euclid. p. 19. De eiusdem alio opere ad idem doctrinae genus pertinente, *Ὀλυμπιονικῶν ἐλέγχῳ* v. Ions. Scr. hist. philos. IV, 41. p. 266. Theopompi aequalis fuit *Andron Ephesius*, quod docuit Ionsius l. c. I, 8, 2. Aristotelis auditores fuerunt *Dicaearchus* Messenius, cuius Olymp. VI, 7. ex Vrat. A. mentio fit, et *Heraclides* Ponticus, cui librum *περὶ χρησμῶν* ex eodem codice Olymp. VI, 111. allatum tribuere non dubito. *Menaechmus Sicyonius* sub Ptolemaeo Lagida vixit: eiusdem fere aetatis est *Cineas* Pyrrhi legatus, quem Pyth. X, 85. restitui. Philadelphi temporibus floruit *Sosibius* Laco, grammaticus, semel in vulgatis, bis ex Vratislaviensibus productus Olymp. VI, 46. VII, 66. Sub Euergeta autem bibliothecae praefuit *Eratosthenes*, cuius sententia Olymp. IX, 1. allata ex opere *περὶ ἀρχαίας κωμῳδίας* excerpta est. *Istri* Callimachii eodem rege clari praeter Scholia vulgata in Vratislaviensibus duo scripta citantur, Olymp. VI, 55. Eliacorum quintus liber, quorum quartus ex Clemente Alexandrino notus, et Olymp. VII, 146. *περὶ τῶν Ἡλίου ἀγώνων*. Calli-

Digitized by Google

machi vero familiaris fuit *Philostephanus* Cyrenaeus, Olymp. VI, 144. et ex Vratislaviensibus Olymp. III, 28. citatus; nec multo recentior *Phylarchus*, qui Euergetae et Philopatoris aetate vixit. Eratosthenis discipulus fuit *Mnaseas Patarensis*, bis in vulgatis, tertio loco in Vratislaviensibus Olymp. II, 70. conspicuus; *Philochorus* iuvenis fuit quum Eratosthenes senex; *Polemo Periegetes* autem, Olymp. V. inscr. in Vrat. A. et saepius citatus Aristophanis Byzantii temporibus floruit. Sed *Demetrius Scepsius* Cratetem et Aristarchum audiverat; de quo quae ad Olymp. V, 42. protuli, ea nunc ita scribenda arbitror: *Ἰδαῖον ἄντρον ἐν Ἤλιδι ἱερὸν Διός· Δημήτριος ὁ Σκήψιος . . . Νεῶν διακόσμου.* Quippe quum doctus ille multos libros scripserit *Τρωϊκοῦ διακόσμου,* qui etiam simpliciter *Διακόσμου* vocantur (v. Voss. H. Gr. I, p. 35), Idaei in Elide antri ibi eum meminisse patet, ubi de Ida monte Troico dicebat: sed ob scripturam codicis *νέων* etiam catalogum Graecorum eo opere complexum grammaticum esse arbitror, ut bipartitus liber fuerit, *Νεῶν διάκοσμος* et *Τρωϊκὸς διάκοσμος*: quarum partium quum illa praecederet, potuerunt vel ea, quae ex *Τρωϊκῷ διακόσμῳ* petita essent, sub nomine *Νεῶν διακόσμου* reponi. Porro eiusdem Aristarchi discipulus fuit *Apollodorus* Atheniensis, cuius ea quae in Scholiis afferuntur, partim ex Chronicis, partim ex Bibliotheca deprompta sunt, illinc Olymp. I, 33. IX, 64. hinc Nem. X, 114. Olymp. III, 54. (conf. Bibl. II, 5, 3.) *Aristocles* Rhodius, qui Olymp. VII, 66. nunc legitur, Strabonis aevo vixit. Satis antiqui sunt *Androtion*, cuius tempora Ionsius definire posse male sibi visus est, et *Phanodemus* Olymp. III, 28. restitutus, uterque Atticorum scriptor; item *Parmeno* Byzantius, poeta iambicus et maxime choliamborum scriptor; *Theagene* vero Aegineticorum scriptore Strabonem usum esse notat Muellerus Aeginetic. p. 2. 5. Praeterea multi incertioris aetatis auctores citantur, qui tamen Christi natales antecedere fere omnes videntur: *Acesander* rerum Cyrenaicarum scriptor (Voss. H. Gr. III, p. 314.); *Apollas* (*Ἀπόλλας*) in Vrat. A. ad Olymp. VII. init. quem qui esset me nescire dixi: sed iam eundem iudi-

Digitized by Google

co, qui Athenaeo IX, p. 369. A. Ἀπόλλας περὶ τῶν ἐν Πελοποννήσῳ πόλεων dicitur, ubi Casaubono debetur Ἀπολλᾶς, Schweighaeusero Ἀπελλᾶς, quorum notas vide et confer Voss. H. Gr. IV, p. 326. neque alium librum quam de Peloponnesi urbibus Scholiastes noster videtur respexisse. Eiusdem credo mentionem facit corruptus Quintiliani locus I. O. XI, 2, 14. ubi v. intp. Porro *Archemachus*, quem Pyth. III, 129. pro Archidamo praesto; *Archinus* auctor Thessalicorum; *Aristides* περὶ Κνίδου; Milesius visus Vossio H. Gr. III, p. 331. *Aristippus* Arcadicorum scriptor, qui ex Vrat. A. Olymp. XI, 83. additus est; *Aristo* nescio quis eorum, quorum ad nos fama pervenit (v. Voss. H. Gr. II, p. 179 sq.); *Armenidas* Thebaicorum auctor, quem ex Scholiaste Apollonii Vossio H. Gr. III, p. 334. commemoratum in Vratislaviensibus ad Olymp. VI, 23. iam restituendum video, etsi *Hippomedontis* nomini nondum confido; *Autesion*, prorsus quidem ignotus et pro ignotis Antesione et Apesione Olymp. I, 37. et IX, 15. praestitus; *Batus*, sive ut arbitror Baton, Atticae historiae auctor; *Cleophanes* περὶ ἀγώνων ex Vrat. A. productus Olymp. IX, 134. *Demon* paroemiographus; *Dercyllus* Argolicorum scriptor, in Vratislaviensibus Olymp. VII, 49. de quo praeter eos, quos in nota dixi, v. Valck. ad Schol. Phoen. p. 7 sq. adde Etym. M. p. 391. 20. ex quo loco satis antiquum esse collegerim; *Dieuchidas*, auctor Megaricorum, Nem. IX, 30. restitutus; *Dinias* Argolicorum scriptor, quem bis reposui Olymp. VII, 49. et Isthm. IV, 104. Valckenariusque l. c. apud Clementem Alexandrinum substituit *Dionysio Argivo*, cuius Nem. II, 1. de rhapsodis sententia proditur; *Dionysius Samius* περὶ Κύκλου; *Gorgon* historicus, quem de rebus Rhodiacis et nominatim περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν librum edidisse patet ex Schol. Olymp. VII, 1. Hesych. v. Ἐπιπολιαῖος et Καταῤῥαπτίτης, Athen. XV, p. 696. F. ubi male Γεωργός; *Herodorus* grammaticus, ut audit in Vrat. A. ad Olymp. V, 10. de quo v. Voss. H. Gr. IV, p. 374. Fabric. B. Gr. T. VI, p. 369. Harl. et Ions. Scr. hist. phil. IV, 22. *Herophilus* nescio quis; *Hierocles* Pyth. IV, 11. et 14. citatus, utroque loco, quorum altero Pindarum ipsum

Digitized by Google

respexerat, ἐν Φιλίστορσι credo, de quibus v. Voss. l. c. III, p. 376. *Hippostratus* de genealogiis Siculis, quum alibi tum ex Vrat. A. Olymp. II, 8. sed de coniectura mea positus; *Lysimachus* Alexandrinus περὶ Νόστων; *Menecles*, fortasse Bacaleus; *Nicocles* nescio an Lacedaemonius Athenaeo citatus, vel grammaticus ap. Etym. p. 715. 28. *Phaestus* Laconicorum auctor; *Pherenicus* Heracleota, poeta epicus; *Pythaenetus* in Aegineticis, quem etiam Olymp. IX, 107. e Vrat. A. produxi; *Socrates Argivus*, Argolidis descriptor; *Theotimus* bis in Pythiis IV, 61. V, 33. ob edita Cyrenaica, semel e Vrat. A. Olymp. VII, 33. nominatus, ubi alius de Nilo liber commemoratur; postremo *Theo* grammaticus ut videtur, Demetrio Scepsio recentior, Olymp. V, 42. restitutus, qui in tanta Theonum copia quis sit, haud facile quisquam invenerit. Sed ne *Timandrum* ἐν Πυθιονίκαις in Schol. Paris. Apollon. IV, 1750. Pindaricorum operum interpretem putes, pro isto ex vulgatis Pindarum restituendum esse moneo.

Iam recentiores, qui post Didymum floruerunt, scriptores nonnisi tres vel quattuor in Scholiis veteribus monstrari queunt. Quorum primus *Parthenius* (Schol. Isthm. II. extr.) vix ac ne vix quidem huc referri potest, qui si sub Cinna captus est, potuerit ante Didymum scribere: etsi illud nos male habet, quod Tiberii tempora attigisse perhibetur. Alter est *Herodianus* grammaticus Olymp. I, 18. Pyth. III, 65. nominatus; tertius *Amyntianus*, qui de Elephantis scripsit, Schol. Olymp. III, 52. uterque sub M. Antonino Imperatore: quarto loco nomino *Hephaestionem*, de quo supra dixi, si modo hic Aelii Veri praeceptor est. Ceterum quum vel probatissimorum huius aetatis auctorum nulla usquam in his Scholiis mentio exstet, pauculos hos a recentiore homine additos iudico, qui Scholia vetera ex Didymo aliisque excerpserit, digesserit, suis observationibus qualibuscunque et iudiciis auxerit. Immo mature duae quasi Scholiorum veterum recensiones esse factae videntur, altera, ex qua vulgaria Scholia fluxerunt, altera ea, quae in Vrat. A. miro modo depravata et mutilata perduravit: et hac potissimum usus est, qui Etymologicum magnum in ordinem

Digitized by Google

redegit; quo in opere tres ex Pindaricis Scholiis notae leguntur: prima, quam ad Olymp. IX, 106. apposui; altera, quae ad Olymp. IX, 150. ex Vrat. A. prolata est; tertia p. 450. 44. Sylb. ubi de etymo vocis *Θῆβαι*: *ἢ ἀπὸ Θήβης θυγατρὸς Μετώπης, γυναικὸς Ἀσώπου, ἀφ' ὧν καὶ ὠνομάσθησαν ἐκεῖ πολῖται καὶ πόλις, ὡς εὗρον εἰς τὸ σχόλιον τοῦ Πινδάρου ἐπινικίῳ ὕμνῳ Ἀγησίᾳ Συρακουσίῳ*, Olymp. VI, 140. Sed antiqua excerpta paullatim varie decurtata, confusa, perversa, perperam conserta sunt: vetustisque notis accesserunt ineptissima quaeque ab hominibus indoctis profecta, partim circumlocutiones plus minusve barbarae, quales ex Pal. C. ipse etiam addidi; partim animadversiones ridiculae: ex quo genere est lepida de Pindaro Ephorum legente coniectura ad Pyth. I, 146. quae nota ex antiquo quidem scholio ducta, sed sub excerptoris manibus insulsa reddita est: et simile de Adrasto et Clisthene Nem. IX, 25. ubi v. not. item de Strepsiadis Thebani propinquo in bello Peloponnesiaco occiso Isthm. VI, 34. Haud ita disparem sed tamen minus imperitam interpolationem notavi ad Olymp. VII, 151. ubi *ἢ τὰ Πανελλήνια* eieci, et multo absurdiorem Olymp. XIII, 148. ubi Sicyon Boeotiae urbs dicebatur. Nonnulla tamen aeque falsa ab antiquiore manu sunt: ut quod Nem. V, 67. ubi Euboeae oppidum Neptuni sacris illustre nominandum fuit, de Aegis insula prope Euboeam dicitur: certe plures veterum et maxime Homeri interpretes de illa dixerunt insula, inter hos Nicocrates in Schol. Hom. Vict. ap. Heyn. T. VI, p. 641. Schol. Apollon. I, 831. qui Eustathio ad Iliad. *ν*, 21. Nicostratus est, et Hesychius v. *Αἰγαὶ* cum Schol. Ven. Iliad. *ϑ*, 203. Cf. Heyn. ad Hom. T. VI, p. 373 sq. Postremo quum ii, qui olim Scholia antiqua adornverant, ea aetate vixissent, qua Graecorum instituta ingruens barbaries et vetustissimas superstitiones et caerimonias nova religio nondum plane aboleverat, de rebus antiquis illi sic locuti erant ut de iis dicimus, quae ipsi experti sumus: sed novitia manus notas hunc in modum immutavit, ut istas res prioribus temporibus et ab aliis hominibus ita esse actas referret. Ego vero ut Scholiis certe antiquitatis remo-

Digitized by Google

tioris laus constaret, ex libris Gottingensi et Vratislaviensi genuinam formam passim restitui: cuius rei paucula exempla addere placet. Sic Pyth. IV, 104. Christianus dederat *τιμῶσι* pro veteri *τιμῶμεν*; Pyth. IV, 337. recentioris haec sunt: *εἰώθασι δὲ διὰ κλήρων μαντεύεσθαι τοπρὶν, καὶ ἦσαν ἐπὶ τῶν ἱερῶν τραπεζῶν ἀστράγαλοι, οἷς ῥίπτοντες ἐμαντεύοντο*: sed vetustus interpres scripserat: *καὶ ἐν τοῖς ἱεροῖς ἀστράγαλοι κεῖνται, οἷς διαμαντεύονται βάλλοντες δι' αὐτῶν*. Sic Olymp. IX, 134. dedi *δίδονται* pro vulgato *ἐδίδοντο*, eodemque fortasse pertinet varietas lectionis *καλεῖται* et *ἐκαλεῖτο* in Schol. Olymp. IX, 146.

Sed ut iucundum est meliorum temporum vestigia rimari, sic non sine taedio in istorum grammaticorum, quos ab aetate *Byzantinos* voco, exili ieiunaque doctrina versatus sum. Quorum Scholia ad sola Olympia pertinentia, eaque hinc inde a nobis reficta, ad quosnam potissimum auctores referenda sint, partim Praef. T. I, p. XI. XII. partim Notata Scholiis ipsis praemissa p. 3. indicant. Et istorum quidem vetustissimus *Thomas Magister*, initio saeculi quartidecimi celeber, partim Vitam Pindari antiquam recensuit atque in eam, qua hodieque habetur, formam redegit, simul, ut ego arbitror, Scholiis veteribus ipsis adornandis operam navans, quae mihi ille denuo digessisse videtur notulasque inspersisse eiusmodi quales sunt Olymp. I, 16. *ὅπερ οὐκ οἶμαι λόγον ἔχειν*, et Olymp. I, 37. *τοῦ δευτέρου ἀκουστέον*: partim recentiorum Scholiorum fundamenta iecit, ex quibus duo nunc edita ad Olymp. VII, 170. diserte Thomae olim tribuit Guil. Canterus. Alter vero *Manuel Moschopulus* maior *Cretensis* saeculi quartidecimi parte posteriore vixit: cui successit *Demetrius Triclinius*, quem post Maximum Planudem, qui ad annum MCCCLIII. vitam produxit, scripsisse novimus: eundem vero in Pindarica post Moschopulum commentatum esse, tum ex notula ad Olymp. VIII, 1. edita, tum ex metricis notatis ad Olymp. V. p. 117. patet, quae non ab alio quam Triclinio possunt profecta esse. Eorum annotationes in editionibus prorsus commistas et confusas antiquiores codices signorum quorundam discriminibus distinxe-

Digitized by Google

rant: ut in Matritensi Thomana rubro capitulo, Moschopulea nigro insignita sunt; in aliis Moschopuli Scholia cruce notabantur, quod tradunt Vrat. C. Mosc. B. in aliis Tricliniana a nigro incipiebant capitulo, quemadmodum in Rom. proditur: rursus iisdem in aliis ipsum Triclinii nomen praefixum legebatur, ut e Matritensi discimus; et exemplum superest Olymp. II, 48. Quodsi haec signa in eorum, qui collati sunt, librorum ullo, eoque integro et omnia recentiorum Scholia comprehendente accurate servata essent, iam Scholia inter singulos auctores distribui et dividi poterant: sed quum plerique codices aut manci sint et lacerati, aut commistam ex variis libris Scholiorum congeriem continere videantur, in qua alia temere omissa, alia sine iudicio et ratione marginibus allita aut in contextum intrusa sint, postremo quum illa ipsa signa aut parum curiose expressa aut plane neglecta a novitiis librariis reperiantur; nonnisi ex Mosc. B. cruces aliquot Moschopuleis distinguendis inservientes, quas in hoc scripto Gerhardus invenit et enotavit, in hanc editionem transferre licuit: quibus tamen, quod aliae evanuerunt, aliae in lacero codice deperditae sunt, Moschopulea non omnia notantur. In Cizensi libro autem, in quo lemmata omnia rubra sunt praeter unum in primo folio a recentiore manu nigro suppletum, etsi Scholia hinc inde rubro capitulo variegata deprehenduntur, aliisque sigla quaedam rubra praefigitur, non inveni, unde de Scholiorum auctoribus coniectura fieri posset, quod sigla illa nihil nisi scholii initium designat, ibi maxime apposita ubi lemma nullum praemittitur. At Lipsiensis nigram quidem crucem quum in odarum inscriptionibus et initio scholiorum ad quodque carmen pertinentium, tum inter Scholia ipsa repraesentat: sed ea scholiorum initia indicat, et inter ipsas annotationes a recenti manu inserta est, adscriptis etiam numerorum loco litteris Latinis A, B, C, D, et sic porro. Attamen quod eam ob causam, quam supra dixi, Lipsiensi sola Moschopuli Scholia inesse iudicabam, coepi hunc librum tractare, ut verane an falsa haec coniectura esset, perspicerem: mox postquam neque omnia, quae Moschopulo tribuenda ob Mosc. B. sunt, in illo reperi, et posse etiam

Digitized by Google

Thomana admista esse, ac ne ea quidem, quae in illo omissa sunt, certa ratione Triclinio tribui posse intellexi, partim ipsa rei ambiguitate partim evanidis litteris laceratisque foliis deterritus destiti a labore vel ideo infructuoso, quod recentia Scholia omnino vilia, et si ea exceperis, quae ex antiquis deprompta sunt, vacua ab omni reconditiore doctrina reperiuntur. Rursus vero in Olympiorum duodecimo, ubi plurium codicum collatio suppetebat, quae in Lips. Leid. B. Cygn. consentientibus desunt, ea fortasse Tricliniana sunt, quamquam etiam Moschopulea simul possunt omissa esse: de ceteris autem codicum speciminibus, de quibus supra satis dictum est, hoc loco nihil addimus. Sed aliquot scholia, ut Olymp. III. extr. I, 52. et similia interioribus argumentis et partim genere dicendi ductus Triclinio iam confidentius adiudico: eiusdemque esse notulas criticas e Mosc. B. editas, in quibus variae lectiones paullo brevioribus verbis damnantur et reposita a recentioribus scriptura commendatur, non solum nota ad Olymp. VIII, 1. extr. demonstrat, verum etiam verba ex editione Romana p. 3. posita: *Καὶ ὅσα δὲ ἐν τῇ βίβλῳ ἐγράφη σχόλια σημειώσεις τινὰς ἔχοντα ἐν ταῖς τῶν λέξεων ἐναλλαγαῖς — καὶ ταῦτα τοῦ αὐτοῦ ἐστιν*: quae equidem aut non intelligere, aut ad mutatas a grammaticis his lectiones referre cogor. Porro *Tzetzarum* alterum Pindari interpretem egisse ex Schol. Olymp. XIII, 69. collato Schol. Lycophr. 174 sq. primus Albertus Obss. ad N. T. p. 433. deinde Heynius collegerunt: sed quum ea de re in codicibus, in quibus tamen de ceteris recentioribus Scholiastis satis diligenter refertur, nihil plane innotuerit, facilius fere adducor, ut Triclinium etiam in Lycophronem commentatum putem: nam ne Tzetzarum alterum notam illam, quae in Lips. et Cygn. omissa est, inseruisse recentiorum scholiorum collectioni iudicemus, temporum obest ratio, quae omnes, quos accuratius novimus, Pindari interpretes Byzantinos Tzetza utroque docet posteriores fuisse. Praeterea ne in ignoto ignoti auctoris commentario in Pindarum commorer, qui ex scholio manuscripto ad Euripidis Medeam ap. Bandin. Catal. Bibl. Laur. T. III, p. 422. memo-

Digitized by Google

ratur, *Eustathii* interpretatio Pindaricorum in bibliotheca Basileensi exstitisse dicitur, cuius praefationem satis longam et eruditam se vidisse narrat La Croze in epistola ad Io. Christ. Wolfium Thes. Epist. T. III, p. 256. sed Gisb. Cupero sciscitanti a Basileensibus responsum est, codicem illum manuscriptum in illa bibliotheca iam non exstare. V. Nov. Syll. Epist. Norimberg. Vol. I, p. 474. Quem librum aut periisse aut latere magnopere doleo: idem an ab Eustathio ad Homerum respiciatur necne, adhuc ambigo; ubi enim ad Pindarica Scholia provocat, suane an aliena intellexerit incertum est, uti ad Iliad. λ, p. 882. 36. *Ὃν (τὸν Ἡρακλέα) καὶ ἡ Θρᾴκη παρὰ βραχὺ δυςπραγήσαντα εἶδεν ὑπὸ λῃστοῦ, ὡς ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται*, quae pertinent ad Nem. IV, 43 sqq. vulg. ubi quae in editis scholiis leguntur, diversa ab iis sunt quae Eustathianus Scholiastes Apollodoro Bibl. I, 6, 2. concinens tradiderat: et ad Odyss. λ, p. 1684. 25. *Ὅτι δὲ κατὰ τὴν εἰρημένην Σφίγγα κακὴ τὸ εἶδος ἦν καὶ ἡ Μέδουσα μία τῶν Γοργόνων, καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται*: quod ad Pyth. XII, 24. expositum esse, collato Schol. Pyth. XII, 24. intelliges. Ad Iliad. β, p. 338. med. *Ἰστέον δὲ ὅτι καὶ ὁ ἐκ νεφέλης Κένταυρος Μάγνης ἦν, ὡς ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται*: cf. Schol. Pyth. II, 78. Ad Iliad. β, p. 346. princ. *Τὸν δὲ Τυφωέα τοῦτον οἱ μεθ' Ὅμηρον Τυφῶνα καλοῦσι, παρ' οἷς καὶ δικατάληκτόν ἐστι τὸ ὄνομα τοῦτο· Τυφὼς γὰρ μετὰ τοῦ σ̄, καὶ Τυφῶν μετὰ τοῦ ν̄ ἐν τόνῳ περισπωμένῳ· εἰ δὲ καὶ Τυφάων ὁ αὐτὸς ὀνομάζεται, καθὰ καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται, τετραχῶς ἄρα σχηματίζεται τὸ δαιμόνιον*: quod explicitum erat ad unum illorum in Epiniciis locorum, in quibus Typhoei mentio fit. Adde ad Iliad. α, p. 25. init. *Τὸ δὲ σκῆπτρον χρυσοῦν ἐνταῦθα πλάττει ὁ ποιητὴς τῷ Ἀπόλλωνι, τουτέστι τῷ ἡλίῳ, διὰ τὸ καὶ τὸ μέταλλον τοῦ χρυσοῦ ἡλίῳ παρὰ τῶν παλαιῶν ἀνατίθεσθαι, ὡς τῇ σελήνῃ τὸν ἄργυρον καὶ ἑτέρῳ τῶν πλανήτων ἄλλο τι, καθάπερ ἐν τοῖς τοῦ Πινδάρου φέρεται*: cf. ad Odyss. α, p. 1401. 30. et Schol. Pind. Isthm. IV, 2. Ut tamen Eustathium sua intelligere arbitrer, non multum abest quin adducar his

Digitized by Google

verbis ad Iliad. γ, p. 406. init. *Τὸ δὲ ἔμιχθεν οὐ κυριολεκτεῖται μὲν, καθὰ ἐπὶ μισγαγκείας ὑδάτων· ἐφιλήθη δὲ τῷ Πινδάρῳ τε ὡς ἀγαθὴ λέξις, καθὰ ἐν τοῖς ἐκείνου δεδήλωται* etc. Similem certe dictionem in Homericis suis commentariis citandis passim Eustathius usurpat: eundem vero, ubi Pindari antiquos interpretes citat, alia uti formula notes; ut Iliad. ξ, p. 978. 14. *Οἷα δὲ τὰ τοῦ ὕδατος σεμνὰ, δηλοῦσι καὶ οἱ τοῦ Πινδάρου ὑπομνηματισταὶ ἐν τῷ Ἄριστον μὲν ὕδωρ*: Iliad. λ, p. 881. 12. *Διὰ τὴν τοῦ ὕδατος ἀρετὴν, δι' ἣν καὶ ὁ Λυρικὸς ἄριστον τὸ ὕδωρ φησὶν, ὡς ἐκεῖ γράφουσιν οἱ ὑπομνηματισταί*: Odyss. ε, p. 1542. 19. *Οὐ γὰρ ὥρισται τὸ τρισμάκαρες, ἀλλ' ἀντὶ τοῦ πολυμάκαρες λέγεται· εἰ μὴ ἄρα κατὰ Πινδαρικὴν ἔννοιαν, ἣν οἱ ἐξηγηταὶ δηλοῦσιν ἐκεῖ, τὸ τρισμάκαρες καθὰ καὶ τὸ τρισάθλιοι τριαδικὸν αὐτὸ δὴ τοῦτο μόνον δηλοῦσιν ἀριθμόν*: ad quae compara Schol. Olymp. I, 97. Theolog. Arithm. p. 22. 23. ed. Paris. et Eustath. ad Iliad. α, p. 89. med. *Εἰκὸς δὲ καὶ ἀντὶ τοῦ πολλάκις εἰρῆσθαι τὸ τρὶς, ἐπεὶ καὶ οἱ τρισμάκαρες καὶ ὁ τρισευδαίμων καὶ τὰ τοιαῦτα κατὰ τοιοῦτον σημαινόμενον σύγκειται ἀπὸ τοῦ τρὶς ἐπιρρήματος, εἰ καὶ τὸ τρισάθλιος ὁ Πινδαρικὸς μῦθος ἄλλως νοεῖ.* Ceterum illi sive aliorum sive Eustathii commentarii sola complectebantur Epinicia: ac quum ceteri Pindari libri non iam superstites essent, quidquid ex his Eustathius affert, aliorum is scriptorum, Athenaei maxime et Strabonis veterumque grammaticorum lectioni debet. Postremo ex eadem recentiorum grammaticorum fabrica *Glossae interlineares* prodiere, quibus hunc librum onerare nolui: neque ego otio ita abundo, ut vilissimorum hominum queam agere servulum: ne tamen, quantum satis esset, prudentes desiderarent, retentis suo loco Oxoniensium librorum glossis, ex quibus tantum duas vel tres nimium pravas delevi, varia ex variis codicibus specimina proposui, ex Vrat. A. ad Olymp. I. et VII, 1—81. ex libro Petri Candidi ad Olymp. I. ex Leid. A. ad Olymp. XIV. atque ad Olymp. XIV, 1 — 10. ex Pal. C. cuius glossas integras se editurum promisit diligens scriptorum codicum rimator Ant. Iac. Paulssenius.

Digitized by Google

Superest ut de *metricis Scholiis* et de *crisi metrica* dicamus: qua in re veteribus eo latior ingenii et acuminis ostentandi campus patebat, quod quum ne vocabula quidem iis, quibus nunc solent, intervallis seu spatiis antiquitus dirimerentur, carmina ab initio omnino non distinctis versibus scripta sunt, sed uno tenore continuata, ut in lapidibus plurimis videmus. Primum vero etsi de Alexandrinorum metrica eruditione modicam opinionem concepi, tamen quod Frid. Aug. Wolfius Prolegg. Hom. p. CCXX. auguratus erat, nisi ruina ingens hic optima quaeque absumpsisset, magna nos primorum criticorum de metris lyricis merita scituros fuisse, id Vratislaviensia Scholia et alia vestigia si non plane, saltem aliqua ex parte confirmant. Nam *Aristophanem* in adornando Pindaro stropharum et antistropharum rationem eatenus curasse, ut respondentes sibi articulos indagaret, iam ex Schol. Olymp. II, 48. intelligimus, ubi verba vacantia *Φιλέοντι δὲ Μοῖσαι* ab illo primo transfixa obelo esse dixi: eundemque Pindarum in cola divisisse docui. Et quamquam ipse *Aristarchus* et *Chaeris* metra Pindari, ut supra significavi, non magnopere callebant, quique metricam doctrinam a rhythmica et musica dissociaverant grammatici, in illa omnino non multum proficere poterant; tamen fuere nonnulli, qui his artibus in subsidium vocatis rectiorem viam ingrederentur. In his nominandus est *Apollonius ὁ εἰδογράφος*, Pindari, ut conieci, et ipse interpres, qui carmina secundum genera harmoniae, Dorium, Phrygium, Lydium, Mixolydium, Ionium ceteraque in bibliotheca Alexandrina distinxit et consociavit; atque illum etiam in Pindaricis hanc doctrinae partem, quae nostro saeculo instaurata est, cum successu tractasse eo fit probabilius, quod et modi Pindari aliorumque poetarum diu servati sunt (v. de metr. Pind. III, 12.), et Apollonii sententia de Pythio secundo, quod ipsum ille Pythium esse iudicavit, hoc est de ea oda commemoratur, quae ob insignem tam metri quam dialecti Aeolismum maxime sit memorabilis. Quin nescio an ob ipsam metricorum melicorumque modorum diversitatem lyrica carmina singula coepta sint *εἴδη* vocari, quod nomen posthac demum

Digitized by Google

ad generis cuiuscunque minora carmina translatum videtur: quamquam, quod mirere, ne Pindarica quidem carmina a veteribus Scholiastis hac voce appellantur, sed *ᾠδαὶ, ἐπίνικοι,* atque ut textus nunc comparatus est, etiam *ἐπινίκιοι,* hoc tamen vocabulo rarius nominantur; at in metricis demum, quae omnino seriorem aetatem sapiunt, ob ipsam numerorum rationem *εἴδη* dici incipiunt: quod ego nomen ut vocabula *Ὀλυμπίων, Πυθίων, Νεμέων, Ἰσθμίων,* quamvis ea Praef. T. I, p. XXXIX sq. a textu exulare debere iudicaverim, in Scholiorum per novitias manus traditorum editione etiam in carminum inscriptionibus de industria retinui. Sed praeter Apollonii ingeniosam operam ex Vratislaviensibus Scholiis pertenui quidem sed certo indicio nunc tandem patefactum est, quod ex Hephaestione iam collegeram, etiam in lyricis poetis et in ipso Pindaro articulos istos, in quos magnifica haec metra distortis veluti per fidiculas foedeque confractis vocabulorum integris corpusculis dividunt, non pro absolutis numeris habitos, sed in unam periodum, quem versum voco, ab antiquis coniunctos esse: qua de re v. Schol. ad Olymp. IX, 125. et not. item ad Olymp. IX, 134. et XI, 24. ac not. Quae doctrina a doctioribus et acutioribus criticis profecta vereor ne *Draconis Stratonicensis* commentariolo *περὶ Πινδάρου μελῶν,* cuius notitia ex solo Suida v. *Δράκων* ad nostram memoriam pervenit, vel obscurata vel plane abolita sit. Certe quam ieiuna et prava vel ante Hephaestionem grammaticorum de metris Pindari doctrina fuerit, satis ostendit specimen artis metricae ex *Heliodoro* grammatico prolatum a Prisciano de metr. com. p. 248 sqq. ed. Lindemann. etsi is Heliodorus non de Pindari metris speciatim scripserat. De eo cf. Fabric. B. Gr. T. VI, p. 368. Harl. Qui vero *Trichae,* Moschopulo Cretensi et Triclinio antiquioris, liber ineditus *περὶ τῶν Πινδαρικῶν μέτρων* in bibliotheca Parisina cod. MMDCCCLXXXI. Catal. Bibl. Reg. T. II, p. 565. exstare dicitur, is mihi a Tricha profectus omnino non videtur, quod ille commentarius, quem discrepante licet initio *Ἦθος ῥυθμίσας,* vix diversum ab edito habuerim, Trichae de sola suspicione tributus est, ac non solum Schneidero

Digitized by Google

auctore Fragm. Pind. p. 114. ed. Heyn. nihil prorsus habet, quod non in vulgatis Scholiis metricis quamquam paullo diversis passim verbis legatur, si leviusculas quasdam exceperis observationes de siglis criticis, quibus veteres grammatici in recensendis poetarum lyricorum carminibus usi sunt; verum etiam quod ille ipse commentarius diatribae Trichae de metris in codice Veneto non additus invenitur, in Florentino autem circa annum MCCCLX. scripto, quem Montefalconius Diar. Ital. p. 368. accuratius delineavit, metrico illi compendio ex alio vetere libro (ἐκ παλαιοῦ βιβλίου) una cum aliis nonnullis de metro disputationibus sane barbaram aetatem expertis adiectus est: unde haec metrica Franc. de Furia in Appendice ad Draconem Stratonicensem p. 42 sqq. nuperrime edidit. Et siglae quidem istae criticae in codice Florentino non adiunctae Heynio Fragm. Pind. l. c. non aliae videntur, quam quas Villoisonus, cui Schneiderus specimina Parisini libri accepta referebat, in Prolegg. Hom. p. LIX. publici iuris fecit: sed Villoisonus illas ex Marciano codice protulit: neque tamen dubito easdem esse, atque ut in Marcianum codicem, ita in Parisinum ex Hephaestionis Enchiridio, ubi p. 74. leguntur, a doctis librariis harum rerum curiosis esse translatas, neque omnino ad Trichae de metris libellum pertinere. In Pindaricis autem ex illis siglis, quas iam Aristophanes et Aristarchus textibus a sese recensitis apposuerant, hae usurpatae sunt: παράγραφος ¬ vel — in fine stropharum et antistropharum; κορωνὶς ʒ in epodorum fine una cum paragrapho, si Hephaestionem recte intelligo; postremo ἀστερίσκος ⁂ in fine totius carminis. Et has plerisque omnibus locis Romana editio expressit, nisi quod ex praecepto veteris metrici ad Olymp. I, p. 17. epodis solam coronidem apponit, quum Triclinius ib. p. 20. Hephaestionem secutus contra praecipiat coronidem et paragraphum adscribendas esse, quod ad Olymp. IV, p. 110. Olymp. VI, p. 129. Olymp. VII, p. 159. Olymp. X, p. 232. Olymp. XII, p. 261. denuo inculcat. Idem etiam in fine odarum unam tantum epodum complectentium non asteriscum sed coronidem cum paragrapho, et in fine Olympiorum Olymp. XIV, p. 292. solam coronidem

Digitized by Google

praescribit; hoc quoque ex Hephaestionis praecepto, quoniam carmen illud ex duabus strophis monostrophis constare perhibent, in quibus Hephaestione auctore est *ἐπὶ τοῦ τέλους τοῦ ᾄσματος ἡ κορωνίς*. In mediis odis monostrophis coronidem non usurpari notat Triclinius ad Pyth. VI. His notis accedit obelus versui spurio post Olymp. II, 48. ab Aristophane appositus, et *σημεῖον χ'* in Scholiis toties commemoratum, passimque simpliciter *σημεῖον* dictum, quo locos memorabiles iam Chrysippi aetate notatos fuisse supra diximus: idque hinc inde Romana quoque editio repraesentat. Quae vero dictio siglam hanc appositam habet, ea vulgo dicitur *σημειοῦσθαι*: semel in eadem re usurpatur vox *κεχιάσθαι* ap. Schol. Isthm. V, 47. ubi de *σημείῳ χ'*, quo Aristarchus solitus sit notare *τὰ ἀπηρτισμένα τὸ κατάλληλον οὐκ ἔχοντα*. Pyth. III, 18. structurae notandae causa appositum ※, quod mutare nolui; sed grammatici voluerant *χ'*. Plura de his signis v. apud Villoisonum Prolegg. Hom. p. XVIII sq. Sed ut ab his ludicris ad seria redeamus, quae Trichae compendio ex vetere libro transcripta adhaerent, non alia sunt, quam quae in vulgatis Scholiis inde a Romana eduntur: neque illa ulterius progrediuntur, quam quousque ea, quae Romana tenet, vetera esse produntur verbis p. 3. positis: *Ἰστέον ὅτι τὰ γραφέντα περὶ τῶν κώλων ἐν ἀρχαῖς πάντων τῶν Ὀλυμπίων ἐπινικίων καὶ τοῦ πρώτου μόνου τῶν Πυθίων παλαιά ἐστι, διωρθώθη δὲ παρὰ τοῦ ἡμετέρου σοφιστοῦ ἤτοι μυσταγωγοῦ Δημητρίου τοῦ Τρικλινίου· τὰ δὲ λοιπὰ τῶν Πυθίων ἐμετρήθη παρ' αὐτοῦ, πολλῶν τινων τῶν καθ' ἡμᾶς σοφῶν εἰς τοῦτο αὐτὸν προτρεψάντων*. Quodsi iam quaeris, ex quo ego fonte vetera haec metrica manasse iudicem, nescio quomodo eo inclino, ut ex Draconis Stratonicensis commentario excerpta putem, sed labe temporum multis nominibus depravata et variis interpolationis generibus immutata et deformata: ex quibus unum commemoro ad Olymp. IV, p. 107. ubi de versibus *εἰς Σωτῆρα Χριστὸν τὸν Ὠραιοπυλιώτην* etc. immo nescio an eodem pertineat Hephaestionis mentio p. 108. p. 89. atque in Tricliniano p. 109. Ac paullatim plures horum scholio-

Digitized by Google

rum quasi recensiones natae sunt, eaeque omnes plus minusve interpolatae, in quattuor praesertim prioribus Olympiis: quapropter ad haec ipsa vulgato textui eum addidi, qui Trichae libro continetur, item differentia contexta ad Olymp. I. p. 20. ex Vrat. A. ad Olymp. II. p. 57. ex Vrat. A. D. Pal. C. ad Olymp. III. p. 90. ex Vrat. D. Pal. C. ad Olymp. IV. p. 110. ex Vrat. D. in ceteris carminibus vulgata ex copiis meis subinde emendasse satis habens. Iam vero veteres insecuti sunt *Manuel Moschopulus* et *Demetrius Triclinius*, ambo quidem id agentes, ut lectiones, quae ipsis metro adversari viderentur, e textu proscriberent suasque coniecturas plerumque futiles inveherent; qua in re Triclinius et Moschopuli et suam operam praedicat Scholio ad Olymp. VIII, 1. a nobis edito. Moschopulo vero haec certe laus debetur, quod carmen quintum Olympium ex ternis strophis antistrophisque et epodis conflatum esse primus docuit, ut patet iam ex Scholio metrico e Mosc. B. edito p. 117. eodem, in quo Moschopuli mentionem in codice Hafniensi fieri Praef. T. I, p. XII. diximus. At Triclinii, cuius nomini ad Olymp. II, 48. iterata versus spurii expulsio debetur, plura iam ad metricam artem pertinentia documenta habes: primum commentariolum de metris p. 13. editum, quod Iriarto loco ibi laudato pars videtur Tricliniani de metris compendii in codice manuscripto Parisino MCCLX. alterum pertenue *περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου* p. 14. prolatum, quo commentum levissimum notularum quarundam syllabae ancipitis a se excogitatarum miris verborum magna loquentium ambagibus celebrat; tertium et aliqua ex parte memorabile metricorum ad integra Olympia Scholiorum recensionem ab illo factam. Nam neque illa, quae in Trichae libro comparent, nec breviora, quae ex aliquot libris Olymp. I—IV. dedi, neque vulgata metrica a Triclinio manarunt, sed in codice, ex quo Romani editoris de Triclinii recensione horum Scholiorum notitia fluxit, ea contexta significabantur, quae quod ab antiquis Scholiis manaverant, maximam partem nomine *παλαιῶν* vocata e Vrat. et Mosc. B. edidimus. Igitur *Tricliniana*

Digitized by Google

haec sunt: *Olymp. I.* p. 18 sqq. e Vrat. C. et Mosc. B. *Olymp. II.* p. 56 sq. e Mosc. B. quod etiam in Ciz. et Aug. reperitur; *Olymp. III.* p. 89 sq. e Vrat. A. et Mosc. B. quod tamen cum textu in Trichae libro obvio ita consentit, ut cum hoc coniungendum censuerim: etsi Triclinium agnosces in verbis p. 89. *τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές*, quae in libro Trichae desunt; *Olymp. IV.* p. 109 sq. e Vrat. A. et Mosc. B. *Olymp. V.* p. 117. e Mosc. B. quod Moschopuli mentionem continere atque etiam in Hafn. esse supra diximus; *Olymp. VI.* p. 128 sq. e Vrat. A. et Mosc. B. *Olymp. VII.* p. 157. ex iisdem; *Olymp. VIII.* p. 187. e Mosc. B. *Olymp. IX.* p. 205 sq. e Vrat. A. et Mosc. B. *Olymp. X.* p. 231 sq. ex iisdem; *Olymp. XI.* p. 237 sq. e Vrat. A. *Olymp. XII.* p. 260 sq. e Vrat. A. Mosc. B. *Olymp. XIII.* p. 266 sq. *Olymp. XIV.* p. 290 sq. ex iisdem utrumque: in quibus omnibus inter se collatis et idem interpolandi studium agnoscimus et formulas Triclinio aliunde nobis cognito familiares. Postremo Triclinium Pythiorum metrica inde a secundo confecisse, ea, quam paullo ante proposuimus, Romanae editionis notula edocemur: quis vero Nemea et Isthmia metricis commentariolis instruxerit, adhuc ignoramus. Certe Triclinii haec non esse quum Romanae illius annotationis auctoritas tum ipsa horum Scholiorum indoles declarat: quod uno exemplo comprobasse sufficiet. Etenim Scholium vetus ad Olymp. X. str. p. 231. primum et alterum versum,

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα

— ⏑ — — — ⏑ ⏑ — ⏑ ⏑ — —

vocat *ἰαμβέλεγον, τῆς τελευταίας εἰς τὴν ἀρχὴν μετατεθείσης*, hoc est, *ubi ultimam syllabam in fine dempseris principioque apposueris, fore iambelegum,*

— — ⏑ — — | — ⏑ ⏑ — ⏑ ⏑ —

idemque fere proditur in veteri ad Olymp. XII. str. p. 259. *Τὸ α' ἰαμβέλεγος, λειπούσης τῆς πρώτης συλλαβῆς ἢ τοῦ τέλους μετακειμένου ἐπὶ τὴν ἀρχήν*, ubi verba *ἢ τοῦ τέλους μετακειμένου ἐπὶ τὴν ἀρχὴν* plane vacua sunt, quod in fine syllaba ad iambelegum conficiendum resecari non potest: ac rursus p. 270. *Τὸ ς' ἰαμβέλεγος, τοῦ τέλους ἐπὶ τὴν*

Digitized by Google

ἀρχὴν μετακειμένου. Haec sane inepta damnat Triclinius ad Olymp. X. str. p. 232. init. *Οἱ δὲ λέγοντες ὡς ἰαμβέλεγοι καὶ ἀμφότερά ἐστι τὰ κῶλα, μετατιθεμένης τῆς τελευταίας τούτων συλλαβῆς ἐν τῇ ἀρχῇ, οὔ μοι δοκοῦσι καλῶς λέγειν. ἐπεὶ μηδ' ἐν ἄλλοις κώλοις τοιοῦτό τι κεκαινοτόμηται*: ad Olymp. XII. str. *α'*. p. 260. *Οἱ δὲ λέγοντες τοῦτο ἰαμβέλεγον, καινοτομοῦντες ἃ οὐκ ἔξεστιν, οὐ καλῶς μοι δοκοῦσι λέγειν*: quibus in locis nota vocem *καινοτομεῖν* Triclinio usitatam, ut patet ex eius ad Olymp. VIII. scholio: item ad Olymp. XII. str. *ς'*. *Ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα.* At prorsus contra, quod Triclinius reiicit, in Nemeorum Isthmiorumque Scholiis frequens est, ut Nem. VIII. ep. *θ'*. IX. str. *ζ'*. *η'*. X. str. *η'*. Isthm. I. str. *γ'*. IV. str. *α'*. V. ep. *β'*. Attamen hoc me male habet, quod semel etiam in Pythiis IX. ep. *ια'*. reperitur *ἰαμβέλεγος μετατεθεικὼς τὴν πρώτην ἐπὶ τὴν τελευταίαν συλλαβὴν*, ut recte Rom. habet pro eo quod recentiores editiones praestant *τὴν τελευταίαν ἐπὶ τὴν πρώτην συλλαβήν*. Sed quum Scholia omnino pessime servata in codicibus sint, facile coniicias Triclinianas notulas in eo carmine laceratas fuisse, eamque partem, in qua haec posita sunt, ab aliena esse manu suppletam.

Huc deducta disputatione possem iam finem dicendo facere, nisi audirem a quibusdam exspectari, ut ad ea, quae contra Pindarica mea a nonnullis dicta sunt, responderem. Sed quosnam illi mihi nominant? Primum, aiunt, acerrimum tuum et implacabilem inimicum atque adversarium. Bona verba quaeso. Neu ceteros dicite, Augustum Matthiae, G. F. Grotefendum, Frid. Thierschium, viros bonos et honestos, quibuscum quamquam mihi lites exortae erant, tamen iis adhuc familiariter utor: et si quid olim contra illos gravius dixi, cur hoc factum esset, ipse Thierschius optime omnium perspexit, qui ollam auri me reperisse, quam custodiendam adversus omnes fortasse paullo fortius censuissem, haud inficete scripsit. Itaque cum uno nunc Hermanno agam, homine et amplissimo et mihi ita favente ut ego ipsi faveo: qui tamen modo eundem se thesaurum dudum invenisse perhibet, modo pro auro carbones inventos decernit.

Digitized by Google

Et de hoc quoque tacere constituissem, quod viri virtutes colo, nisi et tacendo consentire in iis rebus viderer, in quibus maxime dissentio, et Hermannum intelligerem armis pugnare ex sua magis meaque persona petitis quam ex re et ratione. Sed dicat aliquis: quin tu omittis personas? res percense. Quod etsi non nego et recte quodammodo et ad captum gustumque hominum dictum esse; tamen de rebus iam pauca dici posse existimo, quod eo deductae videntur, ut inter nos haud facile conveniri possit: et de illis iudicium unicuique est: de personis quid vere, quid falso dicatur, scire paucorum est hominum. Igitur non hercle animi causa sed ut iniuriam a me defendam, dicturus sum primum quod Romani vocant Latine, quod nos Germanice, sed sine ira et acerbitate, quarum suspicionem procul haberi cupio: deinde breviter et generatim, quod singulas res omnes persequi non huius esse loci videtur. Nam Hermannus, cuius praeclara de metris veterum merita nemo credo magis quam ego praedicat, in eo omnino falli videtur, quod metricae doctrinae fines universos sese emensum esse arbitratur: unde fit, ut praeter sua et suorum discipulorum inventa ad artem metrorum utile quidquam allatum esse neget; suae sibi auctoritatis conscius haud raro dictatoria voce imperet: postremo in fingendo indefessus, ad rationes suas tuendas coniecturas coniecturis cumulet. In quo quâm incredibilis eius confidentia sit, duobus nuper illis iucundis speciminibus eruditione et acumine plenis de deorum et heroum vi et potestate insigniter comprobavit. Idem tamen in eleganti Praefatione Elementorum doctrinae metricae, ut me suspectum redderet, quem cetera doctissimum et studiosissimum inveniendi veri ambigua laude praedicat, naturae quodam fervore festinantiorem me vocat, qui reiectis potius quam refutatis suae doctrinae fundamentis, sive ad sententiam suam cognoscendam non satis mihi otii concedens novam condere metrorum doctrinam aggressus sim, cui materiam solus praebuerit Pindarus, praeclarus ille quidem auctor huius rei, sed multo tamen angustiore in spatio quam scenici poetae versatus. Quod si homo timidus et circumspectus diceret, ferendum

Digitized by Google

ego iudicarem: quid vero censebimus, si Hermannus dicit, quo ego si non festinantiorem, certe fervidiorem neminem novi, qui in pari adversus alios pertinacia ipse suas sententias toties retractavit, ut in eius libris veluti in Euripo Heraclitea illa ὁδὸς ἄνω κάτω expressa esse videatur, in qua nihil firmum constet, nisi occurrente cuius adversaria sententia discordiae illius vi prius defixum sit? Quamquam haud semel dolui, quod quae olim eximie perspexerat, ea posthac nescio quomodo revocat; quo mihi illud pertinere videtur, quod asynartetos ex Pindaro nuperrime exclusos iam in integrum restitutum it. Sed ille si et me et Thierschium eius vitii incusat, quod in ipso potissimum inesse uno ore plerique omnes queruntur, cavere videtur et prospicere, ne quis alius ipso excepto hac festinationis quasi praerogativa fruatur. Neque meus hic mos est, ut in medias res praeceps ruam: sed si quid scribo, soleo omnia curiose pensitare et inter se conferre: quodsi quid tamen erratum fuerit, humani aliquid mihi accidisse fateor. Nec parum otii ad Hermanni rationes noscendas mihi sumpsi: non ego nudius tertius ad illius priores de metris libros accessi, sed ex longo eos tempore diurna nocturnaque manu tractans non potui nec potero in iis aliud quam quod dixi invenire. At ex sola Pindarica materia artem metrorum condere conatus sum. Nempe ego de Pindari metris scripsi: itaque plurimus de Pindaro sermo est: ceterum quas de universa metrica rationes excogitavi, eae partim ex Pindaro partim ex ceteris poetis, sed maxime ex doctrina veterum rhythmica accedentibus philosophis quibusdam et mathematicis demonstrationibus cum disciplina harmonica coniunctis petitae sunt; ex quibus ipsis si Pindarum perfectissimum rhythmicum esse collegi, idem ego scenicos poetas in ampliore campo versatos esse haud aegre concedo. Neque vero quod illi latius exspatiati sunt, ex illis metrica praecepta melius cognoscuntur: sed quo se quis poeta egregius artioribus limitibus continuit, eo magis in illo severiores artis leges conspici constat. Quod quamquam in libris de metris Pindari ita exposui, ut qui eos sine praecepta opinione legerit, aliam inde sententiam

Digitized by Google

nequeat elicere: tamen ea de re et deinceps de aliis ab Hermanno prolatis pauca addam; non quo Hermannum edoceam, sed ut sententiam meam aperiam. Nam a quo ego tot acute reperta grato animo didici, illum a me iam quidquam edoceri posse dudum despero, postquam eum in sua caesurae definitione, in creticorum et paeonicorum numerorum discrimine plane arbitrario, in parapaeonibus ceterisque longioribus numeris, in obsoleta carminis Alcaici mensura aliisque placitis, quae satis explosa censeo, persistere nullamque ad eum ex meis studiis utilitatem redundasse intelligo, quam quod in Elementa doctrinae metricae iam multas res translatas gaudemus, de quibus ante meos commentarios non cogitatum erat.

Initium peto a paracataloge. Eam quum ego Burettum secutus, cuius Gallicam levitatem Hermannus incusat, graviorem aliquam tum numeri tum harmoniae turbationem vocassem, iam ipse ostendit esse recitativum, quem vocant, cantum, iterumque meam et festinationem et cupiditatem crepat in ea quidem re, in qua minime oportebat. Nam etsi, quod laetor, quid paracataloge esset, rectius quam ego explicuit, qui de ea re nonnisi in transcursu monuerim: tamen quod magis laetor, ita hoc perfecit, ut quidquid fere quoque loco de paracataloge dixi, id praeter mutatam vocabuli definitionem iam ipsa hac Hermanni disputatione egregie firmatum sit. Quippe in recitativo cantu numeros et solutiores et turbatiores esse atque omnino severiorem rhythmopoeiam non observari, nemo est qui ignoret: unde *διὰ τὴν ἀνωμαλίαν* paracatalogen tragoediae propriam Aristotelicus Problematum scriptor tradit; quamquam ab Archilocho ea inventa perhibetur, cuius nomine a me ipso in medium allato tantum abest ut perturber, ut nihilo magis, quod Hermannus contendit, aut Pindaricis epiniciis aut priscis dithyrambis aptatam fuisse paracatalogen credam, quoniam Archilochus in diverso plane genere carminis versatus est a chori ratione prorsus alieno. Immo quaero, num chori cantum recitativum fuisse quisquam possit in animum inducere: quem in melicis tantum locum habere non est quod demonstremus: dithyrambique ipsius, antiquioris qui-

Digitized by Google

dem, non recentioris, quem scenicae licentiae plenum etiam paracataloge in ipsis iambicis usum esse ex Plutarcho (Music. c. 28.) probabiliter monstrari potest: dithyrambi inquam simplicis illius ea indoles fuit, ut choricae, non melicae adnumerandus poesi sit. Quid vero quod tragicis exprobrare paracatalogen dicor? Nae ista immanis stultitia foret, si quod arti et generi poesis convenit, id ego tragicis vitio darem. Sed mea ratio ita comparata est, non ut in externis quibusdam et quodammodo mechanicis numeri legibus consistam, sed ut Graecis, harum rerum longe sapientissimis magistris, quorum profundam scientiam ab Hermanno contemptam et novitiis placitis posthabitam video, obsecutus, numerorum vim et moralem indolem cognoscam, perfectiores numeros ab imperfectis distinguam, quidque pro re nata in quoque musices et poesis genere audere liceat, quantum possum inveniam. Nam ut consonantiae aliae perfectiores, aliae minus perfectae sunt, ita numeros non posse aeque omnes absolutos esse, qui utrorumque easdem a natura leges expressas viderit, non opinor negabit: praeterea ut in melopoeia dissonantia ipsa late patet, ita a numeris in promptu est non omnem posse arrhythmiam excludi. Iam vero alia poesis genera tranquilliora, sedatiora, simpliciora, puriora sunt; alia in affectibus hominum et describendis et movendis ut plurimum versantur, motusque animorum hinc inde fluctuantes liberius sequuntur, et quasi in alto iactatas mortalium mentes repraesentant: unde illa aequabilibus, haec discedentibus subinde a strictissima et numeri et concentus norma harmoniae et rhythmi generibus suo iure utuntur. Quodsi quaesiveris, utri poesis parti Pindarica, utri tragica accensenda sit, prudentum neminem mihi adversarium fore existimo, si priori Pindaricam, huic tragicam addiderim. Neque hoc ignorarunt veteres; immo Plutarchus, quamquam is paracatalogen non reprehendit, tamen quod veteres philosophos et maxime Platonem, sapientem plane divinum secutus non apices et syllabas, nec sonos et consonantias in rhythmica melicaque doctrina unice spectavit, sed sensus et mores illis rebus expressos maxime curavit, theatrorum

Digitized by Google

musicen disertis verbis vituperat, de musica c. 27. *Ἐπὶ μέντοι τῶν ἔτι ἀρχαιοτέρων οὐδ' εἰδέναι φασὶ τοὺς Ἕλληνας τὴν θεατρικὴν μοῦσαν· ὅλην δ' αὐτῆς τὴν ἐπιστήμην πρός τε θεῶν τιμὴν καὶ τὴν τῶν νέων παίδευσιν παραλαμβάνεσθαι, μηδὲ τοπαράπαν ἤδη θεάτρου παρὰ τοῖς ἀνδράσιν ἐκείνοις κατεσκευασμένου, ἀλλ' ἔτι τῆς μουσικῆς ἐν τοῖς ἱεροῖς ἀναστρεφομένης, ἐν οἷς τιμήν τε τοῦ θείου διὰ ταύτης ἐποιοῦντο καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἐπαίνους· εἰκὸς δ' εἶναι, ὅτι τὸ θέατρον ὕστερον καὶ τὸ θεωρεῖν πολὺ πρότερον ἀπὸ τοῦ θεοῦ τὴν προσηγορίαν ἔλαβεν. ἐπὶ μέντοι τῶν καθ' ἡμᾶς χρόνων τοσοῦτον ἐπιδέδωκε τὸ τῆς διαφορᾶς εἶδος, ὥστε τοῦ μὲν παιδευτικοῦ τρόπου μηδεμίαν μνείαν μηδ' ἀντίληψιν εἶναι, πάντας δὲ τοὺς μουσικῆς ἁπτομένους πρὸς τὴν θεατρικὴν προσκεχωρηκέναι μοῦσαν.* Cf. c. 15. Haec vero adscripsi, non quod Plutarchum in Aeschylum et Sophoclem et ceteros illius aetatis invehi credam, quum potius suam maxime aetatem spectet, qua musica magis degeneraverat: neque ipse invectus sum: sed ut appareat, non me primum liberiorem theatralem apud Graecos musicen dixisse. Quid quod hodieque inter sacram et cubicularam et scenicam musicen similiter distinguitur? Hinc igitur, cur Pindarus perfectae, tragici imperfectae rhythmopoeiae exempla mihi habeantur, ita potest perspici, ut neque cavillationi neque insanae arrogantiae crimini locus esse relictus videatur. Sed cavillando in doctrinis omnino non multum promoveris: neque Ioannis Pauli, scriptoris sane facetissimi iocularibus dictis, ad quae tanquam ad nescio quae recondita paucisque lecta remittimur, pusillos istos versiculos ab interitu revocaveris, sed indoctum tantum vulgus, quod tamen Elementa doctrinae metricae ne inspicit quidem, aut potius aliquem litterarium scurram ad risum invitaveris. Nimirum haec sunt illa *χαριέντων σκώμματα*, quibus ego, si magnis rebus parvas componere licet, non magis quam Plato magister commoveor. Quid quod, si modo eadem ratione agere placeret, similiter cavillari possem subtilia illa de vocabulorum divisione praecepta, vel quae de versus definitione ex chartae latitudine et spiritus defectione petenda disputantur:

Digitized by Google

quae sane dum lego, vox prae miratione faucibus haesit; ut si eo mihi tempore versus faciendi fuissent, minutissimi haud dubie excidissent, quos alias, quod spiritu gaudeo nonnimis brevi, prolaturus fueram paullo longiores.

Iam pauca addam de iis, quae de rhythmica nonnullorum metrorum mensura Hermannus disputavit. Qua in re me consentientem habet, ubi metricen et rhythmicen eatenus differre dicit, ut illa sola versuum compositione spectata, quoniam in sermone duae tantum mensurae observantur, in solis longarum et brevium varietatibus consistat, haec vero, quippe poesi, cantui, instrumentorum sonis, adeoque saltationi communis quum maiorem mensurarum habeat varietatem, tum etiam pedibus aliis utatur: me vero si rhythmicam doctrinam nonnisi obiter attigisse, harmonicam diligentius pertractasse iudicat, equidem utriusque praecepta eousque a me deducta contendo, quousque deduci ad metrorum cognitionem utile visum est atque etiamnunc videtur. Quodsi quis rhythmica doctrina sane aliquanto obscuriore etiam fusius explananda arti metrorum novam accenderit lucem, ei ego gratias habebo: modo ne in rebus, ubi coniecturis facile supersedeas, hariolando nova praecepta procudat, aut talia excogitet, quae cum tradita a veteribus ratione conciliari nullo modo queant. Neque tamen rhythmicen ab expressis sermone numerorum mensuris multum discessisse vel inde intelligitur, quod musicae notae solam melodiam describebant, rhythmicaeque siglae a veteribus omnino nullae inventae sunt: unde iure colligas, qui rhythmi quibus metris aptandi essent, a quovis musices perito satis aestimari ex indole carminis potuisse. Deinde rhythmici numeri tales sunt, ut quibus locis in poesi usurpati sint, plane discerni nequeat: quapropter in metris Pindari explicandis ab eorum me usu prorsus abstinui, ut lib. II. cap. I. dixi: quamquam (quidni enim fatear?) de trochaeo semanto eadem mihi quae posthac Hermanno in mentem venerant: sed premenda ista iudicabam, quod hac non tam coniectura quam hariolatione minime opus esse videbam, immo numerum nimio onere

Digitized by Google

primum et mox exili levitate incedere prorsus contra Dorii modi aequabilitatem censebam, si basis spondiaca in hoc versu, *Πείθονται δ' ἀοιδοὶ ἁάμασιν*, quam ego lib. III. cap. XII. trochaicae dipodiae aequavi, in trochaei semanti immensam longitudinem porrigeretur, ceterique deinceps pedes simplici syllabarum ratione canerentur. Neve mihi his in rebus quisquam ad aurium iudicium provocet. Nam praeterquam quod utraque rhythmi adornatio nobis per se haud inficeta videtur, quantum inter nostrum Graecorumque sensum discrimen sit, de eo licet ex hac una re coniecturam facere, quod nostris auribus nihil gratius est quam versuum aequabiliter cadentium in fine recurrentes iidem soni sive homoeoteleuta, quibus Graecorum aures vehementer perstringebantur. Sed Hermannus a rhythmica metrorum mensura progressus, ut olim paeonico numero, ita nuperrime epitrito quem vocat Dorio veteres poetas et maxime Pindarum ditavit: de quo tantum dicam, ut intelligatur, cur mihi nova haec doctrina improbanda esse videatur. Nam ut trochaeos a Doriis carminibus exulare iuberet, et iis epitritos nescio quos substitueret, Dorii numeri gravitate adductus est. Mihi vero non solum dipodiae trochaicae in altero pede spondeum habentis severitate affatim prospectum Doriensium gravitati videtur, in genere praesertim encomiastico, quod nonnimis austeram, sed mediam quandam et melopoeiam et rhythmopoeiam deposcebat; quemadmodum etiam Partheniis dulciorem et hilariorem cantum postulantibus tamen Doria harmonia attemperata est (Plutarch. de music. c. 17.): verum etiam non solam in Doriis numeris gravitatem spectandam arbitror, sed gravitati iunctam aequalitatem et concinnitatem. Haec vero quum a simplicitate rationum numeralium pendeat, maxime concinnum est genus par, minus concinnum duplex, multo minus sesquialterum, minime omnium sesquitertium sive epitritum: prorsus ut in consonantiis. Iam quod ne sesquialterum quidem, hoc est creticum sive paeonicum, in Doriis numeris frequens est, inde certa ratione colligitur, epitritum numerum non esse dipodiarum trochaicarum, quae in Doriis carminibus longe frequentissimae sunt: quod-

Digitized by Google

que creticum sive paeonicum genus a Doriis numeris non exclusum reperitur, id qnidem aperte docet trochaeos multo potuisse minus excludi, si modo eorum levitas ullo artificio temperari ad Doriae harmoniae dignitatem potuerit. Accedit quod epitritum genus tam mature apud Graecos oblitteratum est, ut ipse Plato, qui tamen Doriam harmoniam maxime omnium probabat, nonnisi tria numeri genera noverit, de quo una cum Aristoxeno et recentibus musices auctoribus Graecis monui Metr. Pind. lib. I, p. 24. Igitur apage Dorios epitritos. At operam in ista doctrina convincenda lusimus: Proteum facilius continueris. Scilicet haec difficultas est, quae expediri nequit: ille epitritus ne epitritus quidem est. *Quodsi ne epitritus quidem est*, inquit, *quid tandem erit aliud? Laudabo qui ad hoc ita responderit, ut locus dubitationi non relinquatur: ego satis habebo, distinctius constituenda quaestione etiam augere dubitandi materiam.* Verum quis tandem, amabo, hanc laudem mereatur, et quo pacto? Mihi crede, merui: qui istum intricatissimum nodum non arte, sed ense dissolvo. Postremo ut Dorios istos epitritos in Pindarum inferret, multis locis trochaeum in secunda sede positum aut novis commentis defendere aut eiicere et pro eo spondeum immittere coactus est: quum tamen apertissimum sit spondeos in dubiis locis plerisque Moschopulo et Triclinio aliisque interpolatoribus deberi: qua de re uberius a me explicita verbum non addo. Nempe isto modo meo iudicio ii agunt, qui veteres poetas ad praeceptas opiniones conformant: sed si quis parapaeonicos ceterosque longiores numeros expellit, non hoc ex praecepta opinione facit, ut Hermannum dicere video, sed ideo hoc facit, quod ne de rationibus dicam, de quibus inter nos lis est, neque veterum neque recentiorum quisquam quidquam de talibus numeris tradidit, eosque apud Graecos numquam exstitisse historia clamat. Nam quod Hermannus ad Klopstockium provocat, id satis mirari nequeo: quum ille poeta cetera egregius in carmine ab Hermanno allato metra tantum sive longarum breviumque systemata, non rhythmos offerat suis arsibus thesibusque distinctos; quinam vero

Digitized by Google

rhythmus illis metris pro arbitrio confictis inesse debeat, id musici sit diiudicare.

Sed age videamus, quid contra eam, quam ipse proposui, trochaicae dipodiae gravis in Doriis carminibus frequentissimae rationem dictum sit. Etenim eius mihi haec mensura videtur: 2, 1, $1\frac{5}{7}$, $1\frac{2}{7}$. At huic rite exsequendae ipse Apollo fertur impar esse. Nempe simile quiddam apud nos in triolis aliisque nonnullis musicorum numerorum formis fieri, idque a veteribus, qui in rhythmis difficillimis longe quam nos exercitatiores fuerunt, etiam facilius peragi potuisse iamdudum surdis auribus clamo: sed etiam plura huiusmodi ab iis, qui ut aiunt, *emphatice canunt*, hodieque auderi neque hac in re ullis praeceptis opus esse, quum ipsa res et sensus eo deducat, affirmavit mihi vir et veteris et nostrae musicae peritissimus, neque tamen is hodiernorum musicorum praeceptis, ut ceteri plurimi, plane addictus, P. Groenlandus Hafniensis, ad quem ego libenter provoco, quod eius apud musicos certa fama est, quorum hac in re iudicium mihi quam grammaticorum magis probatur. Itaque videat Hermannus, quantus artifex suus Apollo sit. Idem tamen pergit: *At quid fiet praeceptis veterum rhythmicorum? Nam quum* $1\frac{5}{7}$ *et* $1\frac{2}{7}$ *hanc rationem habeant, quam* 4 *et* 3, *triplicis et quadruplicis mensurae consociatio usitatissima foret, quam tamen veteres vel plane reiectam vel raro certe usurpatam perhibent.* Quasi vero non ipse haec docuerim: sed noli benevolum lectorem deludere, vir acutissime. Quippe ab rationali numero sesquitertiam rationem veteres rhythmici excludunt, non ab irrationali: immo in choreo irrationali, quem in gravi dipodia trochaica reperire mihi visus sum, rationem sesquitertiam (4 : 3) agnosci, certa via demonstravi Metr. Pind. lib. I. cap. VII. neque id Hermannus negat. *Deinde si dicunt veteres*, inquit, *posteriorem chorei irrationalis syllabam brevi longiorem esse, quis tamen eorum dixit, priorem syllabam breviorem esse longa? Denique quis dixit, irrationalem syllabam cum irrationali consociari, quae ratio aperte exclusa est et ab Aristoxeno in Fr. rh. p.* 298. *et a Bacchio p.* 23.

Digitized by Google

Sane ista omnia nemo dixit, ne ego quidem; tamen praevideram, probe memini, haec aliquem contra me dicturum: verum nolebam occurrere dubitationi, quae in mentem venire nonnisi ei posse videretur, qui rationes meas assiduo labore compositas non ordine deinceps cognosset, sed desultorio studio festinans digitis librum evolvisset. Nunc quomodo illa a me proposita sint, in memoriam revoco. Nam choreum irrationalem constat hanc rationem tenuisse, 4 : 3, sive $2 : 1\frac{1}{2}$: in qua quod longa praecedens duas moras habet, subsequens autem syllaba unam cum semisse, haec ipsa irrationalis dicta est. Iam si duo chorei irrationales consociantur, mensura erit haec: $2 : 1\frac{1}{2}$, $2 : 1\frac{1}{2}$. Sed in trochaica gravi dipodia rationali trochaeo irrationalem choreum additum dico, quorum iam haec ratio videbitur: $2 : 1$, $2 : 1\frac{1}{2}$: in qua ratione iam tanta est pedum inaequalitas, ut ea neque cani neque saltari recte queat, quia rhythmi prima lex aequalis pedum est progressio. Igitur in hac consociatione mistas varias longas arbitror, quarum per se et utraque longa et neutra irrationalis est: in rationali trochaeo ubi longa est binarum morarum 2, chorei irrationalis binis moris aliquid detrahendum est, ut singulae morae sint mensurae $\frac{6}{7}$: ad quam per se rationalem syllabam irrationali iam ratione comparatur altera unius morae et semissis syllaba. Nam omnis irrationalium syllabarum condicio ex sola arsium thesiumque ratione iudicatur, quae in dipodia illa duplex est. Primum enim alter pes alteri debet perfecte aequalis esse, ut alter arsin, alter thesin, quam veteres dixere, dactylicam repraesentet: quod ut in dipodia levi sic constitutis numeris fit, $2 : 1$, $2 : 1$, ita in gravi hos numeros postulat, $2 : 1$, $1\frac{5}{7} : 1\frac{2}{7}$, aut ne te numerus $1\frac{5}{7}$ chorei irrationalis longae tributus perturbet, quod plane idem est, $2\frac{1}{3} : 1\frac{1}{6}$, $2 : 1\frac{1}{2}$. In qua arsium thesiumque comparatione quum ratio sit aequalis $1 : 1$, nullus in ea irrationali mensurae locus datus intelligitur. Deinde in utroque pede syllabae ita constituendae sunt, ut in altero ratio trochaei rationalis, in altero chorei irrationalis conspiciatur: quae res in priori numeris rationalibus $2 : 1$ conficitur, in posteriori irrationali ratione $2 : 1\frac{1}{2}$.

Digitized by Google

Iam quid inde colligitur? Nempe id, si pes pedi comparetur, rationalem esse rationem; si secundi pedis posterior syllaba priori comparetur, illam esse irrationalem. Sed chorei irrationalis syllabis numeri $1\frac{5}{7}$ et $1\frac{2}{7}$ tantum eatenus conveniunt, quatenus uterque pes comparatur: qua in comparatione quum irrationalis mensura omnino non spectetur, inde aperte conspicitur, ob illos numeros has syllabas non irrationales esse, sed ideo tantum alteram chorei irrationalis syllabam irrationalem censeri, quod prior duas habet moras quantaslibet, haec unam et semissem. Dixi quantaslibet: nam si moram vulgari minorem $\frac{6}{7}$ posueris, prior syllaba erit $1\frac{5}{7}$, altera $1\frac{2}{7}$: sin moram vulgarem 1 sumpseris, mensura chorei irrationalis haec erit, $2 : 1\frac{1}{2}$, ac tum in comparatione utriusque pedis hae mensurae inerunt, quas supra proposui: $2\frac{1}{3} : 1\frac{1}{6}$, $2 : 1\frac{1}{2}$; neque tamen ideo trochaeus levis, qui in priori loco positus est, irrationalem mensuram habet, sed ratio est rationalis duarum et unius morae $2 : 1$. Atque ita me rem considerasse vel ex dactylici et trochaici numeri comparatione iudices, in qua ubi huius metri,

— ⏑ ⏑ — ⏑ ⏑ — — — ⏑ — ⏑

has rationes pono,

$$3 : 1\tfrac{1}{2} + 1\tfrac{1}{2},\ 3 : 1\tfrac{1}{2} + 1\tfrac{1}{2},\ 3 : 3;\ 2 : 1,\ 2 : 1$$

quis ideo me putabit dactylorum theses irrationales haberi velle? Immo universa haec numerorum ratio, qua longae et brevi varia temporum spatia tribuuntur, ad mutationem ductus spectat, qualem ex Aristide Metr. Pind. p. 46. definivi: quum irrationalis et rationalis mensura ad arsium et thesium in uno eodemque pede numeros pertineat. Quapropter, ut iam finem huic disputationi faciam, res omnis eo redit, quae primi libri de metris Pindari extremo capite dixi, ea num vera sint an falsa: quae etsi coniectura nituntur, tamen neque ex veteribus refutari posse videntur, nec commodiorem viam novi, qua metrorum veterum inaequali mensurae conciliari aequalitas prorsus necessaria possit. Postremo Hermannus dipodiam, quam dico, gravem trochaicam neminem aliquo venustatis sensu pollentem aliter quam prioris pedis initio minorem, alterius maiorem ha-

Digitized by Google

bente percussionem recitaturum putat, ipso sensu illuc inclinante, ut pedem qui posterior est, spondeum quam irrationalem choreum malit esse. Idem fere sensit Apelius, qui tecto nomine irridetur: et me ipsum hoc sensisse fateor, sed sensum aut rationibus firmandum esse aut cedere rationi debere existimabam et adhuc existimo. Iam vero si quaerimus, qualis ille sensus venustatis sit, satis intelligitur, non aliter illam dipodiam ab hominibus venustis, quorum aures ad hodiernae musices rationem comparatae sunt, recitari quam ita, ut alterius pedis singulae longae in unius trochaei mensuram extendantur: ♩ ♪ ♩. ♩. aut ita, ut spondeus ille priori trochaeo aequetur his notis: ♩. ♪ ♩ ♩ in qua mensura Vossio et Zeltero, hominibus haud invenustis probata simul trochaei longa maior est quam spondei maioremque vim habet, similiter atque in mea adornatione: quae quum fieri Hermannus nolit, non ille debet ad sensum venustatis provocare, cui tantum non tribuit, ut quod is postulare videatur, verum iudicet. At priorem istam demensionem a mea longius discedentem, prorsus assentior Groenlando, esse vulgarium citharoedorum cantilenam: qui vir ne illis rationibus de recto me demoveri paterer, benigne hortatus est: nam bene formatas aures meam trochaicae dipodiae mensuram magis probaturas. Idem vero cui rei Hermanni Apollo impar deprehenditur, eam rem et universam rhythmi adornationem a me propositam facili opera perfici posse, non solum privatim, sed publice etiam in Ephemeridibus musicis Lipsiensibus a. MDCCCXVII. num. 23. 24. ita declaravit, ut simul ostenderet, sic institutis numeris etiam melodias, quae supersunt, veteres optime percipi et cani posse. Ei igitur, qui etsi grammaticus non est, tamen antiquarum rerum studiosior reperitur quam ipsi grammatici, quorum vix unus et alter, ut Frid. Thierschius et Lud. Dissenius, commentarios meos et studiose legisse et intellexisse videntur, eas quas debeo ago gratias: quodque a me petiit, ut Pythii primi ultimi versus numeros a se melodia instructos ad meam normam emendarem, id in fine huius praefationis facio. Sunt autem ex mea sententia hi numeri.

Digitized by Google



Idem postea aliter adornatum carmen transmisit, in quo ultimam trochaicam dipodiam in longiorem mensuram extendit: quod etsi non necessarium videtur, tamen totam dispositionem sine ulla mutatione typis mandavi.



Digitized by Google

τᾶς ἀ - κού - ει μὲν βά - σις, ἀ - γλα - ῖ - ας ἀρ - χά,

(Vs. 3.) πεί - θον - ται δ' ἀ - οι - δοὶ σά - μα - σιν, (Vs. 4.) ἀ -

γη - σι - χό - ρων ὁ - πό - ταν προ - οι - μί - ων ἀμ - βο - λὰς τεύ -

χης ἐ - λε - λι - ζο - μέ - να.

Digitized by Google

(Vs. 5.) καὶ τὸν αἰ-χμα-τὰν κε-ραυ-νὸν σβεν-νύ-εις (Vs. 6.) ἀ-ε-νά-

ου πυ-ρός. εὖ - - δει δ' ἀ-νὰ σκά-πτω Δι-ὸς

αἰ-ε-τὸς, ὡ-κεῖ-αν πτέ-ρυγ' ἀμ-φο-τέ-ρω -

θεν χα-λά-ξαις.

Scr. Berolini d. X. m. Novembr. a. MDCCCXVIII.

Digitized by Google

ΣΧΟΛΙΑ

ΕΙΣ

ΠΙΝΔΑΡΟΥ ΕΠΙΝΙΚΙΑ.

Digitized by Google

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΠΙΝΔΑΡΟΥ ΕΠΙΝΙΚΙΑ.

NOTATA DE AUCTORIBUS SCHOLIORUM.

Scholiis veteribus in Rom. praefigitur: *Ἐξήγησις παλαιὰ πάνυ ὠφέλιμος.* In calce sunt: *Σχόλια νεωτέρων πάνυ καὶ αὐτὰ ὠφέλιμα, ὡς ἐξ αὐτῶν ἐστι δῆλον, εἰς τὰ Πινδάρου Ὀλύμπια, ἢ κατά τινας Δημητρίου Τρικλινίου.* His praefixum: *Οἱ νομίσαντες τὰ σχόλια ταῦτα Δημητρίου εἶναι τοῦ Τρικλινίου, τούτου ἕνεκα οὕτως ὑπέλαβον. εὑρέθη γὰρ ἔν τινι τῶν παρ' ἡμῖν ἀντιγράφων ἐπισημείωσις οὕτω λέγουσα· Ἰστέον ὅτι τὰ γραφέντα περὶ τῶν κώλων ἐν ἀρχαῖς πάντων τῶν Ὀλυμπίων ἐπινικίων καὶ τοῦ πρώτου μόνου τῶν Πυθίων παλαιά ἐστι, διωρθώθη δὲ παρὰ τοῦ ἡμετέρου σοφιστοῦ ἤτοι μυσταγωγοῦ κυροῦ Δημητρίου τοῦ Τρικλινίου. τὰ δὲ λοιπὰ τῶν Πυθίων ἐμετρήθη παρ' αὐτοῦ, πολλῶν τινων τῶν καθ' ἡμᾶς σοφῶν εἰς τοῦτο αὐτὸν προτρεψάντων. καὶ ὅσα δὲ ἐν τῇ βίβλῳ ἐγράφη σχόλια* [1]) *σημειώσεις τινὰς ἔχοντα ἐν ταῖς τῶν λέξεων ἐναλλαγαῖς, ἃ καὶ σημεῖα τὰ διὰ μέλανος κεφάλαια ἔχουσι,* [2]) *καὶ τἄλλα τὰ κατ' ἄλλον τρόπον γραφέντα, καὶ ταῦτα τοῦ αὐτοῦ ἐστιν.* [3]) Ultima sic in codice Matritensi: *ἃ καὶ σημεῖον ἐκτὸς τὸ αὐτοῦ ἔχουσιν ὄνομα, καὶ τἄλλα τὰ κατ' ἄλλον τρόπον γραφέντα, καὶ ταῦτα τοῦ αὐτοῦ ἐστιν.* In Vratisl. C. Mosc. B. haec Scholiis praemittuntur: *Τοῦ σοφωτάτου κυρίου Θωμᾶ τοῦ Μαγίστρου καὶ Μοσχοπούλου Κρητὸς Μανουὴλ σχόλια. ὅτι ἔνθα ἐστὶ κατ' ἀρχὰς σταυρὸς, εἰσὶ τοῦ Μοσχοπούλου.* [4]) In Matritensi est: *Ἐξηγήσεις εἰς τὰ Ὀλύμπια τοῦ Πινδάρου· ὧν αἱ μὲν ἔχουσαι τὸ ἐρυθρὸν κεφάλαιόν εἰσι Θωμᾶ τοῦ Μαγίστρου, αἱ δὲ τὸ μέλαν Μανουήλου τοῖ Μοσχοπούλου.*

1) Vrat. C. *σχήματα.* 2) Rom. *σημεῖον*, Vrat. C. *σημεῖα;* idem cum Mosc. B. *τὸ δ. μ. κεφάλαιον.* 3) In cod. Matritensi ap. Iriart. Catal. T. I. p. 446. eadem leguntur, initio hoc: *ἔτι τὰ γραφέντα περὶ τῶν μέτρων ἐν ἀρχαῖς* etc. deinde habet *τοῦ σοφωτάτου καὶ λογιωτάτου Δημητρίου τοῦ Τρικλ.* In fine est, quod supra edidi. Cf. eundem p. 509. 4) In Vratisl. C. desunt verba *ὅτι ἔνθα ἐστί.* Ego utriusque codicis scripturam ex schedis Gerhardi repraesento: olim ex Heynii lectione Moscoviensis verba minus recte edidisse mihi videor. V. Praef. T. I. p. XI.

Digitized by Google

ΠΙΝΔΑΡΟΥ ΓΕΝΟΣ

διορθωθὲν [1]) παρὰ τοῦ σοφωτάτου κυροῦ Θωμᾶ τοῦ Μαγίστρου.

Ex Aldina et Romana.

Πίνδαρος, τὸ μὲν γένος Θηβαῖος, υἱὸς Δαϊφάντου κατὰ τοὺς ἀληθεστέρους· οἱ δὲ Σκοπελίνου φασίν· οἱ δὲ λέγουσι τὸν αὐτὸν Δαΐφαντον καὶ Σκοπελῖνον· οἱ δὲ Παγωνίδου [2]) καὶ Μυρτοῦς, ἀπὸ κώμης Κυνοκεφαλῶν. [3]) ἡ δὲ Μυρτὼ ἐγαμήθη Σκοπελίνῳ τῷ αὐλητῇ, ὃς τὴν αὐλητικὴν διδάσκων τὸν Πίνδαρον, ἐπεὶ εἶδε μείζονος ἕξεως ὄντα, παρέδωκε Λάσῳ τῷ Ἑρμιονεῖ μελοποιῷ, παρ' ᾧ τὴν λυρικὴν ἐπαιδεύθη. γέγονε δὲ κατὰ τοὺς χρόνους Αἰσχύλου, καὶ συγγεγένηται αὐτῷ, καὶ τέθνηκεν ὅτε καὶ τὰ Περσικὰ ἤκμαζεν. [4]) ἔσχε δὲ θυγατέρας δύο, Πολύμητιν καὶ Πρωτομάχην. κατῴκει δὲ τὰς Θήβας, πλησίον τοῦ ἱεροῦ τῆς μητρὸς τῶν θεῶν Ῥέας τὴν οἰκίαν ἔχων. [5]) ἐτίμα δὲ τὴν θεὸν σφόδρα, ὧν εὐσεβέστατος, καὶ τὸν Πᾶνα, καὶ τὸν Ἀπόλλωνα, εἰς ὃν καὶ πλεῖστα γέγραφε. νεώτερος δὲ ἦν Σιμωνίδου, πρεσβύτερος δὲ Βακχυλίδου. κατὰ δὲ τὴν Ξέρξου [6]) κατάβασιν ἤκμαζε τὴν ἡλικίαν. ἐτιμήθη δὲ σφόδρα ὑπὸ πάντων τῶν Ἑλλήνων διὰ τὸ ὑπὸ τοῦ Ἀπόλλωνος οὕτω φιλεῖσθαι, ὡς καὶ μερίδα τῶν προσφερομένων τῷ θεῷ λαμβάνειν, καὶ τὸν ἱερέα βοᾶν ἐν ταῖς θυσίαις Πίνδαρον ἐπὶ τὸ δεῖπνον τοῦ θεοῦ. λόγος καὶ τὸν Πᾶνα [7]) ὀρχήσασθαί ποτε τὸν αὐτοῦ παιᾶνα καὶ χαίρειν ᾄδοντα τοῦτον ἀεὶ ἐν τοῖς ὄρεσι. φασὶ δὲ καὶ ὅτι ποτὲ Λακεδαιμόνιοι Βοιωτοὺς ἐμπρήσαντες καὶ Θήβας, ἀπέσχοντο μόνης τῆς οἰκίας αὐτοῦ, θεασάμενοι ἐπιγεγραμμένον τόνδε τὸν στίχον· Πινδάρου τοῦ μουσοποιοῦ τὰν στέγαν μὴ καίετε. ὅπερ καὶ Ἀλέξανδρον μετὰ ταῦτά φασι πεποιηκέναι. καὶ γὰρ οὗτος ἐμπρήσας τὰς Θήβας μόνης τῆς ἐκείνου οἰκίας ἐφείσατο. ἐχθρῶς δὲ διακειμένων τῶν Ἀθηναίων πρὸς τοὺς Θηβαίους, ἐπεὶ εἶπεν ἐν τοῖς ποιήμασιν, Ὦ ταλαίπωροι Θῆβαι, καὶ, Μεγαλοπόλιες Ἀθᾶναι, [8]) ἐζημίωσαν αὐτὸν χρήμασιν οἱ Θηβαῖοι, ἅπερ ὑπὲρ ἐκείνου ἔτισαν Ἀθηναῖοι. γέγραπται δὲ αὐτῷ ἑπτακαίδεκα βιβλία, ὧν τέσσαρα ἡ λεγομένη Περίοδος, Ὀλυμπιονῖκαι, Πυθιονῖκαι, Νεμεονῖκαι, Ἰσθμιονῖκαι. [9])

1) Vratisl. C. Hafn. Mosc. B. Matrit. διωρθώθη δὲ παρὰ τοῦ σοφωτάτου Μαγίστρου. Huiusmodi varietates in Aldina et manuscriptis plurimae sunt, quas commemorare putidum. 2) Vrat. C. Mosc. B. Παγωνίδα. Verum nomen est Παγώνδας, ut habetur in Vita Vratisl. A. Sic Χαρώνδας, Ἐπαμεινώνδας etc. 3) Edebatur Κυνοκεφάλων aut Κυνοκεφαλῶν. Mosc. B. Vrat. C. Κυνοκεφαλῆς καλουμένης. Correxi ut est in geographis et rerum scriptoribus. Steph. Byz. v. Κυνοκεφαλαί: ἣν δὲ καὶ χωρίον Θηβῶν, ἀφ' οὗ Πίνδαρος Δαϊφάντου παῖς Βοιώτιος ἐκ Κυνοκεφαλῶν, μελῶν ποιητής. Mox Gott. ἐκοιμήθη Σκοπ. 4) Heynius: „Hoc temporum rationi repugnat. At ἤκμαζεν ipse κατὰ τὰ Περσικά, ut vel ex seqq. intelligas." Mihi vero verba καὶ τέθνηκεν videntur delenda. Vrat. C. D. Gott. Mosc. B. ὅτε καὶ, unde καὶ addidi. 5) Pyth. III, 77 sqq. nostrae ed. 6) Olim τοῦ Ξ. Articulum omittunt codd. 7) V. fragm. hymn. εἰς Πᾶνα. Pro verbis τοῦτον ἀ. ἐν τ. ὄρεσι Vrat. D. Gott. περὶ τοῦ Πέλοπος. 8) Sic Vrat. C. Gott. Mosc. B. Vulgo τοῖς αὐτοῦ π. omissis verbis ὦ ταλαίπωροι Θῆβαι, καί. Gott. in marg. Ἄλλως Αἰσχίνης ἐν ἐπιστολῇ Ἐπὶ δοκῇ σοι. V. Aeschinis, quae fertur, epist. IV. p. 667. 669. Μεγαλοπόλιες Ἀθᾶναι Pyth. VIII, 1. Paullo supra vulgo ἐχθρωδῶς: ἐχθρῶς Vrat. C. D. Gott. 9) Vulgo τάδε, τὰ Ὀλύμπια φημί, τὰ Πύθια, τὰ Νέμεα καὶ τὰ Ἴσθμια. Quod edidi est ex Vratisl. C. D. nisi quod in iis Ἰσθμιονίκαι, Νεμεονίκαι. Gott. Ὀλυμπιονίκας, Πυθιονίκας etc.

Digitized by Google

Ἔστι δὲ τὰ Ὀλύμπια ἀγὼν εἰς τὸν Δία, τὰ Πύθια ἀγὼν εἰς τὸν Ἀπόλλωνα, τὰ Νέμεα ἀγὼν καὶ αὐτὸς εἰς τὸν Δία, τὰ δὲ Ἴσθμια ἀγὼν εἰς τὸν Ποσειδῶνα. τὰ δὲ ἔπαθλα τούτων ἐλαία, δάφνη, σέλινον ξηρόν τε καὶ χλωρόν. ἀλλὰ περὶ μέντοι τῶν ἄλλων οὐ χρεία νῦν ἐστι λέγειν, καὶ τὰ ἐπιβάλλοντα τούτοις ὕστερον ἐροῦμεν· νῦν δὲ [1]) περὶ τῆς θέσεως τῶν Ὀλυμπίων λεκτέον. τινὲς μὲν οὖν ταῦτα εἰς τὰ περὶ Οἰνομάου καὶ Πέλοπος ἀναφέρουσιν· ἄλλοι δέ φασιν, ὡς οὕτως αἰσχρὰν οὖσαν τὴν θέσιν οὐκ ἂν διεφύλαξαν· ἄλλοι δὲ Ἡρακλεῖ ἀναπιθέασιν, ὃ καὶ Πίνδαρος λέγει [2]) ἐνδοξοτέροις κοσμῶν τὸν ἀγῶνα. ἐπεὶ γὰρ τὴν Αὐγείου κόπρον ἐκάθηρε καὶ τῶν ἐπηγγελμένων οὐκ ἔτυχε, συναγαγὼν πολὺν στρατὸν τόν τε Αὐγείαν φονεύει, καὶ τὴν Ἦλιν παραστησάμενος καὶ πολλὰ λάφυρα συναναγαγὼν, ἀγῶνα τίθησι τοῖς μετ' αὐτοῦ πολεμήσασιν, ὅθεν καὶ τὸ ἔθος διαμεῖναι. ἀλλ' οὐδὲ αὕτη [3]) ἔμεινεν ἡ θέσις ἐπὶ τῆς συμβάσης αὐτῇ [4]) δυςχερείας· ὑπόμνησις δὲ ἦν. ἀλλ' Ἴφιτός τις καὶ Εὐρύλοχος [5]) τοὺς Κιρραίους πολεμήσαντες· οὗτοι δὲ ἦσαν οἱ τὴν πάραλον [6]) τῆς Φωκίδος λῃσταὶ κατέχοντες· καὶ πολλὰ λάφυρα συναγαγόντες, ὁ μὲν Ἴφιτος τὰ Ὀλύμπια συνεστήσατο, ὁ δὲ τὰ Πύθια Εὐρύλοχος· καὶ ἐκ τούτου ἐπιμεῖναι τὴν θέσιν συνέβη.

Τέθνηκε δὲ ὁ Πίνδαρος ἐξ καὶ ἑξήκοντα ἐτῶν γεγονὼς [ἢ ὥς τινες ὀγδοήκοντα] ἐπὶ Ἀβίωνος [7]) ἄρχοντος κατὰ ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. ἀκροατὴς δὲ γέγονε Σιμωνίδου. ὁ δὲ ἐπινίκιος οὗ ἡ ἀρχὴ, Ἄριστον μὲν ὕδωρ, προτέτακται ὑπὸ Ἀριστοφάνους τοῦ συντάξαντος τὰ Πινδαρικὰ διὰ τὸ περιέχειν τοῦ ἀγῶνος ἐγκώμιον καὶ τὰ περὶ τοῦ Πέλοπος, ὃς πρῶτος ἐν Ἤλιδι ἠγωνίσατο. γέγραπται δὲ Ἱέρωνι βασιλεῖ Συρακουσίων· αἱ δὲ Συράκουσαι πόλις τῆς Σικελίας· ὃς καὶ κτίστης Αἴτνης ἐγένετο πόλεως, ἀπὸ τοῦ ὄρους αὐτὴν οὕτως ὀνομάσας. ἀποστείλας γὰρ οὗτος ἵππους εἰς Ὀλυμπίαν ἐνίκησε κέλητι.

Καὶ ἄλλως ἐκ τῶν Σουΐδα.

Indidem.

Πίνδαρος Θηβαῖος, Σκοπελίνου υἱὸς, κατὰ δέ τινας Δαϊφάντου, ὃ καὶ μᾶλλον ἀληθές. ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προγενὴς Πινδάρου. τινὲς δὲ καὶ Παγω-

1) Καὶ τὰ usque ad νῦν δὲ addidi ex Vrat. D. Gott. in quibus paullo post Ὀλυμπιονίκων. In iisdem deest οὐ χρεία νῦν ἐστι λέγειν. Pro μέντοι vulgo μέν: illud est in Vrat. C. Mosc. B. Mox οὖν ταῦτα addidi ex Gott. et partim Vrat. C. D. Deinde p. ἄλλοι δέ φασιν — ἄλλοι δὲ Ἡρ. quae edidi ex Vrat. D. Gott. olim nihil nisi ἕτεροι δὲ Ἡρ. 2) Olymp. XI, 25 sqq. ἐνδοξ. κοσμ. Vrat. D. Gott. Vulgo ἐνδοξώτερον παιῶν, deinde παρεστήσατο. Ad nostrum ducunt Vrat. D. Gott. 3) Olim αὐτή. 4) Coniiciunt αὐτοῖς et αὐτῇ: ego αὖθις scripserim. 5) „Indocte *Eurylochus* huc advocatur, qui Ol. XLVIII. Cirrhaeis seu Crissaeis debellatis Delphicum oraculum in pristinam libertatem vindicavit et cum Amphictyonibus Pythia instituit. Strabo IX. p. 418. (p. 641. A.) et cf. inf. Ὑπόθεσις Πυθίων. At Iphitus CVIII annis ante primam Olympiadem ludos instauraverat." Haec Heynius. 6) Ita Gott. Vrat. D. Vulgo παράλιον. 7) „Immo ἐπὶ Βίωνος, qui Archon fuit Athenis Ol. LXXX, 3. Perperam scriptum est aut corruptum, quod sequitur: κατὰ ἕκτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. dele ἕκτην καί. De temporibus Pindari accuratius egit Corsin. Fast. Att. ad e. a. et T. II. p. 58 sq." Haec et alia Heynius. Cf. Wessel. ad Diod. XI, 79. Gott. ἐπὶ Βίωνος. Verba uncis inclusa omittunt Vrat. D. Gott.

Digitized by Google

νίδου ἱστόρησαν αὐτόν. μαθητὴς δὲ Μυρτίδος γυναικὸς, [1]) γεγονὼς κατὰ τὴν ξε' Ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ'. καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων, καὶ υἱὸς Δαΐφαντος, [2]) θυγατέρες δὲ Εὔμητις καὶ Πρωτομάχη· [3]) συνέβη δὲ αὐτῷ τὸν βίον τελευτῆσαι κατ' εὐχάς. αἰτήσαντι γὰρ τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον αὐτὸν ἀποθανεῖν ἐν θεάτρῳ ἀνακεκλιμένον εἰς τὰ τοῦ ἐρωμένου αὐτοῦ Θεοξένου γόνατα, ἐτῶν νέ. ἔγραψε δ' ἐν βιβλίοις ιζ' Δωρίδι διαλέκτῳ ταῦτα· Ὀλυμπιονίκας, Πυθιονίκας, Νεμεονίκας, Ἰσθμιονίκας, Προσόδια, Παρθένια, Ἐνθρονισμοὺς, Βακχικὰ, Δαφνηφορικὰ, Παιᾶνας, Ὑπορχήματα, Ὕμνους, Διθυράμβους, Σκολιὰ, Ἐγκώμια, Θρήνους, Δράματα τραγικὰ ιζ', [4]) Ἐπιγράμματα ἐπικὰ, καὶ καταλογάδην Παραινέσεις τοῖς Ἕλλησι καὶ ἄλλα πλεῖστα. Καὶ ἕτερος [5]) Πίνδαρος Σκοπελίνου Θηβαῖος, καὶ αὐτὸς λυρικὸς, ἀνεψιὸς τοῦ προτέρου.

Τὰς Θήβας τὴν πόλιν Ἀλέξανδρόν φασιν εἰς ἔδαφος κατασκάψαι, καὶ πλὴν ἱερέων τε καὶ ἱερειῶν [6]) τοὺς ἄλλους ἀνδραποδίσαι. καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἐκγόνους τοῦ Πινδάρου φησὶν Ἀρριανὸς ὁ ἱστορικὸς ἐν τῇ πρώτῃ διαβάσει Ἀλεξάνδρου ἀπαθεῖς ἐφύλαξεν αἰδοῖ τῇ τοῦ Πινδάρου. [7])

Γένος Πινδάρου διὰ στίχων ἡρωϊκῶν.

Ex Romana.

Πίνδαρον ὑψαγόρην Καδμηΐδος οὔδεϊ Θήβης
Κλειδίκη [8]) εὐνηθεῖσα μενεπτολέμῳ Δαϊφάντῳ [9])
Γείνατο ναιετάουσα Κυνὸς κεφαλῇ παρὰ χώρῳ,
Οὐκ οἶόν γ' · ἅμα τῷ καὶ Ἐρείτιμον, [10]) εἰδότα θήρην,
5 Εἰδότα πυγμαχίην τε παλαισμοσύνην τ' ἀλεγεινήν.
Τὸν μὲν ὅτε κνώσσοντα ποτὶ χθόνα κάτθετο μήτηρ

[1]) Haec inde a verbis ὁ γὰρ Σκοπ. omittit Eudocia p. 358. [2]) Legebatur Διόφαντος, quod Beckius correxit. [3]) Haec inde a verbis καὶ ἀδελφὸς omittit Eudocia. Cf. Vitam Vratisl. et Schol. Pyth. III, 139. etc. [4]) De his v. quae dixi in Oecon. Athen. T. II. ad Inscr. XX. [5]) Sic Eudocia. [6]) Ita de Heynii sententia correxi ex Arrian. I, 9. extr. Vulgo ἱερῶν τε καὶ ἱερέων. [7]) Haec inde a verbis τὰς Θήβας recte omittit Eudocia. [8]) Vs. 1. Heynius recte correxit Πίνδαρον, ut est in Matrit. ap. Iriart. p. 446. p. Πίνδαρος. Codd. ὑψαγόραν. Deinde Heynius volebat Κλευδίκη, Doricum pro Κλεοδίκη, ut ipse censui in nott. critt. ad Olymp. XIV. p. 432. Nunc me retinet Κλειδικος ap. Pausan. I, 3, 2. et alios. [9]) Non dubitavi corrigere Δαϊφάντῳ, quum forma haec unice vera legatur in hoc ipso carmine vs. 25. Vulgo Δαϊφάντῃ. Deinde omnes libri κεφαλῇ, pro quo κεφαλῆς invectum est. Restitui illud et ex omnibus libris mss. (Vrat. A. C. D. Gott. Mosc. B.) dedi χώρῳ, et e Gott. παρά. Vulgo περὶ χῶρον. Vs. 4. Mosc. B. οἷον δ'. [10]) Pro Ἐρειτίμῳ ap. Suid. est Ἐρωτίων. Heynius illius vocis penultimam male corripi dicit, et coniicit τῷ Ἐρίτιμόν τ', quod nemini placebit. Nomen Ἐρείτιμος, cuius etymon non liquet, aut plane diversum a nomine Ἐρετίμου, aut quod probabilius videtur, corruptum est; ac possis coniicere Ἐρωτίον', analogia licet poscat Ἐρωτίων': etenim quod hanc formam versus non recipit, illam audere poeta poterat. Sed de propinquorum poetae nominibus certiores haud dubie essemus, si Plutarchi, musices veterum et histo-

Digitized by Google

Εἰςέτι παιδίον ὄντα, μέλισσά τις ὡς ἐπὶ σίμβλῳ
Χείλεσι νηπιάχοισι τιθαιβώσσουσα ποτᾶτο.
Τῷ δὲ λιγυφθόγγων ἐπέων μελέων θ' ὑποθήμων
10 Ἔπλετο δῖα Κόριννα· θεμείλια δ' ὤπασε μύθων
Τοπρῶτον· μετὰ τὴν δ' Ἀγαθοκλέος ἔμμορεν αὐδῆς,
Ὅςτε ῥά οἱ κατέδειξεν ὁδὸν καὶ μέτρον ἀοιδῆς·
Εὖτε δ' Ἀλεξάνδροιο Φιλιππιάδαο μενοινῇ [1])
Καδμείων ἀφίκοντο Μακηδόνες ἄστεα πέρσαι,
15 Πινδαρέων μεγάρων οὐχ ἥψατο θεσπιδαὲς πῦρ.
Ἀλλὰ τὸ μὲν μετόπισθεν. ἔτι ζώοντι δ' ἀοιδῷ [2])
Φοῖβος ἄναξ ἐκέλευσε πολυχρύσου παρὰ Πυθοῦς
Ἥϊα καὶ μέθυ [3]) λαρὸν ἀεὶ Θήβηνδε κομίζειν.
Καὶ μέλος, ὡς ἐνέπουσιν, ἐν οὔρεσιν ἠὔκερως Πάν
20 Πινδάρου αἰὲν ἄειδε, καὶ οὐκ ἐμέγηρεν ἀείδων.
Ἧμος δ' ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι παρέσταν
Αἰναρέταιι Πέρσαι μετὰ Δάτιδος ἀγριοφώνου,
Τῆμος ἔτι ζώεσκεν, ὅτ' Αἰσχύλος ἦν ἐν Ἀθήναις.
Τῷ Τιμοξείνη παρελέξατο δῖα γυναικῶν·
25 Ἦ τέκεν Εὔμητιν μεγαλήτορα καὶ Δαΐφαντον,
Πρωτομάχην δ' ἐπὶ τοῖσιν· ἔμελψε δὲ κῦδος ἀγώνων
Τῶν πισύρων, μακάρων παιήονας ἐνδεδεγμένους, [4])
Καὶ μέλος ὀρχηθμοῖσι θεῶν τ' ἐρικυδέας ὕμνους,
Ἠδὲ μελιφθόγγων μελεδήματα παρθενικάων.
30 Τοῖος ἐὼν καὶ τοῖα πορὼν [5]) καὶ τόσσα τελέσσας
Κάτθανεν ὀγδώκοντα τελειομένων ἐνιαυτῶν.

Περὶ λυρικῶν ποιητῶν.

Concinnatum ex Ald. Rom. Gott. Vrat. D. et lectione et sede variante.

Λυρικοὶ ποιηταὶ μουσικῶν ᾀσμάτων εἰσὶν ἐννέα· ἐννέα δὲ καὶ αἱ καθ' ἡμᾶς τῶν θείων ᾀσμάτων ᾠδαί· τὰ δὲ ὀνόματα τῶν προειρημένων ποιητῶν εἰσι τάδε· Ἀλκμὰν, Αλ-

riae peritissimi, libellus exstaret περὶ τοῦ Κρέτητος βίου καὶ Δαϊφάντου καὶ Πινδάρου in catalogo Lampriae et ap. Phot. Bibl. p. 341. commemoratus. In fine versus Gott. θήρης, non male, si sequentem versum corrigas, ubi idem πυγμαχιῶν. Vs. 7. quattuor libri ἡ δ' ἔτι, et vs. 12. κατέλεξεν. 1) Olim μενοινῆς. Dativus est in Mosc. B. Vrat. A. 2) Addidi δ' ex Vrat. A. C. Mosc. B. 3) Olim μέλι. Μέθυ Vrat. A. C. Mosc. B. qui p. ἤϊα ex glossemate σιτία. Poeta imitatus est Apollon. I, 659. ubi habes ἤϊα καὶ μέθυ λαρόν. Cf. ib. 456. 473. 968. Deinde quattuor libri ἐνενήκοσιν. Vs. 24. libri τῷδε aut τῷ δή. 4) Haec vox corrupta, nec Heynii coniecturae satisfaciunt. Vrat. A. D. παίονας: in Mosc. B. haec vox in rasura est; idem habet ἐνδε. . . . 5) Sic Heynius. Vulgo παρών.

Digitized by Google

καῖος, Σαπφὼ, Στησίχορος, Ἴβυκος, Ἀνακρέων, Σιμωνίδης, Βακχυλίδης καὶ Πίνδαρος. τινὲς δὲ καὶ τὴν Κόρινναν.

Εἰς τοὺς ἐννέα λυρικοὺς ποιητὰς ἡρωελεγεῖον. [1])

Ex Romana.

Ἐννέα τῶν πρώτων λυρικῶν πάτρην γενεήν τε
Μάνθανε, καὶ πατέρας καὶ διάλεκτον ἄθρει.
Ὧν Μυτιληναῖος μὲν ἔην, γεραρώτερος ἄλλων,
Ἀλκαῖος πρότερος, κηχικὸς [2]) Αἰολίδος.
Ἡ δ' ἐπὶ τῷ ξυνὴν πάτρην φωνήν τε δαεῖσα
Σαπφὼ, Κληΐδος καὶ πατρὸς Εὐρυγύρου. [3])
Στησίχορος Σικελός· πάτρη δέ οἱ Ἱμέρα ἐστίν·
Εὐφήμου πατρὸς, Δωρικὸς ἁρμονίην.
Ἴβυκος Ἰταλὸς αὖ ἐκ Ῥηγίου ἠὲ Μεσήνης,
Ἠελίδα πατρὸς, Δωρίδα δ' ἡρμόσατο.
Παρθενίου δὲ πατρὸς λιγυρὸς πάϊς Ἠετιήου [4])
Ἦν ἄρα μελπόμενος Τήϊος Ἀνακρέων.
Πίνδαρος ἦν Θηβαῖος, ἀτὰρ πατρὸς Σκοπελίνου,
Δώριον αἰνήσας ἁρμονίην ἐπέων.
Ἠδὲ Σιμωνίδεω Κείου Δωριστὶ λαλοῦντος
Τὸν πατέρ' αἰνήσας ἴσθι Λεωπρεπέα. [5])
Ἴσα δαεὶς καὶ Κεῖος ἔην γενεῇ μελοποιός·
Μείλωνος πατέρος δ' ἔπλετο Βακχυλίδης.
Ἀλκμὰν ἐν Λυδοῖσι μέγα πρέπει· ἀλλ' Ἀδάμαντος [6])
Ἐστὶ καὶ ἐκ Σπάρτης, Δωρίδος ἁρμονίης.

[1]) Sic unus e scriptis. Vulgo ἡρωελεγεῖοι. [2]) Scripsi κηχικός: vulgo ἠχικός, Vrat. D. Gott. καὶ ἠχ. [3]) Vulgo Κληΐδος: Gott. Κληΐδος. Ursinus et codd. Vrat. A. C. Gott. Mosc. B. Εὐρυγόρου. Suidas Ἠριγύου. Vs. 9. Vrat. C. Mosc. B. Ἰταλὸς ἐκ τοῦ Ῥ. [4]) Barnesius coniicit Ἠετίης τε: Gott. Ἠετηΐου, Mosc. B. Ἠετίκοιο, Vratisl. A. C. Ἠτίκοιο. Ego et hoc intactum relinquo et sequens Τήϊος Ἀνακρέων, pro quo Heynius volebat Τῆος Ἀνακρεῖων. Vs. 12. libri scripti quinque ᾄδει p. ἦν ἄρα. [5]) Vulgo ἀριπρεπέα, et mox ἰσσαδαής, quod correxit Heynius. Gott. Vrat. A. D. ἰσαδ. pluresque tum h. l. tum vs. 15. Κῖος et Κίου, ut solet. Vs. 18. inserui δ' ex Vrat. A. C. Ibidem Heynius Μειδωνος vult, quia apud Suidam est Μέδωνος: sed debebat esse Μέδοντος. Recte habet Μείλωνος, hoc est Μίλωνος, quod comparet in Vrat. C. Mosc. B. [6]) Coniicitur ἀλλὰ Δάμαντος, ut est ap. Suid. v. Ἀλκμάν. Sed Δάμας genitivum habet Δάμου sive Δάμα. Mosc. B. Ἀδαμάντης, et mox Σπάρτας.

Digitized by Google

Βίος Πινδάρου. [1])

Ex Vratisl. A.

Πίνδαρος ὁ ποιητὴς Θηβαῖος ἦν ἐκ Κυνοσκεφαλῶν· [2]) κώμη δέ ἐστι Θηβαϊκή· υἱὸς Δαϊφάντου, κατὰ δ' ἑνίους Παγώνδα. ἔνιοι δὲ Σκοπελίνου αὐτὸν γενεαλογοῦσι, τινὲς δὲ τὸν Σκοπελῖνον πατρωὸν [3]) αὐτοῦ γενέσθαι καὶ αὐλητὴν ὄντα τὴν τέχνην διδάξαι αὐτόν. ὑπὸ πολλοῦ καμάτου εἰς ὕπνον κατενεχθῆναι, κοιμωμένου δὲ αὐτοῦ μέλισσαν τῷ στόματι προσκαθίσασαν κηρία ποιῆσαι. Οἱ δέ φασιν ὅτι ὄναρ εἶδεν ὡς μέλιτος καὶ κηροῦ πλῆρες εἶναι αὐτοῦ τὸ στόμα, καὶ ἐπὶ ποιητικὴν ἔτράπη. [4]) διδάσκαλον δὲ αὐτοῦ Ἀθήνησιν οἱ μὲν Ἀγαθοκλέα, οἱ δὲ Ἀπολλόδωρον λέγουσιν, ὃν καὶ προϊστάμενον κυκλίων χορῶν ἀποδραμοῦντα πιστεῦσαι τὴν διδασκαλίαν τῷ Πινδάρῳ παιδὶ ὄντι, τὸν δὲ εὖ διακοσμήσαντα διαβόητον γενέσθαι. ἔρεισμα δὲ τῆς Ἑλλάδος εἰπὼν Ἀθήνας ἐζημιώθη ὑπὸ Θηβαίων χιλίας δραχμάς, ἃς ἐξέτισαν ὑπὲρ αὐτοῦ Ἀθηναῖοι. ἦν δὲ οὐ μόνον εὐφυὴς ποιητὴς ἀλλὰ καὶ ἄνθρωπος θεοφιλής. ὁ γοῦν Πὰν ὁ θεὸς ὤφθη μεταξὺ τοῦ Κιθαιρῶνος καὶ τοῦ Ἑλικῶνος ᾄδων παιᾶνα Πινδάρου· διὸ καὶ ᾆσμα ἐποίησεν εἰς τὸν θεὸν ἐν ᾧ χάριν ὁμολογεῖ τῆς τιμῆς αὐτῷ, οὗ ἡ [5]) ἀρχή· Πὰν Πὰν [6]) Ἀρκαδίας μεδέων καὶ σεμνῶν ἀδύτων φύλαξ. ἀλλὰ καὶ ἡ Δημήτηρ ὄναρ ἐπιστᾶσα αὐτῷ ἐμέμψατο, ὅτι μόνην τῶν θεῶν οὐχ ὕμνησεν. ὁ δὲ εἰς αὐτὴν ἐποίησε ποίημα οὗ ἡ ἀρχή· Πότνια θεσμοφόρε χρυσάννιον. [7]) ἀλλὰ καὶ βωμὸν ἀμφοτέρων τῶν θεῶν πρὸ τῆς οἰκίας τῆς ἰδίας ἱδρύσατο. Παυσανίου δὲ τοῦ Λακεδαιμονίων βασιλέως ἐμπιπρῶντος τὰς Θήβας ἐπέγραψέ τις τῇ οἰκίᾳ· Πινδάρου τοῦ μουσοποιοῦ τὴν στέγην μὴ καίετε· καὶ οὕτω μόνη ἀπόρθητος ἔμεινεν· καὶ ἔστι τὸ νῦν ἐν Θήβαις πρυτανεῖον. [8]) ἀλλὰ καὶ ἐν Δελφοῖς ὁ προφήτης μέλλων κλείειν τὸν νεὼν [9]) κηρύσσει καθ' ἡμέραν· Πίνδαρος ὁ μουσοποιὸς παρίτω πρὸς τὸ δεῖπνον τῷ θεῷ. καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη, ὡς αὐτός φησι· Πενταετηρὶς ἑορτὰ [10]) βουπομπὸς, ἐν ᾗ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαργάνοις. λέγεται δὲ θεωροῖς ἀπιοῦσιν εἰς Ἄμμωνος αἰτῆσαι Πίνδαρος [11]) τὸ ἐν ἀνθρώποις ἄριστον καὶ ἀποθανεῖν ἐν ἐκείνῳ τῷ ἐτιαυτῷ. ἐπέβαλε δὲ τοῖς χρόνοις Σι-

[1]) Primus edidit Schneiderus post praefationem Theriacorum Nicandri p. XV sqq. Ex nonnullis vestigiis patet vitam omnium antiquissimam esse, sed barbaro calamo contractam. [2]) Cod. *Κυνοκεφάλων*. [3]) Schneid. *πατρῶον*, cod. *πάτρωον*: unde corrigo *πατρωὸν*, hoc est *πατρυιόν*. Etenim Pagondae uxor Myrto, quae a nonnullis mater Pindari perhibetur, Scopelino nupsisse dicitur (v. Thomam): igitur Scopelinus vitricus Pindari habebatur. Scopelinus tamen Suida auctore pater vetustioris Pindari, quem patruelem nostri dicit: quod si veru est, potuit ille Scopelinus etiam patruus (*πάτρως*) Pindari nostri vocari. Sed omnino priscorum poetarum obscura admodum et prope fabulosa historia. [4]) Concisa est oratio, sensus apertus: *καὶ ὅτι ἐκ τούτου ἐπὶ ποιητικὴν ἐτράπη*. Qua de re alii scriptores. Deinde cod. *διδασκάλου*. Paullo post *ἀποδραμοῦντα* quamquam barbarum est, cave scribas *ἀποδραμόντα*. Sed *χιλίαις δραχμαῖς* malim. [5]) Articulum omittit Schneiderus. [6]) Dele alterum *Πάν*. De versu hoc v. fragmenta. [7]) Schneiderus: „De hoc hymno nusquam alibi traditum legi. Sed hymnus in Persephonen teste Pausania IX, 23. similiter Plutonis epitheton habebat *χρυσήνιος*. Addit Pausanias: *δῆλα ὡς ἐπὶ τῆς κόρης τῇ ἁρπαγῇ*." [8]) De hac re v. Schneideri iudicium. [9]) Cod. *νεόν*. [10]) Ita correxi: cod. *ἑορτᾶς*. [11]) Codex *Πινδάρῳ*.

Digitized by Google

μωνίδου ἢ νεώτερος πρεσβυτέρῳ. [1]) τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων. καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν [2]) γέγραφε· καὶ Πίνδαρος μέμνηται τῆς Κάδμου [3]) βασιλείας. ἀλλὰ καὶ ἀμφότεροι παρὰ Ἱέρωνι τῷ Συρακουσίων [4]) τυράννῳ γεγένηνται. γήμας δὲ Μεγάκλειαν τὴν Λυσιθέου καὶ Καλλίνης ἔσχεν υἱὸν Δαΐφαντον, [5]) ᾧ καὶ δαφνηφορικὸν ᾆσμα ἔγραψεν· καὶ θυγατέρας δύο Πρωτομάχην καὶ Εὔμητιν. γέγραφε δὲ βιβλία ἑπτὰ καὶ δέκα· ὕμνους, παιᾶνας, διθυράμβων [6]) β′, προσοδίων β′· φέρεται δὲ καὶ παρθενίων β′ καὶ γ′, ὃ ἐπιγράφει [7]) κεχωρισμένων παρθενίων· ὑπορχημάτων β′, ἐγκώμια, θρήνους, ἐπινίκων δ′. φέρεται δὲ ἐπίγραμμα ἐπὶ τῇ τελευτῇ αὐτοῦ τόδε·

Ἦ μάλα Πρωτομάχα τε καὶ Εὔμητις λιγύφωνοι [8])
Πινδάρου ἔκλαυσαν θυγατέρες πινυταί·
Ἀργόθεν ἧμος ἵκοντο κομιζούσ' ἐνδόθι κρωσσοῦ
Λείψαν' ἀπὸ ξείνης ἀθρόα πυρκαϊῆς.

Πινδάρου ἀποφθέγματα.

Ex Vratisl. A.

Πίνδαρος ὁ μελοποιὸς ἐρωτηθεὶς ὑπό τινος, τί πρίονος ὀξύτερον, εἶπε διαβολή.

Παραγενόμενος δὲ εἰς Δελφοὺς καὶ ἐρωτώμενος τί πάρεστι θύσων τῷ Ἀπόλλωνι, εἶπε παιᾶνα.

Ἐρωτηθεὶς πάλιν διὰ τί Σιμωνίδης πρὸς τοὺς τυράννους ἀπεδήμησεν εἰς Σικελίαν, αὐτὸς δὲ οὐ θέλει· ὅτι βούλομαι; [9]) εἶπεν, ἐμαυτῷ ζῆν, οὐκ ἄλλῳ.

Ἐρωτηθεὶς διὰ τί [10]) τῷ εὖ πράττοντι τὴν θυγατέρα οὐ δίδωσιν· οὐ μόνον δεῖσθαι, φησίν, εὖ πράττοντος, ἀλλὰ καὶ πράξοντος εὖ.

Ἐρωτηθεὶς πάλιν ὑπό τινος, διὰ τί μέλη γράφων οὐκ ἐπίσταται ᾄδειν, εἶπεν· καὶ γὰρ οἱ ναυπηγοὶ πηδάλια κατασκευάζοντες κυβερνᾶν οὐκ ἐπίστανται.

Τοὺς φυσιολογοῦντας ἔφη ἀτελῆ σοφίας δρέπειν καρπόν. [11])

1) Schneiderus mavult πρεσβυτέρου. Mox cod. μέμνηται. 2) Ita cod. non μάχην. 3) Δαρείου coniicit Schneiderus. 4) Schneider. Συρακοσίων. 5) Hic quoque Διόφαντος in cod. est. 6) Cod. καὶ θυράμβων. 7) Corrige ἐπιγράφεται. 8) Cod. λιγύφρωνοι. Versus alter in cod. hic est: Ἔκλαυσαν πινυταὶ Πινδάρου θυγατέρες, quod felici transpositione sanavit Gerhardus. Schneiderus volebat: ἔκλ. πιν. Πινδ. αἱ θύγατρες. Versu tertio erat κομίζουσ': ex quo restitui dualem κομιζούσ'. E Schneideri Theriacis Anthologiae Appendici inseruit Iacobs. p. XCIX. T. III. 9) Cod. οὐ βούλομαι. 10) Cod. διὰ τί οὐ. 11) Ultimum hoc apophthegma habet Stob. Serm. CCXI. p. 711. Wechel. eoque alludit Plato Rep. V, p. 457. B. ubi delendum esse σοφίας scite notat Schneiderus.

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΟΛΥΜΠΙΑ.

ΜΕΤΡΙΚΑ ΠΑΛΑΙΑ.[1])

Ex Romana.

Ἰστέον ὅτι οἱ λυρικοὶ ἐν τοῖς ποιήμασιν αὐτῶν ἐχρῶντο στροφῇ, ἀντιστροφῇ καὶ ἐπῳδῷ· στροφῇ μὲν, ὅτε ἀπὸ τῶν [2]) δεξιῶν ἐστρέφοντο ἐπὶ τὰ ἀριστερὰ, ἥτινι ἀναλογεῖ ἡ τοῦ παντὸς κίνησις ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικά· δεξιὰ γὰρ καλεῖ Ὅμηρος τὰ ἀνατολικὰ, ἀριστερὰ δὲ τὰ δυτικά· ἀντιστροφῇ δὲ, ὅτε ἐκινοῦντο ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ, ἥτινι ἀναλογεῖ ἡ τῶν πλανήτων κίνησις ἡ ἀπὸ δύσεως εἰς ἀνατολάς· ἐπῳδῷ δὲ, ὅτε ἵσταντο ἐν ἑνὶ τόπῳ καὶ ἔλεγον τὰς ᾠδὰς, ἥτινι ἀναλογεῖ ἡ στάσις τῆς γῆς. ἐχρῶντο δὲ καὶ δυάσι καὶ τριάσιν, ὡς οὗτος ὁ ποιητὴς, ἤγουν στροφῇ καὶ ἀντιστροφῇ καὶ ἐπῳδῷ, ἢ στροφῇ μόνῃ καὶ ἀντιστροφῇ· πολλοὶ δὲ καὶ τετράσιν, ἤγουν στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ καὶ πάλιν ἀνομοίῳ ἐπῳδῷ· πεντάσι δὲ, ἤγουν ἐπῳδῷ, στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ, ἐπῳδῷ· ἅτινα ἐλέγετο προῳδικὰ, [3]) ἐπῳδικὰ, μεσῳδικὰ καὶ παλινῳδικά.

§ Ἄλλως περὶ αὐτῶν. Ἐπειδὴ λυρικός ἐστιν ὁ Πίνδαρος, καὶ πρὸς λύραν ᾄδονται τὰ ποιήματα αὐτοῦ, κατὰ τριάδας, στροφὴν, ἀντίστροφον καὶ ἐπῳδὸν, καὶ ἐκ κώλων τὰ μέλη συνίστανται· πλὴν ὅσων καὶ ὁποίων ἡ στροφὴ, ἐκ τοσούτων καὶ τοιούτων καὶ ἡ ἀντίστροφος· ἡ δὲ ἐπῳδὸς ἀνόμοιός ἐστι πρὸς αὐτὰς, καὶ εἰκότως· ἐπεὶ κινουμένοις εἰς τὰ δεξιὰ τοῖς χορευταῖς ᾔδετο ἡ στροφὴ, εἰς δὲ τὰ ἀριστερὰ ἐκ τῶν δεξιῶν ἡ ἀντίστροφος, ἡ δὲ ἐπῳδὸς ἱσταμένοις διεβιβάζετο· εἰς εἰκόνα τῆς τε τοῦ παντὸς κινήσεως ἀπὸ ἀνατολῶν εἰς δυσμὰς, τῆς τε τῶν πλανήτων κινήσεως ἀπὸ δύσεως εἰς ἀνατολὰς, καὶ τῆς γῆς ἀκινησίας. καὶ οὕτω μὲν ἡ τριαδικὴ μελοποιΐα κατὰ τὰς στροφὰς, τὰς ἀντιστρόφους καὶ τὰς ἐπῳδούς. [4]) ταῦτα δὲ ἐκ κώλων συνίστανται. τὰ δὲ κῶλα μέτρον διάφορον ἔχουσιν ἐκ ποδῶν συνιστάμενον.

Περὶ τῶν εἰκοσιοκτὼ ποδῶν.

Ἰστέον ὅτι οἱ πάντες πόδες εἰσὶν εἰκοσιοκτώ. τέσσαρες οἱ δισύλλαβοι· ὀκτὼ οἱ τρισύλλαβοι· ἑκκαίδεκα οἱ τετρασύλλαβοι, οἳ δὴ καὶ τέλειον μέτρον καὶ συζυγίαν ἀπαρτί-

[1]) In Vrat. C. et Matrit. hoc loco inscriptum est: περὶ τῶν κώλων τῶν τε στροφῶν καὶ ἀντιστροφῶν τοῦ α' εἴδους. παλαιόν. Deinde post vocem παλινῳδικὰ in Vrat. C. sequuntur, quae infra ex Vratisl. C. edidimus: Σύγκειται δὲ etc. [2]) Τῶν addidi ex Vrat. C. Mosc. B. [3]) Vulgo προσῳδικά. [4]) Vulgo ἐπῳδάς. Correxit Schaefer. ad Dionys. p. 261.

Digitized by Google

ζουσιν· οἱ δ' ἄλλοι πόδες πλὴν τοῦ καθαροῦ δακτύλου κατὰ διποδίαν εἰς συζυγίαν συνίστανται, καὶ μέτρα λέγονται· ὧντινων δὴ μέτρων καὶ αἱ καταλήξεις τέσσαρίς εἰσιν· ἀκατάληκτον τὸ μὴ ἔχον ἔλλειμμα τυχόν· καταληκτικὸν τὸ κατὰ συλλαβὴν λεῖπον· βραχυκατάληκτον τὸ κατὰ πόδα δισύλλαβον ἢ τρισύλλαβον λεῖπον· καὶ ὑπερκατάληκτον τὸ ἔχον ἐπέκεινα συλλαβήν.

Περὶ δισυλλάβων ποδῶν.

Δισύλλαβοι πόδες εἰσὶ τέσσαρες· πυῤῥίχιος ἐκ δύο βραχειῶν, υ υ, οἷον, λόγος· ἴαμβος ἐκ βραχείας καὶ μακρᾶς, υ –, οἷον, λέβης· τροχαῖος ἐκ μακρᾶς καὶ βραχείας, – υ, οἷον, ἦτορ· σπονδεῖος ἐκ δύο μακρῶν, – –, οἷον, ἥρως.

Περὶ τρισυλλάβων.

Τρισύλλαβοι δὲ ὀκτώ· χορεῖος ὁ καὶ τρίβραχυς, υ υ υ, οἷον, ἄατος· δάκτυλος ἐκ μακρᾶς καὶ δύο βραχειῶν, – υ υ, οἷον, Πίνδαρος· ἀμφίβραχυς ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας, υ – υ, οἷον, ἄμητος· ἀνάπαιστος ἐκ δύο βραχειῶν καὶ μακρᾶς, υ υ –, οἷον, ἀπάτωρ· βακχεῖος ἐκ βραχείας καὶ δύο μακρῶν, υ – –, οἷον, δομήτωρ· ἀμφίμακρος ὁ καὶ Κρητικὸς ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, – υ –, οἷον, Καικίας· παλιμβάκχειος ἐκ δύο μακρῶν καὶ βραχείας, – – υ, οἷον, συγγνωστός· μολοττὸς ὁ ἐκ τριῶν μακρῶν, – – –, οἷον, Πειραιεύς.

Περὶ τετρασυλλάβων.

Οἱ δὲ τετρασύλλαβοι εἰσιν ἑκκαίδεκα· προκελευσματικὸς ὁ ἐκ τεσσάρων βραχειῶν, υ υ υ υ, οἷον, ἀνιαρός· παίων πρῶτος ἐκ μακρᾶς καὶ τριῶν βραχειῶν, – υ υ υ, οἷον, ἡμίονος· παίων β' ἐκ βραχείας καὶ μακρᾶς καὶ ἑτέρων δύο βραχειῶν, υ – υ υ, οἷον, ἀγευέος· παίων γ' ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας, υ υ – υ, οἷον, παράκοιτος· παίων τέταρτος ἐκ βραχειῶν τριῶν καὶ μακρᾶς, υ υ υ –, οἷον, παρακαλῶ· Ἰωνικὸς ἀπὸ μείζονος ἐκ δύο μακρῶν καὶ δύο βραχειῶν, – – υ υ, οἷον, κλειτώνυμος· Ἰωνικὸς ἀπ' ἐλάττονος ἐκ δύο βραχειῶν καὶ δύο μακρῶν, υ υ – –, οἷον, κακοδαίμων· διτρόχαιος ἐκ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς καὶ βραχείας, – υ – υ, οἷον, Κλειτόδημος· διῴαμβος ἐκ βραχείας καὶ μακρᾶς καὶ βραχείας καὶ μακρᾶς, υ – υ –, οἷον, θεηγορῶ· ἀντίσπαστος ὁ ἐκ βραχείας καὶ δύο μακρῶν καὶ βραχείας, [1]) υ – – υ, ἐξ ἰάμβου καὶ τροχαίου τῶν ἀντεσπασμένων ὄντων καὶ ἐξ ἐναντίας, οἷον, θεόκλητος· χορίαμβος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ βραχείας καὶ μακρᾶς, ἡ μακρὰ δὲ καὶ ἡ βραχεῖα ἀντὶ χορείου ἐστὶ τριβραχέος, – υ υ –, οἷον, χειρονομῶ.

Περὶ τῶν τεσσάρων ἐπιτρίτων. Οἱ τέσσαρες ἐπίτριτοι λέγονται κατὰ λόγους ἀριθμητικούς· ὁ τέταρτος γὰρ τοῦ τρίτου ἐπίτριτος· ἐπειδὴ τοίνυν ἐκ τετραχρόνου σπον-

1) Erat: ὁ ἐκ δύο βραχειῶν καὶ μακρᾶς καὶ βραχείας. Correxit Beckius.

Digitized by Google

δείου καὶ τριχρόνου ἰάμβου ἢ τροχαίου σύγκειται ὁ ἐπίτριτος, διὰ τοῦτο ἐπίτριτος λέγεται. καὶ πρῶτος ἐπίτριτός ἐστιν ὁ ἐκ βραχείας καὶ τριῶν μακρῶν, υ – – –, οἷον, θεορήμων· β' ἐπίτριτος ὁ ἐκ μακρᾶς καὶ βραχείας καὶ δύο μακρῶν, – υ – –, οἷον, τοιχορύκτης· τρίτος ἐπίτριτος ὁ ἐκ δύο μακρῶν καὶ βραχείας καὶ μακρᾶς, – – υ –, οἷον, αὐτοκράτωρ· τέταρτος ἐπίτριτος ὁ ἐκ τριῶν μακρῶν καὶ βραχείας, – – – υ, οἷον, εἰρήναρχος. δισπόνδειος ὁ ἐκ τεσσάρων μακρῶν, – – – –, οἷον, εἰρηναρχῶ.

Ἰστέον δὲ ὅτι ἀντιπαθεῖ τῷ τροχαίῳ ὁ ἴαμβος· διὰ τοῦτο καὶ ἀπὸ τῶν τετρασυλλάβων τινὲς μὲν τῷ τροχαίῳ πρόσκεινται καὶ πρὸς τὰς ἰαμβικὰς συζυγίας ἀπᾴδοντές εἰσι· τινὲς δὲ τῷ ἰάμβῳ καὶ πρὸς τὰς τροχαϊκὰς συζυγίας οὐ συμφωνοῦσιν· ἤγουν πρὸς μὲν τὸν χορίαμβον καὶ πρὸς τὸν ἀντίσπαστον αἱ ἰαμβικαὶ συζυγίαι χρήσιμοι, πρὸς δὲ τοὺς Ἰωνικοὺς οὐκέτι· πρὸς δὲ τοὺς Ἰωνικοὺς πάλιν αἱ τροχαϊκαὶ συζυγίαι χρήσιμοι, πρὸς δὲ ἐκείνους οὐκέτι. εἰσὶ δὲ ἰαμβικαὶ συζυγίαι ἢ δύο ἴαμβοι ἢ σπονδεῖος καὶ ἴαμβος, καὶ πλέον οὐδέν· αἱ δὲ τροχαϊκαὶ συζυγίαι ἢ δύο τροχαῖοι ἢ τροχαῖος καὶ σπονδεῖος. πολλάκις δὲ κεῖνται καὶ ἀπὸ τῶν τρισυλλάβων. ἐπὶ γὰρ τοῦ ἰαμβικοῦ ἐν τῷ πρώτῳ καὶ ἐν τῷ τρίτῳ καὶ ἐν τῷ πέμπτῳ ἢ ἴαμβος ἢ σπονδεῖος ἢ χορεῖος ἢ δάκτυλος ἢ ἀνάπαιστος· ἐπὶ δὲ τῶν ἀρτίων χωρῶν τῆς δευτέρας καὶ τετάρτης καὶ ἕκτης ἢ ἴαμβος ἢ χορεῖος ἢ ἀνάπαιστος, οὐδέποτε δὲ ὁ ἀπὸ μακροῦ ἀρχόμενος. ἐπὶ δέ γε τοῦ τροχαϊκοῦ ἐν τῇ δευτέρᾳ καὶ τετάρτῃ καὶ ἕκτῃ ἢ τροχαῖος ἢ σπονδεῖος ἢ δάκτυλος ἢ ἀνάπαιστος ἢ χορεῖος· ἐν δὲ τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ οἱ ἀπὸ μακροῦ ἀρχόμενοι καὶ μόνοι, ἢ τροχαῖος ἢ δάκτυλος ἢ σπονδεῖος, οὐδέποτε δὲ ἀνάπαιστος ἢ χορεῖος. καὶ ταῦτα μὲν περὶ τῶν ποδῶν.

Δημητρίου Τρικλινίου.

Ex codice Pindari Vratisl. D. et ex codice Hephaestionis Vratislaviensi. [1])

Ἰστέον ὅτι πάντα τὰ μέτρα πλὴν τοῦ δακτυλικοῦ κατὰ διποδίαν μετρεῖται, καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου· ἔστι δὴ μονόμετρον μὲν τὸ ἔχον πόδας δύο, δίμετρον τὸ ἔχον πόδας τέσσαρας, τρίμετρον τὸ ἔχον ἕξ, τετράμετρον τὸ ἔχον ὀκτώ, πεντάμετρον τὸ ἔχον δέκα, καὶ περαιτέρω οὐ πρόεισι. παντὸς δὲ μέτρου πλὴν τοῦ δακτυλικοῦ ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες· βραχυκατάληκτον, καταληκτικὸν, ἀκατάληκτον καὶ ὑπερκατάληκτον. καὶ βραχυκατάληκτον μὲν ἔστιν ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμὸν, οἷον τὸ φεῦ φεῦ, ἢ τὸ ἰῶ, ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τοῦ ἑτέρου δὲ λείπεσθαι. καταληκτικὸν δὲ τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμὸν, οἷον τὸ ἰώ μοι, ἢ τὸ ὤμοι μοι. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβὴν ἤτοι ἥμισυ ποδὸς, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. ἀκατάληκτον δὲ ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας, οἷον τὸ ἰοὺ ἰοὺ, ἢ τὸ ἰὼ ἰὼ,

[1]) In Cod. Hephaest. insunt nonnullae varietates, sed tam minutae, ut afferre noluerim. Eadem diatribe est, quae in Matritensi Pindari codice exstat. V. Iriarte Catal. p. 446.

Digitized by Google

ἢ τὸ φεῦ φεῦ ἰώ. ταῦτα γὰρ μονόμετρά ἐστιν ἀκατάληκτα διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας καὶ μὴ ἐλλιπεῖς ὡς τὰ εἰρημένα. ὑπερκατάληκτον δὲ τὸ ἔχον μὲν ἀπηρτισμένους τοὺς πόδας, ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα. εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ὅτε τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους. ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον, ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβὴν, ὅτε δὲ δύο, καταληκτικὸν εἰς δισύλλαβον. οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον ἢ τὸ ὑπερκατάληκτον, ὡς οἱ μετρικοί φασιν. ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη.

Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου.

Indidem.

Ἐπειδήπερ οἱ πάλαι [1]) τὰ περὶ γραμματικῆς [2]) συνταξάμενοι σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν καὶ τὴν, ὡς ἂν εἴποι τις, ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν· συλλαβῶν δέ μοι καὶ οὐ στοιχείων εἴρηται· ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ' αὑτὰ κείμενα οὐδὲ μιᾶς τινος μετέχει δυνάμεως, συλληφθέντα δὲ καὶ οἷον ἐνωθέντα πρὸς ἄλληλα καὶ τὰς συλλαβὰς ἀποτελέσαντα δυνάμεις τέ τινας καὶ ποιότητας ἔχει· ἐπενόησαν δὲ ἄλλα τε σημεῖα, τόνους φημὶ καὶ πνεύματα [3]) καὶ τὰ λοιπὰ, ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν, ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας, πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοδὶ –, τῆς δὲ βραχείας τουτὶ υ, τῆς δὲ κοινῆς οὐδαμῶς· ἐκείνων γὰρ καὶ ὅρους ἔθεντο, ταύτης δὲ οὔ· καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν· ἐπενοήθη ἔμοιγε τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν πλάνην, καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. ἐπενοήθη δὲ διπλοῦν τὸ σημεῖον διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. ὅτε μὲν οὖν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδὶ L· μακρὰ δηλονότι καταρχὰς ἄνω βλέπον τὸ τοῦ ῑ στοιχείου σημεῖον ἔχουσα· ὅτε δ' ἀντὶ μακρᾶς, τοῦτο ἀντεστραμμένον οὕτωσὶ ٦· μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον [4]) τὸ τοῦ ῑ σημεῖον ἔχουσα. βέλτιον γὰρ ταῦτα τιθέναι καὶ διαγινώσκειν ποία ἐστὶν ἡ κοινὴ ἢ πλανωμένους τινὰς τὸ ποιεῖν γράφειν ποιεῖν ἀμαθῶς, καὶ φύσει βραχὺ φωνῆεν, ἔχον δὲ ἐπαγόμενα δύο σύμφωνα, ὧν τὸ δεύτερον ὑγρὸν, [5]) ἀμετάβολον ἀεὶ ἀντὶ μακροῦ λαμβάνειν, ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν ὅταν εἰς μέρος λόγου καταλήγῃ, τὴν μακρὰν ἐπιτιθέντας ἀντὶ μακροῦ λαμβάνειν. ἄτοπον γὰρ οἶμαι τοῦτό γε. ταῦτά μοι πρὸς τοὺς συνετοὺς εἴρηται καὶ τῶν μέτρων ἔχοντας πεῖραν· εἰ δέ τινες εἶεν ὑπ' ἀμαθείας μεμφόμενοι, βραχὺς τούτων λόγος. οὐδὲ γὰρ οὐδ'

1) Codd. πάλοι, ut videtur. Possis et παλαιοί, sed v. infra. Ceterum hoc commentariolum exstat etiam in Matrit. V. Iriarte l. c. 2) Vratisl. D. γραμματικῶν. 3) Idem τὰ πνεύματα. 4) Idem κατανεῦον p. κάτω νεῦον. 5) Addidi ὑγρόν. Post ἀντὶ in Vratisl. D. est τοῦ.

Digitized by Google

οἱ πάλαι τὰ κάλλιστ' ἐπινενοηκότες ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν, [1]) ἀλλὰ τοῖς συνετοῖς, [2]) βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες, ὡς καί πού τις ἔφη·

Ἀείδω ξυνετοῖσι· θύρας δ' ἐπίθεσθε βέβηλοι.

ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν φαίην τοὺς συνετοὺς, ὃς ἂν ἐπινοήσας σοφόν τι τοῦτο λήθης βυθοῖς κατακρύψειε δεδιὼς ἴσως τὴν ἐκ τῶν ἀσυνέτων μέμψιν. ἵν' οὖν μὴ καὶ αὐτὸς δόξω ἀδικεῖν τοὺς συνετοὺς, τὸ ἐπελθόν μοι κατὰ νοῦν τούτοις προὔθηκα, οὗτοι δ' ἂν εἰδεῖεν εἰ καλῶς ἔχει ἢ μή. ἐπεὶ καὶ ἅ μοι περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φερομένων εἰδῶν ἐπινενόηται θείᾳ τινὶ καὶ ἀπορρήτῳ ἐμπνεύσει πλεῖστα πονησαμένῳ, περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ' ἐν τοῖς δράμασιν ἐξετέθη, ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν τάς τε στροφὰς καὶ ἀντιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδοὺς, καὶ τίνος ἐστὶν εἶδους καὶ μέτρου τῶν μελῶν [3]) ἕκαστον, καὶ μὴ μάτην τὰ τῶν χορῶν ὁρᾶν μέλη τοῖς ὀφθαλμοῖς, μηδὲν δὲ τούτων εἰδέναι· ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν καὶ βιβλίον ἀνὰ χεῖρας ἀράμενοι βλέπουσι μὲν τύπους γραμμάτων, οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πρώτου τῶν Ὀλυμπίων εἴδους.

Ex Romana.

Τοῦ πρώτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιζ'. τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, [4]) Γλυκώνειον καλούμενον, ἀπὸ τοῦ εὑρόντος αὐτὸ Γλύκωνος. ἔστι δὲ ἀντίσπαστος καὶ διίαμβος. ἡ γὰρ ἰαμβικὴ σύζυγία, ὡς ἐρρέθη, οἰκεία τῷ ἀντισπαστικῷ, ἡ δὲ τελευταία παντὸς κώλου ἀδιάφορος, υ – – υ υ – υ –. Τὸ δεύτερον τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ λέγεται καὶ ἰθυφαλλικὸν, – υ – υ υ – υ. Τὸ τρίτον χοριαμβικὸν δίμετρον καταληκτικὸν περαιούμενον εἰς ἰαμβικὴν ἢ βακχείαν κατακλεῖδα κατὰ τὴν παράδοσιν· [5]) ὁ δὲ δεύτερος διίαμβος· οἰκεία γὰρ ἡ ἰαμβικὴ συζυγία τῷ χοριάμβῳ, λείπει δὲ συλλαβὴ, διὸ καταληκτικόν· ὅτε δὲ λείπει πούς, βραχυκατάληκτον λέγεται· καὶ ἔστι – υ υ – υ – υ. Τὸ τέταρτον ἀναπαιστικὸν δίμετρον καταληκτικὸν, ὅπερ καὶ παροιμιακὸν λέγεται, υ υ – υ υ – υ υ – –. Τὸ πέμπτον ὅμοιον τῷ β', τοῦ τρίτου δακτύλου ὄντος – υ – υ – υ υ. Τὸ ἕκτον ὅμοιον τούτῳ, [6]) πλὴν ὁ δεύτερος δάκτυλος, – υ – υ υ – υ. Τὸ ἕβδομον τροχαϊκὸν δίμετρον καταληκτικὸν, ὃ καὶ Εὐριπίδειον καὶ ληκύθιον καλεῖται· ληκύθιον δὲ λέγεται ἢ διὰ τὸ τοῦ Ἀριστοφάνους σκῶμμα ἢ διὰ τὸν τοῦ τροχαϊκοῦ βόμβον, ὃν ἐκτελεῖ καὶ τὸ ληκύθιον, ἢ διὰ τὸ τῶν θρήνων βομβικόν· ὅθεν καὶ Καλλίμαχος [7]) τὴν τραγῳδίαν ληκύθιον μοῦσαν φησίν, – υ – υ – υ –. Τὸ ὄγδοον τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον, τοῦ δευτέρου δακτύλου ὄντος, – υ – υ υ –. Τὸ ἔνατον ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, υ – υ – υ – –. Τὸ δέκατον ἐπιω-

[1]) In cod. Hephaest. ἐπιδεδώκασιν. [2]) Ibid. συνετοῖσι. [3]) Verba: καὶ τὰς ἐπῳδοὺς καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν μελῶν bis scripta sunt in codd. [4]) Ἀκατ. addidi ex Vrat. D. Pal. C. [5]) Haec inde a περαιούμ. Vrat. D. Pal. C. [6]) Vrat. D. Pal. C. τῷ αὐτῷ. [7]) T. I. p. 548.

Digitized by Google

νικὸν ἀντισπαστικὸν [1]) δίμετρον καταληκτικὸν, τοῦ Ἰωνικοῦ ἀπὸ τροχαίου ἀρχομένου· [2]) οὐ λέγεται δὲ Ἰωνικὸν ἀλλ' ἐπιωνικόν· ὁ γὰρ ἀντίσπαστος πρὸς τὰς ἰαμβικὰς τὴν κοινωνίαν ἔχει, οἱ δὲ Ἰωνικοὶ πρὸς τὰς τροχαϊκάς· ὅθεν ἀσύμφωνοί εἰσιν οἱ ἀντίσπαστοι μετὰ τῶν Ἰωνικῶν καὶ τροχαϊκῶν, καὶ διὰ τοῦτο ἐπιωνικὸν, υ – – υ – υ –. Τὸ ἑνδέκατον τροχαϊκὸν δίμετρον ἀκατάληκτον, – υ – υ – υ –. Τὸ δωδέκατον χοριαμβικὸν δίμετρον καταληκτικὸν, λειπούσης τῆς ἐσχάτης μακρᾶς, [3]) – υ υ – – υ υ. Τὸ τρισκαιδέκατον προκελευσματικὸν δίμετρον καταληκτικὸν, υ υ υ υ υ υ υ. [4]) ἐν οἷς ὅρα καί τι θαυμάσιον. ὁ τοιόςδε ῥυθμὸς ταχυτῆσιν ἁρμόττει, ὅθεν καὶ προκελευσματικός. βλέπε τοίνυν τὸν σοφώτατον Πίνδαρον πῶς ἥλω ἐν οἷς τὸν τοιοῦτον ῥυθμὸν εὔσημον διὰ τοῦ λόγου ἀποκαθίστησιν, ἐν τῇ ἐννοίᾳ ταχυτῆτα κατωρθωκὼς ἐν' οἷς λέγει· ὅθεν ὁ πολύφατος, διὰ τὸ τῆς φήμης ταχύ· καὶ, νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ τοῦ νοὸς [5]) ὀξυκίνητον· καὶ, ὁπότ' ἐκάλεσε πατὴρ, διὰ τὸ τῆς κλήσεως ταχύ· καὶ, ὕδατος ὅτε τε πυρὶ, διὰ τὸ τῶν στοιχείων εὐκίνητον, τοῦ μὲν ἀνωφεροῦς ὄντος, τοῦ δὲ κατωφεροῦς· καὶ πάλιν, μετὰ τὸ ταχύποτμον· καὶ, ἐμὲ δ' ἐπὶ ταχυτάτων· καὶ, Πέλοπος ἵνα ταχυτής· καὶ ἐπὶ τούτοις τὸ, θεὸς ἐπίτροπος ἐὼν, διὰ τὴν καὶ ὑπὲρ ῥιπὴν ὀφθαλμοῦ ὀξυκινησίαν τοῦ θείου. Τὸ ιδ' ὅμοιον τῷ ἑβδόμῳ, τροχαϊκὸν δίμετρον καταληκτικὸν, – υ – υ – υ –. Τὸ ιε' ἀντισπαστικὸν δίμετρον κατ' ἀντιπάθειαν ὑπερκατάληκτον. ἀντίσπαστος γὰρ καὶ παίων πρῶτος καὶ συλλαβή. ἀντιπαθεῖ δὲ, διότι ὁ ἀντίσπαστος μὲν συμφωνεῖ τῷ ἰάμβῳ, οἱ δὲ παίωνες τοῖς τροχαίοις· ἴαμβοι δὲ καὶ τροχαῖοι ἐναντίοι εἰσὶν, υ – – υ – υ υ υ –. Τὸ ις' ἀντισπαστικὸν μετὰ τροχαϊκῆς συζυγίας τῆς δευτέρας κατ' ἀντιπάθειαν, καὶ ὁ ὕστερος ἀνάπαιστος καὶ αὐτὸς οἰκεῖος τῷ τροχαίῳ· ὥςτε τρίμετρον βραχυκατάληκτόν ἐστιν, υ – – υ – υ – υ υ υ –. Τὸ ιζ' Φαλαίκειον, ἀπὸ Φαλαίκου τοῦ εὐρόντος καὶ χρωμένου αὐτῷ, ὅταν ὁ πρῶτος μόνος ἐστὶν ἀντίσπαστος, οἱ δὲ ἐφεξῆς ἴαμβοι. ἔστι δὲ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, υ – – υ υ – υ – υ –. [6]) Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς τε καὶ ἀντιστροφῆς μόνη παράγραφος ¬· αὕτη γάρ ἐστι σημεῖον τοῦ τέλους τῶν στροφῶν καὶ ἀντιστροφῶν. Ἰστέον ὅτι πᾶσαι αἱ στροφαὶ καὶ ἀντιστροφαὶ καὶ αἱ ἐπῳδοὶ τοῦ παρόντος ἐπινικίου ὅμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ πρώτῃ. ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν ἑξῆς, πλὴν τοῦ ιδ'. ἐκεῖνο γὰρ, μονόστροφον ὂν, ἐνηλλαγμένην ἔχει τὴν ἀντιστροφήν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ex Romana.

Ἡ δὲ ἐπῳδὸς ἔχει κῶλα ιγ'. Τὸ α' ἐκ παίωνος δευτέρου καὶ ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς κατὰ ἀντιπάθειαν. ἔστι δὲ δίμετρον ὑπερκατάληκτον, υ – υ υ υ – υ – –. [7]) Τὸ

1) Ἀντισπ. ex Vrat. D. Pal. C. 2) Indidem inde a v. τοῦ Ἰων. 3) Vrat. D. Pal. C. τὸ ιβ' ὅμοιον τῷ τρίτῳ. 4) Quae sequuntur usque ad vocem θείου, edidi ex Vrat. D. omissis verbis vulgati textus: ὅρα δὲ καὶ τὰς ταχυτῆτας καὶ τὰ κῶλα τῆς στροφῆς καὶ τῆς ἀντιστρόφου, ὅπου εὕρηται κείμενον. Τοιοῦτον γὰρ καὶ τὸ προκελευσματικόν. Ad scitam observationem metrici cf. nos de metr. Pind. III, 19. 5) Cod. νόος. 6) Vrat. D. Pal. C. sic: τὸ ιε' ἔκ τε ἀντισπάστου καὶ πρώτου παίωνος κατ' ἀντιπάθειαν καὶ συλλαβῆς. τὸ ις' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν κατ' ἀντιπάθειαν. τὸ ιζ' ἀντισπαστικὸν Φαλαίκειον συλλαβῆς δεούσης. 7) Vrat. D. Pal. C. τὸ α' παίων δεύτερος καὶ ἰαμβικὸν πενθημιμερές.

Digitized by Google

δεύτερον ἰαμβικὸν πενθημιμερές· πλὴν ὁ πρῶτος τρισύλλαβος, υ υ - υ - -. Τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἔχει δὲ καὶ τρισυλλάβους πόδας, υ - υ - υ - υ υ υ -. Τὸ δ' ἰαμβικὰ δύο πενθημιμερῆ καὶ συλλαβή· ἔστι δὲ ὁ πρῶτος τρίβραχυς χορεῖος, υ υ υ υ - υ - - υ - υ -. [1]) Τὸ ε' παιωνικὸν ἐκ παίωνος δευτέρου καὶ ἐξ ἐπιτρίτου τρίτου καὶ βακχείου, [2]) ὃς εἶδός ἐστι τοῦ παιωνικοῦ. εἰσὶ δὲ οἱ τοιοῦτοι πόδες οἰκεῖοι τοῖς παίωσιν, υ - υ υ - - υ - υ - -. Τὸ ς' ἀντισπαστικὸν συνάμα ἰαμβικαῖς συζυγίαις οἰκείαις τρίμετρον ἀκατάληκτον, υ - - υ υ - υ - υ - υ -. Τὸ ζ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον. ἔχει δὲ τὴν δευτέραν τροχαϊκὴν συζυγίαν οἰκείαν τοῖς Ἰωνικοῖς, - - υ υ - υ - υ -. Τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, - - υ - υ -. Τὸ θ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον, - - υ υ - -. Τὸ δέκατον ἰαμβικὸν δίμετρον ἀκατάληκτον, λεγόμενον Ἀνακρεόντειον. ὅλα γὰρ ᾄσματα αὐτῷ τούτῳ τῷ μέτρῳ συνετέθησαν, - - υ - υ - υ -. Τὸ ια' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον [3]) παρατετηρημένον. ἄρχεται γὰρ ἀπὸ βραχείας, ὡς γίνεσθαι τὸ πρῶτον β' παίωνα, υ - υ υ - - υ υ. Τὸ ιβ' ἐπιωνικὸν διὰ τὸν πρῶτον ἀντίσπαστον, οὐκ οἰκεῖον ὄντα τοῖς Ἰωνικοῖς καὶ τοῖς τροχαίοις, ἀλλὰ τοῖς ἰάμβοις· διὰ τοῦτο γὰρ καὶ οὐκ Ἰωνικὸν, ἀλλ' ἐπιωνικὸν λέγεται. εἰ δὲ καὶ τροχαϊκὴν τὴν κατακλεῖδα ἔχει, οὐ ξένον. οἱ γὰρ τροχαῖοι οἰκεῖοι τῷ Ἰωνικῷ, υ - - υ - - υ υ - υ -. Τὸ ιγ' χοριαμβικὸν δίμετρον καταληκτικόν· ἔχει γὰρ βακχεῖον τὴν κατακλεῖδα οἰκείαν ἰάμβοις καὶ χοριάμβοις, - υ υ - υ - -. [4]) Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνίς -ʒ· ἐπὶ δὲ τῆς τελευταίας ἐπῳδοῦ, ἤτοι ἐπὶ παντὸς τοῦ ᾄσματος μόνος ἀστερίσκος ⁜, ὃς δηλοῖ, ὡς τὸ ᾆσμα τετέλεσται.

Idem paullo aliter ex codice Trichae Florentino. [5])

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ α' εἴδους τῶν Ὀλυμπίων Πινδάρου.

Τοῦ πρώτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιζ'. ὧν τὸ α' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καὶ ἀπὸ Γλύκωνος Γλυκώνειον καλεῖται. τὸ β' τροχαϊκὸν δί-

1) In Codd. Vratisl. D. et Pal. C. sic habetur: τὸ γ' ἀντισπαστικὸν ἑκατέρωθεν ἔχον τὰς ἰαμβικάς. ἐν δὲ τῷ εὐάνορος ἐκτείνει τὸ ῥ. τὸ δέ γε πλέος κοινὴ συλλαβή. τὸ δ' ἰαμβικὸν πενθημιμερὲς καὶ ἐφεξῆς τρεῖς ἴαμβοι, ὡς εἶναι τρίμετρον μιᾶς δεούσης μέσον συλλαβῆς. 2) Vrat. D. Pal. C. τὸ ε' παιων. τρίμετρον τοῦ μέσου ὄντος ἐπ., τοῦ δὲ τελευταίου βακχ. Seqq. usque ad παιωνικοῦ indidem sumpsi. 3) Transposui verba secundum Vrat. D. 4) Haec Vrat. D. Pal. C. sic: τὸ ιβ' ἐπιωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου. τὴν δὲ κατακλεῖδα ἐκ τροχαίου καὶ τῆς ἀδιαφόρου. τὸ ιγ' χ. δ. κ. εἰς ἰαμβικὴν κατακλεῖδα περαιούμενον, τουτέστιν εἰς ἀμφίβραχυν ἢ βακχεῖον διὰ τὸ ἀδιάφορον τῆς τελευταίας. 5) Haec a Franc. de Furia Append. Drac. p. 52. edita, a nobis vero hinc inde leviter correcta, non Trichae sunt, sed eius de metris libro addita a librario, qui transcripserat, ut ipse dicit, ἐκ παλαιοῦ βιβλίου (vid. p. 42.). Neque vero haec alia sunt, quam quae Triclinius interpolavit, quamquam ne ipsa quidem ab omni recentioris aetatis labe remota sunt. Ceterum magna pars horum scholiorum concinit cum exemplaribus *scholiorum vulgarium* iis, quae in Vrat. A. et D. habentur, ex quibus textum vulgatum passim correxi. Exemplo sit Olymp. V. ubi ex

Digitized by Google

μετρον βραχυκατάληκτον, ὃ καὶ ἰθυφαλλικὸν ἀπὸ τοῦ Ἰθυφάλλου τοῦ Διονύσου. τὸ τρίτον χοριαμβικὸν δίμετρον καταληκτικόν. τὸ τέταρτον ἀναπαιστικὸν δίμετρον καταληκτικὸν, ὃ καὶ παροιμιακὸν, ὅτι αἱ παροιμίαι τῷ τοιούτῳ μέτρῳ ἐγράφοντο. τὸ ε' ὅμοιον τῷ β', ἤγουν τροχαϊκὸν καὶ ἰθυφαλλικὸν, πλὴν τὸν δάκτυλον ἐν τῇ τρίτῃ ἔχει καὶ οὐκ ἐν τῇ β'. τὸ ἕκτον ὅμοιον. τὸ ζ' τροχαϊκὸν δίμετρον καταληκτικὸν, ὃ καὶ Εὐριπίδειον καὶ ληκύθιον, ὡς ἐκ τοῦ ληκυθίου· τὸ γὰρ ληκύθιον, ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπείου πνεύματος, οἷον καὶ τροχαῖος πούς. τὸ η' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. τὸ θ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ δέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικόν. τὸ ἑνδέκατον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. . . . τὸ τρισκαιδέκατον προκελευσματικὸν δίμετρον καταληκτικόν. ἐχρήσατο δὲ προκελευσματικῷ διὰ τὸ ταχὺ τῆς φήμης. καὶ ἀλλαχοῦ γὰρ, νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ ταχὺ τοῦ νοῦ. καὶ ἀλλαχοῦ, ὁπότ' ἐκάλεσε πατὴρ, διὰ τὸ ταχὺ τῆς κλήσεως. τοιοῦτος γὰρ καὶ προκελευσματικὸς, ταχύς.' τὸ τεσσαρεσκαιδέκατον ὅμοιον τῷ ζ'. τὸ ιε' ἐξ ἀντισπάστου καὶ παίωνος α' δίμετρον ὑπερκατάληκτον. τὸ ἑκκαιδέκατον ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, πλὴν ἡ μίξις αὐτοῦ ἀντιπαθής. τὸ ἑπτακαιδέκατον ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καὶ Φαλαίκειον ἀπὸ Φαλαίκου.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κῶλων ιγ'. ὧν τὸ α' παιωνικὸν ὑπερκατάληκτον. τὸ β' ἰαμβικὸν πενθημιμερές. τὸ γ' ἀντισπαστικὸν, ἑκατέρωθεν δὲ ἔχει ἰάμβους. τὸ δ' ἰαμβικὸν πενθημιμερὲς, καὶ ἑξῆς πόδες ἴαμβοι τρεῖς, ὡς εἶναι τὸ πᾶν ἰαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ε' παιωνικὸν τρίμετρον. τὸ ἕκτον ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, συνεζευγμένον μετὰ ἰάμβων. τὸ ἕβδομον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον, τροχαίοις μεμιγμένον. τὸ ὄγδοον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ἔννατον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον. τὸ δέκατον ἰαμβικὸν δίμετρον, ὃ καὶ Ἀνακρεόντειον. τὸ ἑνδέκατον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· ἡ πρώτη ἀδιάφορος. τὸ δωδέκατον ἐπιωνικὸν ἐξ ἀντισπάστου τρίμετρον καταληκτικόν· ἡ κατακλεὶς τροχαῖος καὶ συλλαβή. τὸ τρισκαιδέκατον ὅμοιον τῷ τῆς στροφῆς τρίτῳ.

Παλαιόν. [1]) *Sunt eadem paullo aliter ex Vratisl. C. Mosc. B.*

Σύγκειται δὲ τὸ πρῶτον τουτὶ ᾆσμα καί τινα τῶν ἑξῆς ἐκ τριάδος ἐπῳδικῶν. ἔστι δὲ στροφῶν τεσσάρων, ἑκάστης δὲ στροφῆς καὶ ἀντιστροφῆς τὰ κῶλα ιζ'. τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καὶ ἀπὸ Γλύκωνος τοῦ εὑρόντος αὐτὸ Γλυκώνειον καλεῖται. Τὸ β' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικὸν ἀπὸ Ἰθυφάλλου τοῦ Διονύσου, ἔχον τὸν δεύτερον πόδα δάκτυλον. ἐμοὶ δὲ καὶ ἀντισπαστι-

illis libris et codice Trichae quaedam ad vulgata olim scholia annotavi: alia passim: et plura proferre ex schedis possem, si modo operae pretium esset. [1]) Nempe a Triclinio interpolatum.

Digitized by Google

κὸν δοκεῖ δίμετρον καταληκτικὸν, ὃ καλεῖται Φερεκράτειον ἀπὸ τοῦ εὑρόντος Φερεκράτους, ἐκ τροχαϊκῆς συζυγίας καὶ βακχείου. οἰκεῖα [1]) γὰρ τῷ μέτρῳ. Τὸ γ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς ἐκ παίωνος τετάρτου καὶ βακχείου ἢ ἀμφιβράχεος διὰ τὴν ἀδιάφορον. ἐμοὶ δὲ καὶ τοῦτο ἰθυφαλλικὸν δοκεῖ τροχαϊκὸν, τοῦ πρώτου ποδὸς τριβράχεος ἤτοι χορείου. εἴη δ' ἂν καὶ παιωνικόν. Τὸ δ' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν τὸ λεγόμενον παροιμιακόν. Τὸ ε' ὅμοιον δευτέρῳ. Τὸ ς' ὅμοιον τῷ αὐτῷ. Τὸ ζ' τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον καὶ ληκύθιον ὡς ἐκ τοῦ ληκυθίου. τὸ γὰρ ληκύθιον, ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπείου πνεύματος οἷον ὁ τροχαῖος πούς. Τὸ η' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ ἡμιόλιον ἐκ τροχαϊκῆς συζυγίας καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. Τὸ θ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ι' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Φερεκράτειον, ὡς εἴρηται, ἐξ ἀντισπάστου καὶ δακτύλου ἢ κρητικοῦ ἤτοι ἀμφιμάκρου. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ δακτύλου ἢ κρητικοῦ. ἐμοὶ δὲ καὶ δακτυλικὸν δοκεῖ πενθημιμερές. Τὸ ιγ' προκελευσματικὸν δίμετρον καταληκτικόν. ἐχρήσατο δὲ προκελευσματικῷ ἐνταῦθα, ὃς τετράβραχύς ἐστι, διὰ τὸ ταχὺ τῆς φήμης. φησὶ γὰρ, ὅθεν ὁ πολύφατος, καὶ ἐν ἑτέρῳ, νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ ταχὺ τοῦ νοῦ, καὶ ἐν ἑτέρῳ, ὁπότ' ἐκάλεσε πατὴρ, διὰ τὸ ταχὺ τῆς κλήσεως. τοιοῦτος γὰρ καὶ ὁ προκελευσματικὸς, ταχὺς ὡς ἐκ βραχέων συγκείμενος. εὐκίνητα γὰρ τὰ βραχέα, τὰ δὲ μακρὰ τῶν σωμάτων δυσκίνητα. Τὸ ιδ' τροχαϊκὸν ὅμοιον τῷ ζ'. Τὸ ιε' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ παίωνος πρώτου καὶ συλλαβῆς. ἔν τισι δὲ τῶν κώλων καὶ πεντασύλλαβός ἐστιν ὁ ἀντίσπαστος. ἐμοὶ δὲ δίμετρον δοκεῖ ἀκατάληκτον ἔχον καὶ τὸν β' πόδα ἐπίτριτον πεντασύλλαβον. Τὸ ις' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ ἀναπαίστου. καλεῖται δὲ τοῦτο Φαλαίκειον, ὅτε τὴν μὲν πρώτην ἔχει ἀντισπαστικὴν, τὰς δὲ λοιπὰς ἰαμβικάς. ἐνταῦθα δὲ ἀντιπαθής ἐστιν ἡ μίξις αὐτοῦ. Τὸ ιζ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Φαλαίκειον ἀπὸ Φαλαίκου, ὡς εἴρηται. ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς τε καὶ ἀντιστροφῆς μόνη παράγραφος· αὕτη γάρ ἐστι σημεῖον τοῦ τέλους τῶν τε στροφῶν καὶ ἀντιστροφῶν. Ἰστέον ὅτι πᾶσαι αἱ στροφαὶ καὶ ἀντιστροφαὶ τοῦ παρόντος ἐπινικίου ὅμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ πρώτῃ. ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν ἑξῆς πλὴν τοῦ ιδ'. ἐκεῖνο γὰρ ἐνηλλαγμένας ἔχει τὰς στροφάς.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστης ἐπῳδοῦ τὰ κῶλα δέκα τρία. Τὸ πρῶτον παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος δευτέρου καὶ ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς. ἐγὼ δὲ ἀντισπαστικὸν τοῦτό φημι δίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς ἀντισπάστου πεντασυλλάβου, τοῦ δὲ δευτέρου ἐπιτρίτου δευτέρου. Τὸ β' ἰαμβικὸν πενθημιμερὲς τοῦ πρώτου ποδὸς ἀναπαίστου. Τὸ γ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἀντισπάστου

[1]) Codd. οἰκεῖοι.

Digitized by Google

καὶ ἀναπαίστου ἢ βακχείου. καλεῖται δὲ τοῦτο Ἀλκαϊκὸν διὰ τὸ μέσον ἔχειν τὸν ἀντίσπαστον, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς. Τὸ δ' ὡς ἐμοὶ δοκεῖ, σύνθετον ἤτοι ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου, τὸν πρῶτον ἔχοντος πόδα τρίβραχυν ἤγουν χορεῖον, καὶ τροχαϊκοῦ πενθημιμεροῦς. εἴη δ' ἂν καὶ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ γ', τὸν πρῶτον ἔχον πόδα πεντασύλλαβον διϊάμβον, τὸν β' ἀντίσπαστον, τὸν δὲ γ' κρητικὸν ἤτοι ἀμφίμακρον. Τὸ ε' παιωνικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος δευτέρου, ἐπιτρίτου γ' καὶ βακχείου. Τὸ ς' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου, διϊάμβου καὶ αὖθις ἀντισπάστου ἢ διϊάμβου ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον. καλεῖται δὲ τοῦτο Φαλαίκειον, ὡς τὴν πρώτην χώραν ἔχον ἀντισπαστικὸν, τὰς δὲ λοιπὰς ἰαμβικὰς, ὡς εἴρηται. Τὸ ζ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. Τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον καλεῖται ὡς ἔχον τὸν ὅλον πόδα καὶ τὸ ἥμισυ αὐτοῦ. Τὸ ι' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀνακρεόντειον. Τὸ ια' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος β' οἰκείου τῷ μέτρῳ καὶ Ἰωνικοῦ. καὶ καλεῖται τοῦτο Κλεομάχειον, τὸ δίμετρον δηλονότι. Τὸ ιβ' ἐπιωνικὸν ἐξ ἀντισπάστου τρίμετρον καταληκτικόν. ἢ κατακλεὶς δὲ ἐκ τροχαϊκῆς συζυγίας καταληκτικῆς ἤτοι κρητικοῦ. καλεῖται δὲ τοῦτο Ἀλκαϊκὸν ἑνδεκασύλλαβον. Τὸ ιγ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ βακχείου. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνὶς, εἶτα παράγραφος. ἐπὶ δὲ τῆς τελευταίας ἐπῳδοῦ ἤτοι ἐπὶ τῷ τέλει παντὸς τοῦ ᾄσματος μόνος ἀστερίσκος, ὃς δηλοῖ, ὡς τὸ ᾆσμα τετέλεσται. Ἰστέον ὅτι πᾶσαι αἱ ἐπῳδοὶ τοῦ παρόντος ἐπινικίου ὅμοιαι καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ πρώτῃ. ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν λοιπῶν, εἰ καὶ μὴ ἔφθημεν κἂν τούτοις δηλώσαντες τὰ περὶ τούτου. χρὴ δὲ πᾶσιν ἐπινικίοις τὰ σημεῖα τιθέναι ἐπὶ τῷ τέλει τῶν τε στροφῶν καὶ ἀντιστροφῶν καὶ τῶν ἐπῳδῶν, ὡς ἐνταῦθα δεδήλωται.

Aliud de metro Olymp. I.

Ex Vratisl. A.

Τῶν ἐν τοῖς ἐπινίκοις τοῖς ὑπὸ Πινδάρου γεγραμμένοις εἰς τοὺς Ὀλυμπιονίκας πρώτη ᾠδὴ ἐπῳδική ἐστι τριαδικὴ περικοπῶν δ', καὶ ἔστιν ἡ πρώτη στροφὴ καὶ ἀντιστροφὴ κώλων ιζ', ἡ δὲ ἐπῳδὸς κώλων ιγ'. τῆς στροφῆς ἀντιστρόφου τὸ α' Γλυκώνειον. τὸ Γλυκώνειον μέτρον, τὸ καὶ ἀντισπαστικὸν, ἐστὶ τετρασύλλαβον συγκείμενον ἐκ βραχέος καὶ β' μακρῶν καὶ βραχέος, οἷον Ἀρίσταρχος. ὠνόμασται δὲ διὰ τὸ οἷον ἀντεσπαρμένον καὶ οἱονεὶ ἐναντίον διϊάμβον εἶναι. Τὸ β' Φερεκράτειον. Τὸ γ' ἰθυφαλλικὸν λελυμένου τοῦ α' τροχαίου. Τὸ δ' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν. Τὸ ε' Εὐριπίδειον τροχαϊκὸν δίμετρον καταληκτικὸν, ὅμοιον τῷ Νῦν ἐμοὶ [1]) πρὸ τειχέων. Τὸ ς' Φερεκράτειον ὅμοιον τῷ β'. Τὸ ζ' τροχαϊκὸν δίμετρον ὅμοιον τῷ ε'. Τὸ η' Φερεκρά-

[1]) Cod. μοι. Idem post τειχέων habet τὸ θ'.

Digitized by Google

τειον λεῖπον μιᾷ συλλαβῇ. Τὸ θ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, ὅ ἐστιν Ἀλκμανικόν. Τὸ ι' τροχαϊκὸν περίοδος ἀπὸ ἰάμβου. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον πλεονάζον τοῦ Εὐριπιδείου συλλαβῇ. Τὸ ιβ' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιγ' πενθημιμερὲς κοινὴν λύσιν [1]) ἔχον ἰαμβικοῦ καὶ τροχαϊκοῦ. Τὸ ιδ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἑφθημιμερές. Τὸ ιε' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἀπὸ δακτύλου τῆς ἰαμβικῆς ἀρξαμένης ἑπτασήμου. Τὸ ις' περίοδος ἀπὸ ἰάμβου, καὶ καλεῖται βακχεῖος ἀπὸ τροχαίου. Τὸ ιζ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον.

Τῆς δὲ ἐπῳδοῦ κώλων ιγ' τὸ α' τροχαϊκὸν δίμετρον ἀπ' ἰαμβικοῦ, ὁμοίως τῷ ι' τῆς στροφῆς. Τὸ β' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὸ γ' τροχαϊκὸν πενθημιμερές. Τὸ δ' ἐκ διμέτρου βραχυκαταλήκτου. Τὸ ε' ἐπιωνικὸν τρίμετρον καταληκτικὸν καὶ Φαλαίκειον. Τὸ ς' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ ζ' ὅμοιον τῷ ἕκτῳ. Τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θ' Ἱππωνάκτειον, Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ι' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ ια' Ἰωνικὸν παροξύτονον ἀκατάληκτον. Τὸ ιβ' προσοδικὸν [2]) ἐξ ἀντισπάστου καὶ Ἰωνικοῦ. Τὸ ιγ' χοριαμβικὸν δίμετρον καταληκτικόν.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Α'.

Ἱέρωνι Συρακουσίῳ.] Ἐπιγέγραπται ὁ ἐπινίκιος Ἱέρωνι τῷ Γέλωνος ἀδελφῷ νικήσαντι ἵππῳ κέλητι τὴν ογ' Ὀλυμπιάδα, ἢ ὡς ἔνιοι ἅρματι. ὁ δὲ αὐτὸς καὶ τὴν οζ' νικᾷ κέλητι, [3]) τὴν δὲ οη' τεθρίππῳ. συνέβη δὲ αὐτὸν νικήσαντα τεθρίππῳ τὴν οη' Ὀλυμπιάδα ἐν ταύτῃ τελευτῆσαι. τὸ δὲ ὄνομα τοῦ νικῶντος ἵππου Φερένικός ἐστι. μέμνηται δὲ αὐτοῦ Βακχυλίδης γράφων οὕτω· [4]) Ξανθότριχα μὲν Φερένικον Ἀλφεὸν παρ' εὐρυδίναν πῶλον ἀελλοδρόμον νικήσαντα. § ἦν Ἱέρων Δεινομένους παῖς· Δεινομένους δὲ παῖδες τέσσαρες, Γέλων, Ἱέρων, Πολύζηλος καὶ Θρασύβουλος. οὗτος δὲ ὁ Ἱέρων τύραννος ἦν Συρακουσίων τῶν ἐπὶ Σικελίᾳ. ἔσχε δὲ υἱὸν Δεινομένην. νικήσας δὲ τὰ Ὀλύμπια ἀνεκήρυξεν ἑαυτὸν Συρακούσιον καὶ Αἰτναῖον, κτίσας τὴν παρακειμένην [τῷ ὄρει πόλιν ἐν τῇ Σικελίᾳ Αἴτνην ὁμώνυμον τῷ ὄρει. Vet. [5])

1. Ἄριστον] κράτιστόν ἐστι. Gl. β. γ.

Ἄριστον μὲν ὕδωρ] Οὐδὲν ἕτερόν τι αὐτῷ τὸ προοίμιον βούλεται, ἢ τεσσάρων ὄντων τῶν ἱερῶν ἀγώνων συγκριτικῶς ἐπιδοξότερον τὸν Ὀλυμπιακὸν ἀποφῆναι. οἰκειό-

1) In Cod. est sigla λῦ, cum linea per dexterum litterae λ crus ducta. 2) Aliis προσοδιακόν. Sed operae pretium non est in hoc scholio commorari, quod non minus quam olim edita vulgaribus absurda immiscet. 3) ὁ δὲ — κέλητι ex Vrat. A. D. Mosc. B. Hafn. reliqua usque ad τεθρ. Vrat. C. D. Gott. Mosc. B. Ceterum verba ἵππῳ κέλητι et τεθρίππῳ commutari vult Bothius T. I. p. 7. quod fieri non potest. 4) Ursin. p. 202. 5) Post metrica leguntur; sed scholiastes recentior duxerat e vetere.

Digitized by Google

τατα δὲ καὶ τὴν εἰκόνα τῆς συγκρίσεως παρείληφε. τεσσάρων γὰρ ὄντων, ὡς ἔφην, τῶν ἱερῶν ἀγώνων, καὶ αὐτὰ τὰ κοσμικὰ στοιχεῖα ἰσάριθμα ὄντα τοῖς ἀγῶσι παραλαμβάνει· εἶτα τούτων τῶν στοιχείων χρειωδέστερον καὶ διαπρεπέστατον τὸ ὕδωρ παραλαμβάνει, τῇ τῶν φιλοσόφων ἑπόμενος γνώμῃ, οἳ φυσικώτερον κινηθέντος [1]) ἐκ τοῦ ὕδατος ἔφασαν καὶ τὰ ἄλλα τρία στοιχεῖα συνίστασθαι. τὸ μὲν γὰρ αὐτοῦ τὸ λεπτομερὲς ἀέρα λέγουσι γίνεσθαι, τὸ δὲ παχύτερον εἰς ἑαυτὸ συνιστάμενον γῆν, ἀποτελεῖν δὲ ἀπολεπτυνόμενον τὸν διάπυρον αἰθέρα πῦρ· διὰ τοῦτο ἄριστον εἶπε τὸ ὕδωρ, ἐπεὶ δοκεῖ τῆς τῶν ἄλλων γενέσεως αἴτιον εἶναι. τὸ γὰρ αἴτιον τῶν δι' ἑαυτοῦ γινομένων τοῦτο [2]) προὔχον τῶν ἄλλων. ἔνιοι δὲ καὶ τοῦτο προστιθέασι λέγοντες, ὅτι καὶ πρὸς τὰ λογικὰ καὶ ἄλογα ζῶα ἀναγκαιότερον [3]) εἶναι τὸ ὕδωρ, μάλιστα πρὸς θάλπος· καὶ ὅτι τὰ φυτὰ ἐκ τοῦ ὕδατος τρέφεται, ἡμεῖς δὲ ἐκ τῶν σπερμάτων ζῶμεν, τὰ δὲ σπέρματα οὐκ ἄλλως δύναται ζωογονηθῆναι, εἰ μὴ ὑπὸ τοῦ ὕδατος, εἰκότως τὸ ὕδωρ μεῖζον τῶν ἄλλων στοιχείων. τινὲς δὲ καὶ τὸ Ὁμηρικὸν παραλαμβάνουσιν· [4]) Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν. εἰ δὲ ὁ Ὠκεανὸς ποταμὸς καὶ ἡ μήτηρ Τηθὺς, ἤγουν ἡ πηγὴ, ἡ δὲ τῶν θεῶν γένεσις ἐκ τοῦ Ὠκεανοῦ γενιᾶται, εἰκότως καὶ [5]) τὸ ὕδωρ τῶν ἄλλων στοιχείων προτιμότερον. ἀπεδείξαμεν οὖν διὰ πολλῶν, τῶν τεσσάρων στοιχείων προτιμότερον τὸ ὕδωρ. πρὸς ταύτην τὴν ἀπόδειξιν καὶ τὸν Ὀλυμπιακὸν ἀγῶνα προτιμότερον καὶ κεφαλαιωδέστερον ἀποδείκνυσιν. § ἀρχὴ [6]) τῶν ὅλων κατὰ Θαλῆν τὸ ὕδωρ. τὸ δὲ ἑξῆς τοῦ λόγου· ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς διαπρέπει μεγάνορος ἔξοχα πλούτου· ἅτε αἰθόμενον πῦρ διάδηλόν ἐστι νυκτὶ, οὕτως ἐν πλούτῳ χρυσός. § Ἄλλως. τρία ἐν ἀνθρώποις Πίνδαρος ἄριστα εἶναι λέγει, τὸ ὕδωρ μὲν εἰς τὸ ζῆν, οὗ ἄνευ βιοῦν ἀδύνατον· [7]) εἶτα χρυσὸν ἐν πλούτῳ τῶν ἄλλων χρημάτων ἐμπρέποντα, καθάπερ ἐν τῇ νυκτὶ τὸ πῦρ· πρὸς δὲ δόξαν τὴν ἐν Ὀλυμπιάσι [8]) νίκην. ὁ δὲ νοῦς τοῦ προοιμίου ὅλου τοιοῦτος· ὥσπερ τὸ μὲν ὕδωρ τῶν ἄλλων στοιχείων χρησιμώτερον, ὁ δὲ χρυσὸς τῆς λοιπῆς ὕλης προτιμότερος, οὕτω καὶ ὁ Ὀλυμπιακὸς ἀγὼν προτιμότερος τῶν ἄλλων. καὶ δευτέραν ἀπόδειξιν συγκριτικὴν ποιεῖται τῶν τοῦ πλούτου χρημάτων ἀξιολογώτερον καὶ τιμιώτερον ἀποδεικνὺς τὸν χρυσόν. εἰ δὲ μὴ ἐβράδυνεν, ἠρκέσθη ἂν εἰς τὸν περὶ τῶν στοιχείων λόγον, καίτοι κεφαλαιωδέστερον ὄντα· ἀλλὰ πολύς ἐστιν ἐγκωμιάζων τὸν πλοῦτον. καὶ φαμὲν ἡττᾶσθαι αὐτὸν τῆς ἑαυτοῦ φύσεως φιλοχρηματίου τυγχανούσης. ὁ δὲ νοῦς· ὁ δὲ χρυσὸς ἐν ἅπασι τοῖς κτήμασι τοῦ δυνατοῦ πλούτου οὕτω διαλάμπει, ὡς ἐν νυκτὶ πῦρ καιόμενον. § Ἄλλως. τὸ δὲ ἑξῆς τοῦ λόγου· ἄριστον μὲν ὕδωρ· ἀρχὴ γὰρ τῶν ὅλων κατὰ Θαλῆν τὸ ὕδωρ· [9]) ὁ δὲ χρυσὸς διαπρέπει μεγάνορος ἔξοχα πλούτου, ἅτε αἰθόμενον πῦρ διάδηλόν ἐστιν ἐν νυκτὶ, οὕτως ἐν πλούτῳ χρυσός. § Ἄλλως. σύγκρισις τῶν ἀγώνων πρὸς τὰ στοιχεῖα [10]) ἐξ αὐτοῦ τοῦ προοιμίου. καὶ γὰρ ἐκεῖνα ὃν τρόπον αἴτια τοῦ ζῆν τοῖς ἀνθρώποις εἰσὶ, τὸν αὐτὸν καὶ τοῦ καλῶς ζῆν τούτους αἰτίους φησίν. ἐπειδὴ μὲν οὖν πρώτιστον καὶ τῶν ἄλλων στοιχείων ἄμεινον τὸ ὕδωρ ἐστὶ, παραβάλλει

1) Gott. φυσικωτάτῳ, Gott. et Vrat. D. κινήματι. 2) Addidi τοῦτο ex Vrat. D. Gott. 3) Vrat. D. ἀναλογώτερον. 4) Iliad. ξ, 201. 5) Καὶ Vrat. D. Gott. 6) Delevi γὰρ post ἀρχ. ex iisdem. Aliud hoc scholion est, in codd. plane separatum. 7) Vrat. D. Gott. βιοτεύειν οὐ δυν. 8) Vrat. D. Gott. τὴν Ὀλυμπίᾳ ν. 9) Supplevi e Vrat. ex collatione Schneideri. 10) Vrat. D. addit γράφεται.

Digitized by Google

αὐτὸ τῇ τῶν Ὀλυμπίων νίκῃ, ὡς καὶ αὐτῇ προὐχούσῃ τῶν ἄλλων τεσσάρων. § Ἄλλως. Ὁ δὲ χρυσὸς διαπρέπει τοῦ μεγάλως δυναμένου πλούτου, ἅτε τὸ αἰθόμενον πῦρ ἐν νυκτὶ, ἤγουν ὁ πυρσός· ἀπὸ κοινοῦ τὸ διαπρέπει. Vet.

Ἄριστον μὲν ὕδωρ] Ἐπειδὴ τέσσαρές εἰσιν ἀγῶνες, Ὀλύμπια, Νέμεα, Ἴσθμια καὶ Πύθια, οἱ μὲν τρεῖς ἐν Πελοποννήσῳ, ὁ δὲ τῶν Πυθίων ἐν Δελφοῖς γινόμενος, ὧν τὰ μὲν Ὀλύμπια καὶ Νέμεα εἰς Δία, εἰς Ποσειδῶνα δὲ τὰ Ἴσθμια, τὰ δὲ Πύθια εἰς Ἀπόλλωνα ἐτελεῖτο, ἔστι δὲ καὶ τέσσαρα στοιχεῖα τὰ τὸ πᾶν συνιστῶντα, πῦρ, ἀὴρ, ὕδωρ, γῆ· ἐπεὶ ταῦτα οὕτως ἔχει, βουλόμενος τὸν Ὀλυμπιακὸν ἀγῶνα κρείττω τῶν τριῶν ἀποδεῖξαι καὶ δέον οὕτως εἰπεῖν· ὥσπερ τὸ ὕδωρ κρεῖττον τῶν ἄλλων στοιχείων· ἐπὶ δὲ [1]) τῇ συγκρίσει ταύτῃ ἑτέραν ποιεῖ λέγων· ὁ δὲ χρυσὸς διαπρέπει καὶ διαλάμπει ἐξόχως καὶ ὑπερτάτως τοῦ μεγάνορος καὶ τοῦ τοὺς ἄνδρας μεγίστους κατά τε νοῦν καὶ ψυχὴν ποιοῦντος νομίζεσθαι πλούτου, ἢ τοῦ μεγαλαύχους τούτους ποιοῦντος. πλοῦτον δὲ ἐνταῦθα καλεῖ τὴν τῶν κτημάτων καὶ θρεμμάτων καὶ τῶν ἄλλων περιουσίαν. θέλων δὲ δεῖξαι, πῶς ὑπερέχει ὁ χρυσὸς τοῦ πλούτου, φησίν· ἅτε, καὶ καθὰ, πῦρ αἰθόμενον καὶ καιόμενον καὶ λάμπον ἐν νυκτί. ἄριστον δέ ἐστι τὸ ὕδωρ τῶν ἄλλων στοιχείων οὕτω. φασὶ γὰρ οἱ φυσικοὶ αἴτιον τὸ ὕδωρ τῆς τῶν τριῶν οὐσίας εἶναι, καὶ τὸ μὲν λεπτομερέστερον αὐτοῦ ἀέρα γίνεσθαι, τὸ δὲ παχύτερον εἰς ἑαυτὸ καθιστάμενον γῆν, ἀπολεπτυνόμενον δὲ τὸν διάπυρον αἰθέρα, ἤτοι τὸ πῦρ. † Ἄριστον μὲν ὕδωρ] τῶν ἄλλων δηλονότι στοιχείων. καὶ γὰρ τὰ μὲν ὑπερθετικὰ ἐπὶ τὰ ὁμογενῆ ἀεὶ τὴν ὑπέρθεσιν ἔχει, καὶ χωρὶς ἐκείνων πολλάκις λέγεται καὶ ἔχει ταῦτα συνυπακουόμενα, ὡς ἐνταῦθα τὸ ἄριστον. τὰ δὲ συγκριτικὰ χωρὶς ἐκείνων, πρὸς ἃ τὴν σύγκρισιν ἔχει, οὐ δύναται λέγεσθαι, εἰ μὴ ἐπὶ θεοῦ λαμβάνοιτο, ὡς τὸ κρεῖττον παρὰ τῇ θείᾳ γραφῇ. Rec.

3. † Ἅτε διαπρέπει] τὸ διαπρέπει λέγεται μεταβατικῶς μεσιτευούσης ἀεὶ προθέσεως. οἷον διαπρέπει τόδε ἐπὶ τοῖσδε, ἤγουν διὰ πάντων τούτων πρέπει, τουτέστι παραβαλλόμενον πρὸς πάντα ταῦτα ἀποκρύπτει αὐτὰ, καὶ εὐπρεπὲς αὐτὸ μόνον δοκεῖ ἐν αὐτοῖς εἶναι. ἐπὶ πολλὰ δὲ ἀεὶ ἢ δυνάμει ἢ ἐνεργείᾳ ποιεῖται ταύτην τὴν ἑαυτοῦ μετάβασιν, καὶ οὐδέποτε ἐφ' ἕν. ὑπερθετικοῦ γὰρ τρόπον τινὰ δύναμιν ἔχει. δυνάμει δὲ εἴρηται διὰ τὰ περιληπτικὰ τῶν ὀνομάτων, οἷον τὸ χορὸς, τὸ δῆμος, τὸ πλοῦτος. ταῦτα γὰρ ἑνικὰ ὄντα τῇ φωνῇ πληθυντικὰ τῇ δυνάμει εἰσί. λέγεται δὲ καὶ μόνον κατ' ἐξαίρετον, καθὰ καὶ τὰ ὑπερθετικὰ ἐνίοτε, ὡς ἐνταῦθα· Αἰθόμενον πῦρ διαπρέπει νυκτί. οὐ γὰρ πρὸς τὴν νύκτα παραβαλλόμενον εὐπρεπές ἐστι· τοῦτο γὰρ ἀσύνετον λέγειν· ἀλλ' ἐν νυκτὶ καιόμενον διαλάμπει, πρὸς τὰ ἄλλα δηλονότι παρατιθέμενον, ἃ λαμπρότητα ἔχει. § Οἱ λαμβάνοντες εἰς τὸ πλούτου ἔξωθεν τὸ ἐπὶ, καὶ τὸ ἔξοχα ἀντὶ τοῦ λίαν λέγοντες, ἀμαθεῖς. ἔστι δὲ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἔξοχα, τὸ δὲ ἔξοχα ἀντὶ τοῦ ἐπέκεινα. ὥσπερ οὖν ἐπέκεινα πάντων φαμὲν, οὕτω καὶ ἔξοχα πάντων. Rec.

4. Μεγάνορος ἔξοχα πλούτου] μεγάνορα εἶπε τὸν πλοῦτον, ὡς μὲν ἔνιοι, διὰ τὰ κατασκευάζειν τοὺς κεκτημένους αὐτὸν αὐχητικοὺς καὶ ὑπερόπτας, καὶ ὅτι αὐτὸς γίνεται μεγαλήνωρ διὰ τὸ πολλὰ δύνασθαι κατεργάζεσθαι. νεῦρα γὰρ πολέμου ὁ χρυσός. § Ἄλλως. μεγάνορος, ἤτοι τοῦ αὐξάνοντος τὰς τύχας τῶν ἀνθρώπων, καὶ ποιοῦντος

[1]) Heynius δὲ uncis inclusit. Sed δὲ inservit apodosi indicandae.

Digitized by Google

μείζονα φρονεῖν τῶν καθηκόντων, ἢ ὅτι αὐτὸς μεγάνωρ [1]) ἐστὶ διὰ τὸ πολλὰ δύνασθαι κατεργάσασθαι. νεῦρα γὰρ πολέμου χρυσός. [2]) Vet.

5. Εἰ δ' ἄεθλα] ἆθλα νῦν εἴρηκε τὰ ἀγωνίσματα. ἔλεγον δὲ οὕτω καὶ τὰ ἔπαθλα. Ὅμηρος· [3]) Ἱππῆας, τὰ δ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι. ἢ ἄεθλα τὰ ἀγωνίσματα, περιφραστικῶς τοὺς ἀγῶνας. πρὸς ἑαυτὸν δὲ ἐκφέρων εἶπεν· ὦ φίλον ἦτορ, εἰ δὲ καταλέγειν ἆθλα βούλει, νόμιζε ὡς ἐν ἄστροις ἥλιον φαεινότερον, οὕτως ἐν ἄθλοις τὸν Ὀλυμπιακὸν ἀγῶνα πρωτεύειν. Vet.

† Εἰ δ' ἄεθλα] ἆθλον καὶ βραβεῖον τὸ αὐτό, ὡς λῆμμα καὶ δῶρον. λέγεται δὲ οὕτω τὸ διδόμενον γέρας τῷ νικήσαντι ἀθλητῇ ἀπὸ μὲν τῶν διδόντων αὐτὸ βραβευτῶν βραβεῖον, ἀπὸ δὲ τῶν ἀθλούντων ἆθλον. ἐνταῦθα δὲ ἆθλα λέγει τοὺς ἀγῶνας. Rec.

Γαρύεν] φωνεῖν, καταλέγειν, διακρίνειν, ὑμνεῖν. Δωρικῶς δὲ τὸ γαρύεν, τοῦ ῑ ἐκλείψαντος. § Ἄλλως. γαρύεν τὸ γαρύειν λέγει, καὶ ἔστιν ἀποβολὴ τοῦ ῑ, ὅπερ ἔθος Δωριέων. ἡ δὲ γῆρυς ὅτι ἐπὶ τῆς φωνῆς εἴρηται, εὑρίσκομεν καὶ παρ' Ὁμήρῳ· [4])

Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς.

ἔθος δέ ἐστι Πινδάρῳ, μὴ οἷς προοιμιάζεται συγκριτικοῖς, τούτοις τὰ συγκρινόμενα εὐθέως ἐπάγειν, ἀλλὰ μεταξύ τινα εἰκόνα ἀποδεικτικὴν τῆς βελτιότητος [5]) παρεντιθέναι, καὶ οὕτω τὴν σύγκρισιν ἐπιφέρειν. ποιεῖ δὲ τοῦτο θερμός τις ὢν καὶ πολύνους περὶ τὰ νοήματα. Vet.

6. Ἐπιθυμεῖς, ὦ φίλη ψυχή. Gl. α. β. γ.

8. Θαλπνότερον] θερμότερον, φανερώτερον, φαεινότερον. τῇ γὰρ θέρμῃ καίειν τὸν ἀέρα καὶ φωτίζειν ποιεῖ. Vet.

9. Ἐν ἀμέρᾳ] εὖ [6]) καὶ ἐκ τοῦ καροῦ τὸ ἄγαν λαμπρὸν τοῦ ἡλίου δείκνυσιν ὡς πρὸς σύγκρισιν τῶν ἄλλων ἄστρων, ἅτινα κατὰ τοῦτον τὸν καιρὸν ἐξασθενεῖ φαίνεσθαι. διὸ καὶ ἁρμοδίως ἄστρον ἐπήγαγεν. ἔρημον εἶπε τὸν αἰθέρα διὰ τὸ ἄγαν πυρῶδες, καὶ τὸ μὴ πλησιάζειν αὐτῷ ζῶον ἐν τῷ ἀσφαλεῖ. ἢ ὅτι τὸ ἔρι μόριον λέγουσιν ἀντὶ τοῦ μεγάλως, ὡς Ὅμηρος· [7]) Ἐριαύχενας ἵππους. τὸ δὲ σαφὲς οὕτως ἔχει· εἰ δέ, ὦ προσφιλεστάτη ψυχή, ἀγῶνας φωνεῖν καὶ διακρίνειν μέλλεις καὶ διακηρύσσειν, μηκέτι τοῦ ἡλίου σκόπει ἕτερον ἄστρον μήτε θερμότερον μήτε λαμπρότερον διὰ τῆς ἐρήμου αἰθέρος φερόμενον ἐν ἡμέρᾳ· μηδὲ τοῦ Ὀλυμπιακοῦ ἀγῶνος ἕτερον βελτίονα. Vet.

Εἰκότως εἶπε τὸ ἐν ἀμέρᾳ. ἡλίου γὰρ ἐν ἡμέρᾳ λάμποντος οὐδὲν τῶν ἄστρων ὁρᾶται. Rec.

Ἄστρον] κακῶς εἶπεν ἄστρον. ἔδει γὰρ εἰπεῖν ἀστέρα. τὰ γὰρ ἐκ πολλῶν συγκείμενα ἀστέρων ζώδια ἄστρα λέγεται, ὁ δὲ ἥλιος ἀστήρ. τὸ δὲ ὅλον εἰπεῖν· ὥςπερ ἐν ἄστροις ἥλιον εἴποις [8]) θαλπνότερον, οὕτως ἐν ἀγῶσι προκρίναις Ὀλυμπίαν. Vet.

1) Sic Gott. et fere Vrat. Vulgo αὐτομεγάνωρ. Deinde scripti κατεργάσασθαι, ut etiam in priori scholio Vrat. et Gott. 2) Postrema addidi e Vrat. 3) Iliad. ψ, 273. 4) Iliad. δ, 437. 5) Sic Vrat. A. Vulgo βελτιώσεως. Infinitivos in seqq. praebent libri. 6) Addidi ex Vrat. A. deinde ὡς p. καὶ ex Vrat. D. et Gott. et ἄστρον p. ἄστρα ex Vrat. A. indidemque τὸ ante πλησ. 7) Iliad. κ, 305. Vulgo abest ἢ ὅτι, quod dedi ex Vrat. A. qui et μεγάλου p. μεγάλως. 8) Sic Gott. Vulgo εἴπῃς.

Digitized by Google

† Φαεινὸν ἄστρον, ἀντὶ τοῦ ἀστέρα. διαφέρει ἄστρον καὶ ἀστήρ. ἀστὴρ γὰρ ὁ μονομερής· ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον. Rec.

10. Ἐρήμας δι' αἰθέρος] ἀνεφέλου ἀέρος. Gl. α. β. γ.

Ἐρήμας δι' αἰθέρος] ἡ μὲν θάλασσα ἔχει τοὺς ἰχθῦς, ἡ δὲ γῆ τὰ τετράποδα καὶ τὰ ἑρπετά, ὁ δὲ ἀὴρ τὰ πτηνά, ὁ μέντοι αἰθὴρ πυρώδης ὢν οὐκ ἔχει. ἢ ἐρήμης, τῆς μὴ ἐχούσης νέφος· οὐ γὰρ συνίσταται εἰς θερμασίαν. ἢ διὰ τὸ μὴ φαίνεσθαι οἰκούμενον. ἢ ὡς πρὸς ἡμᾶς ἐρήμης, διὰ τὸ ἡσύχιον καὶ ἔρημον. Vet.

Τὸν αἰθέρα ἐνταῦθα θηλυκῶς εἶπε ποιητικῷ ἔθει. ἐρήμας δὲ δι' αἰθέρος οἱ μέν φασι τοῦ οὐρανίου πυρὸς, ᾧπερ οὐ πλησιάζει τι τῶν παρόντων διὰ τὸ αὐτοῦ δαπανητικόν· διὸ καὶ ἔρημός ἐστιν. ἐγὼ δέ φημι τὸν ἀέρα· ὃς εἰ καὶ πέτονται ἐν αὐτῷ ζῶα, ἀλλὰ διὰ τὸ μὴ οἰκεῖν ἐνταῦθα ἔρημός ἐστιν. ἄλλως τε καὶ τί τῆς ἐκείνων ἀλογίας γένοιτ' ἂν χεῖρον, ἐπεὶ τὸ μὲν πῦρ ἄνω ὂν ἡμῖν οὐχ ὁρᾶται, ἡμεῖς δὲ διὰ τοῦ ἐν τῷ μεταξὺ γῆς οὐρανοῦ καὶ ἀέρος διαφανοῦς ὄντος ἥλιον καὶ σελήνην καὶ ἄστρα καταλαμβάνομεν. ὅτι δὲ καὶ τὸ αἰθὴρ ἀντὶ τοῦ ἀὴρ εὕρηται, μαρτυρεῖ καὶ Ἀριστοφάνης λέγων περὶ τῶν νεφελῶν οὕτως· [1]) Ἡμέτερον πατέρ' αἰθέρα βιοθρέμμονα πάντων. ἐν γὰρ τῷ ἀέρι καὶ οὐκ ἐν τῷ πυρὶ αἱ νεφέλαι συνίστανται, καὶ οὗτος πᾶσι φυτοῖς καὶ ζώοις τὸ ζῆν παρέχει. † Ἐρήμας δι' αἰθέρος] παρὰ τοῖς Ἴωσιν οὕτω θηλυκῶς προφέρεται· ὡς ἡ κίων καὶ ἡ Μαραθών. οὐ πάντα δὲ τὰ τοιαῦτα Ἰωνικά ἐστιν· ἐπεὶ καὶ οἱ Ἀττικοὶ πολλὰ τῶν ὀνομάτων ἀρσενικὰ ὄντα θηλυκῶς ἐκφέρουσιν. Rec.

11. † Ὀλυμπίας ἀγῶνα] Ὀλυμπία, Πίσα καὶ Ἦλις τὸ αὐτό· Ὀλύμπια δὲ οὐδετέρως ὁ ἐκεῖ τελούμενος ἀγών. Rec.

12. † Αὐδάσομεν] ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ, ὡς ἐν τῷ· [2]) Ἵνα εἴδομεν ἄμφω. Rec.

13. Ὅθεν ὁ πολύφατος] πολύδοξος. Gl. α. β. γ.

Ὅθεν ὁ πολύφατος] ἐκ τοῦ Ὀλύμπου [3]) περιβάλλεται ταῖς τῶν σοφῶν μητίεσσι, καὶ ὑπὸ πάντων τούτων κατασκευάζεται. ἀμφιβάλλεται δὲ, ἤτοι κοσμεῖται ἢ περιγράφεται καὶ περιλαμβάνεται, ὥσπερ καὶ Ὅμηρος· [4]) Τορνώσαντο δὲ σῆμα. § Ἄλλως. οἷον εἰπεῖν γράφεται, περιβάλλεται. ἔνιοι δὲ προβάλλεται, κοσμεῖται ὁ ὕμνος. ἡ μεταφορὰ ἀπὸ τῶν στεφάνων. ὅθεν, ἀπὸ τῆς Ὀλυμπίας. [5]) πολύφατος δὲ, ὁ πολύφημος, ὁ ὑπὸ πολλῶν φημιζόμενος καὶ λεγόμενος, πολυθρύλλητος. Vet.

16. Κρόνου παῖδα] ἔστι μὲν τὴν ἑστίαν δέξασθαι Κρόνου, καθότι πρόκειται· [6]) βέλτιον δὲ οὕτω δέξασθαι· εἰς τὴν τοῦ Ἱέρωνος ἐλθόντας ἑστίαν, τὸν τοῦ Κρόνου παῖδα τὸν Δία ὑμνεῖν. πιθανώτερον γὰρ τῆς νίκης Ὀλυμπιακῆς οὔσης τὸν Ὀλύμπιον Δία παρὰ τῷ Ὀλυμπιονίκῃ ἀνυμνεῖσθαι. τὸ δὲ ἐς ἀφνεὰν εἶπεν, ὅτι τὸ ἱπποτροφεῖν πλουσίων· τὸ δὲ ἱκομένους ἀντὶ τοῦ παραγενόμενοι λέγει· [7]) τῇ γὰρ αἰτιατικῇ ἀντὶ ὀρ-

1) Nub. 569. 2) Iliad. α, 363. 3) „Lege ἐκ τῆς Ὀλυμπίας, ἐκ τοῦ Ὀλυμπιακοῦ ἀγῶνος." Heyn. Μητίεσσι Vrat. D. Gott. Vulgo μητίεσι. 4) Iliad. ψ, 255. 5) Ὅθεν ἀ. τ. Ὀ. addidi ex Vrat. A. et Gott. 6) Nempe puncto posito post κελαδεῖν, ut est in Rom. 7) Sic Vrat. A. Vulgo παραγενομένους omisso λέγει. Idem χρῶνται p. κεχρ.

Digitized by Google

θῆς κέχρηται. [§ ὅπερ οὐκ οἶμαι λόγον ἔχειν.] κελαδεῖν, ὑμνεῖν. μάκαιραν, εὐδαίμονα, πλουσίαν. [1]) Vet.

† Μηδ' Ὀλυμπίας ἀγῶνα] εἰ μὲν ἱκόμενοι γράφεται, τὸ ἑξῆς ἔχει οὕτω· μηδὲ ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἐν Ὀλυμπίᾳ ἀγῶνος, ἀφικόμενοι εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος τὴν εὐδαίμονα· τὸ δὲ, ὅθεν ὁ πολύφατος μέχρι τοῦ Κρόνου παῖδα, διὰ μέσου οὕτως· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὁ ὕμνος, οὗ πολὺ κλέος, πλέκεται βουλαῖς σοφῶν, περιφραστικῶς ἀντὶ τοῦ ὑπὸ τῶν σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου, τουτέστι τὸν Δία, ὅς ἐστι δεσπότης τοῦ ἀγῶνος. εἰ δὲ ἱκομένοις, οὕτω· μηδὲ ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἀγῶνος τοῦ ἐν Ὀλυμπίᾳ· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὁ ὕμνος, οὗ πολὺ κλέος, πλέκεται ἡμῖν νοήμασι σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου, ἀφικομένοις εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος, τὴν μακαρίαν, τὴν εὐδαίμονα, τουτέστι τὴν Σικελίαν· ὃς, ἤγουν ὁ Ἱέρων, διέπει βασιλείαν δικαίαν ἐν τῇ Σικελίᾳ τῇ πολυμήλῳ, ἀντὶ τοῦ τῇ πολυθρέμμονι. † Εἰ δὲ ἀγῶνας θέλεις ὑμνεῖν, ἃ προσφιλὴς ἐμοὶ ψυχὴ, μηδὲ ζήτει ἰδεῖν ἐν ἡμέρᾳ ἄλλον τινὰ ἀστέρα λαμπρὸν, θερμότερον τοῦ ἡλίου, δι' ἐρήμου τοῦ αἰθέρος, φερόμενον δηλονότι· ἤγουν μὴ ὑπὸ νεφελῶν κρυπτόμενον· ὅτε γὰρ ἀσυνεφής ἐστιν ὁ οὐρανὸς, τότε ἡ τοῦ ἡλίου δείκνυται θερμότης. [2]) Rec.

Κρόνου παῖδ' ἐς ἀφνεάν] οἱ μὲν πρὸς τὸ ἑστίαν συντάσσουσιν· ἐπλανήθησαν δὲ εἰς τοῦτο, διότι ἡ καταρχὰς τὴν οἰκίαν εὑροῦσα ἡ Ἑστία ἦν, ἥτις ἦν Κρόνου θυγάτηρ, ἀφ' ἧς καὶ τὴν οἰκίαν ἑστίαν λέγομεν. ἐγὼ δὲ Κρόνου παῖδα λέγω τὸν Δία, ὃν δίκαιον ἐπαινεῖσθαι πρὸ τῶν νενικηκότων, διὰ τὸ αὐτοῦ τὴν πανήγυριν εἶναι, εἰς ἣν οὗτοι ἐνίκησαν. πρῶτον δὲ καθολικῶς εἰπὼν, ἀπὸ τῆς Ὀλυμπίας ἔρχεσθαι τοὺς ὕμνους ἐν τοῖς σοφοῖς ἐπαινοῦσι τοὺς νικῶντας· ἐπειδὴ ὁ νῦν νενικηκὼς ὁ Ἱέρων ἦν, ὃ πρὸς τοῦτον τὸν ἔπαινον ἐργαζόμενος, διὰ τοῦτο πρὸς Ἱέρωνα τὸν λόγον ἀπέτεινε. καὶ ἔστι τὸ ἱκομένους, δι' ἑαυτόν. Rec.

18. Θεμιστεῖον] βασιλικόν. Gl. α.

Θεμιστεῖον] Ἡρωδιανὸς προπαροξύνει· ἀναλογώτερον γάρ· ἡ δὲ χρῆσις προπερισπᾷ. [3]) § Ἄλλως. Θεμιστεῖον· τὸ δίκαιον, παρὰ τὸ Θέμις. ἀμφέπει δὲ τὸ περιέπει, οἱονεὶ θεραπεύει. Vet.

Τοῦτο ἡ μὲν ἀναλογία προπαροξύνει, ἡ δὲ συνήθεια προπερισπᾷ. ἐπικρατεῖ δὲ ἡ συνήθεια, ὡς ἐν τῷ χάριεν. κἀκεῖνο γὰρ, ὅσον κατὰ τὴν ἀναλογίαν, ἐπὶ τῆς παραληγούσης ἂν εἶχε τὸν τόνον, ἀλλ' ἡ συνήθεια προπαροξύνουσα αὐτὸ ἐπεκράτησεν. Rec.

Ἀμφέπει] διέπει. περιέπειν γάρ ἐστι τὸ φίλον τινὰ κυβερνᾶν καὶ θάλπειν, διέπειν δὲ τὸ διοικεῖν. ἐνταῦθα δὲ ὁ λόγος τὸ δεύτερον ἀπαιτεῖ. Rec.

† Σκᾶπτον ἐν πολυμάλῳ] σκῆπτρον, ἡ βασιλικὴ ῥάβδος. ἀπὸ ταύτης δὲ ἐνταῦθα τὴν βασιλείαν θέλει δηλοῦν. τοῦτο δὲ καὶ παρὰ τῷ πεζῷ λόγῳ ἐστὶν ἐν χρήσει. σκᾶπτον δὲ κατὰ Δωριεῖς τὸ σκῆπτρον, ἀποβολῇ τοῦ ῥ γινόμενον. Rec.

Σκᾶπτον ἐν πολυμάλῳ Σικελίᾳ] φησὶ τὴν βασιλείαν. περιπέφρασται δὲ ὁ λό-

1) Haec inde a κελαδ. Vrat. A. Illud ὅπερ — ἔχειν notula Thomae est. 2) Haec inde a † pertinent ad vs. 5. reliqui tamen h. l. ne ordinem traditum mutarem. 3) Sic Vrat. A. Vulgo παροξύνει.

Digitized by Google

γος. βούλεται δὲ εἰπεῖν· ὃς μετὰ δικαιοσύνης βασιλεύει τῆς εὐδαίμονος Σικελίας. ὁ γὰρ πολύμηλος ἀπὸ μέρους εὐδαίμων· ὅθεν νόει τὸ ὅλον. [1]) Vet.

20. Δρέπων μέν] ἀντὶ τοῦ δρεπόμενος, ἀπανθιζόμενος πασῶν ἀρετῶν τὸ τέλειον, ἀνδρείας καὶ [2]) δικαιοσύνης καὶ τῶν ἑξῆς, αὐτὸ τὸ ἄκρον δρεπόμενος ἀπὸ πασῶν [3]) τῶν ἀρετῶν· οἱονεὶ ἀφ' ἑκάστης τὸ ὠφέλιμον καρπούμενος. § Ἄλλως. ἀκαταλλήλως τὸ δρέπων τῷ ἀγλαΐζεται ἐπενήνοχεν. ἐχρῆν γὰρ εἰπεῖν ἀγλαϊζόμενος, ἵν' ᾖ, καλλωπιζόμενος ἐπὶ τῷ [4]) τῆς μουσικῆς κάλλει, τουτέστι τῆς ᾠδῆς. § Ἄλλως. ἀγλαΐζεται δέ· ἀκαταλλήλως τὸ δρέπων τῷ ἀγλαΐζεται. ἐχρῆν γὰρ εἰπεῖν· ἀγλαϊζόμενος ἐν τῷ τῆς ᾠδῆς ἄνθει καὶ τῇ ᾠδῇ, ἤτοι μουσικὸς ὢν ἢ περὶ τὴν μουσικὴν διακείμενος. φίλην δὲ τράπεζαν, ἢ ὅτι κατὰ τὸ ἀναγκαῖον συνεστιῶνται, ἢ ὅτι ἐκ ταύτης αἱ φιλίαι. § Ἄλλως. ἀγλαΐζεται δὲ, ἐπαγωγικῶς ἀπὸ τῶν καταριθμηθέντων. εἰρηκὼς γὰρ ἀφνεὸς, ἀγαθὸς, δίκαιος, βασιλεὺς, ἐν τῇ ἀρετῇ τὸ δίκαιον, ἐν τῷ πλουτεῖν τὸ νικᾶν, φησὶν ὅτι κέκτηται καὶ μουσικὴν, ἵνα πάσας τὰς βιωτικὰς ἀρετὰς εἴπῃ. § Ἄλλως. τῷ εἶναι μουσικὸς [5]) ἢ τῷ διακεῖσθαι περὶ μουσικὴν, ὥσπερ φιλίατρος, [6]) οὕτως ἐστίν· ἀλλὰ τῷ ἀώτῳ, τῆς ᾠδῆς ἄνθει, τουτέστιν ἐν ταῖς ᾠδαῖς. οὐδὲν γὰρ ἕτερον μουσικῆς ἄνθος ἢ αἱ ᾠδαί. Οἷα δὲ, ἔφη, [7]) περὶ τὸν πότον εἰώθασι λέγεσθαι. § ἀγλαΐζεται δὲ καὶ σεμνύνεται καὶ ἐν τῷ τῆς μουσικῆς ἀπανθίσματι, οἱονεὶ πεπαίδευται τὴν μουσικήν. Vet.

Ἀγλαΐζεται] δέον εἰπεῖν ἀγλαϊζόμενος πρὸς τὸ μέτρον ἀγλαΐζεται εἶπεν. εὕρηται δὲ καὶ παρὰ τοῖς λογοποιοῖς. φησὶ γὰρ ὁ Συνέσιος· Τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος ἐν τῷ ἑαυτοῦ βίῳ γενόμενος, ἀλλ' ὑπὲρ τῆς εὐγενείας ἀμφισβητῶν τῷ Κέκροπι διετέλεσε. διὰ δὲ τοῦ εἰπεῖν· ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτῳ, ἤτοι μουσικῇ, περιφραστικῶς δείκνυσιν αὐτὸν εἰρήνης ἀπολαύοντα καὶ οὐ πολέμους ἔχοντα. εἰρηναίας γάρ ἐστι καταστάσεως, μουσικῇ καὶ αὐλοῖς τὴν ψυχὴν θέλγειν. Rec.

20-22. Δρέπων] τρυγῶν. Gl. β. γ. Κορυφάς] τὰ ἐξαίρετα. Gl. α. β. προτερήματα. Gl. γ. Ἀγλαΐζεται] λαμπρύνεται. Gl. α. β. γ.

Ἐν ἀώτῳ μουσικῆς, ἀντὶ τοῦ ἐν ἐξαιρέτοις μέλεσι μουσικῆς κατ' ἐκεῖνο τὸ μέρος, ὃ παίζομεν οἱ ἄνθρωποι θαμὰ, ἀντὶ τοῦ πολλάκις, περὶ φίλην τράπεζαν, ἀντὶ φιλικὴν, ἤγουν φίλους συνεστιωμένους ἔχουσαν. Rec.

24. Οἷα παίζομεν φίλαν] τὴν φιλοποιόν. οὐ γὰρ ἐχθροὶ εἰς τράπεζαν συναν-έρχονται. [8]) τὸ δὲ παίζομεν, ὡς πρὸς τράπεζαν, οὔτι τὸ σπουδαῖον· ἄκαιρον γάρ. ὁ δὲ νοῦς· ὁποίαν μάλιστα μουσικὴν οἱ ἄνθρωποι συνεχῶς κατὰ τὰ συμπόσια περὶ τὴν

[1]) Haec sunt ex Vrat. A. nisi quod post δικαιοσύνης delevi ἀνυμνεῖσθαι, et in fine pro νοοῖτο scripsi ὅθεν νόει τὸ ὅλον. Hinc natum est, quod initio sequentis scholii inter vetera legebatur: πολυμάλου] τῆς εὐδαίμονος ἀπὸ μέρους νοοῖτο, ubi Gott. νοεῖ τὸ ὅλον. Genitivus πολυμάλου etc. natus est ex isto βασιλεύει τῆς etc. Initio vero sequentis scholii delevi ea quae retuli verba, et δρέπων μέν, quod vulgo grammatici fuit, poetae dedi. [2]) Καὶ addidi ex Vrat. A. D. Gott. [3]) Sic Vrat. A. Vulgo δρεπ. ἁπασ. [4]) Addidi ἐπὶ ex Vrat. A. [5]) Sic Vrat. A. Vulgo μουσικόν. [6]) Heynius vult φιλαοιδὸς, h. e. φιλόμουσος. Codd. nihil auxilii praebent. Pro οὕτως ἐστὶν unus et alter librorum οὕτως εἶναι et οὕτω διακεῖσθαι. [7]) Vulgo ἔφησε τοῖς περὶ, Heynius: ἔφη, ἐν τοῖς περί. Quod dedi, est ex Vrat. A. Καὶ σεμνύνεται addidi ex Gott. [8]) Sic Gott. Vulgo συνέρχονται. Deinde οὐ vulgo: Vrat. A. οὔτι.

Digitized by Google

προσφιλῆ τράπεζαν παίζομεν. καλῶς καὶ μετὰ τὴν εὐωχίαν εἶπεν. οὐ γὰρ ἦν σπουδαίου ἄνευ τοῦ εὐωχεῖσθαι κιθαρίζειν. ἀμφίβολον οὖν, πότερον ἀγλαΐζεται μουσικᾶς [1]) ἐν ἀώτῳ μουσικὰ συζητῶν παρὰ τῷ δείπνῳ, ἢ ἐπεὶ λύρα περιεφέρετο τοῖς δειπνοῦσιν, ὡς ἀπαρχομένων παιδιᾷ μουσικῆς τοῦ εἰς Ἱέρωνα ὕμνου. [2]) Vet.

† Οἷα παίζομεν] ἀντὶ τοῦ κατ' ἐκεῖνο τὸ μέρος, ὃ παίζομεν· ὁμοιωματικὸν ἀναφορικὸν ἀντὶ ἀναφορικοῦ δεικτικοῦ. τοῦτο δὲ καὶ παρὰ τοῖς κοινοῖς ἐστιν ἐν χρήσει. τὸ Δωρίαν οἱ μέν φασιν ἱστορικῶς διὰ τοῦτο ὅτι πρῶτοι οἱ ἐν Παρνασῷ Δωριεῖς λύραν ἐπήξαντο· οἱ δὲ μυθικῶς ὅτι πρῶτος Ἑρμῆς ταύτην πήξας Ἀπόλλωνι δῶρον ἔδωκεν. οὗς αὐτὸς ἐάσας Δωρίαν νόει τὴν Δώριον μέλος ᾄδουσαν [3]) ἐν τῷ Ἱέρωνος ἐπινικίῳ, ἢ ὅτι ὁ ἐπινίκιος Δωριστὶ συνετέτακτο. εἰσὶ δὲ ἁρμονίαι τρεῖς· Δώριος, Φρύγιος, Λύδιος. ἀναλάμβανε, ὦ ψυχή, τὴν Δωρίαν φόρμιγγα, καὶ ὕμνει τὸν Φερένικον ἵππον Ἱέρωνος καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτου χάρις τὸν νοῦν εὔφρανε. Πίσα χώρα καὶ Ἀλφειὸς ποταμὸς πλησίον Ἤλιδος ἐν Πελοποννήσῳ εἰσί. λέγουσι δέ τινες τὴν Πίσαν καὶ τὴν Ἦλιν πάνυ πλησίον εἶναι, ὅπερ οὐκ ἔστιν ἀληθές· πεντήκοντα [4]) γὰρ στάδια ἀλλήλων διέχουσι. Πίσα δὲ ἐκλήθη ἀπὸ Πίσης τῆς θυγατρὸς Ἐνδυμίωνος. ἐλέγετο δὲ ὁ τόπος τοῦ ἀγῶνος καὶ Πίσα καὶ Κρόνιος λόφος. τὸ δὲ Σύτο παρ' Ἀλφεῷ, καταχρηστικῶς εἶπεν. οὐ γάρ ἐστιν ἐν τῷ τοῦ ἀγῶνος τόπῳ οὗτος ὁ ποταμός, ἀλλὰ πόῤῥω. Rec.

26. Δωρίαν ἀπὸ φόρμιγγα] παρ' ὅσον οἱ ὑπὸ τὸν Παρνασὸν οἰκοῦντες Δωριεῖς πρῶτοι λέγονται τὸ ὄργανον ἐσκευακέναι. οἱ δὲ παρὰ τὸ δῶρον ἀκούουσιν, ὅτι δὴ τὴν λύραν Ἑρμῆς ἀντὶ τῆς τῶν βοῶν κλοπῆς Ἀπόλλωνι παρέσχεν. οἱ δὲ ὅτι Δωρικῇ ἁρμονίᾳ ἥρμοσται τῷ Πινδάρῳ ἡ λύρα. ἁρμονίαι δὲ πλείονες, Δώριος, Φρύγιος, Λύδιος. τὸ δὲ ἀπὸ δύναται μὲν ἀκούεσθαι καὶ πρὸς τὸ πασσάλου, ἵν' ᾖ, ἀπὸ πασσάλου· δύναται δὲ καὶ πρὸς τὸ λάμβανε, ἵν' ᾖ ἀπολάμβανε. ἐκ τούτου τὸ ἀκμαῖον [5]) τὸ τῆς ἐγκωμίου γραφῆς ὑποφαινόμενον ἂν εἴη. § Ἄλλως. ἀλλὰ Δωρίαν] ὅτι Δωριστὶ συντέτακται ὁ ἐπινίκιος. περὶ δὲ τῆς Δωριστὶ ἁρμονίας εἴρηται ἐν Παιᾶσιν, ὅτι Δώριον μέλος σεμνότατόν ἐστι. [6]) πασσάλου δὲ, ὅτι ἐπὶ πασσάλων ἔκειντο αἱ κιθάραι· καὶ Ὅμηρος· Πασσάλῳ ἀγκρεμάσας· [7]) διὰ τὸ ἑτοίμους εἶναι εἰς τὸ ἀναλαβεῖν, ἢ ὅτι ὡς ἀνάθημα ἔν τινι τόπῳ τοῦ οἴκου ἀνάκεινται. Vet.

28. Πίσας τε] τὸ Πίσας τε συσταλτέον διὰ τὸ ἀντίστροφον. οὕτω δὲ οἱ περὶ Πίνδαρον καὶ Σιμωνίδην. περὶ δὲ τῆς Πίσης, ὅτι ὁ τόπος ἐν Ἤλιδι ὑπὸ ὑψηλῶν ὄχθων περιεχόμενος, Πολέμων φησίν. ἔνιοι δὲ ὑποσυγχέουσι τὴν Πίσαν καὶ τὴν Ἦλιν, οὐκ ὀρθῶς δέ· διέστηκε γὰρ ἀπ' ἀλλήλων τὰ χωρία σταδίοις πεντήκοντα. ὠνόμασται δὲ Πίσα

1) Sic cod. Sed huiusmodi minutias posthac iam non indicabo. 2) Vulgo ἀπερχομένων παιδιᾷ μουσικῇ. Beckius correxit ἀπαρχ. ego μουσικῆς dedi ex Gott. qui ἀπερχ. τοῦ διὰ μουσικῆς τοῦ Ἱ. ὕ. 3) Vulgo οὖσαν, et paullo ante αὐτούς. Heynius voluit αὐτὸς et ᾄσασαν. 4) Pisam et Olympiam haud procul disseminatas fuisse constat, quippe sex fere stadiorum intervallo: vide praeter alios minus accurate definientes schol. vet. Olymp. XI, 55. Iam vero Olympia ab Elide distabat stadiis trecentis auctore Strabone VIII, p. 244. igitur scholiastes ad h. l. fallitur cum vetere ad vs. 28. 5) Sic Vrat. A. Olim ᾧσμα. 6) Vulgo ποτὶ Δ. μ. σ. ἐ. Correxit Schneiderus. 7) Odyss. α. 440. Vulgo ἐγκρεμάσας.

Digitized by Google

ἀπὸ τῆς Πίσης τῆς Ἐνδυμίωνος θυγατρός. § Ἀναλάμβανε, ὦ Πίνδαρε, τὴν Δωρίαν φόρμιγγα, καὶ ὕμνει τὸν Φερένικον ἵππον τοῦ Ἱέρωνος, καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτων χάρις τὸν νοῦν ηὔφρανεν. § Ἄλλως. εἴ τινά σοι ἡ Πίσα καὶ Φερένικος νικήσας παρέσχε λόγων εὐπορίαν. Vet.

29. Φερενίκου] ὄνομα τοῦ νικήσαντος ἵππου. ὁ δὲ νοῦς· εἴτι σοι, ὦ θυμέ, ἡ τοῦ ἵππου καὶ τῆς Πίσης χάρις τὸν νοῦν ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν. § χάρις δὲ ἡ ἐπὶ τῇ νίκῃ ἡδονή. φροντίδα δὲ λέγει τοῦ ἐπινικίου τὴν σκέψιν. [1]) Vet.

Πρὸς τὴν ἑαυτοῦ πάλιν ψυχὴν ἀποτείνει τὸν λόγον· ἀλλὰ τὴν τοῖς Δωρίοις μέλεσιν ἁρμόζουσαν φόρμιγγα ἀπὸ παρσάλου λάμβανε καὶ μὴ ἀργῶς αὐτὴν ἔα κεῖσθαι· ἀλλὰ λάμβανε καὶ κίνει πρὸς τοὺς ἐπαίνους, εἴ σοι κατά τι τὸν νοῦν ὑπὸ γλυκυτάταις ἐποίησε φροντίσιν, ἤγουν τὴν γλυκυτάτην φροντίδα, τῶν ἐγκωμίων δηλονότι, φροντίζειν ἐποίησε, τὸ ἐπαγωγὸν τοῦ ἀγῶνος τοῦ ἐν τῇ Πίσῃ καὶ τῆς ἀρετῆς τοῦ ἵππου τοῦ Φερενίκου· ὅτε αὐτὸς ὁ Φερένικος σύτο, ἤγουν ἐσεύετο, ἔτρεχε, πλησίον τοῦ Ἀλφειοῦ ποταμοῦ, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ, τὸ ἑαυτοῦ σῶμα διδοὺς ἐν τοῖς δρόμοις μὴ δεόμενον κέντρου· τῇ νίκῃ δὲ ἤνωσε, τουτέστι νικῆσαι ἐποίησε, τὸν ἑαυτοῦ δεσπότην Ἱέρωνα, τὸν βασιλέα τὸν τῇ ἱππικῇ χαίροντα. διάδηλον δέ ἐστιν αὐτοῦ κλέος, ἤγουν τοῦ Ἱέρωνος, παρὰ τῇ ἀποικίᾳ τοῦ Πέλοπος τοῦ Λυδοῦ, ἤγουν ἣν ἀποικισθεὶς ὁ Πέλοψ τῆς ἑαυτοῦ πατρίδος τῆς Λυδίας ᾤκησε, τουτέστι τῇ Πελοποννήσῳ, τῇ καλῶς ἐχούσῃ ἕνεκα γενναιότητος ἀνδρῶν. Rec.

32. Ὅτε παρ' Ἀλφεῷ] ἐν Ἤλιδι. ὁ γὰρ Ἀλφεὸς ἐν Ἀρκαδίᾳ τὰς πηγὰς ἔχει, καὶ ἀπ' αὐτῶν ἀρχόμενος περιῤῥεῖ καὶ τὴν Ἦλιν. τὸ δὲ σύτο δέμας, [2]) ὥρμα πρὸς τὸν δρόμον. Vet.

Σύτο] ἔτρεχεν. Gl. β. γ.

33. Ἀκέντητον] ἀμάστικτον αὐτοῦ τῷ κατὰ φύσιν τάχει τὸ σῶμα κατὰ τὸν ἀγῶνα διαφυλάξας. ἐκ δὲ τούτου τὸ ταχὺ καὶ πρόθυμον τοῦ ἵππου δηλοῖ. καὶ παρὰ τῷ Ὁμήρῳ· [3]) Ἄνευ κέντροιο θέουσαι. § ἔσυτο δὲ, οὕτως ὥρμησεν, ὡς μὴ δεῖσθαι κέντρου καὶ μάστιγος. § Κράτει δὲ ἀντὶ τοῦ [4]) τῇ νίκῃ. ὁ δὲ νοῦς· ὁ δὲ Φερένικος ταχύνας ἑαυτὸν κατὰ τὸν ἀγῶνα, τῇ νίκῃ προσέμιξε τὸν ἑαυτοῦ δεσπότην Ἱέρωνα. § Ἱπποχάρμαν δὲ τὸν τῇ ἱππικῇ χαίροντά φησι. [5]) καλῶς δὲ τὸ ἐπίθετον τῷ βασιλεῖ, διὰ τὸ ἱπποτροφεῖν, ἵνα δείξῃ, ὅτι οὐ τύχης γέγονεν ἔργον τὸ τῷ Φερενίκῳ χρήσασθαι, ἀλλ' ἐπιστήμης καὶ τῆς περὶ τὸ πρᾶγμα ἐπιμελείας. ἔνιοι δὲ ἀναγινώσκουσι παροξύνοντες τὴν παραλήγουσαν συλλαβὴν τῶν Συρακουσίων καὶ τὴν ἐσχάτην τοῦ ἱπποχάρμαν περισπῶσιν, ἵν' ᾖ, τῶν Συρακουσίων ἱπποχαρμῶν. τὸν γὰρ Ἱέρωνα οὐκ εἶναι Συρακούσιον ὅτε ἐνίκα· κτίσαντα γὰρ αὐτὸν τὴν Κατάνην καὶ προσαγορεύσαντα Αἴτναν ἀπ' αὐτῆς Αἰτναῖον λέγουσιν αὐτόν. εὐήθεις φησὶ Δίδυμος τούτους· τότε γὰρ ὁ Ἱέρων ἦν Συρακούσιος, καὶ οὐδὲ ἦν Αἰτναῖος, ὡς φησιν Ἀπολλόδωρος. ὁ δὲ Ἀριστόνικος ἀξιοπίστως, Αἰτναῖον ὄντα Συρακούσιον ὀνομάζεσθαι. Vet.

[1]) Haec inde a § Vrat. A. [2]) Σύτο δέμας agnoscit Vrat. D. [3]) Iliad. ψ, 387. [4]) Sic Vrat. A. Gott. Vulgo ἤγουν, quod recentiorum est. [5]) Haec ex Vrat. A. Eadem fere una cum seqq. in Rec. erant.

Digitized by Google

37. Οἱ] αὐτῷ, ἤτοι τῷ ἵππῳ ἢ τῷ Ἱέρωνι, ὃ καὶ βέλτιον. Εὐάνορι] ἐν τῇ εὐάνορος ἀποικίᾳ τοῦ Πέλοπος, τουτέστιν ἐν τῇ Πελοποννήσῳ. γράφεται καὶ ἐποικίᾳ, ταυτὸν δὲ δι' ἀμφοτέρων. ἀποικίαν δὲ, οὐχ ἣν αὐτὸς ἔστειλεν, ἀλλ' ἣν αὐτὸς ἐστείλατο. τινὲς δὲ εὐάνορι, δοτικὴν ἀντὶ γενικῆς, τοῦ εὐάνορος. ἐξ ἀνδρείας γὰρ νικήσας ἔσχε τὴν Ἦλιν. Vet.

Εὐάνορι] τῇ εὐδαίμονας ἐργαζομένῃ τοὺς ἄνδρας διὰ τὰς ἐν Ὀλυμπίᾳ νίκας, ἢ τῇ ἐχούσῃ καλοὺς ἄνδρας καὶ ἀνδρείους. Rec.

Λυδοῦ Πέλοπος] Πίνδαρος τὸν Πέλοπα Λυδόν φησιν εἶναι. Ἴστρος δὲ Παφλαγόνα, Αὐτεσίων [1]) Ἀχαιὸν ἀπ' Ὠλένου πόλεως, ἧς καὶ Ὅμηρος [2]) μνημονεύει· Καὶ Ὠλενον ἠδὲ Πυλήνην. § λόγος τις τοῖς ἱστορικοῖς ἐπὶ τὸ μυθικώτερον πέπλασται, ὡς οἱ θεοὶ ἐπὶ Ἑστίαν ἐκάλεσαν τὸν Τάνταλον εἰς ἔρανον, ὅ ἐστι τὴν εὐωχίαν παρασκευάσαντες. ἐπειδὴ οὖν καὶ αὐτὸς ὁ Τάνταλος τῷ τοῦ ἐράνου τρόπῳ ἀντεισφέρειν τοῖς θεοῖς εὐωχίαν ἠπόρησεν, ἀσεβοῦς ἐπιχειρήματος πρόφασιν τὸ ἄπορον ἔσχε. διακόψας γὰρ τὸν Πέλοπα ἐγκαθῆκε λέβητι καὶ ἑψήσας τοῖς θεοῖς παρέθηκε· μόνην δὲ τὴν Δήμητραν τῶν κρεῶν ἀγνοίᾳ μεταλαβεῖν λέγουσι, τινὲς δὲ τὴν Θέτιδα· γνωρίσαντα δὲ τὸν Δία Ἑρμῇ προστάξαι ἐγκαθεῖναι πάλιν λέβητι τὰ κρέα καὶ ὑγιῆ τὸν παῖδα ἀποδοῦναι. ὁ δὲ Βακχυλίδης τὸν Πέλοπα τὴν Ῥέαν λέγει ὑγιάσαι καθεῖσαν διὰ τοῦ λέβητος· [§ τοῦ δευτέρου [3]) ἀκουστέον·] ἀφ' οὗ καὶ ὑγιὴς ἀνεδόθη. § Ἄλλως. λέγεται τῆς Δήμητρος ἀπογευσαμένης τῶν τοῦ Πέλοπος ὠμείων κρεῶν ἐλεφάντινον Ἑρμῆν ὦμον προσαρμόσαι τῷ Πέλοπι· τούτου φασὶ καὶ ὑπόμνημα τοὺς Πελοπίδας φέρειν λευκότητά τινα κατὰ τὸν ὦμον. τὸ ἐπὶ τοῦ ὤμου τοῦ Πέλοπος οἱ μὲν λευκὸν ὡς διὰ τὸν ἐλέφαντα ἔφασαν, οἱ δὲ λόγχην ἐπὶ τὸν βραχίονα, οἱ δὲ ἐπὶ τὸν ἀριστερὸν βραχίονα Γοργόνα, οἱ δὲ ἐπὶ τῆς ὠμοπλάτης τρίαιναν μαρτυροῦσαν αὐτῷ τοῦ Ποσειδῶνος ἔρωτι. [4]) Vet.

38. Μεγασθενής] Gl. γ. μεγαλοδύναμος. Gl. β. ἰσχυρότατος.

Οὗ μεγασθενής] οὗτινος, τοῦ Πέλοπος δηλονότι, ἔρωτα ἔσχεν ὁ Ποσειδῶν, ὁ μεγάλην ἔχων ἰσχὺν, ὁ τὴν γῆν συνέχων. ἐπεὶ γὰρ ἐπ' αὐτῷ ἐστι τὸ κινεῖν αὐτὴν, ἐπ' αὐτῷ δηλονότι ἐστὶ καὶ τὸ μὴ κινεῖν. διὸ οὐ μόνον Ἐνοσίχθων, ἀλλὰ καὶ Ἀσφάλιος καὶ Γαιήοχος ὁ αὐτός. ἠράσθη δὲ αὐτοῦ, ἀφ' οὗ ἐξήνεγκεν αὐτὸν τοῦ ἱεροῦ, διὰ τὴν θυσίαν, λέβητος ἡ Κλωθὼ, ἐλεφαντίνῳ ὀστῷ λαμπρὸν ἔχοντα τὸν ὦμον. † Μεγασθενής. τὰ παρὰ τὸ σθένος καὶ γένος ὀνόματα σύνθετα κύρια μὲν ὄντα παροξύνεται· οἷον Δημοσθένης, Ἀντισθένης, Διογένης, Θεογένης· ἐπίθετα δὲ ὀξύνονται· οἷον μεγασθενὴς, ἀσθενὴς, μονογενὴς, εὐγενής. κατὰ ταυτὰ καὶ Ἀριστοφάνης καὶ Μητροφάνης παροξύνεται κύρια ὄντα· ἀφανὴς δὲ καὶ προφανὴς καὶ διαφανὴς ὀξύνεται ἐπιθετικῶς λεγόμενα· ὧν τὰ μὲν κύρια ἀπὸ τοῦ φαίνειν γίνεται, τὰ δὲ ἐπίθετα ἀπὸ τοῦ φαίνεσθαι. τὰ δὲ εἰς ος ἀπὸ τοῦ φαίνεσθαι πάντα προπαροξύνεται, εἴτε κύριά εἰσιν εἴτ' ἐπίθετα, οἷον ἄφαντος, πρόφαντος, Διόφαντος. Ἱστορία. Τάνταλος τιμώμενος πάνυ παρὰ θεοῖς καὶ βουλόμενος αὐτοὺς ἀνταμείψασθαι σφάττει τὸν ἑαυτοῦ παῖδα Πέλοπα, καὶ δεῖπνον παρατίθησι τοῖς θεοῖς. τῶν ἄλλων οὖν θεῶν ἀποδεξαμένων [5]) αὐτὸν τῆς γνώμης καὶ μὴ φαγόντων, Δη-

1) Olim Ἀντεσίων. 2) Iliad. β, 639. 3) Sic Vrat. A. 4) Haec inde ab Ἄλλως Vrat. A. In fine lege τὸν τοῦ Ποσ. ἔρωτα. 5) Male Beck. μὴ ἀποδ. Nam ἀποδ. αὐτὸν τ. γν. est: *perspicientes eius consilium.*

Digitized by Google

μήτηρ ἐλθοῦσα ἐκ τῆς θυγατρὸς ζητήσεως καὶ ἀγνοοῦσα τὸν ὦμον κατέβρωξεν. ἐμβαλόντες οὖν αὐτὸν οἱ θεοὶ εἰς λέβητα καὶ ὁλόκληρον αὖθις συμπήξαντες, ἐπεὶ ὁ ὦμος ἀπῆν, ἐλεφάντινον ἀντέθηκαν. διὸ καὶ οἱ ἀπὸ Πέλοπος καταγόμενοι τοιοῦτον εἶχον τὸν ὦμον. τὴν Κλωθὼ δὲ λέγει ἐξελεῖν αὐτὸν ἐκ τοῦ λέβητος, διότι συγκεκλωσμένον ἦν αὐτῷ παρὰ τῆς τύχης αὖθις ἀναζωωθῆναι· ὃ μὴ δεχόμενος ὁ Πίνδαρος ἐλέγξει μὲν προϊὼν, νῦν δέ φησιν· ἢ θαῦμα τὰ πολλά· ὅπερ τριπλῶς νόει οὕτως· ὄντως θαῦμα ὑπάρχουσι τὰ πολλά· ὄντως πολλὰ θαύματά εἰσιν· ὄντως θαυματὰ καὶ θαυμαστά εἰσι τὰ πολλά. Rec.

40. Καθαροῦ λέβητος] ἐν ᾧ συνετίθετο ὁ Πέλοψ, ἀφ' οὗ καὶ ὑγιὴς ἐγένετο. ὅτε τῆς Δήμητρος τὸν ὦμοπλάτην αὐτοῦ φαγούσης κατ' ἄγνοιαν ἐλεφάντινος ὦμος ἐτέθη αὐτῷ ὑπ' αὐτῆς. Vet.

Ἐπεί νιν καθαροῦ λέβητος] οἷον ἀφ' οὗ αὐτόν· οἱ δὲ, ἐπειδὴ αὐτόν. Κλωθὼ δὲ μία τῶν Μοιρῶν. [1]) εἴρηται δὲ παρὰ τὸ ἐπικλώθειν ἑκάστῳ τὸ πεπρωμένον. Vet.

† Φαίδιμον ὦμον] περιττῶς κεῖται τὸ φαίδιμον· ἢ τὸ κεκαδμένον ἀντὶ τοῦ ἔχοντα. σύνηθες δὲ τούτοις τὸ τοιοῦτον. Rec.

43. Ἢ θαύματα πολλά] ἄπιστον εἶναι βούλεται τὸν τῆς ἱστορίας λόγον Πίνδαρος, ὅτι ἐκρεουργήθη ὁ Πέλοψ. ὁ δὲ ἢ βεβαιωτικός. τινὲς δὲ ὀξυτόνως ἀναγινώσκουσιν ὡς κατὰ ἀποβολὴν τοῦ σ̄, ἵν' ἦ θαυμαστὰ ἔργα. ὡς καὶ Ἡσίοδος· θαυματὰ ἔργα. ἔνιοι δὲ παράδοξα ἤκουσαν. [2]) Vet.

Θαῦμα τά] ὄντως ἄξια θαύματος ταῦτα κατὰ πολύ. Gl. α.

† Ἢ θαῦμα τά] ὄντως ἔκπληξις τὰ πλείω τῶν πραγμάτων, καί που κατά τι παρασύρουσιν ἔξω τοῦ ἀληθοῦς λόγου τὰς φρένας τῶν ἀνθρώπων καὶ λόγοι ψεύδεσι ποικίλοις πεποικιλμένοι. ἡ ἐπαγωγὸς δὲ δύναμίς ἐστι τῶν ποιητικῶν δηλονότι λόγων· τῇ ποιητικῇ γὰρ ἐφεῖται τὰ τοιαῦτα· ἥτις ἅπαντα πρὸς τοὺς ἀνθρώπους παρασκευάζει τὰ μείλιχα, τὰ εὐπαράδεκτα, τὰ ἡδέα, ἐπιτιθεῖσα αὐτοῖς τιμὴν, ἀντὶ τοῦ δύναμιν αἰδοῦς καὶ τιμῆς ἀξίαν· ἢ ἐπιφέρουσα τιμὴν ἑαυτῇ δηλονότι. καὶ τὸ ἄπιστον ἀπὸ τῆς ἑαυτῆς φύσεως ἐμηχανήσατο πολλάκις πιστὸν τοῦτο εἶναι, ἀντὶ τοῦ δοκεῖν. αἱ ἡμέραι δὲ αἱ ἔμπροσθεν γίνονται ἔλεγχοι σοφώτατοι τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους. ἔστι δὲ πρέπον τῷ ἀνθρώπῳ εἰπεῖν περὶ τῶν θεῶν καλὰ, τουτέστι λόγους ἀγαθὴν δόξαν ἔχοντας. ἐλάττων γὰρ οὕτω μέμψις, ἀντὶ τοῦ οὐδεμία· ἀλλὰ καὶ ἔπαινος μᾶλλον. § μὴ συνάψῃς τὸ θνατοῖς πρὸς τὸ τεύχει, ὥς τινες οἴονται, ἀλλὰ πρὸς τὸ ἐπιφέρουσα, οὕτως· ἐπὶ τοῖς θνατοῖς φέρουσα τιμὰν, ἤτοι παρ' αὐτῶν τιμωμένη. τὸ γὰρ ἐν ἀνθρώποις φέρειν τιμὴν, τιμᾶσθαί ἐστι. Rec.

44. Καί πού τι καί] καὶ δὴ οἱ λόγοι εἰσὶ τῶν ἀνθρώπων, φησὶν, οἵτινες ποικίλων λόγων τεχνάσμασιν εἰς τὸ ἀπατῆσαι τοὺς ἀκούοντας πεποικιλμένοι ὑπὲρ τὸν ἀληθῆ λόγον ἐξαπατᾶν δύνανται. ἔνιοι δὲ φάτιν, [3]) ἀντὶ τοῦ τὰς φρένας τῶν ἀνθρώπων ἀπατῶσιν οἱ ψευδεῖς λόγοι. § Ἄλλως. ἡ τῆς ποιητικῆς, φησὶ, χάρις καὶ τὰ ἄπιστα ποιεῖ πιστά. § Ἄλλως. οἱ μῦθοι ὑπὲρ τὸν ἀληθῆ λόγον ἰσχύουσι καὶ ἐξαπατῶσι τοῖς

[1]) Sic haec Vrat. A. [2]) Haec Vrat. A. Cf. nott. critt. [3]) Alii φασὶν cum Vrat. A. D. male.

Digitized by Google

δεδαιδαλμένοις ψεύδεσι καὶ ποικίλοις. πολλὰ γὰρ ἀληθῆ νομίζεται ἐκ τῆς φήμης, ὅτε τὸ ψεῦδος προσλάβῃ. Vet.

48. Χάρις δ' ἅπερ] ἡ δὲ χάρις τῆς ποιητικῆς γραφῆς καὶ τῆς κατὰ τὸν μῦθον ποικιλίας τε καὶ ψυχαγωγίας, ἥτις καὶ τοῖς ἀνθρώποις ἅπαντα [1]) εἶναι ἡδία τὰ πράγματα παρασκευάζει, τὴν παρ' ἑαυτῆς τιμὴν καὶ χάριν ἐπιφέρουσα πολλάκις καὶ τὸ ἄπιστον πιστὸν νομισθῆναι παρεσκεύασεν. § Ἄλλως. τὸ ποίημα τὸ πεπλασμένον διαδεχθὲν ὑπὸ πολλῶν πιστὸν ἐγένετο. Vet.

Τεύχει] κατασκευάζει ἡ ποιητικὴ χάρις. Gl. β.

52. Τὸ πολλάκις] τὸ τὸ οὐκ ἔστι κατὰ ἀντιστροφὴν πρὸς τὸ ἄπιστον, ὡς οἴονταί τινες, ἀλλ' εἰπὼν Καὶ ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι, ἐπιφέρει καὶ τὸ, καὶ τοῦτο ὃ ποιοῦσι· καὶ ἔστιν ὅμοιον τῷ παρὰ Σοφοκλεῖ· [2]) Ποίαισι τόλμαις ταῖςδε καὶ φρενῶν θράσει. εὑρήσεις δὲ καὶ ἕτερα πολλὰ τοιαῦτα. Rec.

53. Ἁμέραι δ' ἐπίλοιποι] ὁ δὲ χρόνος, φησὶ, καὶ τὴν ἀλήθειαν προϊὼν ἀπογυμνοῖ, ἀξιόπιστος ἔλεγχος. καὶ Δημοσθένης· [3]) Τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὐτὰ καταῤῥεῖ. Vet.

Ἐπίλοιποι] αἱ ἑξῆς. Gl. γ.

55. Ἔστι δ' ἀνδρί] ἐοικὸς δέ ἐστι [4]) καὶ προσῆκον ἀνθρώπῳ τὰ καλὰ περὶ τῶν θεῶν λέγειν· ἐλάττων γὰρ αἰτία. διὰ δὲ τούτου εὐσεβὲς τὸ ἦθος χαρακτηρίζει, ὡς ὅτι δεῖ μηδόλως ἐγκαθιέναι τινὰ εἰς τὸν περὶ τῶν θεῶν λόγον. ἔνιοι δὲ μείων, ἀντὶ τοῦ οὐδὲ ὀλίγη. ὡς Ὅμηρος· Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Πηλεύς· [5]) ἀντὶ τοῦ, οὐδὲ ὀλίγον. ἵν' ᾖ, οὐδὲ ὀλίγην εἶναι αἰτίαν τῷ καλὰ λέγοντι περὶ θεῶν. § Ἄλλως. ἔστι δὲ εἰκὸς ἀνθρώπῳ εὔφημα περὶ θεῶν λέγειν καὶ μὴ βλασφημοῦντα λέγειν αὐτοὺς ἀνθρωποφάγους καὶ γαστριμάργους. Vet.

58. Τὶὲ Ταντάλου, σὲ δ' ἀντία προτέρων] ἐγὼ δέ σε, ὦ Πέλοψ, ἐναντία ταῖς τῶν προτέρων δόξαις ἐγκωμιάσω· ἀντὶ τοῦ ἐναντία καὶ ἕτερα οἷς εἶπον οἱ πρότεροι ποιηταὶ, δοξάσω σε καὶ ἐρῶ. οἱ μὲν γάρ σε ἔθεντο τεθνεῶτα· ἐγὼ δὲ κλαπέντα § Ἄλλως. γράψω εἰς σὲ παλινῳδίαν καὶ ἐναντία τοῖς λέγουσί σε κρεανομεῖσθαι. Vet.

Τὶὲ Ταντάλου] ὦ Πέλοψ υἱὲ Ταντάλου, τὰ περὶ σοῦ δὲ ἐγὼ ἐναντίως τῶν προτέρων ἐρῶ ποιητῶν, ὁπότε ἐκάλεσεν ὁ σὸς πατὴρ τοὺς θεοὺς εἰς τὴν προσφιλῆ αὐτῷ Σίπυλον, δι' αὐτὸν καὶ τὸν εὐσεβέστατον ἔρανον, ἤγουν τὴν ἀμοιβαίαν δεξίωσιν, λέγω δεῖπνα διδοὺς αὐτοῖς ἀμοιβὴν ἔχοντα τῶν δείπνων, ὧν αὐτοὶ δεδώκασιν αὐτῷ· τότε λέγω ἁρπάσαι σε τὸν Ποσειδῶνα, τὸν τῇ λαμπρᾷ τριαίνῃ χρώμενον, μαλαχθέντα τὸν λογισμὸν ὑπὸ ἔρωτος, ἐπὶ ἵππων χρυσῶν, ἀντὶ τοῦ ἅρματι χρυσῷ, ὥςτε μεταβιβάσαι πρὸς τὸ ἔξοχον οἴκημα τοῦ Διὸς τοῦ πάνυ τιμίου. Rec.

60. † Ὁπότ' ἐκάλεσε πατήρ] ἀσαφὴς δοκεῖ ὁ λόγος οὐκ ἔχων, τίνα ἐκάλεσεν ὁ Τάνταλος· τὸ ἐπαγόμενον δὲ λύει τὴν αὐτοῦ ἀσάφειαν. ἐπάγεται γὰρ, Ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων. ἀφ' οὗ δῆλον γίνεται, ὅτι τοὺς θεοὺς ἐκάλεσεν. εἶχε δ' ἂν σα-

1) Sic Vrat. A. D. Gott. Vulgo ἅπασιν. 2) Ai. 46. 3) Olynth. II. p. 21. Ex Vrat. A. enotatum reperio Δημοσθένους. 4) Sic Vrat. A. 5) Vitium seu librarii seu memoriae: est Τυδεύς. Iliad. ε, 800.

Digitized by Google

φέστερον, εἰ οὕτως ἂν ἐλέγετο· ὁπότ' ἐκάλεσε πατὴρ τοὺς θεοὺς, ἀμοιβαῖα αὐτοῖς δεῖπνα παρίχων. ἔλλειπτικὸν δὲ δοκεῖ εἶναι πρὸς τὴν σύνταξιν τὸ ὅλον χωρίον, καὶ ληπτέον ἔξωθεν τὸ ᾄδεται. [1]) Rec.

61. Εὐνομώτατον] δικαιότατον. ἐπεὶ ἀντίδοσις ἦν ὧν ὑπὸ θεῶν ἀγαθῶν ἔπαθεν. ἢ τοῦτο λέγει διὰ τὸ τοὺς θεοὺς ἑστιάτορας εἶναι. τὸ δὲ πᾶν ἔχει οὕτως· ὦ υἱὲ τοῦ Ταντάλου, Πέλοψ. εἶτα προκατάστασιν ἐπάγει τοῦ λόγου· ἀντία δὲ καὶ ἐναντίως τῶν προτέρων ἱστορικῶν καὶ ποιητῶν φθέγξομαι καὶ εἴπω, ἁρπάσαι σε τὸν ἀγλαοτρίαιναν Ποσειδῶνα ἀνὰ ταῖς χρυσέαις ἵπποις δαμέντα καὶ τρωθέντα τὰς φρένας ἱμέρῳ καὶ τῇ σῇ ἐπιθυμίᾳ, ὥστε μεταβιβάσαι καὶ μετενεγκεῖν πρὸς τὸ ὕπατον καὶ τὸ ἐξοχώτατον δῶμα τοῦ Διὸς τοῦ εὐρυτίμου, ὅτε ἐκάλεσε καὶ συνήγαγεν ὁ σὸς πατὴρ Τάνταλος, τοὺς θεοὺς δηλονότι, εἰς τὸν εὐνομώτατον καὶ δικαιότατον ἔρανον, καὶ εἰς τὴν φίλην καὶ προσφιλῆ αὐτῷ, τῷ Ταντάλῳ, Σίπυλον· ἤτοι τὸ ὄρος ἐν ᾧ κατῴκει. Rec.

62. † Ἔρανος] τὸ εἰσφερόμενον ὑφ' ἑκάστου τῶν φίλων εἰς κοινὴν ἀπόλαυσιν. Rec.

Σίπυλον] οἱ μὲν πόλεως ὄνομα, οἱ δὲ ὄρος περὶ τὴν Λυδίαν, ὅθεν ὁ Πέλοψ. Vet. Rec. [2])

66. Χρυσέαισιν] ἀντὶ τοῦ ἐπὶ χρυσῶν ἵππων μεταβιβάσας, μεταγαγών. Vet.

68. Ποτὶ δῶμα Διός] καθ' ὑπερβατὸν νοείσθω. Γανυμήδης γὰρ πρεσβύτερος Πέλοπος. καὶ ἔστι τὸ ὑπερβατὸν οὕτω· Διὸς δῶμα μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦν καὶ Γανυμήδης· ἔξωθεν τὸ πρότερος προσληπτέον. Vet.

69. Ἔνθα δευτέρῳ χρόνῳ] δευτέρῳ ἀντὶ τοῦ ὑστέρῳ. προτέρῳ δὲ ἐχρῆν εἰπεῖν. πρεσβύτερος γὰρ Γανυμήδης Πέλοπος, ὡς ἐστιν ἐκ τῶν ἐπιγόνων τεκμήρασθαι· Ἕκτωρ γὰρ καὶ Ἀγαμέμνων, Ἀτρεὺς καὶ Πρίαμος, Πέλοψ καὶ Λαομέδων. καὶ πάλιν Λαομέδων, οὗ Πρίαμος, οὗ Ἕκτωρ. Πέλοπος δὲ [3]) Ἀτρεὺς, οὗ Ἀγαμέμνων ὁ κατὰ τὸν Ἕκτορα. προανήρπαστο οὖν Γανυμήδης Πέλοπος. καθ' ὑπερβατὸν οὖν αὐτὸ ἀκουστέον, ὅπως ἐπὶ τοῦ Πέλοπος λέγηται οὕτως· ὁπότ' ἐκάλεσε πατὴρ ἐπὶ τὸν εὐνομώτατον ἔρανον φίλαν τε Σίπυλον, τότε Ἀγλαοτρίαιναν μεταβᾶσαι δευτέρῳ χρόνῳ, ἔνθα ἦλθε καὶ Γανυμήδης. Vet.

Δευτέρῳ χρόνῳ] ἔνθα ἀπῆλθεν, ἀντὶ τοῦ ἀπηνέχθη καὶ ὁ Γανυμήδης, πρότερον δηλονότι, ἐπὶ χρείαν τοῦ Διὸς, τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος. Rec.

71. Ζηνὶ τωὔτ'] διὰ τὴν αὐτὴν χρείαν καὶ ἐπιθυμίαν. Vet. [4])

72. Ὡς δ' ἄφαντος ἔπελες] ὡς δὲ ἀφανὴς ἐγένου, καὶ οἱ ζητοῦντές σε κενοὶ καὶ ἄπρακτοι ὑπέστρεψαν, μὴ ἀγαγόντες [5]) σε τῇ μητρὶ, Εὐρυανάσσῃ τὸ ὄνομα, οἱ γείτονες διαδεδώκασιν, ὑπὸ τοῦ πατρός σε κατακεκύφθαι τοῖς θεοῖς εἰς εὐωχίαν, ψευδῆ λέγοντες. Vet.

Ὡς δ' ἄφαντος ἔπελες] ἐπεὶ δὲ ἀφανὴς ὑπῆρχες, οὐδὲ πρὸς τὴν μητέρα τὴν σὴν ἤγαγόν σε οἱ πεμφθέντες ὑπ' αὐτῆς ἄνδρες ἐπὶ σὴν ζήτησιν, πολλὰ μαιόμενοι, ἤγουν ζητοῦντες, εἰπέ τις αὐτίκα ἀπὸ τῶν φθονερῶν γειτόνων κρυφίως, ὅτι τε ἐπὶ τὴν ἀκμὴν τοῦ ὕδατος τὴν ζέουσαν ὑπὲρ τοῦ πυρὸς, μαχαίρᾳ ταμόντες σε κατὰ μέλη οἱ περὶ τὸν

1) Prave, ut vulgo, post φθέγξομαι interpunctum repererat Moschopulus. 2) Sed varianti-bus verbis. 3) Sic Vrat. A. D. ὁ κ. τ. Ἕ. Vrat. A. 4) Ex Vrat. D. 5) Sic Vrat. A.

Digitized by Google

Τάνταλον ἐμβεβλήκασι, καὶ ἐν τῇ τραπέζῃ οἱ θεοὶ διεμερίσαντο εἰς μικρότατα, καὶ ἔφαγον ἀπὸ τῶν κρεῶν τῶν σῶν. Rec.

75. Κρυφᾷ] Δωρικῶς ἀντὶ τοῦ κρύφα. ἁρπαγῆναι δέ φησι Πέλοπα ὑπὸ Ποσειδῶνος, εἶτα ἕνα τῶν γειτόνων φθονοῦντα διασκευάσαι τοῦτον τὸν μῦθον, ὡς ἐκρεουργήθη. Vet.

78. Ζέοισαν ἐπ' ἀκμάν] ἀντὶ τοῦ εἰς ὕδωρ ἀκμαίως ζέον, εἰς θερμὸν, κατὰ μέλη ταμόντες ἐμβεβλήκασι, καὶ τὸ τελευταῖον ἐν ταῖς τραπέζαις παραθέντες καὶ μερίδας ποιήσαντες βεβρώκασιν. § Ἄλλως. ζέοισαν, τὴν ζέσιν τοῦ ὕδατος. ἐπεὶ τὴν αὐτὴν δύναμιν ἔχει τῷ σιδήρῳ τὸ πῦρ. Vet.

79. Μαχαίρᾳ τάμον] οἱ Ταντάλου δορυφόροι ἔταμον τῇ μαχαίρᾳ, καὶ μέρος ἑκάστῳ τῶν θεῶν μέλος ἀποδιδόντες ἐν τῇ τραπέζῃ ἔθηκαν. καὶ [1]) ἔφαγον δεύτατα ὄντα τῷ σώματι, τουτέστι μετὰ τὸ σῶμα μέλη δεύτερα φαγεῖν ἔθηκαν, χεῖρας, πόδας καὶ τὴν κεφαλήν. § Ἄλλως. δεύτατα ἢ τὰ ἔσχατα, ἢ τὰ βεβρεγμένα τῷ αἵματι. Vet.

80. † Ἀμφιδεύτατα] ἀπὸ τῆς πρὸ πρόθέσεως γίνεται συγκριτικὸν μὲν πρότερον, ὑπερθετικὸν δὲ πρῶτον. λέγεται γὰρ τὸ μὲν πρότερον, ὅταν ἓν μόνον ἐπάγηται ἢ πολλὰ ἐν μιᾷ τάξει ἢ ἐν ἑνὶ χρόνῳ. οἷον πρότερος ὅδε τοῦδε, καὶ πρότερος ὁ δεῖνα ἡμῶν, ἢ τῷ χρόνῳ ἢ τῇ τάξει, ἡμῶν δηλονότι ἐν ἑνὶ χρόνῳ ἢ μιᾷ τάξει ὄντων. τὸ δὲ α', ὅταν πολλὰ ᾖ ἐπαγόμενα, ἄλλου ἄλλο πρότερον ἐφεξῆς, ἢ κρεῖττον. ἀκολουθεῖ δὲ πρὸς μὲν τὸ πρότερον τὸ β' μόνον, ἢ πληθυντικῶς τὰ β', κατὰ τὸν εἰρημένον λόγον. πρὸς δὲ τὸ α' δεύτερον γ', καὶ ἑξῆς. ἀπὸ δὲ τῆς ὑπὸ προθέσεως γίνεται συγκριτικὸν μὲν ὕστερον, ὑπερθετικὸν δὲ ὕστατον· ὧν τὸ μὲν ἀπαντᾷ πρὸς τὸ πρότερον, τὸ δὲ ὕστατον πρὸς τὸ πρῶτον, ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται. ἐπὶ γὰρ τάξεως τὸ ἔσχατον ἀπαντᾷ καὶ τὸ δεύτερον, ὃ καὶ ἐπὶ χρόνου λαμβάνεται καὶ ἐπὶ τάξεως. ἔστι δὲ δύο ἐξ ἀνάγκης ὑπερθετικὰ χρονικὰ, τὸ πρῶτον καὶ τὸ ὕστατον, τὸ μὲν ἐπὶ τῆς ἀρχῆς, τὸ δὲ ἐπὶ τέλους, καὶ δύο ὁμοίως τάξεως, τὸ πρῶτον καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων μόνον τὸ δεύτερον συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων οὐδεμίαν ἔχει χώραν οὔτε τὸ συγκριτικὸν οὔτε τὸ ὑπερθετικόν. ὁ δὲ Πίνδαρος καὶ ὑπερθετικὸν ἀπὸ τοῦ δευτέρου σχηματίζει, τὸ δεύτατον· θέλει δὲ τοῦτο σημαίνειν ταυτὸν τῷ ὕστατον. ὁ δὲ ἐπὶ σμικρότητος τοῦτο τίθησι. διεδάσαντο γὰρ, φησὶν, ἀμφὶ δεύτατα, ἤγουν εἰς μικρότατα. τὸ δὲ τρίτατος παρὰ ποιηταῖς οὐχ ὑπερθετικῶς οὕτω σχηματίζεται, ἀλλ' ὡς τὸ ὀγδόατος παρ' αὐτοῖς καὶ ἑβδόματος· ἃ κατὰ ἀκολουθίαν λέγεται τοῦ τέταρτος καὶ δέκατος καὶ πεντεκαιδέκατος καὶ τῶν ὁμοίων. Rec.

82. † Ἐμοὶ δ' ἄπορα] ἀντὶ τοῦ ἄπορον, τουτέστιν ὑπ' οὐδενὸς λογισμοῦ ἐνδεδομένον, εἰπεῖν τινα ἀπὸ τῶν θεῶν μάργον τὴν γαστέρα, ἤγουν μαινόμενον, τουτέστιν ἀκρατῆ τῆς γαστρός. ἀφίσταμαι τούτου τοῦ σκοποῦ. βλάβη γὰρ ἐκληρώσατο κατὰ πολὺ τοὺς κακηγόρους, τουτέστι τοὺς βλασφημοῦντας εἰς τοὺς θεοὺς, ἤγουν βλάβην κληρονομοῦσιν οἱ βλασφημοῦντες εἰς τοὺς θεούς. Rec.

84. Ἀφίσταμαι] μακρὰν καὶ πόρρω γίνομαι τοῦ τοιαῦτα περὶ θεῶν λέγειν. τοῦ δὲ ἀκέρδεια ὁ τοῦς· ἀκέρδεια εἴληχε τοὺς κακηγόρους, ὅπερ ἐστὶν, οἱ κακήγοροι τῶν

[1]) Addidi ex Gott.

Digitized by Google

ἀνθρώπων πυκνῶς ἐν ἀκερδείᾳ εἰσίν. § ἢ οὕτως· οἱ κακήγοροι οὐδὲν λελόγχασιν ἢ ἀκέρδειαν. οἷον, οὐδὲν κερδαίνουσι κακηγοροῦντες. τινὲς δὲ τῇ ἐκλείψει τοῦ ῡ ἐχρήσαντο. κακηγόρους δὲ λέγει [1]) τοὺς ἀσεβεῖς καὶ βλασφήμους. § Ἄλλως. τοὺς κακηγόρους ἀκέρδεια καὶ βλάβη ἐκλήρωσεν. ἀκέρδεια δέ ἐστιν ἡ κακηγορία καὶ ἡ βλάβη, ἢ τοὺς κακηγόρους περιέχει. τοῦ δὲ κακηγόρος Δωρικὴ ἡ ἀνάγνωσις. ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ' αὐτοῖς κατ' ἀφαίρεσιν τοῦ ῡ προφέρεται διὰ μόνου τοῦ ō. [2]) Vet.

Κακηγόρως] Δωρικὴ ἡ ἀνάγνωσις· ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ' αὐτοῖς διὰ τοῦ ῶ μεγάλου ἐκφέρεται. τὼς λύκως γὰρ ὁ Θεόκριτος. [3]) οὐ χρὴ τοίνυν μικρὸν γράφειν τὸ ρος, ὥς τισιν ἔδοξε. μακρὰ γὰρ ἡ τοιαύτη συλλαβὴ ὀφείλει εἶναι. Rec.

Κακηγόρως] τοῦτο λέγει ὅτι ὁ κακηγορῶν οὐδὲν ἄλλο κερδίζει πλὴν τοῦ κακὸς εἶναι. Rec.

85. Εἰ δὲ δή τινα] εἰ δὲ δή τινα ἄνδρα ἄλλον οἱ θεοὶ ἐτίμησαν καὶ μάλιστα τὸν Τάνταλον. Vet.

Εἰ δέ τινα ἄνδρα] ἐὰν δὲ ἐτίμησάν τινα ἄνθρωπον θνητὸν οἱ ἔφοροι τοῦ οὐρανοῦ, τουτέστιν οἱ θεοὶ, ὁ Τάνταλος ἦν οὗτος· ἀλλ' οὐκ ἐδυνήθη καταπέψαι τὴν μεγάλην ταύτην εὐδαιμονίαν, ἀντὶ τοῦ διοικῆσαι ἐπ' ὠφελείᾳ ἑαυτοῦ· ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ στομάχῳ σιτίων, ἃ πεφθέντα μὲν ὀνίνησι τοὺς μεταλαμβάνοντας αὐτῶν, ἄπεπτα δὲ μείναντα τοῦ στομάχου μὴ δυνηθέντος κατεργάσασθαι αὐτὰ, βλάβην οἶδεν [4]) ἐπάγειν. ὑπὸ τοῦ κόρου δὲ, ἤγουν τοῦ ὄκνου [5]) τῆς τιμῆς ἔλαβε βλάβην ὑπερβολικὴν ἁμαρτὼν εἰς τοὺς θεούς· δι' ἣν ὁ πατὴρ αὐτοῦ ὁ Ζεὺς ὑπερεκρέμασέν οἱ, αὐτῷ, τουτέστι κατ' αὐτοῦ, λίθον ἰσχυρὸν, ἀντὶ τοῦ μέγαν· ὃν ἀεὶ προθυμούμενος ἀπώσασθαι τῆς κεφαλῆς, πόρρω ἡδονῆς στρέφεται· μὴ δυνάμενος δηλονότι ἀπαλλαγῆναι αὐτοῦ. Τὸ οὗτος ἢ πρὸς τὸ Τάνταλος νόει ἢ πρὸς τὸ τιμηθέντι παρὰ θεῶν, οὕτως· εἰ δέ τινα τῶν ἀνθρώπων οἱ θεοὶ ἐτίμησαν, οὐκ ἄλλος ἦν ὁ τιμηθεὶς ἢ ὁ Τάνταλος οὗτος. ἀλλὰ γὰρ καταπέψαι, ἤγουν κατασχεῖν. οἱ γὰρ πέπτοντες τὴν τροφὴν καὶ οὐκ ἐμοῦντες κατέχουσι ταύτην ἐντός. ὄλβον δὲ λέγει τὴν παρὰ τῶν θεῶν διδομένην αὐτῷ τιμήν. Rec.

87. Ἀλλὰ γὰρ καταπέψαι] κατασχεῖν καὶ ἐναπολαῦσαι τῆς εὐτυχίας. ἀλλ' εὐδαιμονῶν καρτερεῖν οὐκ ἠδυνήθη. Vet.

Καταπέψαι] καταχωνεῦσαι. Gl. γ.

89. Κόρῳ] ὑπὸ τῆς πλείστης τιμῆς. Gl. γ.

Κόρῳ δ' ἕλεν] διὰ τὸν κόρον μεγάλως ἐβλάβη, λίθῳ παλαίσας. § Ἄλλως. κόρῳ, τῇ ὕβρει καὶ τῇ ἀλαζονείᾳ. ὑγιῶς δὲ τῇ τροπῇ τοῦ ὅλου ἐχρήσατο, τῷ καταπέψαι τὸν κόρον ἐφαρμόσας. διὰ γὰρ τοῦ κόρου, φησὶ, προσείληφε τὴν ἄτην, ἀδυνατήσας κατασχεῖν τὴν εὐδαιμονίαν. Τίκτει τοι κόρος ὕβριν. [6]) § ἔνιοι δὲ κόρῳ, τῇ πλησμονῇ τῆς τροφῆς. Vet.

90. † Ἄταν ὑπέροπλον] ὑπέροπλός ἐστιν ἰσχὺς ἡ νικῶσα τὰ ὅπλα. ἐνταῦθα

1) Sic Vrat. A. Vulgo κακ. μὲν αὐτοὺς ἀσ. 2) Erat ῶ et paullo ante κακηγόρως. Προφέρεται dedi ex Vrat. A. 3) IV, 11. ubi τὼς λύκος. 4) Hoc est εἴωθεν, quod reponi vult Faehsius Syllog. p. 401. refutatus a Friedemanno de med. syll. pent. p. 330. 5) Erat ὄγκου. 6) Sic Vrat. A. Vulgo ἄτας. Notus est versus Theognideus.

Digitized by Google

δὲ ὑπέροπλον λέγει βλάβην μεταφορικῶς τὴν ὑπερβολικὴν καὶ ἀμήχανον. Ἱστορία. Ἄλλοι ἄλλως περὶ τῆς τοῦ Ταντάλου κολάσεως φασίν. οἱ μὲν γὰρ ὑποκεῖσθαι αὐτόν φασι Σιπύλῳ τῷ Λυδίας ὄρει· Ζεὺς γὰρ ἀποστείλας Ἑρμῆν πρὸς αὐτὸν, ἵνα τὸν κύνα λάβῃ, ὃν Πανδάρεως ὁ Μιλήσιος φύλακα καταστάντα τοῦ ἱεροῦ τῆς Κρήτης παρὰ Διὸς κεκλοφὼς, ἤγαγεν αὐτῷ ἵνα φυλάσσῃ· ἐλθόντος οὖν Ἑρμοῦ πρὸς αὐτὸν καὶ μὴ λαβόντος τὸν κύνα· ἔφασκε γὰρ μὴ ἔχειν· ὀργισθεὶς ὁ Ζεὺς ἐπέθηκεν αὐτῷ τὸ Σίπυλον. οἱ δὲ λέγουσι, διὰ τὸ ἐξειπεῖν αὐτὸν τὰ θεῖα μυστήρια τοῖς ἀνθρώποις, ἐν ᾅδου κολάζεσθαι, μέσον ἑστῶτα λίμνης μέχρι τοῦ πώγωνος· ἧς ὁπότε πιεῖν ἤθελε, τὸ ὕδωρ ἐξίστατο. μαρτυρεῖ δὲ καὶ Ὅμηρος [1]) λέγων·

Ἑσταότ' ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ·
Στεῦτο δὲ διψάων, πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι·

ἑστὼς δὲ ἐν τῇ λίμνῃ καὶ λίθον ὑπὲρ κεφαλῆς εἶχεν αἰωρούμενον. Εὐριπίδης [2]) δὲ λέγει μέσον ἀέρος αὐτὸν τὸν Τάνταλον ἀοράτως κρέμασθαι καὶ λίθον ὑπὲρ τῆς αὐτοῦ κεφαλῆς αἰωρεῖσθαι. ἀσφαλέστερος δὲ πάντων Ὅμηρος. καὶ μαρτυρεῖ ἡ παροιμία· Ταντάλου δίψα. δέον δὲ εἰπεῖν, ἔχει δὲ τοῦτο βίον ἀπάλαμον, λέγω δὴ, τὸ ὑπὲρ κεφαλῆς λίθον πειρᾶσθαι φυγεῖν καὶ μὴ δύνασθαι, ὃ δὲ τοῦτον εἶπε, πρὸς τὸν βίον. τὸ δὲ ἐμπεδόμοχθον ἢ πρὸς τὸ βίον συναπτέον ἢ πρὸς τὸ πόνον. Rec.

91. Τάν οἱ πατήρ] τὴν ἄτην, φησὶν, ὑπερεκρέμασεν αὐτῷ. ἄταν δὲ εἶπε τὸν λίθον, ὃς ἦν ἄτη. δὶς δὲ [3]) παρείληφε τὴν ἀντωνυμίαν· τὸ γὰρ οἱ ἰσοδυναμεῖ τῷ αὐτῷ. § Ἄλλως. δι' ἥντινα αἰτίαν ὁ Ζεὺς ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ [4]) λίθον ἀπήρτησεν, ὥστε τῇ προσδοκίᾳ τοῦ καταπίπτειν τὸν λίθον ἐφ' ἑαυτὸν τιμωρεῖσθαι· ὄντινα ἐπηρτημένον λίθον ἐπιθυμῶν ἀπὸ τῆς αὐτοῦ κεφαλῆς ἀπώσασθαι καὶ μὴ δυνάμενος, εὐφροσύνης ἀλᾶται, ἀντὶ τοῦ ἐν πόνοις ἐστίν. § Ἄλλως. ἐπικρέμαται αὐτῷ λίθος, εἶτα τοῦτο μενοινῶν καὶ κατὰ τὴν ψυχὴν ἔχων, ὡς ἐπιπεσὼν ὁ λίθος διαφθερεῖ αὐτὸν, τῆς εὐφροσύνης ἀλᾶται, προσδοκῶν ἀεὶ τὴν κεφαλὴν αὐτοῦ βληθήσεσθαι. Vet.

92. Καρτερόν] μέγιστον. Gl. γ.

95. Ἀπάλαμον] δεινὸν, πρὸς ὃν οὐκ ἔστι παλαμήσασθαι· [5]) περὶ οὗ οὐδεὶς δύναται χεῖρα αὐτῷ ἐπαγαγεῖν βοηθόν. [6]) Vet.

† Ἀπάλαμον] ἔχει δὲ βίον τοῦτον τὸν ὑπὸ τῷ λίθῳ ἀπάλαμον, ἤγουν ἀμήχανον, πρὸς ὃν οὐκ ἔστι τι μηχανήσασθαι. Rec.

96. Ἐμπεδόμοχθον] διηνεκῶς μοχθηρὸν, ἠσφαλισμένον τῷ μόχθῳ καὶ τῇ λύπῃ. Vet.

Ἐμπεδόμοχθον] τουτέστιν ἰσχυρὰν κάκωσιν ἔχοντα, πόνον τέταρτον μετὰ τριῶν ἄλλων, ἤγουν τοῦ πεινῆν, τοῦ διψῆν, τοῦ ἑστάναι· διότι κλέψας τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν τῶν θεῶν ἡλικιώταις καὶ συμπόταις ἔδωκεν, δι' ὧν ἀθάνατον αὐτοὶ τοῦτον ἐποίησαν. εἰ δ' ἀνὴρ τις ἐλπίζει θεὸν λήσειν πράττων τι, ἀποτυγχάνει τοῦ πρέποντος λογισμοῦ. Rec.

1) Odyss. λ, 582. 2) Orest. 5. 3) Sic Vrat. A. Vulgo διὸ δή. 4) Legebatur ἄτην, ἤγουν λίθον. Duo priora verba alleverat recentior, et desunt in cod. 5) Sic Vrat. A. Gott. Vulgo παραμυθήσασθαι. 6) Sic Vrat. A. D. Gott.

Digitized by Google

97. *Μετὰ τριῶν*] περὶ τῆς τοῦ Ταντάλου κολάσεως ἕτεροι ἑτέρως λέγουσιν. οἱ μὲν γὰρ αὐτόν φασιν ὑποκεῖσθαι Σιπύλῳ τῷ Λυδίας ὄρει, αἰτίαν τινὰ προστιθέντες, ὡς Πανδάρεως ὁ Μιλήσιος ἀποκλέψας τὸν κύνα τῆς Κρήτης, ὃν ὁ Ζεὺς φύλακα τοῦ ἱεροῦ κατέστησε, παρέθετο αὐτὸν τῷ Ταντάλῳ· τὸν δὲ Δία ἀποστεῖλαι Ἑρμῆν πειρώμενον τοῦ ὑποδεξαμένου· τὸν δὲ μᾶλλον ψευδόμενον ἑλέσθαι ἐπιορκῆσαι, ὡς οὐκ ὄντος παρ' αὐτῷ τοῦ κυνός. καὶ οὕτω τὸν Δία ἐπιθεῖναι κατ' αὐτοῦ Σίπυλον τὸ ὄρος, ὅπερ εἶναι τὸν λίθον. οἱ δὲ, ὧν ἐστι καὶ Εὐριπίδης, [1]) ὡς ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον. Ὅμηρος [2]) δὲ αὐτὸν ἑτέρως ὑποτίθησι τιμωρεῖσθαι·

Ἑσταότ' ἐν λίμνῃ, ἡ δὲ προσέπλαζε γενείῳ·
Στεῦτο δὲ διψάων· πιέειν δ' οὐκ εἶχεν ἑλέσθαι.

καὶ τὰ ἑξῆς· πλὴν εἰ μὴ κατὰ τὸν Ἀρίσταρχον νόθα εἰσὶ τὰ ἔπη ταῦτα. Ἀλκαῖος δὲ καὶ Ἀλκμὰν λίθον φασὶν ἐπαιωρεῖσθαι τῷ Ταντάλῳ. ὁ μὲν Ἀλκαῖος· Κεῖσθαι πὰρ κεφαλᾶς μέγας ὤας .... σιμίδα λίθος. [3]) ὁ δὲ Ἀλκμάν· [4]) Ὅπως ἀνὴρ δ' ἐν ἀσμένοισιν ἀλιτηρὸς ἦστ' ἐπὶ θάκας κατὰ πέτρας, ὀρέων μὲν οὐδὲν, δοκέων δέ. ἐποίησε δὲ καὶ ὁ Ἀρχίλοχος· Μηδ' ὁ Ταντάλου λίθος τῆσδ' ὑπὲρ νήσου κρεμάσθω. [5]) ἔνιοι δὲ ἀκούουσι τὸν πέτρον ἐπὶ τοῦ ἡλίου. τὸν γὰρ Τάνταλον φυσιολόγον γενόμενον καὶ μύδρον ἀποφήναντα τὸν ἥλιον ἐπὶ τούτῳ δίκας ὑποσχεῖν, ὥστε καὶ ἐπαιωρεῖσθαι αὐτῷ [6]) τὸν ἥλιον, ὑφ' οὗ δειματοῦσθαι καὶ καταπτήσσειν. περὶ δὲ τοῦ ἡλίου οἱ φυσικοί φασιν, ὡς λίθος καλεῖται ὁ ἥλιος· καὶ Ἀναξαγόρου δὲ γενόμενον τὸν Εὐριπίδην [7]) μαθητὴν πέτρον εἰρηκέναι τὸν ἥλιον διὰ τῶν προεκκειμένων· [8])

Ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκὼς ὡς λέγουσι Τάνταλος
Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
Ἀέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην.

καὶ πάλιν δι' ἄλλων βῶλον λέγοντα οὕτως· [9])

Μόλοιμι τὰν οὐρανοῦ μέσον καὶ χθονὸς
Τεταμέναν αἰωρήμασι
Πέτραν ἁλύσεσι χρυσέαισι φερομέναν
Δίνησι βῶλον ἐξ Ὀλύμπου,
Ἵν' ἐν θρήνοισιν ἀναβοάσω
Γέροντι πατρὶ Ταντάλῳ.

§ Ἄλλως. Μετὰ τριῶν τέταρτον, ἢ ὅτι ἐν ᾄδου μετὰ τριῶν τέταρτος κολάζεται, Σισύφου, Τιτυοῦ, Ἰξίονος· ἢ ὅτι μετὰ τριῶν, τοῦ πεινῆν, διψῆν, ἑστάναι, τέταρτον πόνον τοῦτον ἔχει τὸ τῷ λίθῳ κολάζεσθαι· ἢ ὅτι μετὰ τρίτον, κατὰ ἕνα. ἐστὶ δὲ τὸ περὶ σῶμα, περὶ ψυχὴν, περὶ τὰ ἐκτός. ἢ μετὰ τριῶν [10]) κολάζεται, οἷς μετέδωκε τοῦ νέκτα-

1) Orest. 10. 2) L. c. 3) Ὁ μὲν Ἀλκ. ego addidi: cetera sunt ex Vrat. A. D. In D. est παρά, neque is ὤας habere videtur. 4) Alcmanis de loco disputat Welckerus Fragm. Alcm. p. 60 sqq. Cf. Eustath. ad Odyss. p. 1701. Ego librorum scripturam repraesentavi. In uno est ὅπη et ἦσθ', quantum ex schedis Gerh. intelligo. 5) Sic Vrat. A. Cf. Porson. ad Eurip. Orest. 5. 6) Sic Vrat. A. 7) L. c. 8) Sic Vrat. A. 9) Orest. 980 sqq. Vrat. A. D. χρυσέαις, A. δίναισι. 10) Vulgo τρίτον.

Digitized by Google

ρος καὶ ἐξεῖπε τὰ μυστήρια τῶν θεῶν. ὁ οὖν Εὐριπίδης φησὶν, Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον. [1]) ἢ ὅτι τριῶν οὐσῶν [2]) πρὸ τούτου βασάνων, δι' ὧν ἀπώλετο, βρόχου, κωνείου, βαράθρου, οὗτος μετὰ τὸ ἀποθανεῖν καὶ διελθεῖν τὰ τρία διὰ τοῦ θανάτου καὶ ἐν ᾅδου κρίνεται. ἔνιοι δὲ, ὅτι τρία λέγεται κοινῶς καὶ τὰ πρὸς τὸν θάνατον συνεργοῦντα, ξίφος, ἀγχόνη, κρημνός. Σοφοκλῆς· [3])

Λύσω γὰρ, εἰ καὶ τῶν τριῶν ἓν οἴσομαι.

τέταρτον οὖν τοῦτον μετὰ τῶν τριῶν ὁ Τάνταλος τῶν εἰς τὸν θάνατον συνεργούντων προσείληφε πόνον τὸν τοῦ ὑπερκειμένου λίθου. ἢ ὅτι τεσσάρων μοιρῶν [4]) οὐσῶν κατὰ τῆς ἀνθρωπίνης φύσεως· ἢ ὅτι τριῶν μερίδων οὐσῶν κατὰ τοὺς ποιητὰς, καὶ τοῖς μὲν εὐδαίμοσι μίαν ἔπεσθαι ἀγαθὴν, δύο δὲ κακὰς, τοῖς δὲ δυσδαίμοσι τὰς τρεῖς φαύλας· ὅθεν καὶ τρισκακοδαίμονας καὶ τρισαθλίους ἐν τῷ βίῳ τινὰς λέγεσθαι· ἵν' ἡ ὁ νοῦς οὕτως· ὅτι δὴ ὁ Τάνταλος καὶ μετὰ τὰς τρεῖς ταύτας δυστυχίας, ἃς ὑπέστη κατὰ τὸν ἀνθρώπινον βίον ἐξ ἀνθρώπων γεγονὼς, καὶ τετάρτην ὑφίσταται. καὶ ὅτι ἡ τοιαύτη γνώμη ἀσφαλής ἐστι, μαρτυρεῖ ἡμῖν καὶ αὐτὸς ὁ Πίνδαρος ἐν ἑτέροις λέγων· Οἶσθα προτέρων, ὅτι ἐν παρ' ἐσλὸν [5]) πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι· ἐν Πυθιονίκαις. Vet.

Μετὰ τριῶν] τοῦ πεινῆν, διψῆν, ἑστάναι. φασὶ δὲ καὶ ἑτέρως τὸ μετὰ τριῶν, ἤγουν μετὰ Ἰξίονος, Σισύφου καὶ Τιτυοῦ. καὶ οὗτοι γὰρ ἐν ᾅδου κολάζονται, Ἰξίων μὲν ἐν τροχῷ περιφερόμενος διὰ τὸ ἐρασθῆναι τῆς Ἥρας καὶ πρὸς νεφέλην παρεικασθεῖσαν προσδραμεῖν καὶ μιγῆναι, ὅθεν καὶ ὁ Ἱπποκένταυρος γέγονε· Σίσυφος δὲ, πέτρον μέγιστον εἰς ἀνάντη τόπον βίᾳ κομίζων, καὶ ὁπότε εἰς ἄκρον ἔλθοι τοῦ τόπου, ἀπολισθαίνοντα τὸν λίθον αὖθις ἀνάγων, καὶ τοῦτο πάσχων διὰ τὴν ἀπάτην, ἣν ἠπάτησε τὸν Πλούτωνα· ὁπότε γὰρ θνήσκειν ἔμελλε, παρήγγειλε τῇ γυναικὶ μὴ θάψαι αὐτόν· τῆς δὲ οὕτω πεποιηκυίας, κατελθὼν αὐτὸς κατηγόρει πρὸς Πλούτωνα, ὡς ἀμελησάσης αὐτοῦ αὐτὸν αἰτῆσαι ἀνελθεῖν καὶ κολάσαι αὐτήν· ἐπεὶ δ' ἀνῆλθε, μὴ βουλόμενος αὖθις εἰς ᾅδου παραγενέσθαι, ὑφ' Ἑρμοῦ καταχθεὶς ἄκων οὕτω κεκόλασται· Τιτυοῦ δὲ, ὡς κατὰ θεῶν μανέντος, ὄφεις τὰ σπλάγχνα ὑπτίου κειμένου κατεσθίουσιν ἀνακαινιζόμενα ἀεὶ, κατὰ τὸ Προμηθέως ἦπαρ. Rec.

99. Ἁλίκεσσι] ὁμήλικιν. Gl. γ.

105. Προῆκαν] προέπεμψαν, μετέστρεψαν. Gl. β.

Τοὔνεκά οἱ] δαιμονίως τὴν ἱστορίαν μετεχειρίσατο καί φησιν, ὅτι διὰ τὴν ἀσέβειαν τὴν Ταντάλου οἱ θεοὶ πάλιν ἐξ οὐρανοῦ τὸν Πέλοπα ἀπέστειλαν εἰς ἀνθρώπους, αὐταρκῆ εἶναι ἡγούμενος [6]) ταύτην τῷ Πέλοπι τιμωρίαν, καὶ ὅτι πρὸς τοῦτο ὁ λόγος ἐξαρκέσει, πρὸς τὸ ἐπὶ τῶν ἀνθρώπων ἐπίθετον, τῆς δυστυχίας τὸ ἀκρότατον [7]) ἐμφανίζων. § Ἄλλως. τοὔνεκα, ἀντὶ τοῦ ἕνεκα, ὥστ' ἴσον εἶναι τῷ· διὸ δὴ ἀνήρπαστο μὲν ὑπὸ Ποσειδῶνος, τῷ δὲ τὸν Τάνταλον κλέψαι ταῦτα, τούτου χάριν ἐξέβαλον τὸν υἱὸν εἰς τὸ τῶν θνητῶν γένος· ἡ γὰρ μετὰ ἀντὶ τῆς εἰς. τουτέστι διὰ τοῦτο τὸν Πέλοπα πάλιν

1) Sic Vrat. A. D. 2) Sic Vrat. A. 3) Brunck. Fragm. inc. 82. 4) Vrat. A. τριῶν μερίδων, omissis sequentibus ἢ ὅτι τριῶν μερίδων οὐσῶν. 5) Sic Vrat. A. Locus est Pyth. III, 81. 6) Sic Gott. Vulgo ἡγούμενοι. 7) Sic Vrat. Vulgo ἄκρατον.

Digitized by Google

οἱ θεοὶ ἐξ οὐρανοῦ μετέστησαν εἰς ἀνθρώπους, Ταντάλου δυσσεβήσαντος. πάλιν, εἰς τοὐπίσω, εἰς τὴν ἐξαρχῆς πάλιν τῶν ἀνθρώπων ταλαιπωρίαν. [1]) Vet.

† Τοὔνεκα προῆκαν] διὰ τοῦτο ἐπανέστρεψαν τὸν υἱὸν αὐτοῦ οἱ θεοὶ ἐπὶ τὸ γένος αὖθις τῶν ἀνθρώπων, τὸ ἐπ' ὀλίγον ἐν τῇ ζωῇ διαρκοῦν. ὅτε δὲ πρὸς θαλερὰν ἀναδρομὴν σώματος τριχώσεις αὐτὸν σκέπουσαι ἐποίουν αὐτῷ δηλονότι μέλαν γένειον, γάμον ἀναπολήσας κατὰ νοῦν ἐζήτησε προτεθειμένην, τῷ βουλομένῳ λέγω, σχεθέμεν, ἤγουν δι' ἰσχὺν σχεῖν, ἤγουν λαβεῖν, τὴν ἀγαθὸν κλέος ἔχουσαν Ἱπποδάμειαν, παρὰ τοῦ πατρὸς αὐτῆς τοῦ Οἰνομάου, τοῦ βασιλεύοντος ἐν τῇ Πίσῃ. Rec.

107. Ταχύποτμον] ἐπ' ὀλίγον ζῶν. Gl. β.

109. Εὐάνθεμον] τὸ τῆς ἀκμῆς ἀνθηρὸν λέγει. ὁ δὲ λόγος· πρὸς τὴν ἀνθηρὰν ἐλθόντι αὐτῷ ἡλικίαν, ὅτε καὶ αἱ τρίχες αὐτοῦ ἔστεφον τὸ γένειον, ἀντὶ τοῦ ὅτε ἀνδρώδης καὶ τέλειος γέγονεν. § Ἄλλως. ὅτε αἱ τρίχες αὐτοῦ τὸ γένειον ἐστεφάνουν μελαίνουσαι, ὅ ἐστιν, ὅτε ἤρχετο γενειᾶν ὁ Πέλοψ. § μέλαν δὲ τὸ μελανθησόμενον ὑπὸ τῆς λάχνης. Vet.

110. Νὶν γένειον] ὅλον καὶ μέρος. τὸ μὲν νὶν ὅλον, τὸ δὲ γένειον μέρος· ὥσπερ ἐστὶ καὶ τό· Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. [2]) Ἔρεφον δὲ, ἀντὶ τοῦ ἐστεφάνουν. ὥσπερ γὰρ ὁ στέφανος κύκλῳ τῆς κεφαλῆς ἐστιν, οὕτω καὶ αἱ τοῦ πώγωνος τρίχες κύκλῳ εἰσίν. Rec.

111. Ἑτοῖμον] ἐπεὶ πᾶσι παρέκειτο. ἆθλος γὰρ ἦν τῷ νικῶντι. ἢ ὃν αὐτὸς ἑαυτῷ ἡτοίμασεν. § ἢ τὸν ὑπὸ τῶν μοιρῶν αὐτῷ ἡτοιμασμένον· ἢ τὸν τοῖς ἠρημένοις κινδυνεύειν ἐκκείμενον. § ἀνεφρόντισε δὲ εἶπεν, ἐπεὶ ἠθέλησε γῆμαι τὴν Οἰνομάου Ἱπποδάμειαν. εἴποιμεν δ' ἂν [3]) αὐτὸν προσκαλεῖσθαι τὸν Ποσειδῶνα ἤτοι ὡς ἐραστὴν ἢ ὡς τῆς ἱππικῆς προεστῶτα καὶ δυνατῶς ἔχοντα τέχνῃ πρὸς τὸ ἆθλον συμβαλέσθαι. Vet.

112. Πισάτα παρὰ πατρός] τοῦ Οἰνομάου τῆς Πίσης βασιλεύοντος. Vet.

113. Εὔδοξον Ἱπποδάμειαν] ἤτοι τὴν εὔδοξον, ἢ τὴν συνετὴν, ἀπὸ τοῦ εὖ δοξάζειν. [4]) Vet.

114. Ἐγγὺς δ' ἐλθών] ἀντὶ τοῦ τε τὸν [5]) δὲ παρέλαβεν. Vet.

† Ἄγχι δ' ἐλθών] πλησίον δ' ἐλθὼν τῆς λευκῆς θαλάσσης μόνος ἐν νυκτὶ, ἐκάλει τὸν Ποσειδῶνα τὸν βαρύκτυπον, τὸν τῇ καλῇ τριαίνῃ χρώμενον. Ἱστορία. Οἰνόμαος, ὁ πατὴρ Ἱπποδαμείας, ἐρῶν αὐτῆς διὰ τὴν τοῦ κάλλους ὑπερβολὴν καὶ οὐ θέλων ἐκδοῦναι ταύτην εἰς γυναῖκά τινι, προὐκαλεῖτο πάντας εἰς ἅμιλλαν δρόμου, τοὺς θέλοντας αὐτὴν ἐγγυήσασθαι, θαρρῶν τῷ αὐτοῦ ἅρματι, ταχυτάτῳ ὄντι, καὶ μηδένα οἰόμενος ὑπερβαλέσθαι ἂν αὐτὸν δυνηθῆναι. οὕτω δὲ ἐποίει τὴν ἅμιλλαν· τῷ μὲν μνηστῆρι ἐδίδου τὴν Ἱπποδάμειαν ἐν τῷ αὐτοῦ ἅρματι φέρειν, καὶ προηγεῖσθαι τοῦ δρόμου, αὐτὸς δὲ ὄπισθεν ἰὼν καὶ τῇ χειρὶ φέρων ἔγχος, ὁπότε ἔμελλε τὸν μνηστῆρα παρελθεῖν, ἔβαλλέ τε τῷ ἔγχει καὶ ἀνῄρει. τρεῖς οὖν πρὸς τοῖς δέκα ὁλωλεκὼς ἡττήθη ὑπὸ Πέλοπος. ὁ γὰρ ἡνίοχος αὐτοῦ τοῦ Οἰνομάου Μυρτίλος ἐφθάρη χρήμασιν ὑπὸ τοῦ Πέλοπος, ἵνα περὶ τὰς χοινικίδας τοῦ ἅρματος πανουργεύσῃ τι, καὶ τὸν Οἰνόμαον ἐντεῦθεν ἡττηθῆναι πα-

1) Sic Vrat. A. 2) Iliad. δ, 350. 3) Sic Vrat. A. 4) Sic Vrat. A. 5) Sic idem. Vulgo τό.

Digitized by Google

ρασκευάσῃ· οὗ γενομένου Πέλοψ Ἱπποδάμειαν ἔσχε. τῶν δὲ ἀνῃρημένων τὰ ὀνόματά εἰσι ταῦτα· Μέρμνος, Ἱππόθοος, Πέλοψ Ὀπούντιος, Ἀκαρνὰν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Παρθάονος, Ἀριστόμαχος, Κρόκαλος· ὧν ταῖς κεφαλαῖς ἔμελλε ναὸν ἀνεγερεῖν τῷ Ἄρεϊ. [1]) Rec.

115. Τὸ πολιᾶς ἁλὸς ἢ ἀντὶ τοῦ γεραιᾶς νόει, διὰ τὸ εἶναι προγενέστερον τὸ ὕδωρ τῶν ἄλλων στοιχείων, ὡς ἔφαμεν· ἢ ἀντὶ τοῦ λευκῆς· λευκαίνεται γὰρ τῇ τῶν κυμάτων περιφορᾷ καὶ δινήσει. † Ὄρφνη, ἡ νὺξ βαρυτόνως· ὀρφνὴ δὲ νὺξ ἀντὶ τοῦ σκοτεινὴ ἐπιθετικῶς, ὀξύνεται. Rec.

116. Ἄπυεν] ἐφώνει, προσεκαλεῖτο, τουτέστιν ηὔξατο τῷ Ποσειδῶνι ὁ Πέλοψ. § βαρύκτυπον δὲ εἶπε τὸν Ποσειδῶνα ἀπὸ τοῦ κτύπου τῆς θαλάσσης. Vet.

† Βαρύκτυπος, ὁ βαρεῖς κτύπους ἐργαζόμενος. βαρὺ ἐπὶ ὄγκου, ᾧ ἐναντίον τὸ κοῦφον. λέγεται τὸ βαρὺ καὶ ἐπὶ φωνῆς, καὶ ἔχει ἐναντίον τὸ ὀξύ. ἐνταῦθα ἐπὶ φωνῆς λέγεται τὸ βαρὺ ἐν τῇ συνθήκῃ τοῦ βαρυκτύπου. κτύπος δέ ἐστιν ὁ ἀπὸ συγκρούσεως ἦχος. Rec.

118. Σχεδόν] οὐ χρονικῶς τὸ σχεδὸν, ἀλλὰ τοπικῶς, πρὸς, τὴν φωνὴν ἀκούσας τοῦ Πέλοπος. § Ἄλλως. τὸ ἕτοιμον τῆς τοῦ θεοῦ ἀκοῆς δεδήλωκεν. [2]) Vet.

Τὸ σχεδὸν ὥσπερ ἑρμηνεία ἐστὶ τοῦ πὰρ ποσί. τὸ γὰρ παρὰ ποσὶ στῆναι πλησίον ἐστὶ στῆναι. Rec.

† Ὁ δ' αὐτῷ] ὁ δὲ εὐθέως παρὰ τοῖς ποσὶν αὐτοῦ ἐφάνη· τούτῳ δὲ εἶπεν ὁ Πέλοψ· ἄγε, ὦ Πόσειδον, ἐὰν κατά τι εἰς χάριν σοι ὦσιν, ἤγουν κεχαρισμένα, ἀρεστὰ ὦσι τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης· τοῦτο δὲ ἴσως ὡς ἐρώμενος αὐτοῦ λέγει· κατάσχες, ἀνενέργητον ποίησον τὸ ἔγχος τὸ Οἰνομάου τὸ σιδηροῦν, ᾧ τοὺς μνηστῆρας συμποδίζων ἀναιρεῖ ἐμὲ δὲ ἐπὶ ταχυτάτου ἅρματος παράπεμψον εἰς τὴν Ἦλιν· τῇ νίκῃ δὲ ἕνωσον, τουτέστι μετ' ἐμοῦ δὲ ποίησον τὴν νίκην· ἐπεὶ τρεῖς καὶ δέκα ἄνδρας ἀποκτείνας ὁ Οἰνόμαος ἐρῶντας εἰς τὸ ἐπιὸν παραπέμπει τὸν τῆς θυγατρὸς αὐτοῦ γάμον. Rec.

119. Τῷ μὲν ἔειπε] ὁ μὲν ἀντὶ τοῦ μήν. οὐ γὰρ ἀνταποδέδοται [3]) πρὸς αὐτὸν, ὁ μὲν εἶπεν, ὁ δὲ ἤκουσε. φίλια δὲ δῶρα Κυπρίας, τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης, εἰ εἰς χάριν τινὰ γίνεται, ἀντὶ τοῦ, εἰ χάρις [4]) ἐραστοῦ πρὸς ἐρώμενον. ἢ Κυπρίας, τοῦ γάμου. ἵν' ᾖ· εἴ τίς σοι χάρις ἐστὶ τοῦ ἐμὲ γῆμαι, σύμπραξον ἡμῖν. § Ἄλλως. εἴ σοι κεχαρισμένος ἐστὶν ὁ γάμος τῆς Ἱπποδαμείας, [5]) καὶ εἰ μὴ μέλλεις ἐναντιοῦσθαι τῷ ἔρωτι τῷ πρὸς τὴν Ἱπποδάμειαν. ταύτην γὰρ φίλια δῶρα τῆς Ἀφροδίτης εἶπεν. ὁ δὲ νοῦς· εἰ τὰ τῆς Ἀφροδίτης δῶρα ἐραστά σοι καὶ εἰς χάριν γίνεται, ἄγε τὸ τοῦ Οἰνομάου δόρυ πέδασον. Vet.

121. Πέδασον] κατάσχες, ἐμπέδησον τὸ τοῦ Οἰνομάου δόρυ. δόρυ γὰρ μεταχειριζόμενος ἐπεδίωκε προηγουμένους τοὺς μνηστῆρας καὶ συμποδίσας ἀνῄρει, ὥσπερ καὶ Ἀπολλώνιος [6]) μαρτυρεῖ·

1) Quod de Cycno Martis filio traditur (v. schol. ad Olymp. II, 147.), etiam ad Oenomaum eiusdem filium transtulisse fabula videtur. 2) Ex Vrat. A. D. 3) Sic Vrat. A. D. 4) Vrat. A. εἰς χάριν. 5) Vulgo κεχαρισμένον ἐστὶ τῆς Ἱππ. omisso ὁ γάμος, quod de coniectura addidi, quia in Vrat. A. est κεχαρισμένος. 6) Arg. I, 752.

Digitized by Google

Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντε.
Καὶ τὸν μὲν προπάροιθε Πέλοψ ἴθυνε, τινάσσων
Ἡνία, σὺν δέ οἱ ἔσκε παραιβάτις Ἱπποδάμεια.
Τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππους.
Σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπὼς
Ἄξονος ἐν πλήμνῃσι παρακλιδὸν ἀγνυμένοιο
Πίπτεν, ἐπεσσύμενος Πελοπηΐα νῶτα δαΐξαι.

§ Ἀμμώνιος ἔγχος Οἰνομάου τὸ ἅρμα ἤκουσεν. [1]) Vet.

126. Ἐς Ἅλιν] ἐς Ὀλυμπίαν· ὅτι τὸ χωρίον τῆς Ἤλιδος. Vet. Vrat. A.

Κράτει δὲ πέλασον] τῇ νίκῃ δὲ πέλασον· ἵνα κρατήσω αὐτοῦ. Vet.

127. Ἐπεὶ τρεῖς καὶ δέκα] καὶ ἐν Θρήνοις τὸν αὐτὸν ἀριθμὸν τίθησι τῶν ὑπὸ τοῦ Οἰνομάου ἀναιρεθέντων μνηστήρων· Πέφνε δὲ τρεῖς καὶ δέκα [2]) ἄνδρας· τετάρτῳ δ' αὐτὸς πεδάθη. Vet.

Τρεῖς τε καὶ δέκα ἄνδρας ὀλέσας] οἱ ἀναιρεθέντες οὗτοί εἰσι· Μέρμνης, [3]) Ἱππόθοος, Πέλοψ ὁ Ὀπούντιος, Ἀκαρνὰν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Παρθάονος, Ἀριστόμαχος, Κρόκαλος· τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολωλότων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμμαρτυρεῖ. τινὲς δὲ οὕτως αὐτούς [4]) φασι εἶ· Μέρμνην, Ἱππόστρατον, Αἰολοπέα, Πείραντα, Ἀκαρνᾶνα, Ἱπομέδοντα, Ἀλκάθουν, Εὐρύαλον, Εὐρύμαχον, Κρόκαλον, Ἀκρόκομον, Σκόπελον, Λυκοῦργον, Λάσιον, Χάλκωνα. τινὲς δὲ καὶ τοὺς δέκα τρεῖς οὕτω· Μέρμνωνα, Ἱππόθοον, Πέλοπα τὸν Ὀπούντιον, Εὐρύμαχον, Εὐρύχολον, Ἱπομέδοντα, Λάσιον, Χάλκωνα, Αἴολον, Τρικόρωνον, Ἀκαρνᾶνα, Ἀλκάθουν, Ἀριστόμαχον. ἄλλοι δὲ ἓξ εἶναι λέγουσι· Τρικόρωνον, Ἀριστόμαχον, Κυριάνοντα, Αἴολον, Πελάγοντα, Κρόνιον. Vet.

128. † Ἐρῶντας] οἱ μνηστῆρας γράφοντες οὐκ ἴσασι τὰ περὶ μέτρων. χρὴ τοίνυν ἐρῶντας γράφειν· ἵν' οἰκεῖον ᾖ τὸ κῶλον τῇ στροφῇ. Rec.

Ἀναβάλλεται] μακρύνει. Gl. γ.

129. Ὁ μέγας δὲ κίνδυνος] ὁ περὶ τῆς ψυχῆς. οἷον· οὐδεὶς ἄναλκις ὑπομένει περὶ τῆς ψυχῆς κινδυνεύειν, ἀλλὰ ἔστι [5]) τὸ τοιοῦτον ἀνδρὸς ἀλκίμου. ὅμοιον δέ ἐστι τῷ παρ' Ὁμήρῳ· [6])

σοὶ δ' οὐ δίος ἔστ' ἀπολέσθαι.
Οὐ γάρ τοι κραδίη μενεδήϊος, οὐδὲ μαχήμων. [7])

1) Ex Vrat. Est Ammonius Aristarcheus, de quo Suidas T. I. p. 144. Villoison. Prolegg. Hom. p. XXVI. 2) Vrat. τρισκαίδεκα. 3) Vrat. D. G. Μέρμης. In ceteris nominibus has libri varietates praebent: Gott. Ἀκαρνεύς; in eodem omissus Λάσιος; Vrat. Τρικάρανος secundum Schneiderum; Vrat. A. D. Gott. Πορθάονος. In altera serie Vrat. A. omittit Εὐρύμαχον; Vrat. A. D. habet Λυκούριον, Vrat. A. Λάγιον et Χαλήναν. In tertia Vrat. A. Αἰόλιον, Τρικόρανον, neque aliter in quarta. Apud Pausaniam VI, 21. hi sunt: Μάρμαξ, Ἀλκάθους ὁ Παρθάονος, Εὐρύαλος, Εὐρύμαχος, Κρόταλος, Ἀκρίας, Κάπετος, Λυκοῦργος, Λάσιος, Χαλκώδων, Τρικόλωνος, Ἀριστόμαχος, Πρίας, Πελάγων, Αἰόλιος, Κρόνιος, item Ἐρυθρός, Ἰωνεύς. Quum in Aeolio consentiant Pausanias et cod. Vrat., verius hoc nomen videtur. Conf. etiam schol. rec. ad vs. 114. 4) Sic Vrat. A. 5) Sic Vrat. A. D. Gott. 6) Iliad. μ, 246. 7) Sic Vrat. A. Vulgo μαχίμη.

Digitized by Google

§ Ἄλλως. τὰ δὲ ἐπικίνδυνα τῶν πραγμάτων οὐ δεῖται ἀτόλμων καὶ ἀθλίων [1]) ἀνθρώπων. § ἢ οὕτω· τὸν ἀνδρεῖον μέγας κίνδυνος καταλαμβάνει. Vet.

Ὁ μέγας δὲ κίνδυνος] ἀιτὶ τοῦ τὸ πρᾶγμα, ἐφ' ᾧ μέγας ἐστὶ κίνδυνος, οὐ δέχεται ἄνδρα οὐ γενναῖον τὴν ψυχὴν, τουτέστι δειλόν. ἐκείνοις γὰρ, οἷς ἐστιν ἀνάγκη ἀποθανεῖν ὁπωςδήποτε, διατί ἄν τις ἐν ἀφανείᾳ καθήμενος ἀκλεὲς γῆρας ματαίως ἕψοι, τουτέστι τῷ χρόνῳ πεπαίνων ἑαυτῷ ἀφέλκοιτο, [2]) πάντων τῶν καλῶν ἀμέτοχος ὤν; ἀλλ' ἐμοὶ μὲν οὗτος ὁ ἀγὼν ὑποκείμενος ἔσται εἰς τὸ ἀγωνίσασθαί με αὐτόν· σὺ δ' ἀπόβασιν πράξεως δίδου προςφιλῆ. Rec.

131. Θανεῖν δ' οἷσιν ἀνάγκα] εἰ [3]) δὲ τοῖς ἀνθρώποις ἐξανάγκης τὸ θανεῖν, διατί δή τις ἄδοξον τὸ γῆρας, ἐν ἀφανείᾳ καὶ ἀδοξίᾳ καθεζόμενος, τήκει καὶ καταναλίσκει μάτην, [4]) πάντων τῶν καλῶν ἀμέτοχος ὑπάρχων; § Ἄλλως. οἷς ἀποθανεῖν ἀνάγκη, τί καί τις καθεζόμενος ὑπὸ τοῦ ἀνωνύμου γήρως ἕψοιτο; τὸ δὲ ἐν σκότῳ καθήμενος ἀντὶ τοῦ ἀκινησίᾳ καὶ ἀκλείᾳ καθεστώς. § Ἄλλως. εἰ δεῖ ἀποθανεῖν τὸν ἄνθρωπον, ἄξιον αὐτὸν γενναίως ἢ ἀγεννῶς βιώσαντα τελευτᾶν. ἕψοι δὲ ἀντὶ τοῦ ἕψοιτο· οὐ γὰρ ἕψει [5]) τις τὸ γῆρας, ἀλλ' ἕψεται ὑπ' αὐτοῦ. ἀνώνυμον δὲ, τὸ ἐν ἀπραξίᾳ καὶ ἀκλεὲς ὑπάρχον. § Ἄλλως. ἐπειδὴ πρόκειται τὸ ἀποθανεῖν, διὰ τί μὴ μετὰ δόξης τελευτῶμεν, γενναῖόν τι τολμῶντες; [6]) Vet.

132. † Τί κέ τις] τὸ τὶς ἀορίστως λεγόμενον πληθυντικοῦ δύναμιν ἔχει. διὸ πρὸς πληθυντικὸν ἀποδίδοται νῦν. Rec.

Ἀνώνυμον] ἄδοξον. Gl. α.

134. Ἀλλ' ἐμοὶ μέν] ἐμοὶ μὲν ὑπὲρ τοῦ γάμου κινδυνεῦσαι πρόκειται, σοὶ δὲ τῇ γνώμῃ τὸ πέρας ἐπιθεῖναι. § Ἄλλως. ἐάν τε συμπράσσῃς, ὦ Πόσειδον, ἐάν τε μὴ, ἐγὼ ὑπομενῶ τοῦτον τὸν ἆθλον τοῦ γάμου. Vet.

136. † Πρᾶξιν φίλαν] ἀντὶ τοῦ ἀπόβασιν πράξεως προςφιλῆ. πρᾶξις γὰρ ἡ ἐνέργεια καὶ τὸ ἀποτελούμενον ἀπὸ τῆς ἐνεργείας. Rec.

137. Ὡς ἔννεπεν] ἀντὶ τοῦ εἶπεν. Rec.

Οὐδ' ἀκράντοις] ἀντὶ τοῦ οὐδὲ ἀκράντων ἐπῶν οὐδὲ ἀτελειώτων ἐφήψατο λόγων. παρέσχε γὰρ αὐτῷ ἃ ἐβούλετο. ἐνίκησε γὰρ καὶ ἔλαβε τὴν Ἱπποδάμειαν πρὸς γάμον. Vet.

Οὐδ' ἀκράντοις] δέον ἀκράντων εἰπεῖν ἐπῶν· ὁ δὲ πλαγιάσας ἀκράντοις ἔπεσιν εἶπε πρὸς τὸ ἐπί. οὐδὲ λόγων ἐφήψατο ἀδυνάτων τελεσθῆναι. Rec.

139. Τὸν μὲν ἀγάλλων] τοῦτον μὲν οὖν, φησὶ, τὸν Πέλοπα κοσμῶν καὶ αὔξων ὁ θεὸς [7]) ἔδωκε, φησὶν, αὐτῷ τό τε χρυσοῦν ἅρμα καὶ τοὺς ταχεῖς ἵππους. ἀγάλλων, κοσμῶν, ὡς ἤδη ἅτε θεὸς πεπεισμένος περὶ τῆς νίκης. Vet.

Τὸν μὲν ἀγάλλων] τὸν μὲν τιμῶν ὁ θεὸς ἔδωκε δίφρον, ἅρμα χρυσοῦν, καὶ ἵππους ὑποπτέρους, ἀντὶ τοῦ ταχυτάτους· οὐ γὰρ πτερωτοὶ ἦσαν. § ἰστέον, ὅτι τὸ μὲν ἅρμα Πέλοψ πρῶτος ἔδειξεν ἐκ Ποσειδῶνος λαβών· τὸν δὲ κέλητα Βελλεροφόντης διὰ τὴν πρὸς τὸν Πήγασον ἀνάβασιν. Rec.

1) Faehsius Syllog. p. 402. coniicit ἀνάθλων. 2) Cod. Heyn. ἐφέλκοιτο. 3) Vulgo ἐν. Correxi de coniectura. Mox Gott. διατί τις omisso δή. 4) Voculam addidi ex scripto. 5) Sic Vrat. A. 6) Ex Vrat. D. 7) Addidi ex libris.

Digitized by Google

141. Ἀκάμαντας] ἀκαμάτους, ἤγουν οὐ κοπιῶντας· ἕλε δὲ ἀντὶ τοῦ καθεῖλε τὴν ἰσχὺν τοῦ Οἰνομάου, περιφραστικῶς ἀντὶ τοῦ τὸν Οἰνόμαον. ἕλεν, ἤγουν ἔλαβε καὶ τὴν παρθένον τὴν Ἱπποδάμειαν σύνευνον. ἔτεκε δὲ ἀντὶ τοῦ ἐγέννησεν υἱοὺς ἓξ, λαῶν ἡγεμόνας, ἀνδραγαθίαις ἐν φροντίδι ὄντας· ἀντιστρόφως ἀντὶ τοῦ οἷς ἀνδραγαθίαι ἦσαν ἐν φροντίδι. νῦν δὲ ἥνωται ἐν περιφανέσιν [1]) αἱμακουρίαις, ἤγουν χοαῖς δι' αἱμάτων, ἃς συνήθως ἐτέλουν τοῖς ἀποθανοῦσι. πεσὼν, ἀντὶ τοῦ ταφεὶς παρὰ τῷ ῥεύματι τοῦ Ἀλφειοῦ, τύμβον ἔχων περιπολεῖσθαι δυνάμενον, διὰ τὸ μὴ πλησιάζειν τινὶ, παρὰ βωμῷ, ἔνθα πλεῖστοι ξένοι ἀθροιζόμενοι ἠγωνίζοντο. τὸ ἕλεν οὐ πρὸς τὸ παρθένον κατὰ κοινοῦ εἴποις, ἀλλ' ἐνταῦθα μὲν ἀντὶ τοῦ ἔλαβεν ἐρεῖς, πρὸς δὲ τὸ βίαν ἀντὶ τοῦ ἐκράτησε καὶ ἐνίκησεν. Rec.

144. Ἅ τέκε λαγέτας ἕξ] ἥτις Ἱπποδάμεια ἔτεκε λαγέτας ἕξ, ἤγουν ἡγεμόνας καὶ ἡγουμένους τῶν λαῶν. [2]) λέγει δὲ Ἀτρέα, Θυέστην, Πιτθέα, Ἀλκάθουν, Πλεισθένη, Χρύσιππον. § Ἄλλως. Ἀτρεὺς, Θυέστης, Ἀλκάθους, Ἵππαλκμος, Πιτθεὺς ἐκ [3]) Δίας, ἡ Χρύσιππος ἐξ Ἀξιόχης νύμφης, καὶ Πλεισθένης ἐξ ἄλλης. τινὲς δὲ οὕτως· Ἀτρέα, Θυέστην, Ἵππαλκμον, Πλεισθένην, Πιτθέα, Πέλοπα τὸν νεώτερον. Vet.

145. Ἀρεταῖσι μεμαότας] ἐπιθυμοῦντας τῆς ἀρετῆς καὶ ταύτης ἀντεχομένους. Vet. Vrat. A.

146. Νῦν δ' ἐν αἱμακουρίαις] Βοιωτικὴ ἡ φωνή. Βοιωτοὶ γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσιν. § ὁ δὲ νοῦς· ἐπὶ δὲ τοῦ παρόντος ὁ Πέλοψ ἐναγισμοῖς καὶ θυσίαις τελευτήσας τιμᾶται παρὰ τοῖς τοῦ Ἀλφειοῦ ῥεύμασι, περισημότατον ἔχων μνῆμα παρὰ τῷ πολυξένῳ βωμῷ. περιφραστικῶς οὖν ταῦτά φησιν ἀντὶ τοῦ [4]) ἀπέθανεν. § Ἄλλως. αἱμακουρίαις, τοῖς μεθ' αἱμάτων γινομένοις ἐναγισμοῖς. κατ' ἐνιαυτὸν δὲ ἐγίνοντο τῷ Πέλοπι, ὡς καὶ τοῖς λοιποῖς. ἡ δὲ ἐτυμολογία ἀπὸ τοῦ κορέννυσθαι τὰς ψυχὰς αἵματος. [5]) Vet.

Νῦν δ' ἐν αἱμακουρίαις] κατ' ἐνιαυτὸν πάντες οἱ ἐν τῇ Πελοποννήσῳ ἔφηβοι ἐν τῷ τοῦ Πέλοπος τάφῳ ταῖς μάστιξι ξαινόμενοι ὥσπερ τινὰ σπονδὴν τὸ αὐτῶν αἷμα τούτῳ παρεῖχον. τοῦτο δ' ἐποίουν δεικνύντες τὴν τοῦ ἥρωος δύναμιν, καὶ νομίζοντες μηδὲν ἄλλο πρὸς αὐτὸν εἶναι δίκαιον ἢ τοῦτο τελεῖσθαι. † Βοιωτῶν φωνὴ τὸ αἱμακουρίαις· οὗτοι γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσιν. Rec.

149. Τύμβον ἀμφίπολον] τινές φασι μνῆμα, ἄλλοι ἱερὸν εἶναι [6]) τοῦ Πέλοπος, καὶ πρὸ τοῦ Διὸς αὐτῷ τοὺς Ἠλείους θύειν, τοῦ Ἡρακλέους πρώτου κατὰ τιμὴν τοῦτο πεποιηκότος. ἀμφίπολον δέ τινες τὸν περιπολούμενον, διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει· οἱ γὰρ οἰκισταὶ ἐν μέσαις ταῖς πόλεσιν ἐθάπτοντο ἐξ ἔθους. § ἄλλοι δὲ ἀμφίπολον τὸν πολούμενον ὑπὸ τῶν ἀγωνιζομένων· ἐν γὰρ τῷ σταδίῳ ἐστὶν αὐτοῦ ὁ τάφος. [7]) § Ἄλλως. ἀμφίπολον, περιπολούμενον, ὡς τῶν ἐπιφοιτώντων διὰ τὸ ἄγαν τῆς κατασκευῆς εὐπρεπὲς κύκλῳ περιϊόντων καὶ θεωμένων. ἔνιοι δὲ, ὅτι οἱ δρομεῖς εἰς τὸν τάφον τοῦ Πέλοπος ἔκαμπτον. Vet.

1) Vulgo περιφαναῖσιν. Correxit Heynius. 2) Sic Vrat. A. D. Gott. 3) Addidit Heynius ἐκ. 4) Sic Vrat. A. 5) Haec Vrat. D. Gott. 6) Sic Vrat. A. D. 7) In iisdem.

Digitized by Google

Τύμβον ἀμφίπολον] τινές φασι μὴ μνῆμα, ἀλλ' ἱερεῖον [1]) εἶναι Πέλοπος, καὶ πρὸ τοῦ Διὸς ἐν αὐτῷ τοὺς ἀγωνιζομένους θύειν, τοῦ Ἡρακλέους πρῶτον κατὰ τιμὴν τοῦτο πεποιηκότος. ἀμφίπολον δὲ λέγει ἢ τὸν περιπολούμενον διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει· ἐνταῦθα γὰρ οἱ οἰκισταὶ ἐθάπτοντο· ἢ τὸν περιπολούμενον ὑπὸ τῶν ἀγωνιστῶν. φασὶ γάρ, ὡς ἐν μέσῳ τοῦ σταδίου ἦν. Rec.

150. Πολυξενωτάτῳ] ἔνιοι μὲν οὖν ἐνόησαν, ὅτι πολύξενόν φησι τὸν βωμὸν τὸν παρὰ τῷ τάφῳ τοῦ Πέλοπος ἑστῶτα διὰ τὸ πλῆθος τῶν εἰς τὴν Ὀλυμπίαν στελλομένων ἀγωνιστῶν τε καὶ θεατῶν. καί φασι τὸν ἑστῶτα παρὰ τῷ Πέλοπος αὐτοῦ βωμῷ Πέλοπα εἶναι, ἔνθα αὐτῷ τὰ ἐναγίσματα γίνεται. ἔνιοι δὲ οὕτως· ὅτι Ἴαμος Ἀπόλλωνος παῖς παρὰ τοῦ πατρὸς τὴν μαντικὴν λαβὼν περὶ τῆς ἱερωσύνης ἔλεγε τοῖς ἐρωτῶσι, διὰ γοῦν τὸ πλείστους ξένους τῆς μαντικῆς ἕνεκεν ἀφικνεῖσθαι, πολυξενώτατον εἶπε τὸν βωμόν. καὶ τοῦτον βωμὸν Διὸς καὶ Πέλοπος λέγουσιν οἱ ταύτην τὴν ἐξήγησιν ἐκδεξάμενοι, ἐπεὶ πολλοὶ ξένοι εἰςρέουσιν εἰς τὸν Ὀλυμπιακὸν ἀγῶνα. [2]) βωμὸς γὰρ ἐν Πίσῃ, ἐφ' οὗ [3]) θύουσι πάντες οἱ ξένοι. Vet.

152. Τηλόθεν δέδορκεν] ὁ νοῦς· τὸ δὲ τῆς Ὀλυμπιάδος [4]) κλέος ἄνωθεν ἀπὸ τῆς τοῦ Πέλοπος οἰκήσεως ὁρᾶται, ὡς ἐκείνου τὸ τέλειον τῷ Ὀλυμπιακῷ ἀγῶνι περιθέντος. § Ἄλλως. τὸ τηλόθε χρονικῶς ἀκουστέον· τὸ δὲ δέδορκεν ἀντὶ παθητικοῦ τοῦ δέρκεται, ἵνα ᾖ· ὁρᾶται, ἀπανταχῇ βλέπεται καὶ ἀκούεται ὁ Ὀλυμπιακὸς ἀγών. § ἰδίως δὲ τὸ δέδορκεν ἐξενήνοχεν ἀντὶ παθητικοῦ τοῦ βλέπεται, ὅτι μακρόθεν ὁρᾶται τὸ κλέος καὶ εἰς δεῖξιν πίπτει. § Ἄλλως. τηλόθεν δέδορκεν, ἀντὶ τοῦ πανταχοῦ βλέπεται καὶ βοᾶται ὁ Ὀλυμπιακὸς ἀγών· τὸ γὰρ δέδορκεν ἀντὶ παθητικοῦ τοῦ βλέπεται. Vet.

Τὸ δὲ κλέος] τὸ δὲ κλέος τῶν Ὀλυμπιάδων δέδορκεν ἀντὶ τοῦ βλέπεται, περιφανές ἐστιν ἐκ μακροῦ, ἐν τοῖς δρόμοις, οὓς ἔδραμεν ὁ Πέλοψ ἐρίζων τῷ Οἰνομάῳ, ὅπου ταχυτὴς ποδῶν ἁμιλλᾶται καὶ ἀκμαὶ ἰσχύος γενναῖα καὶ ἀνδρικὰ ἐργαζόμεναι. τοῦτο γὰρ τὸ θρασύπονοι. ὁ δὲ νικῶν, ἐν τούτῳ δηλονότι τῷ ἀγῶνι, περὶ τὸν ἐπίλοιπον αὐτοῦ βίον ἔχει εὐδίαν, ἤγουν ἠρεμίαν γλυκεῖαν ἕνεκα βραβείων ἀγῶνος, τουτέστιν ἡσυχάζει μετὰ γλυκύτητος, οὐ ζητῶν βραβεῖα ἑτέρου ἀγῶνος, ἅτε δὴ τῶν μεγίστων τετυχηκώς. ἀεὶ δὲ τὸ ἀγαθὸν τὸ κατὰ τὴν παρεστῶσαν ἡμέραν, ἤγουν τὸ ἐνεστὼς, κράτιστον ἔρχεται, ἀντὶ τοῦ δοκεῖ παντὶ ἀνθρώπῳ. Rec.

154. Ταχυτὰς ποδῶν] πρῶτον γὰρ εὑρέθη τοῦ δρόμου τὸ ἄσκημα, καὶ ἡ πρώτη θέσις τῶν Ὀλυμπίων δρόμου ἦν τὸ σχῆμα. ταχυτὰς ποδῶν ἐρίζεται ἀκμαί τ' ἰσχύος· ἀπὸ κοινοῦ τὸ ἐρίζεται· [5]) ἔνθα πρὸς ἀλλήλας ἐρίζουσι καὶ φιλονεικοῦσιν αἱ τῶν ἀκμαίων ἰσχύες αἱ γενναίως πρὸς τοὺς πόνους χωροῦσαι. τὸ δὲ ἀκόλουθον· αἱ ἀκμαῖαι [6]) ἰσχύες. § ἀντὶ τοῦ ἔνθα γίνονται [7]) καὶ δρόμοι καὶ πάλαι καὶ παγκράτια καὶ πυγμαί. τοῦτο γάρ ἐστι τὸ Θρασύπονοι ἀκμαὶ ἰσχύος. Vet.

157. Ὁ νικῶν δέ] ἔξωθεν ἐξακουστέον τὸν Ὀλυμπιακὸν ἀγῶνα. ὁ γοῦν τοῦτον νικῶν εὔδιον καὶ ἡδὺν τὸν [8]) λοιπὸν ἔχει βίον, ὡς τοῦ τέλεου τῶν ἀγωνισμάτων ἐν

1) Scribe ἱερόν. 2) Haec male cohaerent: sed nullum in libris subsidium. 3) Sic Vrat. A. Vulgo ὅν. 4) Sic Gott. Vulgo Ὀλυμπίας. 5) Sic Gott. 6) Vulgo ἀκμαὶ, αἱ: quod edidi, est in Vrat. Paullo ante vulgo χωροῦσι. 7) Sic Vrat. A. 8) Ita libri tres.

Digitized by Google

τῷ Ὀλυμπιακῷ ὄντος ἀγῶνι, καὶ τοῦ νικήσαντος ἔχοντος τὸ τέλειον τῆς δόξης. § Ἄλλως. ὁ νικῶν δὲ τὸν λοιπὸν αὐτοῦ βίον διάγει ἐν τῇ γῇ μέλι ῥεούσῃ, ἀντὶ τοῦ ἔχει [1]) ἡδεῖαν ἀνάπαυσιν. § Ἄλλως. ἀμφίβολον, πότερον ὁ νικῶν τὰ Ὀλύμπια εἰς τὸν μετὰ ταῦτα χρόνον ἐν εὐδίᾳ ἐστὶν ἕνεκα τῶν ἄθλων, οἷον ἕνεκα τοῦ νικῆσαι τὰ Ὀλύμπια ἐν εὐθυμίᾳ ἐστί, [2]) πολλάκις μέντοι εἴωθε δι' ἑτέρας συμφορὰς λυπεῖσθαι· ἢ οὕτως· ὁ νικήσας τὰ Ὀλύμπια ἕνεκα τῶν ἄλλων ἄθλων ἐν εὐδίᾳ ἐστίν· οὐκέτι γὰρ φιλοδοξεῖ οὐδὲ ἐπιθυμεῖ νικῆσαι ἕτερον ἀγῶνα. § Ἄλλως. ὁ νικῶν ἐν εὐδίᾳ διάγει, ἡδόμενος ταῖς νίκαις. Vet.

Εὐδίαν] ἡσυχίαν, τουτέστι βέλτιστος παρὰ πάντων νομίζεται. εὐδίαν δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ἐν θαλάσσῃ χειμαζομένων καὶ πεπαυμένων τοῦ κλύδωνος. Rec.

159. Τὸ δ' ἀεὶ παράμερον ἐσλόν] οἱ ἄνθρωποι τῶν ἔμπροσθεν πεπραγμένων ἀγαθῶν οὐκ εἰώθασι μνημονεύειν, ἀλλὰ παρ' ἡμέραν ἢ καλὸν ἢ κακὸν [3]) σκοποῦσιν. ἑκάστῳ οὖν, φησί, τῶν ἀνθρώπων τὸ παρ' ἡμέραν γινόμενον κρίνεται μέγιστον εἶναι. § Ἄλλως. τὸ δὲ τῶν ἄθλων παραγινόμενον ἀγαθὸν παρ' ἐκείνην τὴν ἡμέραν, τὴν ἐνεστῶσαν, ἐν ᾗ τις ἐνίκησεν, ὕπατον δοκεῖ καὶ μέγιστον ἀγαθὸν τῷ τετυχηκότι. § ἢ οὕτω· τὸ παρ' ἡμέραν γινόμενον. τὰ γὰρ ἐνεστῶτα τῶν μελλόντων προκρίνεται. § Ἄλλως. τὸ δὲ καθ' ἡμέραν καὶ ἀδιαλείπτως παρὰ τοῖς ἀνθρώποις ἀγαθὸν τοῦτο ἔξοχον καὶ ὑπὲρ ἄνθρωπον γίνεται ἀγαθόν. § ἢ οὕτω· τὸ δὲ περὶ τὴν τοῦ στεφάνου ἡμέραν ἀγαθὸν ὕπατον γίνεται παντὶ ἀνθρώπῳ· ἡ δὲ ἡμέρα, καθ' ἣν τις στέφεται, τιμιωτάτη. § Ἄλλως. ἐάν τις πρότερον εὐτυχῇ ἐν τῷ ἄλλῳ βίῳ, καὶ πάλιν εὐτυχήσας νικήσῃ, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ᾗ ἐνίκησεν, ἐπιλέλησται τῶν προτέρων εὐτυχημάτων. § Ἄλλως. τὸ γὰρ κατὰ προαίρεσιν συμβαῖνον ἀγαθὸν ὕπατον καὶ μέγιστον γίνεται παντὶ ἀνθρώπῳ. ὥσπερ καὶ ὁ Ἱέρων ἐπιθυμήσας νίκης ἐνίκησε, καὶ ἐγένετο αὐτῷ τοῦτο τὸ παρ' ἡμέραν ἀγαθὸν κατὰ προαίρεσιν τελεσθὲν ὕπατον καὶ μέγιστον. Vet.

Τὸ δ' ἀεὶ τοῦτο λέγει, ὅτι εἴ τις τὸν τῆς ζωῆς αὐτοῦ χρόνον καθ' ἑκάστην ἡμέραν παρὰ πάντων τιμᾶται, οὐκ ἔστι τούτου μεῖζον οὐδέν. Rec.

162. Ἐμὲ δὲ χρή] ἐμὲ δὲ πρέπει Αἰολίδι μολπᾷ καὶ ὕμνῳ στεφανῶσαι ἐκεῖνον τὸν ἐξ Ὀλυμπίας ἐν νόμῳ ἱππείῳ νενικηκότα κατὰ νόμους. νενομισμένον γάρ ἐστι μὴ μόνον τοῖς οἰκείοις ποσὶν ἀγωνίζεσθαι πεζῇ, ἀλλὰ καὶ ἱππικῶς· λέγω δὴ ἐν κέλητι καὶ δίφρῳ καὶ τετρώρῳ. λέγει δὲ διὰ τὸν Ἱέρωνα. τὸ δὲ Αἰολίδι μολπᾷ, ἢ ἀντὶ τοῦ ποικίλῃ· ποικίλοι γὰρ οἱ ἐκ λύρας ὕμνοι· ἢ Θηβαίᾳ· οἱ γὰρ Αἰολεῖς ᾤκησάν ποτε Θήβας· ἢ διότι καὶ ὁ Πίνδαρος ἐξ Αἰολέων κατήγετο, ὥς φασί τινες. § ἐμὲ δὲ πρέπει ἐγκωμιάσαι ἐκεῖνον, ὃν ὑπεθέμην δηλονότι, τουτέστι τὸν Ἱέρωνα, κατὰ τὸν νόμον τὸν ἁρμόζοντα τοῖς ἱππικοῖς, διὰ μολπῆς, ἤγουν ᾠδῆς Αἰολίδος, ἤγουν Θηβαϊκῆς ἢ Πινδαρικῆς. πέποιθα δὲ μηδένα ἄλλον φίλον ἀπὸ τῶν νῦν κατὰ τὰ ἀμφότερα, καὶ καλῶν ἔμπειρον καὶ κατὰ τὴν ἰσχὺν ἐπικρατέστερον, κοσμήσειν στροφαῖς ὕμνων κλυταῖς, τουτέστι μετεώρῳ φωνῇ ᾀδομέναις καὶ ἐξακουομέναις. Rec.

164. Αἰοληΐδι μολπᾷ] ἤτοι [4]) ποικίλῃ· ποικίλα γὰρ τὰ λυρικά· ἢ Θηβαίᾳ.

[1]) Sic iidem. Superiora ἐν τῇ γῇ corrupta iudico. Scribe ἐν εὐδίᾳ. [2]) Haec supplevi ex Vrat. A. D. [3]) Sic Vrat. D. Gott. [4]) Sic Rom. Vrat. D. Gott. Vulgo ἤχουν, ut Thomas et Moschopulus ac Triclinius loquuntur.

Digitized by Google

οἱ γὰρ Αἰολεῖς ᾤκησαν τὰς Θήβας. τινὲς δέ φασιν, ὅτι ἄνωθεν Αἰολεὺς τὸ γένος ὁ Πίνδαρος. οἱ δὲ, ὅτι Αἰολίῳ ῥυθμῷ διὰ τῆς μουσικῆς χρᾶται τῶν ποιημάτων. Vet.

165. Πέποιθα δὲ ξένον] ἐμαυτοῦ, τὸν Ἱέρωνα, ἐμπεριέχοντα καὶ δύο τῶν καλῶν. ὅ ἐστιν, ἀγαθὸν καὶ δυνάμενον ὃ βούλεται συντελεῖν. ἑνὶ γὰρ τὸ ἕτερον ἠκολούθηκεν, οὐ τὰ δύο. § Ἄλλως. πεπίστευκα δὲ καὶ πέπεισμαι ἀκριβῶς, μηδένα με ἔτι φίλον τῶν νῦν ἀνθρώπων ἐγκωμιάσαι τοῖς ὕμνοις ἀμφότερα ἔχοντα, καὶ ἐπιστήμονα τὰ κατὰ ψυχὴν καὶ σώματος ἰσχὺν τούτου ἀνδρειότερον· ἅπερ τὰ δύο τῷ Ἱέρωνι πάρεστιν. ἔνιοι δὲ κατὰ τοῦ Πινδάρου αὐτὸ ἀκούουσιν, ὅπερ καὶ μᾶλλον, διὰ τὰ ἑξῆς ἐπαγόμενα· ἵν' ᾖ τὸ ἐγκώμιον ἐπ' αὐτῷ κινῶν ὁ Πίνδαρος, καὶ ὁ νοῦς τοιοῦτος· πιστεύω δὲ μηδένα ἄλλον ποιητὴν ἐπιστήμονά τε εἶναι καὶ ἀνδρεῖον, καὶ οὕτω δύνασθαι τοὺς φίλους ἐγκωμιάζειν, ὥσπερ ἐμαυτόν. [1]) § Ἄλλως. πεπίστευκα δὲ, ὅτι οὐδένα ὕμνησα ἀμφότερα ἔχοντα, ἐμπειρίαν τε καὶ ἄλλων δύναμιν. ἀναφέρεται δὲ τοῦτο εἰς Ἱέρωνα. § Ἄλλως. τεθάῤῥηκα, φησὶν, ὅτι κυρίως ὑμνῶ τὸν εὐδύναμον καὶ φιλάρετον καὶ δίκαιον καὶ γενναῖον. Vet.

Πέποιθα δέ] τοῦτο καὶ ἐπὶ τοῦ Πινδάρου ὑπὲρ ἑαυτοῦ λέγοντος νοοῦσι, καὶ ἐπὶ τοῦ Ἱέρωνος. καὶ ἐπὶ μὲν τοῦ Ἱέρωνος οὕτω· πέποιθα δὲ καὶ θαῤῥῶ μή τινα ἄλλον ξένον καὶ φίλον ἐμὸν δαιδαλωσέμεν καὶ κοσμῆσαι ἐμὲ ἐν κλυταῖς καὶ ἐνδόξοις πτυχαῖς καὶ περιβολαῖς ἐπαίνων, ἴδριν τε καὶ ἐπιστήμονα καλῶν καὶ ἀγαθῶν καὶ δὴ καὶ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν σώματός τε καὶ πλούτου, ἀμφότερα· τουτέστιν ἐλπίζω, ὡς οὐδένα ἄλλον ὕμνησα, ἐμπειρίαν τε ἀγαθῶν ἔχοντα καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν. ἐπὶ δὲ τοῦ Πινδάρου οὕτω· πέποιθα δὲ μή τινα ξένον δαιδαλωσέμεν καὶ κοσμεῖν ἐν κλυταῖς πτυχαῖς ἐπαίνων, ἴδριν τε καὶ ἐπιστήμονα καλῶν, ἢ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ τὴν τοῦ λόγου δύναμιν, ἀμφότερα· τουτέστιν ἐλπίζω ὡς οὐδεὶς τῶν ἀνθρώπων ἐπίσταται οὕτως ἐγκωμιάζειν τοὺς φίλους ὥσπερ ἐγὼ καλλίστους ἐγκωμίων τύπους εἰδὼς καὶ κατὰ τὴν τοῦ λόγου δύναμιν πάντας ὑπερέχων. ἔστι δὲ τὸ καλῶν ἴδριν καὶ τὸ δύναμιν κυριώτερον ἰσοδυναμοῦντα πρὸς τὸ Ἀμφότερα. διὸ καὶ μετ' ἐκεῖνα τοῦτο λέγω κατὰ τὴν σύνταξιν, εἰ καὶ προηγεῖται κατὰ τὴν φράσιν. ἀγνοοῦντες δέ τινες ὄντα ἔξωθεν λαμβάνουσιν. Rec.

167. Ἴδριν] ἔμπειρον. Gl. β. γ. ἐπιστήμονα. Gl. α.

169. Δαιδαλωσέμεν] κοσμήσειν πτυχαῖς, τοῖς ποιήμασιν· [2]) ἐπεὶ διαιρεῖται εἰς στροφὰς καὶ ἀντιστροφὰς καὶ ἐπῳδούς. § Ἄλλως. ὕμνων πτυχαῖς, τῷ ὕμνῳ κατὰ περίφρασιν. οἰκείως δὲ πρὸς τὸ δαιδαλωσέμεν καὶ τὸ ποικίλλειν ὥσπερ ἐπὶ κατασκευάσματος τὸ πτυχαῖς ἐπήγαγεν. Vet.

171. Θεὸς ἐπίτροπος] ὁ μὲν φροντιστὴς τῆς σῆς εὐδαιμονίας, ὦ Ἱέρων, ἀδιάπταιστόν σοι τὴν εὐδαιμονίαν φυλάττει. οἱ δὲ πάλιν ἐπὶ τοῦ Πινδάρου· ἐπίτροπος ὁ θεὸς τῷ ἐμῷ τρόπῳ· καὶ λέγει τὴν Μοῦσαν. θεὸς ἐπόπτης καὶ διοικητὴς τεαῖσι μήδεται μερίμναις, κῆδος ἔχων τοῦτο, εἰς τοῦτο σπουδάζων, τὸ σοῦ προνοεῖσθαι. § Ἄλλως.

[1]) Sequentes duo articuli ex Vrat. D. et posterior partim ex Gott. [2]) Sic Vrat. D. Gott.

Digitized by Google

θεὸς ἐπίτροπός σου ὢν ἔχει τε καὶ φυλάσσει τοῦτο ταῖς σαῖς μερίμναις, ἔμπειρόν τε εἶναι καὶ δυνατὸν τῶν καλῶν καὶ δραστήριον. μήδεται δὲ, ἐργάζεταί σε νικητήν. Vet.

Θεός] ἤτοι ὁ Ἑρμῆς, ἐὼν καὶ ὑπάρχων ἐπίτροπος τῆς ἐμῆς τέχνης, μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ ἐμοῦ, ἐν τεαῖς καὶ ἰδίαις μερίμναις, ἔχων τοῦτο τὸ βουλεύεσθαι κῆδος καὶ φροντίδα. § καὶ πάλιν· ὁ ἐὼν καὶ ὁ ὑπάρχων ἐπίτροπος σὸς θεὸς, ἐν τεαῖς καὶ ἰδίαις μερίμναις, μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ σοῦ. Rec.

174. Εἰ δὲ μὴ ταχὺ λίποι] εἰ δὲ μὴ ταχέως με ἐπιλίποι ἡ Μοῦσα. καὶ φανερώτερον τὸν λόγον ἐφ' ἑαυτοῦ τίθησιν ὁ Πίνδαρος. οὐκ ἦν γὰρ προσῆκον περὶ τοῦ ἐγκωμιαζομένου λέγειν, ἐὰν μή σε ἐπιλίποι ἡ εὐδαιμονία, ἀλλὰ μετριώτερόν ἐστιν αὐτὸ λαμβάνειν ἐπὶ τοῦ Πινδάρου· ἐὰν οὖν, φησὶ, μή με ἐπιλίποι ἡ Μοῦσα, δυνήσομαί σοι καὶ αὖθις τεθρίππῳ νικήσαντι γλυκύτερον καὶ ἡδύτερον ὕμνον γράψαι καὶ ἐγκωμιάσαι σε, βοηθὸν τῶν ἐμαυτοῦ ποιημάτων εὑρίσκων τὴν σὴν νίκην· σοῦ γὰρ νικήσαντος ἔσται μοι πρόφασις καὶ ὁδὸς, ἀφ' ἧς με δεῖ ἐγκωμιάσαι. § Ἄλλως. ἔνιοι οὕτω συνέθηκαν τὸν λόγον· ἐὰν μή με ὁ βίος ταχέως ἐπιλείψῃ, ἀντὶ τοῦ ἐὰν μὴ τελευτήσω ἀλλὰ ζῶ, σὺν τῷ ταχεῖ τεθρίππῳ παραγεγονὼς εἰς τὸν εὐδείελον Κρόνιον, τουτέστι τὴν Ὀλυμπίαν, ἐλπίζω γλυκυτέραν σοι καὶ ἡδίω τῆς νῦν ᾄσαι ᾠδὴν, ὁδὸν καὶ πρόφασιν τῶν λόγων μου τὴν σὴν εὑρίσκων νίκην. τὸ δὲ, σὺν ἅρματι παραγεγονὼς, οἱονεὶ τεθρίππῳ νικήσαντος ἐν τῇ Ὀλυμπίᾳ, καὶ ἐμοῦ ἐπὶ τοιαύτῃ νίκῃ γράφοντός σοι [1]) τὸν ὕμνον. § Ἄλλως. εἰ μὴ ταχὺ λίποι ὁ αἰὼν, ὦ Ἱέρων, καὶ ἅρματί σε νικήσαντα ἐλπίζω ὑμνήσειν. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι· εἰ δὲ μὴ ταχὺ λίποι ὁ ἐπίτροπός σου δαίμων, ἔλπομαι ἐπίκουρον εὑρὼν ὁδὸν λόγων, ποιήσειν ἐγκώμιον βοηθῶν σου τῇ δόξῃ. § Ἄλλως. εἰ δὲ μὴ τάχα λίποι, ἔλπομαι πρὸς εὐδείελον ἐλθὼν Κρόνιον καὶ ἐπίκουρον εὑρὼν λόγων ὁδὸν, ἔτι γλυκυτέραν σὺν ἅρματι θοῷ κλεῖξαι σου τὴν νίκην, ὦ Ἱέρων. [2]) Vet.

Εἰ δὲ μὴ ταχὺ λίποι] εἰ δὲ μὴ ταχὺ καὶ ταχέως λίποι, ἐμὲ μὲν ὁ Ἑρμῆς, σὲ δὲ ὁ σὸς φροντιστὴς θεὸς, ἤγουν εἰ μὴ ταχέως τοῦ βίου ἀπέλθοιμεν, ἔλπομαι καὶ ἐλπίζω ἔτι καὶ εἰς τὸ ἑξῆς, ἐλθὼν παρὰ τὸν εὐδείελον καὶ τὸν φανερὸν Κρόνιον λόφον, ἤτοι παρὰ τὴν Ὀλυμπίαν, κλεῖξειν καὶ ὑμνήσειν σε σὺν ἅρματι θοῷ, εὑρὼν ὁδὸν καὶ μεταχείρησιν λόγων γλυκυτέραν τῆς νῦν ἐπίκουρον καὶ βοηθόν. οὐ γὰρ ἐάσει τὴν νίκην ὑπὸ λήθης ἀφανισθῆναι. κρεῖττον δέ ἐστιν ὑπὲρ τοῦ Ἱέρωνος μόνου ταῦτα λέγεσθαι. Rec.

† Θεὸς ἐπίτροπος] ὁ θεὸς, ὦ Ἱέρων, ἐπίτροπος ὤν, ἤγουν τὴν φροντίδα ἀναδεδεγμένος τῶν σῶν μεριμνῶν, τουτέστι τῶν περὶ σὲ, ἃς ἐγὼ δηλονότι φροντίζω περὶ σοῦ, βουλεύεται ἔχων ταύτην τὴν φροντίδα. εἰ δὲ μὴ ταχέως λίποι, ἔτι ἂν ἐλπίζω δυξάσειν σε σὺν ἅρματι ταχεῖ, δι' οὗ σὺ δηλονότι νικήσεις, ἐπελθὼν διὰ τῶν ἐγκωμίων παρὰ τὸν Κρόνιον λόφον τὸν εὐδείελον, ἤγουν τὸν μετέωρον καὶ καλῶς ἔχοντα τοῦ ἡλίου κατὰ τὰ πρὸς ἑσπέραν καὶ τὰ περὶ τὴν δείλην ἑώαν, εὑρὼν βοηθὸν ὁδὸν λόγων γλυκυτέραν. Rec.

179. Ἐμοὶ μὲν ὤν] ἐμοὶ μὲν οὖν δυνάμει ἡ Μοῦσα ἰσχυρότατα μέλη τρέφει τῶν λόγων, ὥστε βάλλειν καιρίως τοῖς ὕμνοις τοὺς νικηφόρους. § Ἄλλως. ἐγὼ μὲν ἐπὶ μουσικῇ πέποιθα· τὸ ἐμὸν βέλος ὑπὸ Μούσης [3]) τρέφεται· σὺ δὲ ἐν τῷ πλουτεῖν μέγας εἶ.

[1]) Vulgo σου. [2]) Hoc Vrat. D. Gott. [3]) Sic iidem.

Digitized by Google

τὸ δὲ Κρόνιον, ἀκρωτήριον τῆς Πίσης· περὶ γὰρ τὸν Κρόνιον λόφον ἄγεται τὰ Ὀλύμπια. § τὸ δὲ τρέφει ἀντὶ τοῦ ἀλκὴν αὔξει. Vet.

Ἐμοὶ μὲν ὦν] ἐμοὶ μὲν οὖν ἡ Μοῦσα βέλος, ἀντὶ τοῦ λόγον, τρέφει, τουτέστι διέπει, φυλάττει, καρτερώτατον κατὰ τὴν ἰσχύν· ἐπ' ἄλλοις δὲ πράγμασίν εἰσιν ἄλλοι μεγάλοι· τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος ἐπὶ τοῖς βασιλεῦσίν ἐστιν ηὐξημένον τὴν ἔξοχον αὐτοῦ αὔξησιν. μὴ ἀπόβλεπε πόρσιον, ἤγουν περαιτέρω, τὴν βασιλείαν δηλονότι ἔχων. εἴθε εἴη σέ τε ταύτην τὴν ἐνισταμένην ζωὴν διέρχεσθαι ὑψοῦ, τουτέστιν ἐπὶ μετεώρου σχήματος, καὶ κράτος ἀπάιτων ἔχοντος, καὶ ἐμὲ τοσάδε, ἀντὶ τοῦ τοιάδε, ὁμιλεῖν τοῖς νικηφόροις, προφανῆ ὄντα κατὰ σοφίαν πανταχοῦ κατὰ τοὺς Ἕλληνας. Rec.

180. Ἄλλοισι δ' ἄλλοι] τὶ μέγα [1]) ἐκ ταύτης τῆς προφάσεως αἰτεῖ τὸν Ἱέρωνα. § ἢ ἐπ' ἄλλοις δὲ πράγμασίν εἰσιν ἄλλοι μεγάλοι. Vet.

181. Τὸ δ' ἔσχατον] τὸ τελευταῖον καὶ τὸ πλῆρες, οὗπερ οὐκ ἔστιν ὑπερβολὴν τοῖς ἀνθρώποις εὑρεῖν, κορυφοῦται καὶ ὑψοῦται καὶ ἔστι τοῖς βασιλεῦσιν. § ἢ τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος ἐπὶ τοῖς βασιλεῦσιν ἔχει ηὐξημένην τὴν ἔξοχον αὐτοῦ αὔξησιν. Vet.

Τὸ δ' ἔσχατον] τὸ ἐξοχώτατον, ἤγουν τὸ τῆς δυνάμεως καὶ εὐδαιμονίας ἀκρότατον οἱ βασιλεῖς ἔχουσιν. Rec.

182. Μηκέτι πάπταινε] μηκέτι περίβλεπε καὶ ζήτει τῆς οὔσης εὐδαιμονίας ἐν σοὶ μείζονα· ἔχεις γὰρ τὸ τέλειον· μηκέτι περαιτέρω ζήτει τούτων, ὧν ἔχεις βασιλεὺς γενόμενος. Vet.

184. Εἴη σέ τε τοῦτον] ὁ νοῦς· εἴη δὲ σὲ μὲν τοῦτον τὸν χρόνον, ὃν ζῶμεν, ἐν ὕψει καὶ εὐδαιμονίᾳ διαζῆν, ἐμὲ δὲ τοσαῦτα τοῖς νικηφόροις προςδιαλέγεσθαι τοῖς ἐγκωμίοις, προφανῆ καὶ ἐπίσημον ὄντα διὰ τὴν σοφίαν ἐν τοῖς Ἕλλησιν. § Ἄλλως. ἀλλ' εἴη σὲ τοῦτον τὸν χρόνον, ὃν ζῶμεν, μὴ ἀποβαλεῖν τὴν βασιλείαν, ἐμὲ δὲ ἐπινικίους γράφειν καὶ ὑμνεῖν τοὺς νικῶντας. Vet.

185. Ὑψοῦ] τὸ μὲν ὑψοῦ τὴν εὐδαιμονίαν ηὔξατο· [2]) τὸ δὲ πατεῖν τὸ ζῆν πάλιν ηὔξατο. Vet.

186. Τοσσάδε νικαφόροις] ἀντὶ τοῦ τοσούτοις [3]) νικηφόροις ὁμιλεῖν, οἷος εἶ σύ. χαίρω δὲ γράφων τοιάδε, καὶ ἔσται τοιαῦτα, οἷα ἐπὶ σοῦ. Vet.

187. Πρόφατον] φανερὸν καὶ ἔξοχον ἐν [4]) σοφίᾳ πανταχῇ κατὰ τοὺς Ἕλληνας ὄντα. Vet.

Σοφίᾳ πρόφαντον] οὐχ ὁμολογουμένως τοῦτο λέγει καυχώμενος, ἀλλ' εὔχεται τοῦτο δοκεῖν· καὶ ἔχει τὴν δύναμιν πρὸς τὸ τοσάδε. δέον γὰρ οὕτως εἰπεῖν· ἐμὲ δὲ εἴη τοσοῦτον ὁμιλεῖν τοῖς νικηφόροις, τουτέστι τοιούτους τοὺς ὑπὲρ αὐτοῦ ὕμνους ποιεῖν, ὡς εἶναι πρόφαντον καὶ ὑπέρτατον πανταχοῦ εἰς τοὺς Ἕλληνας ἐν τῇ σοφίᾳ· πρὸς μετοχὴν τὸν λόγον ἔτρεψε, καὶ ἀντὶ τοῦ εἰπεῖν εἶναι, ὄντα εἶπεν. Rec.

1) Haec mutila. 2) In aliquot scriptis: ἤψατο. γρ. καὶ ἤρξατο. 3) Sic Rom. sed Gott. τοσοῦτον, Heynius τοσοῦτο. 4) Olim ἐν τῇ. Τῇ delevi ex cod.

Digitized by Google

GLOSSAE INTERLINEARES AD OLYMP. I. [1])

Ex Vratisl. A.

1. Τῶν ἄλλων στοιχείων, πυρὸς, ἁλὸς, γῆς. δηλονότι τῶν ἄλλων στοιχείων. τὸ προοίμιον ἐκ συγκρίσεως. 2. περιφανής ἐστι δηλονότι. λάμπον ἐν νυκτί. ἐνταῦθα γὰρ συνάπτεται. καιόμενον. 3. καθὰ διαλάμπει, ἤγουν διὰ πάντων τούτων πρέπει. λάμβανε δὲ συνεκδοχικῶς τοῦτο πρὸς τὸ χρυσός. 4. τοῦ τοὺς ἄνδρας μεγίστους ποιοῦντος, ἤτοι τοῦ ὑπερηφανίαν ἐμποιοῦντος. ἐξόχως. 5. ἀγῶνας. φωνεῖν ἀντὶ τοῦ ὑμνεῖν. 6. ἐπιθυμεῖς, ἐθέλεις, ὦ φίλη ψυχὴ, προσφιλὴς ἐμὴ ψυχή. 7. ἡλίου ἤγουν μὴ ζήτει ἰδεῖν. 8. ἄλλο φλογωδέστερον καὶ λαμπρότερον. 9. ἐν ἡμέρᾳ. λαμπρὸν, τοιαύτη γὰρ ἡ τῶν ἄστρων φύσις. ἄστρον ἀντὶ τοῦ ἀστέρα. 10. τοῦ μὴ ὑπό τινος οἰκουμένου ἀέρος. φερόμενον δηλονότι. ἤγουν μὴ ὑπὸ νεφελῶν κρυπτόμενον. 11. ἤγουν τοῦ Ὀλυμπιακοῦ ἀγῶνος. 12. κρείττονα τὸν ἐν Ὀλυμπίᾳ ἀγῶνος λέξομεν δηλονότι. ὅθεν, ἀπὸ τοῦ Ὀλυμπιακοῦ. ἐκεῖνον, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας γὰρ νικῶντες οἱ ἄνδρες πρὸς ἔπαινον τοὺς σοφοὺς ἐπαίρουσιν. 13. ὅθεν, ἀπὸ τῆς Ὀλυμπίας, ὁ πολυθρύλλητος. 14. ἐπέρχεται, ἀμφιβάλλεται, πλέκεται ἡμῖν. 15. ἤγουν ὑπὸ τῶν σοφῶν βουλαῖς, νοήμασι, ὑμνεῖν αὐτούς. ὥστε ὑμνεῖν. 16. τὸν Δία. πλουσίαν. ἀφικομένους. 17. μακαρίαν. οἰκίαν. 18. δίκαιον, ἔννομον. διεξάγει, περιέπει, διέπει. 19. ἀρχὴν ἤτοι βασιλείαν τῇ πολυθρέμμονι. ἀντὶ τοῦ πολυθρέμμονι. 20. καρπούμενος, λαμβάνων, τρυγῶν, ἀπανθιζόμενος. 22. λαμπρύνεται, κοσμεῖται. 23. τῷ ἀπανθίσματι ἀπό. ἤγουν μέλεσιν ἐξαιρέτοις. ἤτοι ἐξαίρετός ἐστιν ἐν τῇ μουσικῇ. 24. καθά. κατ' ἐκεῖνο τὸ μέρος ὃ παίζομεν. 25. οἱ ἄνθρωποι. περί. συνεχῶς δὲ ἀμφὶ καθ' ὑπερβάλλον [2]) πρὸς τὸ τράπεζαν λάμβανε. πολλάκις. 26. ἤτοι τὴν Δωρίοις μέλεσιν ἁρμόζουσαν. 27. τὴν κιθάραν. ἀπό. ἐν ᾧ ἦν κρεμαμένη. 28. ὦ ψυχή. καὶ κίνει δηλονότι πρὸς τοὺς ἐπαίνους. ἐνταῦθα γὰρ ἐτελεῖτο τὰ Ὀλύμπια. 29. ἤτοι τὸ ἐπαγωγὸν τοῦ ἀγῶνος τοῦ ἐν τῇ Πίσῃ καὶ τῆς ἀρετῆς τοῦ ἵππου τοῦ Φερενίκου. 30. τὸν σὸν νοῦν. ἡδὺ γὰρ ἐμοὶ τὸ φροντίζειν περὶ αὐτοῦ, ἤγουν τὴν γλυκυτάτην φροντίδα τῶν ἐγκωμίων. 31. φροντίζειν ἐποίησε. 32. ὅστις ὁ ἵππος ἢ ὁπότε. ποταμῷ. ὥρμητο τὸ αὐτοῦ σῶμα. πλησίον τοῦ Ἀλφειοῦ ποταμοῦ. ἀντὶ τοῦ ἐσεύετο αὐτὸς ὁ Φερένικος. ἑαυτοῦ. 33. αὐθόρμητον καὶ μὴ δεόμενον κέντρου πρὸς τὸ αἰνεῖσθαι, ὥσπερ οἱ ἄλλοι ἵπποι. οὐ δεόμενον κέντρου. διδούς. 34. τῇ νίκῃ. προσεπέλασεν. τὸν Ἱέρωνα τὸν αὐτοῦ κύριον. ἤτοι τὸν Ἱέρωνα. ἤνωσε. 35. Συ-

1) Glossas et has et ceteras ad Pindari carmina exigui vel potius nullius usus esse sciunt eruditi. Sed has maximam partem ex paraphrasi in scholiis recentiorum contenta ductas, aliasque nonnullas speciminis causa edere non incommodum visum est. Eaedem fere glossae sunt in Hafniensi, quod collato specimine Niebuhriano didici. Glossae Pal. C. non eaedem plane sunt, sed similes et fere breviores. 2) Scribe ὑπερβατόν.

Digitized by Google

ράκουσσα πόλις Σικελίας. τὸν τῇ ἱππικῇ χαίροντα. 36. ἤτοι διάδηλόν ἐστι. οὕτω χρὴ τὸ κῶλον τοῦτο γράφειν διὰ τὸ μέτρον. 37. αὐτοῦ τοῦ Ἱέρωνος ἢ τῷ ἵππῳ. ἤτοι τῇ καλῶς ἐχούσῃ ἕνεκα γενναιότητος ἀνδρῶν. αὐτῷ, ἤτοι αὐτοῦ τοῦ Ἱέρωνος. 38. ἤτοι τῇ Πελοποννήσῳ. ἤγουν τοῦ Πέλοπος. ὁ μεγάλην ἔχων ἰσχύν. 39. ἐπροθύμησεν, εἰς ἔρωτα ἦλθεν, ἤτοι ἔρωτα ἔσχε. ὁ τὴν γῆν συνέχων ὁ Ποσειδῶν. 40. ἀφ' οὗ αὐτὸν τὸν Πέλοπα τοῦ ἱεροῦ διὰ τὴν θυσίαν ἐξήνεγκεν. 41. ἡ τὰ τῶν ἀνθρώπων ἐπικλώθουσα τύχη. ἤγουν ἐλεφαντίνῳ, ὀστῷ δηλονότι. λαμπρόν. 42. κεκοσμημένον ἢ ἔχοντα. 43. οὕτως ἔκπληξις ὑπάρχει. οὕτως ἄξια θαύματος καταπολύ. 44. κατά τι. ἀνθρώπων. 45. ἤτοι ἔξω τοῦ ἀληθοῦς λόγου. 46. πεποικιλμένοι ἐκ μεταφορᾶς τοῦ μηχανικωτάτου Δαιδάλου. 47. ἐξαπατῶσι τοὺς ἀκούοντας καὶ πρὸς πίστιν ἄγουσι, παρασύρουσι λόγοι. 48. ἡ ποιητικὴ καλλιέπεια, ἤτοι δύναμις, ποιητικῶν λόγων δηλονότι ἐπαγωγὸς κατασκευάζει. 49. τὰ ἡδέα ἤτοι τὰ εὐπαράδεκτα ἀνθρώποις. 50. ἐπιτιθεῖσα αὐτοῖς ἢ ἑαυτῇ. 51. πρᾶγμά τι. ἐσκέψατο, ἐμηχανήσατο ἀπὸ ἑαυτοῦ φύσεως. 52. εἶναι ἀντὶ τοῦ δοκεῖν. τοῦτο ὃ πολλάκις. 53. ἤγουν ὁ μετὰ ταῦτα χρόνος δείκνυσι τὸ πρᾶγμα ὁποῖόν ἐστι, καὶ ἔλεγχος ἀκριβής. 54. καὶ ἀληθείας. γίνοντ' ἔλεγχοι τοῦ ψεύδους, τῆς ἀληθείας. 55. παντί. φάναι, εἰπεῖν. 56. πρέπει, εἰκὸς, περὶ θεῶν. τουτέστι λόγους ἀγαθὴν δόξαν ἔχοντας. περὶ θεῶν. 57. ἐλάττων, ἀντὶ τοῦ οὐδεμία μέμψις. 58. Πέλοψ. ἤτοι περὶ σοῦ ἐναντίως. 59. ἱστορικῶν ποιητῶν, εἴπω. ἔχει δὲ τὴν δύναμιν πρὸς τὸ ἁρπάσαι. ποιητῶν δηλονότι. 60. ᾄδεται. συνήγαγε. τοὺς θεοὺς δηλονότι. ὁ σός. Τάνταλος. 61. δικαιότατον. ἐπεὶ σὴ ἀντίδοσις ἣν ὧν ὑπὸ θεῶν ἀγαθῶν ἔπασχεν. εὐσεβέστατον. 62. τὴν ἀμοιβαίαν δεξίωσιν. ὅρος τὸ λεγόμενον Κουζηνᾶς νῦν, ἔνθα ἡ Νιόβη λελέξεται. 63. κατὰ ἀμοιβὴν, ἀντίδοσιν γινόμενα. διδούς. 64. τὸν λαμπρὰν τρίαιναν ἔχοντα Ποσειδῶνα, ἤτοι τὸν Ποσειδῶνα τὸν τῇ λαμπρᾷ τριαίνῃ χρώμενον. 65. τρωθέντα, μαλαχθέντα τὸν λογισμὸν τῇ σῇ ἐπιθυμίᾳ, ἤτοι ὑπ' ἔρωτος. 66. ἤγουν ἐν τῷ χρυσοῦς ἵππους ἔχοντι αὐτοῦ ἅρματι. ἐπὶ τῶν χρυσῶν ἵππων, ἀντὶ τοῦ ἐν ἅρματι χρυσῷ. 67. ὑπέρτατον, ἔξοχον. τοῦ μεγίστως τιμωμένου, πάνυ τιμίου. 68. πρὸς τὸ οἴκημα. μετενέγκαι, ὥστε μεταβιβάσαι. 69. ὅπου ἦλθεν ὑστέρῳ. πρότερος γὰρ Γανυμήδης Πέλοπος. τὸ δὲ ἔνθα καθ' ὑπερβατὸν πρὸς τὸ ἦλθεν. 70. ἀπηνέχθη, πρότερον δηλονότι. ὃν αὐτὸς ὁ Ζεὺς γεγονὼς ἐκ Φρυγίας ἥρπασεν. 71. ἐπὶ τὸ αὐτὸ χρέος. ἐπὶ συνουσίᾳ γὰρ καὶ αὐτὸς ὑπὸ τοῦ Διὸς ἡρπάγη. τρωθέντος τῷ αὐτοῦ. ἐπὶ χρείαν τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος. 72. ἐπεὶ δὲ ἀφανὴς ὑπῆρχες. 73. τῇ Εὐρυανάσσῃ τοὔνομα. κατὰ πολὺ ζητοῦντες. 74. ἄνδρες ἤγαγον. 75. ἀντὶ τοῦ εἶπε, ἐψιθύριζε. κρυφίως. Δωρικῶς περισπᾶται. 76. τῶν φθονούντων τὰ τοῦ πλησίου καλά. 77. βράζουσαν. ἐπὶ σφοδρότητα. 78. κατέκοψαν οἱ θεοὶ, ἤτοι ταμόντες. 79. ἐμβεβλήκασι τὴν περιβεβραγμένην τῷ ἐντὸς τοῦ λέβητος ὕδατι ζέοντι. ἐν ᾧ ἥψοντο. εἰς μικρότατα. 80. διεμέρισαν πρὸς ἀλλήλους. διεμερίσαντο ἐν τῇ τραπέζῃ. ἔφαγον. σοῦ. 82. ἀμήχανον, ἀβούλητον. ἀμήχανον καὶ ἄπορον, ἤτοι ὑπ' οὐδενὸς λογισμοῦ ἐκδιδομένου. ἤτοι ἀκρατῆ τῆς γαστρός. 83. τῶν θεῶν. τινά. 84. τοῦ τοιαῦτα λέγειν. ἀντὶ τοῦ τοῦ σκοποῦ. οὐδεμία ὠφέλεια, ἀλλὰ μᾶλλον βλάβη. ἔλαχεν, ἐκληρώσατο. 85. συχνῶς ἀντὶ τοῦ κατὰ πολύ. ἤτοι τοὺς κατηγοροῦντας εἰς τοὺς θεούς. 86. τοῦ οὐρανοῦ. οἱ ἐπιτηρηταὶ θεοὶ, οἱ ἔφοροι. περὶ τοῦ Ταντάλου.

Digitized by Google

87. ὁ Τάνταλος ἦν οὗτος ὁ τιμηθεὶς. 88. κατασχεῖν, ἀντὶ τοῦ διοικεῖν τὴν μεγάλην εὐδαιμονίαν ταύτην. 89. ἐδυνήθη. τῇ πλησμονῇ τῆς τιμῆς. ἤτοι ὑπὸ τοῦ κόρου. τῷ ὄγκῳ τῆς τιμῆς. ἔλαβε. 90. βλάβην μεγάλην ὑπερβολικὴν καὶ ἀμήχανον. 91. βλάβην, δι' ἣν αὐτῷ ἤγουν ὁ Ζεύς. δι' ἣν αὐτῷ. 92. ὑπεράνω. ἐπειδὴ δὲ ὁ λίθος ἦν ἄτη, διὰ τοῦτο τὰν εἰπὼν ἐπήγαγε τὸ λίθον. ἀντὶ τοῦ μέγαν. τουτέστι κατ' αὐτοῦ. 93. λίθον. προθυμούμενος ὁ Τάνταλος ἀπορρίψαι. ἀντὶ τοῦ ἀπώσασθαι. 94. χαρᾶς. ἤγουν πόρρω ἡδονῆς στρέφεται, ἐξίσταται καὶ πικρίᾳ σύνεστι. 95. εἰς ὃν οὐκ ἔχει μηχανὴν ἀπαλλαγῆς εὑρεῖν. ἀμήχανον, ἀσθενῆ. 96. τὸν ὑπὸ τῷ λίθῳ κεκρατημένον μόχθῳ καὶ λύπῃ. τουτέστιν ἰσχυρὰν κάκωσιν ἔχοντα. 97. τοῦ πεινῆν, τοῦ διψῆν, τοῦ ἑστάναι. 98. τῶν θεῶν. διότι. 99. ἡλικιώταις. τοῖς ὁμοτρόποις ἀνθρώποις. τῷ Σισύφῳ, τῷ Τιτυῷ καὶ τῷ Ἰξίονι. 100. πῶμα θεῖον, τροφὴν θεῶν. καί. 101. ἔδωκεν τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ. δι' ὧν, ἤγουν τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας. ἀθάνατον. 102. ἐποίησαν, αὐτὸν δηλονότι. 103. ἐλπίζει. 104. λήσειν. πράττων τι. ἀστοχεῖ, σφάλλει, ἀποτυγχάνει τοῦ πρέποντος σκοποῦ. 105. διὰ τοῦτο, λέγει τὸ μεταδοῦναι ἀνθρώποις τῆς ἀμβροσίας καὶ τοῦ νέκταρος καὶ ἐξειπεῖν τὰ θεῖα μυστήρια. κἀξήγαγεν ἐξ οὐρανοῦ. 106. οἱ θεοί. αὐτῷ, αὐτοῦ δηλονότι. 107. ἐπὶ τὸ ταχυθάνατον, τὸ ἐπ' ὀλίγον ἐν τῇ ζωῇ διαρκοῦν. 108. πάλιν. ἀνθρώπων γένος. 109. ἀνθηρὰν, εὐανθῆ, θαλεράν. ἡλικίαν, αὔξησιν, ἀναδρομὴν σώματος. 110. τρίχες, αἱ τριχώσεις. αὐτόν. ἤγουν ὅτε εἰς τοιαύτην ἡλικίαν ἦλθεν ὡς ἐξανθῆσαι γένειον πώγωνα. ἐστεφάνουν σκέπουσαι. ἐποίουν. αὐτόν. 111. πρόχειρον. τοιοῦτος γὰρ ἦν ὁ τῆς Ἱπποδαμείας γάμος ἐν κοινῷ προκείμενος, ἤτοι προτεθειμένος τῷ βουλομένῳ. ἤτοι ἀναπολήσας κατὰ νοῦν, ἠγάπησεν. 112. τοῦ Οἰνομάου τοῦ ἐν τῇ Πίσῃ κατοικοῦντος, τοῦ βασιλεύοντος ἐν τῇ Πίσῃ. ἀντὶ τοῦ Οἰνομάου δηλονότι. 113. ἀρίστην. ἀγαθὸν κλέος ἔχουσαν. 114. λαβεῖν, ἤτοι σχεῖν, λαβεῖν. πλησίον. οὕτω γράφε διὰ τὸ μέτρον. [1]) 115. λευκῆς θαλάσσης μόνος ἐν νυκτί. 116. ἐπεβοᾶτο. τὸν μεγαλόκτυπον. ἐκάλει, τὸν Ποσειδῶνα δηλονότι. 117. τὸν μεγάλην τρίαιναν ἔχοντα Ποσειδῶνα. τρίαινα δὲ ἀπὸ τοῦ τρία καὶ τοῦ αἰνὸν τὸ χαλεπόν. τὸν τῇ καλῇ τριαίνῃ χρώμενον. τῷ Πέλοπι ὁ Ποσειδῶν. 118. παρά. πλησίον. πλησίον ἐφάνη. 119. γρ. τῷ δ' ἔειπε. [2]) τῷ Ποσειδῶνι εἶπεν ὁ Πέλοψ δηλονότι. προσφιλῆ. 120. τῆς Ἀφροδίτης τῆς ἐμῆς. τῆς Ἀφροδίτης. κατά τι. 121. ὦ Πόσειδον. σοὶ δηλονότι κεχαρισμένα. 122. ὑπάρχει. ἄμβλυνον, ἐξασθένησον. ποίησον, κατάσχες ἀνενέργητον. 123. τὸ σιδηροῦν. 124. ἤτοι ἐπὶ ταχυτάτου ἅρματος. 125. πορευθῆναι ποίησον, παράπεμψον. 126. πόλιν Πελοποννήσου. νίκη. πλησίασον ἐμὲ, ἕνωσον ἐμέ. 127. ἤτοι τρεῖς πρὸς τοῖς δέκα. ἀποκτείνας ὁ Οἰνόμαος. 128. γρ. ἐρῶντας. [3]) ἀπαξιοῖ καὶ ἀπολέγει, ἤτοι εἰς τὸ ἐπιὸν παραπέμπει. 129, 130. οἷος οὗτος, τουτέστι τὸ πρᾶγμα, ἐφ' ᾧ μέγας κίνδυνός ἐστι. δειλὸν, ἤτοι οὐ γενναῖον τὴν ψυχὴν ἄνδρα. 131. οὐ δέχεται. ἐκείνοις γὰρ οἷς ἐστιν ἀνάγκη ἀποθανεῖν ὁπωσδήποτε. ἀνθρώποις. ἀπαραίτητον ὑπάρχει. 132. κατὰ τί ἄν. ἀκλεές. ἤγουν ἐντὸς οἴκου. ἐν ἀφανείᾳ, ἐν ἀκινησίᾳ. 133. δαμάζοι. τὰ γὰρ ἑψόμενα κρέα οἱονεὶ τῷ πυρὶ δαμάζεται. ἤτοι ἑαυτῷ ἐφέλκει ματαίως. 134. ἀμέτο-

1) Cod. ἐγγὺς δ' ἐλθών. 2) Cod. in textu: τῷ μὲν εἶπε. 3) Cod. μναστῆρας.

Digitized by Google

χος δηλονότι ὧν. ἤγουν τῷ Πέλοπι. ὁ πρὸς Οἰνόμαον. 135. ὁ ἀγών. συνίζησις. ὑποτεθήσεται, ἀγωνισθήσεται, ὑποκείμενος ἔσται εἰς τὸ ἀγωνίσασθαι αὐτόν. σὺ Δωρικῶς. 136. ἤτοι ἀπόβασιν πράξεως. προσφιλῆ δίδου. λέγω δὴ τὸ αὐτὸ νικῆσαι, ὃ πάντων ἐμοὶ φίλτατον. 137. οὕτως εἶπεν ὁ Πέλοψ, ἤτοι οὐδὲ λόγων ἐφήψατο ἀδυνάτων τελεσθῆναι. 138. ἀνηνύτοις, ἀδυνάτοις λόγοις. 139. τὸν Πέλοπα κοσμῶν καὶ σεμνύνων, τιμῶν ὁ Ποσειδῶν. 140. ἅρμα. χρυσοῦν. ἤτοι ὑποπτέρους ἀντὶ τοῦ ταχυτάτους. 141. μηδέποτε πρὸς τὸν δρόμον ὀκλάζοντας, ἤτοι οὐ κοπιῶντας. 142. ἐκράτησεν, καθεῖλεν. ἤτοι τὸν Οἰνόμαον. ἰσχύν. ὅπως νικήσας ἔλαβεν Ἱπποδάμειαν. 143. ἤτοι τὴν Ἱπποδάμειαν εἶχεν. ἀπὸ κοινοῦ ἔλαβεν. σύνοικον. 144. ἀντὶ τοῦ ἐγίννησεν. λαῶν ἡγεμόνας. τὸν Ἀτρέα, τὸν Θυέστην, τὸν Πιτθέα, τὸν Ἀλκάθουν, τὸν Πλεισθένην καὶ τὸν Χρύσιππον. ἡγεμόνας. 145. ταῖς ἀιδρὶ προσηκούσαις, ἤγουν φροντίδα ποιουμέναις τῶν ἀρετῶν. ἀντιστρόφως ἀντὶ τοῦ οἷς ἀνδραγαθίαι ἦσαν καὶ φροντίδες. 146. θυσίαις ἐξ αἵματος κούρων, ἤγουν χοαῖς δι' αἱμάτων. 147. εἰς κόσμον αὐτοῦ γινομέναις, περιφανέσι. ἤτοι σύνεστιν, ἥνωται. 148. ἤγουν τῇ Πελοποννήσῳ ἀπὸ μέρους. πεσὼν, ἤτοι θανών. ῥεύματι. πεσὼν, ἤτοι ταφείς. 149. τάφον περιπολούμενον, περιπολεῖσθαι δυνάμενον. 150. ἔνθα πολλοὶ ξένοι συνάγονται. ἔνθα πολλοὶ ξένοι συναθροιζόμενοι ἠγωνίζοντο. 151. τῷ ἐν Ὀλυμπίᾳ τοῦ Διός. ἡ δόξα. 152. ἐκ μακροῦ ἄνωθεν καὶ ἐξ ἀρχῆς. βλέπει, ἤγουν ἐκλάμπει, βλέπεται, περιφανής ἐστι. 153. ἤτοι τοῦ Ὀλυμπιακοῦ ἀγῶνος. ἐνταῦθα γὰρ ἡμιλλήσατο Πέλοψ πρὸς Οἰνόμαον. οὓς ἔδραμεν ὁ Πέλοψ ἐρίζων τῷ Οἰνομάῳ. 154. ἵνα. 155. ἁμιλλᾶται. 156. ἀκρότητες, μεγέθη καὶ δυνάμεις. γενναῖα καὶ ἀνδρικὰ ἐργαζόμεναι. 157. ἐκεῖ ὧν. τούτῳ τῷ ἀγῶνι δηλονότι. περὶ τὸν ἐπίλοιπον αὐτοῦ βίον. αὐτοῦ. 158. γλυκεῖαν ἡσυχίαν, ἠρεμίαν. 159. ὧν ἠγωνίσατο ἀγώνων, βραβείων. ἕτερον ἀγῶνος. 160. παρ' ἡμέραν ἑκάστην, ἤτοι τὸ διηνεκὲς τὸ κατὰ τὴν ἐνεστῶσαν ἡμέραν, ἤτοι τὸ ἐνεστὸς ἀγαθόν. 161. ἐξοχώτατον καὶ εὐδαιμονίας ἀκρότατον, κράτιστον. ἀντὶ τοῦ δοκεῖ. 162. ἀνθρώπῳ. ἐγκωμιάσαι. 163. τὸν ἐν τῇ Ὀλυμπίᾳ νικῶντα. κατὰ τὸν νόμον τὸν ἁρμόζοντα τοῖς ἱππικοῖς. ὃν ὑπεθέμην, δηλονότι τὸν Ἱέρωνι. 164. ποικίλῃ, ἢ Θηβαϊκῇ. διὰ μολπῆς, ἤγουν ᾠδῆς Αἰολίδος, ἤτοι Θηβαϊκῆς ἢ Πινδαρικῆς. 165. πρέπει. ἐλπίζω, θαῤῥῶ. φίλον. 166. κατὰ τά. 167. ἀγαθῶν ἐπιστήμονα, ἔμπειρον. 168. ἰσχύν. ἐπικρατέστερον. 169. ἀνθρώπων. ἐν δόξαις, ἐξακουσμίαις. κοσμῆσαι, ὑμνῆσαι, κοσμήσειν. 170. κοσμήσειν. ἐπαίνων. μεθόδοις, στροφαῖς. 171. ὁ Ἑρμῆς, ἢ ὁ ἀγαπῶν σε δαίμων. ἐπιτηρητὴς τῆς ἐμῆς τέχνης ἢ σοῦ ἢ καθόλου πάντων. ἤγουν ὁ τὴν φροντίδα ἀναδεδεγμένος τῶν σῶν μεριμνῶν. 172. ταῖς σαῖς. βουλεύεται. 173. τὸ ὑπὲρ ἐμοῦ καὶ σοῦ βουλεύεσθαι, ἤτοι ταύτην τὴν φροντίδα. 174. φροντίσιν. ταχέως, ἐμὸς ὁ βίος δηλονότι. 175. εἰς τὸ ἑξῆς τῶν νῦν ἄν. ἐλπίζω. 176, 177. ἐν ᾧ τότε νικήσεις, δι' οὗ σὺ νικήσεις. κοσμήσειν σε, δοξάσειν σε, βοηθὸν τῇ σῇ νίκῃ. 178. μεταχείρησιν. φανερὸν διὰ τὸ ὑψηλὸν τοῦ τόπου, ἤτοι τὸν μετέωρον. ἀπελθών. 179. λόφον, ἔξωθεν τὴν Ὀλυμπίαν. ἰσχυρότατον. ἀλλὰ πολλὰ δύναται ἐν ἐμοὶ Μοῦσα. λόφον. οὖν. 180. ἀντὶ τοῦ λόγον. δυνάμει αὔξει, φυλάττει. πράγμασι. 181. ὡς ἐγὼ εἰς λόγον δηλονότι· τοῦτο γὰρ νοεῖται. ἤτοι τὸ μέγιστον τῶν ἄλλων. 182. ἤτοι ηὐξημένον ἐστὶ τὴν ἔξοχον αὐτοῦ αὔξησιν. 183. σκόπει, ἀπόβλεπε προσωτέρω, ἤγουν μὴ

Digitized by Google

ζήτει δύναμιν μείζονα ἤγουν περαιτέρω, τὴν βασιλείαν ἔχων. 184. εἴθε. τὸν τῆς σῆς ζωῆς, ἤτοι ταύτην τὴν ἐνεσταμένην ζωήν. 185. ἐπὶ μετεώρου σχήματος βαίνειν, διέρχεσθαι. 186. ἀντὶ τοῦ τοιάδε. τὸ τοῦτον. τοῖς νικηταῖς. 187. ἐγκωμίων. ἤτοι προφανῆ ὄντα κατὰ σοφίαν. 188. ὄντα πανταχοῦ. γρ. πάντα. [1])

Specimen glossarum ex codice Petri Candidi. [2])

1. αἰθόμενον, Gl. καιόμενον, λαμπόμενον. 5. γαρύεν, Gl. ὑμνεῖν, φωνεῖν. 6. ἔλδεαι, Gl. ἐπιθυμεῖς. ἦτορ, Gl. στῆθος, θυμέ P. 7. σκόπει, Gl. ζήτει ἰδεῖν. 12. φέρτερον, Gl. κρέσσονα P. 13. ὅθεν, Gl. ἀπὸ τῆς Ὀλυμπίας. πολύφατος, Gl. οὗ πολὺ κλέος. 14. ἀμφιβάλλεται, Gl. πλέκεται. 15. κελαδεῖν, Gl. ὥςτε ὑμνεῖν. 16. ἀφνεὰν, Gl. πλούσιον P. 17. μάκαιραν, Gl. ταὐτὸ τοῦ μακαρίαν. ἑστίαν, Gl. οἰκίαν. 19. σκᾶπτον, Gl. ῥάβδον P. ἤτοι βασιλείαν. πολύμαλον, Gl. ταὐτὸ τοῦ πολυθρέμμονα. 20. δρέπων, Gl. τρυγῶν. 21. παυᾶν, Schol. τὰς γενικὰς τῶν πληθυντικῶν τὰς εἰς ων ληγούσας καὶ περισπωμένας διὰ τοῦ αν προφέρουσι P. 22. ἀγλαΐζεται, Gl. λαμπρύνεται. 23. ἀώτῳ, Gl. ἤτοι μέλεσιν ἐξαιρέτοις. 25. ἀμφὶ, Gl. περί. θαμὰ, Gl. πολλάκις. 31. ἔθηκε, Gl. ἐποίησε. 32. δέμας, Gl. ἑαυτοῦ. 34. κράτει, Gl. τῇ νίκῃ. 40. ἔξελε, Gl. ἐξήνεγκε. 41. φαίδιμον, Gl. λαμπρόν P. 42. κεκαδμένον, Sch. ἀντὶ τοῦ κεκασμένον· Δωρικὴν ἔχει τροπὴν τοῦ σ εἰς δ κατὰ τὸ ἴδμεν, ὅ ἐστιν ἴσμεν P. 43. ἦ θαῦμα ταπολλὰ (ita edit. *Cal.*), Gl. ὄντως ἀξιοθαύματα ταῦτα κατὰ πολύ. 44. πού τι, κατά supra τι scripto. 47. ἐξαπατῶντι, Sch. ἐπὶ τῆς β' συζυγίας τῶν περισπωμένων τὰ τρίτα πρόςωπα τῶν πληθυντικῶν ἐνεργητικῶν, τὸ βοῶσι καὶ γελῶσι βοῶντι καὶ γελῶντι λέγουσι· ὁμοίως δοτικῇ τῶν ἑνικῶν τῶν ἰδίων μετοχῶν. P. 49. μείλιχα, Gl. γλυκέα. 55. φάμεν, Gl. εἰπεῖν. 56. ἀμφὶ δαιμόνων, Gl. περὶ θεῶν. 58. σὲ δ' ἀντὶ, Sch. ἀποστροφὴ πρὸς Πέλοπα P. 61. εὐνομώτατον, Gl. εὐσεβέστατον. 66. ἀν' ἵπποις, Sch. ἀνὰ ἀντὶ τῆς σὺν καὶ Ὅμηρος· χρυσέῳ ἀνὰ σκήπτρῳ P. 68. ποτὶ, Sch. τὴν πρὸς ποτὶ λέγουσι. μεταβᾶσαι, Gl. ὡς καταβιβάσαι. 70. Γανυμήδης, Sch. πρότερον δηλονότι. 71. τωὔτ' ἐπὶ χρέος, Sch. ἐπὶ χρείαν τοῦ Διὸς τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος. 75. ἔννεπε, Gl. ἔλεγε. κρυφᾶ, Sch. Δωρικῶς περισπᾶται. 80. δεύτατα, Sch. ὕστατα, ἔσχατα· καὶ τὴν σοῦ γενικὴν σέθεν λέγουσιν. Schol. ad h. v. suppletur per δεῦσαι γὰρ βρέξαι, βάψαι. 90. ὑπέροπλον, Gl. ὑπὲρ τὸ δέον. 91. τὰν, Gl. δι' ἣν. 92. αὐτῷ, Gl. κατ' αὐτοῦ. 93. τὸν, Gl. ὅν. μενοινῶν, Gl. φροντίζων, μεριμνῶν P. Ad marg. προθυμούμενος. 94. ἀλᾶται, Gl. πλανᾶται P. 95. ἀπάλαμον, Schol. ἀμήχανον, ἀσθενές· παλάμη, χεὶρ, τέχνη. Παλαμῆς ἔργον τοῦ τεχνώτου (Cf. *Steph.* Thes. L. Gr. v. παλάμη). 109. φυὰν, Gl. φύσιν. 116. ἄπυεν, Gl. ἔκραξε. 122. Ποσείδαον, Sch. ταύτην (add. τὴν) κλητικὴν οἱ μὲν Αἰολεῖς Πόσειδον· οἱ δὲ Δωριεῖς Ποσείδαον (add. προφέρουσι). 127. ὀλέσας, Sch. γρ. ὀλέσαις· ταῖς μετοχαῖς τῶν ἀορί-

[1]) Cod. παντᾷ. [2]) Romanae editioni adscripserat Petrus Victorius; specimen autem hoc edidit Fr. Thierschius Act. phil. Monac. T. I. fasc. III. p. 311—314. Quibus nota P. addita, ea properante manu et atramento flavescenti ceteris interiecta sunt.

Digitized by Google

στων προστιθέασι τὸ ῑ P. 132. τί, Sch. γρ. τά· τὸ τί τὰ λέγουσι P. 136. δίδοι, Schol. τὸ δίδου δίδοι, καὶ τὰ ἄλλα ὁμοίως τοῖς τρίτοις προσώποις τῶν εὐκτικῶν προφέρουσι P. 144. λαγέτας, Sch. Ὅμηρος· ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μεμήλει P. (Iliad. β, 25.) 148. κλινεὶς, Gl. πεσὼν καὶ ταφείς. 158. εὐδίαν, Sch. ὅτε μὲν ἄρα νίκην ἔνεγκαν πάλης καὶ δρόμων καὶ τοιούτων (add. καὶ) ἐτόλμησαν ἐπέχεσθαι λεγομένου πράγματος ὑπὸ πολλῶν εὐδαίμονος P. (leg. πράγματος ὑπὸ π. εὐδ. λ.) 167. ἴδριν, Gl. ἐπιστήμονα, ἔμπειρον. 172. μήδεται, Gl. βουλεύεται, τεχνάζεται. 178. εὐδείελον, Gl. εὖ πρὸς δείλην κείμενον, οἷον πρὸς δύσιν εὐπόριστον. 183. πάπταινε, Gl. περίβλεπε. 183. πόρσιον, Gl. πόῤῥω, πόῤῥωθεν, ἔμπροσθεν. 188. παντᾶ, Sch. τὸ πάντα περισπῶσι, παντᾶ λέγοντες, Δωριεῖς. Eae glossae rariores fiunt in sequentibus carminibus et ad finem Olympiorum desinunt.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Β'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δευτέρου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ δευτέρου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιδ'. Τὸ α' περιοδικὸν, ἤγουν ἐκ δύο ἰάμβων καὶ δύο τροχαίων· περιοδικὸν δὲ λέγεται, διότι περιοδεύει τὸ μέτρον, ὡς γίνεσθαι τὸ ἀπ' ἀρχῆς ὅμοιον τῷ ἀπὸ τέλους· υ – υ – – υ – υ. Τὸ β' Ἰωνικὸν δίμετρον καταληκτικὸν, ἀπὸ τροχαϊκῆς συζυγίας ἀρχόμενον, οἰκείας τῷ Ἰωνικῷ· ὁ δὲ πρῶτος ποὺς διαλύεται εἰς τρίβραχυν χορεῖον· πολλάκις δὲ καὶ ὁ δεύτερος· υ υ υ – υ – – υ. Τὸ γ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον. παραδιδοῦσι δὲ οἱ ῥυθμικοὶ, ὅτι ἐν τῷ ἀντισπαστικῷ ὁ πρῶτος ποὺς τοῦ ἀντισπάστου πρώτου εἰς πόδας τέσσαρας τοὺς δισυλλάβους μεταλλάσσεται, ὡς καὶ ἐνταῦθα. ὅρα γάρ..... ἡ δευτέρα συζυγία ἰαμβικὴ ἐστιν οἰκεία τῷ ἀντισπάστῳ· υ υ – υ υ υ – υ –. Τὸ δ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ πρώτου σπονδείου· – – υ υ – υ υ. Τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος χορεῖος· υ – υ υ υ – –. Τὸ ϛ' ἀντίσπαστος καὶ συλλαβὴ, δηλονότι μονόμετρον ὑπερκατάληκτον· υ – – υ –. Τὸ ζ' Ἰωνικὸν ἀπ' ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας.... τῷ Ἰωνικῷ ἀρχομένῳ, δίμετρον καταληκτικόν· – υ – υ υ υ –. Τὸ η' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· – – υ υ – – υ –. Τὸ θ' παιωνικὸν δίμετρον καταληκτικὸν, πλὴν ὁ α' τέταρτος παίων, ὁ δεύτερος πρῶτος παίων, λειπούσης καὶ τῆς βραχείας· υ υ υ – – υ υ. Τὸ ι' ἀντισπαστικὸν δίμετρον καταληκτικόν· ἄρχεται δὲ ὁ δεύτερος ἀντίσπαστος ἀπὸ πυῤῥιχίου· υ – – υ υ υ –. Τὸ ια' ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς, ἤγουν ἀντίσπαστος καὶ συλλαβή· υ – – υ –. Τὸ ιβ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον· υ – – υ – –. Τὸ ιγ' ἰαμβικὸν ἑφθημιμερές· ὁ δὲ τρίτος ποὺς τρισύλλαβος· – – υ – υ υ υ –. Τὸ ιδ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· υ – υ – υ υ υ.

Digitized by Google

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ὀκτώ. Τὸ α' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας, οἰκείας τῷ μέτρῳ· – – υ – – υ υ – υ –. Τὸ β' δίμετρον ὑπερκατάληκτον, ἐπιχοριαμβικόν, οὐ χοριαμβικὸν καθαρόν· ἔχει ἐπιμιξίαν πρὸς τροχαϊκὴν συζυγίαν τὴν πρώτην, ἀνοικείαν τῷ χοριάμβῳ· – υ – υ – υ υ – –. Τὸ γ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον· ἄρχεται δὲ τὸ δεύτερον μέτρον ἀπὸ σπονδείου, κατὰ τὴν φύσιν τοῦ ἀντισπάστου ἀλλασσομένου κατὰ τὸν πρῶτον δισύλλαβον πόδα· υ – – υ – –. Τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον· ὁ α' τέταρτος παίων, καὶ ὁ δεύτερος συνεπτυγμένα ἔχει τὰ δύο βραχέα εἰς ἓν μακρόν· υ υ υ – – υ –. Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· τὸ δεύτερον χορεῖον ἔχει· υ – υ υ υ – – υ –. Τὸ ς' ἰαμβικὸν ἐπίμικτον πρὸς τροχαϊκὰς συζυγίας· ὃ ἐλέγετο περιοδικόν. ἀνοίκειοι γὰρ οἱ πόδες· – – υ – – υ – – υ υ υ – –. Τὸ ζ' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. ἐπιωνικὸν δὲ καὶ οὐκ Ἰωνικὸν λέγεται, ὅτι ἐπιμίγνυται ἰαμβικὴ συζυγία ἀνοικεία τοῖς Ἰωνικοῖς· – – υ υ υ – υ –. Τὸ η' ἰαμβικὸν μικτὸν ἀπὸ τροχαϊκῆς συζυγίας, τρίμετρον καταληκτικόν· – υ – – υ – υ – υ – –.

Idem ex codice Trichae, ἐκ παλαιοῦ βιβλίου. [1])

Περὶ τῶν κώλων τῆς στροφῆς τοῦ β' εἴδους.

Τοῦ β' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιδ'. τὸ πρῶτον τῆς στροφῆς περιοδικόν, ἤτοι δύο ἴαμβοι καὶ δύο τροχαῖοι. καλεῖται δὲ περιοδικόν, ὅτι οὐκ ἔστι μέτρου τι εἶδος ἢ ἰαμβικοῦ ἢ τροχαϊκοῦ ἢ ἑτέρου τινός, ἀλλ' ἁπλῶς περίοδος καλεῖται τὸ ὑπεράνω τῶν τεσσάρων συλλαβῶν σύστημα· μέχρι γὰρ τεσσάρων συλλαβῶν γνώριμοι οἱ πόδες, τὸ δὲ πλέον περίοδος. τὸ β' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων, διαλελυμένου τοῦ α' εἰς τρεῖς βραχείας. τὸ τρίτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, πλὴν ὁ πρῶτος ἀντίσπαστος διαλύεται εἰς δύο βραχείας καὶ μακρὰν μίαν· καὶ ἡ κατακλεὶς ἰαμβική. τὸ δ' χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ α' σπονδείου. τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος ποὺς χορεῖος. τὸ ς' ἀντίσπαστος καὶ συλλαβή. τὸ ζ' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων· τοῖς Ἰωνικοῖς γὰρ οἰκεῖοι οἱ τροχαῖοι. τὸ ὄγδοον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ ἔνατον παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ Κρητικοῦ. τὸ δέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν· τετρασύλλαβοι γὰρ οἱ πόδες· ἡ τελευταία ἀδιάφορος. τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. τὸ δωδέκατον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ τρισκαιδέκατον ἰαμβικὸν ἑφθημιμερές· ὁ τρίτος ποὺς τρίβραχυς. τὸ τεσσαρεσκαιδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

[1]) Passim correxi hoc, ut cetera ex eo libro.

Digitized by Google

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κῶλων ὀκτώ. ὧν τὸ πρῶτον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἰαμβικὸν τὸ πρῶτον ἤτοι σπονδεῖος· συγγενεῖς γὰρ τῷ χοριάμβῳ. τὸ β' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἀρχόμενον ἀπὸ τροχαίων, ὃ μᾶλλον ἐπιχοριαμβικὸν καλεῖται διὰ τὸ τῶν τροχαίων ἀνοίκειον. τὸ τρίτον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ ϑ' τῆς στροφῆς, συνῃρημένας ἔχον τὰς β' βραχείας συλλαβὰς τοῦ β' ποδὸς εἰς μίαν μακράν. τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ ἕκτον μικτὸν τροχαϊκὸν ἀπὸ ἰαμβικῆς συζυγίας τρίμετρον ἀκατάληκτον· εἰς τὸ Λάϊον συνίζησις. τὸ ἕβδομον ἐπιωνικὸν δίμετρον· ἐπιωνικὸν δὲ διὰ τοὺς ἰάμβους, ἀνοίκειοι γάρ· οἰκεῖοι οἱ τροχαῖοι. τὸ ὄγδοον ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων τρίμετρον καταληκτικόν.

Aliud ex codd. Ciz. et Mosc. B. [1])

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ δευτέρου εἴδους. Παλαιόν. Ἔστι δὲ τὸ ᾆσμα στροφῶν ε'.

Τοῦ δευτέρου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιδ'. Τὸ πρῶτον περιοδικόν, ἤτοι δύο ἴαμβοι καὶ δύο τροχαῖοι. καλεῖται δὲ περιοδικόν, ὅτι οὐκ ἔστι μέτρου τι εἶδος ἢ ἰαμβικοῦ ἢ τροχαϊκοῦ ἢ ἑτέρου τινός, ἀλλ' ἁπλῶς περίοδος καλεῖται τὸ ὑπεράνω τῶν τεσσάρων συλλαβῶν σύστημα. μέχρι γὰρ τεσσάρων συλλαβῶν γνώριμοι οἱ πόδες, τὸ δὲ πλέον περίοδος. Τὸ δεύτερον Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων, διαλελυμένου τοῦ πρώτου εἰς τρεῖς βραχείας. Τὸ τρίτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, πλὴν ὁ πρῶτος ἀντίσπαστος διαλύεται εἰς δύο βραχείας καὶ μακρὰν μίαν, καὶ ἡ κατακλεὶς ἰαμβική. ἐμοὶ δὲ δοκεῖ ὡς Ἰωνικόν ἐστι δίμετρον ἀκατάληκτον, τῆς πρώτης μακρᾶς τοῦ Ἰωνικοῦ διαλυθείσης εἰς δύο βραχείας, τοῦ δὲ δευτέρου ποδὸς παίωνος ὄντος δευτέρου ἀντὶ Ἰωνικοῦ, ἔν τισι δὲ καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. Τὸ τέταρτον χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ πρώτου σπονδείου. Τὸ πέμπτον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος ποὺς χορεῖος. Τὸ ἕκτον ἀντίσπαστος καὶ συλλαβή· ἔν τισι δὲ διαλύεται ὁ ἀντίσπαστος κατὰ τὴν δευτέραν μακρὰν, καὶ γίνεται πεντασύλλαβος. Τὸ ἕβδομον Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων· τοῖς Ἰωνικοῖς γὰρ οἰκεῖοι οἱ τροχαῖοι. Τὸ ὄγδοον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· ὁ δεύτερος δὲ ποὺς διϊάμβός ἐστι πεντασύλλαβος. ἐντεῦθεν δὲ μανθανέτω πᾶς, ὡς καὶ ἐν τοῖς Ἰωνικοῖς εὑρήνται ἴαμβοι, ἀλλ' οὐ μόνον τροχαῖοι. Τὸ ἔννατον παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου

[1]) Ex Ciz. edidit Hermannus in ed. Heyn. T. III. P. I. p. 206 sq. cuius correctiones firmat Mosc. B. In novissima Heynii editione etiam cod. Aug. ab Hermanno consultus reperitur.

Digitized by Google

καὶ Κρητικοῦ. Τὸ δέκατον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβὴν· τετρασύλλαβοι γὰρ οἱ πόδες. ἡ τελευταία ἀδιάφορος· ἔν τισι μὲν γάρ ἐστιν ὁ δεύτερος ποὺς τρίβραχυς, ἔν τισι δὲ ἀνάπαιστος. Τὸ ἑνδέκατον ὅμοιον τῷ ἕκτῳ. Τὸ δωδέκατον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ τρισκαιδέκατον ἰαμβικὸν ἐφθημιμερές· ὁ τρίτος ποὺς τρίβραχυς. Τὸ τεσσαρεσκαιδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ τρίτος ποὺς τρίβραχυς ἢ ἀνάπαιστος. ἑξῆς δὲ ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ἡ'. Τὸ πρῶτον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. ἡ πρώτη συζυγία ἰαμβικὴ ἐκ σπονδείου· συγγενεῖς γὰρ τῷ χοριάμβῳ οἱ ἴαμβοι. Τὸ δεύτερον χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, ἀρχόμενον ἀπὸ τροχαίων, ὃ μᾶλλον ἐπιχοριαμβικὸν καλεῖται διὰ τὸ τῶν τροχαίων ἀνοίκειον. Τὸ τρίτον ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται διὰ τὸ ἔχειν τόν τε ὁλόκληρον πόδα καὶ τὸ ἥμισυ τούτου. Τὸ τέταρτον παιωνικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ ἐννάτῳ τῶν στροφῶν. Τὸ πέμπτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ δεύτερος ποὺς τρίβραχυς. Τὸ ἕκτον μικτὸν τροχαϊκὸν ἀπὸ ἰαμβικῆς συζυγίας τρίμετρον ἀκατάληκτον· εἰς τὸ Λάϊον [1]) συνέζησις. Τὸ ἕβδομον Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἔν τισι δὲ καὶ ἐκ παίωνός ἐστι καὶ διϊάμβου. Τὸ ὄγδοον ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων τρίμετρον καταληκτικόν. ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι ἐξ ἐπιτρίτου δευτέρου καὶ διϊάμβων. οἰκεῖοι γὰρ οἱ πόδες ἀντισπάστῳ. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ τὰ ῥηθέντα σημεῖα.

Aliud ex Vratisl. A. D. Pal. C.

Τῆς δευτέρας ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ ιδ'. Τὸ πρῶτον περιοδικόν, διπλοῦς ἴαμβος καὶ διπλοῦς τροχαῖος. [2]) τὸ δεύτερον Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίου. τὸ τρίτον ἀντισπαστικὸν ἀπὸ διαφόρου τοῦ πρώτου ποδὸς δίμετρον ἀκατάληκτον ἰαμβικὸν ἀποκλείσει. [3]) τὸ τέταρτον χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας. τὸ πέμπτον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ἕκτον ἀντίσπαστος καὶ συλλαβή. τὸ ζ' Ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίου. τὸ η' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ θ' παιωνικὸν δίμετρον ὑπερκατάληκτον. τὸ ι' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια' ὅμοιον τῷ ς' τῆς στροφῆς. τὸ ιβ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. τὸ ιγ' ἐφθημιμερὲς ἰαμβικόν. τὸ ιδ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

1) Vs. 70. vulg. 2) Vrat. D. διπλοῦν. Verba καὶ διπλοῦς τροχαῖος ipse addidi. 3) Vrat. A. ἰαμβικοῦ κατακλειόμενον.

Digitized by Google

Ἡ δὲ ἐπῳδὸς κῶλων ἐστὶ η'. Τὸ α' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ ἰαμβικοῦ. Τὸ β' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ γ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ' παιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' μικτὸν τροχαϊκὸν ἀπὸ συζυγίας ἰαμβικῆς. ἡ δὲ ἀπόδοσις ἐν τῷ Λάϊον τοῦ δεκάτου πάσχει ὑφίζησιν. Τὸ ζ' ἀπὸ Ἰωνικοῦ καὶ ἰαμβικῆς ἐπιφερομένης. Τὸ η' ἰαμβικὸν μικτὸν ἀπὸ τροχαϊκοῦ.

Θήρωνι Ἀκραγαντίνῳ.] Γέγραπται ὁ ἐπινίκιος Θήρωνι Ἀκραγαντίνῳ ἅρματι νικήσαντι τὴν ἑβδομηκοστὴν ἑβδόμην [1]) Ὀλυμπιάδα. ἦν δὲ ὁ Θήρων ἀνέκαθεν ἀπὸ Οἰδίποδος. ἐκήδευσε δὲ Γέλωνι τῷ τυράννῳ δοὺς αὐτῷ τὴν θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον προσωνομάσθη νόμισμα. καὶ αὐτὸς δὲ ὁ Θηρων τὴν Πολυζήλου [2]) τοῦ ἀδελφοῦ Ἱέρωνος ἔγημε θυγατέρα, καθά φησι Τίμαιος. ἦν δὲ ὁ Θήρων υἱὸς Αἰνησιδάμου. Vet.

1. Ἀναξιφόρμιγγες ὕμνοι] οἱ τῆς φόρμιγγος ἀνάσσοντες. πρῶτον γὰρ τὰ ᾄσματα συντίθενται, εἶθ' οὕτω πρὸς αὐτὰ καὶ ἡ λύρα ἁρμόζεται. § ἢ οὕτως· ὦ ὕμνοι οἱ ὑπὸ τῆς φόρμιγγος ἀνασσόμενοι. πρῶτον γὰρ ἔκρουον, εἶτα ἐπῇδον. καὶ τούτου μάρτυς Ὅμηρος· [3])

Ἤτοι ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. [4])

ἐμφανίζει δὲ τὸν μουσόληπτον· ὡς ἐπιζητῶν γάρ, τίνα ὀφείλει ὑμνῆσαι, εἶτα καθ' ἑαυτὸν δοκιμάζων. § Ἄλλως. ἀναξιφόρμιγγες ἤτοι τῶν φορμίγγων ἀνάσσοντες· ἔπονται γὰρ τοῖς ὕμνοις αἱ [5]) φόρμιγγες, δι' οὓς ἀπεδείχθησαν· ἢ οἱ ἀνασσόμενοι ὑπὸ φορμίγγων ὕμνοι. πρότερον γὰρ ἐνδίδωσι μέλος ὁ κιθαριστής, ἔπειτα ἡ ᾠδὴ λέγεται, ὡς καὶ ἐν Πυθιονίκαις· Χρυσέα φόρμιγξ Ἀπόλλωνος καὶ ἰοπλοκάμων σύνδικον Μοισᾶν κτέανον. [6]) § τὴν αἰτίαν παρέστησε, παρ' ἣν τοὺς τρεῖς ἐπαινεῖ· Δία μὲν γάρ, ὅτι τούτου ἱερὸς ὁ τόπος· Ὀλυμπιάδα δ' ἔστησεν Ἡρακλῆς, διὸ ὑμνητέον αὐτὸν ὡς ἥρωα· ἄνθρωπον δὲ Θήρωνα. τυποῖ δὲ ὁ Πίνδαρος, ὅτι δεῖ καθ' ἕκαστον ἐπίνικον τοὺς τρεῖς ὑμνεῖν· θεόν, ἥρωα, ἄνθρωπον. [7]) Vet.

† Ἀναξιφόρμιγγες] ἤγουν ἄνακτες τῆς φόρμιγγος· ὑπουργὸς γὰρ ἡ φόρμιγξ τῶν ὕμνων, καὶ πρὸς αὐτοὺς αὐτὴ ἁρμόζεται. καὶ τοὔνομα δὲ ἐνέργειαν δηλοῖ ἀεὶ, καὶ οὐδέποτε πάθος· ὡς τὸ ἀλεξίκακος καὶ παυσίκακος καὶ πλήξιππος, καὶ ἀλεξιάρη παρ' Ἡσιόδῳ. [8]) Rec.

2. Τίνα θεόν] θεὸν βουλόμενος καὶ ἥρωα καὶ ἄνθρωπον ὑμνῆσαι, ἵν' εὐπορίαν σχῇ πρὸς τὸ φανερὰν τὴν ἑαυτοῦ καταστῆσαι γνώμην, ἐν ἐρωτήσει σχηματίζει τὸν λό-

1) Numerum omittit Vrat. A. 2) Nonnulli libri Πολυξένην, in his Pal. C. qui hoc scholium habet cum aliquot varietatibus, ut in fine leguntur nonnulla, quae schol. vet. ad vs. 8. continet. 3) Odyss. α, 155. 4) Hactenus eadem in Rec. repetuntur, nisi quod ibi: ἢ, ὦ ὕμνοι, et εἶτα τὰ ᾄσματα ἐπῇδον, ὥς φησιν Ὅμηρος. 5) Cod. καί. 6) Hoc ex Vrat. A. 7) Totum hunc articulum ex Vrat. A. restitui. 8) Opp. et D. 464.

Digitized by Google

γον· ποιεῖται δὲ τὴν ἐρώτησιν πρὸς τὴν ἑαυτοῦ Μοῦσαν τὴν συντιθεῖσαν τοὺς ὕμνους. τοὺς ὕμνους γὰρ τίθησιν ἀντὶ τῆς δυνάμεως τῆς συντιθείσης αὐτούς. εἶτα οὐ γυμνὰ ἐπάγει τὰ ὀνόματα τῶν ὑμνηθησομένων, ἀλλὰ μετὰ τῶν αἰτιῶν, δι' ἃς αὐτοὺς ὑμνεῖν βούλεται, ἵνα καὶ τὸ προσῆκον ἀποδιδοῖτο τοῖς ἐγκωμιαζομένοις. φησὶ γάρ· ὦ ὕμνοι ἄνακτες τῆς φόρμιγγος, τίνα θεὸν μέλλομεν ὑμνήσειν, τίνα ἥρωα, τίνα δὲ ἄνθρωπον; ἡ Πίσα μὲν δή ἐστι τοῦ Διὸς ἱερά, ὥστε ὑμνητέον ἐστὶ θεὸν τὸν Δία· τὴν Ὀλυμπιάδα δὲ, ἤγουν τὸν ἀγῶνα τὸν ἐν Πίσῃ ὁ Ἡρακλῆς ἔστησε, τουτέστι συγκροτεῖσθαι ἐποίησεν, ἀκρόθινα [1]) πολέμου, ἀντὶ τοῦ ἐξαίρετον ἀνάθημα ὃ παρέσχεν ὁ πόλεμος, ὃς ἐπολεμήθη δηλονότι αὐτῷ πρὸς Αὐγείαν, ἐπεὶ οὐκ ἐδίδου αὐτῷ τὸν συμπεφωνημένον τῆς ἐξαιρέσεως τῆς κόπρου τῶν θρεμμάτων αὐτοῦ μισθόν. πρέπον δὴ οὖν δηλονότι καὶ ἥρωα ὑμνεῖν τὸν Ἡρακλέα. Rec.

3. Κελαδήσομεν] δοξάσομεν καὶ τιμήσομεν. Gl. γ.

4. Ἤτοι Πίσα μὲν Διός] διὰ τοῦτο κελαδήσομεν τὸν Δία, θεὸν ὄντα. Gl. γ. ὅς ἐστι θεός. Gl. β.

Ἤτοι Πίσα μὲν Διός] ἡ μὲν Πίσα τοῦ Διός ἐστιν ἱερὸν, δι' ἣν ὑμνεῖν τὸν θεὸν δεῖ. τὸν δὲ Ὀλυμπιακὸν ἀγῶνα ἔστησεν Ἡρακλῆς. ἦν γὰρ κατά τινας παραμεληθείς. Vet.

5. Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακλέης] ἱστορία ὅπως Ἡρακλῆς τὰ Ὀλύμπια ἔστησεν. Ἡρακλῆς στερηθεὶς τῶν μισθῶν, οὓς ὑπέσχετο αὐτῷ δοῦναι Αὐγείας ὁ τῆς Ἤλιδος βασιλεὺς διὰ τὴν τῆς κόπρου ἐκφόρησιν ἐστράτευσε κατ' αὐτοῦ μετὰ τὸ τετελευτηκέναι τοὺς δώδεκα ἄθλους. καὶ πόλεμον συνάψας καὶ τοῦτον ἀνῃρηκὼς τήν τε πόλιν Ἤλιν λαμβάνει καὶ ἐκ τῶν σκύλων πανήγυριν ἔστησεν εἰς τιμὴν τοῦ Διός. Rec.

Διὰ τοῦτο κελαδήσομεν τὸν Ἡρακλέα, ἥρωα ὄντα. Gl. γ.

7. Ἀκρόθινα πολέμου] πρὸς Αὐγέαν πολεμήσας τὸν Ἤλιδος τύραννον καὶ νικήσας ἐκ τῆς λαφυραγωγίας τὰς ἀπαρχὰς τῶν λαφύρων προσαγαγὼν ἔκτισε τὸν ἀγῶνα. § Ἀκροθόνια πολέμου] Ζηνόδοτος μετὰ τοῦ ῑ γράφει, [2]) ἀκροθίνια, ἅπερ κυρίως λέγει παρὰ τοὺς τῶν καρπῶν θῖνας, τουτέστι σωροὺς, οἷον τὰ τῆς θινὸς ἀπάργματα καὶ ἄκρα. λέγει δὲ ἡ λέξις μεταφορικῶς ἅπαντος ἀπάργματος κορυφαῖον καὶ κάλλιστον. [3]) Vet.

Ἀκρόθινα] εἰς χαρίσματα. Gl. γ.

8. Θήρωνα δέ] τοῦτον οὖν τὸν Θήρωνα τεθρίππῳ νικήσαντα ὑμνήσωμεν. ὁ δὲ νοῦς αὐτῷ· σεμνύνεται μὲν ὁ Ὀλυμπιακὸς ἀγὼν τῷ Διΐ καὶ τῷ καταβεβληκότι τὴν ἀρχὴν Ἡρακλεῖ· οὐδὲν δὲ ἧττον καὶ τρίτον σεμνύνεται Θήρωνι νενικηκότι. § Θήρων υἱὸς ἦν Αἰνησιδάμου· εἶχε δὲ συγγενῆ Κάπυν καὶ Ἱπποκράτην, οἵτινες ἦσαν ἀδελφοί· περὶ ὧν Ἱππόστρατος ἐν τῷ ζ' φησίν. [4]) Vet.

† Θήρωνα δέ] τὸν Θήρωνα δὲ ἐνδέχεται μέλεσιν ὑμνεῖν· τοῦτο γὰρ τὸ Γεγωνητίον ὀπί· ἕνεκα τετραορίας, ἀντὶ τοῦ ἀγῶνος δι' ἅρματος νικηφόρου· δίκαιον ξένον,

[1]) In uno librorum ἀκροθόνια. [2]) Igitur ante Zenodotum ἀκροθόνια erat. Cf. ad Olymp. XI, 67. et 69. [3]) Haec Vrat. A. [4]) Haec Vrat. A. ubi Καλλιστράτης. Sed reponendus Hippostratus; de quo paullo post.

Digitized by Google

τουτέστι δίκαιον ὄντα κατὰ τὴν φιλίαν τῶν ξένων· ἔρεισμα, ἤγουν στήριγμα, ἀσφάλειαν τῆς Ἀκράγαντος καὶ εὐκλεῶν πατέρων ἐξαίρετον υἱόν· ἀπὸ τοῦ Κάδμου γὰρ κατήγετο. Rec.

10. *Γεγωνητέον*] ἄξιόν ἐστιν ὑμνῆσαι διὰ φωνῆς λαμπρᾶς ὄντα ἄνδρα καὶ νικαφόρον. Gl. γ.

Τετραορίας] τοῦ ἅρματος· ἡ λέξις παρὰ τὸ ἀρηρέναι καὶ ἡρμόσθαι τοῖς ἵπποις. [1]) Vet. Vrat. A.

11. *Δίκαιον ξένον*] τὸν μετὰ δικαιοσύνης τοὺς ξένους ὑποδεχόμενον. Vet. Vrat. D. Gott.

12. *Ἔρεισμ' Ἀκράγαντος*] τείχισμα ὄντα τῆς Ἀκράγαντος. καὶ Ὅμηρος· [2]) Ἕρκος Ἀχαιῶν. Ἀκράγας δὲ πόλις καὶ ποταμὸς Σικελίας. Vet.

Ἔρεισμα] ἑδραίωμα. Gl. α.

13. *Εὐωνύμων*] ἐνδόξων. Gl. γ.

Πατέρων] προγόνων. πάνυ δὲ ὑπερβαλλόντως ἐπαίρει τὸ ἐγκώμιον· καὶ ἐνδόξων προγόνων, ἐπεὶ ὁ Θήρων ἀπὸ Κάδμου εἶχε τὸ γένος, κατ' ἐπίτασιν αὐτὸν ἄνθος λέγων. § τῶν καλῶς ὀνομαζομένων πατέρων ἀπάνθισμα. [3]) Vet.

14. *Ἄωτον*] ἀπάνθισμα. Gl. α.

Ὀρθόπολιν] εὐθύνοντα τὴν πόλιν. Gl. α.

Ὀρθόπολιν] τὸν τῇ ἑαυτοῦ δικαιοσύνῃ ὀρθοῦντα καὶ σώζοντα τὰς πόλεις, ὡς ἐρυσίπτολιν καὶ σωζόπολιν· ἐνταῦθα διὰ τὸ ἐκοικῆσαι τὴν Ἀκράγαντα ὁμώνυμον οὖσαν τῷ ὁμωνύμῳ ποταμῷ Ἀκράγαντι. § συνέκτισε καὶ αὐτὸς τὴν Ἀκράγαντα. ἢ ὀρθὸν ἐν τῇ πόλει, ἢ ὀρθὴν πόλιν ἔχοντα. [4]) Vet.

Ὀρθόπολιν] τουτέστι συνιστᾶν καὶ ἀνορθοῦν τὰς πόλεις ἐπιτήδειον. Ἱστορία ὅπως ἦλθον εἰς Ἀκράγαντα οἱ τοῦ Θήρωνος πρόγονοι. φασὶν Αἵμονα τὸν Κάδμου ἔκγονον, ἀποκτείναντά τινα ἐμφύλιον ἐκ Θηβῶν Ἀθήναζε παραγεγενῆσθαι, τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μεταναστάντας Ῥόδον σὺν Ἀργείοις οἰκῆσαι. καὶ μετὰ ταῦτα στάσεως αὐτοῖς ἐνταυθοῖ γενομένης εἰς Σικελίαν ἐλθόντας Ἀκράγαντα κτίσαι, πολλὰ καμόντας περὶ τὴν κτίσιν διὰ τὸ ὑπὸ τῶν ἐκεῖ κωλύεσθαι. ἄρχοντες δὲ τῶν ἀποικίαν [5]) στειλαμένων Ἀντίφημος καὶ Ἔντιμος ἦσαν, ὧν μετὰ εἰκοστὴν ἑβδόμην [6]) γενεὰν Θήρων οὗτος γέγονεν. ἱερὸν δὲ οἴκημα ποταμοῦ λέγει τὴν Σικελίαν, ἐπειδὴ ἐντὸς αὐτῆς ποταμὸς Ἀκράγας ὁμώνυμος τῇ πόλει, ἢ Γέλλας ὁμώνυμος τῇ ἐκεῖ πόλει Γέλλα ῥέει. ἱερὸν δὲ ἢ τὸ μέγα ἢ τὸ ἔχον ἱερά, ἢ ὅτι ἡ ἐν Σικελίᾳ Ἀκράγας Περσεφόνῃ ἐδόθη παρὰ Διὸς εἰς ἀνακαλυπτήρια. Rec.

15. *Καμόντες*] κοπιάσαντες. Gl. γ.

Καμόντες οἳ πολλά] ὁ λόγος καθαρός, ἐπεὶ περὶ τῶν προγόνων τοῦ Θήρωνος, οἳ πρῶτον μὲν ἦλθον εἰς Γέλλαν κἀκεῖθεν εἰς Ἀκράγαντα· οὐ γὰρ λέγει ὁ Πίνδαρος, ὅτι καμόντες τὴν Ἀκράγαντα ἔκτισαν, ἀλλ' ὅτι καθόλου καμόντες πολλὰ τοῦ Θήρωνος

1) Cod. addit ἑαυτοῖς, quod omittendum putavi. 2) Iliad. η, 211. 3) Hoc e Vrat. A. 4) Indidem. 5) Olim ἀποικία. 6) Antiphemus et Entimus Gelam condunt Ol. 22, 3. Hinc ad Theronem non multae aetates sunt. Sed scholiastes recentior numerum aetatum ex antiquo scholio eoque depravato duxit, in quo a Cadmo ad Theronem viginti septem, sed ut nunc editum est, tantum quindecim numerabantur aetates.

Digitized by Google

οἱ πρόγονοι ἔσχον τὴν Ἀκράγαντα. § οἱ πατέρες, φησὶ, τοῦ Θήρωνος. Ῥόδιοι γὰρ ὄντες [1]) ἄνωθεν καὶ στάσιν ἐμφύλιον ἀποφεύγοντες μετῴκησαν εἰς τὴν Σικελίαν, καὶ αὐτόθι πρός τινας βαρβάρους πολεμήσαντες ἔκτισαν τὴν πόλιν. Vet.

† Καμόντες οἱ πολλά] οἵτινες, οἱ πατέρες αὐτοῦ δηλονότι, πολλὰ κατὰ τὴν ψυχὴν καμόντες, ἤγουν πολλὰ λυπηθέντες, πολλὰ ἀγωνιάσαντες πρότερον ἐν ταῖς ἀπὸ Ῥόδου εἰς Γέλλαν, εἶτα ἐκεῖθεν [2]) εἰς Ἀκράγαντα μετοικήσεσιν, ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, ἤγουν τὴν Ἀκράγαντα, ἣν παρὰ τῷ ποταμῷ ἱδρύσαντο τῷ Ἀκράγαντι· ἱερὸν δὲ διὰ τὸ εἶναι αὐτόθι νεὼν τῆς Ἀθηνᾶς, ἢ ὅτι εἰς ἀνακαλυπτήρια ὑπὸ τοῦ Διὸς ἐδόθη τῇ Περσεφόνῃ. τῶν ἐν τῇ Σικελίᾳ τε ἦσαν ὀφθαλμὸς, ἀντὶ τοῦ οἱ περιφανέστατοι καὶ ἡγεμονικώτατοι, βίος τε ἐπηκολούθει εὐτυχὴς πλοῦτόν τε καὶ ἐπαγωγὸν δύναμιν ἐπάγων ἀρεταῖς γνησίαις, ἤγουν οἰκείαις τῷ γένει αὐτῶν. Rec.

16. Ἱερὸν ἔσχον οἴκημα] ἱερὸν δὲ εἶπεν οἴκημα τὴν Ἀκράγαντα διὰ τὸ Ἀθηνᾶς αὐτόθι νεὼν εἶναι περιττῶς ἁγιστευόμενον, ἢ διὰ τὸ τὴν Ἀκράγαντα τῇ Περσεφόνῃ εἰς τὰ ἀνακαλυπτήρια ὑπὸ Διὸς δοθῆναι. ὅτι δὲ περὶ Ἀκράγαντός ἐστι τῷ Πινδάρῳ ὁ λόγος, σαφὲς ἐξ ὧν περὶ τοῦ πλούτου τοῦ Θήρωνος διεξιὼν φησίν· Ἐπί τοι Ἀκράγαντι τανύσαις αὐδάσομαι [3]) ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ, τεκεῖν μή τιν' ἑκατόν γ' ἐτέων πόλιν φίλοις μᾶλλον εὐεργέταν πραπίσιν, ἀφθονέστερον χεῖρα Θήρωνος. Ἱππόστρατος [4]) δὲ ἱστορεῖ αὐτὸν πλούτῳ διενηνοχέναι. ἀλλ' οἵ γε πρόγονοι τῶν Ἀκραγαντίνων Γελῷοι [5]) οὐχ οὕτως εὐπορήκεσαν, ἀλλὰ καὶ πᾶν τοὐναντίον μόγις καὶ ταπεινῶς διέζων ἐπὶ φυλακῇ τῆς πόλεως μισθαρνοῦντες. ἔνιοι δέ φασιν, ὅτι οἱ τοῦ Θήρωνος πρόγονοι οὐδόλως εἰς τὴν Γέλλαν κατῆραν, ἀλλ' εὐθὺς ἀπὸ Ῥόδου εἰς τὴν Ἀκράγαντα· ὡς καὶ ὁ Πίνδαρος λέγει· Ἐν [6]) δὲ Ῥόδον κατῴκισθεν, ἔνθ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται, πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες, ἕσπετο δ' ἀεννάου πλούτου νέφος. § καὶ τοῦτο ἐξ αὐτοῦ τοῦ Πινδάρου σαφηνίζεται, ὡς καὶ Τίμαιός φησιν. [7]) § Ἀρίσταρχος τὴν πόλιν οἴκημα ποταμοῦ προσηγορεῦσθαί φησι διὰ τὸ ὁμώνυμον εἶναι τῷ ποταμῷ Ἀκράγαντι. τὴν γὰρ ὀνομασίαν ἡ πόλις ἀπὸ τοῦ ποταμοῦ ἔσχεν. Ἀρτέμων δὲ ὁ ἀπὸ Περγάμου τὴν Γέλλαν οἴεται δεῖν ἀκούειν, οὕτω καλουμένην πόλιν ἐν Σικελίᾳ παρὰ τῷ ποταμῷ τῷ Γέλᾳ, ὡς Καλλίμαχος·

Οἱ δὲ Γέλα ποταμοῦ κεφαλῇ ἐπικείμενον ἄστυ. [8])

καὶ γὰρ ταύτην ὁμώνυμον εἶναι Γέλᾳ τῷ ποταμῷ, τοὺς δὲ Ἀκραγαντίνους Γελῷων εἶ-

1) Sic Vrat. D. Gott. Deinde εἰς addit Vrat. D. 2) Verba εἰς Γέλλαν, εἶτα ἐκεῖθεν exciderant in Heyniana, ut alia plura, quae nihil monito lectore e Rom. supplevi. Unum me fugit, sed id minutissimum: quippe schol. Olymp. I, 84. linea altera excidit πυκνῶς, quod inserendum post verbum εἵληχε. 3) Gott. αὐδάσομεν. 4) Hippostratus exposuit genealogias Siculas. V. Voss. H. Gr. III, p. 378. Idem videtur esse ap. Schol. Theocr. VI, 40. quem locum Schneiderus indicavit. 5) Sic Vrat. D. Gott. Retinui etiam Iota subscriptum, quia Iota inscriptiones habent. 6) Edidi ἐν pro ἂν, hoc est εἰς, et ἕσπετο p. ἕπετο, ex Vrat. D. Gott. Gottingensis praeterea ἔνθενδ'. 7) Hoc Vrat. A. 8) Haec inde ab οὕτω ex Vrat. A. Versus Callimachi mutilatus exstat infra ad vs. 29. ubi Toup. Emend. in Suid. T. II, p. 460. ed. Oxon. et cum eo Goeller. Hist. Syracus. p. 265. corrigunt οἶδε, sine idonea causa.

Digitized by Google

ναι ἀποίκους· ὥςτε τὸ [1]) πατέρων ἄωτον ἐν Γέλλᾳ ἐπὶ τῶν τοῦ Θήρωνος προγόνων συντετάχθαι. κεφαλαιώδει δὲ χρῆται τῷδε· τὸ δὲ καμόντες, ἔφη, προσήκειν μᾶλλον ἀκούειν ὑπὲρ τῶν τὴν Γέλλαν ἐκτικότων, ἀλλ' οὐ τὴν Ἀκράγαντα. οἱ μὲν γὰρ ἀπὸ τοῦ ῥάστου συνῳκίσθησαν, οἱ δὲ χαλεπῶς καὶ μόλις. Ἀντίφημος γὰρ ὁ Ῥόδιος καὶ Ἔντιμος ὁ Κρὴς οἱ τὴν εἰς Γέλλαν στείλαντες ἀποικίαν πρῶτον μὲν περὶ τὴν συναγωγὴν ἔκαμον οὐ μετρίως, συναθροίζοντες τοὺς ἐκ Πελοποννήσου καὶ Ῥόδου καὶ Κρήτης, εἶτα περὶ τὸν διάπλουν, εἶτα περὶ τὸν κατοικισμὸν, καὶ πάλιν διαγωνισάμενοι πρὸς τοὺς Σικανούς. Μενεκράτης δέ φησι ληρεῖν τὸν Ἀρτέμονα· μὴ γὰρ καμεῖν τοὺς περὶ Ἀντίφημον περὶ τὴν ἀποικίαν, ἀλλὰ μᾶλλον κατὰ εὐπέτειαν πολλὴν αὐτοῖς πάντα συμβεβηκέναι. § ἔχοι δ' ἂν μᾶλλον τὸ δεύτερον λόγον· μετὰ γὰρ καμάτου ἐκτίσθη, Ἀντιφήμου τοῦ Ῥοδίου καὶ Ἐντίμου τοῦ Κρητὸς κατὰ χρησμὸν Ἀπόλλωνος μαχεσαμένων Σικελιώταις περὶ τοῦ χωρίου. [2]) περὶ τίνων οὖν λέγει, Καμόντες οἳ πολλά; περὶ τῶν Θήρωνος προγόνων. τούτους γὰρ Θηβαίους ἀνέκαθεν ἀπὸ Κάδμου εἶναι. Κάδμου γὰρ Πολύδωρος· τοῦ δὲ Λάβδακος· τοῦ δὲ Λάϊος· τοῦ δὲ Οἰδίπους· εἶτα Ἐτεοκλῆς· τοῦ δὲ Πολύδωρος· [3]) τοῦ δὲ Αἵμων· τοῦτον δὲ ἐν κυνηγεσίῳ ἐμφύλιόν τινα ἀποκτείναντα Ἀθήναζε μεταστῆναι· τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μεταστάντας [4]) σὺν τοῖς Ἀργείοις Ῥόδον κατοικῆσαι μέχρι τινῶν γενεῶν, [5]) καὶ μετὰ ταῦτα ἐλθεῖν εἰς Ἀκράγαντα, καὶ μέχρι Θήρωνος τὰς ἁπάσας γενεὰς ἑπτὰ πρὸς ταῖς ὀκτὼ [6]) συναριθμεῖσθαι. ταῦτα ἱστορεῖ ἐν Ἐγκωμίῳ, οὗ ἡ ἀρχή· Βούλομαι παίδεσσιν Ἑλλάνων. [7]) ἴσως οὖν πρὸς ταῦτα ἀφορῶν ὁ Πίνδαρος φησί· Καμόντες οἳ πολλὰ θυμῷ ἱερὸν ἔσχον οἴκημα ποταμοῦ. οἴκημα δὲ ποταμοῦ τὴν πόλιν εἶπε διὰ τὴν ὁμωνυμίαν. λείπει δὲ ἡ ἐπὶ, ἵνα ᾖ· τὸ ἐπὶ τοῦ ποταμοῦ οἴκημα ἔσχον, τὴν πόλιν. Vet.

17. Σικελίας τ' ἔσαν ὀφθαλμός] οἱονεὶ τὸ ἐξαίρετον καὶ λαμπρότερον ἦσαν τῆς Σικελίας. ἀξιολογώτερον γὰρ ἐν τῷ σώματι ὁ ὀφθαλμός· ἵν' εἴπῃ· περίβλεπτοι ἦσαν ἐν Σικελίᾳ. Vet.

Ὀφθαλμός] φῶς καὶ δόξα. Gl. γ. ἀσφαλὴς φυλακή. Gl. α.

18. Αἰών] ζωή. Gl. γ.

Αἰών τ' ἔφεπεν] ἐπηκολούθησε δὲ τὴν εὐδαιμονίαν ἄνωθεν ἐπιπέμπων ταῖς γνησίαις αὐτῶν ἀρεταῖς. § ἢ οὕτως· εὔμοιρος βίος ἐπηκολούθησεν αὐτοῖς ἐκ πεπρωμένης τινὸς, ὡς καὶ παρ' Ὁμήρῳ· [8]) Μοιρηγενὲς, ὀλβιόδαιμον. § οὐχ ὁ μεμοιραμένος, ἀλλ' ἀντὶ τοῦ εὔμοιρος. [9])

1) Sic Vrat. A. Paullo post vulgo οἵτινες εἰς Γ. pro quo dedi οἱ τὴν εἰς Γ. Deinde olim εἰς τὰ περὶ τ. διάπλ. 2) Haec Vrat. A. 3) Haec inde a verbis τοῦ δὲ Λάβδ. ex Vrat. A. supplevi. 4) Bis dedi μεταστ. ex Vrat. A. D. Gott. Vulgo ἀποστ. 5) Haec tria verba ex Vrat. A. 6) Vulgo εἴκοσι ἑπτά. Grammaticus computat aetates inde a Cadmo, ut patet ex initio scholii: τούτους γὰρ Θηβαίους ἀνέκαθεν ἀπὸ Κάδμου εἶναι, et ex verbis τὰς ἁπάσας γενεὰς, quae addidi ex Vrat. A. Idem habet γεν. ζ' πρὸς ταῖς ὀκτὼ ἀριθμεῖσθαι: quod verum esse patet ex collato stemmate alio quidem, sed simili ratione a Theronis ipsius gente confecto, ap. schol. vs. 82. ubi omisso Cadmo, Polydoro, Labdaco usque ad Theronem recensentur Laius, Oedipus, Polynices, Thersander, Tisamenus, Autesion, Theras, Samus, Telemachus, Chalciopeus, Emmenides, Aenesidamus. Dicit autem scholiastes ἑπτὰ πρὸς ταῖς ὀκτὼ, non πεντεκαίδεκα, quia octo priores iam supra memoraverat, a Cadmo ad Haemonem. 7) Haec inde a ταῦτα ex Vrat. A. ubi παίδευσιν, quod correxi. 8) Iliad. γ, 182. 9) Hoc ex Vrat. A.

Digitized by Google

19. 20. Μόρσιμος] δυστυχής. [1]) Gl. α. Χάριν] εὐφροσύνην. Gl. α.

21. Γνησίαις] ἰδίαις. γνήσια γὰρ τὰ ἴδια ποιήματα καὶ τὰ ἐκ καμάτων καὶ οὐκ ἐξ ἐπεισάκτων. § ἢ γνησίαις ἀρεταῖς, ταῖς ἐκ γένους συγγεγενημέναις αὐτοῖς. [2]) Vet.

22. Ἀλλ' ὦ Κρόνιε παῖ] ἀλλ' ὦ τοῦ Κρόνου καὶ τῆς Ῥέας παῖ Ζεῦ τὸν οὐρανὸν κατοικῶν, ὅστις τοῦ Ὀλυμπιακοῦ ἀγῶνος διοικεῖς τὸ ἔδαφος καὶ τὸν πόρον τοῦ Ἀλφεοῦ, ᾐσθεὶς τούτοις τοῖς ὕμνοις ἔτι καὶ ἐπίπλεον ἀβλαβῆ αὐτοῖς τὴν πατρῴαν γῆν διαφύλαξον τοῖς περὶ Θήρωνα. [3]) § Κρόνιε] οὐ μόνον ὅτι Κρόνου παῖς, ἀλλ' ὅτι Κρόνιος λόφος καλεῖται ὁ ἐν Ὀλυμπίᾳ. § Ἀλλ' ὦ Κρόνιε παῖ] οὐ πατρωνυμικόν, ἀλλ' ἀπὸ τοῦ λόφου· εὔχεται δὲ τῷ Διΐ, ἐπειδὴ καὶ τοῦ ἀγῶνος, καθ' ὃν νενίκηκε, προστάτης ὁ Ζεύς. [4]) Vet.

Ἀλλ' ὦ Κρόνιε] ἀλλ' ὦ Ζεῦ ἐν τῷ Κρονίῳ λόφῳ τιμώμενε, παῖ τῆς Ῥέας, ὁ διοικῶν τὸ ἔδαφος τοῦ οὐρανοῦ, περιφραστικῶς, ἤγουν τὸν οὐρανὸν, καὶ τὴν κορυφὴν τῶν ἄθλων, τουτέστι καὶ τὰ ἐξαίρετα ἄθλα τὰ ἐν Ὀλυμπίᾳ διδόμενα, καὶ τὸ ῥεῦμα τοῦ Ἀλφειοῦ, ἤγουν τὸν Ἀλφειὸν, τερφθεὶς τοῖς παροῦσιν ὕμνοις, εὔφρων, ἀντὶ τοῦ ἀσμένως, ἐπιπλέον ἐπιμελείας ἀξίωσον τὴν πατρικὴν αὐτῶν ἄρουραν, ἀντὶ τοῦ τὴν γῆν, χάριν τοῦ ἐπιλοίπου γένους αὐτῶν. τὸ δὲ τέλος τῶν πεπραγμένων ἐν δίκᾳ τε καὶ παρὰ δίκαν, ἤγουν δικαίως καὶ ἀδίκως, τουτέστιν ἐν παντὶ τρόπῳ, ἀποίητον, ἤγουν μὴ γεγενημένον, οὐδὲ ὁ χρόνος ὁ πάντων πατὴρ δύναιτο ἂν ποιῆσαι· λήθη δὲ τοῦ πεπραγμένου γένοιτ' ἂν σὺν τύχῃ εὐτυχεῖ. ὑπὸ γὰρ τέρψεως ἀγαθῶν βλάβη δαμασθεῖσα θνήσκει, ἀντὶ τοῦ ἀποκρύπτεται, ἐκπίπτει τῆς μνήμης, παλίγκοτος γινομένη δηλονότι, ἤγουν εἰς τοὐπίσω τὴν ἐπιμονὴν τῆς λύπης τοῦ κακοῦ τρέπουσα. Rec.

23. Νέμων] οἰκῶν. καὶ Ὅμηρος· [5]) Οἵ τ' ἀμφ' Ἄρμ' ἐνέμοντο, ἀντὶ τοῦ ᾤκουν. § ἵν' ἦ· ἐν τῷ Ὀλύμπῳ οἰκῶν. δύναται δὲ καὶ τὸ νέμων νοεῖσθαι ἐπὶ τοῦ διοικῶν καὶ διέπων. [6]) Vet.

Νέμων] διοικῶν, κυβερνῶν. Gl. α. β.

24. Κορυφάν] Ὀλυμπιακὸν ἀγῶνα, καθὰ ἐξέχει τῶν ἄλλων ἀγώνων. ἀπὸ κοινοῦ τὸ νέμων. [7]) § τῶν ἀγωνισμάτων τῶν ἐν τῇ Ὀλυμπίᾳ γινομένων. αὐτῷ γὰρ ὁ ἀγὼν οὗτος ἀνακεῖται. ἔδος δὲ Ὀλύμπου τὴν Ἥλιν· ἀπὸ κοινοῦ δὲ συναπτέον τὸ οἰκῶν ἢ διοικῶν. [8]) Vet.

26. Ἰανθείς] εὐφρανθείς. Gl. α. γ.

27. Εὔφρων] καλῶς διανοούμενος, εὐμενὴς ὤν, ἔτι καὶ ἐπιπλέον τὴν πατρῴαν γῆν αὔξησον τῷ λοιπῷ γένει. λέγει δὲ αὐτῷ τῷ Θήρωνι. ἔτι, ἵνα τῇ προσούσῃ εὐδαιμονίᾳ ἔτι καὶ τοῦτο ὁ Ζεὺς παράσχῃ. Vet.

28. Κόμισον] αὔξησον. εὔχεται τοὺς ἀπογόνους Θήρωνος ἄρχειν τῶν Ἀκραγαντίνων. § ἐπιμελείας ἀξίωσον, ἀπὸ μεταφορᾶς τῶν κομῶν, τουτέστι τριχῶν, αἳ ἐπιμελείας ἀξιοῦνται. οἱ δέ· ἐπιμελείας ἀξίωσον· ὡς γάρ τινες, φυγὰς ἦν· ἀνακόμισον οὖν αὐτὸν εἰς τὴν πατρίδα. [9]) Vet.

[1]) Inepte. [2]) Vulgo αὐτῷ. [3]) Ex Vrat. D. Gott. edidi, quae hoc loco leguntur pro luxatis priorum editionum verbis. [4]) Utrumque ex Vrat. D. Gott. [5]) Iliad. β, 499. [6]) Haec Vrat. D. Gott. [7]) Vrat. A. qui ἀπὸ κ. τῶν ἐμῶν. [8]) Vrat. D. Gott. [9]) Haec ex Vrat. A.

Digitized by Google

29. *Λοιπῷ γένει*] τοῖς [1]) περὶ Θήρωνα καὶ Ξενοκράτην ἀδελφούς. συγγενεῖς δὲ οὗτοι Ἱέρωνος τοῦ Αἰτναίων βασιλέως. Vet.

Πεπραγμένων] συμβάντων ἔργων. ἢ τὰς κακοπαθείας, ἃς ὑπέστησαν καὶ ἐν τῇ Ῥόδῳ καὶ ἐν τῇ Σικελίᾳ. Gl. γ.

Τῶν δὲ πεπραγμένων] ὁ Θήρων θυγατέρα ἑαυτοῦ ἐξέδωκε πρὸς γάμον Πολυζήλῳ τῷ ἀδελφῷ Ἱέρωνος, ὃς πεμφθεὶς ὑπὸ Ἱέρωνος πολεμῆσαι τοῖς περιοίκοις Σικελιώταις βαρβάροις ἔπαυσε τὸν πόλεμον χωρὶς τῆς τοῦ Ἱέρωνος γνώμης, καὶ διὰ τοῦτο ἐν ὑφοράσει ἦν. Θρασυδαίου δὲ τοῦ Θήρωνος υἱοῦ πείσαντος τὸν Πολύζηλον ἐπιθέσθαι τῷ Ἱέρωνι, ὑπισχνουμένου αὐτοῦ τοῖς πράγμασι συναντιλήψεσθαι, γνοὺς ὁ Ἱέρων ἔκρινεν αἱρήσειν τὴν Ἀκράγαντα καὶ Θήρωνα καὶ Θρασυδαῖον. μελλόντων δὲ τῶν φίλων ἔπεμπε Σιμωνίδης ὁ λυρικὸς πρὸς αὐτὸν συμβουλεύων, ἐκταράξαι μᾶλλον βουλόμενος τῷ μηνύειν τὴν μέλλουσαν αὐτῷ [2]) προδοσίαν ἔσεσθαι καὶ τοὺς προδιδόντας. ὁ δὲ εὐλαβηθεὶς ἐξεχώρησε τῶν πραγμάτων τῷ Ἱέρωνι, ὕστερον δὲ ἀπέλαβεν ἀπ' αὐτοῦ τὴν τυραννίδα, καὶ διελύθησαν τῆς ἔχθρας, ὡς καὶ κηδείαν τινὰ πρὸς ἀλλήλους ποιήσασθαι, Ἱέρωνος λαβόντος τὴν Θήρωνος ἀδελφὴν γυναῖκα· ὅθεν ὁ Πίνδαρος παραπέμπεσθαι παραινεῖ τὰ προγεγενημένα. § Ἄλλως. ζητεῖται δι' ἣν αἰτίαν εὐξάμενος τῷ Θήρωνι τὰ κάλλιστα κατάπαυσιν τῶν πραχθέντων δεινῶν αἰτεῖται τὸν Δία. καὶ ὁ μὲν Ἀρίσταρχός φησι, διὰ τὸ κεκμηκέναι τοὺς τοῦ Θήρωνος πατέρας κατὰ τὴν Ῥόδον, τῶν πραγμάτων στασιαζομένων, καὶ οὕτω τὴν εἰς τὴν Σικελίαν μετοικεσίαν [3]) στειλαμένων· ὁ δὲ Δίδυμος τὸ ἀκριβέστερον τῆς ἱστορίας ἐκτίθεται μάρτυρα Τίμαιον τὸν συντάξαντα τὰ περὶ τῆς Σικελίας προφερόμενος. ἡ δὲ ἱστορία οὕτως ἔχει· Θήρων ὁ τῶν Ἀκραγαντίνων βασιλεὺς Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νόμισμα ἐν Σικελίᾳ. τοῦ δὲ Γέλωνος τελευτᾶν τὸν βίον μέλλοντος Πολύζηλος ἀδελφὸς τὴν στρατηγίαν καὶ τὴν γαμετὴν τοῦ ἀδελφοῦ διαδέχεται κατὰ τὰς Γέλωνος τοῦ ἀδελφοῦ [4]) προστάξεις, ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος εἰς τὸν Πολύζηλον μετατεθεῖσθαι. λαμπρῷ δὲ αὐτῷ [5]) καὶ περιβλέπτῳ τυγχάνοντι κατὰ τὴν Σικελίαν Ἱέρων φθονήσας ὁ ἀδελφὸς καὶ πρόφασιν σκηψάμενος τὸν πρὸς Συβαρίτας πόλεμον ἀπελαύνει τῆς πατρίδος. ἀλλὰ καὶ τοῦτον κατώρθωσε τὸν πόλεμον ὁ Πολύζηλος. ὁ δὲ μὴ φέρων γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο νεωτερισμοῦ· καὶ οὕτω τὸν Θήρωνα ὑπεραγανακτήσαντα θυγατρὸς ἅμα καὶ γαμβροῦ συρρῆξαι πρὸς Ἱέρωνα πόλεμον παρὰ Γέλᾳ τῷ Σικελιωτικῷ ποταμῷ, οὗ Καλλίμαχος μέμνηται· Οἱ δὲ Γέλᾳ ποταμῷ ἐπικείμενον ἄστυ. [6]) μή γε μὴν εἰς βλάβην μηδὲ εἰς τέλος προχωρῆσαι τὸν πόλεμον. φασὶ γὰρ τότε Σιμωνίδην τὸν λυρικὸν περιτυχόντα διαλῦσαι τοῖς βασιλεῦσι τὴν ἔχθραν. τούτοις οἰκείως τοῖς φθάσασιν εὔχεσθαι τῷ Διὶ φησι τὸν Πίνδαρον ὁ Δίδυμος, ὥστε λοιπὸν αὐτοῖς εἰρηναῖον εἶναι τὸν βίον. ἡ οὖν διάνοια αὕτη· σὺ μέν, ὦ Ζεῦ, παράσχοις πάντα τὰ κάλλιστα, καὶ πρὸς τῇ οὔσῃ εὐδαιμονίᾳ πλείονα δοίης ἀγαθά. εἰ δέ

1) Sic Vrat. D. Gott. 2) Vulgo *αὐτῶν*, quod correxi de coniectura. *Αὐτῷ* et paullo ante *αὐτὸν* pertinet ad Theronem. Non video cur hunc locum corruptum iudicet Goeller. Hist. Syracus. p. 19. 3) Sic Gott. nisi quod *τὴν* post *Σικελίαν* habet. Nec multum differt Vrat. D. 4) *Τοῦ ἀ.* addidi ex Vrat. D. 5) Sic Vrat. D. Gott. 6) Fragm. T. I. p. 557. Rectius hoc fragmentum supra edidimus.

Digitized by Google

τι ἐν τοῖς φθάσασι χρόνοις συμβέβηκεν ἄτοπον, εἴτε δικαίως εἴτε μὴ, τοῦτο οὐχ οἷόντε ἐστὶν οὔτε αὐτῷ τῷ χρόνῳ ὥστε μὴ γεγενημένον ποιῆσαι· τὸ γὰρ γενόμενον ἀγένητον ποιῆσαι ἀδύνατον· ἴσως δὲ λήθη ἄν τις γένοιτο τῶν κακῶν, ἀγαθῆς μοίρας διαδεξαμένης. § Δεινομένους παῖδες δ' ἐγένοντο, Γέλων, Ἱέρων, Πολύζηλος, Θρασύβουλος. κηδεστὴς δὲ ἐγένετο Θήρων τῷ Πολυζήλῳ καὶ τῷ Γέλωνι. γαμβρῶν οὖν γεγονότων αὐτῶν [1]) Ἱέρων λαμπροῦ τινος τοῦ Πολυζήλου ὑπάρχοντος καὶ σφόδρα παρὰ τοῖς Σικελικοῖς εὐδοκιμοῦντος, ὑπὸ φθόνου τὸ μὲν πρῶτον εἰς ἀνοικισμὸν αὐτὸν Συβάρεως ἐξέπεμψε, τῷ μὲν λόγῳ χρηστὴν αὐτῷ καὶ λαμπρὰν ἐλπίδα τιθεὶς, τοῖς δὲ ἔργοις μεταστὰς αὐτὸν ἐκ τῆς Σικελίας. [2]) Vet.

Ἐπειδὴ τὸ γένος πλῆθός ἐστι, διὰ τοῦτο εἶπε τὸ σφίσιν. ἔστιν οὖν τὸ μὲν κόμισον πρὸς τὸ λοιπῷ γένει, τὸ δὲ πατρίαν πρὸς τὸ σφίσιν, ἵν' ᾖ· τὴν πατρικὴν αὐτοῖς γῆν. τῷ λοιπῷ δὲ γένει νόει ἤτοι ἀπὸ γένους τοῦ Θήρωνος, ἢ τῷ Θήρωνι καὶ τοῖς περὶ αὐτὸν, ὃ καὶ κρεῖττον. δέον δὲ εἰπεῖν εὔφρονα πρὸς τὸ ἄρουραν, εὔφρων εἶπε πρὸς τὸ κόμισον. λέγει δὲ ὅτι, εἰ καὶ οἱ πατέρες τοῦ Θήρωνος πολέμοις καὶ στάσεσιν ἐχρήσαντο, ἀλλ' εἰρηναίαν τὴν ζωὴν Θήρωνι καὶ τοῖς περὶ αὐτὸν ποίησον. Ἱστορία περὶ τῶν πεπραγμένων Θήρωνος καὶ Ἱέρωνος. Θήρων οὗτος Ἀκραγαντίνων βασιλεύων Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην. τοῦ δὲ Γέλωνος τελευτήσαντος Πολύζηλος ὁ ἀδελφὸς αὐτοῦ τὴν βασιλείαν καὶ τὴν γαμετὴν αὐτοῦ διαδέχεται. λαμπρῷ δὲ ὄντι αὐτῷ κατὰ τὴν Σικελίαν Ἱέρων ὁ ἀδελφὸς φθονήσας καὶ προφασισάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἐξάγει τοῦτον τῆς νήσου. κατωρθωκότος οὖν καὶ τοῦτον τὸν πόλεμον Πολυζήλου, ὁ Ἱέρων οὐκ ἔχων ὅ, τι καὶ γένοιτο, πρὸς αὐτὸν ἐπειρᾶτο νεωτερίζειν. Θήρων οὖν ὑπεραγανακτήσας θυγατρὸς ἅμα καὶ γαμβροῦ συνάξαι πρὸς Ἱέρωνα ἠβούλετο πόλεμον, ὃν Σιμωνίδης ὁ λυρικὸς καταπαύει διαλλάξας, ὡς καὶ κηδείαν πρὸς ἀλλήλους ποιήσασθαι, Ἱέρωνος λαβόντος τὴν τοῦ Θήρωνος ἀδελφήν. φασὶ δέ τινες τὸ πεπραγμένων ἀντὶ τοῦ συμβάντων τοῖς προγόνοις καμάτων. ἄνω γὰρ εἶπε· Καμόντες οὐ πολλὰ θυμῷ. τὸ θεοῦ ἢ πρὸς τὸ ὄλβον οὕτω· τὸν ὄλβον τοῦ θεοῦ· ἤτοι τὴν παρὰ θεῶν ἀνθρώποις εὐδαιμονίαν· ἢ πρὸς τὸ μοῖρα, οἱ γὰρ θεοὶ τοῖς ἀνθρώποις τὴν μοῖραν ἐκπέμπουσιν. Rec.

30. Ἐν δίκᾳ τε καὶ παρὰ δίκαν] καὶ μετὰ δικαιοσύνης καὶ ἔξω δικαιοσύνης. Gl. γ.

31. Ἀποίητον] ἀνενέργητον. Gl. γ.

Οὐδ' ἂν χρόνος] τῶν πεπραγμένων ἔργων τὸ τέλος ἀποίητον καὶ ἀγένητον θέμεν οὐδ' ἂν ὁ πάντων πατὴρ χρόνος δύναιτο, ἀλλ' ἔστιν ἀδύνατον. καὶ Ὅμηρος· [3])

Οὐδέ τι μῆχαρ
Ῥεχθέντος κακοῦ οὔτ' ἄκος εὑρεῖν. Vet.

34. Ἀάθα δὲ πότμῳ] τῶν δὲ κακῶν γένοιτ' ἂν λήθη, διαδεξαμένης εὐδαιμονίας· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι οἱ περὶ Θήρωνα τὸ ἀνέκαθεν δεδυστυχήκασιν, ἀλλ' εἰς λή-

1) Polyzeli et Theronis. 2) Cetera desunt in Vrat. A. ex cuius laciniis haec consarcinavi. Inter verba Γέλωνι et γαμβρῶν multa interiecta sunt, sed sensu cassa, nec quidquam novi continentia: quapropter omittenda duxi. 3) Iliad. ι, 249.

Digitized by Google

θην αὐτῶν ἐξέπεσεν ἡ δυστυχία διὰ τὴν ἐπισυμβᾶσαν εὐτυχίαν. § τοῦ δὲ κακοῦ λήθη γένοιτ' ἂν ὑπ' ἀγαθοῦ τινος ἐπιγινομένου. τὸ γὰρ παλίγκοτον πῆμα οὕτως ἂν μόνως ἀποθνήσκοι χάριτός τινος ἐπιγινομένης. [1]) Vet.

35. Χαρμάτων] τέρψεων. Gl. β.

Ἐσθλῶν γὰρ ὑπὸ χαρμάτων] ὑπὸ γὰρ τῆς χαρᾶς τῆς τῶν γεγενημένων ἀγαθῶν τὸ κακὸν ἀφανίζεται. καὶ τὸ παλίγκοτον καὶ ἄτοπον δαμασθὲν καὶ ἀναιρεθὲν ὑφ' ἡδονῆς θνήσκει, μάλιστα ὄλβου ἐπιγινομένου ὑψηλοῦ ἐκ θείας μοίρας. Vet.

36. Πῆμα θνάσκει] τὸ δὲ τραχὺ πῆμα νικᾶται ὑπὸ τῆς ἀγαθῆς χαρᾶς καὶ ἀφανίζεται, ὁπόταν εἰς ὕψος τὴν εὐδαιμονίαν ἀναφέρῃ ἡ μοῖρα. [καὶ ὅταν τὴν εὐδαιμονίαν εἰς ὕψος ἄγῃ.] § παλίγκοτον δὲ τὸ χαλεπὸν καὶ ἐναντίον τῷ ἀγαθῷ. [2]) Vet.

Δαμασθέν] ἀντὶ τοῦ ἡττηθέν, εἰς τοὐπίσω τὸν κόπον ἀποβαλὸν καὶ εἰς λήθην ἐκπίπτον τῶν κακῶν. ἢ παλίγκοτον, ἵνα εἴπῃ τὸ ἰσχυρὸν παρὰ τὸ β' ἐπιφοιτᾶν δύνασθαι. Vet. Vrat. A.

37. Ὅταν θεοῦ μοῖρα] ἤγουν εὐτυχία, τουτέστιν ὅταν θεὸς πέμπῃ μεγάλην εὐδαιμονίαν ἀνεκὰς, ἤγουν εἰς παράτασιν χρόνου μακράν. Rec.

38. Ἀνεκάς] ἄνωθεν ἢ ἄνω· ὅταν ἡ τοῦ θεοῦ μοῖρα τὸν ὄλβον ἄνω αὐξήσῃ. Vet. Vrat. A.

39. Ἕπεται δὲ λόγος] οἰκειότατον [3]) πρὸς τὴν γνώμην ἑαυτοῦ καὶ τὸ παράδειγμα ἐκφέρει, [4]) ὅτι τοὺς προδυστυχήσαντας εὐδαιμονία διαδέχεται, ὥσπερ καὶ τὰς Κάδμου θυγατέρας. ὁ αὐτὸς γὰρ λόγος διαδέχεται αὐτὰς [5]) καὶ ἐπ' αὐτῶν ἁρμόσει. αὗται γὰρ τὸ μὲν πρότερον εἰς τοσαύτην δυστυχιῶν ὑπερβολὴν ἐληλύθασιν, ὥστε καὶ τραγικαῖς ὑποθέσεσι χορηγίαν παρασχεῖν· ἀλλ' ἐφάμιλλος καὶ εὐδαιμονία τὰς κόρας διεδέξατο. τούτων δὲ μέμνηται, ἐπεὶ ὁ Θήρων εἰς Λάϊον ἀνάγει τὸ γένος. § Ἄλλως. ἕπεται δὲ λόγος. οὗτος ὁ λόγος ἀκολουθεῖ καὶ ταῖς τοῦ Κάδμου κόραις· μεγάλων γὰρ κακῶν τυχοῦσαι πάλιν ἐκ μεταβολῆς μεγάλων ἀγαθῶν ἐκοινώνησαν. εὖ δὲ τῶν Κάδμου θυγατέρων τὸ παράδειγμα φέρει, ἵνα οἰκείῳ παραδείγματι χρήσηται· τὸ γὰρ τοῦ Θήρωνος γένος ἐνθένδε κατάγεσθαί φησιν ὁ Πίνδαρος ἐν Ἐγκωμίῳ οὗ ἡ ἀρχή· Βούλομαι παίδεσσιν Ἑλλάνων. [6]) Vet.

Ἕπεται δὲ λόγος] ἀκολουθεῖ δὲ οὗτος ὁ λόγος, ἤτοι ἁρμόζει, ταῖς θυγατράσι τοῦ Κάδμου ταῖς νῦν ἐνδόξῳ τάξει ἱδρυμέναις, αἵτινες ἔπαθον συμφορὰς μεγάλας. τὸ πένθος δὲ τὸ μέγα ἠφανίσθη τῆς μνήμης ὑπὸ τῶν ἀγαθῶν τῶν ἐπικρατεστέρων. ζῇ μὲν ἡ Σεμέλη ἡ ἐπιπολὺ τεταμένας ἔχουσα τὰς τρίχας ἐν τοῖς θεοῖς τοῖς τὸν Ὄλυμπον οἰκοῦσι, τουτέστιν ἐν τῇ μετὰ τῶν θεῶν διατριβῇ, ἀποθανοῦσα τῷ βρόμῳ τοῦ κεραυνοῦ, ἀντὶ τοῦ κεραυνῷ. φιλεῖ δὲ αὐτὴν ἡ Ἀθηνᾶ ἀεὶ διὰ τὸ τὸν πατέρα αὐτῆς τὸν Κάδμον ἱδρύσασθαι αὐτῇ ἄγαλμα ἐν Ὄγκαις κώμῃ τῆς Βοιωτίας, ὅθεν Ὀγκαία Ἀθηνᾶ λέγεται, ὡς Κυλλήνιος Ἑρμῆς. καὶ ὁ Ζεὺς ὁ πατὴρ πάντων φιλεῖ αὐτὴν καταπολύ· φιλεῖ δὲ αὐτὴν καὶ ὁ παῖς αὐτῆς ὁ κισσοφόρος, ἤγουν ὁ Διόνυσος, ᾧ ἐστιν ὁ κισσὸς ἀφιερωμένος. λέ-

[1]) Hoc Vrat. A. [2]) Vrat. D. Gott. [3]) Vulgo οἰκειότατα. [4]) Post hoc vulgo μᾶλλον δὲ λαμβάνει, quod delevi omissum a Gott. nisi quod hic ἐκφέρει non habet et pro eo λαμβάνει. Λαμβάνει est varia lectio. [5]) Haec duo verba Vrat. D. et fere Gott. qui αὐτόν. [6]) Haec dedi ex Vrat. A. nisi quod in eo: ἐν ἐγκωμίου ἀρχῇ et παίδευσιν.

Digitized by Google

γουσι δὲ τετάχθαι, ἤγουν κεκυρῶσθαι, καὶ τῇ Ἰνοῖ τῇ ἀδελφῇ αὐτῆς κατὰ πάντα τὸν χρόνον διατριβὴν ἄφθαρτον ἐν τῇ θαλάσσῃ σὺν ταῖς θυγατράσι τοῦ Νηρέως ταῖς θαλασσίαις. § Ὁμηρικὸς ζῆλος τὸ εὐθρόνοις. ἐκεῖνος γὰρ τοῖς ἐπιθέτοις κοσμεῖ τὰς γυναῖκας, ἤγουν Λευκώλενος Ἥρα καὶ Γλαυκῶπις Ἀθάνα καὶ Ἀργυρόπεζα Θέτις. Rec.

Εὐθρόνοις] τοῦτο πρὸς τὴν διαδεξαμένην εὐτυχίαν ἀκουστέον. Vet.

40. Ἔπαθον αἱ μεγάλα] Ἰνώ, Σεμέλη, Αὐτονόη, Ἀγαυή· ἐπεὶ καὶ αὗται παθοῦσαι ἐν ἀρχῇ ὕστερον ἔτυχον τῆς ἐκ θεῶν τιμῆς. πιτνεῖ δὲ, καταπίπτει· τὸ δὲ βαρὺ πένθος πιτνεῖ καὶ ἀφανίζεται τῶν κρεισσόνων διαδεξαμένων ἀγαθῶν. § Ἄλλως. ἡττᾶται γὰρ τὸ κακὸν ὑπὸ τῶν ἀγαθῶν καὶ λύσις ἐστὶ τῆς συμφορᾶς, ὅταν ἀγαθόν τι ἐπιγένηται. ἐὰν δὲ χωρὶς τοῦ ς̄ γράφηται, ἔσται τὸ νόημα τοιοῦτον· πρὸ τῶν ἀγαθῶν τοῖς ἀνθρώποις γὰρ τὰ κακὰ, ὅπερ καὶ ἐν ἑτέρῳ φησίν· Ὁπότε θεὸς ἀνδρὶ χάρμα πέμψῃ, πρὸς μέλαιναν καρδίαν ἐστυφέλιξεν. [1]) Vet.

42. Πιτνεῖ] ἢ πιτνεῖ ἢ προκατάρχει. Vrat. A.

44. Ζώει μὲν ἐν Ὀλυμπίοις] ἠστειεύσατο πρὸς τὴν τῆς εὐτυχίας ὑπερβολὴν, ὅτι δοκήσει μὲν τέθνηκεν ἡ Σεμέλη τῷ βρόμῳ τοῦ πυρὸς τοῦ κεραυνίου, ζῇ δὲ νῦν συνδιατρίβουσα τοῖς οὐρανίοις θεοῖς. Vet.

† Ζώει μὲν ἐν Ὀλυμπίοις] ἱστορία περὶ τῆς Σεμέλης. ἡ τῆς Σεμέλης ἱστορία δήλη, ὅτι ἐγκυμονοῦσα Διόνυσον Ἥρας ἐπιβουλαῖς [2]) εἰποῦσα τῷ Διῒ μετὰ κεραυνοῦ ἔλθεῖν πρὸς αὐτὴν κατεκαύθη, καὶ πρὸς οὐρανὸν ἀνῆλθε, Διὸς ἐρραψαμένου τῷ μηρῷ τὸν Διόνυσον, ἄχρις ἂν ὁ προσήκων ἔλθῃ καιρός. λέγεται δὲ φιλεῖσθαι αὐτὴν ὑπὸ τῆς Ἀθηνᾶς, ἢ ὅτι εἰς οὐρανοὺς ἀνῆλθεν, ἢ ὅτι Θηβαία ἐστίν. ἐν Θήβαις ἱερὸν Ἀθηνᾶς Ὄγκας καλουμένης Φοινίκων γλώττῃ. Rec.

45. Βρόμῳ] ἤχῳ πυρός· ἐκεραυνώθη γάρ. Vrat. A.

46. Τανυέθειρα] μακρόθριξ. Gl. γ.

48. Παλλὰς αἰεί] διὰ τὰ περὶ αὐτῆς εἰρημένα. Gl. γ.

Φιλεῖ δέ μιν Παλλὰς αἰεί] τοῦτο οἱ μὲν ἁπλῶς διὰ τὴν ἐν θεοῖς διατριβὴν λέγουσιν, οἱ δὲ ὅτι ὡς ἐπιχωρία θεός· ἄγαλμα γὰρ αὐτῆς ὁ Κάδμος ἱδρύσατο ἐν Ὄγκαις κώμῃ τῆς Βοιωτίας. Ὀγκαία οὖν ἡ Ἀθηνᾶ τιμᾶται. § Παλλὰς Ἀθηνᾶ ἡ πολιοῦχος τῶν Ἀθηναίων. οὐκ εἶπε δὲ τὴν Ἥραν, ὅτι μητρυιά. [3]) Vet.

Φιλέοντι δὲ Μοῖσαι] οἱ μὲν διὰ τὰ περὶ αὐτῆς τοῖς ποιηταῖς εἰρημένα, οἱ δὲ διὰ τὸν Ἑλικῶνα, ὅς ἐστι τῆς Βοιωτίας. καὶ αὗται οὖν ἐπιχώριοι. § Ἄλλως. ἔστι περισσὸν τὸ κῶλον ὡς πρὸς τὴν ἀντίστροφον· ὅθεν καὶ ὀβελὸς αὐτῷ παράκειται. [4]) πᾶσαι γάρ εἰσιν ιδ' ὁμοῦ κῶλων, αὕτη δὲ μόνη πεντεκαίδεκα εὑρίσκεται ἔχουσα. § φιλέοντι δὲ Μοῦσαι, ὡς Θηβαίαν οὖσαν. φιλόλογοι δὲ Ἀθηνᾶ καὶ Ζεὺς πατήρ. τὸ κῶλον τοῦτο ἀθετεῖ Ἀριστοφάνης· περιττεύειν γὰρ αὐτό φησι πρὸς ἀντιστρόφους. [5]) Vet.

Φιλέοντι δὲ Μοῖσαι] Δημητρίου τοῦ Τρικλινίου. Περισσὸν ἦν ἐνταῦθα τὸ κῶλον τὸ Φιλέοντι δὲ Μοῖσαι. τῶν γὰρ ἄλλων στροφῶν καὶ ἀντιστροφῶν ἀνὰ ιδ' ἐχουσῶν κῶλα αὕτη μόνη πεντεκαίδεκα εἶχεν, ὅπερ ἦν ἄτοπον. οὐ γὰρ ἐν ἑτέροις τοιοῦτό

1) Hoc ex Vrat. D. Gott. 2) Vulgo ὑποβουλαῖς. Correxit Schneiderus. 3) Hoc ex Vrat A. 4) Sic Vrat. D. Gott. Vulgo ὅθεν καὶ ἡμεῖς οὐ γεγράφαμεν ἐν τῷ κειμένῳ. 5) Haec Vrat. A. Codex Ἀθηναῖοι p. Ἀθηνᾶ.

Digitized by Google

τι εὕρηται. διὸ ἐξεβλήθη παρ' ἐμοῦ, ὡς καὶ ἐν τοῖς βιβλίοις τῶν ἄλλων ποιητῶν πολλὰ περιττὰ ὄντα. οἶμαι δὲ, ὡς οὐδεὶς ἡμᾶς μέμψαιτο τοιαῦτα πεποιηκότας, ἀλλ' ἐννοήσας, ὡς οὕτω ταῦτα βέλτιόν ἐστιν ἔχειν, θαυμάσειεν ἂν μάλιστα τῆς σπουδῆς. Rec.

50. Παῖς ὁ κισσοφόρος] ἐπιθετικῶς ὁ Διόνυσος· παῖς δὲ ἤτοι ὁ νεαρὸς, ἢ πρὸς αὐτὴν τὴν Σεμέλην. Vrat. D. Gott.

51. Λέγοντι δ' ἐν καὶ θαλάσσᾳ] φασὶ δὲ καὶ τὴν Ἰνὼ Κάδμου θυγατέρα μετὰ τῶν θυγατέρων τοῦ Νηρέως ἐν τῇ θαλάσσῃ διὰ παντὸς τοῦ χρόνου ἄφθαρτον οὖσαν διάγειν καὶ τετάχθαι. αὕτη δὲ ἡ Λευκοθέα, Νηρηΐς γενομένη· οὕτω γὰρ [1]) καλεῖται. ἡ γὰρ Ἰνὼ μεταξὺ Βοιωτίας καὶ Ἀττικῆς φυγοῦσα ἦλθεν εἰς τὸν Ἰσθμὸν, καὶ ἐκεῖθεν ἥλατο εἰς τὴν θάλασσαν. § Δωρίδος καὶ Νηρέως αἱ Νηρηΐδες. καὶ ἡ Ἰνώ ποτε κακωθεῖσα ὕστερον εἰς ἀθανασίαν μετέβαλεν, ἐνάλιος γενηθεῖσα θεός. [2]) μαρτυρεῖ δὲ καὶ Ὅμηρος· [3])

Τὸν δ' εἶδεν Κάδμου θυγάτηρ, καλλίσφυρος Ἰνώ,
Λευκοθέη, ἣ πρὶν μὲν ἔην βροτὸς αὐδήεσσα,
Νῦν δ' ἁλὸς ἐν πελάγεσσι θεῶν ἐξέμμορε τιμῆς. Vet.

Λέγοντι δ' ἐν καὶ θαλάσσᾳ] ἀντὶ τοῦ καὶ ἐν θαλάσσῃ· πρῶτος γὰρ ὁ σύνδεσμος, εἶτα ἡ πρόθεσις. Vrat. A.

55. Ἤτοι βροτῶν] ἀντὶ τοῦ δὴ, ἵνα ᾖ ἡ ἀρχὴ τοῦ λόγου οὕτω· τῶν δὴ βροτῶν οὐκ ἔστιν οὐδὲν κεκριμένον πέρας θανάτου· ἄδηλον γὰρ, πότε συμβήσεται ὁ θάνατος τοῖς ἀνθρώποις. § Ἄλλως. τοῖς ἀνθρώποις τὸ τέλος τοῦ θανάτου κατ' οὐδὲν σαφές ἐστιν. § ἢ οὕτω· τοῖς ἀνθρώποις τὸ τέλος τοῦ βίου κατ' οὐδὲν σαφές ἐστιν, οὐδὲ ποδαπὴν τὴν ἐπιοῦσαν ἕξουσιν ἡμέραν ἴσασιν. Vet.

56. Πέρας οὔ τι κέκριται] οὐδὲ τοῦτο διακεκριμένον ἐστὶν οὐδὲ ἀναμφισβητήσιμον καὶ ἑστηκὸς, ποίαν ἡμέραν εἰρηναίαν καὶ ἀγαθὴν διάξομεν. παῖδα δὲ ἡλίου, τὴν ἡμέραν, ἐπεὶ ὁ ἥλιος τὴν ἡμέραν γεννᾷ ἀνατέλλων. § ἀὴρ γὰρ ὑπὸ ἡλίου φωτιζόμενος ποιεῖ τὴν ἡμέραν. [4]) Vet.

Κέκριται] πεφανέρωται. ἤγουν οὐδεὶς οἶδεν, εἰ χρηστὸν ἢ τοὐναντίον τὸ τῆς ζωῆς αὐτοῦ πέρας ἐπέλθοι, ἀλλ' οἱ μὲν πρὶν εὐτυχοῦντες ἐγγὺς θανάτου δεδυστυχήκασιν, οἱ δὲ τοὐναντίον. † Σύνταξις. ὄντως τὸ τέλος τοῦ θανάτου τῶν ἀνθρώπων, ἤγουν ὃ ὁ θάνατος ἐπάγει, οὐδαμῶς ἐστι διακεκριμένον, τουτέστι γνώριμον, ὁποῖον ἔσται δηλονότι· ἤγουν ὁ θάνατος τοῖς ἀνθρώποις ἄδηλός ἐστι καὶ ἄγνωστος· οὐδὲ ὁπότε ἀνύσομεν ἡμέραν ἡσυχίας, ἤγουν ἀναπαύσεως μετέχουσαν, παῖδα ἡλίου λέγω, σὺν ἀγαθῷ μὴ ὑπὸ κακοῦ τινος καταπονουμένῳ, κέκριται δηλονότι. ἡμέραν δὲ ἡσυχίας τὸν θάνατον λέγει, ἐπεὶ ἐν αὐτῷ θανόντες ἡσυχάζομεν· παῖδα δὲ ἡλίου τὴν ἡμέραν καλεῖ, ἐπεὶ ὁ ἥλιος ἀνατέλλων τὴν ἡμέραν γεννᾷ. Rec.

58. Οὐδ' ἄσυχιμον] ἥσυχον, ἀπράγμονα, εὐτυχῆ· οὐδὲ πότε ἐν εὐτυχίᾳ ἐσόμεθα ἀθορύβως καὶ ἀταράχως ἐν τῷ τοῦ ζῆν χρόνῳ, οὐδὲ πότε διατελέσομεν ἡμέραν ἥσυχον. ἡμέρα δὲ ἡσύχιος [5]) ἡ τοῦ θανάτου, ἐπεὶ ἐν αὐτῇ θανόντες ἡσυχάζομεν. § λέγει ὅτι ἄδηλος ἡ τύχη τῶν ἀνθρώπων. τὴν δὲ ἡμέραν θυγατέρα τῆς νυκτὸς [6]) ἔφη ἐναντίως Ἡσίο-

1) Post hoc delevi ἤγουν Λευκοθέα recens allitum. 2) Haec Vrat. A. inde a Δωρίδος. 3) Odyss. ε, 333. 4) Vrat. D. Gott. 5) An ἡσύχιμος? Cf. Act. phil. Mon. T. II. F. II. p. 262. 6) Cod. τοῦ ἡλίου.

Digitized by Google

δος. [1]) ἐκεῖνος γάρ φησιν· Αἰθήρ τε καὶ ἡμέρα ἐξεγένοντο, καθὸ ἐκ τῶν νυκτῶν ἡμέρα [2]) γεινᾶται. ἀμφίβολον δὲ πότερον αὐτῷ ὁ λόγος καὶ ἐπὶ τοῦ θανάτου· οὐδὲ ὁπότε τελευτήσομεν τὴν ἐσχάτην ἡμέραν· ἢ ὅτι ἀθορύβως ἐν τῷ τοῦ ζῆν χρόνῳ. [3]) οὕτω δὲ καὶ Ἀρίσταρχος ἀκούει. [4]) Vet.

60. Ἀτειρεῖ σὺν ἀγαθῷ] ἀβλαβεῖ, ἀκαταπονήτῳ, ἀνεμποδίστῳ· ὁπότε σὺν τῷ ἀβλαβεῖ ἀγαθῷ τελευτήσομεν. Vet.

Ἀτειρεῖ] ἀδαμάστῳ. Gl. α.

61. Τελευτάσομεν] τεθνήξομεν. Gl. α. διαβιβάσομεν. Gl. γ.

62. Ῥοαὶ δ' ἄλλοτ' ἄλλαι] ῥεύματα δὲ ἀλλοῖα καὶ πάλιν [5]) ἀλλοῖα μετ' εὐθυμιῶν καὶ μετὰ μόχθων εἰς τοὺς ἀνθρώπους ἀνέρχεται. θέλει δὲ εἰπεῖν, ὅτι οὐχ οἱόντε ἐστὶν ἀνθρώπους ὄντας ἀεὶ ἐν εὐθυμίᾳ διάγειν, ἀλλὰ πάντως καὶ ἀτόποις ἐντυγχάνειν ἀνάγκαις. § Ἄλλως. ῥεύματα, μεταβολαί, αἱ τῆς τύχης φοραὶ ἄλλοτε ἄλλαι εἰς ἀνθρώπους μεταβαίνουσιν ἢ εὐθυμίαν ἢ πόνον παρέχουσαι. Vet.

Ῥοαὶ δ' ἄλλοτ' ἄλλαι] ῥεύματα δὲ τύχης ἄλλοτε ἄλλα εἰς τοὺς ἀνθρώπους ἔβησαν, ἀντὶ τοῦ ἔρχονται, καὶ μετὰ τέρψεων καὶ λυπῶν. Rec.

65. Οὕτω δὲ μοῖρ' ἅ τε ἕως τοῦ ἄλλῳ χρόνῳ] ἐνταῦθα ἡ ἀνταπόδοσις τῆς διανοίας καὶ ἧς ἐξέθετο γνώμης· οὕτω δὴ καὶ τὸν αὐτὸν τρόπον τὰ ῥεύματα τῆς τύχης ἄλλοτε ἄλλως φέρεται ἐπί τε καλῶν καὶ κακῶν, καὶ οὐκ ἔστιν ἐπίμονα· ὥστε δείκνυσθαι ἐκ τοῦ κατὰ Θήρωνα γένους· τούτου μὲν γὰρ εὔφρονα καὶ καλλίστην γένεσιν ὑπέδειξεν ἀπὸ προγόνων, ἐκ τοῦ τοὺς θεοὺς ἀνωρθωκέναι αὐτοῦ τὴν εὐδαιμονίαν· ἐπάγει δέ τι καὶ πῆμα ἐναντιώτατον τῷ ἀγαθῷ ἔστιν ὅτε. ἀφ' οὗ πήματος ἔστι θεάσασθαι κακῶς διατεθὲν καὶ τὸ Λαΐου γένος, ὃν δὴ συμβέβηκεν ὑπὸ τοῦ ἰδίου παιδὸς φονευθῆναι Οἰδίποδος, ἐν ὁδῷ περιτυχόντα κατὰ τὴν Φωκίδα, καὶ ἐπὶ πέρας ἀγαγεῖν τὸ πρότερον αὐτῷ χρησμοδοτηθέν·

Μὴ σπεῖρε παίδων ἄλοκα δαιμόνων βίᾳ.

ὁ δὲ Θήρων τὴν συγγένειαν ἔχει πρὸς τὸ γένος τὸ τοῦ Οἰδίποδος, καὶ διὰ τοῦτο οἰκείως τοῖς περὶ αὐτὸν ἐχρήσατο λόγοις. πῶς δὲ συγγενής ἐστιν, ἐροῦμεν ἑξῆς. ἑρμηνεύεται δὲ καὶ οὕτως· οὕτω δὲ ἅτε πατρῷῳν· ὃν τρόπον κατὰ τῶν προγόνων τῶν περὶ τὸν Θήρωνα· κατίχει τὸν εὔφρονα πότμον ἡ τύχη, καθάπερ τὸ πατρῷον κατέσχε, τουτέστι τῶν Καδμίδων. § οὕτω δὲ ἐπὶ τούτων τῶν περὶ τὸν Θήρωνα ἡ πατρικὴ μοῖρα κακὸν φέρει, καὶ πάλιν ἀγαθὸν ἡ ἐξ ἀρχῆς τοῦ γένους τούτου μοῖρα. § ἡ ἐξ ἀρχῆς ἀπὸ γένους μοῖρα ἅμα τοῖς ἀγαθοῖς καὶ πήματα ἄγει, ἀφ' οὗ ἀνεῖλεν ὁ Οἰδίπους τὸν Λάϊον. § Ἄλλως. οὕτω δὲ καὶ ἐπὶ τούτων τῶν περὶ τὸν Θήρωνα προγόνων ἡ πατρῴα κακὸν ἄγει μοῖρα, καὶ πάλιν ἀγαθόν. § Ἄλλως. ὅτι δὲ ἐκ πλούτου κακὸν ἄγει ἡ μοῖρα ἐν ἄλλῳ χρόνῳ, τεκμήριον ὁ Λαΐου παῖς. [6]) Vet.

† Σύνταξις. οὕτω δὲ ἡ μοῖρα καὶ ἡ τύχη, ἥτις ἔχει καὶ συνέχει τὸν εὔφρονα καὶ εὐφραντικὸν πότμον τὸν πατρῴϊον καὶ τὴν εὐδαιμονίαν τῶνδε, ἤτοι τῶν προγόνων τῶν

1) Theog. 124. 2) Cod. ἐκ τῶν ἐπὶ τῶν αὐτῶν ἡμερῶν. 3) Cod. habet: ὅτι ἀθορύβως ἐν τῷ τοῦ ζῆν χρόνῳ, omissa particula ἢ. 4) Miseram hanc laciniam praebet Vrat. A. 5) Sic Gott. 6) Hi quattuor articuli sunt primus ex Vrat. A. tres posteriores ex Vrat. D. Gott.

Digitized by Google

σῶν, σὺν ὄλβῳ καὶ εὐδαιμονίᾳ θεόρτῳ καὶ θεοπέμπτῳ· ἐκ γὰρ θεῶν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις παραγίνεται· ἄγει καὶ ἐπί τι πῆμα παλιντράπελον ἐν ἄλλῳ χρόνῳ· λέγω δὴ τὸ τοῦ Οἰδίποδος. λέγει δέ, ὅτι ἡ μοῖρα ἡ φύσιν ἔχουσα μεταβάλλειν ἅπαντα τὴν ἄνωθεν ἐκ θεῶν ἐπελθοῦσαν τοῖς σοῖς προγόνοις εὐδαιμονίαν ἐπὶ δυςτυχίαν μετέβαλεν. ἔχει δὲ λόγον τὸ πατρῴϊον καὶ πρὸς τὸ πῆμα συνάψαι, ἤγουν πρὸς πατρικὸν ἄγει πῆμα, διὰ τὸ τοῦ Οἰδίποδος πάθος, ὃ καὶ ἐπάγει. † οὕτω δὲ ἡ μοῖρα, ἥτις συνέχει τὴν πατρῴαν τύχην τούτων ἡδεῖαν σὺν ὄλβῳ, ἤγουν εὐδαιμονίᾳ ὑπὸ θεοῦ ὡρμημένη, ἄλλῳ χρόνῳ, ἀντὶ τοῦ κατά τινα χρόνον, καὶ ἐπί τινα βλάβην ἄγει παλιντράπελον, ἤγουν ἐπὶ τὸ ἐναντίον τετραμμένην, ἐξ ἐκείνου τοῦ χρόνου, ἀφ' οὗ ἔκτεινε τὸν Λάϊον ὁ υἱὸς αὐτοῦ ὁ ἐκ μοίρας δαίμονος τεταγμένος ἀποκτενεῖν αὐτὸν συναντήσας, τὸν παλαιὸν δὲ χρησμὸν τὸν χρησθέντα ἐν τῇ Πυθῶνι τελεσθῆναι ἐποίησεν. Rec.

66. Ἔχει] φυλάσσει. Gl. γ.

67. Θεόρτῳ] θεοκινήτῳ. Gl. γ.

68. Ἐπί τι καὶ πῆμ' ἄγει] ἐπάγει δὲ ἡ μοῖρα καὶ κακόν τι ἐναντίον ἑτέρῳ χρόνῳ· ἵν' ᾖ· ἔστιν ὅτε καὶ κακῶν πεῖραν ἡ μοῖρα δίδωσιν. εἶτ' ἐκ παραδείγματος· τοιγαροῦν καὶ τὸ γένος Λαΐου τάδε ἔπαθεν. θεόρτῳ δὲ, ὑπὸ θεοῦ ὀρθουμένῳ, ἀσφαλεῖ, θεοδωρήτῳ. [1]) παλιντράπελον δὲ, ἀντεστραμμένον. ἡ δὲ ὅλη διάνοια οὕτως ἔχει· ἡ ἀπὸ τοῦ γένους μοῖρα ἐπὶ [2]) τὸν περὶ τὸν Θήρωνα εὔφρονα πότμον καὶ ὄλβον, ὃν ὁ θεὸς ὀρίνει καὶ δίδωσιν, ἐπάγει τι καὶ ἀντεστραμμένον πῆμα ἐν ἄλλῳ χρόνῳ. § ἐπάγει δέ τι, χρόνος ἀντὶ χρόνου, ἀντὶ τοῦ ἐπήγαγεν. παλιντράπελον, ἢ τὸ ἐναντίον τῷ κακῷ ἢ τὸ ἀηδές. [3]) Vet.

70. Ἐξ οὗπερ] ἀφ' οὗ χρόνου Λάϊον ἐφόνευσεν Οἰδίπους· εἰσὶ γὰρ ἀπόγονοι τούτων οἱ περὶ Θήρωνα. [4]) Vet.

Μόριμος υἱός] ἤτοι ὁ κατὰ μοῖραν αὐτῷ γενόμενος, ἢ ὁ μόρον ἐπενεγκών. ὁ δὲ χρησμὸς ὁ δοθεὶς Λαΐῳ δημώδης· Λάϊε Λαβδακίδη καὶ τὰ ἑξῆς. § Ἄλλως. μόρσιμος, ὡς εἶπον [5]), ἢ ὁ μεμοιραμένος ἢ ὁ μόρου αἴτιος τῷ πατρί. [6]) § ὁ ἀναγκαίως κατὰ μοῖραν αὐτῷ γεγονώς. γράφεται καὶ μόρσιμος, ὁ μόρον ἐπενεγκὼν ἢ ὡμαρτημένος, διὰ τοῦ σ̄. μόρσιμον υἱὸν τὸν Οἰδίπουν, καθὸ μοῖραν ἐπήνεγκε τῷ πατρὶ Λαΐῳ. ἐν δὲ τοῖς Παιᾶσιν εἴρηται περὶ τοῦ χρησμοῦ τοῦ ἐκπεσόντος Λαΐῳ, καθὰ καὶ Μνασέας ἐν τῷ περὶ χρησμῶν γράφει·

Λάϊε Λαβδακίδη, ἀνδρῶν περιώνυμε πάντων. [7]) Vet.

71. Ἐν δὲ Πυθῶνι χρησθέν] [8]) τὸ δὲ μαντεῖον τὸ δοθὲν τῷ Λαΐῳ κατὰ τὴν Πυθῶνα παρ' Ἀπόλλωνος τοῦτον πατροκτονήσας εἰς πέρας ἤγαγεν ὁ Οἰδίπους. Vet.

72. Παλαίφατον] τὸ πάλαι πεφατισμένον καὶ ῥηθὲν Λαΐῳ. [9]) Vet.

73. Ἰδοῖσα δ' ὀξεῖ' Ἐριννύς] ἤτοι ὀξέως βλέπουσα ἢ ὀξέως τιμωρουμένη ἐστύγησεν, ὥςτε ἀλληλοφονίαν γενέσθαι τοῦ γένους αὐτοῦ. Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης ἀλλήλους ἀνεῖλον. § τοῦτο δὲ ὀξέως θεασαμένη ἡ Ἐριννὺς, τὸ γεγονὸς ὑπὸ Οἰδίποδος,

1) Hanc vocem addunt Gott. Vrat. D. 2) Ἐπὶ addidit Heynius. 3) Ex Vrat. A. 4) Indidem. 5) V. schol. ad vs. 18. 6) Ex Vrat. D. Gott. 7) Ex Vrat. A. Aliud hoc carmen ac vulgatum, cuius initium, Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς. 8) Quae h. l. omisi, desunt in Vrat. D. Gott. 9) Vrat. D. Gott. In illo πεφατ.

Digitized by Google

ἀνεῖλεν αὐτοῦ τὸ γένος καὶ δι' ἀλλήλων χωρῆσαι ἐποίησε. λέγει δὲ Ἐτεοκλέα καὶ Πολυνείκην. Vet.

† Σύνταξις. Ἰδοῦσα δέ] ἰδοῦσα γὰρ ὀξέως ἡ ἔφορος τῶν ἀδικουμένων θεὸς φονευθῆναι ἐποίησε τὸ γένος, ἤγουν τοὺς υἱοὺς αὐτοῦ, τοῦ Οἰδίποδος δηλονότι, τοὺς ἀρήϊους, τουτέστι τοὺς πολεμικοὺς καὶ γενναίους, ἢ τοὺς ἀπὸ τοῦ Ἄρεος καταγομένους, δι' ἀλληλοφονίας· πεσόντος δὲ τοῦ Πολυνείκους, ἤγουν φονευθέντος, ὑπελείφθη ὁ Θέρσανδρος ὁ υἱὸς αὐτοῦ, τιμώμενος ἐν ἀγῶσι νέοις ἁρμόζουσι καὶ ἐν μάχαις πολέμου, βλάστημα τῶν Ἀδραστίδων, ἀντὶ τοῦ τῆς Ἀδραστίδος, τουτέστι τῆς θυγατρὸς τοῦ Ἀδράστου, βοηθὸν τῶν δόμων. οὗτος γὰρ σὺν τῷ Διομήδει ἐπιστρατεύσας ταῖς Θήβαις ἐξεδίκησε τὸν τοῦ πατρὸς αὐτοῦ φόνον· ὅθεν, ἤγουν ἀπὸ τοῦ Θερσάνδρου, ἔχουσι τὴν ἀρχὴν τοῦ σπέρματος, τουτέστι τοῦ γένους, οἱ περὶ τὸν Θήρωνα δηλονότι. Rec.

74. Πέφνεν] ἐφόνευσεν. Gl. α. γ. τεθνάναι ἐποίησεν. Gl. β.

75. Γένος ἀρήϊον] ἤτοι γενναῖον τὰ πολεμικά· ἢ ὅτι ἀπ' Ἄρεος τὸ γένος κατῆγον διὰ τὴν Ἁρμονίαν. [1]) Vet.

Ἀρήϊον] πολεμικόν, ἤγουν τὸν ἐξ Ἄρεος καταγόμενον. ἐξ Ἀφροδίτης γὰρ καὶ Ἄρεος Ἁρμονία ἡ προμήτωρ αὐτῶν. Rec.

76. Λείφθη δὲ Θέρσανδρος] Θέρσανδρος ἐπὶ μὲν γάμῳ ἔσχε Δαμώνασσαν τὴν Ἀμφιαράου, ἀδελφοὶ δὲ αὐτοῦ Τιμίας καὶ Ἀλάστωρ. [2]) § τὸ ἑξῆς· ἐλείφθη δὲ τοῦ Πολυνείκους πεσόντος Θέρσανδρος, Ἀνδρότιμος, Ἄλαστος. ὁ δὲ Θέρσανδρος ἐν Μυσίᾳ τρωθεὶς ὑπὸ Τηλέφου τελευτᾷ. § Ἄλλως. ἐλείφθη δὲ λοιπὸν ὁ υἱὸς Πολυνείκους ἀναιρεθέντος Θέρσανδρος, ὅστις αὐτῷ ἐξ Ἀργείας τῆς Ἀδράστου θυγατρὸς γέγονεν. Vet.

77. Ἐριπόντι] ἀποθανόντι. Gl. γ.

78. Νέοις ἐν ἀέθλοις] ἐν τοῖς ἀκινδύνοις ἀγωνίσμασι καὶ πρέπουσι νέοις· λέγει δὲ τοῖς δι' ἀγῶνος· ἐν μάχαις τε καὶ ἐν πολέμοις ὁ τίμιος καὶ γενναῖος τυγχάνων. Vet.

80. Τιμώμενος] ὁ Θέρσανδρος. γίνεται γὰρ Ἀργείας τῆς Ἀδράστου θυγατρὸς καὶ Πολυνείκους, εἰς ὃν ἀναφέρεται τὸ γένος ὁ Θήρων. [3]) Vet.

Ἀδραστεΐδαν] ἐνταῦθα ἀντὶ ἑνικοῦ πληθυντικὸν ἐξήνεγκεν· ἔστι γὰρ Ἀδραστεΐδος. ἐκ μιᾶς γὰρ τῆς Ἀδράστου θυγατρὸς Ἀργείας γέγονε. τὸ δὲ Ἀδραστεΐδαν οὐ περισπαστέον· ἔστι γὰρ θηλυκόν, καὶ ἔχει τὴν εὐθεῖαν Ἀδραστεΐς, Ἀδραστεΐδων. εἴρηται γὰρ ἀπὸ τοῦ Ἀδραστίδες, Δαναΐδες. [4]) τὸ γὰρ ἀρσενικὸν περισπᾶται, οἱ Ἀδραστίδαι, τῶν Ἀδραστιδῶν. Vet.

81. Θάλος] τὸ γέννημα, ὁ κλάδος. Gl. γ.

Θάλος ἀρωγὸν δόμοις] τὸ βλάστημα τοῦ Ἀδράστου γένους· ἀπὸ γὰρ Θερσάνδρου καὶ Κάδμου οἱ πρόγονοι τοῦ Θήρωνος. ἐπεὶ Θέρσανδρος καὶ Διομήδης οἱ ἐπίγονοι ἐπιστρατεύσαντες ταῖς Θήβαις τῶν προαναιρεθέντων πατέρων ἐξεδίκησαν τὸν φόνον. Vet.

Δόμοις] τοῖς πατρικοῖς, ἤτοι ταῖς Θήβαις. ὕστερον γὰρ μετὰ Διομήδους ἐπιστρα-

1) Vrat. D. Gott. 2) Haec Vrat. A. nisi quod γάμῳ ἔσχε addidi. Res nota ex Pausania. 3) Vrat. A. 4) Haec addidi ex Vrat. A.

Digitized by Google

τεύσας αὐτὰς παρεστήσατο ἐκδικήσας τὸν αὐτοῦ πατέρα· ἢ ἀρωγὸν δόμοις, ἤτοι τῆς αὐτοῦ βασιλείας ὑπέρμαχον. Rec.

82. Ὅθεν σπέρματος ἔχοντι] ἀφ' οὗ γένους τοῦ Θερσάνδρου ἔχουσι τὴν ῥίζαν οἱ περὶ Θήρωνα. τὸ δὲ γένος Λαΐου καὶ Οἰδίποδος ὁ Θήρων οὕτω κατάγει· Λαΐου Οἰδίπους· τούτου Πολυνείκης· οὗ Θέρσανδρος· οὗ Τισαμενός· οὗ Αὐτεσίων· οὗ Θήρας· οὗ Σάμος. οὗτος ἔσχεν υἱοὺς δύο, Τηλέμαχον καὶ Κλύτιον, ὧν ὁ μὲν Κλύτιος ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ, [1]) ὅθεν συλλέξας δύναμιν ἔρχεται εἰς Σικελίαν καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ Χαλκιοπεύς· οὗ Ἐμμενίδης· [2]) οὗ Αἰνησίδαμος· οὗ Θήρων. § ἔστι μὲν καὶ οὕτω διαστεῖλαι· ὅθεν σπέρματος ἔχοντι ῥίζαν, εἶτα ἀπ' ἄλλης ἀρχῆς· πρέπει τὸν Αἰνησιδάμου. ὁ [3]) καὶ ὁ Δίδυμος ἀποδέχεται. Ἀρίσταρχος δὲ οὕτως· ὅθεν σπέρματος ἔχοντι [4]) ῥίζαν τὸν Αἰνησιδάμου· ὡς τῶν ἴσων εἶναι τὸ [5]) ἀφ' ὧν ἔχοντι τὸ σπέρμα τῷ, Αἰνησιδάμου υἱῷ πρέπει λυρῶν καὶ ἐγκωμίων τυγχάνειν. γίνεται δὲ, φησὶν ὁ Δίδυμος, κατὰ τὴν ἐκφορὰν ταύτην παρέλκον τὸ τυγχανέμεν. τὴν δὲ αἰτιατικὴν πτῶσιν τοῖς ἄνω συναπτέον ὡς προείρηκα, καὶ τὸ πρέπει τὸν Αἰνησιδάμου ἀπὸ ἄλλης ἀρχῆς. ὁ δὲ Θήρων τοῦ σπέρματος ἔχει ῥίζαν ἀπὸ τούτων. [6]) § ὅθεν σπέρματος, ἀπὸ γὰρ Οἰδίποδος οἱ περὶ Θήρωνα· Αἰνησιδάμου γὰρ παῖδες Θήρων καὶ Ἱέρων. Vet.

Ὅθεν] ἤγουν ἀπὸ τοῦ Θερσάνδρου, οὕτως· ἐκ Λαΐου Οἰδίπους· Οἰδίποδος Ἐτεοκλῆς καὶ Πολυνείκης· Πολυνείκους Θέρσανδρος· οὗ Τισαμενός· οὗ Αὐτεσίων· οὗ Θήρας· οὗ Σάμος. οὗτος ἔσχεν υἱοὺς δύο Τηλέμαχον καὶ Κλύτιον, ὧν ὁ μὲν Κλύτιος ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ, ὅθεν συλλέξας δύναμιν ἔρχεται εἰς Σικελίαν καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ Χαλκιοπεύς· οὗ Ἐμμενείδης· οὗ Αἰνησίδαμος ὁ τοῦ Θήρωνος πατήρ. Rec.

83. Πρέπει τὸν Αἰνησιδάμου] πρέπει τὸν Αἰνησιδάμου υἱὸν τὸν Θήρωνα τυγχάνειν ἐγκωμιαστικῶν τε μελῶν καὶ λυρῶν, ἀντὶ τοῦ καὶ λυρικῶν μελῶν. κατὰ μὲν γὰρ τὴν Ὀλυμπίαν αὐτὸς βραβεῖον ἐδέξατο, ἐν τῇ Πυθῶνι δὲ καὶ τῇ Ἰσθμοῖ κοινῶν ἵππων χάριτες εἰς τὸν ἀδελφὸν αὐτοῦ τὸν ἐν τῷ αὐτῷ κλήρῳ ὄντα ἄνθη ἤγαγον, ἀντὶ τοῦ τὰ ἐξαίρετα, τὰς νίκας τῶν δυοκαίδεκα δρόμων τῶν ἁρμάτων. δωδεκάκις γὰρ περιήρχετο τὸν δρόμον τὰ τέλεια ἅρματα. τὸ δὲ τυχεῖν τινα ἀγωνίας, ἀντὶ τοῦ νίκης, ἐν ἀγῶνι πειρώμενον, τουτέστι ζητοῦντα τυχεῖν αὐτῆς, παραλύει, ἀντὶ τοῦ ἀπολύει, ἐλευθεροῖ τῶν ἀλγεινῶν. εὔφρον τὸ ἡδὺ, δύσφρον τὸ ἐναντίον, ἤγουν τὸ ἀλγεινόν. ὁ δὲ πλοῦτος ὁ πεποικιλμένος ἀρεταῖς, τουτέστιν ὁ τῶν ἀρετῶν πλοῦτος διδάσκει τὸ ἔγκαιρον τῶν καὶ τῶν, ἀορίστως ἀντὶ τοῦ πάντων, ἤτοι τῶν ἀγαθῶν καὶ λυπηρῶν, διάνοιαν διδοὺς βαθεῖαν,

1) Haec vox aperte corrupta est. 2) Non dubitavi addere οὗ Ἐμμενίδης, a quo Theronis gens appellata est Ἐμμενίδαι, schol. ad Olymp. III, 68. quapropter hic certe a stemmate Theronis abesse non potuit, eumque habet h. l. Rec. qui duxit e Vet. Quod tamen ap. schol. Olymp. III. et Pyth. VI, 4. Chalciopeus omissus est et nostro loco Emmenides, ideo pro eadem hos aetate computat Bentleius de aetate Phalar. p. 166. Lips. 3) Cod. ἤν. 4) Cod. ἔχον. 5) Cod. τῷ. 6) Splendet in hoc scholio, quod cum sequenti ex Vrat. A. duxi, nomen Aristarchi: sed quid voluerit, equidem non possum perspicere. Nec, quamquam plura in verbis codicis correxi, sana sunt quae edidi.

Digitized by Google

ἤγουν συνετὴν, ἀγροτέραν, τουτέστιν ἀγρευτικὴν τῶν καλῶν, ἀστὴρ ὢν δηλονότι διάδηλος, φῶς ἀνθρώπῳ ἀληθινόν. τοῦτο λέγει ὅτι αἱ τῷ Ξενοκράτει κατορθωθεῖσαι νῖκαι διὰ τετρώρων εἴς τε τὰ Πύθια καὶ τὰ Ἴσθμια καὶ τοῦ Θήρωνός εἰσιν· ἢ ὅτι τοὺς ἵππους κοινοὺς ἐκέκτηντο, μεθ' ὧν μόνος Ξενοκράτης ἀπελθὼν ἐνίκησεν, ἢ ὅτι τῶν Ξενοκράτους στεφάνων καὶ Θήρων μετέχει. εἰ γὰρ τὰ τῶν φίλων κοινὰ, πόσῳ γε δὴ μᾶλλον τὰ τῶν ἀδελφῶν; Rec.

87. Ὀλυμπίᾳ μὲν γὰρ αὐτός] καθ' ἑαυτὸν γέρας ἔλαβεν, [1]) ἀντὶ τοῦ ἐν Ὀλυμπίᾳ ἐνίκησεν, ἔσχε δὲ καὶ κοινὰς πρὸς τὸν ἀδελφὸν Ξενοκράτην νίκας ἐν Ἰσθμῷ καὶ Πυθοῖ. ἐξ ἑνὸς γὰρ οἴκου πρὸς ἱπποτροφίαν διδόντες καὶ ἀπὸ κοινῶν χρημάτων ἀμφότεροι καὶ ταῖς νίκαις ἀνεγράφοντο. [2]) καὶ οἱ μὲν βούλονται ἀκούειν οὕτως· οἱ κοινοὶ αὐτῶν ἵπποι νικήσαντες ἀμφοτέροις παρεσχήκασι κοινὴν καὶ τὴν δόξαν· οἱ δὲ, ὅτι ἐν τοῖς κοινοῖς ἵπποις ἀμφότεροι, ἕκαστος ἰδίᾳ ἐν αὐτοῖς, τοῖς ἵπποις, ἐνίκησε τέθριππον, ὃ καὶ μᾶλλον. § Ἄλλως. Ὀλύμπια μὲν γὰρ αὐτὸς γέρας ἔδεκτο, ἀντὶ τοῦ μόνος· Πύθια δὲ καὶ Ἴσθμια Ξενοκράτης. κατὰ δὲ τὴν τοῦ Ἀριστοτέλους Πυθιονίκης [3]) μόνος Θήρων ἀναγέγραπται. ἤτοι οὖν συλληπτικῶς εἴρηκεν, ἢ ἐπεὶ Θήρωνος ἵπποις ὁ Ξενοκράτης ἐνίκησε. διὸ καὶ συνανεκήρυξε Θήρωνα. [4]) § Εἰς μὲν τὰ Ὀλύμπια ἐνίκησε μόνος, εἰς δὲ τὰ Πύθια μετὰ Ξενοκράτους [5]) τοῦ ἀδελφοῦ· τὸ γὰρ παλαιὸν ποιοῦντες ἀμφότεροι τὰς δαπάνας ἴσας ἔπεμπον ἅρματα εἰς τὸν ἀγῶνα, καὶ νικώντων αὐτῶν κοινῶς καὶ τὴν νίκην εἶχον. [6]) Vet.

89. Ὁμόκλαρον ἐς ἀδελφεόν] ἤτοι διὰ τὴν συγγένειάν φησιν, ἢ ὡς ὁμοῦ ἱπποτροφούντων αὐτῶν καὶ ἀγωνιζομένων, καὶ ὁμοῦ νικησάντων Ἴσθμια τεθρίππῳ. φησὶν οὖν, ὅτι ἐν Ἰσθμῷ αἱ χάριτες τῆς νίκης τῆς ἐν τῷ τεθρίππῳ κοινὰ ἤγαγον αὐτοῖς τὰ ἄνθη τῶν στεφάνων· ἀπὸ σελίνων γὰρ τὸ στέμμα. § ἢ οὕτως· αἱ δὲ χάριτες αἱ ἐν Πυθῶνι καὶ Ἰσθμῷ τὰ ἄνθη τῶν τεθρίππων εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἤνεγκαν. § Ὁμόκληρον δὲ τὸν ἀδελφεὸν, ἢ διὰ τὸ τοῦ αὐτοῦ κλήρου καὶ φύσεως μετέχειν, ἢ ὅτι Ἴσθμια καὶ Πύθια ὁμοίως ἐνίκησε, διὰ τοὺς δύο στεφάνους μετασχὼν [7]) καὶ τῆς αὐτῆς δόξης. § Ἄλλως. Ξενοκράτης ἦν Θήρωνος ἀδελφός. οὗτος ἐνίκησεν ἱπποτροφῶν καὶ Πύθια καὶ Ἴσθμια, καὶ γέγραφε Πίνδαρος εἰς τὰς τούτου νίκας· κοινὰς οὖν φησιν αὐτῶν εἶναι τὰς νίκας διὰ τὸ ἐκ τοῦ αὐτοῦ οἴκου εἶναι τὰς χορηγίας καὶ τὰς ἐπιμελείας τῆς ἱπποτροφίας. τὴν γοῦν Ἰσθμικὴν νίκην ὕμνῶν Θρασύβουλον προσεφώνησε τὸν τοῦ Ξενοκράτους υἱόν· Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες. οὕτως ἡγοῦντο κοινὰς τὰς νίκας. [8]) Vet.

90. Ἰσθμοῖ τε] ἐπιῤῥηματικῶς λέγει ὡς οἴκοι. Vet. Vrat. A.

91. Ἄνθεα] τὰς ἀρετάς. Gl. β.

1) Haec addidi ex Gott. non multum discrepante Vrat. D. 2) Sic Vrat. D. Gott. Vulgo ἐνεγρ. 3) Codd. Πυθιονίκαν. Ad τὴν supple ἀναγραφήν. 4) Hoc Vrat. D. Gott. 5) Cod. Ἱέρωνος. 6) Hoc Vrat. A. qui post κοινῶς addit τὰς δαπάνας. 7) Cod. μετασχεῖν, laborante structura. 8) Hi duo articuli e Vrat. D. Gott. In posteriori ita codd. Θρασύβουλος πρ. τὸν τοῦ Θήρωνος υἱόν· οὗτος τοῦ Ξενοκράτους· οἱ μὲν etc. V. Isthm. II, init. Verba οὕτως ὁ Ξενοκράτους correctoris sunt, quem et ipse egi. Ceterum eadem fere sed aliis verbis habet Vrat. A.

Digitized by Google

92. *Δυωδεκαδρόμων*] ὅτι δώδεκα δρόμους ἔτρεχον τὰ τέλεια ἅρματα, τουτέστι ι' καὶ β' καμπτῆρας. Vet. Vrat. A.

93. *Τὸ δὲ τυχεῖν πειρώμενον*] οὕτως· ἐπιτυχὼν οὐκέτι ἐν ἀγωνίᾳ ἐστὶ, παρόσον ἄφρονας μὲν λέγουσι τοὺς ἀγωνιζομένους, τοὺς δὲ νικήσαντας οὐκέτι. § ἢ οὕτω· τὸ πειρώμενον τοῦ ἀγωνίσματος τυχεῖν λύσιν ποιεῖ τῆς ἀφροσύνης, 1) ὥσπερ τὸν μὴ νικῶντα ἄφρονα ποιεῖ. § Ἄλλως. τὸ δὲ ἐπιτυχεῖν καὶ νικῆσαι ἀποπειρώμενον ἀγῶνος τῶν δυσκόλων φροντίδων τῶν ἐπὶ τῇ νίκῃ ἀπολύει. § Ἄλλως. τὸ νικῆσαι δὲ, φησὶ, τὸν ἀγωνιζόμενον παράλυσιν ποιεῖ τῆς ἀφροσύνης καὶ τῆς λύπης. δύναται δὲ καὶ κυρίως κεῖσθαι ἡ ἀφροσύνη, ἵν' ᾖ· ὁ νικήσας νομίζεται ἐκτὸς ἀφροσύνης εἶναι· κρίνουσι γὰρ καὶ τὸ εὖ βεβουλεῦσθαι διὰ τὸ ἐλθεῖν ἐπὶ τὸν ἀγῶνα. 2) § τὸ δὲ τυχεῖν πειρώμενον ἀγωνίας καὶ λύπην λύει καὶ τὴν ἀθυμίαν ἐκβάλλει τῷ ἐπιτυγχάνοντι. 3) κοινὸν ἔγκλημα ἡ ἄνοια καὶ ἡ ἀφροσύνη. § ὁ νοῦς· πρῶτον μὲν τὸ πειρᾶσθαι ἀγῶνος παρέχει κάματον τοῖς ἀγωνιζομένοις, ὕστερον δὲ πόνων λύσιν καὶ εὔκλειαν ἔχει. 4) Vet.

Τὸ δὲ τυχεῖν πειρώμενον] τὸ δὲ πειρώμενον ἀγωνίας, ἤτοι ἀγωνιζόμενον κατορθῶσαι τὸν ἀγῶνα καὶ νικῆσαι· τοῦτο γάρ ἐστι τὸ τυχεῖν· παραλύει καὶ ἐκβάλλει τὸν νικήσαντα τῶν δυσφρόνων, ἤτοι τῶν πρὶν προσόντων αὐτῷ ἀλγεινῶν ἢ δυστυχιῶν. ἡ γὰρ τῆς νίκης λαμπρότης λήθην τῶν ἔμπροσθεν τίθησιν. εἰκότως δὲ δύσφρονα τὰ ἀλγεινὰ λέγει ἢ τὴν δυστυχίαν. ἥ τε γὰρ δυστυχία καὶ ἡ λύπη καὶ τὸν συνετώτατον τοῦ λελογισμένου κατάγει. τοῦτο δὲ λέγει εἰς τὸν αὐτὸν σκοπὸν, εἰς ὃν ἔμπροσθεν ἔλεγε· Τῶν δὲ πεπραγμένων ἐν δίκᾳ, καὶ τὰ ἑξῆς. § ὁ πλούτῳ κεκοσμημένος καὶ ἀρεταῖς κατάκοσμος οὔτε ὑπὸ τῆς ἐπελθούσης αὐτῷ εὐτυχίας ἐπαίρεται οὔτε ὑπὸ δυστυχίας χαυνοῦται. διὸ δεῖ τῷ πλουτοῦντι καὶ ἀρετῆς, εἰ μέλλει καλῶς τὸν ἅπαντα αἰῶνα διάξειν. φησὶ δὲ καὶ Καλλίμαχος· 5)

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

καὶ Σαπφώ· 6) Ὁ πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀγαθὸς σύνοικος· ἡ δ' ἐξ ἀμφοτέρων κρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον. τοῦτο προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ. Rec.

94. *Πειρώμενον*] δοκιμάζοντα. Gl. γ.

96. *Ὁ μὲν πλοῦτος*] οἱ μετ' ἀρετῆς πλουτοῦντες εὐγενῶς φέρουσι τὰ δύο, τά τε ἀγαθὰ καὶ τὰ κακά. οὔτε γὰρ τὸν πλοῦτον ἀποδέχονται οὔτε τὴν ἀρετὴν, ἀλλὰ τὰ δύο ἡνωμένα. φησὶ γάρ· ὁ πλοῦτος κοινωνῶν τῇ ἀρετῇ ποιεῖ τοὺς ἀνθρώπους εὐγενῶς φέρειν τὰ ἀγαθὰ καὶ τὰ κακὰ ὑπὸ τὸν αὐτὸν καιρὸν, τὴν βαθεῖαν αὐτοῦ μέριμναν ὑπέχων, ὅ ἐστιν ὑπεράνω ὧν τῶν προσπιπτόντων ἀγαθῶν τε καὶ κακῶν. τὸ δὲ ἀγροτέραν σημαίνει ἀγρευτικὴν καὶ ἐρευνητικήν. § Ἄλλως. 7) ὁ νοῦς· ὁ δὲ πλοῦτος οὐ μόνος ὢν καθ' ἑαυτὸν, ἀλλὰ καὶ ἀρετῇ κεκοσμημένος, καιρίως τῶν τε ἑαυτοῦ ἀγαθῶν καὶ τῆς ἀρετῆς ἀπολαύει, συνετὴν ἔχων τὴν φροντίδα πρὸς τὸ ἀγρεύειν τὰ καλά. τούτων γὰρ τὸ ἕτερον καθ' ἑαυτὸ οὐχ ἡδύ. ὡς καὶ Καλλίμαχος·

1) Libri εὐφροσύνης, et deinde τὸ μή. 2) Haec omnia Vrat. D. Gott. 3) Cod. ἀποτυγχ. 4) Haec Vrat. A. 5) H. in Iov. 95. 6) Volger. Fragm. p. 113 sqq. Mus. crit. Cantabr. T. I. p. 17. 7) Haec usque ad ἄλλως ex Vrat. D. Gott.

Digitized by Google

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

καὶ ἡ Σαπφώ· Πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀσινὴς πάροικος· ἡ δ' ἐξ ἀμφοτέρων [1]) κρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον. τοῦτο προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ. § Ἄλλως. ὁ πλοῦτός γε μὴν ταῖς ἀρεταῖς κεκοσμημένος καὶ τῶν ἐξ αὐτοῦ εὐφραινόντων καὶ τῶν ἐκ τῆς ἀρετῆς κοσμούντων δίδωσι καιρὸν καὶ ἡδονὴν, τὴν πολλὴν καὶ βαθεῖαν καὶ συνετὴν διάνοιαν εὔκολον καὶ εὔληπτον καὶ ἀγροτέραν διδούς. [2]) § ὁ μὰν, ἀντὶ τοῦ ὅταν. ὁ δὲ νοῦς· ὅταν ἡ πεποικιλμένος ὁ πλοῦτος σὺν ἀρετῇ, πορίζει τὰ εὐφραίνοντα καὶ τὰ ἑαυτοῦ καὶ τὰ ἀπὸ τῆς ἀρετῆς περιγινόμενα ἑαυτῷ. ἀρετὴν μὲν γάρ τις ἔχων, ἀχόρηγος δὲ ὢν διὰ τὸ πένης εἶναι, στέρεται τῶν εὐφραινόντων· πλούσιος δὲ ὢν ἀρετὴν μὴ ἔχων οὐ χρῆται τοῖς εὐφραίνουσι. καὶ πλοῦτος τῇ ἀρετῇ κεκοσμημένος καὶ τῶν ἐξ αὐτοῦ εὐφραινόντων καὶ τῶν ἐκ τῆς ἀρετῆς κοσμούντων δίδωσι καιρὸν καὶ ἡδονὴν, πολλὴν καὶ συνετὴν τὴν διάνοιαν πρότερον παρασχών. μετὰ ταῦτα καὶ τὰς ἰδίας ὁ πλοῦτος καὶ τὰς τῆς ἀρετῆς εὐφροσύνας παρέχει, προπαρασχὼν τὴν μέριμναν δι' ἧς πάντα ἀγρεύεται. βαθεῖαν τὴν συνετὴν, [3]) ἀπὸ τῶν ἐν βάθει ὑδάτων. ἀγροτέραν ἀντὶ τοῦ εὐαγροτέραν, τὴν ἅπαντα ἀγρεύουσαν καὶ θηρευτικὴν εἰς τὸ πορίζειν. [4]) § κατὰ λέξιν· βαθεῖαν, τὴν συνετὴν· ὑπέχων, ὑποτιθείς· ἀγροτέραν, ἀγρευτικὴν τῶν ἡδέων, θηρευτικωτέραν πρὸς τὸ πορίζειν τὰ ἀγαθά. [5]) Vet.

Φέρει τῶν τε καὶ τῶν] τῶν αὐτοῦ καλῶν καὶ τῆς ἀρετῆς· ἢ τῶν ἐπὶ τῇ ἀθλήσει καμάτων ἐκείνων φησὶ καὶ τούτων τῶν καλῶν. Vet.

Φέρει] προτείνει. Gl. α. Τῶν τε καὶ τῶν] τῶν φανερῶν καὶ ἀφανῶν πραγμάτων. Gl. γ.

99. Βαθεῖαν] φρονίμην. Gl. γ.

100. Μέριμναν] σκῆψιν. Gl. α. γνῶσιν. Gl. γ.

101. Ἀστὴρ ἀρίζηλος] ὁ μετὰ ἀρετῆς πλοῦτος ὡς ἀστήρ ἐστιν ἔκδηλος, ἀληθινὸν φῶς τοῖς ἀνθρώποις. Vet.

Ἀρίζηλος] φανερός. Gl. γ. δηλονότι ἀστὴρ ὢν διάδηλος, ἀληθινὸν φῶς ἀνθρώπῳ. Gl. α. β. γ. § Ἀλαθινὸν γράφε, ἵν' οἰκεῖον ᾖ τὸ μέτρον, καὶ μὴ ἔτυμον. καὶ ἔχει, μὴ ἔχων· οὐ γὰρ ἔχει καλῶς τὸ ἔχων πρὸς τὴν σύνταξιν. Mosc. B.

102. Εἰ δέ μιν ἔχει] εἰ δέ τις τοῦτον ἔχων τὸν πλοῦτον ὁρᾷ καὶ πρὸς τὸ μέλλον, ὅτι τῶν ἀδίκων τελευτησάντων τὸν βίον τιμωρία καὶ κρίσις παρὰ τοῖς ἀποιχομένοις [6]) ἐστὶν, οὐκ ἂν αὐτῷ εἰς ἀδικίαν ἐχρήσατο. § εἰ δέ νιν ἔχων τις] ὁ λόγος τοιοῦτος· ὅ μετὰ τῆς ἀρετῆς πλοῦτος ἀστήρ ἐστιν ἀρίζηλος καὶ ἀληθινώτατον ἀνδρὶ φέγγος· εἰ δέ τις αὐτῷ χρήσηται εἰς δέον καὶ οὐκ εἰς ἀδικίαν κατατιθέμενος τὴν δύναμιν αὐτοῦ, ἀλλὰ τοὐναντίον εἰς δικαιοσύνην..... Ἀρίσταρχος ἐξηγεῖται οὕτως· εἴ τις οἶδε τὸ μέλλον, ὅτι ποινὴν τίνουσιν οἱ ἐν ᾅδου παρανομήσαντες. ὁ γὰρ λόγος ὡς [7]) τῶν αὐτῶν πλεονάκις ἀναβιούντων καὶ ἐνθάδε ἢ καὶ ἐκεῖ δίκας διδόντων τῶν ἁμαρτημάτων. ἔνιοι δὲ ἁπλού-

[1]) Ἐξ ἀμφοτέρων addidi ex Rom. Gott. Vrat. D. [2]) Haec Vrat. A. D. Gott. [3]) Cod. σύνισιν. [4]) Haec Vrat. A. [5]) Haec Vrat. D. Gott. [6]) Delevi πᾶσιν, ex cod. Gott. Cf. de hoc scholio nott. critt. ad Olymp. II, 61. [7]) Cod. ὁ.

Digitized by Google

στερον ἀκούουσι τὸν λόγον οὕτως· εἰ ἔχων τις τὸν πλοῦτον οἶδεν, ὅτι ἐν τῷ ὑστέρῳ χρόνῳ οἱ ἀποθανόντες καθ' ᾅδου δίκας διδόασιν. [1]) Vet.

† Σύνταξις. Εἰ δέ μιν ἔχει] εἰ γὰρ ἔχει τις αὐτὸν, ἤγουν τὸν τῆς ἀρετῆς πλοῦτον, οἶδε τὸ μέλλον, ὅτι τῶν θανόντων μὲν αἱ φρένες αἱ ἀπάλαμνοι, τουτέστιν αἱ ἀδιόρθωτοι, αἱ ἀπαιδαγώγητοι, πρὸς ἃς οὐκ ἔστι μηχανήσασθαί τι, ἐνθάδε αὐτίκα, ἀντὶ τοῦ τάχιστα, τιμωρίας ἔτισαν, ἀντὶ τοῦ ὑπέχουσι· τὰ δὲ ἁμαρτήματα τὰ ἐν ταύτῃ τῇ ἡγεμονίᾳ τοῦ Διὸς, ἤγουν τὰ ἐν τῷ κόσμῳ, ὑποκάτω τῆς γῆς κολάζει τις, ἤγουν ὁ Πλούτων, ἀπόφασιν δοὺς ἀνάγκης ἐχθρᾶς, τοῖς κολαζομένοις δηλονότι. Rec.

104. Ὅτι θανόντων μὲν ἕως ἐχθρᾷ λόγον φράσας ἀνάγκα] ἐγκρίνει τὴν παλιγγενεσίαν. λέγει οὖν· εἴ τις οἶδε τὸ μέλλον, ὅτι οἱ μὲν ἐν τῷ ζῆν ἁμαρτάνοντες ἐν ᾅδου κολάζονται, οἱ δὲ ἐν ᾅδου ἐν τῷ ἡμετέρῳ βίῳ ἐν τῇ τοῦ Διὸς ἀρχῇ· ταύτην γὰρ εἶπε τὸν ὑποκείμενον τῷ οὐρανῷ τόπον. καὶ ἐάν τις ἐν ταῖς τρισὶν ἀναβιώσεσιν, ἃς ὑφίσταται, ἀναμάρτητος εἰς τὰς τρεῖς ἑκατέρωθεν μίνῃ, τοῦτόν φησιν εἰς τὰς τῶν μακάρων νήσους προπέμπεσθαι. τὸ δὲ περὶ τῆς παλιγγενεσίας ἀρχαιότερόν ἐστι· παραδέδοται γὰρ ἔτι ἀνέκαθεν, ὡς Ὁμηρός φησιν· [2])

Νῦν μὲν μήτ' εἴης, βουγάϊε, μήτε γένοιο.

πρῶτος δὲ δοκεῖ τούτῳ τῷ δόγματι χρῆσθαι Πυθαγόρας. τῷ δὲ ἀπάλαμνοι φρένες συναπτέον τὸ ἐνθάδε· ὅτι τῶν ἐνταῦθα ἀδίκων ἀπάλαμνοι φρένες αὐτίκα καὶ εὐθέως τελευτησάντων ποινὰς καὶ τιμωρίας ἐκεῖ δεδώκασιν. § ἔξωθεν οὖν χρῆσθαι αὐτῷ πρὸς εὐσέβειαν δεῖ. [3]) § Ἄλλως. ὅτι θανόντων] Χρύσιππος οὕτως ἀκούει· ἐνθάδε μὲν ὑπὸ τῶν θανόντων ἐτιμωρήθησαν, κάτω δὲ ὑπὸ τῶν κάτω δικαζόντων, εἴτε Ἅιδης ἐστὶν εἴτε ἕτερός τις. οὐκ ἀπίθανον δὲ, φησὶν, ὑπὸ τῶν τελευτησάντων τιμωρεῖσθαι τοὺς ζῶντας· μεστὴ γὰρ τούτων ἐστὶν ἡ τραγῳδία, ὅτι οἱ ἀδικούμενοι εὐχὰς τοῖς καταχθονίοις ἤρωσι ποιοῦνται, ἵνα ἐπικουρήσωσιν αὐτοῖς· οἷον Ἠλέκτρα τῷ Ἀγαμέμνονι. ἔνιοι δέ φασι τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύειν· τὰς γὰρ ψυχὰς εἰς ἕτερα σώματα ἐνδυνούσας ἀνανεοῦσθαι ὥστε ὅσοι μὲν ὑπὲρ γῆς ὄντες ἐπλημμέλουν, τούτους ἐν ᾅδου δίκην ὑπέχειν· ὅσοι δὲ ἀνάπαλιν ἐν ᾅδου ἐνεωτέρισαν, ὑπὲρ γῆς γινόμενοι δίκας τίνουσιν, ὥστε μηδαμόθεν αὐτοὺς ἀποφυγεῖν τὴν προσήκουσαν τοῖς ἡμαρτημένοις δοῦναι δίκην. [4]) Vet.

Ὅτι θανόντων] τὸ ἐνθάδε πρὸς τὸ ἀπάλαμνοι συναπτέον, τὸ δὲ αὐτίκα πρὸς τὸ ἔτισαν, οὕτως· αἱ ἀπάλαμνοι καὶ βίαιοι φρένες τῶν θανόντων, ἤγουν οἱ συκοφάνται καὶ οἱ πονηροὶ καὶ βίαιοι ἐν τῷ βίῳ, ἀποθανόντες ποινὰς ὧν ἥμαρτον ἔτισαν καὶ ἀπέδωκαν αὐτίκα ἐν ᾅδου. Rec.

105. Ἀπάλαμνοι] ἀπαίδευτοι. Gl. γ.

106. Διὸς ἀρχᾷ] Διὸς ἀρχὴν φησι τὴν ζωὴν καὶ τὴν ἄνω διαγωγήν· φησὶν οὖν ὅτι τὰ ἐν τοῖς ζῶσιν ἁμαρτήματα κατὰ γῆς δικάζει τις· λέγει δὲ τὸν Πλούτωνα τιμωρεῖσθαι αὐτούς. λείπει τὸ διδοὺς, τουτέστι διδοὺς [5]) τῇ ἐχθρᾷ ἀνάγκῃ, εἰπὼν τὸν λόγον τῆς τιμωρίας· ἐχθρᾷ δὲ τοῖς πονηροῖς. § τὸν δὲ, φησὶ, [6]) σύνδεσμον ἀντὶ τοῦ γὰρ δεῖ

1) Haec Vrat. A. ita lacunosa et luxata, ut Aristarchi nomen nullam crisi utilitatem afferat, nisi quod eum, ut ceteros veterum, ἔχων legisse intelligimus. In fine cod. δίδωσιν. 2) Odyss. σ, 78. 3) Hoc Vrat. D. Gott. 4) Haec iidem. 5) Τουτ. διδ. addidi e Gott. 6) Quis?

Digitized by Google

ἀκούειν.... καθιστάναι τὸν λόγον· ὁ γὰρ τῇ [1]) τοῦ Διὸς ἀρχῇ ἀλιτρά..... λέγει γὰρ τοῦτο ὁ Πίνδαρος· ἐπεὶ οἱ ἐν τῷ ζῆν ἁμαρτάνοντες μετὰ τὸν θάνατον δίκας ὑπέχουσιν, οἱ δὲ καθ' ᾅδου ἄδικοι τὰ μὲν κατὰ τὸν τοῦ ζῆν χωρισμὸν, [2]) ὅταν ἀναβιώσωσιν, ἐν μέρει πάλιν δίκας ὑπέχουσιν ἐν τῷ ζῆν τοῖς Ὀλυμπίοις θεοῖς. οἴεται γὰρ ἀναβιοῦν τὰς ψυχὰς Πυθαγορικῇ δόξῃ χρώμενος. [3]) § ταῦτα δὲ τῶν ἀσεβῶν· σκάπτειν ἐν λίμναις τε πελαγίζεσθαι. [4]) Vet.

Διὸς ἀρχᾷ] Διὸς ἀρχὴ ὁ οὐρανὸς καὶ ὁ κόσμος; Ποσειδῶνος θάλασσα καὶ πάντα τὰ ὕδατα, Πλούτωνος τὰ ὑπὸ γῆν καὶ ὁ Τάρταρος. Rec.

107. Κατὰ γᾶς] ὑπὸ γῆν, τουτέστι καθ' ᾅδου. ὑφίσταται δὲ ἐν ᾅδου τινὰ Ἀνάγκην ὀνόματι καὶ ταύτῃ παραδίδοσθαι τοὺς ἀσεβεῖς. § Διὸς ἀρχὴν τοὺς ἐπιγείους βούλεται εἶναι, λέγει δὲ τοὺς ζῶντας. [5]) Vet.

108. Φράσας ἀνάγκᾳ] τὸν τῆς τιμωρίας λόγον σωματοποιεῖ. ἐνταῦθα δαίμονα τὴν Ἀνάγκην, ᾗ τὰς ἁμαρτίας λέγουσιν οἱ ἀκούοντες. Vet. Vrat. A.

Λόγον [6]) λέγει τὴν ἀπόφασιν. σύναπτε δὲ τὸ ἐχθρᾷ ἀνάγκᾳ πρὸς τὸ δικάζει, τὸ δὲ λόγον φράσας διὰ μέσου, οὕτω· δικάζει τις ἐν τῇ ἐχθρᾷ καὶ ἀποτόμῳ ἀνάγκᾳ· φησὶ τὸν λόγον καὶ τὴν τῆς καταδίκης ἀπόφασιν. εἰκότως δὲ εἶπε τὸ ἐχθρᾷ καὶ τὸ ἀνάγκᾳ· τὸ μὲν ἀνάγκᾳ, διότι ἀπαραίτητόν ἐστι τὸ ἐκεῖ δικαστήριον· τὸ δὲ ἐχθρᾷ, διότι οὐδεὶς ἐκεῖ φίλος, ἀλλ' ἕκαστος ἐκ τῶν ἔργων δικαιοῦται καὶ κατακρίνεται. οἱ δὲ ἐσθλοὶ καὶ ἀγαθοὶ ἔχοντες αἰεὶ καὶ πάντοτε ἥλιον ἐπίσης ἐν ἡμέραις καὶ νυξὶ, τουτέστιν ὅσον καιρὸν ἡμεῖς ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἐλλαμπόμενοι νέμονται βίον ἀπονέστερον τῶν ἐν τῷ βίῳ. Rec.

109. † Ἴσον δὲ νύκτεσσιν] Σύνταξις. οἱ δὲ ἄγαθοὶ ἐπίσης ἔν ταῖς νυξὶν, ἐπίσης δὲ ἐν ταῖς ἡμέραις ἥλιον ἔχοντες, ἤγουν ἀεὶ ἐν φωτὶ ὄντες, ἀπονέστερον, ἀντὶ τοῦ ἄπονον, ἀκοπίατον [7]) ζωὴν νέμονται, τουτέστι διάγουσιν, οὐ χθόνα ταράσσοντες διὰ τῆς ἰσχύος τῶν χειρῶν, ἤγουν οὐ γεωργοῦντες, οὐδὲ τὸ τῆς θαλάσσης ὕδωρ ταράσσοντες, ἤγουν οὐδὲ ναυτιλίᾳ χρώμενοι διὰ ματαίαν τροφὴν, οἷα κάμνουσιν ἐν τῇ παρούσῃ ζωῇ οἱ ἄνθρωποι, ἵνα βίον πορίσωνται· ἀλλὰ παρὰ μὲν τοῖς τιμίοις ἀπὸ τῶν θεῶν, ἤγουν τοῖς ἐν ᾅδου, τῷ Πλούτωνι δηλονότι καὶ τῇ Περσεφόνῃ, ἄλυπον βίον διάγουσιν ἐκεῖνοι, οἵτινες ἔχαιρον εὐορκίαις, τουτέστι τρόποις εὐσεβέσι καὶ δικαίοις· οἱ δὲ, ἤγουν οἱ τῆς ἑτέρας μερίδος, οἱ κακοὶ δηλονότι καὶ ἀπαιδαγώγητοι, ἔχοντες γνώμας, πόνον ὀχεῖοντι, τουτέστιν ὑφίστανται, ἀπὸ μεταφορᾶς τῶν ὀχημάτων, ἄπροσόρατον, ἤγουν μέγαν καὶ οὐ προσβλέπεσθαι δυνάμενον, μεταφορικῶς ἀντὶ τοῦ ἀνύποιστον. Rec.

Ἴσον γράφε καὶ ἴσα, ἵν' ὀρθῶς ἔχῃ τὰ κῶλα πρὸς τὸ μέτρον. Mosc. B.

110. Ἴσα δ' ἐν ἁμέραις] ἴσον ἡμῖν τοῖς ζῶσι χρόνον ἐπιβάλλει ὁ ἥλιος καὶ τοῖς ἐν ᾅδου δικαίοις. οὐκέτι περὶ τῶν ἀδίκων δὲ ὁ λόγος, ἀλλ' ἐπὶ τῶν δικαίων. § φησὶν οὖν, ὅτι τοῖς ζῶσιν ἡμῖν τὸν ἴσον χρόνον ἐπιτελεῖ καὶ τοῖς ἐν ᾅδου ἀγαθοῖς ὁ ἥλιος, καὶ

1) Scribe ἐν τῇ. 2) Gerhardus coniicit χρόνον, recte. 3) Haec Vrat. A. 4) Vrat. D. Gott. 5) Vrat. A. 6) Vulgo Ἀνάγκην, quod cum sequenti τοῦ pro τὸ δὲ ex libro correxit Gerhardus. 7) Sic Rom. Cf. schol. Nem. IV, 155.

Digitized by Google

τόπον ἔχουσι τοιοῦτον, καθ' ὃν ἐπιλάμπει αὐτοῖς ὁ ἥλιος, ἀπονέστερον δὲ ἡμῶν διάγουσι τὸν χρόνον. [1]) Vet.

Ἄλιον] φῶς ἄδυτον. Gl. γ.

111. Ἀπονέστερον] ἄθλιβον καὶ ἄλυπον. Gl. γ.

113. Οὐ χθόνα ταράσσοντες] οὔτε γεωργοῦντες οὔτε πλέοντες, διὰ τὸ κενὰ αὐτοῖς εἶναι τὰ τῆς διαίτης. § οὐ χθόνα ταράσσοντες] τουτέστιν οὐκ ἐργαζόμενοι τὴν γῆν. χερὸς δὲ ἀκμῇ ἀντὶ τοῦ καρπῷ τῷ ἐπὶ τῆς χειρὸς νῦν, καθὸ καὶ Ἀρίσταρχος. ἔνιοι δὲ χερὸς ἀκμῇ ἀντὶ τοῦ τῇ ἀλκῇ, οἱ ἀλληγορικῶς ἀκούουσιν. οὐ χθόνα γάρ, οἷον οὐ πολεμοῦντες κατὰ τὴν γῆν· οὐδὲ πόντιον ὕδωρ, οἷον οὐδὲ στόλους κατ' ἀλλήλων ἐπάγοντες. κενεὰν δὲ παρὰ δίαιταν, παρὰ τὰ κενεὰ αὐτῶν κρίματα. ἄμεινον δὲ Ἀρίσταρχος παρὰ τὰ μὴ πλήρη τὰ τῆς διαγωγῆς ἐκεῖ, οἷον εἴ τις λέγει· μὴ ἐργαζόμενος οὔτε κατὰ γῆν οὔτε κατὰ θάλατταν δι' ἔνδειαν. [2]) Vet.

114. Ἐν χερὸς ἀκμᾷ] τῷ καρπῷ τῷ ἐπὶ τῆς χειρός. § ἢ οὕτως· οὐκ ἀροῦντες οὐδὲ σκάπτοντες τῇ ἀκμαζούσῃ χειρὶ τῶν νέων καὶ δυναμένων ἐργάζεσθαι. τινὲς δὲ ἀλληγορικῶς ἀκούουσιν· οὔτε πολεμοῦντες κατὰ γῆν οὔτε ἀλλήλοις στόλον ἐπάγοντες κατὰ θάλατταν, τουτέστι ναυμαχοῦσιν. § Ἄλλως· οὐ χθόνα ταράσσοντες, οὐ διὰ μόχθου καὶ καμάτου τὴν ἐπιθυμίαν καρπούμενοι· οὐδὲ γὰρ γεωργίᾳ προσέχουσιν ἀναταράσσοντες τὴν γῆν. τινὲς δὲ χερὸς ἀκμᾷ τὸ ἄροτρον ἢ τὸ δόρυ. οὐδὲ πόντιον ὕδωρ, ἀπὸ κοινοῦ τὸ ταράσσοντες, ἀντὶ τοῦ· οὐδὲ κατὰ θάλατταν κινδυνεύοντες ἔχουσι τὴν ζωήν. [3]) Vet.

116. Κεινὰν παρὰ δίαιταν] διὰ τὴν κενὴν καὶ ἄπορον δίαιταν· λέγει δὲ τὴν πενίαν· οὐδὲ γὰρ παρὰ τὴν αἰτίαν τὴν πενίαν. [4]) τιμίοις θεῶν, τῷ Πλούτωνι καὶ τῇ Περσεφόνῃ. οἵτινες οὖν, φησίν, ἔχαιρον τοῖς δικαίοις, ἀπόνως καὶ ἀβασανίστως καὶ ἀδακρυτὶ διάγουσι τὸν ὅλον αἰῶνα, πρὸς τῷ μήποτε ἀροτριᾶν μήτε ἐνθαλαττεύειν, ἀλλ' ἐν ταῖς μακάρων νήσοις διάγειν. παρὰ τούτοις γὰρ διατρίβουσι τοῖς τιμωρουμένοις ὑπὲρ θεῶν, οἵτινες δίκαιοι ἦσαν ζῶντες. [5]) Vet.

Κεινὰν παρὰ δίαιταν] δέον εἰπεῖν κενῶς καὶ ματαίως· ματαίως γὰρ οἱ ἄνθρωποι περὶ τὸ ζῆν σπεύδουσιν, ἐπεὶ καὶ τὸ ζῆν μάταιον· κεινὰν εἶπε πρὸς τὸ δίαιταν. Rec.

117. Τιμίοις] τοῖς τιμωμένοις θεοῖς. Vet. Vrat. A.

121. Τοῖς δ' ἀπροσόρατον] οἱ ἀσεβεῖς. ἀπροόρατον δὲ, ἤτοι ὃν οὐκ ἄν τις ὑπομείνειε, δεινόν· ἢ ἀνεπίδεικτον καὶ θεοῖς πόνον ἔχουσιν, οὐδὲ ὑπὸ θεῶν δυνάμενον προοραθῆναι. Vet. Vrat. A.

122. Οἱ δ' ὀκχέοντι πόνον] οἱ ἄδικοι ὑφίστανται καὶ βαστάζουσιν ἀπροόρατον καὶ ἀπροσδόκητον πόνον, ὃν οὐδὲ προϊδεῖν οἷόντε ἐστίν. § ἢ ὃν οὐδεὶς ἰδεῖν ἐθελήσει. § λέγει δὲ ὅτι οἱ δυσσεβεῖς ἀνεπίδεικτον καὶ θεοῖς πόνον ἔχουσιν, ὅ ἐστιν, οὐ-

[1]) Haec pro vulgatis dedi ex Vrat. A. nisi quod Gerhardi est ἡμῶν: cod. ἡμῖν. [2]) Haec edidi ex Vrat. A. Ex vulgatis tamen addidi verba τῷ ἐπὶ τῆς χειρός. Ceterum Wakefield. Silv. crit. V. II, p. 86. satis incaute corrigebat τῷ κόπῳ τῷ ἀπὸ τῆς χειρός. [3]) Haec ad vs. 114. notata partim in vulgatis erant, partim addita sunt ex Vrat. D. Gott. [4]) Sic Vrat. D. Gott. Vulgo περὶ τῆς αἰτίας τῆς πενίας. [5]) Haec inde a verbis τὸν ὅλον αἰῶνα Vrat. D. Gott. ex quibus et illa: τιμίοις θεῶν usque ad Περσ.

Digitized by Google

δὲ ὑπὸ θεῶν προοραθῆναι δυνάμενον. § Ἄλλως· τοὶ δ' ἀπροσόρατον, φοβερὸν, ὃ οὐ τολμᾷ τις προσβλέψαι. [1]) Vet.

† Ὀκχέοντι] ὄκχος γὰρ τὸ ὄχημα, ὡς ἐν ἄλλοις οὕτος· [2])

Ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄκχον. Rec.

Ὄκχος λέγεται τὸ μετέχον τοῦ ὀχήματος, ἤγουν βόες, ἵπποι, ἡμίονοι, οἵτινες ὑφίστανται τὸ ὄχημα, ὥσπερ ἄδικον ἡ ἀδικία λέγεται καὶ τὸ μετέχον τῆς ἀδικίας. Ms. β. γ. et Bodl. ms. [3])

123. Ὅσοι δ' ἐτόλμασαν ἐς τρίς] ὅσοι δὲ ἐκ τρίτου ὑπέμειναν ἐν ἑκατέρῳ τόπῳ μείναντες, ἔν τε τῷ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν, ἀπέχεσθαι τῶν ἀδίκων ἔργων καὶ δίκαια πράσσειν, ἐστάλησαν ἣν ὁδὸν ἔταξεν ὁ Ζεὺς, ἣν μακάρων νῆσον ὀνομάζουσιν· ἣν δὴ Κρόνου τύρσιν προσηγόρευσαν. § Ἄλλως. ὅσοι δὲ ἐκαρτέρησαν μέχρι τριῶν μετεμψυχώσεων εἰς ἑκάτερα τὰ μέρη, εἴς τε τὸν ἐν ᾅδου μετὰ θάνατον εἴς τε τὸν τῆς ζωῆς χρόνον δίκαιοι γενέσθαι, τὴν ψυχὴν δικαίως καὶ ὁσίως φυλάξαι, οὗτοι ἐστάλησαν εἰς ἣν ἔταξεν ὁ Ζεὺς, ὅ ἐστιν εἰς τὰς τῶν μακάρων νήσους, ἔνθα Κρόνος ἔχει τὴν ἐκεῖ κατοίκησιν· ἐν αἷς νήσοις πλησίον οὔσαις τοῦ Ὠκεανοῦ αἱ πλεῖσται καὶ ἡδεῖαι αὖραι τέρπουσαι πνέουσι, καὶ τὰ ἐν αὐταῖς ἄνθη ὡς χρυσὸς στίλβει, τὰ μὲν ὄντα ἐκ τῆς γῆς, τὰ δὲ ἐκ τῶν δένδρων τῶν ἐν τῇ χέρσῳ, [4]) τὰ δὲ ἐκ τῆς τῶν ὑδάτων ἀπορροίας τρεφόμενα, οἱονεὶ ῥόδα, ὑάκινθος, ἴα· ταῦτα γὰρ ὕδατι τρέφεται. ἐξ ὧν ἀνθέων οἱ δίκαιοι ταῖς ἑαυτῶν χερσὶν ὅρμους πλέκουσι καὶ στεφάνους. ἐνδείκνυται δὲ τὸ ὑπερβάλλον τῆς τέρψεως. τὴν δὲ τῆς μετεμψυχώσεως γνώμην Πυθαγόρας πρῶτος εἰσηγήσατο, ᾧ νῦν ὁ Πίνδαρος ἀκολουθεῖ. § τοῦτο Πυθαγόρου φήσαντος ἐπήνεσε Πλάτων τὸ ῥῆμα, ὅτι τρίτον ἡ ψυχὴ δικαζομένη ἐν ᾅδου τρίτον εἰς σῶμα μετεμψυχοῦται, καὶ τοὺς τοσαυτάκις δικαιοπραγήσαντας ἐν βίῳ ἄγειν τὸν Δία εἰς τὰς μακάρων νήσους καὶ παρὰ τὴν τύρσιν τοῦ Κρόνου, τουτέστι τὰ τείχη καὶ τὴν τοῦ Κρόνου βασιλείαν. λέγει δὲ τὰς μακάρων νήσους περιφραστικῶς. εἰς τρίς· ἤτοι ἀριθμοῦ, ἢ ἀντὶ τοῦ πολλάκις ὅσοι ἐδυνήθησαν ἐν γῇ καὶ ἐν ᾅδου, ὡς παρὰ Πλάτωνι ἡ ἐς τρὶς ἀδόλως φιλοσοφήσασα ψυχή. [5]) Vet.

† Ἐς τρίς] ἔνιοί φασι τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύειν· οὗτος γὰρ τὰς ψυχὰς εἰς ἕτερα σώματα εἰσδυούσας φησὶν ἀνανεοῦσθαι. § Ἄλλως. τῷ τῆς μετεμψυχώσεως δόγματι καὶ Πίνδαρος κέχρηται ἀρχὴν ἐξ Ὁμήρου ἔχων. λέγει γὰρ ἐκεῖνος· Μήτ' εἴης, βουγάϊε, μήτε γένοιο. [6]) ὃ Πυθαγόρας ἐκδεξάμενος πλατύτερον εἰς μέσον ἐξήνεγκεν. ὅτι δὲ καὶ Πλάτων τῶν τοῦτο πιστευόντων ἦν, μαρτυρεῖ Φαίδων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅσοι δὲ τῶν ἀνθρώπων ἐτόλμησαν καὶ ἠθέλησαν ἔχειν τὴν ψυχὴν

[1]) Haec omnia ad vs. 122. notata praebent Vrat. D. Gott. qui habent προσοραθῆναι. [2]) Olymp. VI, 23. [3]) Hic tamen nonnisi a voce ἄδικον. [4]) Hoc comma addidi ex Rom. Vrat. D. Gott. Praeterea ex Vrat. D. et Gott. minuta quaedam novavi, nisi quod de coniectura τὴν ψυχὴν posui ante δικαίως. Ὁσίως praestat uterque codex; vulgo δικαίως καὶ τὴν ψυχὴν ὁσίαν. [5]) Haec dedi ex Vrat. A. nisi quod addidi τὸν Δία ex schol. rec. et cetera leviter correxi, ut ᾅδου scripsi p. ᾅδῃ. Platonis loci sunt Phaedon. p. 70. C. Menon. p. 81. B. Phaedr. p. 248. E. sq. quem locum potissimum spectat scholiastes: item Rep. X, p. 617. E. sqq. Tim. p. 42. B. vel dempta illa ex Phaedro illata lacinia. [6]) Odyss. σ, 78.

Digitized by Google

ἄπο καὶ μακρὰν τῶν ἀδίκων πάμπαν καὶ παντελῶς, μείναντες ἐς τρὶς καὶ ἐκ τρίτου ἑκατέρωθι, ἤγουν ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, ἔτειλαν καὶ ἐπορεύθησαν Διὸς ὁδὸν, ἤγουν ἣν αὐτοῖς ὁ Ζεὺς ἔταξε, παρὰ τὴν τύρσιν καὶ τὴν πόλιν τοῦ Κρόνου, ἤγουν ἐν ταῖς τῶν μακάρων νήσοις. ἐγίνετο δὲ ἡ ἐκ τρίτου διαγωγὴ καὶ ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, εἰς δόκιμον ἀκριβές. αἱ δὲ τῶν μακάρων νῆσοι ἐν τῷ Ὠκεανῷ εἰσιν, ὡς φησιν Ὅμηρος· [1])

Ὠκεανὸς δ' ἀνίησι [παραψυχὴν] ἀναψύχειν ἀνθρώπους.

§ ὅσοι δὲ ἐτόλμησαν, τουτέστιν ὑπέμειναν μέχρι τρίτης μετεμψυχώσεως ἐν ἑκατέροις τοῖς μέρεσιν, ἤγουν ἐνταῦθα καὶ ἐν τῷ ᾅδῃ μείναντες ἀπέχειν τὴν ψυχὴν, τουτέστι κεχωρισμένην ἔχειν τῶν ἀδικιῶν, ἔτειλαν, ἀντὶ τοῦ ἐστείλαντο, ἤγουν ἐπορεύθησαν τὴν τοῦ Διὸς ὁδὸν, ἣν ὁ Ζεὺς δηλονότι αὐτοὺς πορεύει, λέγω παρὰ τὴν πόλιν τοῦ Κρόνου, τουτέστι παρὰ τὴν πόλιν ἔνθα ὁ Κρόνος ἔχει τὴν οἴκησιν, ἔνθα τὰς νήσους τῶν μακάρων αἱ τοῦ Ὠκεανοῦ αὖραι περιπνέουσιν, ἀντὶ τοῦ ἔνθα αἱ τῶν μακάρων εἰσὶ νῆσοι ὑπὸ τῶν αὐρῶν τοῦ Ὠκεανοῦ περιπνεόμεναι. Rec.

124. Μείναντες] βαστάσαντες. Gl. γ.

125. Ἀπὸ — ἔχειν] ἀποχωρίζειν. Gl. γ.

126. Ἔτειλαν] ἐτελείωσαν· παρὰ [2]) τὴν Κρόνου βασιλείαν ἐτελείωσαν, ἤνυσαν, ἐπορεύθησαν· Διὸς δὲ ὁδὸν, ἣν ἔταξε τοῖς δικαίοις, τὴν ὑπὸ Διὸς δεδειγμένην αὐτοῖς, ἢ τὴν ὑπὸ τοῦ Διὸς νομοθετηθεῖσαν. λέγει δὲ πρὸς τοῦ Διὸς κρίνεσθαι τοῦτον· τὸν γὰρ ἑκατέρωθεν μείναντα ἀναμάρτητον εἰς τὰς τῶν μακάρων νήσους πέμπεσθαι. Vet.

127. Τύρσιν] πόλιν, κυρίως δὲ τὸ τεῖχος. λέγονται γὰρ πρῶτοι Τυρσηνοὶ τὴν τῶν τειχῶν κατασκευὴν εὑρηκέναι. § ὅτι ἐν τῷ Ὠκεανῷ αἱ τῶν μακάρων νῆσοι λέγονται εἶναι καθ' Ὅμηρον. φησὶ γάρ·

Ὠκεανὸς ἀνίησιν ἀναψυχὴν ἀνθρώποις. [3]) Vet.

128. Μακάρων] ἁγίων. Gl. γ.

129. Νᾶσος] νᾶσος χρὴ γράφειν διὰ τὸ μέτρον. Mosc. B. τὸ Ἠλύσιον πεδίον. Gl. γ.

130. Αὖραι] αἱ πνοαί. Gl. α. β. γ. Παρὰ τὸ Ὁμηρικόν·

Ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντας ἀήτας. [4]) Vet.

131. Ἄνθεμα δὲ χρυσοῦ] λείπει τὸ ὡς· ἵν' ᾖ, ὡς χρυσοῦ φλέγει ἄνθη. § ἢ οὕτω· τὰ μὲν ἄνθη λάμπουσιν ὡς ἀπὸ χρυσοῦ. [5]) Vet.

Ἄνθεμα δὲ χρυσοῦ φλέγει] ἄνθη δὲ χρυσοῦ λαμπρότατα λάμπει, τὰ μὲν ἀπὸ τῆς γῆς ἀπ' ἀγλαῶν, ἀντὶ τοῦ εὐθαλῶν δένδρων· ἄλλα δὲ τρέφει τὸ ὕδωρ. ἀφ' ὧν ἀναπλέκουσι ταῖς χερσὶ τοὺς περιτραχηλίους κόσμους καὶ στεφάνους κατὰ τὰς κρίσεις τὰς δικαίας τοῦ Ῥαδαμάνθυος, ὃν ὁ πατὴρ πάντων ὁ Κρόνος ἔχει παρακαθήμενον ἑαυτῷ ἕτοιμον, τουτέστιν ἀχώριστον, ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης θρόνον ὑψηλότατον πάντων. Rec.

132. Τὰ μὲν χερσόθεν] διέστειλεν ἀπὸ τῶν δένδρων τὰ κατὰ τὴν γῆν βλαστήματα, τουτέστι τὰ χρείαν ἔχοντα ἀρδεύεσθαι ἄνθη ἀπὸ δένδρων, ἐλαίας, μυρσίνης, κισ-

1) Odyss. δ, 568. Vulgatae lectioni ἀναψύχειν est altera παραψυχὴν adscripta: quapropter uncinis inclusi. 2) Sic Vrat. D. Gott. Iidem ὑπὸ paullo post, ubi olim τοῦ. 3) Utrumque ex Vrat. D. Gott. 4) Odyss. δ, 567. Ex Vrat. A. 5) Vrat. D. Gott.

Digitized by Google

σοῦ. καὶ τάδε ἄνθη· ἴα, κρόκος. τὰ μὲν γὰρ ἀπὸ στελέχους καὶ χωρὶς ὕδατος ἀνθεῖ, τὰ δὲ χαμαίζηλα ἐπαρδευόμενα διατηρεῖται θάλλοντα καὶ ἀκμαῖα. [1]) Vet.

135. Ὄρμοισι τῶν χέρας] ὅρμους. ἀντὶ τῆς αἰτιατικῆς τῇ δοτικῇ ἐχρήσατο. ὅρμοις οὖν λέγει τοῖς ἑλίγμασιν, οἷς τὰς κεφαλὰς στεφανοῦνται καὶ τὰς χεῖρας. § Ἄλλως. ὅρμοισι, τοῖς ἐνέρμασιν, οἷς τὰς χεῖρας στεφανοῦνται καὶ τὰς κεφαλάς. κατ' ἐναλλαγὴν δὲ πτώσεως εἶπεν ἀντὶ τοῦ χερσὶν ἀναπλέκουσιν ὅρμους καὶ στεφάνους. [2]) Vet.

Ὄρμοισι τῶν] τοῦτο οὕτω λέγε· τῶν καὶ ἀφ' ὧν ἀναπλέκουσι τὰς χεῖρας ἐν ὅρμοις καὶ ἐν στεφάνοις, τὰς ἑαυτῶν κεφαλὰς δηλονότι. καὶ ἔστιν ὅμοιον τῷ παρ' Εὐριπίδῃ· [3])

Μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον
Μὴ λαμπρὸς αἰθήρ·

τὸ πνεῦμά μου δηλονότι. Rec.

137. Βουλαῖς ἐν ὀρθαῖς] κέκακται γὰρ οὗτος, ὡς καὶ Πλάτων λέγει, τοὺς δικαίους πέμπειν εἰς τὰς μακάρων νήσους. [4]) § Ἄλλως. ὡς τοῦ Ῥαδάμανθυος τοῦτο τοῖς δικαίοις παρεχομένου· ὑφίσταται γὰρ αὐτὸν τῶν μακάρων ἄρχοντα νήσων· ἢ ὡς τούτων μεταλαβόντων φύσεως δαιμονίας, οἵτινες ὀρθαὶ κατὰ βουλὴν καὶ δίκην τὸν τρόπον ἔχοντες, ὡς καὶ ὁ Ῥαδάμανθυς. § ἢ συγχωροῦντος τοῦ Ῥαδαμάνθυος· οὗτος γὰρ δικαιονομεῖ τοῖς ἐν ᾅδου. § ἢ οὕτω· βουλαῖς ἐν ὀρθαῖσι Ῥαδάμανθυος. ὁ γὰρ Ῥαδάμανθυς διακονεῖ τοῖς κάτω, ὑπηρετῶν τῷ Κρόνῳ. Vet.

138. Ὃν πατὴρ ἔχει Γῆς ἕτοιμον] τὸν δίκα τοῦ κληθῆναι ἐλθόντα. Vet.

Ὃν πατήρ] ὄντινα Ῥαδάμανθυν ἔχει πάρεδρον καὶ συγκάθεδρον ἕτοιμον καὶ πρόχειρον καὶ αὐτόκλητον ὁ πατὴρ πάντων Κρόνος, ὁ πόσις καὶ ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης θρόνον ὑπέρτατον καὶ ἔξοχον πάντων. Rec. Οἱ γράφοντες ὕπατον ἀγνοοῦσι τὰ μέτρα. Mosc. B.

139. Πάρεδρον] πλησίον αὐτοῦ καθήμενον. Gl. γ.

140. Πόσις] ὁ μὲν Ἀρίσταρχος πόσιος γράφει ὁ πάντων, καὶ τὸν Δία ἀκούει συμπότην εἶναι τοῦ Ῥαδαμάνθυος· ὁ δὲ Δίδυμος ἐπὶ τοῦ Κρόνου καθιστᾷ τὸν λόγον· ὄντινα Ῥαδάμανθυν ὁ πατὴρ πάντων ὁ Κρόνος, ὁ τῆς Γῆς παῖς, ὁ ἀνὴρ τῆς τὸν ὕπατον ἐχούσης θρόνον Ῥίας ἕτοιμον καὶ ἀχώριστον ἔχει πάρεδρον. [5]) § Πόσις ὢν Ῥέας] παῖς δὲ τῆς ὕπατον ἐχούσης θρόνον. τῆς Πίσης γὰρ τῶν Τιτάνων ὁ θρόνος, οἳ Γῆς εἰσιν υἱοί. θρόνον δὲ αὐτοῦ μέγιστον εἰληφέναι ὡς πάντα φέρουσαν καὶ τοῦ κό-

1) Haec Vrat. A. nisi quod ἴα scripsi p. ἴσων, et ex vulgatis, quae nonnisi partem huius scholii habent, addidi verba τουτέστι usque ad ἀρδεύεσθαι. 2) Sic Vrat. A. 3) Orest. 1086. 4) Haec Vrat. D. Gott. Significatur credo Platonis Gorgias p. 524. A. aut dialogus Axiochus p. 371. B. C. 5) Hoc scholium eximie constituit Gerhardus ex laciniis notae vulgatae ad vs. 138. quam ibi delevi, et ex Vrat. A. Pro verbis καθιστᾷ τὸν λόγον, ὄντινα Ῥαδάμανθυν ὁ in Vrat. A. est: καθ. τὸν Κρόνον ὀνομάσας. Lectio antiqua fuit Γῆς pro eo quod nunc est Κρόνος, ut dixi in notis criticis; illius vero expediendae causa Aristarchus videtur scripsisse: πόσις ὁ παῖς ὢν Ῥέας, Gerhardo iudice, ad eamque lectionem scholium sequens ex Vrat. A. ductum refertur. Aristarchus igitur ita intellexit: *quem Iupiter terrae pater sibi paratum assessorem habet, Iupiter compotor Rhadamanthi, Rheae filius.* Quo nihil sane inficetius inveniri potuit. Contra Didymus etiam absurdius verba ita construxit: ὃν πατὴρ (Κρόνος) πάντων, Γῆς (παῖς), πόσις ὁ Ῥίας etc.

Digitized by Google

σμου νομιζομένην εἶναι θεῶν τροφὸν, ὡς καὶ ὁ ποιητής· Ζείδωρον ἄρουραν. ἔνιοι πόσιν ἤκουσαν τὸν συμπότην. [1]) Vet.

142. Πηλεύς τε καὶ Κάδμος] συγκαταλέγονται δὲ ἐν τούτοις τοῖς δικαίοις ὅ τε Κάδμος καὶ ὁ Πηλεύς. Vet.

Σύνταξις. ὁ Πηλεύς τε καὶ ὁ Κάδμος ἐν τούτοις τοῖς τῶν μακάρων νήσους λαχοῦσιν, οἰκεῖν δηλονότι, συγκαταλέγονται. καὶ τὸν Ἀχιλλέα ἤνεγκεν, ἀντὶ τοῦ πεμφθῆναι ἐποίησεν, ἡ μήτηρ αὐτοῦ ἡ Θέτις, ἐπεὶ διὰ δεήσεων ἔπεισε τὴν ψυχὴν τοῦ Διός· ὃς, ἤγουν ὁ Ἀχιλλεὺς, ἔσφηλεν, ἀντὶ τοῦ κατέστρεψε, τὸν Ἕκτορα, τὸν ἀκλινῆ κίονα τῆς Τροίας, τὸν ἄμαχον, τουτέστι τὸν ἀνυπόστατον ἐν ταῖς μάχαις· καὶ τὸν Κύκνον, τὸν τοῦ Ποσειδῶνος δηλονότι, τῷ θανάτῳ παρέσχεν, ἤγουν ἐθανάτωσε· καὶ τὸν παῖδα τῆς Ἡμέρας τὸν Μέμνονα, τὸν ἀπὸ Αἰθιοπίας. § εἰκότως εἶπε τὸν Ἕκτορα κίονα· ἐκεῖνος γὰρ ἦν ἔρεισμα τῆς Τροίας, οὗ πεσόντος ἐπὶ σαθροῦ τὸ Ἴλιον εἱστήκει. Rec.

Ἐν τοῖσιν ἀλέγονται] ἀριθμοῦνται, συγκαταλέγονται ἐν τοῖς εὐσεβέσι τοῖς κατοικοῦσι τὰς τῶν μακάρων νήσους. καὶ τὸν Ἀχιλλέα δὲ ἡ μήτηρ τεθνηκότα αὐτόθι ἤγαγεν, ἐπειδὴ τοῦ Διὸς τὴν ψυχὴν ἔπεισεν ἱκεσίαις. Vet.

144. Λιταῖς] παρακλήσεσιν. Gl. γ.

146. Ἄμαχον] δύσμαχον, ἀκαταγώνιστον. Gl. α. ἀκαταπόνητον. Gl. γ.

Ἄμαχον, ἀστραβῆ κίονα] μεταφορικῶς εἶπεν· ἀστραβὴς δὲ λέγεται ὁ ἰσχυρὸς καὶ μὴ ῥᾳδίως συστρεφόμενος. § ἄστρεπτον καὶ ἀμετακίνητον. καὶ ἔστι κατὰ μετάθεσιν τοῦ ε̄ εἰς τὸ ᾱ καὶ ἀποβολὴν τοῦ λ̄. ἔστι γὰρ ἀστρεβλῆ, οἷον ἄστρεπτον, ἀστραβῆ. § ἀκαταμάχητον, ἀκατάστρεπτον, οὐκ εἰςδιδόντα εἰς φυγὴν τὰ τῶτα, ἀκίνητον, ἀσάλευτον. κίονα δὲ οὐ στῦλον λέγει, ἀλλ' ἔστι παντὶ οἴκῳ τόπος στῦλος λεγόμενος, ἐφ' οὗ κεῖνται οἱ πινσοὶ, καὶ λέγεται ὅλην ἔχειν τὴν οἰκίαν. [2]) Vet.

147. Κύκνον τε θανάτῳ πόρε] παρέδωκε, τὸν Ποσειδῶνος καὶ Σκαμανδροδίκης, οἱ δὲ Ἁρπάλης. ἄλλοι δὲ Καλυκίαν φασί. [3]) Κύκνοι δὲ δύο, ὁ μὲν Ἄρεος, ὁ δὲ Ποσειδῶνος· καὶ τὸν μὲν Ἄρεος κακῶς τὰ περὶ Θεσσαλίαν διαθέντα Ἡρακλῆς ἀπέκτεινε, τὸν δὲ Ποσειδῶνος Ἀχιλλεὺς στρατευσάμενον καὶ συμμαχοῦντα τοῖς Τρωσίν. Vet.

Ἱστορία περὶ τοῦ Κύκνου. δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Ἄρεος υἱὸς ὁ ἐν Θετταλίᾳ τοὺς παριόντας λοχῶν καὶ ἀποκτείνων, καὶ βουλόμενος ταῖς κεφαλαῖς ναὸν ἀνεγεῖραι τῷ πατρὶ, ὃν Ἡρακλῆς ἀπέκτεινεν· ὁ δὲ Ποσειδῶνος, ναῦς ἔχων καὶ συμμαχῶν τοῖς Τρωσὶν, ἱστάμενος ἐν στενῷ τῆς ἐκεῖ θαλάσσης καὶ οὐκ ἐῶν τοὺς Ἕλληνας ἀποβῆναι, ὃν Ἀχιλλεὺς ἀπέκτεινεν. Rec.

148. Ἀοῦς τε παῖδ' Αἰθίοπα] τὸν Μέμνονα τὸν Τιθωνοῦ τοῦ Λαομέδοντος καὶ Ἡμέρας. ταῦτα δὲ λέγουσιν οἱ τὰ μεθ' Ὅμηρον γράψαντες οὕτω· Τιθωνῷ γίνονται

[1]) In lemmate huius scholii vox πόσις rubro appicta est, non ex scholiorum eo codice, quem librarius tractabat, sed aliunde, ut putat Gerhardus. Ceterum tota haec nota tam corrupta est, nihil ut inde exsculpere potuerim. Quid enim sibi vult τῆς Πίσης, quid Titanes Terrae filii, quum de solio Rheae sermo sit? Istud autem θεῶν haud dubie delendum est, et αὐτοῦ in αὐτὴν mutandum. Sed in his quisquiliis ingenium exerceant, quibus plus quam mihi otii sit. [2]) Haec addidi ex Vrat. A. sed οὐκ ante εἰςδιδ. inseruit Gerhardus. [3]) Hoc comma praebet Vrat. A. · *Calycen* dicit Hyginus Fab. 157.

Digitized by Google

ἐξ Ἡμέρας παῖδες δύο, Μέμνων καὶ Ἡμαθίων· καὶ Μέμνων μὲν ἀνηρέθη ὑπ' Ἀχιλλέως, Ἡμαθίων δὲ ὑπὸ Ἡρακλέους κατὰ τὴν ἀπέλασιν τῶν Γηρυόνου βοῶν. Vet.

Ἱστορία περὶ τοῦ Μέμνονος. Τιθωνοῦ καὶ Ἡμέρας δύο παῖδες γίνονται, Μέμνων καὶ Ἡμαθίων, ὧν ὁ μὲν ἀνηρέθη ὑπ' Ἀχιλλέως, Ἡμαθίων δὲ ὑφ' Ἡρακλέους κατὰ τὴν ἀπελασίαν τῶν Γηρυόνου βοῶν. ἐμυθεύσαντο δὲ αὐτοὺς Ἡμέρας εἶναι παῖδας διὰ τὸ Αἰθίοπας ὄντας λευκοὺς καὶ ὡραίους εἶναι. Rec.

149. † Πολλά μοι ὑπ' ἀγκῶνος] πολλὰ βέλη ταχέα ὑποκάτω τοῦ ἀγκῶνός μού εἰσιν, ἔνδον τῆς βελοθήκης, φωνᾶντα, ἤγουν φωνὴν ἀφιέναι δυνάμενα συνετοῖσιν, παρὰ τοῖς φρονίμοις, ἀντὶ τοῦ· πολλὰ νοήματα ὀξέα ἐν τῇ ψυχῇ μού εἰσι ζῶντα παρὰ τοῖς φρονίμοις, ὡς ἐπίπαν δὲ ἑρμηνέων ἔχει χρείαν. φωνήεντα, τὰ φωνὴν ἀφιέναι δυνάμενα. φωνήεντα δὲ γράμματα τὰ φωνεῖσθαι μόνον δυνάμενα, κατ' ἐναντιότητα τῶν συμφώνων, ἃ σὺν τοῖς φωνήεσιν ἀεὶ ἐκφωνεῖται καὶ οὐδέποτε μόνα. Rec.

150. Ὠκέα βέλη] τροπικὸς ὁ λόγος· βέλη δὲ τοὺς λόγους εἴρηκε διὰ τὸ ὀξὺ καὶ καίριον τῶν ἐγκωμίων· φαρέτρης δὲ, τῆς διανοίας. τὸ δὲ ὑπ' ἀγκῶνος, ὡς πρὸς τὸ φαρέτρας ἀκουστέον. οὕτω καὶ ὁ Βουκόλος [1]) Ὑπωλένιόν τε φαρέτραν λέγει. § Ἄλλως. πολλά μοι ὑπ' ἀγκῶνος] ἀντὶ τοῦ πολλὰ λέγειν ἔχω. βέλη δὲ εἴρηκε τὰ ποιήματα. [2]) § Σκυθικὰ δὲ βέλη τὰ ποιήματα λέγει. εἰώθασι γὰρ οἱ Σκύθαι ὑπὸ τὸν ἀγκῶνα βέλη βαστάζειν· οἱ δὲ Κρῆτες κατὰ τῶν ὤμων. [3]) Vet.

152. Φωνᾶντα] συμφωνοῦντα. Gl. γ.

Φωνᾶντα συνετοῖσιν] ἀκουστὰ τοῖς συνετοῖς τῶν ἀνθρώπων εἶναι, εἰς δὲ τὸ κοινὸν ἀγόμενα ἑρμηνέως χρήζειν τοῦ σαφηνίζοντος αὐτὰ, ὡς οὐ πᾶσι καταδήλως φράζων· ὥστε τοῖς μὲν σοφοῖς σοφὰ διαλέγεσθαι καὶ μὴ ἔκθεσμα, τοῖς δὲ ἰδιώταις μὴ κατάδηλα γενέσθαι. [4]) § φωνὴν ἀφιέντα καὶ σαφῆ παρὰ σοφοῖς. [5]) Vet.

153. Ἑρμηνέων χατίζει] εἰς δὲ τὸ κοινὸν καὶ εἰς τοὺς πολλοὺς καὶ χυδαιοτέρους ἐρχόμενοι ἑρμηνείας χρήζουσιν. § τινὲς δὲ, ὅτι πολλὰ ἔχων λέγειν εἰς τὸ πάντα εἰπεῖν καὶ διατίθεσθαι, προσδεῖσθαι ἑρμηνέων. ὡς Ὅμηρος·

Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι. [6])

§ ἤτοι περὶ τῶν ποιημάτων ἑαυτοῦ διαλέγεται. οἶδε γὰρ, ὅτι πολλῇ ἱστορίᾳ κέχρηται καὶ σχήμασιν ἐξηλλαγμένοις καὶ φράσει ποικίλῃ· ἔχει γὰρ ὑπερβατὰ πολλά. § τὰ ποιήματα οὖν, φησὶ, τὰ ἐμὰ ἑρμηνέων χρήζει, οἷον, οὐδὲν ἔστιν ὃ μὴ χρήζει ἑρμηνέων. αὐτὸς γὰρ οὐ δύναται διὰ τὸ πλῆθος ἐξειπεῖν πάντα. ὅμοιον δέ ἐστι τῷ·

Πληθὺν δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω. Vet.

154. Σοφὸς ὁ πολλὰ εἰδώς] ὁ λόγος γνωμικός· καί φησι, σοφός ἐστιν ὁ πλεῖστα ἐπιστάμενος ἐκ φύσεως, ὁ φύσει πρός τι ἔχων, τῶν γὰρ μανθανόντων οἱ ἐκ φύσεως ἔμπειροι βελτίους· ἐπειδὴ καὶ πρεσβυτέρα τῶν μαθημάτων ἡ φύσις· οἱ δὲ ἀπὸ μαθήσεως βουλόμενοι ἠχεῖν καὶ ἐκ πολλῶν συνείροντες, ὃν τρόπον καὶ οἱ κεκράκται κόρακες καὶ μάτην φλυαροῦντες, ἀτελῆ καὶ περιττὰ καὶ ἀσύνετα φθέγγονται πρὸς τὸν συνετὸν καὶ θεῖον ὄρνιν τοῦ Διὸς τὸν ἀετὸν ἀντιβοῶντες. ἀποτείνεται δὲ πρὸς τὸν Βακχυλίδην·

1) Theocritus XVII, 30. 2) Ex Vrat. D. Gott. 3) Ex Vrat. A. 4) Ex Vrat. A. 5) Ex Vrat. D. Gott. 6) Iliad. β, 488. Comma hoc praestat Vrat. A.

Digitized by Google

γέγονε γὰρ αὐτῷ ἀνταγωνιστὴς τρόπον τινὰ καὶ εἰς τὰ αὐτὰ καθῆκεν αὐτόν. § ὁ πολλὰ εἰδώς] ὁ τῇ φύσει πολύπειρος καὶ εὑρετικός. οὗτός ἐστιν ὁ τῷ ὄντι σοφὸς καὶ μὴ πάντα διδακτὰ ἔχων. § κόρακες] οἷον· ὡς κόρακες πρὸς ἀετὸν ἀντιβοῶντες, οὕτως οἱ μαθόντες πρὸς τὸν φύσει σοφόν. αἰνίττεται Βακχυλίδην καὶ Σιμωνίδην, ἑαυτὸν λέγων ἀετὸν, κόρακας δὲ τοὺς ἀντιτέχνους, τοὺς εὐφυεῖς ἀετοῖς παραβάλλων, τοὺς ἀφυεῖς κόραξιν. τὸ γαρύετον δυϊκὸν οὐκ ὀρθῶς κεῖται, οὐδὲ τηροῦσι πάνυ τὸ τοιοῦτον οἱ ποιηταὶ οὗτοι. [1]) Vet.

Σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ] ἀντὶ τοῦ φύσει, τουτέστιν ἀπὸ φύσεως. φυὴ ἡ ἀναδρομὴ τοῦ σώματος, ἐνταῦθα δὲ φυᾷ ἀντὶ τοῦ φύσει. οἱ μαθόντες δὲ, ἀντὶ τοῦ οἱ ἀπὸ μαθήσεως δὲ εἰδότες καὶ οὐκ ἀπὸ φύσεως, πρὸς τὸν ἔχοντα δηλονότι τὴν ἰσχὺν ἀπὸ φύσεως ὥσπερ κόρακες λάβρως γαρύουσιν, ἀντὶ τοῦ κράζουσιν ἀπέραντα, παγγλωσσίᾳ, τουτέστι συγκεχυμέναις φωναῖς, πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διὸς, ἤγουν τὸν ἀετόν. § Σύνταξις. φυᾷ, ἤγουν ἐκ φύσεως καὶ οὐκ ἀπὸ μαθήσεως ὄντα. τοιοῦτος δὲ ἐγὼ πάντα σχήμασι καταποικίλλων τὰ ποιήματα καὶ φράσει ποικίλῃ καὶ πολλοῖς ἄλλοις, ἃ οἴκοθεν καὶ οὐκ ἀπὸ μαθήσεως ἐξεῦρον καὶ ἐμηχανησάμην. οἱ δὲ μαθόντες γαρύετον καὶ βοῶσιν ἄκραντα καὶ ἀτελείωτα, λάβροι καὶ σφοδροὶ ἐν παγγλωσσίᾳ καὶ πολυλογίᾳ, ὥσπερ κόρακες πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διὸς, ἤγουν ἐμέ. τουτέστιν οἱ μὲν ἄλλοι ποιηταί· λέγει δὲ διὰ τὸν Βακχυλίδην, οὗτος γὰρ ἀντήριζεν αὐτῷ· περιττολόγοι εἰσὶν ἐν τοῖς αὐτῶν ποιήμασι καὶ ἄκραντα λέγουσιν· ἐγὼ δὲ τὸ προσῆκον πανταχοῦ τηρῶ καὶ οὐκ ἐκφέρομαι τοῦ εἰκότος, ὥστε ἐκεῖνοι μὲν τοιοῦτοι ὄντες κόρακές εἰσιν ὡς πρὸς ἐμὲ, ἐγὼ δὲ ἀετός· ὅσῳ γὰρ ἀετὸς κόρακος κρείττων, τοσοῦτον ἐγὼ τούτων βελτίων. Rec.

156. Λάβροι] στόματι ἀνεῳγμένῳ βοῶσιν ἀτελείωτα. Gl. γ.

158. Ἄκραντα γαρύετον] οἱ φύσει χρώμενοι λαμπροὶ, οἱ δὲ μαθόντες ἄκραντα γαρύειν ἥσσονές εἰσι τῶν καθ' αὑτοὺς ὅ, τι δήποτε μαθόντων ἢ ἐπισταμένων. τὸ δὲ γαρύετον κακῶς τινες λέγουσιν εἰρῆσθαι. οὐ γὰρ ἐπὶ δυϊκοῦ βούλεται ἡ λέξις, οὐδὲ ὑπὲρ δύο κοράκων, ἀλλ' ὑπὲρ πολλῶν· ὥσπερ κόρακες φιλονεικοῦσι πρὸς ἀετὸν, οἱ διδακτοὶ πρὸς τοὺς φύσει αὐτοδιδάκτους. § εἰ δέ πως πρὸς Βακχυλίδην καὶ Σιμωνίδην αἰνίττεται, καλῶς ἄρα ἐξείληπται τὸ γαρύετον δυϊκῶς. καὶ οὕτως ὄντως ἔχει ὁ λόγος. [2]) Vet.

160. Ἔπεχε] ἔντεινε. Gl. β. γ.

Ἔπεχε νῦν σκοπῷ] μεθέλκων ἑαυτὸν φησίν· ἐπὶ τὸν σκοπὸν ἐπίτεινον [3]) τὸ τόξον. § Ἄλλως. ἀπέστρεψε τὸν λόγον πρὸς ἑαυτὸν καί φησιν ὅτι, ἐπάνελθε εἰς τὸν ἐξ ἀρχῆς σου σκοπὸν καὶ τὴν σπουδὴν τὴν περὶ τοὺς Θήρωνος ἐπαίνους. δι' ὅλου δὲ τὴν τοῦ τόξου ἐφύλαξε τροπήν. τὸ δὲ τίνα βάλλομεν, τίνα ἔχομεν θαυμάσαι ἐκ τῆς ἰδίας διανοίας. τίνα βάλλομεν, δηλονότι σκοπὸν, τὸν νικηφόρον. § μή ποτε δὲ βέλτιον ἀκούειν σκοπὸν τὴν Ἀκράγαντα· καὶ γὰρ ἐπιφέρει· Ἐπί τοι Ἀκράγαντι τανύσαις· ἐκ δὲ τούτου σημείωσαι τὸν εὔκαιρον καὶ εὔστοχον λόγον. Vet.

Ἔπεχε νῦν] ἀντὶ τοῦ ἐπίχων ἤδη ἔντυνε, ὦ θυμὲ, κατὰ τοῦ σκοποῦ τὸ τόξον· ἀντὶ

[1]) Duo postrema scholia dedi ex Vrat. A. qui ἀετοὺς περιβάλλων, correctum a Gerhardo, deinde γὰρ γαρύετον. [2]) Hoc dedi ex Vrat. D. Gott. ex quibus etiam priora correxi, ut tot alia. [3]) Sic Vrat. A.

Digitized by Google

τοῦ χαλιναγωγῶν τὸν λόγον ἀπὸ τῶν ἔξω τοῦ καιροῦ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἀπότεινε. † Σύνταξις. ἄγε, εἰπὲ, ὦ θυμὲ, ἤγουν ὦ ψυχὴ, τίνα βάλλομεν, ἤγουν τοξεύομεν, οἵστοὺς πέμποντες ἐνδόξους ἀπὸ ἡμέρου καὶ φιλικῆς φρενός; τουτέστι τίνα ἐγκωμιάζομεν; ἐπὶ τὴν Ἀκράγαντα τάνυσον, ἤγουν ἕλκυσον, τὸ τόξον δηλονότι, ἀντὶ τοῦ ἐπὶ τὴν Ἀκράγαντα ἀπότεινε τὸν λόγον. Rec.

162. Ἐκ μαλθακᾶς αὔτε φρενός] τοῦτο εἶπε θεραπεύων τὸ σκληρὸν τοῦ λόγου. τὸ γὰρ ἀπὸ τόξου βάλλειν, ὡς φησι, δύσφρονός ἐστι κατὰ τοῦ βαλλομένου· τῆς οὖν προσηνοῦς καὶ οὐ πολεμικῆς διανοίας. § ἐπεὶ παρέβαλε τῷ τόξῳ καὶ τοῖς βέλεσι τὰ ποιήματα κατὰ μέρος, ἵνα μὴ ἢ ἐκ τραχυτῆτος, ἐκ προσηνοῦς φησι φρενὸς τὸν ὕμνον ἀφεθήνεσθαι. [1]) Vet.

Εἰκότως εἶπε τὸ μαλθακᾶς πρὸς ἀντιδιαστολὴν τοῦ τόξου. τὸ μὲν γὰρ σκληρόν ἐστι καὶ πικρίαν ἐμποιοῦν, πρὸς οὓς πέμπει τὰ βέλη· αὕτη δὲ εὐφροσύνης αἰτία τοῖς ἐγκωμιαζομένοις καθίσταται. Rec.

164. Ἐπί τοι Ἀκράγαντι τανύσαις] ἐπὶ σκοπὸν τὴν Ἀκράγαντα τείνας τὸ τόξον μεθ' ὅρκου λέγω τὸ ἀληθὲς καὶ ἀποφανοῦμαι. [2]) τοῦτο ὡς ἐν συνοίᾳ γενόμενος καὶ μαθὼν τίνα ὀφείλει ἐγκωμιάσαι, φησὶν, ὅτι ἐπὶ τῇ Ἀκράγαντι τῇ πόλει τοῦ Θήρωνος λέγει τὸ τόξον, ὅ ἐστι τὸν λόγον, τείνειν. Vet.

166. Αὐδάσομαι ἐνόρκιον] λόγον ὄμνυμι ἐνόρκιον καὶ ἀληθέστατον· ἵνα δείξῃ τὸ πιστὸν ὧν λέγει· περὶ γὰρ ὧν τις πέποιθεν, ὅρκοις διϊσχυρίζεται. τί δέ φησιν; ὄμνυμι μή τινα πόλιν ἄλλην πρὸ ὅλων ἑκατὸν ἐτῶν τεκεῖν τοιοῦτον ἄνδρα μηδὲ ἄλλον εἰς εὐεργεσίαν τῶν φίλων πρόχειρον ἢ πρὸς ἐπίδοσιν χρημάτων ἀφθονέστερον τοῦ Θήρωνος. § τοῦτο αὐτὸ τὸ τῆς εὐδοξίας ἀγαθόν. § Ἄλλως. αὐδάσομεν ἐνόρκιον] Ἀκράγας πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθη, ὁ δὲ Θήρων ος' ἢ οζ' ἐνίκησε. γίνεται οὖν τὰ μεταξὺ ἀπὸ τῆς κτίσεως ἕως τοῦ Θήρωνος νίκης ρδ' ἔτη. ὁ δὲ Πίνδαρος τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο. Ἕλληνες δὲ κτίζουσιν Ἀκράγαντα. ἐξ οὗ, φησὶν, ἐκτίσθη ἡ πόλις τῶν Ἀκραγαντίνων, οὐκ ἄλλος ἐγένετο ὅμοιος Θήρωνι εὐεργετικὸς καὶ συνετὸς καὶ μεγαλόφρων οὕτως. [3]) § Αὐδάσομαι μεθ' ὅρκιον] ἀποφανοῦμαι μεθ' ὅρκου τὴν ἀλήθειαν, ὡς μήτε μεγαλοφρονέστερον μήτε εὐρετικώτερον μήτε συνετώτερον ἀπὸ ἑκατὸν ἐτῶν ἐνηνοχέναι μᾶλλον Θήρωνος ἄλλον τινά. § Ἄλλως. ὄμνυμι ὅρκον ἀληθέστατον μήτε εὐεργέτην ἀπὸ ἑκατὸν ἐτῶν γενέσθαι μήτε μεγαλόψυχον· ἀλλὰ φθόνος τις ταράξαι βουλόμενος ὕβριν ἐπήνεγκεν οὐ δικαίως αὐτῷ. λέγει δὲ τὴν ἔριν τὴν πρὸς τὸν ἀδελφὸν γενομένην, καὶ φιλικὸν ἄνδρα καὶ μεταδόσει χρημάτων εὐεργετικώτατον λέγει τὸν Θήρωνα. [4]) Vet.

† Αὐδάσομαι, ἀντὶ τοῦ λέγω, διαβεβαιοῦμαι λόγον σὺν ὅρκῳ κατὰ ἀληθῆ διάνοιαν, μηδένα ἄλλον ἄνδρα ἐφ' ἑκατὸν ἐτῶν, ἤγουν ἐντὸς ἑκατὸν ἐνιαυτῶν, τεκεῖν τὴν πόλιν εὐεργέτην πρὸς τοὺς φίλους, φρονήσεσι, τουτέστι διὰ τῆς ἑαυτοῦ φρονήσεως μᾶλλον, ἀφθονέστερόν τε κατὰ τὴν χεῖρα, ἀντὶ τοῦ κατὰ τὴν δωρεὰν, τουτέστι μεγαλοδωρότερον, τοῦ Θήρωνος. § Σύνταξις. αὐδάσομαι, ἤγουν λέξω ἐν ἀληθεῖ νόῳ, λόγον ἐνόρ-

1) Ex Vrat. A. 2) Indidem. 3) Haec duo scholia dedi ex Vrat. D. Gott. Et nota lectionem αὐδάσομεν in lemmate positam. 4) Haec Vrat. A.

Digitized by Google

κιον καὶ μετὰ ὅρκου, μὴ τεκεῖν καὶ γεννῆσαι πόλιν ἑκατὸν ἐτῶν καὶ χρόνων τινὰ ἄνδρα ἐν ταῖς πραπίσι καὶ φρονήσεσιν εὐεργέτην τοῖς φίλοις μᾶλλον καὶ περισσότερον τοῦ Θήρωνος, καὶ ἀφθονίστερον καὶ δαψιλέστερον κατὰ τὴν χεῖρα, ἤτοι τὸ διδόναι. εἰ μὲν τὸ τινὰ πρὸς τὸ ἄνδρα συνάψεις, πόλιν ἑκατὸν ἐτῶν νοήσεις τὴν Ἀκράγαντα· ἐν γὰρ τῇ πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθη· Θήρων δὲ ἐν τῇ ἑβδομηκοστῇ ἐνίκησεν· ἐπειδὴ οὖν εἴκοσιν Ὀλυμπιάδες διὰ μέσου εἰσὶν, ἡ δὲ Ὀλυμπιὰς διὰ πέντε χρόνων ἐγίγνετο, ἑκατὸν χρόνων ἀριθμὸς γίνεται· πεντάκις γὰρ εἴκοσιν ἑκατόν. εἰ δὲ πρὸς τὸ πόλιν τὸ τινὰ συνάψεις, ἀορίστως εἴποις τὸ πόλιν, τοῦτο δὲ ποιῶν μὴ λάβῃς πρὸ ἢ ἕως εἰς τὸ ἑκατὸν ἐτῶν, ἀλλὰ χωρὶς τούτων λέγε· τινὰ πόλιν ἑκατὸν ἐτῶν. εἰ γὰρ περὶ τὸν κόσμον οἱ χρόνοι, ἐν δὲ τῷ κόσμῳ αἱ πόλεις, καλῶς ἂν ἔχοι λέγειν καὶ τὰς πόλεις τῶν χρόνων. νόει δὲ τὸν λόγον καὶ ἐπὶ μέλλοντος καὶ παρῳχημένου. τὸ γὰρ τεκεῖν οὐ μόνον μέλλοντα χρόνον δηλοῖ· μέλλων γὰρ δεύτερος τὸ τεκεῖν· ἀλλὰ καὶ παρῳχημένον. τεκεῖν γὰρ καὶ ἀντὶ τοῦ τέξαι καὶ ἀντὶ τοῦ τέξειν φαμέν. Rec.

167. Ἀλαθεῖ τόῳ] ὅτι ὑπολαμβάνω. Gl. γ.

168. Τεκεῖν] γεννῆσαι. Gl. α.

Ἑκατὸν ἐτέων] λέγεται τὴν Ἀκράγαντα πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθαι· ἐκεῖθεν δὲ ἄχρι τῆς Θήρωνος νίκης ἔτη εἶναι ἑκατὸν ἐν Ὀλυμπιάδι κε'. γίνονται δὲ πρὸς ταῖς ν' Ὀλυμπιάσι οε'. ἐνίκα οὖν ος', κέχρηται δὲ τῷ ἀπηρτισμένῳ ἀριθμῷ εἰπὼν ρ'. [1]) Vet.

172. Ἀφθονέστερον] τὸ ᾱ ἐστὶν ἐπιτατικὸν καὶ οὐκ ἀρνητικόν. Gl. γ.

173. Ἀλλ' αἶνον ἐπέβα κόρος] τὴν ᾠδὴν ταύτην ἔγραψεν ὁ Πίνδαρος τοῦ Θήρωνος πολεμοῦντος διὰ τὴν πρὸς Ἱέρωνα κηδείαν. κόρος δὲ ἡ ὕβρις μετὰ ἀδικίας. τὸ δὲ χαριστικὸν, φησὶ, τοῦ Θήρωνος ἐπέβησε πολλοὺς εἰς ὕβριν, δηλονότι αὐτοὺς προηγάγετο, ἐπεὶ οἱ προδιδόντες αὐτὸν Ἱέρωνι φίλοι ἦσαν. δύναται δὲ τοῦτο καὶ εἰς τοὺς περὶ Κάπυν τείνειν, οἳ ἐπεστράτευσαν αὐτῷ μὴ ὑπομένοντες αὐτὸν ὁρᾶν οὕτω λαμπρὸν ὄντα. ἐπέβη οὖν τῷ Θήρωνος ἐπαίνῳ ὁ φθόνος ὑπαντήσας οὐ κατὰ δίκην, οὐδὲ ὃν δεῖ τρόπον. § Ἄλλως. Κάπυς καὶ Ἱπποκράτης Θήρωνος ἦσαν ἀνεψιοί. οὗτοι πολλὰ ὑπ' αὐτοῦ εὐεργετηθέντες, ὡς ἑώρων ηὐξημένην αὐτοῦ τὴν τυραννίδα, φθονοῦντες πόλεμον ἤρατο πρὸς αὐτόν. ὁ δὲ συμβαλὼν αὐτοῖς παρὰ Ἱμέραν ἐνίκησεν. § Ἄλλως. ἔβα κόρος τὸν ἔπαινον, τὴν δόξαν τοῦ Θήρωνος. κόρος δὲ ὕβρις. § Ἄλλως. τοῦτο ὥςπερ ἀγανακτῶν, ἐφ' οἷς ἀδίκως λελύπηται, φησὶν ὁ Πίνδαρος. καί φησιν ὅτι, ἀλλὰ τὸν ἔπαινον τοῦ Θήρωνος ἐπέβη ἤδη κόρος, ἀντὶ τοῦ ἱκανῶς ἤδη φθονηθεὶς ἐπὶ τοῖς θαύματος ἀξίοις. αἰνίττεται δὲ τὴν γενομένην αὐτῷ πρὸς Ἱέρωνα ἔχθραν. § Ἀλλ' αἶνον ἐπέβαλε κόρος] ἀλλὰ τὸν ἔπαινον κόρος ἐπέβη καὶ ὕβρις ἄδικος· κορεσθέντες γάρ τινες τῶν ἀγαθῶν αὐτοῦ αὐτοὶ κατ' αὐτοῦ ἐγένοντο. προςαγανακτῶν [2]) δὲ ταῦτά φησι διὰ

[1]) Ex Vrat. A. in quo ἐκτίθεσθαι, correctum a Gerhardo, item ις' pro ος' ab eodem reposito. Scholiastes hoc vult: Olymp. 50. condito Agrigento inde usque ad Theronis victoriam computatis annis Olympiade post quinquagesimam vigesima quinta esse centum annos: igitur viginti quinque Olympiadibus ad quinquaginta illas additis esse iam septuaginta quinque. Sed Olymp. 76. vicisse Theronem, Pindarum vero numero rotundo usum esse, dempta una Olympiade. Cf. Schol. vs. 166. Recentior scholiastes plane nugatur; noster paullo melius, neque tamen satis accurate, nisi peius etiam corruptus est. [2]) Recte Gerhardus coniicit ὥςπερ ἀγανακτῶν.

Digitized by Google

τὸ εἰς ἔνια τὸν Θήρωνα ἐλαττωθῆναι τύχαις χρησάμενον οὐκ ἐπιτηδείαις. § Ἄλλως. ὅτι κατακορεῖς γίνονται οἱ ἄνθρωποι τοῖς πολλοῖς ἀνθρώποις τῷ φθόνῳ· ἔστι δὲ καὶ παροίμιον· Κόρος ὕβριν τίκτει. ὁ γὰρ κόρος [1]) τῶν ἀνθρώπων τῶν ἀργῶν τῶν θορυβῆσαι θελόντων ἐπέβη τῷ τοῦ Θήρωνος ἐπαίνῳ, κρύψιν θέλων θεῖναι τοῖς τῶν ἀγαθῶν ἔργοις. [2]) Vet.

Σύνταξις. Ἀλλὰ ἐπὶ τὸν ἔπαινον, ἀντὶ τοῦ κατὰ τῶν ἐπαίνου ἀξίων καλῶν τοῦ Θήρωνος ἐκιιήθη κόρος, ἀντὶ τοῦ ὕβρις, ἀπ' ἀγανακτήσεως, οὐ σὺν τῷ δικαίῳ συναντῶν, τουτέστι συμβαίνων, ἀλλ' ὑπ' ἀνδρῶν μάργων, ἤγουν μανικῶν, φθονερῶν, θέλων διὰ τὸ θορυβῆσαι κρύφον ποιῆσαι, ἀντὶ τοῦ κρύφιον, τουτέστι κεκρυμμένον, ἄδοξον τῶν ἀγαθῶν διὰ τῶν κακῶν ἔργων· ἢ ἀφανισμὸν ποιῆσαι τοῖς καλοῖς ἔργοις τῶν ἀγαθῶν ἀνθρώπων. § εἰκότως εἶπε τὸ κόρος· ὥσπερ γὰρ ὁ κόρος παρατροπὴν τοῦ στομάχου καὶ διαφθορὰν ἐργάζεται, ἔστι δ' ὅτε καὶ ὀργανικὴ βλάβη ἐντεῦθεν γίνεται, οὕτω καὶ ἐπὶ τὸν αἶνον τοῦ Θήρωνος, ἤτοι τὸ ἐκ τῶν μεγάλων εὐεργεσιῶν γινόμενον αὐτῷ θαῦμα, ἐπῆλθε κόρος καὶ φθόνος. Κάπυς γὰρ καὶ Ἱπποκράτης, καίτοι [3]) πολλὰ ὑπὸ Θήρωνος εὐεργετηθέντες, ὅμως ὡς ἑώρων αὐτοῦ τὴν ἀρχὴν αὐξομένην, φθονήσαντες μετέστησαν πρὸς Ἱέρωνα, καὶ πόλεμον ἐγείραντες κατ' αὐτοῦ ἐπειρῶντο τὴν ἀρχὴν καθαιρεῖν, ἀλλ' οὐδὲν ἠδυνήθησαν ὧν ἐβούλοντο πρᾶξαι. Rec.

175. Ἀλλὰ μάργων] ὑπὸ γὰρ μανιωδῶν τινων καὶ ἀνοήτων ἐφθονήθη, αὐτὸ τοῦτο θορύβῳ τινὶ καὶ ματαίᾳ φλυαρίᾳ κρύψαι καὶ σβέσαι βουληθέντων, τὸ ἐκ τῶν καλλίστων αὐτοῦ ἔργων ἀγαθόν. Vet.

176. Λαλαγῆσαι] λυπῆσαι, τρύξαι. Gl. α.

Τὸ λαλαγῆσαι θέλων] λαλαγῆσαι λέγει τὸ θορυβῆσαι τῷ λόγῳ. § φλυαρῆσαι, λέγεσθαί τι φθόνον ἐχόμενον, ἢ θορυβῆσαι, ἀπὸ τοῦ λαλεῖν. Vet.

177. Κρύφιον] Ἀρίσταρχος χωρὶς τοῦ ῑ γράφει κρύφον, καὶ ἀποδίδωσι κρύψιν· ὁ κόρος κρύψιν θέλων καὶ ἀφανισμὸν θεῖναι τοῖς τῶν ἐσθλῶν καλοῖς. [4]) καὶ ἡ ἀντίστροφος δὲ οὕτως ἀπαιτεῖ. § ἡ λέξις ἐνίοις λέγεται χωρὶς τοῦ ῑ ἀρσενικῶς· ὃ δὲ βούλεται λέγειν, ἐστὶ τοιοῦτον· τοῖς τῶν καλῶν ἀνδρῶν ἀγαθοῖς ἔργοις ἀφανισμὸν θέλων κατασκευάσαι [5]) Vet.

178. Ἐπεὶ ψάμμος] παραβολικῶς· λέγει γὰρ, ὥσπερ ἡ ψάμμος οὐκ ἂν ἀριθμῷ περιληφθείη, οὕτως ἀμέτρητος Θήρων ταῖς εὐποιΐαις. § ἐπεὶ δὲ μετρεῖν ψάμμον ἀδύνατον, καὶ τὰς εὐεργεσίας τοῦ Θήρωνος μετρεῖσθαι ἀδύνατον. [6]) Vet.

Περιπέφευγεν] ἀντὶ τοῦ διαπέφευγεν· ὅσα ἐκεῖνος, ἤγουν ὁ Θήρων, χάρματα, τουτέστιν ἡδέα, τερπνὰ, χάριν ἄλλων ἐποίησε, τίς ἂν δύναιτο φράσαι, ἤγουν εἰπεῖν, διηγήσασθαι. τὸ ἐπεὶ ψάμμος ἁρμόζεται τῇ ἐννοίᾳ πρὸς τὸ φίλοις εὐεργέτην· τὸ δὲ ἀλλ' αἶνον μέχρι τοῖς ἔργοις διὰ μέσου παρεμβατικώτερον εἴρηται. καὶ τίς ἂν φράσαι καὶ ἐξειπεῖν δύναιτο τὰ χάρματα καὶ τὰς ἐκ τῶν εὐεργεσιῶν χαράς, ὅσα ἐκεῖνος ὁ Θήρων τοῖς καλοῖς ἔδωκεν· ἐπεὶ ἡ ψάμμος τῆς θαλάσσης περιπέφευγε τὸν ἀριθμὸν, ἤτοι οὐ

1) Sic Gerhardus: cod. κόρος ὕβριν. τίκτει γὰρ ὁ κόρος. Sed arbitror olim fuisse: τίκτει τοι κόρος ὕβριν. ὁ γὰρ κόρος τῶν ἀνθρ. etc. 2) Duo postrema scholia praestat Vrat. A. 3) Corrige καίπερ. 4) Sic Vrat. D. Gott. Vulgo κακοῖς. 5) Ex Vrat. A. 6) Indidem.

Digitized by Google

δυνατή ἐστιν ἀριθμεῖσθαι, τουτέστιν ὥςπερ ἡ ψάμμος ἀναρίθμητός ἐστιν, οὕτω καὶ αἱ τούτου πρὸς ἀνθρώπους εὐεργεσίαι. Rec.

180. Τίς ἂν φράσαι δύναιτο] φασί τινες εἰπεῖν τὸν Πίνδαρον τοῦτο διὰ τὴν μάχην τὴν πρὸς Ἱέρωνα ἕνεκα Πολυζήλου· ὄντωνα Πολύζηλον ἐκβληθέντα ὑπὸ Ἱέρωνος ἀπὸ Συρακουσῶν ὑπεδέξατο ὁ Θήρων. [1]) Vet.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Γ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρίτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων θ'. Τὸ α' ἐγκωμιολογικὸν καταληκτικὸν, ἤγουν ἀπὸ δύο πενθημιμερῶν, πρώτου δακτυλικοῦ καὶ δευτέρου ἰαμβικοῦ λιπούσης συλλαβῆς· οὕτω δὲ ἐλέγετο, παρόσον τούτῳ τῷ ῥυθμῷ ἐγκώμια συνετίθεντο τοῖς παλαιοῖς· – υ υ – υ υ – – – υ –. Τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον· λέγεται δὲ προσοδιακὸν, ὅτι ταῖς προσόδοις καὶ προξενήσεσι προσεγράφετο· σύγκειται δὲ ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου· – – υ υ – υ υ –. Τὸ γ' προσοδιακὸν τρίμετρον· εἷς γὰρ καὶ παρ' ἕνα οἱ τοιοῦτοι πόδες κεῖνται· – – υ υ – υ υ – – – υ υ. Τὸ δ' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. διατί πλεονάζει τοῖς προσοδιακοῖς; διότι εἰς Θεοξένια ἦν ἡ ᾠδὴ, ἐν οἷς καὶ αἱ πρόσοδοι ἐξ ἀνάγκης ἀκόλουθοι· – – υ υ – υ υ – υ. Τὸ ε' προσοδιακὸν τρίμετρον καταληκτικὸν, ἀπὸ τροχαϊκῆς συζυγίας ἀντὶ τοῦ ἀπ' ἐλάττονος Ἰωνικοῦ, ὅπερ ἐστὶ καὶ ἀνακλώμενον· ἀπὸ γὰρ τοῦ τέλους πρὸς τὴν ἀρχὴν Ἰωνικὸν ἀπὸ μείζονος, καθὼς ἦσαν καὶ τὰ πρότερα προσοδιακὰ ὀρθά· – υ – – – υ υ – υ υ –. Τὸ ς' ἰαμβικὸν πενθημιμερές· – – υ – –. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον· – υ – – – υ – –. Τὸ η' ὅμοιον τῷ πρώτῳ, ἐγκωμιολογικὸν καταληκτικόν· – υ υ – υ υ – – – υ –. Τὸ θ' Στησιχόρειον ἐκ μόνων ἐπιτρίτων δευτέρων· ἡ δὲ πρώτη συζυγία καὶ τέταρτον [2]) λαμβάνει, διαλυομένου τοῦ πρώτου μακροῦ εἰς δύο βραχέα· – υ – – – υ – – – υ – –.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων καὶ αὐτὴ ἐννέα. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον· – υ – – – υ – –. Τὸ β' δακτυλικὸν πενθημιμερές· – υ υ – υ υ –. Τὸ γ' προσοδιακὸν τρίμετρον καταληκτικὸν ἀνακλώμενον, ἀρχόμενον ἀπὸ τροχαϊκῆς συζυγίας ἀντὶ τοῦ ἀπ' ἐλάσσονος Ἰωνικοῦ· – υ – – – υ υ – υ υ –. Τὸ δ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· – – υ

1) Ex Bodl. β. γ. Vrat. D. Gott. Cetera resecui, quia notatis ad vs. 175. insunt. 2) Vox corrupta.

Digitized by Google

- - - υ -. Τὸ ε' προσοδιακὸν ἀνακλώμενον ἀπὸ χοριάμβου δίμετρον ἀκατάληκτον· - υ υ - υ υ - -. Τὸ ς' ἐγκωμιολογικὸν καταληκτικὸν, ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς· - υ υ - υ υ - - - υ -. Τὸ ζ' ἐγκωμιολογικὸν πλῆρες ἀκατάληκτον· - υ υ - υ υ - - - υ - υ. Τὸ η' δακτυλικὸν πενθημιμερές· ἐν δὲ τῇ πρώτῃ ἐπῳδῷ ἡ δας μακρὰ συναίρεσιν ἔπαθε τῶν βραχέων, ἅπερ εἰσὶ τὸ μὲν ἓν τοῦ δακτύλου, τὸ δὲ ἕτερον ἡ συλλαβή· - υ.υ - υ υ -. Τὸ θ' Στησιχόρειον τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων δευτέρων· - υ - - - υ - - - υ - -

Aliud ex Vrat. A. Mosc. B. et codice Trichae ἐκ παλαιοῦ βιβλίου.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ τρίτου εἴδους. ἔστι τὸ ᾆσμα στροφῶν τριῶν.

Τοῦ τρίτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη θ'. Τὸ πρῶτον ἐγκωμιολογικὸν τρίμετρον καταληκτικόν. ἐγκωμιολογικὸν δέ ἐστι τὸ δακτυλικὸν λεγόμενον· πενθημιμερῆ γάρ εἰσι δύο, ἰαμβικὸν καὶ δακτυλικόν. καὶ ἔστιν ὅτε ἑνὶ στίχῳ μίγνυνται· ἀλλ' ἐὰν μὲν προτεθῇ τὸ ἰαμβικὸν, ἰαμβέλεγος καλεῖται ἀπὸ τῆς ποιότητος· εἰ δὲ τὸ δακτυλικὸν, διπενθημιμερὲς ἀπὸ τῆς ποσότητος, τὸ αὐτὸ δὲ καὶ ἐγκωμιολογικόν· σύγκειται γὰρ ἐγκώμια ἐκ τοῦ τοιούτου μέτρου. ἰαμβέλεγος δὲ καλεῖται, ὅτι τὸ ἐλεγεῖον μέτρον ἐκ δύο πενθημιμερῶν δακτυλικῶν σύγκειται, ἀλλὰ τὸ μὲν πρῶτον δέχεται καὶ σπονδείους, τὸ δεύτερον δὲ μόνον δακτύλους. ἐπεὶ γοῦν καὶ τοῦτο ἐκ δύο πενθημιμερῶν σύγκειται, τοῦ πρώτου δακτυλικοῦ, τοῦ δευτέρου δὲ ἰαμβικοῦ, διὰ τοῦτο διπενθημιμερὲς καλεῖται. ἔστι δὲ ἀσυνάρτητον τοῦτο, διότι μὴ πεφυκὸς ἡνώθη. τὸ δὲ ἐν κώλοις ἀσυνάρτητον τοῦτο ἀντιπαθὲς, ἐναντίοις ποσὶν ἡνωμένον. Τὸ δεύτερον προσοδιακὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. λέγεται δὲ προσοδιακὸν, διότι ἐν ἑορταῖς τοιούτοις μᾶλλον ἐχρῶντο μέτροις, ὡς καὶ νῦν Πίνδαρος εἰς τὴν τῶν Θεοξενίων ἑορτήν. ἐν γὰρ ταῖς ἑορταῖς πρόσοδοι ἐγίνοντο καὶ εἰσφοραὶ πλείους. σύγκειται δὲ τὸ προσοδιακὸν ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. πολλάκις δὲ τρέπεται ὁ Ἰωνικὸς κατὰ τὴν ἀρχὴν εἰς τὸν συγγενῆ τροχαῖον, ὡς γίνεσθαι παίων δεύτερος. Τὸ τρίτον προσοδιακὸν τρίμετρον· κατὰ μονοποδίαν γὰρ μετρεῖται μέχρι τοῦ πενταμέτρου. πεντάμετρος γὰρ γενόμενος τριακοντάσημός ἐστιν ἤτοι τριακοντάχρονος· πέρα δὲ τοῦ τριακοντασήμου οὐ προβαίνει στίχος καθ' Ἡφαιστίωνα, διὸ καὶ μέχρι πενταμέτρου χωρεῖ τὸ προσοδιακόν. Τὸ τέταρτον δίμετρον ὑπερκατάληκτον προσοδιακὸν ἀπὸ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές. [1]) Τὸ ε' προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐκ τροχαϊκοῦ καὶ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, ὅσπερ δὴ τραπεὶς εἰς τροχαῖον ποιεῖ ἐπίτριτον δεύτερον. γίνεται δὲ προσοδιακὸν καὶ ἀπ' ἐλασσόνων. Τὸ ἕκτον ἰαμβικὸν πενθημιμερές. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ θ' Στησιχόρειον ἐξ ἐπιτρίτων τρίμετρον ἀκατάληκτον, [2]) Στησιχόρου εὑρόντος αὐτό· δεύτεροι δὲ οἱ ἐπίτριτοι. ἑξῆς δὲ ἐπὶ τῷ τέλει παράγραφος.

[1]) Haec inde a verbis τοῦτο καὶ omittit codex Trichae. In eodem sunt aliae nonnullae varietates, quas ex Appendice ad Draconem, cuius interest, petere poterit. [2]) Τρίμ. ἀκατ. addidi ex codice Trichae.

Digitized by Google

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ἐννέα. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον δακτυλικὸν πενθημιμερές. Τὸ γ' προσοδιακὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. ὁ πρῶτος ποὺς ἀπὸ τροχαίου, ὡς γίνεσθαι ἐπίτριτον δεύτερον. Τὸ δ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ε' προσοδιακὸν δίμετρον [1]) ἐκ χορίαμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ς' ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ ζ' ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ ὁμοίου, ὃ καὶ διπενθημιμερὲς καλεῖται, ὡς εἴρηται. Τὸ η' δακτυλικὸν πενθημιμερὲς ὅμοιον τῷ δευτέρῳ. Τὸ θ' Στησιχόρειον τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων δευτέρων. ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

Aliud ex Vrat. D. Pal. C.

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφος κώλων θ' καὶ ἡ ἐπῳδὸς ὁμοίως κώλων θ'. Τὸ α' ἐγκωμιολογικὸν δίμετρον καταληκτικόν. Τὸ δεύτερον προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ τοῦ ἀπὸ μείζονος Ἰωνικοῦ. [2]) Τὸ τρίτον προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἀπὸ μείζονος Ἰωνικοῦ. Τὸ τέταρτον προσοδιακὸν ὑπερκατάληκτον ἀπὸ μείζονος Ἰωνικοῦ. Τὸ πέμπτον προσοδιακὸν τρίμετρον καταληκτικὸν ἀπὸ τροχαίου, χοριάμβου καὶ Ἰωνικοῦ τοῦ ἀπ' ἐλάττονος. Τὸ ἕκτον ἰαμβικὸν πενθημιμερές. Τὸ ἕβδομον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ὄγδοον ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ ἔννατον Στησιχόρειον.

Καὶ ἡ ἐπῳδὸς κώλων θ'. Τὸ πρῶτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον δακτυλικὸν πενθημιμερές. Τὸ τρίτον καταληκτικὸν προσοδιακὸν τρίμετρον, ἀπ' ἐλάττονος Ἰωνικοῦ ἔχοντος τὸν πρῶτον πόδα τοῦ πρώτου ἰαμβικοῦ [3]) τρόχαιον. Τὸ τέταρτον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ε' προσοδιακὸν δίμετρον ἀπὸ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος. Τὸ ς' ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς. Τὸ ζ' ἐγκωμιολογικόν. Τὸ η' δακτυλικὸν πενθημιμερές. Τὸ θ' Στησιχόρειον ὁμοίως τῷ ἐννάτῳ τῆς στροφῆς.

Εἰς Θεοξένια.] Οἱ Διόσκουροι κατὰ ἐντολὴν Ἡρακλέους διατεθειμένοι τὸν Ὀλυμπιακὸν ἀγῶνα, ὡς ἐνομοθέτησεν ὁ Ἡρακλῆς· τούτοις γὰρ εἰς θεοὺς ἀναχωρῶν Ἡρακλῆς τὴν τῶν Ὀλυμπιακῶν ἀγώνων φροντίδα καὶ ἐπιμέλειαν ἐνεχείρισεν· οὗτοι δὲ ἀφ' ἑαυτῶν ἐπενόησαν πανήγυριν Θεοξένια, παρὰ τὸ δοκεῖν τότε ξενίζειν τοὺς θεούς. θύοντος οὖν τοῦ Θήρωνος εἰς τὰ Θεοξένια, ἐν τοσούτῳ ἠγγέλθη αὐτῷ καὶ ἑτέρωθεν αὐτοῦ ἵππων νίκη· καὶ εἰς τοῦτο γράφει ὁ ποιητής. ζητεῖται δὲ, διατί μὴ Διὶ μᾶλλον οὗτος ηὔξατο, ᾧ οὗτος ὁ ἀγὼν ἀνάκειται, ἢ Ἡρακλεῖ τῷ καταβολεῖ, ἀλλὰ Διοσκούροις; φαμὲν οὖν πρῶτον, ὅτι πρὸς τὸ παρόν εἰσιν αὐτοὶ οἱ διοικοῦντες τὸν ἀγῶνα, ἔπειτα ὅ, τε Ζεὺς

[1]) Haec inde a τὸ ε' supplevi e codice Trichae. [2]) Cod. Vrat. D. tum hic tum vs. seq. χοριάμβου p. Ἰων. Pal. C. omittit Ἰωνικοῦ vs. 2. et ἀπὸ μείζ. Ἰων. vs. 3. [3]) Scribe Ἰωνικοῦ.

Digitized by Google

καὶ Ἡρακλῆς. ὁ δὲ Ἀρίσταρχός φησι παρὰ τοῖς Ἀκραγαντίνοις διὰ τιμῆς εἶναι τοὺς Διοσκόρους καὶ πατρίῳ ἔθει καὶ νῦν αὐτοὺς χρῆσθαι· ὁ δὲ Δίδυμος ἱστορικώτερον λέγει, καί φησι διὰ τὸ τὸν Θήρωνα ἄνωθεν Ἀργεῖον εἶναι. τιμῶνται δὲ κατὰ τὸ Ἄργος καὶ τὴν Πελοπόννησον οἱ Διόσκουροι. § Θεοξενίων ἑορταὶ παρ' Ἕλλησιν οὕτως ἐπιτελοῦνται κατά τινας ὡρισμένας ἡμέρας, ὡς αὐτῶν τῶν θεῶν ἐκδημούντων ταῖς πόλεσιν. ἄγοντος δὲ Θήρωνος τὴν ἑορτὴν τῶν Διοσκούρων καὶ Ἑλένης ἠγγέλθη ἡ νίκη. διὸ ἀπ' αὐτῶν ἄρχεται. § ζητεῖται, τί δήποτε ὁ Πίνδαρος Ὀλυμπιακὸν ὕμνον γράφων εὔχεται τοῖς Διοσκούροις προσηνεῖς τῇ ᾠδῇ γενέσθαι· ἐχρῆν γὰρ ἄρα Ἡρακλέα τὸν διαθέντα τὸν ἀγῶνα κατακαλεῖσθαι. Ἀρίσταρχος μὲν οὖν τὴν ἀπορίαν διαλύων τοὺς θεοὺς τούτους σφόδρα ἐν Ἀκράγαντι φησι τιμᾶσθαι· οἱ δέ φασι θεοξενίων ὄντων καὶ κεκλημένων τῶν Διοσκούρων, εἰς τὰ Θεοξένια τὸν Θήρωνα νικῆσαι, ᾧ συγχρησάμενον τὸν Πίνδαρον εὔχεσθαι τοῖς Διοσκούροις. οἱ δὲ ὅτι Ἡρακλῆς ἀποθεούμενος τούτοις ἐπέτρεψε τὸν ἀγῶνα, ὡς καὶ αὐτὸς ὁ Πίνδαρός φησι. τῇ Ἀρισταρχείῳ ἀποδόσει ὁ Δίδυμος μᾶλλον προστίθεται. [1]) Vet.

Ἀναχωρῶν εἰς θεοὺς Ἡρακλῆς τοῖς Διοσκούροις τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐπέτρεψε τελεῖν. οὗτοι δὲ πρὸς τούτῳ καὶ ἑτέραν ἑορτὴν ἐξεῦρον, ἣν διὰ τὸ πρὸς πάντας τοὺς θεοὺς γίνεσθαι Θεοξένια ἐκάλουν, οἱονεὶ ξενίαν καὶ τράπεζαν τῶν θεῶν. θύοντι οὖν Θήρωνι καὶ ἑορτάζοντι τὰ Θεοξένια ἠγγέλθη, ὡς ἐν Ὀλυμπίᾳ οἱ αὐτοῦ ἵπποι ἐνίκησαν. διὰ τοῦτο οὖν ὁ ποιητὴς εὔχεται τοῖς Διοσκούροις καὶ τῇ αὐτῶν ἀδελφῇ Ἑλένῃ ὡς καταστήσασι πρώτοις τὴν τῶν Θεοξενίων ἑορτήν. λέγει οὖν· γεραίρων καὶ τιμῶν τὴν κλεινὴν Ἀκράγαντα, ὀρθώσας καὶ ἐγείρας καὶ ἀνυψώσας ὕμνον τοῦ Θήρωνος Ὀλυμπιονίκην καὶ ἐκ τῆς Ὀλυμπίας αὐτῷ καταστάντα, ἄωτον, ἀπάνθισμα τῶν καρπῶν τῶν ἵππων αὐτοῦ τῶν ἀκαμαντοπόδων, εὔχομαι ἀδεῖν καὶ ἀρέσκειν τοῖς υἱοῖς τοῦ Τυνδάρεω Διοσκούροις τοῖς φιλοξένοις καὶ τοῖς φιλοῦσι τοὺς ξένους, καὶ τῇ αὐτῶν ἀδελφῇ τῇ καλλιπλοκάμῳ Ἑλένῃ. § φιλοξένους λέγει αὐτοὺς διὰ τὸ συστῆσαι τὴν ἑορτὴν τὰ Θεοξένια, εἰς ἣν πολλοὶ ξένοι συνέῤῥεον καὶ φιλοφρονήσεως ἠξιοῦντο. Rec.

1. Τυνδαρίδαις τε φιλοξείνοις ἀδεῖν] ὁ νοῦς· τὴν ἔνδοξον Ἀκράγαντα τιμῶν καὶ ἐν αὐτῇ τὸν ὕμνον τελειῶν καὶ ὀρθῶν τὸν ἐπὶ τῇ τῶν Ὀλυμπίων νίκῃ, ὅστις ἵμερος ἄωτός ἐστι καὶ κόσμος τῶν ἀκαμαντοπόδων ἵππων τοῦ Θήρωνος, εὔχομαι ἀρέσαι τοῖς Διοσκόροις καὶ τῇ Ἑλένῃ. διατί δὲ τούτοις εὔχεται ἀρέσαι; διὰ τὸ εἰς Θεοξένια γράφειν. ἀντέστραπται δὲ ἡ τάξις, καὶ δοκεῖ τῇ συγχύσει ἀσάφειαν εἰργάσθαι· ἐπεὶ ἡ ἀκόλουθος ἑρμηνεία οὕτως ἔχει· Κλεινὰν Ἀκράγαντα γεραίρων, Ὀλυμπιονίκαν ὕμνον ὀρθώσας, Θήρωνος ἀκαμαντοπόδων ἵππων ἄωτον, εὔχομαι ἀδεῖν Τυνδαρίδαις τε φιλοξένοις καλλιπλοκάμῳ θ' Ἑλένᾳ. Vet.

† Τυνδαρίδαις τε] τοῖς Διοσκούροις εὔχομαι ἀρέσκειν τοῖς φιλοξένοις καὶ τῇ Ἑλένῃ τῇ καλλιπλοκάμῳ, τιμῶν τὴν ἔνδοξον Ἀκράγαντα διὰ τοῦ ἀνεγεῖραι ὕμνον Ὀλυμπιονίκας ὑμνοῦντα, ἄωτον λέγω, ἤγουν κόσμον ἐξαίρετον τῶν ἵππων τοῦ Θήρωνος τῶν μὴ καμνόντων τοὺς πόδας ἐν τοῖς δρόμοις. ἐπίνοια δὲ ἐγκωμίων μοι παρέστη, ἤγουν ἐπῆλθε τοῦ-

[1]) Postrema duo scholia dedi ex Vrat. A. Pro γὰρ ἄρα cod. γὰρ εἴπερ ἄρα, et in fine τῷ Ἀρισταρχίῳ.

Digitized by Google

τον τὸν τρόπον ἐξευρόντι, τουτέστιν ἐπινοήσαντι τρόπον νεοσίγαλον, ἤγουν καινοτέραν ἀγλαΐαν ἔχοντα, ᾆσμα λαμπρὰν συνιστῶν χορείαν ἐναρμόσαι Δωρίῳ ῥυθμῷ· ἐπεὶ εἰςπράττοντι μὲν ἐμὲ, ἤγουν ἀπαιτοῦσιν οἱ στέφανοι οἱ ἐπὶ ταῖς χαίταις τῶν ἵππων ζευχθέντες, τουτέστι συνδεδεμένοι τεθέντες, τοῦτο τὸ χρέος τὸ θεόδμητον, ἤγουν τὸ ὑπὸ τῶν Μουσῶν κατασκευαζόμενον, λέγω φόρμιγγά τε ποικιλόφωνον καὶ βοὴν αὐλῶν καὶ συνθήκην ἐπῶν συμμίξαι πρεπόντως, ἤγουν συναρμόσαι, συμβαλεῖν ταῦτα ἀλλήλοις, χάριν τοῦ παιδὸς τοῦ Αἰνησιδάμου τοῦ Θήρωνος· καὶ ἡ Πίσα δὲ εἰςπράττεταί με γεγωνεῖν, ἀντὶ τοῦ ὑμνεῖν, αὐτὸν δηλονότι, ἧς ἄπο, ἤγουν ἀφ' ἧς, θεοδώρητοι, ἤγουν ὑπὸ θεῶν κεκληρωμένοι ἔρχονται πρὸς ἀνθρώπους ὕμνοι ἐπινίκιοι. θεοδώρητοι δὲ, ὅτι οἱ θεοὶ τὰς νίκας δωροῦνται, δι' ἃς οἱ ὕμνοι. Rec.

2. Καλλιπλοκάμῳ] καλλιτρίχῳ. Gl. α.

5. Ὕμνον] ἔπαινον. Gl. α.

Ὕμνον ὀρθώσαις] τὸν ὕμνον τῶν ἵππων ἄωτον προσηγόρευσεν ὡς ἄνθος καὶ στεφάνωμα αὐτῶν. τὸ δὲ ὀρθώσας εἶπε μετενεγκὼν ἀπὸ τιθεμένων ἀνδριάντων ἢ ἀγαλμάτων. § ἢ ὀρθώσας καὶ ὑψώσας καὶ αὐξήσας τὸν ὕμνον. [1]) Vet.

Ὀρθώσας] ἐγείρας. Gl. γ.

6. Ἄωτον] εὐκοσμίαν. Gl. γ.

7. Μοῖσα δ' οὕτω μοι παρέστα] οὕτω μοι παρέστη ἡ Μοῦσα, ἵνα τοῖς Διοσκούροις ἀρέσω. § ἢ οὕτω μοι ἐρχέσθω ἡ Μοῦσα, ὥστε με Δωρίδι διαλέκτῳ νεοποίκιλον ἐξαγγεῖλαι ὕμνον. § Ἄλλως. οὕτω γάρ που ἡ Μοῦσα ἐπῆλθέ μοι, τὸ εἰς Θεοξένια γράψαι. [2]) Vet.

8. Νεοσίγαλον εὑρόντι τρόπον] νεοποίκιλτον ἐπινοήσαντι ὑπόθεσιν, τὸ γράψαι εἰς Θεοξένια. § Νεσσίγαλον] νεοποίκιλον. σιγαλῶσαι γὰρ τὸ ἐπιθεῖναι ἐπὶ πᾶσι τὸν κόσμον. ἀμφιβάλλεται δὲ ὁ λόγος· ἤτοι γὰρ τοιοῦτόν ἐστιν· οὕτω μὲν παρέστη ἡ Μοῦσα καὶ ἔρχεται, ὥστε Δωρίδι διαλέκτῳ νεοποίκιλον ἐπαγγεῖλαι ὕμνον..... πέδιλα δὲ λόγῳ μὲν τὸ ὑπόδημα, νῦν δὲ τὸ μέλος ἐπὶ τοῦ πεδίλου τέταχεν. ἵνα αἰνέσω τὸ Δώριον μέλος, τουτέστιν ὅπως διοδεύσω διὰ τοῦ Δωρίου μέλους. [3]) Vet.

Νεοσίγαλον] ἔνδοξον. Gl. γ.

9. Δωρίῳ] τρεῖς ἁρμονίαι· Δωρία, Φρυγία, Λυδία. πεδίλῳ δὲ τῷ ῥυθμῷ· ἀπὸ δὲ τοῦ περιέχοντος τὸ περιεχόμενον. τὴν βάσιν οὖν εἶπε πρὸς τῷ Δωρίῳ μέλει ἐναρμόσαι. § τὴν ἀγλαόκωμον φωνήν· γέγραπται γὰρ ἡ ᾠδὴ Δωριστί. τὴν ποίησιν δὲ ἐπέων θέσιν εἶπεν. [4]) Vet.

† Δωρίῳ πεδίλῳ] ὥςπερ ὁ πους τῷ πεδίλῳ ἁρμόζεται, οὕτω φησὶ καὶ τὸν ὕμνον τοῦ Θήρωνος ἁρμόσαι Δωρικῇ ἁρμονίᾳ. τρεῖς δὲ ἁρμονίαι· Δώριος, Λύδιος, Φρύγιος· ποικιλωτέρα δὲ τῶν δύο ἡ Δώριος. Rec.

Πεδίλῳ] ἤχῳ. Gl. γ.

10. Ἀγλαόκωμον] λαμπροτάτην. Gl. γ.

Χαίταισι] χαίταις, τινὲς οὐ ταῖς τῶν ἵππων διὰ τὸ νικᾶν, ἀλλὰ ταῖς τῶν μελλόντων στέλλειν τὸν κῶμον, ὃν ἤμελλον ᾄδειν· ἐκώμαζον γὰρ ὑμνοῦντες τὴν νίκην. καὶ

[1]) Utraque haec nota est ex Vrat. A. [2]) Ex Vrat. D. [3]) Ex Vrat. A. In lemmate est νεοσίγηλον. Pro λόγῳ μὲν cod. δοκῶμεν, quod correxit Gerhardus. [4]) Ex Vrat. D.

Digitized by Google

οὐκ ἀπιθάνως στοχάζονται, ὅτι ἴσως εἰς Διοσκούριον ὁ κῶμος ἤγετο [1]) καὶ ἡ πομπὴ διὰ τὴν πρὸς Διοσκούρους τοῦ Θήρωνος οἰκειότητα. Vet.

11. Ζευχθέντες ἔπι στέφανοι] ἐπιζευχθέντες γὰρ οἱ στέφανοι ταῖς τῶν ἵππων θριξὶν ἀπαιτοῦσί με [2]) τὸν θεοκατασκεύαστον ὕμνον τὸν ἐκ Μουσῶν, ὥςτε πρὸς τὴν ποικιλόφωνον κιθάραν καὶ τὴν ἡδεῖαν τῶν αὐλῶν ἠχὴν τοὺς ἐμοὺς εὐπρεπῶς ἁρμόσαι λόγους εἰς χάριν τοῦ Αἰνησιδάμου παιδὸς Θήρωνος. § ἢ συμβαλεῖν τῇ λύρᾳ καὶ τῷ αὐλῷ τὸν Αἰνησιδάμου παῖδα Θήρωνα. σύμψαλμα δὲ τὸ γενόμενον. Vet.

12. Θεόδματον χρέος] ἢ τὸ ἀπὸ θεῶν μεριζόμενον, ἢ τὸ εἰς θεοὺς μεριζόμενον. [3]) Vet.

16. Συμμίξαι πρεπόντως] συμβαλεῖν τῇ λύρᾳ καὶ τῷ αὐλῷ τὸν Αἰνησιδάμου παῖδα Θήρωνα. θεόδματον, τὸ εἰς θεοὺς πεποιημένον. λέγει δὲ τὴν ᾠδήν. [4]) Vet.

17. Ἅ τε Πίσα με γεγωνεῖν] ἥ τε Πίσα με ἀπαιτεῖ μὴ ἠρεμεῖν, ἀλλὰ ὑμνεῖν καὶ βοᾶν. § ἢ τὸ ἑξῆς· πράσσοντί με γεγωνεῖν. § Ἄλλως. προςυπακουστέον τὸ πράσσει με ἐκ τοῦ ὑποκειμένου ἀπαιτεῖ με τὸ θεόδμητον χρέος. [5]) § τὸ δὲ γεγωνεῖν οἱ μὲν ἀπὸ τῆς γεγωνὼς [6]) μετοχῆς βαρύτονον Αἰολικῶς κλίναντες γεγώνειν, ὡς ἀκούειν, γινώσκειν, ἐκφέρουσι·

Γέγωνέ τε πᾶν κατὰ ἄστυ.

εἰσὶ δὲ οἱ ἀπὸ τοῦ γεγωνέω σχηματίζουσιν, ὥςτε δεῖν περισπᾶν. τὸ ἀπαρέμφατον ἐνεστὼς ἀντὶ συντελικοῦ φασι παρειλῆφθαι τὸ γεγωνεῖν. [7]) Vet.

Γεγωνεῖν] φωνεῖν. Gl. γ.

Τᾶς ἄπο] τῆς Ὀλυμπίας. § ἀφ' ἧς δὴ Πίσης αἱ ἀπὸ θεῶν μεριζόμεναι ᾠδαὶ ἐπὶ τοὺς ἀνθρώπους παραγίνονται. ἀνθρώπους δὲ, τοὺς νικῶντας. Vet.

18. Θεόμοιροι νίσονται] ἀπὸ θεῶν μεριζόμεναι καὶ παρεχόμεναι τοῖς νενικηκόσιν. εἰ μὴ γὰρ θεοῦ προνοίᾳ νικήσαι τις, οὐδὲ ᾄδεται. [8]) Vet.

Θεύμοροι ἀοιδαί] ψαλμῳδίαι. Gl. γ.

19. Ὥιτινι κραίνων ἔφετμάς] ἀπὸ τοῦ πληθυντικοῦ μετέπεσεν εἰς τὸ ἑνικόν. τούτῳ, φησὶν, ἀκολουθοῦσιν αἱ ᾠδαὶ, ᾧτινι τελειῶν τὰς ἐντολὰς κατὰ τοὺς νόμους τοῦ Ἡρακλέους ὁ δίκαιος καὶ ἀληθὴς Ἑλλανοδίκης, ὁ Ἠλεῖος ἀνὴρ, ἐπὶ τῆς κεφαλῆς ἐπάνω τῶν ὀφθαλμῶν τὸν στέφανον περιβάλλει τὸν ἀπὸ τῆς ἐλαίας τοῦ κοτίνου. Ἑλλανοδίκαι καλοῦνται οἱ προτεταγμένοι τοῦ ἀγῶνος, ἐπεὶ μόνοι Ἕλληνες ἀγωνίζονται. [9]) Αἰτωλὸς δὲ ἀντὶ τοῦ Ἠλεῖος. Ὀξύλος γάρ τις, εἷς τῶν Αἰτωλῶν, ἡνίκα ἐπὶ τὴν Πελοπόννησον οἱ Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς τῆς ὁδοῦ· ἀντιδόσεως δὲ τρόπῳ τινὶ τὴν Ἠλείων ἡγεμονίαν παρ' αὐτῶν λαμβάνει· παρ' οὗ λοιπὸν οἱ Ἠλεῖοι Αἰτωλοὶ ὠνομάσθησαν. διὰ τοῦτο οὖν Αἰτωλὸς ἀνὴρ ὁ Ἠλεῖος. § Ἄλλως. Αἰτωλὸς ἀνὴρ ὁ

1) Vulgo ᾔδετο. 2) Olim μέν, quod emendavi. 3) Ex Vrat. A. 4) Ex Vrat. D. et partim A. 5) Ex Vrat. D. A. 6) Cod. γεγώς, deinde γεγωνεῖν p. γεγώνειν, et γεγωνὼς p. γεγωνέω, item δεῖ et φησί, atque in fine γεγωνήσειν. Praeterea addidi ἐνεστώς. Vult grammaticus praesens γεγωνεῖν pro praeterito esse positum, ob praecedens συμμίξαι: unde in fine cum Gerhardo scribere possis τοῦ γεγωνῆσαι. Versus est Iliad. ω, 703. 7) Ex Vrat. A. 8) Ex Vrat. A. 9) Hoc comma addidi ex Vrat. D. in quo tamen est: ἐπὶ μόνοις Ἕλλησιν.

Digitized by Google

Ἠλεῖος, ἤτοι ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος, ὃς ἦν Ἠλεῖος, ἀποκτείνας δὲ Ἄπιν ἐν τοῖς ἐπ' Ἀζᾶνι ἄθλοις ἔφυγεν εἰς τὴν πρότερον Κουρῆτιν, Αἰτωλίαν δὲ ὕστερον ἀπ' αὐτοῦ κληθεῖσαν· ἢ ἀπὸ Ὀξύλου, ὃς ἦν Αἰτωλοῦ τοῦ Ἀνδραίμωνος, διεῖλε δὲ τοῖς Ἡρακλείδαις τὴν Πελοπόννησον, καὶ διὰ τοῦτο δὲ ἐδωρήσαντο αὐτῷ ὡς ἐξαίρετον τὴν Ἦλιν. § Ἄλλως. Αἰτωλοὶ πρῶτοι ἐγένοντο Ἑλλανοδίκαι ἐν Ὀλυμπίᾳ. καὶ ὅτι ὁ κτίστης τῆς Ἤλιδος Ὀξύλος Αἰτωλὸς ἦν. [1]) Vet.

Ὥιτινι κραίνων] τὸ ἑξῆς τοῦ ὑπερβατοῦ οὕτως· ὥτινι ἀφικομένῳ βάλῃ γλαυκόχροα κόσμον ἐλαίας ὑψόθεν βλεφάρων ἀτρεκὴς Ἑλλανοδίκας, Αἰτωλὸς ἀνὴρ, Ἡρακλέους κραίνων ἐφετμὰς προτέρας. § Ἄλλως. τὸ ἑξῆς, βλεφάρων ὑψόθεν· οὕτω γὰρ ἐστέφοντο ἐπὶ τοῦ μετώπου. Ἀνακρέων· ἐπὶ δ' ὀφρύσιν σελίνων στέφανον [2]) θέμενοι. Vet.

† Σύνταξις. Ὥιτινι κραίνων] οὕτινος ἂν ὑψόθεν, ἀντὶ τοῦ ὑψοῦ, ἀνωτέρω τῶν βλεφάρων, ἐπὶ ταῖς κόμαις βάλῃ στέφανον ἀπὸ ἐλαίας ὑπόλευκον τὴν χρόαν, ἀπροσωπόληπτος Ἑλλανοδίκης, ἀνὴρ Αἰτωλὸς, ἀντὶ τοῦ Ἠλεῖος, πληρῶν τὰς ἐντολὰς τοῦ Ἡρακλέους τὰς προτέρας, ἀντὶ τοῦ τὰς ἀρχαίας, τουτέστιν ἃς τὴν ἀρχὴν ἐκεῖνος ἐνετείλατο· ἥντινα, ἤγουν τὴν ἐλαίαν, ὁ Ἡρακλῆς ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος ἤνεγκέ ποτε ἀπὸ τῶν πηγῶν τοῦ Ἴστρου τοῦ ποταμοῦ τῶν σκιερῶν, ἤγουν τῶν ὑπὸ δένδρων σκιαζομένων, ἤγουν τῶν βαθειῶν, μνημόσυνον κάλλιστον ἐσομένην δηλονότι τῶν ἀγώνων τῶν ἐν Ὀλυμπίᾳ. ἤνεγκε δὲ αὐτὴν πείσας τὸν δῆμον τῶν Ὑπερβορέων, τουτέστι τὸν ἐν τοῖς Ὑπερβορέοις, ἔνθα ἦσαν αἱ ἐλαῖαι, τὸν θεράποντα τοῦ Ἀπόλλωνος. † πληθυντικοῦ δύναμιν ἔχει τὸ ὥτινι· διὸ καὶ πρὸς πληθυντικὸν ἀποδίδοται. καὶ πάντα ὅσα ἀορίστως λέγεται, οὐκ ἀνοικείως ἔχει πρὸς πληθυντικὰ ἀποδίδοσθαι· πάντα γὰρ πληθυντικῶν ἔχει δύναμιν. § πρῶτον ἀνθρώπους πληθυντικῶς εἰπὼν εἰς ἑνικὸν ἀπέδωκε τὸ ὥτινι· ὥτινι ἀνθρώπῳ κραίνων καὶ τελειῶν τὰς προτέρας καὶ παλαιὰς ἐφετμὰς καὶ ἐντολὰς τοῦ Ἡρακλέους ἀνὴρ Αἰτωλὸς, Ἠλεῖος, Ἑλλανοδίκης καὶ τῶν ἐκεῖ ἀγωνιζομένων Ἑλλήνων κριτὴς ἀτρεκὴς καὶ ἀληθὴς καὶ ἀπροσωπόληπτος, ἀμφιβάλῃ ἂν καὶ θήσῃ περὶ ταῖς κόμαις ὑψόθεν τῶν βλεφάρων κόσμον γλαυκόχροα ἐλαίας, ἤτοι στέφανον ἐξ ἐλαίας γλαυκῆς εἰς κόσμον καὶ τιμήν. δέον δὲ εἰπεῖν γλαυκόχροος πρὸς τὸ ἐλαίας, ἤτοι γλαυκὸν εἶδος ἐχούσης, γλαυκόχροα εἶπε πρὸς τὸ κόσμον. Rec.

Ἐφετμάς] προστάξεις. Gl. α. ἃς ἐκεῖνος παρήγγειλεν. Gl. γ.

22. Αἰτωλὸς ἀνήρ] ἱστορία, ὅθεν Αἰτωλοὶ οἱ Ἠλεῖοι. Ὀξύλος τις ἀνὴρ, εἷς τῶν Αἰτωλῶν, ἡνίκα ἐπὶ τὴν Πελοπόννησον οἱ Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς τῆς ὁδοῦ, ἀντιδόσεως δὲ τρόπῳ τὴν Ἠλείων ἡγεμονίαν παρ' αὐτῶν λαμβάνει, ἐξ οὗ οἱ Ἠλεῖοι Αἰτωλοὶ ὠνομάσθησαν. διὰ τοῦτο οὖν Αἰτωλὸς ἀνὴρ εἶπεν ἀντὶ τοῦ Ἠλεῖος. ἀγνοοῦντες δέ τινες τὸ ἀνὴρ ἀντὶ τοῦ ὁ Ὀξύλος νοοῦσιν, ὅπερ ἄτοπον. οὗτος γὰρ ἦν ὁ καταρχὰς τιθεμένου τοῦ ἀγῶνος Ἑλλανοδίκης καταστὰς ὑφ' Ἡρακλέους, ὕστερον δὲ κατὰ διαδοχὴν, ὃς ἂν ἐδόκει προὔχειν ἀληθείᾳ καὶ γνώμῃ δικαιοτάτῃ, εἰς τὴν ὑπηρεσίαν ταύτην ἐχειροτονεῖτο παρὰ τοῦ δήμου. Rec.

20. Προτέρας] ὅτι μετὰ τὸν Ἡρακλέα πάλιν Ἴφιτος ἔθηκε τὸν ἀγῶνα τῶν Ὀλυμπίων, διὰ τοῦτο εἶπεν. Vet.

1) Ex Vrat. D. 2) Cod. στεφάνων, et δὲ ὀφρύσι. Habes fragmentum plenius ap. Brunck. 62. ubi στεφανίσκους, recte. Scholium hoc ex Vrat. A. petii.

Digitized by Google

22. *Αἰτωλὸς ἀνήρ*] *μᾶλλον πάντας τοὺς Ἠλείους Αἰτωλοὺς εἶπεν· οὕτω γὰρ ὠνομάσθησαν ἄνωθεν ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος, ἢ διὰ τὴν Ὀξύλου εἰς Ἦλιν ἄφιξιν, ὥςπερ Ἀσκληπιάδης ἀξιοῖ. περὶ δὲ τοῦ τῶν Ἑλλανοδικῶν ἀριθμοῦ Ἑλλάνικός φησι καὶ Ἀριστόδημος, ὅτι τὸ μὲν πρῶτον β', τὸ δὲ τελευταῖον ι'. τοσαῦται γὰρ αἱ τῶν Ἠλείων φυλαὶ, καὶ ἀφ' ἑκάστης εἷς ἦν Ἑλλανοδίκης.* [1]) Vet.

24. *Τάν ποτε Ἴστρου*] *ἥντινα ἐλαίαν ποτὲ ἀπὸ Ἴστρου ποταμοῦ τῶν συσκίων πηγῶν ἐκόμισεν ὁ τοῦ Ἀμφιτρύωνος παῖς Ἡρακλῆς, μνημεῖον ἐσόμενον τῶν ἐν τῇ Ὀλυμπίᾳ ἄθλων.* Vet.

† *Σύνταξις. τὰν καὶ ἥντινα ἐλαίαν ὁ Ἀμφιτρυωνίδης καὶ ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος ὁ Ἡρακλῆς, πείσας τὸν δῆμον τῶν Ὑπερβορέων τὸν θεράποντα τοῦ Ἀπόλλωνος, ἤτοι τοὺς ἐκεῖ ὄντας ἄνδρας τοὺς τὸν Ἀπόλλωνα τιμῶντας, ἔνεικε καὶ ἐκόμισεν ἀπὸ τῶν σκιαρῶν πηγῶν τοῦ ποταμοῦ τοῦ Ἴστρου, κάλλιστον μνῆμα καὶ ἐνθύμησιν καὶ μαρτύριον τῶν ἐν Ὀλυμπίᾳ ἀγώνων. ἐκ γὰρ τοῦ κοτίνου Ὀλυμπιονίκης δηλοῦται. οὗτος, ἤγουν ὁ Ἡρακλῆς, πιστὰ φρονέων αὐτοῖς, ἤτοι φίλος ὢν αὐτοῖς καὶ οὐ διὰ μάχης ἰὼν, ἤτησε ταύτην, δηλονότι τὴν ἐλαίαν καὶ φύτευμα σκιερὸν τῷ πανδόκῳ καὶ πάντας δεχομένῳ τοὺς Ἕλληνας ἄλσει τοῦ Διὸς, ἤτοι τῷ Διὶ ἀφιερωμένῳ τεμένει, λέγω δὴ τῷ ἐν Ὀλυμπίᾳ τόπῳ, καὶ ξυνὸν καὶ κοινὸν στέφανον ἀρετῆς τοῖς ἀνθρώποις, ἤγουν δι' οὗ πάντες οἱ νικῶντες στεφανοῦνται.* Rec.

25. *Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν*] *τὰς πηγὰς τοῦ Ἴστρου ἐν Ὑπερβορέοις ὑποτίθεται. Ἴστρος δὲ ποταμὸς διὰ πολλῶν ἐθνῶν τῆς Εὐρώπης χωρεῖ, ἔχει δὲ τὰς πηγὰς ἐν τῇ τῶν Ὑπερβορέων χώρᾳ, ὃς νῦν Δάνουβις λέγεται. σκιερὰς δέ φησι πηγὰς ἤτοι τὰς βαθείας ἢ τὰς σκιαζομένας τῇ περὶ αὐτὰς τῶν ἐλαιῶν φυτείᾳ.* Vet.

Ἴστρου ἀπὸ σκιαρᾶν] *οὗτος ὁ ποταμὸς ἐν Ὑπερβορέοις ἔχει τοῦ ῥεύματος τὴν ἀρχήν. σκιαρῶν δὲ πηγῶν, τῶν ὑπὸ ἐλαιῶν καὶ ἄλλων δένδρων σκιαζομένων.* Rec.

Ἔνεικεν] *ἔφερεν.* Gl. γ.

26. † *Ἀμφιτρυωνιάδας*] *κατὰ πλεονασμὸν τοῦ ᾱ γίνεται Ἀμφιτρυωνιάδας διὰ τὸ μέτρον. τὸ γὰρ ἀκόλουθον Ἀμφιτρυωνίδης ἐστίν. ἄλσος δὲ οὐ μόνον ὁ κατάφυτος τόπος, ἀλλὰ καὶ ὁ τοῖς θεοῖς ἀνακείμενος καταχρηστικῶς· ἐπειδὴ πάντες οἱ κατάφυτοι χῶροι τοῖς θεοῖς ἀνετίθεντο. § ἴσθι ὅτι πᾶν χωρίον τοῖς θεοῖς ἀφιερωμένον, κἂν ψιλὸν φυτῶν ᾖ, ἄλσος καλεῖται, ὡς Ὅμηρος·* [2])

Ὀγχηστόν θ' ἱερὸν, Ποσειδήϊον ἀγλαὸν ἄλσος.

οὐ γὰρ Ὀγχηστὸς δένδρεσι κομᾷ, ἀλλ' ἱερός ἐστιν. Rec.

[1]) Haec inde a vs. 20. Vrat. A. De numero Hellanodicarum et tribuum apud Eleos accurate egit Pausanias V, 9, 4. sq. Ab Olymp. 50. enim duo dicuntur agonothetae fuisse, qui per multos annos retenti sunt; alio tempore (Olymp. 25. dicit noster Pausaniae textus, sed corrige aut *πέμπτῃ καὶ ἑξηκοστῇ*, aut *πέμπτῃ καὶ ἐνενηκοστῇ*) novem Hellanodicae instituti, et binis post Olympiadibus decem. Sed Olymp. 103. simul cum duodecim Eleorum tribubus totidem exstitere Hellanodicae; postea Olymp. 104. recisis quatuor tribubus octo Hellanodicae fuerunt, et Olymp. 108. decem restituti sunt et permansere ad Pausaniae aetatem. Ex nostro loco patet etiam tribus ab eo tempore decem fuisse, quod vel ex Pausania collegeris. Vs. 22. abest a cod. ἢ ante *διὰ τὴν*; idem *τούτων* p. *τοῦ τῶν*; praeterea verba *Αἰτ. ἀνὴρ* usque ad *ἄνωθεν* in fine scholii habet, quae nos initio posuimus, praemonstrante ipso codice, qui illa *οὕτω γ. ὠνομ. ἄν.* etiam initio repraesentat. [2]) Iliad. *β*, 506.

Digitized by Google

27. *Μνᾶμα τῶν Ὀλυμπίᾳ*] σύμβολον στέμμα τῶν ἱερῶν ἀγώνων, οἷον Ὀλυμπίων κότινος, Πυθίων δάφνη, Νεμέων σέλινον χλωρὸν, Ἰσθμίων σέλινον ξηρόν. Vet.

28. *Δᾶμον Ὑπερβορέων*] πείσας τὸν δῆμον τὸν τῶν Ὑπερβορέων δοῦναι τὸν κότινον, ὅστις δῆμος θεράπων ἦν τοῦ Ἀπόλλωνος καὶ θρησκευτὴς αὐτοῦ. τοὺς Ὑπερβορέους τοῦ Τιτανικοῦ γένους Φερένικός φησιν εἶναι γράφων οὕτως:

Ἀμφὶ θ' Ὑπερβορέων, οἵτ' ἔσχατα ναιετάουσιν,
Νηῷ ὑπ' Ἀπόλλωνος, ἀπείρητοι πολέμοιο·
Τοὺς μὲν ἄρα προτέρων ἐξ αἵματος ὑμνείουσιν
Τιτήνων βλαστόντας, ὑπὸ δρόμον αἰθρήεντα
Νάσσασθαι Βορέαο γύην [1]) Ἀριμασπὸν ἄνακτα.

§ ἀπὸ ἄλλης ἀρχῆς ὑπόνοιαν ἔχει ὡς τοῖς ἄνω συνηρτημένον. πανταχοῦ δὲ οἱ Ὑπερβόρεοι ἱεροὶ Ἀπόλλωνος. ἐκλήθησαν δὲ Ὑπερβόρεοι ἀπὸ Ὑπερβοραίου τινὸς Ἀθηναίου, ὡς Φανόδημος. [2]) Φιλοστέφανος δὲ τὸν Ὑπερβόρεον Θεσσαλόν φησιν εἶναι· ἄλλοι ἀπὸ Ὑπερβορέου Πελασγοῦ τοῦ Φορωνέως καὶ Περιμήλης τῆς Αἰόλου. ὁ δὲ Φερένικος [3]) τοὺς Ὑπερβορέους ἀπὸ τοῦ Τιτανικοῦ γένους φησὶν εἶναι, ὁ δὲ Ἑκαταῖος ἄλλως ἱστορεῖ. [4]) Vet.

Πείσας] καταπείσας. Gl. γ.

30. *Πιστά*] φιλικά. Gl. γ.

Πιστὰ φρονέων] φιλικῶς διανοούμενος καὶ πείθων λόγῳ. § ἢ πιστὰ πιστικὰ, οἷον πειθοῖ καὶ οὐ βίᾳ, διὸ καὶ ἔπεισεν [5]) αὐτούς. Vet.

Σύνταξις. ὅστις, ἤγουν ὁ Ἡρακλῆς, πιστὰ, τουτέστι φιλικὰ φρονῶν αὐτοῖς, ᾔτησε χάριν τοῦ ἄλσους τοῦ Διὸς, ἤγουν τοῦ ἀνατεθειμένου τόπου τῷ Διῒ τοῦ παντοδαποὺς ἀνθρώπους ὑποδεχομένου, φύτευμά τε σκιᾶς ποιητικὸν κοινὸν τοῖς ἀνθρώποις καὶ στέφανον τῆς ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι. φύτευμα δὲ λέγει καὶ στέφανον τὴν ἐλαίαν ὡς φυτευθησομένην καὶ εἰς στεφάνους συντελέσουσαν, ταυτὸ λέγων ὥσπερ εἰ ἔλεγεν· ᾔτησε τὴν ἐλαίαν χάριν τοῦ ἄλσους τοῦ Διὸς, ἵνα ποιήσῃ αὐτοῖς ἐν αὐτῷ φυτείαν σκιᾶς ποιητικὴν κοινὴν τοῖς ἀνθρώποις, καὶ χρήσηται αὐτῇ καὶ εἰς στεφάνους τῆς ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι. Rec.

Πανδόκῳ] τῷ πάντας ὑποδεχομένῳ, διὰ τὸ εἰς τοὺς ἀγῶνας πολλοὺς ἐπιέναι. Vet.

31. *Ἄλσει*] οὐκ ἄν τις ἐνταῦθα ἐναντιωθείη τῷ Πινδάρῳ τῷ τὸ ἔτι ἀφύτευτον χωρίον ἄλσος ὀνομάζοντι. ἔλεγον γὰρ πᾶν χωρίον ἀφιερωμένον θεῷ, κἂν ψιλὸν φυτῶν ᾖ, ἄλσος, ὡς καὶ Ὅμηρος·

Ὀγχηστόν θ' ἱερὸν, Ποσιδήϊον ἀγλαὸν ἄλσος.

οὐ γὰρ Ὀγχηστὸς δένδρεσι κομᾷ, ἀλλὰ ἱερός ἐστιν. § οὐ θαυμαστὸν, εἰ τὸ μήπω πε-

1) Vulgo *γῆν*. *Γύην* ex libro adscripsit Gerhardus. *Δρόμον* pro Heyniano *δόμον* reduxi ex Rom. et ceteris libris. Ita et Hermannus Obss. ad Aesch. et Eurip. p. 36. qui initio scribit *ἀμφὶ δ'*, et pro voce *γῆν* vult *μέγαν*. In fine sententia manca est. Vs. 2. vulgo *ναῷ*; liber Gerhardi *ναόν*; sed *νηῷ* Tzetz. Chil. VII, 680. De Pherenico Heracleota Athen. III, p. 78. B. Voss. Hist. Gr. III, p. 400. 2) Cod. *Φιλόδημος*. 3) Cod. *Φανόδημος*. 4) Ex Vrat. A. Prima verba non intelligo. Philostephanus est Cyrenaeus, Callimachi discipulus, de quo passim Athenaeus. Cf. Voss. Hist. Gr. I, p. 93. Noster locus ad librum *περὶ τῶν παραδόξων ποταμῶν* videtur pertinere. Pro *Περιμήλας*, quod est in codice, scripsi *Περιμήλης*. 5) Marg. Vrat. D. *ἔσωσεν*.

Digitized by Google

φυτευμένον ἄλσος εἶπεν. Ἀριστόνικος προληπτικῶς φησιν εἰρῆσθαι· οἱ δὲ, ὅτι πάντα τὰ ἱερὰ, κἂν μήπω πεφυτευμένα ᾖ, ἄλσος ἐκάλουν οἱ ἀρχαῖοι. καὶ Ὅμηρος·

Ὀγχηστόν θ' ἱερὸν, Ποσιδήϊον. . . . ἄλσος.

ἥκιστα γὰρ δενδρώδης Ὀγχηστὸς, ἐφ' ὑψηλοῦ κείμενος. [1]) Vet.

32. Ξυνόν] κοινὸν πᾶσιν ἀνθρώποις φύτευμα καὶ στέφανον τῶν ἀρετῶν. § Ἄλλως. κοινὸν γενέσθαι φύτευμα τοῦ τε ἄλσους τοῦ Διὸς καὶ τῶν στεφάνων τῶν ἀρετὴν ἐχόντων ἀνδρῶν. Vet.

Στέφανόν τ' ἀρετᾶς] τῶν νικώντων ἐν τῷ ἀγῶνι. Gl. γ.

33. Ἤδη γὰρ αὐτῷ] ἤδη γὰρ αὐτῷ, τῷ Ἡρακλεῖ, καὶ οἱ βωμοὶ τοῦ Διὸς θυσιῶν καὶ ἐναγισμάτων ἐπεπλήρωντο, καὶ ἡ σελήνη πλήρης οὖσα καὶ ὁλοκλήρῳ τῷ φωτὶ πρὸς τὴν ἑσπέραν καὶ τὴν νύκτα ἀντιλάμπουσα καὶ ἀντιφλέγουσα τὸν καιρὸν παρεῖχε τῆς κρίσεως τοῦ ἀγῶνος. ἐν γὰρ τῇ ἑκκαιδεκάτῃ τῆς σελήνης ὁ Ὀλυμπιακὸς ἀγὼν τελεῖται. δεῖ δὲ τὸ πρότερον δεύτερον νοεῖν, καὶ τὸ δεύτερον πρῶτον. οὐ γὰρ δὴ θυσίαι ἐγένοντο πρότερον, εἶτα οὕτως ἡ διχόμηνις ἔλαμπεν, ἀλλὰ πρότερον ἡ ἡμέρα τῆς πανσελήνου παρεγίνετο, εἶτα οὕτως αἱ θυσίαι καὶ τὰ λοιπὰ τοῦ ἀγῶνος ἐτελοῦντο. § ὁ δὲ λόγος· ἤδη γὰρ τῶν βωμῶν τοῦ πατρὸς αὐτοῦ Διὸς πληρωθέντων θυσιῶν, ἀντὶ τοῦ σεβασθέντων ταῖς θυσίαις καὶ ἐναγίσματα λαβόντων. § Ἤδη γὰρ αὐτῶν] περὶ τοῦ χρόνου, καθ' ὃν ἄγεται τὰ Ὀλύμπια καθ' ἑκάστην Ὀλυμπιάδα . . . . ὃ τὰ περὶ . . . . συντάξας φησὶν οὕτω· πρῶτον μὲν οὖν παντὸς, περίοδον συνέθηκεν ἐν τῇ ἡμέρᾳ ἄρχειν νουμηνίας μηνὸς, ὃς Διόσθυος ἐν Ἤλιδι ὀνομάζεται, περὶ ὃν τροπαὶ ἡλίου γίνονται χειμεριναί. καὶ πρῶτα Ὀλύμπια ἄγεται η' μηνί. ἑνὸς δὲ ὄντος, διαφερόντων τῇ ὥρᾳ, τὰ μὲν ἀρχόμενα τῆς ὀπώρας, τὰ δὲ ὑπ' αὐτὸν τὸν ἄρκτουρον. ὅτι δὲ ἄγεται ὁ ἀγὼν, καὶ ὁ Πίνδαρος μαρτυρεῖ. [2]) Vet.

Αὐτῷ] τὸ αὐτῷ μὴ μόνον πρὸς τὸ ἁγισθέντων ἀλλὰ καὶ πρὸς τὸ πατρὶ συναπτέον, ἵν' ᾖ· τῷ πατρὶ αὐτῷ καὶ αὐτοῦ. § Ἡρακλῆς πρὸ τοῦ τὴν ἐλαίαν ἐξ Ὑπερβορέων ἐνηνοχέναι μίαν Ὀλυμπιάδα τετέλεκεν· ἐτελεῖτο δὲ ἡ Ὀλυμπιακὴ πανήγυρις ἐν πανσελήνῳ. τόδε γάρ ἐστι λύσις τοῦ ἀντιπίπτοντος. εἶπε γὰρ ἄν τις αὐτῷ· τίνος χάριν τὴν ἐλαίαν ἐκόμισε; φησὶ γοῦν· ἤδη γὰρ καὶ τότε τῶν βωμῶν τῷ πατρὶ, ἤτοι τῷ Διΐ, ἁγισθέντων καὶ τελεσθέντων καὶ ἐναγίσματα λαβόντων, αὐτῷ καὶ ὑπ' αὐτοῦ τοῦ Ἡρακλέους, ἡ χρυσάρματος μήνη καὶ σελήνη ἀντέφλεξε καὶ ἀντέλαμψεν ὅλον ὀφθαλμὸν τῆς ἑσπέρας. ποταπὴ διχόμηνις, καὶ πανσέληνος· ὅτε δέ ἐστιν ἡ σελήνη πανσέληνος, δίχα κόπτει τὸν μῆνα· ἐν γὰρ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦτο γίνεται. ὥσπερ φαμὲν, ἡ λαμπὰς ἐν νυκτὶ φῶς ἀστράπτει, οὕτω καὶ τό· ἀντέφλεξεν ὅλον τὸν ὀφθαλμὸν τῆς ἑσπέρας, τουτέστι διαφανῆ ἐποίησε. τὸ δὲ ὀφθαλμὸν λέγει, ἐπειδὴ τὸ τῆς νυκτὸς φῶς τοὺς ἐν νυκτὶ πορευομένους βλέπειν ποιεῖ καὶ ἀπροσκόπτως τὴν πορείαν ἐργάζεσθαι. μὴ λάβῃς πρὸς

[1]) Ex Vrat. A. [2]) Hoc scholium ex Vrat. A. ductum immane quantum vitiatum est. Ubi lacunas notavi, est κῶμ aut κῶμος ὁ τὰ περικλείων, deinde συγκατάξας p. συντάξας, et νουμηνίαν: mox θωσυθιὰς haud veritus sum mutare in Διόσθυος, qui mensis notus ex Dorico monimento apud Gruter. p. CCXVII. et Maffei. Mus. Veron. p. XV. Postremo cod. διαφερόντων, quod in διαφέρετον mutandum videtur, quum de duobus sollemnibus sermo sit. Sane hoc scholium reconditiorem doctrinam continebat, sed labe temporum ita obscuratam, ut inducendum prope mihi visum sit.

Digitized by Google

τὸ διχόμηνις τὸ οὖσα ἔξωθεν· δέον γὰρ διχόμηνος εἰπεῖν, διχόμηνις εἶπε πρὸς τὸ μήνη. λέγεται δὲ μήνη, διότι τοὺς μῆνας αὐτὴ ἐργάζεται μειουμένη καὶ πάλιν νεουμένη. † Ἤδη γὰρ ὑπ' αὐτοῦ, ἤγουν τοῦ Ἡρακλέους, τοῦ βωμοῦ μὲν τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς ἁγισθέντος, τουτέστι δι' ἐναγισμάτων σεβασθέντος, ἡ πανσέληνος σελήνη ἡ χρυσάρματος ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν λαμπρῶς ἀντέφλεξεν ἐπὶ τῆς ἑσπέρας, ἀντὶ τοῦ δεδυκότος τοῦ ἡλίου αὐτὴ τὸν ἑαυτῆς ὀφθαλμὸν λαμπρῶς ἀντέθηκε. λέγεται δὲ ὁ λόγος ἀντιστρόφως ἀντὶ τοῦ, ἤδη γὰρ τῆς πανσελήνου σελήνης τῆς χρυσαρμάτου ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν ἀντιφλεξάσης ἐπὶ τῆς ἑσπέρας, ὁ βωμὸς μὲν τοῦ πατρὸς αὐτοῦ, τουτέστι τοῦ Ἡρακλέους, δι' ἐναγισμάτων ὑπ' αὐτοῦ ἐτιμήθη· μετὰ γὰρ τὴν πανσέληνον αἱ θυσίαι ἐπὶ τῷ βωμῷ, φασὶν, ἐτελοῦντο. καὶ μεγάλων ἀγώνων ἁγνὴν κρίσιν, ἤγουν ἀδωροδόκητον, ἀπροσωπόληπτον, καὶ πενταετηρίδα ἅμα κατέστησεν, αὐτὸς δηλονότι ὁ Ἡρακλῆς, ἐπὶ τοῖς κρημνοῖς τοῦ Ἀλφειοῦ ποταμοῦ τοῖς ἄγαν θείοις. Rec.

34. Ἁγισθέντων] καθιερωθέντων. Gl. γ.

35. Διχόμηνις] ἡ σελήνη, ἐπεὶ ἐν τῇ πανσελήνῳ ὁ Ὀλυμπιακὸς ἀγὼν ἄγεται καὶ τῇ ἑκκαιδεκάτῃ γίνεται ἡ κρίσις, καὶ αὐτὴ εἰς δύο καταμερίζεται, εἴς τε τὴν αὔξησιν καὶ λεῖψιν τοῦ φωτός. § Ἄλλως. ὅτι πανσελήνῳ ἄγεται ὁ Ὀλυμπιακὸς ἀγών. πρὸ δὲ τοῦ εἰς Ὑπερβορέους παραγενέσθαι Ἡρακλῆς διατέθεικε μίαν Ὀλυμπιάδα, μηδέπω ἀποδεδειγμένου τοῦ στεφάνου. βούλεται δὲ εἰπεῖν, ὅτι ψιλὸς καὶ ἀσκίαστος ἦν ὁ τόπος, ὥστε ὅλον τὸν ὀφθαλμὸν τῆς σελήνης καταλάμψαι τοὺς βωμούς. γίνεται δὲ ὁ ἀγὼν ποτὲ μὲν διὰ τεσσαράκοντα ἐννέα μηνῶν, ποτὲ δὲ διὰ πεντήκοντα. ὅθεν καὶ ποτὲ μὲν τῷ Ἀπολλωνίῳ μηνὶ, ποτὲ δὲ τῷ Παρθενίῳ, παρ' Αἰγυπτίοις Μεσωρὶ ἢ Θὼθ, [1]) ἐπιτελεῖται. χρυσάρματον δὲ εἶπε τὴν σελήνην, πρὸς τὸ μεγαλοπρεπέστερον τὴν εἰκόνα διαθέμενος. § Ἄλλως. ὅλον ὀφθαλμὸν τῆς νυκτὸς τὸ σκοτῶδες πληροῦσα ἡ σελήνη κατελάμπρυνεν. Vet.

37. Ἁγνάν] καθαράν. Gl. α. γ.

Ἁγνὰν κρίσιν] ἢ διὰ τὴν τῶν Ἑλλανοδικῶν ἐπιμέλειαν ἢ διὰ τὴν σύγκρισιν. Vet.

38. Καὶ πενταετηρίδ' ἁμᾶ] ἔθηκε δὲ ὁμοῦ τοῖς εἰρημένοις καὶ χρόνον πενταετηρικὸν αὐτὸν εἶναι τάξας. πάντων οὖν, φησὶ, γενομένων τῶν μεγάλων ἄθλων, λοιπὸν τὴν ἁγνὴν καὶ ἀδωροδόκητον κρίσιν ἔθηκεν, ὥστε τὸν ἀγῶνα διὰ τοσούτου τελεῖσθαι καὶ ἐν τόπῳ τῇ Ἤλιδι. ἐκεῖ γὰρ ὁ Ἀλφειὸς ποταμός. § ἰδίως τὰ κεφάλαια ἐκθεὶς ὁ Πίνδαρος τὸ κατὰ μέρος ἐπέξεισιν, ὥστε εἶναι τὸ ἑξῆς τοῦ λόγου τοιοῦτον· ἤδη γὰρ αὐτῷ πενταετηρίδα διαθέντι καὶ θύσαντι τῷ πατρὶ ἦν ὁ χῶρος ἄδειδρος. [2]) Vet.

39. Ζαθέοις] τοῖς θαυμαστοῖς. Gl. α. γ.

40. Ἀλλ' οὐ καλά] τὸ ἀλλὰ ἀντὶ τοῦ δέ. ἐκ δὲ τοῦ παρεπομένου τὴν δόσιν τοῦ στεφάνου δηλοῖ, ὅτι μήπω ἦν. Vet.

† Σύνταξις. Ἀλλ' οὐ καλὰ δένδρα θάλλοντα εἶχεν ὁ χῶρος ὁ ἐν ταῖς βήσσαις, ἤτοι ταῖς κοιλάσι, ταῖς καταδύσεσι τοῦ Κρονίου λόφου τοῦ Πέλοπος. Rec.

41. Κρονίου Πέλοπος] ἤτοι ὅτι ἀπὸ Κρόνου εἶχε τὸ γένος ὁ Πέλοψ· Πλου-

[1]) Haec de Aegyptiacis mensibus addidi ex Vrat. A. in quo est ordine inverso: Παρθεν. ἢ Ἀπολλ. et deinde Θὼθ ἢ Μεσωρίων. Μεσωρὶ est ultimus, Θὼθ primus anni mensis. [2]) Ex Vrat. A.

Digitized by Google

τὼ γὰρ ἡ θυγάτηρ Κρόνου, ἧς Τάνταλος ὁ πατὴρ Πέλοπος· ἵνα οὖν εἴπῃ· ὅτι οὔπω ἦν τὸ τοῦ κοτίνου φυτὸν ἐν ταῖς βήσσαις καὶ τοῖς τόποις τοῦ Πέλοπος τοῦ Κρονίου· τῆς Πελοποννήσου γὰρ ἦν ἡ Ἦλις· ἢ ἁπλούστερον οὕτως· ὅτι ὁ χῶρος τοῦ Πέλοπος ὁ ἐν ταῖς βήσσαις τοῦ Κρονίου οὐδέπω εἶχε τὸ φυτόν. Κρόνιον δὲ ὄρος πλησίον. § κατὰ τοῦ Κρονίου Πέλοπος βήσας. § Ἀρίσταρχος· χῶρος ὁ ἐν Κρονίου βήσαις Πέλοπος. λόφος δέ ἐστιν ἐν Ὀλυμπίᾳ ὁ καλούμενος Κρόνιος. τινὲς δὲ Κρονίου Πέλοπος, ὅτι Πλουτὼ θυγάτηρ Κρόνου ἐγένετο, ᾗ συγκοιμηθεὶς ὁ Τάνταλος ἔσχε Πέλοπα. [1]) Vet.

42. Τούτων ἔδοξε] τούτων τῶν φυτῶν γυμνὸς ὢν ὁ κῆπος καὶ ὅλος ὁ τόπος ἐδόκει ὑπακούειν ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου, τουτέστι καταλάμπεσθαι ὑπὸ τοῦ ἡλίου, ἀντὶ τοῦ εἶναι κατάθερμος καὶ πυρώδης καὶ ἀσκίαστος. § γυμνὸς δὲ ἀντὶ τοῦ ψιλός. τὸ δὲ ὑπακούειν μεταληπτικῶς εἶπεν ἀντὶ τοῦ αἰσθάνεσθαι, διὰ τὴν καῦσιν τοῦ ἡλίου. [2]) Vet.

Τούτων, ἤγουν τῶν δένδρων, γυμνὸς ὢν ὁ κῆπος, τουτέστιν ὁ μετέωρος τόπος καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενος, ἔδοξεν αὐτῷ, τῷ Ἡρακλεῖ δηλονότι, ὑπακούειν ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου, ἀντὶ τοῦ εἰς πεῖραν ἔρχεσθαι τῶν σφοδρῶν ἀκτίνων τοῦ ἡλίου. τότε δὴ ἐφρόντιζεν ἡ ψυχὴ αὐτοῦ, περιφραστικῶς ἀντὶ τοῦ αὐτὸς, πορεύεσθαι εἰς τὴν γῆν τὴν περὶ τὸν Ἴστρον ποταμόν. § ἀπορήσειεν ἄν τις ἐνταῦθα, πῶς τὸ κῆπος λέγει μὴ ὄντων δένδρων· καί φαμεν, ὥσπερ ἄνω εἰρήκει τὸν αὐτὸν τοῦτον τόπον ἄλσος, οὕτω καὶ τοῦτο. ἢ τοῦτον κῆπον λέγει Πίνδαρος, ὡς πρὸς τὸν καιρὸν αὐτοῦ. ἢ ἐπειδὴ κᾶπος καὶ ἡ φάτνη λέγεται. ἔτρεχον δὲ ἐν τούτῳ τῷ τόπῳ οἱ ἵπποι, κάπος ἀποτελοῦντες ἐκ τῶν μυκτήρων. λόγον ἂν ἔχοι λέγειν καὶ αὐτὸν τὸν τόπον κᾶπος ἀπὸ τοῦ ἐν αὐτῷ συμβαίνοντος. κρεῖττον δέ ἐστι τὸ πρῶτον. Rec.

43. Γυμνὸς αὐτῷ κᾶπος] κᾶπος κυρίως ὁ περιπνεόμενος ἀνέμοις τόπος, ὅθεν κάπας τὰς φάτνας καλεῖσθαι, διὰ τὸ περιπνέεσθαι ὑπὸ τῶν ἵππων τῷ πνεύματι ἀνασπώντων τὴν τροφήν. Vet.

44. Ὑπακουέμεν] καρτερεῖν. Gl. γ.

45. Θυμὸς ὥρμαινεν] διὰ τοῦτο παραγενέσθαι προεθυμήθη εἰς τὴν γῆν τοῦ Ἴστρου [3]) ποταμοῦ, εἰς τὴν Σκυθίαν, ἐν ᾗ Σκυθίᾳ ἡ Ἄρτεμις αὐτὸν ὑπεδέξατο ἐλθόντα, ἡνίκα αὐτὸν τοῖς προστάγμασι καὶ ταῖς ἀγγελίαις τοῦ Εὐρυσθέως ὑπουργεῖν ἡ πατρὸς

[1]) Duo postrema cola sunt in Vrat. A. sed sine ulla interpunctione usque ad *Πέλοπος* genitivum ante vocem *λόφος* positum. Ante *κατὰ* fuit *τότε* a me deletum. Aristarchi nomen traxi ad sequentia, et priora separavi, quia haec, *κατὰ τοῦ Κρονίου Πέλ. β.* eam interpretationem continent, quae in fine repetitur verbis: *τινὲς δὲ Κρονίου Πέλοπος* etc. Qua separatione instituta in ultimo scholio prior affertur Aristarchi explicatio, ex qua *Κρονίου* est *Κρονίου λόφου*, et *Πέλοπος* pertinet ad totum hoc: *χῶρος ἐν βήσαις Κρονίου, Pelopis terra in Cronii saltibus;* posterior autem additur altera illa explicatio, quam *nonnulli* (*τινὲς*) praebuerant. Ita quidem intelligitur, interpretationem eam, quam primum scholium ut simpliciorem laudat, esse *Aristarchi*. Longe melior est altera, quam *nonnulli* exhibebant; ex qua Pelops ipse *Cronius* dictus est, quia Pluto *Croni* filia est. Pluto autem ipsa secundum primum scholium Tantali mater est, ut apud Hyginum et Antoninum Liberalem: sed scholiastes Vratislaviensis Pelopis matrem facit, si modo ulla istis laciniis temere confusis et consarcinatis fides habenda est. Cod. *Ὀλυμπίῳ* p. *Ὀλυμπίᾳ*, et *Κρονίου* p. *Κρόνου*. [2]) Ex Vrat. A. [3]) Vulgo *τοῦ ἱεροῦ*.

Digitized by Google

ἀνάγκη παρεσκεύαζεν, ἐπὶ τῷ τὴν ἔλαφον ἀγαγεῖν, ἣν ποτε ἡ Ταϋγέτη ἀνέθηκε τῇ Ὀρθωσίᾳ Ἀρτέμιδι. Vet.

46. Ἰστρίαν νιν] ἐὰν διὰ τῶν δύο νν, Ἰστρίαν νιν, τὴν Σκυθίαν ἀκουστέον· ἐὰν δὲ διὰ τοῦ ἑνὸς, ἡ Ἰστρία Ἄρτεμις αὐτὸν τὸν Ἡρακλέα ὑπεδέξατο. Ἰστρία δὲ ἡ Ἄρτεμις ἤτοι ἀπὸ τοῦ Ἴστρου, ὃν περιοικοῦσιν [1]) αἱ Ἀμάζονες, αἳ τιμῶσι μάλιστα τὴν θεὸν, ἢ ἀπὸ Ταύρων ἔθνους Σκυθικοῦ, περιοικοῦντος τὸν Ἴστρον, παρ' οἷς ὁμοίως τιμᾶται ἡ Ἄρτεμις. τοὺς δὲ ἀναγινώσκειν Ἰστριανὴν, ἵν' ᾖ τὴν Ἰστριανὴν γῆν. § εἰς τὴν Σκυθίαν ὁ θυμὸς αὐτὸν παρώρμησεν. Ἀρίσταρχος· εἰς τὴν γῆν ἐλθεῖν, ὅπου αὐτὸν ἡ Ἰστρία Ἄρτεμις ὑπεδέξατο. δηλοῖ δὲ πάλιν τὴν εἰς Ὑπερβορέους ἐπὶ τὰς τοῦ Ἴστρου πηγὰς ἄφιξιν· ἐκεῖ γὰρ τιμᾶται ἡ Ἄρτεμις ὅτι μάλιστα ὑπὸ Ταύρων τοῦ Σκυθικοῦ ἔθνους. ἔνιοι δὲ καὶ β' νν γράφουσι καὶ τὸν λόγον ἀπευθύνουσιν οὕτω· τότε δὴ ὁ θυμὸς παρώρμησε τὸν Ἡρακλέα ἐπὶ τὴν Ἰστρίαν γῆν πορεύεσθαι. [2]) Vet.

Ἔνθα Λατοῦς] ἐνταῦθα ναὸς ἦν αὐτῆς τῆς Ἀρτέμιδος, οὗ καὶ Ἰφιγένεια ὑπ' αὐτῆς ἁρπαγεῖσα κεκόμισται. § οἰκείως ἔχει τὸ μυχῶν πρὸς τὸ δειρῶν. ἔνθα γὰρ ὄρη, καὶ φάραγγες καὶ κρημνοί. § ἔνθα ἡ θυγάτηρ τῆς Λητοῦς ἡ Ἄρτεμις ἡ ἱπποσόα, τουτέστιν ἡ τοὺς ἵππους σοβοῦσα, ἤγουν διεγείρουσα εἰς δρόμον, ἤτοι ἡ ἱππικὴ, ἐδεξιώσατο ἐλθόντα αὐτὸν ἀπὸ τῶν ἐξοχῶν καὶ τῶν μυχῶν, ἤγουν τῶν καταδύσεων τῶν πολυστρόφων τῆς Ἀρκαδίας, ὁπηνίκα ἡ ἀνάγκη ἡ ἀπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς παρεσκεύαζεν αὐτὸν διὰ τῶν προσταγμάτων τοῦ Εὐρυσθέως τῶν δι' ἀγγέλων αὐτῷ προσταττομένων· δι' ἀγγέλων γὰρ, φασὶ, προσέταττεν αὐτῷ Εὐρυσθεὺς, ἃ προσέταττε· τὴν ἔλαφον τὴν θήλειαν τὴν χρυσόκερων ἄξοντα, ἣν ἡ Ταϋγέτη ἡ τοῦ Ἄτλαντος θυγάτηρ ἀνατιθεῖσα Ἀρτέμιδι τῇ Ὀρθωσίᾳ ἐπέγραψεν ἱερὰν, αὐτῆς δηλονότι. § εἰκότως εἶπε τὸ ἀγγελίαις· διὰ γὰρ μηνυμάτων ἐπέταττεν αὐτῷ τοὺς ἄθλους τελεῖν· ἐδεδίει γὰρ αὐτὸν αὐτοπροσώπως θεᾶσθαι. Rec.

50. Εὖτέ μιν ἀγγελίαις] ἡνίκα αὐτὸν ἡ πατρόθεν ἀνάγκη, τουτέστι τοῦ Διὸς, κατὰ τὰς Εὐρυσθέως ἀγγελίας παρεσκεύασεν ἀγαγεῖν τὴν ἔλαφον. [3]) § δι' ἀγγέλου γὰρ καὶ κήρυκος ἐκέλευεν ὁ Εὐρυσθεὺς τοῦ Κοπρῆος. Ὅμηρος· [4])

Ὅς Εὐρυσθῆος ἀέθλων
Ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ. Vet.

51. Ἔντυε] διέγειρεν. Gl. β. γ.

Ἀνάγκα πατρόθεν] παρὰ τὰ ἐν τῇ τ' τῆς Ἰλιάδος. [5]) ὁ Ζεὺς πρὸς τὴν Ἥραν·

Σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια,

καὶ τὰ ἑξῆς. διὰ τοῦτό φησι πατρόθεν ἀνάγκα. Vet.

Ἀνάγκα πατρόθεν] ἱστορία περὶ τῆς γεννήσεως Ἡρακλέους καὶ Εὐρυσθέως. ὅτε Ἀλκμήνη τὸν Ἡρακλέα ἐκυοφόρει, τότε φασὶ τὴν Ἥραν φθονοῦσαν Ἀλκμήνῃ διὰ τὰς

[1]) Sic scripsi de coniectura: vulgo ὅνπερ τιμῶσιν. Scholiastae obversabantur Amazones Sauromatides (cf. schol. ad Olymp. XIII, 124. 125.), quamquam eae non ad Istrum sunt, et fortasse locus Pindari Olymp. VIII, 47. qui tamen de Amazonibus ad Thermodontem recte exponi videtur. Non magis Tauri ad Istrum sunt quam Amazones. [2]) Discimus ex hoc Vrat. A. scholio, Aristarchum legisse Ἰστρία νιν. Cod. Ὑπερβορέου, et οὕτως post ἐκεῖ γὰρ, atque μάλιστα ἐκεῖ ἀπὸ Ταύρων. [3]) Ex Vrat. A. [4]) Iliad. ο, 639. [5]) Vs. 103. Rom. Εἰλήθεια.

Digitized by Google

τοῦ Διὸς σπορᾶς, ἐλθοῦσαν πρὸς τὸν Δία αἰτῆσαι αὐτὸν παρασκευάσαι τὸν πρῶτον τεχθήσεσθαι μέλλοντα κύριον ἔσεσθαι τοῦ ὕστερον τεχθησομένου. κατανεύσαντος οὖν τοῦ Διὸς Ἥραν ἐν τάχει ποιῆσαι τὸν Εὐρυσθέα γεννηθῆναι. λέγει οὖν τὴν τοῦ Διὸς πρὸς Ἥραν κατάνευσιν ἀνάγκην. ὕστερον δὲ Ἡρακλῆς ὑπὸ Ἥρας μανεὶς, ἐλθὼν εἰς Ἀπόλλωνα καὶ χρώμενος αὐτῷ περὶ τῆς νόσου ἤκουσε παρ' αὐτοῦ μὴ ἂν πεπαύσεσθαι τῆς νόσου, εἰ μὴ προσελθόντα τῷ Εὐρυσθεῖ ποιεῖν, ὅσα ἂν ἐκεῖνος κελεύῃ. Rec.

52. Χρυσόκερων ἔλαφον] ὅτι ἐπιμελῶς οἱ ποιηταὶ τὴν θήλειαν ἔλαφον κέρατα ἔχουσαν εἰσάγουσι· καθάπερ καὶ τὴν θηλαζουσαν τὸν Τήλεφον γράφουσι καὶ πλάττουσι. τέτακται δὲ καὶ παρὰ Ἀνακρέοντι· [1]) Ἀγανῶς οἷά τε νεβρὸν νεοθηλέα γαλαθηνὸν, ὅστ' ἐν ὕλαις κεροέσσης ὑπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη. Ζηνόδοτος δὲ μετεποίησεν Ἐροέσσης, διὰ τὸ ἱστορεῖσθαι τὰς θηλείας κέρατα μὴ ἔχειν, ἀλλὰ τοὺς ἄρρενας. οἱ μέντοι γε ποιηταὶ πάντες κέρατα ἐχούσας ποιοῦσιν. ὅτι δὲ συνέβαινε καὶ εἰκός ἐστιν ἐνίας ἔχειν, ἐκεῖθεν δῆλον, ὅτι τῶν ἐλεφάντων οἱ μὲν ἐξ Αἰθιοπίας καὶ Λιβύης πάντες σὺν ταῖς θηλείαις ὀδόντας ἔχουσιν, ὥς τινές φασι, καθὰ καὶ Ἀμυντιανὸς ἐν τῷ περὶ τῶν ἐλεφάντων φησί· τῶν δὲ Ἰνδικῶν αἱ θήλειαι χωρὶς ὀδόντων εἰσίν. § θήλειαν δὲ εἶπε καὶ χρυσόκερων ἀπὸ Ἱστρίας. ὁ γὰρ Θησηΐδα γράψας τοιαύτην αὐτὴν λέγει καὶ Πείσανδρος ὁ Καμειρεὺς καὶ Φερεκύδης. [2]) § ἐκαλεῖτο δὲ ἡ ἔλαφος κερβία. [3]) Vet.

53. Ἄν ποτε Ταϋγέτη] αὕτη Ἄτλαντος θυγάτηρ, ἀφιέρωσε δὲ τὴν ἔλαφον τῇ Ἀρτέμιδι. λέγεται γὰρ ὅτι, ἡνίκα Ἡρακλῆς παρέσχεν αὐτὴν Εὐρυσθεῖ, τότε εὑρέθη ἐπὶ τοῦ τραχήλου αὐτῆς γεγραμμένον· Ταϋγέτη ἱερὰν ἀνέθηκεν Ἀρτέμιδι. § Ἄλλως. ἡ Ταϋγέτη ἡ τοῦ Ἄτλαντος θυγάτηρ, ἥντινα Διὸς βουληθέντος βιάσασθαι εἰς ἔλαφον μετέβαλεν ἡ Ἄρτεμις, εἶτα πάλιν εἰς τὴν οἰκείαν φύσιν ἀποκαταστᾶσα καὶ γενομένη ἄνθρωπος καθιέρωσεν αὐτὴν τῇ Ἀρτέμιδι. [4]) § χρυσόκερων οὖσαν, ὡς παράδοξον ὑπὲρ τῆς εὐεργεσίας, διότι χρυσᾶ ποιήσασα κέρατα διέβαλεν [5]) ἐν αὐτῇ. οἱ δὲ, ὅτι αὐτοφυῆ ἦν τὰ τῆς ἐλάφου κέρατα χρυσᾶ, καὶ διὰ τοῦτο ὡς ἀξίαν θαύματος ἀνέθηκεν. [6]) § ἡ Ταϋγέτη τῆς Ἀρτέμιδός ἐστι φίλη. ταύτης ἠράσθη Ζεὺς, καὶ αὐτὴν Ἄρτεμις διωκομένην εἰς ἔλαφον μεταβάλλει. ὅθεν καὶ εἰς ὑπόμνημα τοῦ πραχθέντος τὴν ἔλαφον χρυσώσασα ἀνέθηκε γαμηθεῖσα Διΐ. [7]) Vet.

Ἱστορία, ὅπως ἐτέθη ἡ χρυσόκερως ἔλαφος τῇ Ἀρτέμιδι. Ταϋγέτη ἡ Ἄτλαντος θυγάτηρ ὑπὸ Διὸς ἐρασθεῖσα μετεβλήθη εἰς ἔλαφον ὑπ' Ἀρτέμιδος, καὶ οὕτω τὸν γάμον ἐξέφυγεν, ὕστερον δὲ ὑπ' αὐτῆς πάλιν ἐπανῆλθεν εἰς ἄνθρωπον. τούτων οὖν ἀμειβομένη τῇ Ἀρτέμιδι ἔλαφον ἀνατίθησιν αὐτῇ χρυσῷ κεκοσμημένην τὰ κέρατα, ἐν οἷς ἐπέγραψε· Ταϋγέτη ταύτην ἀφιεροῖ Ἀρτέμιδι· ἣν ἀγαγεῖν ὑπ' Εὐρυσθέως Ἡρακλῆς ἐπετάχθη· ὅθεν διώκων αὐτὴν μέχρις Ὑπερβορέων ἀφῖκτο, ἀφ' οὗ τὴν ἐλαίαν εἰς Ὀλυμπίαν ἤγαγε. τὸ δὲ ἀντιθεῖσα ἤγουν ἀνατιθεῖσα κατὰ συγκοπὴν, ἤγουν ἀνθ' ἑαυτῆς θεῖσα. Rec.

54. Ἀντιθεῖσ' Ὀρθωσίᾳ] Ὀρθωσία ἡ Ἄρτεμις παρὰ τὸ Ὀρθώσιον, ὅπερ ἐστὶν

[1]) Athen. IX. p. 396. Aelian. H. A. VII, 39. Fragm. 59. [2]) Ex Vrat. A. in quo omisso λέγει est Πίνδαρος ὁ Καμιρεὺς, et deinde Anacreontis locus, sed confusus et mutilus. De Theseide cf. schol. ad Olymp. XI, 83. de Pherecyde et Pisandro Heracleae auctore schol. ad Pyth. IX, 183. ne plura commemorem. [3]) Vrat. A. [4]) Vrat. D. et Vrat. A. [5]) Vox corrupta, ut alia in scholiis Vratislaviensibus multa, quae lectoribus emendanda relinquo. [6]) Vrat. A. [7]) Vrat. A.

Digitized by Google

ὄρος Ἀρκαδίας. § ἔστι δὲ καὶ ὄρος Ἀρκαδίας Ὄρθιον, ἀφ' οὗ καὶ ἡ θεὸς Ὀρθία καὶ Ὀρθωσία καλεῖται. § ἤτοι τῇ ὀρθούσῃ τὰς γυναῖκας καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἀγούσῃ. § Ὀρθωσίᾳ, τῇ Ἀρτέμιδι. περὶ τῆς Ἀρτέμιδος Ἀπολλόδωρος γράφει· Ὀρθωσία δὲ, ὅτι ὀρθοῖ εἰς σωτηρίαν, ἢ ὀρθοῖ τοὺς γεννωμένους. καὶ ἐν Ἀθήναις ἵδρυται, [1]) τὸ ἱερὸν δέ ἐστιν ἐν Κεραμεικῷ. καὶ παρ' Ἠλείοις Ὀρθωσίας Ἀρτέμιδος ἱερὸν, ὡς φησι Δίδυμος. [2]) Vet.

Ὀρθωσίᾳ, τῇ ἐν Ὀρθωσίῳ ὄρει Ἀρκαδίας τιμωμένῃ Ἀρτέμιδι, ἤγουν τῇ ὀρθούσῃ τὰς γυναῖκας ἐν τῷ τοκετῷ· ἔφορος γὰρ λοχείας. † Ὀρθωσία ἡ Ἄρτεμις παρὰ τὸ Ὀρθώσιον, ὅπερ ἐστὶν ὄρος Ἀρκαδικόν. ἔστι δὲ καὶ Ὄρθιον ὄρος Ἀρκαδίας, ἀφ' οὗ καὶ ἡ θεὸς Ὀρθὶς καὶ Ὀρθωσία καλεῖται. ἤγουν ἡ ὀρθοῦσα τὰς γυναῖκας, καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἄγουσα. Rec.

55. Τὰν μεθέπων] ἥντινα διώκων εἰς Ὑπερβορέους ἦλθεν. [3]) § ταύτην ἐπιδιώκων τὴν ἔλαφον ἐθεάσατο καὶ τοὺς Ὑπερβορέους ψυχροτάτους τόπους καὶ τὴν Σκυθίαν· ἔνθα στὰς ἐξεπλάγη τὰ δένδρα τῆς ἐλαίας, καὶ αὐτὸν ἐπιθυμία ἔλαβε φυτεῦσαι ἀπ' αὐτῶν περὶ τοὺς τοῦ σταδίου τόπους τοῦ ἱππικοῦ, ὥστε μετενεγκεῖν εἰς τὴν Ὀλυμπίαν. Vet.

† Σύνταξις. Τὰν μεθέπων] ταύτην διώκων εἶδε καὶ ἐκείνην τὴν γῆν τὴν τὰς ἐλαίας ἔχουσαν, ὄπισθεν τῶν πνοῶν τοῦ Βορέου τοῦ ψυχροῦ, ἤγουν κατὰ τὰ Ὑπερβόρεια μέρη· ὅπου σταθεὶς ἐθαύμαζε τὰ δένδρα, ὧν γλυκὺς ἵμερος καὶ ἔρως ἔλαβεν αὐτὸν, ὥστε φυτεῦσαι ἀπ' αὐτῶν δηλονότι, περὶ τὸ τέρμα τοῦ δρόμου τῶν ἵππων τὸ δωδεκάγναμπτον, ἤγουν ὃ δωδεκάκις οἱ ἀγωνιζόμενοι τεθρίππεις περιήρχοντο. § δωδεκάγναμπτον, τὸ ιβ' γναμπτοὺς ἔχον, ἐπειδὴ καὶ ιβ' δρόμους ἐποίει τὸ τέλειον ἅρμα τῶν ἵππων, τὸ δὲ πωλικὸν ἡ'. Rec.

56. Πνοιαῖς ὄπισθεν] τὸ πνοιαῖς ἀντὶ τοῦ πνοιῶν. Βορέα δὲ ἀντὶ τοῦ Βορέου Δωρικῶς. οἱ γὰρ Δωριεῖς τὴν ου δίφθογγον εἰς ᾱ μεταβάλλουσιν. [4]) Vet.

Βορέα] Ὑπερβόρεος γὰρ ἡ χώρα διὰ τὸ ὄπισθεν ἔρπον τῶν τοῦ Βορέου πνοῶν ἐν τοῖς Ῥιπαίοις ὄρεσιν. [5]) Vet.

59. Δωδεκάγναμπτον] δώδεκα γὰρ ἐν Ὀλυμπίᾳ τρέχει τὸ τέλειον ἅρμα, τὸ δὲ πωλικὸν ὀκτώ. [6]) Vet.

60. Ἵππων φυτεῦσαι] τὸ Πάνθειον, ἐν ᾧ πεφύτευται ἡ ἐλαία, ἣν δρέπει ἀμφιθαλὴς παῖς χρυσῷ δρεπάνῳ, κλάδους ιζ' τέμνων, ὅσα καὶ τὰ ἀγωνίσματα. [7]) Vet.

1) Nempe Diana Orthoia, sive statua aut templum eius. 2) Vrat. A. 3) Vrat. A. 4) Vrat. D. 5) Vrat. A. in quo Ῥιπέοις. 6) Vrat. D. 7) Vrat. A. in quo Πάνθιον et δρεπάναις. De Pantheo cf. schol. ad Olymp. VIII, 12. Et ex his quidem scholiis patet, Pantheum, de quo Aristoteles sive Aristotelicus π. θαυμασ. ἀκουσμ. sub initium dicit, et ex eo schol. Aristoph. Plut. 586. quem compilavit Suidas v. κοτίνου στεφάνῳ, fuisse Olympiae, quod latuit Hemsterhusium, dum eam rem expendit; idem tamen vaticinatus est, si veterum Graecorum ad Pindarica commentarii integri superessent, rem planiorem fore. De oleastro Olympico cf. schol. ad Olymp. VIII, 1. Theophr. Hist. Plant. IV, 14. Plin. H. N. XVI, 44. Strab. VIII, p. 542. A. et quae Hemsterhusius ad schol. Plut. l. c. Καλλιστέφανον vocatam esse illam ἐλαίαν praeter Aristotelem ac schol. Olymp. VIII. et X, 11 docet ex Aristotele schol. Theocr. IV, 7. Ceterum aliquid simile de Pythia lauro tradit Argum. Pyth. III.

Digitized by Google

61. Καὶ νῦν ἐς ταύταν ἑορτάν] τὴν τοῦ νικηφόρου πανήγυριν καὶ εὐωχίαν· εἰώθεισαν γὰρ εὐωχεῖσθαι. τὴν εὐωχίαν γὰρ ἑορτὴν εἶπε· φησὶ γὰρ ἔρχεσθαι εἰς τὴν τοῦ Θήρωνος ἑστίαν τόν τε Ἡρακλῆν καὶ τοὺς Διοσκούρους, εἰς τὰ Θεοξένια, [1]) ἐπεὶ ἐξένιζεν αὐτοὺς ὁ Θήρων. Vet.

† Σύνταξις. Καὶ νυν ἐς ταύταν ἑορτάν] καὶ δὴ εἰς ταύτην τὴν ἑορτὴν, ἤγουν εἰς τὰ Θεοξένια, εὐμενὴς ἔρχεται ὁ Ἡρακλῆς σὺν τοῖς δυσὶ παισὶ τῆς Λήδας τῆς βαθυζώνου, ἤγουν τῆς πολυτελεῖ ζώνῃ ποτὲ χρωμένης, ἤγουν τῆς πλουσίας. καθὰ λέγεται καὶ βαθὺς πλοῦτος ὁ πολὺς, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, τουτέστι τῆς δασείας. Rec.

62. Ἀντιθέοισιν νίσσεται] καὶ νῦν ἥξει ἐπὶ τῇ παρούσῃ πανηγύρει τοῦ Θήρωνος ὁ Ἡρακλῆς ἅμα τοῖς ἰσοθέοις τῆς Λήδας παισὶ Διοσκούροις· τούτοις γὰρ ἐπέτρεψε διατιθέναι τὸν ἀγῶνα Ἡρακλῆς, αὐτὸς λοιπὸν εἰς θεοὺς ἀναχωρῶν. Vet.

Ἀντιθέοισιν] ἀντὶ τοῦ, οἱ Διόσκουροι θνητοὶ ὄντες πρότερον ἀθανασίας ἔτυχον παρὰ τοῦ Διός. νίσσεται, ἔρχεται Ἡρακλῆς σὺν τοῖς Διοσκούροις. τούτοις γὰρ ἀποθεούμενος ἐπέτρεψε διοικεῖν. τὸ δὲ νίσσεται πρὸς τοὺς Διοσκούρους, ὅτι καὶ θνητοὶ ὄντες ἀθάνατοι ἐγένοντο. [2]) Vet.

Τοῖς ἀντιθέοις, ἤγουν τοῖς ἰσοθέοις, τουτέστι τοῖς Διοσκούροις. τούτοις γὰρ ἐπέτραπεν, ἤγουν ἐπὶ τῇ ἐξουσίᾳ γὰρ τούτων ἔδωκεν εἰς τὸν οὐρανὸν αὐτὸς ἀπερχόμενος, νέμειν, ἤγουν διοικεῖν τὸν θαυμαστὸν ἀγῶνα, περί τε τῆς ἀρετῆς, ἤγουν τῆς δυνάμεως, τῆς ἐμπειρίας τῶν ἀνδρῶν, καὶ τῆς διφρηλασίας, ἤγουν τῆς σπουδαίας κινήσεως τῶν δίφρων, τῆς ῥιμφαρμάτου, τουτέστι δι' ἧς ἡ ταχυτὴς τῶν ἁρμάτων δείκνυται. Rec.

64. Ἰών] πορευόμενος. Gl. γ.

66. Ἀνδρῶν τ' ἀρετᾶς] καὶ τὰ περὶ τῆς τῶν ἀνδρῶν ἀρετῆς διοικεῖν αὐτοῖς ἐπέτρεψε, τοῖς Τυνδαρίδαις. τὸ δὲ ῥιμφαρμάτου, τῆς ταχέα καὶ ὀξέα ἅρματα ἐχούσης. § Ἀρίσταρχος παρὰ τὴν ῥίψιν φησὶ γεγονέναι τὸ ῥιμφαρμάτου. σημαίνει δὲ ἡ λέξις τὴν ταχεῖαν φοράν. [3]) Vet.

67. Ἐμὲ δ' ὧν πα] ἀμφότεροι οἱ σύνδεσμοι παραπληρωματικοὶ, καὶ ἐν τῷ Θήρωνί τε ἐλθεῖν, ὅ τε. § ἐμὲ δέ πως ὑμνεῖν τοὺς Εὐμενίδας ἡ ψυχὴ παρακελεύεται λαχόντας νίκην παρὰ τῶν Διοσκούρων. φατρία ἦν οὕτω καλουμένη, ἐξ ἧς ἦν Θήρων καὶ ἀδελφὸς αὐτοῦ Ἱέρων, [4]) οἵτινες τούτους τοὺς θεοὺς ξενίζουσι πολλάκις εὐωχίαν ποιοῦντες. καὶ ἐκάλουν αὐτὴν Θεοξένια τὴν ἑορτὴν, ἔνθεν τοὺς Διοσκούρους ξενίζειν ἐδόκουν. [5]) Vet.

68. Ἐμμενίδαις] Ἐμμενίδαι φατρία Θήρωνος ἐν Σικελίᾳ. λέγει δὲ τοῖς Ἀκραγαντίνοις. Τηλεμάχου καταλύσαντος τὸν τῶν Ἀκραγαντίνων τύραννον Φάλαριν παῖς γίνεται Ἐμμενίδης, οὗ Αἰνησίδαμος, οὗ Θήρων καὶ Ξενοκράτης· Θήρωνος δὲ Θρασυδαῖος, Ξενοκράτους δὲ Θρασύβουλος. [6]) § Εὐμενίδαι λέγονται οἱ περὶ Θήρωνα, ὡς μὲν οἱ προϋπομνηματισάμενοι, ἀπὸ Εὐμένους τινὸς τοῦ τὴν Φαλάριδος τυραννίδα καθελόντος.

1) Hoc comma addidi ex Vrat. A. 2) Ex Vrat. A. 3) Indidem. 4) Immo Xenocrates. 5) Vrat. A. in quo ὅπως et οὖν οὕτω p. ἦν οὕτω. Ceterum in eodem semper audiunt Εὐμενίδαι, quod vitium librarii, ut opinor, nolui delere. 6) Cf. nos ad schol. Olymp. II, 82.

Digitized by Google

ἦν δὲ ὁ Εὐμένης Τηλεμάχου παῖς, οὗ γίνεται Αἰνησίδαμος, οὗ Θήρων, οὗ Θρασυδαῖος καὶ Φιλοκράτης. [1]) Vet.

† Ἐμμενίδαι, φατρία Θήρωνος ἐν Σικελίᾳ. Τηλέμαχος γάρ τις καταλύσας τὴν Φαλάριδος τυραννίδα ἐν Ἀκράγαντι, τὴν βασιλείαν ἐκτήσατο· οὗ παῖς γίνεται Αἰνησίδαμος ὁ Θήρωνος πατήρ. † Σύνταξις. ἐμὲ δ' οὖν ἡ ψυχὴ διεγείρει εἰπεῖν, δόξαν ἐλθεῖν τοῖς Ἐμμενίδαις, ἤγουν τῇ φατρίᾳ τοῦ Θήρωνος, τουτέστι τοῖς Ἀκραγαντίνοις καὶ τῷ Θήρωνι, τῶν Τυνδαριδῶν, ἤγουν τῶν Διοσκούρων τῶν εὐίππων, τουτέστι τῶν ἐπὶ καλῶν ἵππων ὀχουμένων, διδόντων αὐτὴν δηλονότι, διότι αὐτοὺς ἐπέρχονται, ἤγουν δεξιοῦνται· διὰ τραπεζῶν ξενοδοχικῶν πάνυ πλειόνων τῶν ἄλλων ἀνθρώπων, ἀντὶ τοῦ τραπεζῶν, ἃς οἱ ἄλλοι οὐ ποιοῦσιν ἄνθρωποι. ἢ οὕτω· διότι αὐτοὺς δεξιοῦνται διὰ πλείστων τραπεζῶν πρὸς ἀνθρώπους ξενοδοχικῶν, κατὰ εὐσεβῆ προαίρεσιν φυλάσσοντες, ἤγουν τηροῦντες, τιμῶντες τὰς ἑορτὰς τῶν θεῶν. Rec.

71. Ὅτι πλείσταισι] πάνυ πλείοσι τῶν ἄλλων ἀνθρώπων· ὅτι ἐπ' αὐτοὺς τοὺς Διοσκούρους οἱ πρόγονοι τοῦ Θήρωνος καὶ αὐτὸς ὁ Θήρων οἴχονται καὶ πορεύονται ἐν πλείσταις ἀνθρώπων ξενίαις τραπέζαις, τουτέστιν ὡς οὐδένες ἀνθρώπων θυσίαις καὶ πανηγύρεσιν αὐτοὺς τιμῶσι, φυλάσσοντες καὶ τηροῦντες τὰς τελετὰς καὶ τὰς ἑορτὰς τῶν μακάρων ἐν εὐσεβεῖ γνώμῃ, τουτέστιν εὐσεβεῖς ὄντες καὶ περὶ τὰς τῶν θεῶν τιμὰς ἀσχολούμενοι. Rec.

72. Ξενίαις] φιλοφροσύναις. Gl. α. Αὐτούς] τοὺς ἀγωνιστάς. Gl. γ.

Ξενίαις ἐποίχονται] ὅτι ἡ γενομένη θυσία τοῖς Διοσκούροις ξενισμὸς λέγεται. § ταῖς γινομέναις θυσίαις τοῖς Διοσκούροις ὑπ' αὐτῶν ὡς εὐσεβῶν ὄντων. ἀγαθῇ οὖν γνώμῃ καὶ συνειδήσει οἱ Ἐμμενίδαι τὰς θυσίας ἀεὶ πληροῦσιν. § ἀντὶ τοῦ περιέπουσι, τιμῶσιν οἱ Εὐμενίδαι. [2]) Vet.

74. Τελετάς] ἢ τῶν Διοσκούρων, ἢ πάντων τῶν θεῶν. τελετὰς δὲ νῦν τὰς ἑορτάς· οὐ γὰρ τὰ ὄργια. [3]) Vet.

75. Εἰ δ' ἀριστεύει μὲν ὕδωρ] εἰ δὲ τὸ ὕδωρ μὲν τῶν λοιπῶν στοιχείων προτετίμηται καὶ τοῦ πλούτου ὁ χρυσὸς καὶ τῶν ἀγώνων ὁ Ὀλυμπιακός, δῆλόν ἐστιν ὅτι πρὸς τὸ τέλος τῆς ἀρετῆς ὁ Θήρων παρεγένετο νικήσας, καὶ αὐταῖς τρόπον τινὰ ταῖς Ἡρακλείαις στηλαῖς προσεπέλασεν. § Ἄλλως. καθολικῶς πάντων εἰπὼν, ὥσπερ οὖν, φησὶ, τὸ ὕδωρ ἀριστεύει πάντων, οὕτω καὶ Θήρων ἀριστεύει τῶν ἀνθρώπων. § Ἄλλως. εἰ δὲ τὸ ὕδωρ τῶν ἄλλων στοιχείων διαφέρει καὶ ὁ χρυσὸς τοῦ πλούτου, νῦν γε ὁ Θήρων πρὸς τὸ ἔσχατον καὶ ἄκρον τῆς νίκης ἱκάνων ἅπτεται ταῖς οἴκοθεν ἀρεταῖς τῶν Ἡρακλέος στηλῶν, καὶ τὸ πόρσω ἐστὶ βροτοῖς σοφοῖς ἄβατον καὶ ἀσόφοις. οὐδαμῶς οὖν αὐτὸ τὸ πόρσω διώξω, καὶ μεῖζον ζητήσω τοῦ Ὀλυμπιακοῦ ἀγῶνος. § πρὸς ἐσχατιὸν δὲ ἀρεταῖσιν, εἰς ἄκρον ἥκει ἀρετῆς, τοῦ Ὀλυμπιακοῦ ἀγῶνος στέφανον τετυχηκώς. § εἰ ταῦτα, φησὶ, ἀνεπίληπτα καὶ φανερὰ, ὅτι τὸ μὲν ὕδωρ ἄριστόν ἐστιν, τῶν δὲ ἄλλων

1) Vrat. A. in quo προμνηματισάμενοι, correctum a Gerhardo. Cave vero quidquam tribuas Eumeni et Philocrati. Philocratis nomen ortum ex Xenocrate Theronis fratre. Neque Emmenides, sed Telemachus dicitur Phalaridis tyrannidem abolevisse. Adeo perturbata haec scholia sunt.
2) Vrat. A. 3) Vrat. A.

Digitized by Google

κτεάνων ὁ χρυσός· καὶ τὸ περὶ τοῦ Θήρωνος λεγόμενον σαφές ἐστιν, ὅτι τοῦ Ὀλυμπιακοῦ τετυχηκὼς στεφάνου νῦν ἐξ οἴκου ἅπτεται πρὸς αὐτὴν ἤδη τὴν ἐσχατιὰν, μέχρι τῶν τοῦ Ἡρακλέους στηλῶν. ἀλληγορικῶς δὲ βούλεται εἰπεῖν, ὅτι ἐπ' ἄκρον τῆς ἀρετῆς ἐλήλυθεν. [1]) Vet.

Σύνταξις. Εἰ δ' ἀριστεύει μέν] εἰ δὲ ἄριστον μέν ἐστι τὸ ὕδωρ τῶν ἄλλων δηλονότι στοιχείων, τῶν κτημάτων δὲ ὁ χρυσός ἐστιν αἰδοιέστατον, κτῆμα δηλονότι, ἤγουν τιμιώτατον· τὸ γὰρ πλεῖστα αἰδοῦς ἄξιον τιμιώτατον πάντως· νῦν γε ὁ Θήρων πρὸς τὴν ἐσχατιὰν, ἤγουν τὸ ἀκρότατον καταλαμβάνων, ἅπτεται ταῖς οἴκοθεν ἀρεταῖς, τουτέστι ταῖς γνησίαις, ταῖς οἰκείαις τῷ γένει αὐτοῦ. § Ἄλλως. Οἴκοθεν· ἀφ' ἑαυτοῦ καὶ οὐκ ἀπὸ τύχης πατέρων, ὡς ἕτεροι. Rec.

77. Νῦν δέ] ἀντὶ τοῦ νῦν ἤδη. παρατηρητέον δὲ, ὅτι οὐδὲν ἀτύχημα γέγονε περὶ τὸν οἶκον Θήρωνος. πρὸς ἐσχατιὰν, μέχρι τοῦ ἐφικτοῦ καὶ τοῦ ἐσχάτου τέλους τῆς ἀρετῆς ἐρχόμενος. [2]) Vet.

79. Οἴκοθεν] διὰ τῶν οἰκείων ἀρετῶν. Vet.

Ἡρακλέος στηλᾶν] ὁ Ἡρακλῆς ἡνίκα ἐπὶ τὰς Γηρυόνου βοῦς εἰς τὴν Ἐρύθειαν [3]) λεγομένην νῆσον πρὸς τῷ Ὠκεανῷ παρεγένετο, πᾶσαν διεξελθὼν τὴν πλεομένην θάλασσαν ἐβούλετο προσωτέρω χωρεῖν· εἶτα χάος εὑρὼν καὶ ζόφον ἔστησε στήλας, δι' ὧν ἐμήνυσε τὸ τέλος τῆς θαλάσσης, ὡς μηδὲν εἶναι περαιτέρω πλωτόν. πρὸς τοῦτο οὖν ἡ διάνοια ἀποδίδοται, ὅτι ὁ νικήσας Ὀλύμπια μηδὲν ζητείτω πλέον· ἔχει γὰρ τὸ τέλος τῆς εὐδαιμονίας, ὥσπερ τὸ τέλος τῆς θαλάσσης αἱ Ἡρακλέος στῆλαι ἐν τόπῳ Γαδείρων. Vet.

Ἡρακλέος στηλᾶν] τῶν στηλῶν τοῦ Ἡρακλέους. τοῦτο δέ φησιν, ἐπειδὴ ἐνίκησε τὰ Ὀλύμπια, τὸν κράτιστον ἀγῶνα τῶν ἄλλων. τὸ πόρσω δὲ, τουτέστι τὸ πόῤῥω, ἀντὶ τοῦ τὰ περαιτέρω, ἄβατόν ἐστι καὶ ὑπὸ τῶν σοφῶν καὶ ὑπὸ τῶν ἀσόφων. οὐ μὴν διώξω, ἤγουν οὐ ζητήσω, τουτέστιν ὅσον τὸ κατ' ἐμὲ οὐκ ἂν ἐδίωξα. κεινὸς, ἤγουν μάταιος ἂν εἴην, εἰ ἐζήτησα τοῦτο δηλονότι. § ἄβατον τὸ μὴ πρέπον πατηθῆναι, καὶ ὃ οὐ διῆλθέ τις, καὶ ὃ οὐ δύναταί τις διελθεῖν, ἤγουν τὸ ἀδιεξίτητον· ἐνταῦθα κατὰ τὸ γ' λέγεται σημαινόμενον. § Ἡρακλέος στηλᾶν, ἃς ἐν Γαδείροις ἔστησεν, ὅτε πρὸς ζήτησιν τῶν Γηρυόνου βοῶν ἀφῖκτο. ὅτι δὲ οὐκ ἔστιν ἐπέκεινα τούτων ἐλθεῖν, ἡ παροιμία δηλοῖ. παροιμία· τὰ πέρα Γαδείρων οὐ περατά. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι ὥσπερ τῶν Ἡρακλείων στηλῶν οὐκ ἔστιν ἐπέκεινά τι, οὕτω καὶ Θήρων εἰς τὸ ἀκρότατον τοῦ θαύματος ἰὼν οὐκ ἂν ἔχοι πορῤῥωτέρω ἐλθεῖν· πάντες γὰρ καὶ σοφοὶ καὶ ἄσοφοι μὴ εἶναι ταύτης ἔτι μείζω εὐδαιμονίαν εἴποιεν, ὥστε καὶ αὐτὸς, εἰ πλέον τι ζητοίην πρὸς τὸν αὐτοῦ ἔπαινον, μάταιος ἂν εἴην. Rec.

Τὸ πόρσω] τὸ ἐπέκεινα τῶν στηλῶν. τὸ γὰρ περαιτέρω τῶν Ἡρακλείων στηλῶν χωρεῖν οὔτε σοφὸς οὔτε μὴ σοφὸς ζητήσειεν ἄν· ὁ μὲν γὰρ σοφὸς εἰδὼς οὐκ ἐθελήσει, ὁ δὲ ἄφρων, κἂν τολμήσῃ, τῆς ἐλπίδος στερήσεται· ὥστε πᾶσιν ἀδύνατον εἶναι· [4]) ἀλλ' οὐδὲ αὐτὸς ἐγὼ τὸ τοιοῦτο διώξω. εἴην γὰρ ἂν κενός τις καὶ ἀπαίδευτος. § τὸ ἐπι-

1) Vrat. A. qui ἄκρου. 2) Vrat. A. qui ᾠδῆς ante ἀρετῆς. 3) Vulgo Ἐρυθράν. Vrat. D. Ἐρυθιάν. 4) Haec inde ab ὁ μὲν γὰρ Vrat. A.

Digitized by Google

πόρρω τούτων φησὶν ἄβατον εἶναι καὶ πᾶσιν ἀνέφικτον καὶ σοφοῖς καὶ ἀσόφοις. τὰ δὲ ὑπὲρ τὰ ἐκεῖ φθάσαι καὶ τοῖς ποιηταῖς ἀδύνατα, ὡς εἶναι ἄγνωστα καὶ τοῖς σοφοῖς. [1]) Vet.

Τὸ πόρσω] ἄγνωστον. Gl. γ.

80. Σοφοῖς] φρονίμοις. Gl. α.

81. Διώξω] ἐρευνήσω. Gl. γ.

Κεῖνος] ὁ τῶν δυνατῶν ἐφιέμενος καὶ μὴ ἀδυνάτων ἐρῶν. ἔνιοι δὲ ἀναγινώσκουσι, κεινὸς εἴην, ὡς παρ' Ὁμήρῳ· Κεινὴ δὲ τρυφάλεια· [2]) ἵν' ᾖ· ἐὰν διώξω τὰ ἀδύνατα, κεινὸς εἴην, οἷον ἄφρων, ὡς ἀδυνάτων ἐφιέμενος. Vet.

Κεῖνος εἴην] ἐπιστήσας τις λογισμῷ καὶ εὑρὼν, ὅτι τὰ εὐκτικὰ τῶν ῥημάτων, ὅτε μὲν κυρίως εὐκτικά εἰσι καὶ εὐχὴν περιέχουσιν, ἄνευ συνδέσμου τινὸς προφέρονται, τοῦ ἂν δηλαδὴ ἢ τοῦ εἰ ἢ ἑτέρου ὑποτακτικοῦ μορίου, ὁπηνίκα δὲ ἀντὶ ὑποτακτικῶν λαμβάνονται, τὰ εἰρημένα μόρια συμπροφερόμενα ἔχουσι, τὸ κεινὸς ὥσπερ διορθούμενος κεῖνος ἔγραψεν, ἵν' οὕτως εὐκτικῶς τὸ εἴην ἀποδοθῇ καὶ ἀναχθῇ τὸ νόημα πρὸς τὸν Θήρωνα, εὐχομένου δηλαδὴ τοῦ ποιητοῦ τὸ γενέσθαι κατὰ Θήρωνα, καὶ μὴ πλέον τι. καλῶς μὲν οὖν ὁ ἀνὴρ ἐπεστάτησεν, ὡς ἐπήβολος ἄριστος τῆς γραμματικῆς τέχνης· τοῦτο δὲ μόνον ἠγνόησεν, ὅτι ἡ γραμματικὴ ἐπὶ μόνῃ τῇ κοινῇ διαλέκτῳ τὸ κράτος ἔχει καὶ δι' αὐτὴν συνεστάθη· πρὸς γὰρ τὰς ἄλλας, τὴν Δωρίδα φημὶ καὶ Αἰολίδα καὶ Ἀττικὴν καὶ Ἰάδα, λίαν ἔχει ἀσυντελῶς. διὰ τοῦτο ἐπὶ μὲν τῆς κοινῆς κανόνας ἀπαιτούμεθα, ἐπὶ δὲ τῶν ἄλλων μόνα ἰδιώματα· οἷον, τόδε ἰδίωμα Δωριέων καὶ τόδε Ἀττικῶν. ἰστέον οὖν, ὅτι τὸ κεινὸς εἴην Δωρικῶς κείμενον παρὰ τῷ Πινδάρῳ ἐστὶν, ὃς τὰ πλείω Δωριστὶ γράφει· οἱ δὲ Δωριεῖς ὀλιγοφραδεῖς καὶ συλληπτικοί, ὡς δῆλον ἀπὸ τοῦ χρὴ καὶ χρῆν, ὧν τὸ μὲν χρὴ ἀντὶ τοῦ χρεών ἐστι συντεθέν· διὸ καὶ τοῦ ἐστὶ τὸν τόνον ἔχει· τὸ δὲ χρῆν, ἀπὸ τοῦ χρεὼν ἦν· διὸ καὶ περισπᾶται. εἴπης οὖν καὶ τὸ εἴην ἂν συλληπτικῶς καὶ Δωρικῶς, ὡς τῆς συλλαβῆς τῆς ἦν ἐπελθούσης τῇ ἂν, καὶ ἀρκούσης καθ' ἑαυτῆς καὶ τοῦ συνδέσμου παρὰ τῷ Δωριεῖ. [3]) Rec.

[1]) Vrat. A. in quo πάλιν p. πᾶσιν, et deinde τὰ δὲ ὑπέρ. [2]) Hoc de Homero addidi ex Vrat. A. Vide Iliad. γ, 376. [3]) Hoc scholium, quamquam olim inter vetera habebatur, est Triclinii, quantum augurari ex genere dicendi licet.

Digitized by Google

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Δ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τετάρτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιε'. Τὸ α' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἀνακλώμενον· υ υ - υ - υ υ - -. Τὸ β' ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον· υ υ - υ υ -. Τὸ γ' ἰθυφαλλικὸν, ὅπερ ἐστὶ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον· - υ - υ - υ. Τὸ δ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, τῆς πρώτης μακρᾶς ἀναλυομένης· υ υ - υ υ - - υ υ - -. Τὸ ε' Ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐπίμικτον πρὸς τροχαϊκὴν συζυγίαν· - - υ υ - υ - -. Τὸ ς' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον· - - υ υ - - υ υ - -. Τὸ ζ' λογαοιδικὸν, ἐξ ἀναπαίστων καὶ ἰάμβου καὶ συλλαβῆς. τὸ δὲ λογαοιδικὸν εὕρηται καὶ ἐν δακτύλοις, ἤγουν ῥυθμὸς ἐν λογογράφοις οἰκείως καὶ ἀοιδοῖς συγκείμενος· ὁ δάκτυλος ἀοιδοῦ, ὁ τροχαῖος λογογράφου· ὅτε γοῦν εἰσι δάκτυλοι καὶ ὁ ὕστερος τροχαῖος, τότε λογαοιδικὸν λέγεται. ὥςπερ καὶ ἐνταῦθα οἱ ἀιάπαιστοι ἀοιδοῦ, ὁ ἴαμβος λογογράφου· εἰ δὲ σπονδεῖοι εἰσὶ, μὴ ξενίση. οἱ γὰρ σπονδεῖοι σύμπτυκτοι ἀνάπαιστοι λέγονται, ὡς καὶ τὰ εἰς Σωτῆρα Χριστὸν τὸν Ὠραιοπυλιώτην, ἐπὶ τοῦ μαρμάρου ἄνω τῶν ἔξωθεν πυλῶν, ὅπου ἐζωγράφηται Ἰουστινιανὸς καὶ ὁ μέγας Κωνσταντῖνος· - - - - - - υ - -. Τὸ η' Φερεκράτειον, λειπούσης τῆς τελευταίας συλλαβῆς, ἤγουν ἐξ ἐπιτρίτων· - υ - υ υ -. Τὸ θ' ἰαμβικὸν ἑφθημιμερές· υ - υ - υ - -. Τὸ ι' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. ἐπιωνικὸν δὲ λέγεται καὶ οὐκ Ἰωνικὸν, ὅτι ἰαμβικὴν πρώτην συζυγίαν ἔχει ἀνοικείαν τοῖς Ἰωνικοῖς, καὶ πάλιν ὕστερον ἴαμβον· - - υ - - υ - - υ -. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διαλυθέντων τῶν ποδῶν· - υ - υ υ - υ υ υ -. Τὸ ιβ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον· υ υ - - - υ - υ -. Τὸ ιγ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον· - - υ υ - -. Τὸ ιδ' Ἰωνικὸν δίμετρον καταληκτικὸν, πρὸς τροχαϊκὴν συζυγίαν ἐπίμικτον· υ - υ υ - υ -. Τὸ ιε' ἰαμβικὸν πενθημιμερές· υ - υ - -.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιβ'. Τὸ α' Ἰωνικὸν δίμετρον ἀκατάληκτον, κειμένης ἔμπροσθεν συλλαβῆς, [1]) μεμιγμένον τοῖς τροχαίοις· - - - υ υ - υ - υ. Τὸ β' χοριαμβικὸν δίμετρον καταληκτικόν. ἔχει δὲ κατακλεῖδα οἰκείαν ἰαμβικήν· - υ υ - υ - -. Τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· υ - υ - υ - υ -. Τὸ δ' προσοδιακὸν δίμετρον ὑπερκατά-

[1]) Legebat metricus ἅπερ καὶ. Vide nott. critt.

Digitized by Google

ληκτον· – – – υ – υ υ – –. Τὸ ε' δίμετρον ὑπερκατάληκτον ἐπὶ χοριάμβῳ, ἀπὸ τροχαίου ἀναλυομένου· υ υ υ – υ – – υ – –. Τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· υ – υ υ υ υ –. Τὸ ζ' δακτυλικὸν τρίμετρον καταληκτικόν· – υ υ – υ υ – υ. Τὸ η' περιοδικόν· οἷον ἴαμβος διπλοῦς καὶ ἐξ ἀρχῆς καὶ ἐκ τέλους ἀρχόμενος· – – υ – – υ – υ. Τὸ θ' περιοδικὸν τροχαϊκὸν ἀπὸ ἰάμβου καταληκτικόν· υ – – υ – υ –. Τὸ ι' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· υ – υ υ υ υ –. Τὸ ια' τροχαϊκὸν ἐπίτριτον, τοῦ πρώτου ποδὸς ἀναλυομένου, ἔτι δὲ καὶ τοῦ δευτέρου· υ υ – υ υ υ – υ υ –. Τὸ ιβ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· υ – υ – υ –.

Idem ex codice Trichae ἐκ παλαιοῦ βιβλίου.

Περὶ τῶν κώλων τῆς στροφῆς τοῦ δ' εἴδους.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιε'. τὸ α' προσοδιακὸν ἀνακλώμενον δίμετρον ὑπερκατάληκτον. τὸ β' ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ γ' διθυφαλλικόν, ἤτοι τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. λέγεται τοῦτο καὶ ἡμιόλιον, καθότι τροχαϊκὸν ἓν μέτρον ἐστὶ καὶ ἥμισυ. ἡ τελευταία ἀδιάφορος. τὸ τέταρτον Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος. ἡ πρώτη δὲ μακρὰ συλλαβὴ διαλύεται εἰς δύο βραχείας. τὸ πέμπτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τῶν ἀρχουσῶν οὐσῶν ἀδιαφόρων, καὶ ἐν μὲν τῷ α' Ἰωνικῷ ἀρχομένου ἰάμβου· ὃ καὶ Ἡφαιστίων παρατηρεῖται· πολλάκις γάρ, φησίν, ἀπὸ βραχείας ὁ μείζων Ἰωνικὸς ἄρχεται τοῖς μετρικοῖς· ἐν δὲ τῷ δευτέρῳ τροχαῖος, ὃς οἰκεῖος Ἰωνικοῖς. τὸ ἕκτον Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. τὸ ἕβδομον λογαοιδικὸν ἐξ ἀναπαίστων. τὸ ὄγδοον Φερεκράτειον ἀντισπαστικόν. ἔστι δ' ὅτε ὁ α' γίνεται ἐκ σπονδείου ἀντίσπαστος. ἐνδεῖ δὲ συλλαβῆς πρὸς τὸ Φερεκράτειον εἶναι. ἔοικε δὲ εἶναι διτρόχαιον. τὸ ἔννατον ἰαμβικὸν ἑφθημιμερές. τὸ δέκατον ἐπιωνικὸν ἀπ' ἐλάσσονος. τὸ ἑνδέκατον τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διαλυθέντων τῶν δύο ποδῶν. τὸ δωδέκατον Ἰωνικὸν ἐξ ἐλάσσονος καὶ μείζονος δίμετρον ὑπερκατάληκτον. τὸ τρισκαιδέκατον Ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον. τὸ τεσσαρεσκαιδέκατον Ἰωνικόν· ἡ κατακλεὶς τροχαῖος. τὸ πεντεκαιδέκατον ἰαμβικὸν πενθημιμερές.

Περὶ τῆς ἐπῳδοῦ.

Ἡ ἐπῳδὸς κώλων ιβ'. τὸ α' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τὸ β' χοριαμβικόν· ἡ κατακλεὶς ἴαμβος, ὡς συγγενής. τὸ γ' ἰαμβικόν. τὸ τέταρτον προσοδιακὸν ἐξ Ἰωνικοῦ καὶ χοριάμβου καὶ συλλαβῆς. τὸ ε' ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ τροχαίων ἀρχόμενον· ὁ α' τρίβραχυς. τὸ ἕκτον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ἕβδομον δακτυλικὸν τρίμετρον καταληκτικόν· μετρεῖται δὲ καὶ ὡς προσοδιακόν. τὸ ὄγδοον περιοδικόν· διπλοῦς ἴαμβος καὶ διπλοῦς τροχαῖος, ὡς ἐν τῷ α' κώλῳ τοῦ β' εἴδους. τὸ ἔννατον περιοδικόν· διπλοῦς τροχαῖος, ἀρχομένου ἰάμβου. τὸ δέ-

Digitized by Google

κατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ἑνδέκατον τροχαϊκὸν, λυομένου ποδὸς τοῦ α'. οἱ τέσσαρες δὲ τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὥςπερ καὶ οἱ [1]) τρεῖς ἡμιόλιον. τὸ δωδέκατον ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Idem ex Vrat. A. Mosc. B. [2])

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τετάρτου εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῆς μιᾶς.

Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ἑκάστη ιε'. Τὸ πρῶτον προςοδιακὸν ἀνακλώμενον δίμετρον ὑπερκατάληκτον. ἀνακλώμενον δὲ καλεῖται τὸ μέτρον, ὅτι πολλάκις ὁ λείπων χρόνος ἔν τινι βάσει ἀνακλᾶται εἰς ἄλλην βάσιν. παίων γάρ ἐστι τρίτος ὁ πρῶτος ποὺς ἀντὶ Ἰωνικοῦ τοῦ ἀπ' ἐλάσσονος, καὶ ὁ λείπων χρόνος ἀνεκλάσθη εἰς τελευταίαν τοῦ κώλου συλλαβήν. Τὸ δεύτερον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ τρίτον ἰθυφαλλικὸν, ἤτοι τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. τοῦτο δὲ καὶ ἡμιόλιον λέγεται, ὡς ἔχον τὴν συζυγίαν τῶν ποδῶν καὶ τὸ ἥμισυ ταύτης. ἡ τελευταία ἀδιάφορος. Τὸ δ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἡ πρώτη δὲ μακρὰ τοῦ Ἰωνικοῦ διαλύεται εἰς δύο βραχείας, καὶ γίνεται ὁ ποὺς πεντασύλλαβος. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν, ὡς ἐμοὶ δοκεῖ, δίμετρον ἀκατάληκτον. Τὸ ε' Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τῶν ἀρχουσῶν οὐσῶν ἀδιαφόρων, ὡς ἐν τῷ πρώτῳ Ἰωνικῷ ἀρχομένου ἰάμβου καὶ γινομένου δευτέρου παίωνος, ὃ καὶ Ἡφαιστίων παρατηρεῖ· πολλάκις γάρ, φησὶν, ἀπὸ βραχείας ὁ μείζων Ἰωνικὸς ἄρχεται τοῖς μετρικοῖς, ὃ δεύτερος ἀπὸ τροχαίου, ὃς οἰκεῖός ἐστι τοῖς Ἰωνικοῖς. τοῦτο καὶ ἰαμβικόν ἐστιν ἑφθημιμερὲς ἐκ δευτέρου ἀναπαίστου. Τὸ ἕκτον Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. Τὸ ἕβδομον λοχαοιδικόν. ἐξ ἀναπαίστων δὲ ἢ δακτύλων σύγκειται τοῦτο τὸ μέτρον, ἐνταῦθα δὲ ἐκ σπονδείων, πλὴν τῆς τελευταίας· οἰκεῖοι δὲ καὶ οἱ σπονδεῖοι ἀναπαίστοις. Τὸ ὄγδοον Φερεκράτειον ἀντισπαστικόν. ἔστι δ' ὅτε ἐκ σπονδείου ἄρχεται ὁ πρῶτος ἀντίσπαστος. πολλάκις δὲ καὶ διτρόχαιος γίνεται. ἐνδεῖ δὲ συλλαβῆς πρὸς τὸ τέλειον Φερεκράτειον εἶναι. δίμετρον γάρ ἐστι βραχυκατάληκτον καὶ ἡμιόλιον. Τὸ θ' ἰαμβικὸν ἑφθημιμερές. Τὸ ι' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· τῆς γὰρ πρώτης συζυγίας οὔσης ἰαμβικῆς ἡ δευτέρα ἐστὶ τροχαϊκή. διὰ τοῦτο ἐπιωνικὸν ὀνομάζεται. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ δευτέρου ποδὸς δακτύλου, τοῦ τετάρτου δὲ χορείου. διελύθη γὰρ ὁ τροχαῖος εἰς τρίβραχυν. Τὸ ιβ' Ἰωνικὸν ἐξ ἐλάσσονος καὶ μείζονος ἢ διτροχαίου δίμετρον ὑπερκατάληκτον. Τὸ ιγ' Ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον. τοῦτο καὶ ἀναπαιστικόν ἐστι πενθημιμερές. Τὸ ιδ' Ἰωνικὸν ἐκ παίωνος δευτέρου· ἡ κατακλεὶς τροχαῖος. Τὸ ιε' ἰαμβικὸν πενθημιμερές. ἑξῆς δὲ ἐπὶ τῷ τέλει τῶν στροφῶν καὶ ἀντιστροφῶν παράγραφος.

1) Vulgo ἡ, et paullo ante ἐπίτριτοι. 2) Est hoc antecedentis recensio Tricliniana.

Digitized by Google

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἡ ἐπῳδὸς κώλων ιβ'. Τὸ πρῶτον Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον χοριαμβικὸν δίμετρον καταληκτικόν· ἡ κατακλεὶς ἴαμβος, ὡς συγγενής. Τὸ γ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' προσοδιακὸν ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς, ἤτοι δίμετρον ὑπερκατάληκτον. Τὸ ε' ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ τροχαίων ἀρχόμενον. ὁ πρῶτος δὲ τροχαῖός ἐστι τρίβραχυς. Τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ δεύτερος τρίβραχυς. Τὸ ζ' δακτυλικὸν τρίμετρον καταληκτικόν· κατὰ μονοποδίαν γὰρ μετρεῖται τὰ τοιαῦτα. μετρεῖται δὲ ὡς προσοδιακὸν, τοῦ πρώτου χοριάμβου. Τὸ η' περιοδικὸν, διπλοῦς ἴαμβος καὶ διπλοῦς τροχαῖος, ὡς ἐν τῷ πρώτῳ κώλῳ εἴρηται τῆς στροφῆς τοῦ β' εἴδους. Τὸ θ' τροχαϊκὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς ἰάμβου ἀρχομένου. δέχεται δὲ καὶ ἴαμβον τὸ τοιοῦτον μέτρον. οἱ δὲ λέγοντες τοῦτο περιοδικὸν οὐ καλῶς λέγουσιν. Τὸ ι' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ τρίτου ποδὸς ἀναπαίστου. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, λυομένου τοῦ πρώτου ποδὸς, τοῦ δὲ δ' ἰάμβου· ὡς δὲ ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου διαλελυμένου ἢ μᾶλλον ἐπιτρίτου τετάρτου καὶ χοριάμβου. ἰστέον δὲ ὅτι οἱ τέσσαρες τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὥσπερ καὶ οἱ τρεῖς ἡμιόλιον. Τὸ ιβ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἑξῆς δὲ ἐπὶ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος.

Idem brevius ex Vrat. D.

Τοῦ δ' εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων νε'. Τὸ πρῶτον ἀνακλώμενον προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ δεύτερον ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ τρίτον ἰθυφαλλικόν. Τὸ δ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον, τῆς πρώτης μακρᾶς ἀναλυομένης. Τὸ ε' Ἰωνικὸν δίμετρον ἀκατάληκτον ἀδιαφόρου [1]) τῆς ἀρχούσης. Τὸ ς' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' λογαοιδικὸν ἐξ ἀναπαίστων καὶ ἰάμβου καὶ συλλαβῆς..... Τὸ θ' ἰαμβικὸν ἐφθημιμερές. Τὸ ι' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ια' τροχαϊκὸν ἀκατάληκτον, διαλυθέντων τῶν ποδῶν. Τὸ ιβ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ιγ' Ἰωνικὸν δίμετρον καταληκτικὸν, ἢ Ἰωνικὸν τῆς πρώτης ἀδιαφόρου οὔσης διὰ τὸ ἀντίστροφον. [2]) ..... Τὸ ιε' ἰαμβικὸν πενθημιμερές. Ἡ δὲ ἐπῳδὸς κώλων ιβ'. Τὸ πρῶτον Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ δεύτερον χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ τρίτον ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ τέταρτον προσοδιακὸν τοῖς κεφαλαίοις συνῃρημένον. Τὸ ε' δίμετρον ὑπερκατάληκτον ἐπὶ χοριάμβου ἀπὸ τροχαίου ἀναλυόμενον. Τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ζ' δακτυλικὸν τρίμετρον καταληκτικὸν, ἢ προσοδιακὸν τοῦ Ἰωνικοῦ δευτέρου ὄντος. Τὸ η' περίοδος, διπλοῦς ἴαμβος. Τὸ θ' περίοδος, τροχαϊκὸν [3]) ἀπὸ ἰάμβου καταληκτικόν. Τὸ ι' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ια' τροχαϊκὸς ἐπίτριτος, τοῦ πρώτου ποδὸς ἀναλυομένου. Τὸ ιβ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

[1]) Cod. ἀδιάφορον. [2]) Metricus legebat Ὀλυμπιονίκαν. [3]) Cod. τροχαῖος.

Digitized by Google

Ψαύμιδι Καμαριναίῳ.] Γέγραπται ἡ ᾠδὴ Ψαύμιδι Καμαριναίῳ νικήσαντι τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα τεθρίππῳ, [1]) παιδὶ Ἄκρωνος. Καμάρινα δὲ πόλις Σικελίας, ἧ ὁμώνυμος καὶ λίμνη. [2]) Vet.

1. Ἐλατήρ] διῶκτα. Gl. γ.

Ἐλατὴρ ὑπέρτατε βροντᾶς] ἐπειδὴ ὁ ἀγὼν Ὀλυμπιακὸς, τοῦτον δὲ ὁ Ψαῦμις ἐνίκησεν, εἰκότως ἐξ αὐτοῦ τοῦ Διὸς ποιεῖται τὸ προοίμιον τοῦ ἐπινίκου. ἰδίως δὲ οἱ νεώτεροι τὴν βροντὴν ὄχημα καὶ ἵππον τοῦ Διὸς ὑποτίθενται, [3]) καὶ λέγουσιν, ὦ ἡνίοχε Ζεῦ. ἡ δὲ ἀκολουθία· ὑπέρτατε βροντᾶς ἐλατὴρ, ὦ Ζεῦ, καθ' ὑπερβατὸν, ὅστις τὴν Αἴτναν κατέχεις τὴν οὖσαν ἵπον καὶ πίεσμα καὶ βάρος τοῦ Τυφῶνος. Αἴτνη, ὄρος Σικελίας. οἰκειότατα δέ· Σικελιώτης γὰρ ὁ νικηφόρος, ὅτι καὶ ἡ Καμάρινα πόλις Σικελίας· καὶ ἡ Κατάνη ὕστερον Αἴτνη ἐκλήθη. Vet.

Ἐλατὴρ ὑπέρτατε βροντᾶς] ἐπειδὴ ἡ τοῦ Ψαύμιδος νίκη ἐν Ὀλυμπίᾳ ἐγένετο, τὰ δὲ Ὀλύμπια τῷ Διὶ ἀνάκειται, εἰκότως νῦν τοῦτον ἐπιβοᾶται. εἰπὼν δὲ, Ἐλατὴρ ὑπέρτατε βροντᾶς, καὶ πολλὰ διὰ μέσου τιθεὶς, πάλιν ἐπαναλαμβάνει τὸν αὐτοῦ λόγον καί φησιν· Ἀλλ' ὦ Κρόνου παῖ. ἐκ δὲ τοῦ εἰπεῖν, Ἐλατὴρ τῆς βροντῆς, διοικητὴν αὐτὸν τῶν οὐρανίων πάντων φησίν. § Ἄλλως. ὡς ἐπὶ ἵππου χρῆται τῷ λόγῳ· ἴσως δὲ οὐχ ἅρμα τοῦ Διὸς βούλεται τὴν βροντὴν ὑποτιθέναι, ἀλλὰ μεταφορικῶς τίθησι τὰ ὀνόματα, ἵν' ᾖ ὁ λόγος οὕτως· ὦ Ζεῦ ὑψηλότατε, ἐλατὴρ τῆς βροντῆς τῆς ἀκαμαντόποδος, ἀντὶ τοῦ ὃς κινεῖς τὴν βροντὴν τὴν ἐπιπλεῖστον διϊκνουμένην χωρὶς ἀτονίας. Rec.

Βροντᾶς] τὴν βροντὴν ὁ Πίνδαρος ὡς ἵππον ὑφίσταται τοῦ Διός· διὸ καὶ ἀκαμαντόποδα αὐτὴν εἶπεν· ἤτοι δὲ Ὑπέρτατε Ζεῦ εἶπεν, ἢ Ὑπέρτατε ἐλατὴρ τῆς βροντῆς· ἀκαμαντόποδος δὲ, τῆς στερεᾶς καὶ μὴ καμούσης τοὺς πόδας. § ἀκοπιάστου καὶ στερρόποδος. [4]) Vet.

2. Ἀκαμαντόποδος] τῆς ἰσχυρόποδος. Gl. α. κόπου χωρίς. Gl. γ.

3. Ζεῦ· τεαὶ γὰρ ὧραι] τὸ ἑξῆς· Ζεῦ, τεαὶ γὰρ ὧραι ἑλισσόμεναί με ἔπεμψαν ὑψηλοτάτων μάρτυρ' ἀέθλων, ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς. ἵν' ᾖ· αἱ γὰρ σαὶ ὧραι τὸν ἐνιαυτὸν [5]) ἔπεμψαν. Ὅμηρος· [6]) Περιτελλομένων ἐνιαυτῶν. μάρτυρα δὲ, ἀντὶ τοῦ ὑμνητήν· διὰ γὰρ τῶν ποιημάτων καὶ ὕμνων ἐκδηλότεροι οἱ νικῶντες καὶ ἀΐδιος ἡ μαρτυρία. τὸ δὲ ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς τῇ ὑπὸ ἀντὶ τῆς μετὰ κέχρηται, ἵν' ᾖ· μετὰ ποικιλοφορμίγγων ᾠδῶν ἔπεμψάν με αἱ τεαὶ ὧραι. ποικιλοφόρμιγγα δὲ εἶπεν, ἐπειδὴ σὺν μουσικοῖς ὀργάνοις, αὐλῷ τε καὶ κιθάρᾳ, ᾖδον. τῇ δὲ ὑπὸ ἀντὶ τῆς μετὰ καὶ Ὅμηρος κέχρηται· [7]) Δαΐδων ὑπὸ λαμπομενάων, ἀντὶ τοῦ μετὰ δαΐδων. § Ἄλλως. Διὸς ὥρας τὰς Ὀλυμπιάδας λέγει· περισσὸς δὲ ὁ γὰρ σύνδεσμός ἐστιν. § ποικιλοφόρμιγγος ἀοιδᾶς, [8]) ὅτι αἰτία ἐστὶ τοῦ ποικίλλειν τὴν φόρμιγγα. Vet.

Τεαὶ γὰρ ὧραι] διὰ μέσου ταῦτα τίθησι κατασκευαστικὰ τῆς ἐπενεχθησομένης ἀξιώσεως· ἃ ἐπεὶ εἶδεν ἐπιπολὺ παραταθέντα, ἐπαναλαμβάνει τὸν πρὸς τὸν Δία λόγον, εἶτα ἀποδίδωσι τὴν ἀξίωσιν. αἱ σαὶ γὰρ ὧραι, ἤγουν αἱ περίοδοι τῶν Ὀλυμπιάδων αἱ σοὶ ἀνατεθειμέναι, ἑλισσόμεναι, ἤγουν ἐπανακυκλούμεναι, ἔπεμψάν με μετ' ᾠδῆς ποικί-

1) Alii libri ἵπποις. 2) Hoc comma addidi ex Vrat. A. 3) Sic Vrat. A. 4) Vrat. A. 5) Sic liber. 6) Iliad. β, 551. 7) Iliad. σ, 492. 8) Addidi verba ποικ. ἀοιδ.

Digitized by Google

λων μελῶν φόρμιγγος, μάρτυρα, ἤγουν ἀγγελέα, ὑμνητὴν ὑψηλοτάτων ἀγώνων. φίλων γὰρ εὖ πρασσόντων, ἀντὶ τοῦ εὐτυχησάντων, νικησάντων, ἔσαναν, ἀντὶ τοῦ ἐτέρφθησαν, πρὸς τὴν ἀγγελίαν τὴν γλυκεῖαν οἱ ἀγαθοί. Rec.

4. Οἱ τὸ ὑπὸ ποικιλοφόρμιγγος ἀντὶ τοῦ μετὰ ποικιλοφόρμιγγος λέγοντες, καὶ τὴν ὑπὸ ἀντὶ τῆς μετὰ λαμβάνοντες καὶ πρὸς τὸ ἔπεμψαν συνάπτοντες, οὔ μοι δοκοῦσι καλῶς λέγειν. πρὸς γὰρ τὸ μάρτυρα ἔστιν ἡ συνάφεια οὕτω· μάρτυρα ἀέθλων ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς, ἤγουν ὑπὸ τῆς ἐμῆς ποιήσεως δήλους τοὺς ἄθλους τοῖς ἑξῆς καταστήσοντα. μαρτυροῦσι γὰρ οἱ ὕμνοι τοῖς ἑξῆς ἀνθρώποις τὰ πάλαι γινόμενα. πρὸς οὖν τοῦτο καὶ τὸ ὑπὸ ποικιλοφόρμιγγος σύναπτε. Rec.

6. Ὑψηλοτάτων] τῶν Ὀλυμπιακῶν λέγει. μάρτυρα δὲ ἀντὶ τοῦ ἑρμηνέα. [1]) Vet.

7. Ξείνων δ' εὖ πρασσόντων] ξείνων, φίλων. ἔσαναν, ἀντὶ τοῦ ἐχάρησαν, ἀπὸ τῶν σαινόντων κυνῶν [2]) τοὺς ἰδίους δεσπότας. ἤτοι δὲ τὸ ἑξῆς· προσέσαναν τὴν ἀγγελίαν· ἢ πρὸς τὴν ἀγγελίαν ἔσαναν καὶ ἐχάρησαν. ἡ δὲ διάνοια· πρὸς τὴν τῶν εὖ πρασσόντων φίλων ἀγγελίαν ἐχάρησαν οἱ ἀγαθοί. § ἢ οὕτω· τὴν δὲ τῶν εὖ πρασσόντων φίλων ἀγγελίαν γλυκεῖαν οὖσαν ἱλαρῶς οἱ ἀγαθοὶ φίλοι προσδέχονται καὶ ἀφθόνως. τοῦτο δὲ ὡς πρὸς ἑαυτόν. ὁ χορὸς ᾄδεται ἐπὶ τῇ τοῦ νενικηκότος εὐπραγίᾳ ὡς ἂν γνωρίμου. § Ἄλλως. ἔσαναν, ἐχάρησαν. ὁ δὲ νοῦς· τῶν γὰρ φίλων εὐδαιμονούντων εὐθέως οἱ γνήσιοι καὶ ἀγαθοὶ ἑταῖροι ἥσθησαν ὑπὸ τῶν γλυκειῶν ἀγγελεῶν μαθόντες. Vet.

10. Ἀλλ' ὦ] τὸ σχῆμα ἐπανάληψις. Gl. β. γ.

† Σύνταξις. Ἀλλ' ὦ Κρόνιε παῖ] ἀλλ' ὦ Ζεῦ παῖ τοῦ Κρόνου, ὃς οἰκεῖς τὴν Αἴτνην, τὸν πιεσμὸν τὸν ἐπιπολὺ τοῦ ἀέρος ἐπηρμένον καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενον τοῦ Τυφῶνος τοῦ ἰσχυροῦ τοῦ ἑκατὸν κεφαλὰς ἔχοντος, δέχου τοῦτον τὸν μετὰ χορείας ἔπαινον τὸν ἐπὶ τῷ Ὀλυμπιονίκῃ τελούμενον ἕνεκα τῶν χαρίτων, τοῦ νενικηκότος δηλονότι, φῶς ὄντα χρονιώτατον, τουτέστιν ἐπὶ πλεῖστον χρόνον διαμένον, ἀρετῶν μεγάλων τὴν δύναμιν. ἕνεκα γὰρ τῶν ἁρμάτων τοῦ Ψαύμιδος ἥκει, ἐφ' ὧν δηλονότι πολλὴ ἐδείχθη ἰσχύς· ὅστις, ἤγουν ὁ Ψαῦμις, στεφάνῳ ἀπὸ ἐλαίας Πισάτιδος, ἤγουν Ὀλυμπιακῆς, στεφανωθεὶς, τουτέστι νικήσας τὸν ἀγῶνα τῶν Ὀλυμπίων, δόξαν σπεύδει ὅρσαι, ἀντὶ τοῦ ἐπιθεῖναι, τῇ Καμαρίνᾳ τῇ ἑαυτοῦ πατρίδι. § Ἱστορία περὶ τοῦ Τυφῶνος. ὁ Τυφὼς ἐν Σικελίᾳ ἐκεραυνώθη ὑπὸ τοῦ Διὸς, ὑποκείμενος τῷ ὄρει τῇ Αἴτνῃ, ἔνθεν πῦρ ἔξω ῥεῖ. φασὶ δὲ ὡς ἐκεῖ καθήμενος Ἥφαιστος μυδροκτυπεῖ. λέγει οὖν τὴν Αἴτνην τοῦ Τυφῶνος ἶπον, τουτέστι τιμωρίαν καὶ κόλασιν· ἴπω γὰρ καὶ ἴπτω τὸ βλάπτω, ἐξ οὗ καὶ ἶψ, εἶδος σκώληκος. Rec.

11. Ἶπον ἀνεμόεσσαν] ὁ μὲν Πίνδαρος τῷ Τυφῶνί φησιν ἐπικεῖσθαι τὴν Αἴτνην, ὁ δὲ Καλλίμαχος τῷ Ἐγκελάδῳ. ἔνιοι δὲ ἐν Πιθηκούσαις φασὶ τὸν Τυφῶνα, ἄλλοι ἐν Φρυγίᾳ, οἱ δὲ ἐν Σικελίᾳ, οἱ δὲ ἐν Αἰγύπτῳ, ὡς καὶ Ἡρόδοτος, [3]) οἱ δὲ ἐν τῷ ὄρει τῷ κατὰ Βοιωτίαν. § Ἀλλ' ὦ Ζεῦ, ὃς τὴν Αἴτναν ἔχεις, τὴν παγίδα τὴν ἀνεμόεσσαν. [4]) Vet.

14. Δέξαι Χαρίτων θ' ἕκατι] ἀντὶ τοῦ κεχαριτωμένον. ὁ δὲ τε σύνδεσμος περιττός. ἔστι γὰρ τὸ ἑξῆς· ἀλλὰ Κρόνου παῖ, δέξαι Χαρίτων ἕκατι τόνδε κῶμον ἐπὶ τῇ

1) Vrat. A. in quo Ὀλυμπιονικῶν. 2) Sic Vrat. A. Vulgo ζώων reliquis omissis. 3) II, 156. III, 5. 4) Vrat. A.

Digitized by Google

Ὀλυμπιακῇ νίκῃ γεγραμμένον, ὅστις ἐπὶ τῆς τῶν νικησάντων ἀρετῆς χρονιώτατον φάος· σβέννυται γὰρ τὰ καλὰ ἔργα μὴ ἔχοντα ποιητικὴν φωνὴν μάρτυρα. § τὸ δ' ἑξῆς· Χαρίτων τ' εὐρυσθενέων ἕκατι. § Ἄλλως. τοῦτον τὸν κῶμον δέξαι καὶ ὕμνον ὄντα Ὀλυμπιονίκην. ἐπειδὴ εἰς τὸν νικήσαντα λέγει. δέξαι δὲ ἡδέως καὶ κεχαρισμένως, ὡς ἐσόμενον φῶς πολυχρόνιον. [1]) § φάος, τὸν ὕμνον, ὃς φωστὴρ ἀρετῆς ἐστι, δέξαι, τὸν ἐπὶ χρόνου μένοντα· ἀθάνατος γάρ ἐστιν ὁ ὕμνος καὶ ἡ ἀρετή. [2]) Vet.

15. Τὸ κῶμον πρὸς τὸ Ὀλυμπιονίκαν συναπτέον οὕτω· δέχου εὐμενῶς τὸν Ὀλυμπιονίκαν κῶμον, χρονιώτατον καὶ διηνεκὲς φάος καὶ ἀπόδειξιν τῶν εὐρυσθενέων καὶ ἐκ μεγάλης ἰσχύος γινομένων ἀρετῶν τοῦ νικητοῦ, ἕκατι καὶ χάριν τῶν χαρίτων τῶν ἐκ ποιητικῆς, τουτέστι τὴν εὐφημίαν τοῦ Ψαύμιδος, ἥτις ἐκ τοῦ ποιητικῶς λέγεσθαι καὶ συντίθεσθαι ἀπόδειξις εἰς τὸν λοιπὸν χρόνον ἔσται τῆς τῶν πεποιηκότων ἀρετῆς. Rec.

16. Χρονιώτατον] πολυχρόνιον. Gl. γ.

17. Εὐρυσθενέων] τῶν εὐρυσθενῶν, οἱονεὶ τῶν νικησάντων μετὰ ἀνδρείας καὶ ἐν ἀρετῇ γενομένων· ἐκ γὰρ τῶν ὀχημάτων τοῦ Ψαύμιδος ἦλθεν ὁ ὕμνος, ὅστις Ψαῦμις τῷ κοτίνῳ τῷ ἐν τῇ Πίσῃ στεφανωθεὶς δόξαν τῇ ἑαυτοῦ πατρίδι σπεύδει ἐπιθεῖναι. [3]) Vet.

18. Ψαύμιδος γὰρ ἵκει] ἥκει γὰρ ἐπὶ [4]) τῶν ὀχέων τοῦ Ψαύμιδος, τίς; ὁ ὕμνος ἐλαίᾳ στεφανωθεὶς, παραγίνεται τῇ ἑαυτοῦ πατρίδι Καμαρίνῃ στέφανον καὶ δόξαν φέρων. Vet.

Ἥκει] ἔρχεται. Gl. α. ἔπαινος δηλονότι. Gl. γ.

20. Ὄρσαι] διεγεῖραι. Gl. γ.

21. Εὔφρων] εὐφραντικός. Gl. γ.

Θεὸς εὔφρων εἴη] εὐμενής. μετὰ ταύτης οὖν τῆς δόξης εἴη αὐτῷ ταῖς λοιπαῖς εὐχαῖς εὐμενὴς ὁ θεὸς, ἐπειδὴ ἄξιος ἐπαίνου μοι δοκεῖ εἶναι διὰ τὸ εἶναι αὐτὸν λίαν πρόθυμον ἐπὶ τὸ ἱπποτροφεῖν, καὶ ὅτι φιλόξενός ἐστι πάντας δεξιούμενος· εἰς τὸν μετὰ ταῦτα οὖν χρόνον θεὸς εὔφρων αὐτῷ γένοιτο. § Ἄλλως. εὐχαῖς τοῦ νικηφόρου ὁ Ζεὺς, φησὶν, εἴη εὔφρων ἔτι ταῖς λοιπαῖς, ἐπειδὴ τὰ περὶ τῆς νίκης ἐτέλεσεν. Vet.

† Σύνταξις. Θεὸς εὔφρων εἴη] ὁ θεὸς εἴθε εὐμενὴς εἴη ταῖς εὐχαῖς αὐτοῦ ταῖς ἐπὶ τοῖς ἔμπροσθεν. ἐπεὶ ἐπαινῶ αὐτὸν, ἀντὶ τοῦ οἶδα, μάλα μὲν ἕτοιμον, τουτέστι πρόθυμον πρὸς τροφὰς ἵππων, χαίροντά τε, ἤγουν προσκείμενον ξενοδοχίαις πανδόκοις, ἤγουν πάντας ὑποδεχομέναις, οὐδένα ἀποστρεφομέναις, καὶ πρὸς ἡσυχίαν προσφιλῆ τῶν πόλεων ἀποβλέποντα σὺν ἀδόλῳ γνώμῃ. οὐ διὰ ψεύδους μολυνῶ τὸν λόγον, τουτέστεν οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν. ἡ πεῖρά ἐστιν ἡ φανεροῦσα τοὺς ἀνθρώπους, ὑφ' ἧς καὶ οὗτος δηλονότι δειχθήσεται, ἥτις ἔλυσεν ἐκ τοῦ γέλωτος τῶν γυναικῶν τῶν ἐν τῇ Λήμνῳ τὸν παῖδα τοῦ Κλυμένου τὸν Ἐργῖνον. ἐν ὅπλοις γὰρ χαλκοῖς, ἤγουν σιδηροῖς, νικῶν δρόμον εἶπε τῇ Ὑψιπύλῃ ἐπὶ τὸν στέφανον ἐρχόμενος· Οὗτος ἐγώ· ἐκεῖνος δηλονότι, ὃν ἀπηξιοῦτε. Rec.

24. Τροφαῖς] ἐξ ἑτοίμου ἱπποτροφεῖ· χαίρει δὲ καὶ ξενίζων. [5]) Vet.

Ἵππων] ἐν τῇ ἀθλήσει τῇ ἱππικῇ. Gl. γ.

1) Vrat. A. D. 2) Vrat. A. in quo ὡς pro ὅς. 3) Vrat. D. 4) Vrat. D. ἀπό. 5) Vrat. D. et similiter fere A.

Digitized by Google

25. *Χαίροντά τε*] καὶ φιλόξενον ὄντα καὶ ἱππικὸν καὶ εἰρηνικὸν καὶ δίκαιον. ἱππικὸν μὲν, ὡς χαίροντα τροφαῖς ἵππων· φιλόξενον δὲ, ὡς πάντα ξένον ὑποδεχόμενον καὶ ἐπὶ τούτῳ χαίροντα· εἰρηνικὸν δὲ, ὡς ἡσυχίαν ἀγαπῶντος τοῦ φιλοπόλιδος· δίκαιον δὲ, ὡς τὴν γνώμην τρέποντα ἐπὶ [1]) τὸ καθαρώτατον καὶ ἀμόλυντον. [2]) Vet.

26. *Φιλόπολιν*] εἰσὶ γάρ τινες οἱ ἐν ταῖς στάσεσι διάγοντες, φιλοπόλιδες ὄντες. τὸν οὖν Ψαῦμιν φιλόπολίν φησιν εἶναι πρὸς τῷ καὶ ἥσυχον ὑπάρχειν. Vet.

Φιλόπολιν] τὸ ἡσυχίαν καὶ τὸ φιλόπολιν λέγει ἀντὶ τοῦ φιλοῦντα τὴν ἑαυτοῦ πόλιν καὶ οὐ στάσει χαίροντα. τινὲς γὰρ ἐν τῷ δοκεῖν φιλοπόλιδες εἶναι τοὺς συμπολιτευομένους αὐτοῖς ἐξελαύνουσιν, ἵνα μόνοι τὴν πόλιν οἰκοῖεν· οὗτος δὲ πρὸς τὸ φιλόπολις εἶναι καὶ ἡσυχίᾳ σύνεστι. μὴ λάβῃς δὲ πρὸς τὸ φιλόπολιν ἔξωθεν τὸ ὄντα, ὥς τινές φασιν, ἀλλ' οὕτω λέγε· Καὶ τετραμμένον καθαρᾷ καὶ ἀνυποκρίτῳ γνώμᾳ πρὸς ἡσυχίαν φιλόπολιν. τὸ δὲ καθαρᾷ εἶπεν, ἐπειδή τινες ἐν ὑποκρίσει καὶ οὐκ ἐν ἀληθείᾳ ἡσυχάζουσιν. [3]) § Εἰκότως εἶπε τὸ τέγξω, ἤγουν· οὐ φαύλων ὄντων περὶ αὐτοῦ πραγμάτων εἶτ' αὐτὸς λέγειν ἐπιχειρήσας περὶ αὐτῶν οὔτ' ἀληθῆ εἴπω ἀλλὰ ψεύδει χρήσομαι, καὶ διὰ τοῦτο τὸ σκληρὸν τῆς φαυλότητος μαλθάξω καὶ μετενέγκω πρὸς τοὐναντίον. Ἱστορία περὶ τοῦ Ἐργίνου. Κλυμένου παῖς Ἐργῖνος εἷς ἦν τῶν Ἀργοναυτῶν. ὅτε οὖν εἰς Κόλχους διὰ τὸ χρυσόμαλλον δέρας ἡ Ἀργὼ ἐπέπλει, ἐξῆλθεν ἐν παρόδῳ οὗτος ὁ Ἐργῖνος μετὰ τῶν ἄλλων Ἀργοναυτῶν ἐν τῇ Λήμνῳ. Ὑψιπυλείας δὲ τῆς θυγατρὸς Θόαντος βασιλέως Λημνίων ἐπιτάφιον ἀγῶνα τοῦ πατρὸς προθείσης Θόαντος Ἐργῖνος νέος μὲν ὢν τῇ ἡλικίᾳ, προπόλιος δὲ, παρῆλθεν ἀγωνισόμενος, καὶ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων γυναικῶν διὰ τὰς πολιάς. καλῶς οὖν τὸν ἀγῶνα διενεγκὼν καὶ τοὺς συνάθλους νικήσας Βορεάδας Ζῆθον καὶ Κάλαϊν εἰς ὑπερβολὴν ἐθαυμάσθη. [4]) Rec.

28. *Οὐ ψεύδεϊ τέγξω*] οὐκ εἰς ὑπερβολὴν τραπήσομαι ψευσάμενος, ἤτοι οὐ κρύψω τὸν λόγον τῷ ψεύδει. κρύπτεται γὰρ τἀληθῆ ὑπὸ τῶν ψευδῶν. § ἢ οὕτως· οὐ ποιήσω τὸν λόγον ἀσθενέστερον· ἀπὸ μεταφορᾶς τῶν βρεχομένων· ταῦτα γὰρ ἀσθενέστερα γίνεται. οὐ μανῶ οὖν, φησὶν, οὐδὲ βρέξω τὸν λόγον μου ψεύδει, ἀντὶ τοῦ οὐ ψεύσομαι περὶ τῶν ἐγκωμίων τῶν τοῦ Ψαύμιδος λέγων. § οὐ καταβρέξω οὐδὲ ἀποψήσω, καθάπερ ὕδατι, ψεύδει τὸν λόγον. οἷον, οὐ ψεύσομαι. [5]) Vet.

29. *Λόγον*] ἔπαινον. Gl. γ.

Διάπειρά τοι βροτῶν ἔλεγχος] πάρεστι διαπειρᾶσαι τὸν Ψαῦμιν καὶ γνῶναι. § Ἄλλως. ἡ πεῖρα τῶν ἀνθρώπων ἔλεγχος ἀκριβής· καὶ ὁ τούτου πειραθεὶς εἴσεται, ὅτι οὕτως ἔχει. παράδειγμα δὲ τοῦ δεῖν τῇ πείρᾳ τἀληθὲς ἐξετάζειν, τὸν Ἐργῖνον παρέλαβε λέγων· Ἅπερ Κλυμένοιο παῖδα. Ἐργῖνος γὰρ ὁ Κλυμένου ἀγωνιζόμενος ἐν τῷ ἐπιταφίῳ ἀγῶνι Θόαντος μετὰ τῶν Ἀργοναυτῶν, καὶ γέλωτα δὲ κιτῶν ἐπὶ τῷ παρ' ἡλικίαν ἀθλεῖν αὐτὸν, αὐτῇ τῇ πείρᾳ τοῦ ἀγῶνος ἔδειξε νικήσας, ὡς εἶχεν ἰσχύος. ἐνίκησε δὲ τοὺς Βορεάδας. ἐλθόντων γὰρ εἰς τὴν Λῆμνον τῶν Ἀργοναυτῶν, δοκεῖ Ὑψιπύλη ἡ Θόαντος θυγάτηρ θεῖναι τὸν γυμνικὸν ἀγῶνα, καὶ ὁ Ἐργῖνος ἠγωνίσατο· ὡς δὲ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων, ὅτι πολιὸς ὢν νέοις ἐσπούδασε διαγωνίσασθαι, ἐνίκησε φύσει πο-

1) Cod. ἢ. 2) Ex Vrat. A. 3) Ex libro Mosc. B. Gerhardus. 4) Ex eodem et Ciz. 5) Ex Vrat. A.

Digitized by Google

λιὸς ὑπάρχων· ὅθεν δῆλον ὡς καὶ αὐτὸς ὁ Ψαῦμις ἤδη πολιὸς ὢν ἐνίκησεν. § ἅπερ, ἀντὶ τοῦ εἴπερ ἡ πεῖρα ἤλεγξε καὶ τὸν Ἐργῖνον, ὃν ἔλαβεν εἰκόνα. δοκεῖ γὰρ παρ' ἱστορίαν λέγειν. οὐ γὰρ ἐν Λήμνῳ τελευτᾷ Θόας ὁ πατὴρ Ὑψιπύλης, ἀλλ' αὐτὴ μὴ ἀνείλοῦσα αὐτὸν ἐν λάρνακι ξυλίνῳ βαλοῦσα κατέβαλεν ἐν θαλάσσῃ, ὡς Ἀπολλώνιος·

Οἴη δ' ἐκ πασέων γεραροῦ περιφείσατο πατρός
Ὑψιπύλεια Θόαντος, ὃ δὴ κατὰ Λῆμνον ἀνάσσει.
Λάρνακι δ' ἐν κοίλῃ μιν ὕπερθ' ἁλὸς ἧκε φέρεσθαι,
Αἴ κε φύγῃ. καὶ τὸν μὲν ἐς Οἰνοίην ἐρύσαντο
Πρόσθεν, ἀτὰρ Σίκινόν γε μεθύστερον αὐδηθεῖσαν.

πῶς οὖν λέγει αὐτὸν ἐν Λήμνῳ τεθάφθαι καὶ ἐπ' αὐτῷ ἀγῶνα ποιῆσαι Ὑψιπύλην; ἀλλ' ἔξεστι πλάττειν τοῖς ποιηταῖς ἃ βούλονται. [1]) Vet.

30. Ἔλεγχος] εἰ οὗτός ἐστιν ἀληθὴς ἢ οὐχί. Gl. γ.

32. Λαμνιάδων γυναικῶν] καὶ ὁ Καλλίμαχος· [2])

Ἐργῖνος Κλυμένου ἔξοχος ἐν σταδίῳ.

ἥτις διάπειρα τὸν Κλυμένου παῖδα ἀπέλυσε τῆς ἀτιμίας τῶν ἐν Λήμνῳ γυναικῶν. ἡ δὲ ἱστορία τοιαύτη· Ὑψιπύλης ἀγῶνα ἐπιτελούσης ἐπιτάφιον Θόαντι τῷ πατρὶ Λημνίων βασιλεῖ, συμβέβηκεν ἀπιόντας ἐπὶ τὸ χρυσοῦν δέρας τοὺς Ἀργοναύτας ἐκεῖσε γενέσθαι, καὶ προτραπέντας εἰς τὸν ἀγῶνα ἀγωνίσασθαι. εἷς ὢν οὖν αὐτῶν ὁ Ἐργῖνος, νεώτερος μὲν τῷ χρόνῳ, προπόλιος δὲ τὴν κόμην, ὡς μὴ ἱκανὸς ἀγωνίσασθαι διὰ τὴν ὄψιν τῶν πολιῶν ἐγελᾶτο ὑπὸ τῶν γυναικῶν καὶ ἐπεκερτομεῖτο. ὡς δὲ διὰ τῶν ἔργων ἐδείχθη ὑπερβαλλόμενος τοὺς ἀγωνιστάς· ἦσαν δὲ οἱ τοῦ Βορέου παῖδες Ζήτης καὶ Κάλαϊς· ἐπαύσατο ἡ κατ' αὐτοῦ γενομένη χλεύη, καὶ τοὐναντίον ἐθαυμάσθη. διὰ τοῦτο οὖν λέγει τὴν πεῖραν πεπαυκέναι τῆς ὕβρεως τῆς κατ' αὐτοῦ τὰς Λημνιάδας γυναῖκας. Vet.

34. Χαλκέοις δ' ἐν ἔντεσι νικῶν] τὸ δὲ ἀντὶ τοῦ γάρ. τὸν γὰρ ἔνοπλον δρόμον νικήσας ὁ Ἐργῖνος εἶτα προσιὼν τῇ Ὑψιπυλείᾳ ἐπὶ τῷ στεφανωθῆναι εἶπε δεικτικῶς· Οὗτος ἐγώ. [3]) § ὁπλῖται γὰρ ἔτρεχον. [4]) Vet.

38. Χεῖρες δὲ καὶ ἦτορ] αἱ δὲ χεῖρές μου καὶ ἡ ψυχὴ κατάλληλοι. ἀλλ' ὅμοιος ἔσομαι, ὅμοια ἐνθυμούμενος καὶ πράττων. [5]) Vet.

Χεῖρες δὲ καὶ ἦτορ ἴσον] αἱ χεῖρες δὲ καὶ τὸ ἦτορ, ἀντὶ τοῦ αἱ πράξεις καὶ ἡ προθυμία, ἐν ἴσῃ ἀκμῇ κατὰ ταχυτῆτα· φύονται δὲ καὶ ἐν ἀνδράσι νέοις λευκαὶ τρίχες θαμὰ, ἀντὶ τοῦ πολλάκις, καὶ ἔξω τοῦ χρόνου τῆς ἡλικίας τοῦ πρέποντος ταῖς πολιαῖς δηλονότι. § Ὑψιπύλεια, ἡ Ὑψιπύλη, ὡς Πηνελόπεια παρ' Ὁμήρῳ ἡ Πηνελόπη. § Χεῖρες δὲ καὶ ἦτορ ἴσον] τὸ τοιοῦτο καὶ παρὰ τοῖς κοινοῖς δύναται εἶναι ἐν χρήσει. οἷον, σὺ καὶ ὁ σὸς πατὴρ ὅμοιος. ἔχει δὲ ὁμοίως τῷ, Δαμοίτας καὶ Δάφνις ὁ βωκόλος, [6]) πλὴν ὅτι ἐκεῖ μὲν τὸ βουκόλος ἀπὸ κοινοῦ λεγόμενον ἀρκοῦν ἦν ἐντελῆ ποιῆσαι τὸν λόγον, ἐνταῦθα δὲ λέγεται μὲν ἀναγκαίως τὸ ἴσον ἀπὸ κοινοῦ, κατὰ ἀναλογίαν τοῦ προῤῥηθέντος, μένει δὲ ἔτι ἀτελὴς ὁ λόγος. τὸ γὰρ ἴσον ἀεὶ πρὸς ἕτερον λεγόμενον

1) Ex Vrat. A. Pro γὰρ initio scholii conieceris δέ. Ante λάρνακι addidi ἐν. In loco Apollonii I, 620. recte editiones κατὰ δῆμον ἄνασσει. Mox cod. Οἰνοῖ, et Σηκόνες atque αὐδηθεῖσαι. 2) Fragm. 197. 3) Vrat. D. 4) Vrat. A. 5) Vrat. A. 6) Theocr. VI, 1. Correxi e Ciz.

Digitized by Google

ἀπαιτεῖ τὴν ἑαυτοῦ σχέσιν, καὶ ἐλλειπῶς ἔχει, ἕως ἂν ᾖ μόνον· ἀποδεδαμένης δὲ αὐτῆς ἐντελὴς ὁ λόγος γράφεται ἔχων οὕτως· αἱ χεῖρες δὲ ἴσαι τῇ προθυμίᾳ ἴση ταῖς χερσίν. ἐξ ἀνάγκης γὰρ ἡ ἰσότης ἑκατέρων περὶ ἑκάτερα αὐτὰ ταῦτα χωρεῖ, μὴ κειμένου ἑτέρου, ἐφ' ὃ ἂν αὐτῆς ἡ ἀπόδοσις γένοιτο. Rec.

39. Φύονται καὶ νέοις] ὡς καὶ τοῦ Ψαύμιδος προπολιοῦντος καὶ νικήσαντος. § Ἄλλως. πολλάκις τις νέος ὢν πολιοῦται καὶ παρὰ τὸν τῆς ἡλικίας ἐοικότα χρόνον. δηλονότι καὶ αὐτὸς ὁ Ψαῦμις πολιὸς ἦν καὶ οἷον προπόλιος. [1]) Vet.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Ε'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πέμπτου τῶν Ὀλυμπίων εἴδους, ὅπερ ἐπῳδὸν οὐκ ἔχει.

Τὸ ε' εἶδος τῶν στροφῶν ἔχει περιόδους ἁπλᾶς πάσας ἑαυταῖς συμφωνούσας· οὐ γάρ ἐστιν ἐπῳδὸς ἡ τρίτη. ἐκ κώλων δέ ἐστι ιθ'. Τὸ α' δακτυλικὸν τρίμετρον ἀκατάληκτον, εἰ σπονδεῖον ἐκλαμβάνεις τὸν ὕστερον· εἰ δὲ τροχαῖον, καταληκτικόν· – – – υ υ – –. Τὸ β' Ἰωνικὸν ἀπ' ἐλάσσονος, τῆς α' συζυγίας τρίτον παίωνα ἐπιδεξαμένης, ὅπερ γίνεται ἐπὶ τοῦ Ἰωνικοῦ· υ υ – υ – – υ υ. Τὸ γ' ἰθυφαλλικὸν, παρὰ μίαν συλλαβήν· – υ – υ –. Τὸ δ' δακτυλικὸν πενθημιμερές· – υ υ – υ υ –. Τὸ ε' ἰθυφαλλικόν· – υ – υ – –. Τὸ ς' ἀναπαιστικὸν, σύγκειται δὲ ἐκ δύο ἀναπαίστων καὶ βακχείου, ὅπερ πάσχει τὰ ἀναπαιστικὰ, καὶ ἑξῆς ἀναπαίστου καταληκτικοῦ· [2]) υ υ – υ υ – υ – – υ –. Τὸ ζ' ἰθυφαλλικόν· – υ – υ – υ. Τὸ η' Φερεκράτειον καταληκτικόν· ὁ ὕστερος βακχεῖος· – – – υ υ – –. Τὸ θ' προσοδιακὸν ἐκ τοῦ ἀπ' ἐλάσσονος καὶ χοριάμβου· υ υ – υ – – υ –. Τὸ ι' δακτυλικὸν δίμετρον ἀκατάληκτον· – – – υ υ. Τὸ ια' δακτυλικὸν πενθημιμερές· – υ υ – υ υ –. Τὸ ιβ' ἰθυφαλλικόν· – υ – υ – υ. Τὸ ιγ' ὅμοιον τῷ ἕκτῳ, ἀναπαιστικόν· υ υ – υ υ – υ – – υ –. Τὸ ιδ' ἰθυφαλλικόν· – υ – υ – –. Τὸ ιε' δίμοιρον ἔπους· – – – υ υ – υ υ – υ υ. Τὸ ις' ἰθυφαλλικόν· – υ – υ – υ. Τὸ ιζ' δίμοιρον ἔπους· – – – – – υ υ – υ υ. Τὸ ιη' ἐγκωμιολογικὸν, παρὰ τὰς τελευταίας συλλαβάς· τὸ γὰρ πλῆρες δακτυλικὸν πενθημιμερὲς καὶ ἕτερον πενθημιμερὲς ἰαμβικὸν, οὗ τὸ ἐναντίον ἰαμβέλεγος λέγεται· [3]) – υ υ – – υ – – υ –. Τὸ ιθ' ἰθυφαλλικὸν, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον· – υ – υ – υ.

1) Vrat. A. in quo tamen semper Ψάμμις. 2) Sic Vrat. A. D. et Trichae liber ἐκ παλαιοῦ βιβλίου, qui in hoc carmine vulgata scholia paucis cum varietatibus refert. 3) Haec inde a τὸ γὰρ absunt a Trichae libro, item a Vrat. A. D.

Digitized by Google

Aliud ex Mosc. B.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ πέμπτου εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῶν τριῶν.

Τὸ πέμπτον εἶδος οὐκ ἐπῳδικὸν εἶναί φασιν, ἀλλ' ἁπλαῖ περίοδοι τρεῖς ἑαυταῖς συμφωνοῦσαι, καὶ ιθ' κώλων ἑκάστην περίοδον λέγουσιν. οὐκ ἔστι δὲ τοιοῦτον, ἀλλ' ἐπῳδικόν ἐστι καὶ τοῦτο, ὡς τῷ σοφωτάτῳ Μοσχοπούλῳ ἐπενοήθη, τὸ ᾆσμα, καὶ τριῶν στροφῶν, ὡς ὁρᾷς. εἰσὶ γοῦν αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ἑπτά. Τὸ πρῶτον δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισύλλαβον. Τὸ δεύτερον Ἰωνικὸν ἀπ' ἐλάσσονος, τῆς πρώτης συζυγίας παίωνα τρίτον ἐπιδεξαμένης, ὅπερ γίνεται ἐπὶ τοῦ Ἰωνικοῦ, τῆς δὲ δευτέρας Ἰωνικὸν ἀπὸ μείζονος. Τὸ τρίτον ἰθυφαλλικὸν παρὰ μίαν συλλαβήν· ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι πενθημιμερὲς ἐξ ἐπιτρίτου τετάρτου καὶ συλλαβῆς. Τὸ τέταρτον δακτυλικὸν πενθημιμερές. Τὸ πέμπτον ἰθυφαλλικόν. τρεῖς γάρ εἰσι τροχαῖοι, καὶ ἔστι δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται. Τὸ ἕκτον ἀναπαιστικὸν λογαοιδικὸν καλούμενον καὶ Ἀρχεβούλειον. σύγκειται δὲ ἐκ δύο ἀναπαίστων καὶ δύο βακχείων, τοῦ δευτέρου καταληκτικοῦ· πάσχει δὲ τοῦτο τὰ τοιαῦτα ἀναπαιστικά· πλὴν οὐ καλῶς ἔχει κείμενον τὸν βακχεῖον. τὸν τελευταῖον γὰρ πόδα τοῦ κώλου χρὴ βακχεῖον, ὥς φασιν, εἶναι. Τὸ ζ' ἰθυφαλλικόν. τρεῖς γάρ εἰσι τροχαῖοι· εἰ δέ που καὶ σπονδεῖος ἐν τῷ τέλει εὕρηται, οὐκ ἔξω λόγου. ὅ τε γὰρ ποὺς οἰκεῖος τῷ μέτρῳ, καὶ τὴν τελευταίαν φασὶν ἀδιάφορον εἶναι τῶν κώλων. ἑξῆς ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων πέντε. Τὸ πρῶτον δίμοιρον ἔπους, ἤτοι δακτυλικὸν τετράμετρον ἀκατάληκτον. τέσσαρες γάρ εἰσι δάκτυλοι· τὰ τέσσαρα δὲ δῆλον ὡς τῶν ἓξ δίμοιρον. Τὸ δεύτερον ἰθυφαλλικόν, ἤτοι τρεῖς τροχαῖοι. Τὸ τρίτον ὅμοιον τῷ πρώτῳ, ἤτοι δίμοιρον ἔπους. Τὸ τέταρτον χοριαμβικόν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον βραχυκατάληκτον, οὐκ ἐγκωμιολογικόν, ὥς φασιν· οὐ γάρ ἐστι διπενθημιμερές· ἐλλιπὲς γάρ ἐστι μιᾷ συλλαβῇ τὸ ἰαμβικόν. ἐπεὶ δὲ πολλὰ τῶν τοιούτων ἐλλιπῆ εὑρίσκεται, πρὸς τοὺς παρὰ τοῦ τεχνικοῦ παραδεδο μένους κανόνας ἔστω καὶ τοῦτο ἐγκωμιολογικόν. Τὸ πέμπτον ἰθυφαλλικόν, τρεῖς δηλονότι τροχαῖοι.

Τῷ αὐτῷ Ψαύμιδι.] Γέγραπται ἡ ᾠδὴ τῷ αὐτῷ Ψαύμιδι τεθρίππῳ καὶ ἀπήνῃ καὶ κέλητι νενικηκότι τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα. αὕτη ἡ ᾠδὴ ἐν μὲν τοῖς ἐδαφίοις οὐκ ἦν, ἐν δὲ τοῖς Διδύμου ὑπομνήμασιν ἐλέγετο Πινδάρου. § περὶ δὲ τῆς ἀπήνης Πολέμων φησίν· ἤγετο δὲ ἐν Ὀλυμπίᾳ ἀπήνης ἀγών, καί εἰσιν οἱ ἀγωνισάμενοι ἡμίονοι. καταλυθῆναι δὲ τοῦτο τὸ ἀγώνισμα κατὰ τὴν ὀδ' Ὀλυμπιάδα, καὶ εἶναι

Digitized by Google

ιγ' νίκας. τὴν δὲ ἀπήνην λέγεσθαι ὑπὸ Τεγεατῶν φησιν ὁ Πολέμων, οἱ δὲ Θετταλῶν εἶναι τὴν λέξιν. ἐτυμολογεῖται δὲ ἀπήνη αἰπίνη τις οὖσα διὰ τὴν ὑπερτερίαν. [1]) Vet.

Γέγραπται ὁ ἐπινίκιος τῷ αὐτῷ Ψαύμιδι νικήσαντι κέλητι, ἀπήνῃ καὶ τετρώρῳ τὴν ὀγδοηκοστὴν δευτέραν Ὀλυμπιάδα. ἐπεὶ δὲ οὗτος ὁ Ψαῦμις ἐκ Σικελίας, ἐνταῦθα δὲ πόλις Καμάρινα καὶ λίμνη, διὰ τοῦτο πρὸς τὴν ἔφορον τῆς λίμνης νύμφην Καμάριναν ποιεῖται τὸν λόγον, ἥντινα νύμφην παῖδα Ὠκεανοῦ καλεῖ διὰ τὸ πάντας ποταμοὺς καὶ πάσας πηγὰς ἐντεῦθεν τὴν ἀρχὴν ἐσχηκέναι. τὸ δὲ ἄωτον καὶ εἰς τὸ ἀρετᾶν καὶ εἰς τὸ στεφάνων καὶ εἰς τὸ ἀπήνης λέγε. ἔστι δὲ τὸ ἄωτον καὶ τὸ δῶρα ταὐτόν· ἄωτον δὲ, ἤτοι καρπόν. καρπὸς γὰρ τῶν ἀρετῶν καὶ τῶν στεφάνων ὁ ὕμνος, ὃς τοῖς δεχομένοις αὐτὸν γλυκύς ἐστιν. Rec.

1. Ὑψηλᾶν ἀρετᾶν] ὁ νοῦς. λέγει πρὸς τὴν Καμάριναν τὴν Ὠκεανοῦ, ἣ ὁμώνυμος ἡ πόλις καὶ ἡ λίμνη, ὅτι δέξαι τῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ καὶ τῆς ἀπήνης τὸ ἄωτον, ἀντὶ τοῦ τὸν ὕμνον, ἅ ἐστι δῶρα τοῦ Ψαύμιδος νενικηκότος. [2]) τὸν ὕμνον δὲ ἄωτον στεφάνων καὶ ἀρετῶν εἶπεν, ἐπεὶ οἱ νικῶντες ἐκ τοῦ ὑμνεῖσθαι εὐκλεεῖς γίνονται. Ἀρίσταρχος δὲ ἀκούει Ὠκεανοῦ θυγατέρα Καμάριναν τὴν λίμνην, ἀφ' ἧς καὶ τὴν πόλιν ὠνομάσθαι. Ἀρτέμων δὲ πρὸς τὴν Ἀρέθουσαν τὸν λόγον εἶναί φησιν· αὕτη δὲ ἐν Συρακούσαις κρήνη, ὑποτέτακται δὲ ἡ Καμάρινα ταῖς Συρακούσαις. [3]) ἔχει δὲ ἡ Ἀρέθουσα καὶ πᾶσα κρήνη τὰς πηγὰς ἀπὸ Ὠκεανοῦ. βέλτιον δὲ ὡς Ἀρίσταρχος. § Ἄλλως. Καμάρινα καὶ ἡ πόλις τοῦ Ψαύμιδος καλεῖται καὶ λίμνη πλησίον αὐτῆς κειμένη. οἱ μὲν οὖν φασιν, ὅτι τῇ πόλει τὸ ὄνομα ἐτέθη ἀπό τινος οὔσης νύμφης, οἱ δὲ ἔκ τινος Ὠκεανοῦ θυγατρὸς Ἀμφοτέρης, ὡς Ἡσίοδος· [4])

Τρὶς γὰρ μυρίαι εἰσὶ τανύσφυροι Ὠκεανίδες.

πρὸς θυγατέρα οὖν τοῦ Ὠκεανοῦ τὴν Καμάριναν λέγει· ὦ τοῦ Ὠκεανοῦ θύγατερ, Καμάρινα, δέχου τὸν γλυκὺν ἄωτον, λέγει δὲ τὸν ὕμνον τὸν ἐν Ὀλυμπίᾳ τῶν ὑψηλοτάτων ἀρετῶν καὶ τῶν στεφάνων τῆς τε ἀπήνης [5]) καὶ τοῦ Ψαύμιδος. § καρδίᾳ γελανεῖ, τουτέστι γαληνιάζουσα, καὶ τῆς ἀκαμαντόποδος ἀπήνης καὶ τὰ δῶρα τοῦ Ψαύμιδος. σοὶ γὰρ αὐτὰ παρακομίζει. [6]) § δέχου δὲ τὸ τοιοῦτο δῶρον φαιδρῷ προσώπῳ. Vet.

2. Στεφάνων ἄωτον] ἔπαινον. Gl. γ.

4. † Σύνταξις. Ὠκεανοῦ θύγατερ] Ὠκεανοῦ θυγατέρα τὴν Καμάριναν λέγει τὴν λίμνην, ἀφ' ἧς ἡ πόλις ἡ Καμάρινα ὠνομάσθη, ἡ πατρὶς τοῦ Ψαύμιδος. ὦ θύγατερ τοῦ Ὠκεανοῦ Καμάρινα, δέχου σὺν καρδίᾳ γελανεῖ, ἤγουν εἰρηναίᾳ, φαιδρᾷ, τῶν ὑψηλῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ καὶ τοῦ ἐξ ἡμιόνων ἅρματος τοῦ μὴ κάμνοντος τοὺς πόδας ἐν τοῖς δρόμοις τὸν ἄωτον, ἤγουν τὸν ἐξαίρετον κόσμον, τουτέστι

[1]) Ex Vrat. A. De ludis ἀπήνης studiose dixit Bentleius Diss. Phalar. p. 238 sq. ed. Lips. Ἀπήνην in Olympiis adscitam esse Olymp. 70. et Olymp. 84. praeconio facto abolitam docet Pausanias V, 9, 1. primo tum victore Thersia Thessalo. Noster docet tredecim fuisse victorias, quippe ab Olymp. 71. usque ad Olymp. 83. In nostro scholio corrige τὴν πδ'. Minus accurate schol. ad vs. 6. et ad vs. 19. habet πε', et schol. Pyth. VI, init. Olymp. 85. aut 86. Priorem numerum amplectitur Bentleius. Ceterum confer nos ad vs. 6. [2]) Haec inde ab ὅτι Vrat. D. [3]) Hoc comma est ex Vrat. D. [4]) Theog. 364. ubi recte Ὠκεανῖναι. Ἀμφοτέρης corruptum est. An legendum ἢ Ἀμφιτρίτης? [5]) Vulgo Αἴτνης. [6]) Haec inde a καρδίᾳ Vrat. A.

Digitized by Google

τὸν ὕμνον τὸν γλυκὺν καὶ τὰ δῶρα τοῦ Ψαύμιδος, τουτέστι καὶ τὸ δῶρον, ὅ σοι δωρεῖται ὁ Ψαῦμις. ἄωτον δὲ λέγει τὸν ὕμνον, ὃν δῶρόν φησι τοῦ Ψαύμιδος πρὸς αὐτὴν, ἐπεὶ τῆς πατρίδος αὐτοῦ ἐστιν αὐτὴ, καὶ συναπολαύει τοῦ εἰς αὐτὸν ἐπαίνου. Rec.

6. Ἀκαμαντόποδος] ἰσχυρόποδος. Gl. γ. ταχυδίφρου. Gl. α.

Ἀπήνης] ἁμάξης. ἀπήνη δέ ἐστιν ἅρμα ἐξ ἡμιόνων ζευχθέν. εἰθισμένον δὲ ἵπποις ἀγωνίζεσθαι, Ἀσάνδραστος [1]) ἐπετήδευσε καὶ ἡμιόνοις ἀγωνίζεσθαι. χρόνος δέ τις οὐ μακρὸς, ἀλλὰ δεκαετὴς τοῦτο διέλυσε· διελύθη γὰρ περὶ τὴν πέ' [2]) Ὀλυμπιάδα. ἀκαμαντόποδος δὲ, τῆς κατὰ τὸν δρόμον ἀκοπιάστου ἀπήνης. Vet.

7. Ψαύμιδός τε δῶρα] ὅστις Ψαῦμις, ὦ νύμφη Καμάρινα, τὴν σοὶ ὁμώνυμον πόλιν ἐπαίρων καὶ δοξάζων, τὴν εὐδαίμονα καὶ πολυάνθρωπον Καμάριναν, τοὺς λεγομένους διδύμους βωμοὺς ἐν τῇ Ἤλιδι ἐξ ἐκόσμησε βουθυσίαις ὑπὲρ ταῖς ἑορταῖς τῶν θεῶν ταῖς μεγίσταις. οἱ γὰρ νικῶντες ἔθυον ἐν τοῖς ἐξ βωμοῖς. Vet.

8. Ὅς τὰν σάν] ὅστις ὁ Ψαῦμις ἐν ταῖς μεγίσταις ἑορταῖς τῶν θεῶν καὶ ἐν ταῖς τῶν ἄθλων ἁμίλλαις ταῖς πεμπταμέροις, ἤγουν τοῖς διὰ πέντε ἡμερῶν γενομένοις Ὀλυμπίοις, αὔξων καὶ δοξάζων τὴν σὴν λαοτρόφον Καμάριναν πόλιν, ὦ νύμφη, ἐν ἵπποις καὶ τετρώρῳ καὶ ἐν ἡμιόνοις καὶ ἀπήνῃ καὶ ἐν μοναμπυκίᾳ καὶ μονοχαλίνῳ κέλητι ἐγέραρεν ὑπὸ βουθυσίαις τοὺς διδύμους καὶ τοὺς διπλοῦς ἐξ βωμοὺς τῶν δώδεκα θεῶν, οἷον Διὸς καὶ Ποσειδῶνος, Ἥρας καὶ Ἀθηνᾶς, Ἑρμοῦ καὶ Ἀπόλλωνος, Χαρίτων καὶ Διονύσου, Ἀρτέμιδος καὶ Ἀλφειοῦ, Κρόνου καὶ Ῥέας, ὧν δώδεκα μὲν ἀγάλματα Ἡρακλῆς, ὅτε τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐτίθει, ἐποίησεν, ἓξ δὲ βωμοὺς, ἵνα ἐν ἑνὶ βωμῷ δύο θεοὶ τιμῶνται, εἰς οὓς ὁ νικήσας ἐν Ὀλυμπίᾳ θυσίας προσῆγε μετὰ τὴν νίκην, ὥσπερ χάριν ἀποδιδούς. τὸ δὲ μεγίσταις ἑορταῖς θεῶν, ἢ τῇ μεγίστῃ ἑορτῇ τοῦ Διὸς τῇ Ὀλυμπίᾳ νοητέον· οὐκ ἔστι γὰρ μείζων ταύτης οὐδεμία ἄλλη· ἢ διὰ τοὺς δώδεκα θεοὺς τοὺς ἐκεῖ ὄντας, ὡς εἴπομεν, τοῦτο λέγει· ἡ γὰρ τοῦ Διὸς πανήγυρις καὶ ἐκείνων ἦν, ἐπειδὴ καὶ πᾶσι τούτοις θυσία προσήγετο παρὰ τῶν νικώντων. ἤρχετο δὲ ἡ πανήγυρις κατὰ τὴν δεκάτην τοῦ μηνὸς καὶ ἐτελεῖτο μέχρι καὶ τῆς ἑκκαιδεκάτης, ἐν ᾗ τὰ ἆθλα ἐδίδοτο. † Σύνταξις. Ὅς τὰν σάν] ὅστις, ἤγουν ὁ Ψαῦμις, τὴν ἀπὸ σοῦ ὠνομασμένην πόλιν ὦ Καμάρινα, [3]) κατὰ μεταπλασμὸν [4]) ἀντὶ τοῦ τὴν Καμάριναν, τὴν ἐπιτηδείαν εἰς τροφὴν λαῶν αὔξων, ἤγουν ὑψῶν, μεγαλύνων, τοὺς ἐξ βωμοὺς τοὺς ἐν τῇ Ἤλιδι, οὓς ὁ Ἡρακλῆς κατεσκεύασε, τοὺς διδύμους· ἕκαστος γὰρ αὐτῶν δυσὶ θεοῖς ἦν ἀφιερωμένος· ἐτίμησε κατὰ τὰς ἑορτὰς τῶν θεῶν, ἤγουν κατὰ τὸν καιρὸν τῶν ἑορτῶν, διὰ βουθυσιῶν μεγίστων καὶ δι' ἁμιλλῶν ἐπὶ πέντε ἡμέρας ἁμιλληθεισῶν, ἀγώνων· ἐπὶ τοσαύτας γὰρ ἡμέρας ἐτελεῖτο ὁ Ὀλυμπιακὸς ἀγών· ἵπποις, ἤγουν δι' ἵππων γινομένων αὐτῶν τῶν ἁμιλλῶν, τουτέστι δι' ἅρματος ἱππικοῦ, καὶ δι' ἡμιόνων, ἤγουν καὶ δι' ἅρματος ἡμιό-

1) Nomen corruptum. Gott. Ἀσάνδροσος, Vrat. D. Αἰάσδραστος; Bentleius l. c. Θέρσανδρός τις, quod nomen synonymum dicit nomini Θερσίου ap. Pausan. l. c. parum accurate quidem. 2) Vulgo τὴν ὀγδοηκοστὴν ἐννάτην. Quod dedi est in Gott. Vrat. D. De re v. ad init. schol. Heynius in editione novissima ablegat ad Larcher. Herod. T. III, p. 433. ed. alt. Ὀγδοηκοστὴν τετάρτην volebat Hemst. ad Polluc. VII, 186. Cf. etiam Vauvilliers. ad h. l. p. 151. 3) Vulgo τὴν Καμαρίναν, quod de coniectura correxi. 4) Gott. πλεονασμόν.

Digitized by Google

νων, καὶ διὰ μοναμπυκίας, τουτέστι δι' ἑνὸς χαλινοῦ, ἀντὶ τοῦ καὶ δι' ἑνὸς ἵππου τοῦ λεγομένου κέλητος. Rec.

10. Βωμοὺς ἓξ] Ἡρόδωρός φησι τὸν Ἡρακλέα ἐν Ὀλυμπίᾳ ἱδρύσασθαι δώδεκα θεῶν ἀγάλματα, συμβώμους δὲ αὐτοὺς ποιῆσαι ἓξ βωμοὺς κατασκευάσαντα. § Ἄλλως. Ὀλυμπιάσι βωμοί εἰσιν ἓξ δίδυμοι τοῖς δώδεκα θεοῖς ἀνιδρυμένοι, ἑνὸς ἑκάστου βωμοῦ δύο θεοῖς καθωσιωμένου· πρῶτος Διὸς καὶ Ποσειδῶνος, δεύτερος Ἥρας καὶ Ἀθηνᾶς, τρίτος Ἑρμοῦ καὶ Ἀπόλλωνος, τέταρτος Χαρίτων καὶ Διονύσου, πέμπτος Ἀρτέμιδος καὶ Ἀλφειοῦ, ἕκτος Κρόνου καὶ Ῥέας, ὥς φησιν Ἡρόδωρος. § ἀφ' ἱστορίας τοῦτο εἴληφεν. ἱστορεῖ γὰρ περὶ τῶν ἓξ βωμῶν Ἡρόδωρος γραμματικός· ἐλθὼν δὲ εἰς τὴν Ἦλιν τὸ ἐν Ὀλυμπίᾳ ἱερὸν ἱδρύσατο Διὸς Ὀλυμπίου, καὶ Ὀλυμπίαν τοῦ θεοῦ ὁμώνυμον τὴν χώραν ἔθετο· ἔθυσε δὲ αὐτῷ αὐτόθι. καὶ ἄλλοις θεοῖς βωμοὺς ἓξ τῷ ἀριθμῷ, συμβώμων τῶν ιβ' θεῶν, καὶ πρῶτον τὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου, ᾧ σύμβωμον ἐποίησε τὸν Ποσειδῶνα· β' Ἥρας καὶ Ἀθηνᾶς, γ' Ἑρμοῦ καὶ Ἀπόλλωνος, δ' Χαρίτων καὶ Διονύσου, ε' Ἀρτέμιδος καὶ Ἀλφειοῦ, ϛ' Κρόνου καὶ Ῥέας. καὶ ἐπὶ πέντε ἡμέρας ἦγον τὴν ἑορτὴν βουθυσίας ποιοῦντες καὶ ἀγῶνας ἐπιτελοῦντες. [1]) Vet.

14. Πεμπταμέροις ἁμίλλαις] ἐπειδὴ ἐπὶ πέντε ἡμέραις ἤγετο αὐτὰ τὰ ἀγωνίσματα, ἀπὸ ἑνδεκάτης μέχρις ἑκκαιδεκάτης· [2]) καὶ στεφάνους ἔχει κή, οἳ στεφανοῦσι τοὺς νικῶντας. [3]) ἡνίκα οὖν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρε [4]) τοὺς βωμούς. ἐκόσμησε δὲ τοὺς βωμοὺς νικήσας ἵπποις, τεθρίππῳ, ἡμιόνοις καὶ κέλητι. Vet.

Ἐπειδὴ ἐπὶ πέντε ἡμέρας ἐγένετο τὰ Ὀλύμπια, ἀπὸ ια' μέχρι ις'· ἡνίκα γοῦν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρε τοὺς βωμοὺς νικήσας. τὸ δὲ πεμπταμέροις ποιητικὸν τοὔνομα, διὰ τὸ ἀμετάβλητα ἔχειν τὰ ψιλὰ δασέος ἐπαγομένου. ὁ τρόπος δὲ οὗτος τῶν Ἰώνων ἐστί, διὰ τὸ ἀπὸ τοῦ πέμπτου συγκεῖσθαι, ἀλλ' οὐχ ὑπὸ τῶν κοινῶν τῶν τοιούτων συντιθεμένων· οὗτοι γὰρ πενθήμερον λέγουσιν ἀπὸ τοῦ πεντάς, καὶ τριήμερον ἀπὸ τοῦ τριάς, καὶ ἑπταήμερον ἀπὸ τοῦ ἑπτάς. ὅτι δὲ ἀπὸ τοῦ τριὰς καὶ πεντὰς καὶ ἑπτὰς ταῦτα, ἀλλ' οὐκ ἀπὸ τοῦ τρία καὶ πέντε καὶ ἑπτά, δῆλον ἀπὸ τοῦ τετραημέρου καὶ ἑξαημέρου καὶ ὀκταημέρου, ἐφ' οἷς ἡ συνθήκη ἐξ ἀνάγκης ἀπὸ τοῦ τετρὰς καὶ ἑξὰς καὶ ὀκτὰς δείκνυται. † Ἄμπυξ κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν, ἀφ' οὗ κατὰ μεταφορὰν καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται. Rec.

15. Μοναμπυκίᾳ] μονοχαλίνῳ· νοητέον δὲ ἑνὶ ἵππῳ τῷ λεγομένῳ κέλητι. ἄμπυξ μὲν γὰρ κυρίως ἀνάδημα τῆς κεφαλῆς τι καὶ λῶρος χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσι. μεταφορικῶς δὲ καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται, ὡς Ὅμηρος·) Χρυσάμπυκας ἵππους· καὶ ἀλλαχοῦ· [6])

1) Nolui hoc Vrat. A. scholium omittere, quod verba Herodori licet mutila accuratius exprimere videtur. Cod. δι' οὗ pro Διός, ἔθεντο, et bis σύμβολ' pro σύμβωμ. Pro β' erat καὶ ante Ἥρας. Ad rem cf. Apollod. II, 7, 2. et intt. 2) Vrat. A. εἰς ιε'. 3) Hanc laciniam inde a καὶ στεφ. praebet Vrat. A. Sed dubito de veritate numeri: alibi enim idem scholiastes ιζ' ἀγωνίσματα esse dixit. 4) Sic Vrat. D. Vulgo ἐγέραιρον. 5) Iliad. ε, 358. 6) Iliad. χ, 469. Κεκρύφαλόν τ' est in Gott. Vrat. D. Vulgo τ' omissum.

Digitized by Google

Ἄμπυκα κεκρύφαλόν τ' ἠδὲ πλεκτὴν ἀναδέσμην.

§ καὶ ἵπποις καὶ ἡμιόνοις καὶ μοναμπυκίᾳ, ὅ ἐστι κέλητι. ἄμπυξ γὰρ κατὰ Θεσσαλοὺς ὁ χαλινός. [1]) Vet.

16. Τὶν δὲ κῦδος] σοὶ δέ, ὦ νύμφη Καμάρινα, τὴν ἐκ τῆς νίκης δόξαν ἀνέθηκεν, ἀντὶ τοῦ σοὶ χάριν ὁμολογεῖ ἐπὶ τῇ νίκῃ· ἔτι γε μὴν καὶ τὸν αὐτοῦ πατέρα τὸν Ἄκρωνα ἀνεκήρυξεν. ἐν γὰρ τῷ ἀγῶνι οἱ νικῶντες ἀπὸ πατέρων ἀνηγορεύοντο καὶ ἀπὸ προγόνων καὶ πόλεων. τὴν νέοικον σὺν ἕδραν ἀνηγόρευσεν, τὴν πόλιν αὐτοῦ τὴν νεωστὶ ἑδρυνθεῖσαν. κτίζεται μὲν γὰρ ἡ Καμάρινα τεσσαρακοστῇ πέμπτῃ Ὀλυμπιάδι, ἐπικρατησάντων δὲ τῶν Συρακουσίων πορθεῖται τῇ νζ' Ὀλυμπιάδι· εἶτα ἐν τῇ πε' Ὀλυμπιάδι, [2]) τῷ μεταξὺ χρόνῳ καθ' ὃν ἐνίκησεν ὁ Ψαῦμις, ἀνακτίζεται. εἰκότως οὖν αὐτὴν νέοικον ὀνομάζει. Vet.

† Σύνταξις. Τὶν δὲ κῦδος ἁβρόν] σοὶ δέ, τῇ Καμαρίνῃ δηλονότι τῇ λίμνῃ, δόξαν ἁβρὰν, ἀντὶ τοῦ λαμπρὰν, νεάζουσαν, ἀνέθηκε νικήσας, καὶ τὸν ἑαυτοῦ πατέρα τὸν Ἄκρωνα ἀνεκήρυξεν, ἀντὶ τοῦ ἀνακηρυχθῆναι ἐποίησε, καὶ τὴν καθέδραν αὐτοῦ τὴν νεωστὶ οἰκισθεῖσαν, τουτέστι τὴν Καμάριναν τὴν πόλιν. ἐπαναστρέψας δὲ μετὰ νίκης ἀπὸ τῶν καλῶν καὶ ἐπεράστων σταθμῶν, ἀντὶ τοῦ οἴκων, τοῦ Οἰνομάου καὶ τοῦ Πέλοπος, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὦ Παλλὰς ἡ συνέχουσα τὴν πόλιν, τὴν Καμάριναν δηλονότι, ἀείδει μέν, ἤγουν ὑμνεῖ τὸν σὸν ναὸν τὸν ἁγνὸν καὶ τὸν ποταμὸν τὸν Ὕπανον καὶ τὴν λίμνην τὴν ἐγχωρίαν, ἤγουν τὴν Καμάριναν, καὶ τὰ σεβάσμια ῥεύματα, δι' ὧν ὁ Ἵππαρις ὁ ποταμὸς ἄρδει τὸν στρατόν, ἀντὶ τοῦ τὸν λαὸν τῆς Καμαρίνης, κολλᾷ τε ὁ Ἵππαρις, ἤγουν προστίθησί τε ἀεὶ καὶ αὔξει ταχέως, ἀντὶ τοῦ ῥᾳδίως, ὑψίγυιον ἄλσος θαλάμων σταδίων, ἀντὶ τοῦ μετέωρον πλῆθυν οἰκημάτων στερρῶν, κατάγων τοῖς ἑαυτοῦ ῥεύμασι τὰ ὑπὸ τῶν Καμαριναίων εἰς κατασκευὴν οἰκημάτων τεμνόμενα ξύλα, καὶ ἄγων τοῦτον τὸν δῆμον τῶν πολιτῶν, τουτέστι τῶν Καμαριναίων, ἀπὸ τῆς ἀμηχανίας τῆς οὔσης αὐτοῖς ἕνεκα τῆς καταγωγῆς τῶν ξύλων εἰς φῶς, ἀντὶ τοῦ εἰς μηχανήν. Rec.

18. Ὃν πατέρ' Ἄκρων' ἐκάρυξεν] Ἄκρων ἐκαλεῖτο ὁ πατὴρ Ψαύμιδος. ὁ γὰρ νικῶν πατέρα καὶ πατρίδα ἀνακηρύσσει. [3]) Vet.

19. Τὰν νέοικον ἕδραν] νέοικον εἶπεν ἕδραν τὴν Καμάριναν ὁ Πίνδαρος. σαφηνίζεται Τίμαιος ἐν τῇ δεκάτῃ. εἰσὶ δὲ οὗτοι οἱ Καμαριναῖοι, οἳ ὑπὸ τοῦ Γέλωνος τυράννου ἀνῃρέθησαν, εἶτα ὑπὸ Γέλωνος συνῳκίσθησαν ἐπὶ τῆς ... Ὀλυμπιάδος. ἡ δὲ ἅλωσις ἐγένετο κατὰ τὴν Δαρείου τοῦ Πέρσου διάβασιν. [4]) § Ἱπποκράτης ὑπὸ τοῦ τῶν Γελώων τυράννου ἀνῃρέθη, εἶτα ὑπὸ Γέλωνος [5]) συνῳκίσθη ἡ Καμάρινα κατὰ τὴν

1) Vrat. A. 2) Hoc falsum esse nemo non videt. Rerum momenta expendit Beckius: „Condita est Camarina a Syracusanis Olymp. 45, 1. eversa a conditoribus sex et quadraginta annis post Olymp. 56, 3. aliis Olymp. 57, 3. iterum condidit Hippocrates Gelae rex circa Olymp. 72, 3. evertit paullo post Gelo Syracusarum rex. Secuta est tertia instauratio a Gelois Olymp. 79, 4. Thuc. VI, 5. Herod. VII, 154 sqq. Diod. XI, 76. c. intpp. Heyn. opusc. acad. T. II, p. 259." V. maxime Wessel. ad Diod. XI, 76. 3) Ex Vrat. A. 4) Ex Vrat. A. Sed addidi οἱ. Pro altero Γέλωνος esse debebat Γελώων, de quo vide notam sequentem. 5) Wesselingius l. c. coniicit ὑπὸ Γελώων, recte: sed nolui vulgatam mutare tum ob Vrat. A. qui eandem praebet in scholio praecedenti, tum maxime ob Thucyd. VI, 5. quamquam ibi quoque cum Dodwello corrigendum videtur

Digitized by Google

μβ' Ὀλυμπιάδα, ὡς φησι Τίμαιος· διὸ καὶ νέοικον ἕδραν εἶπε τὴν πόλιν. ἡ δὲ ἅλωσις αὐτῆς ἐγένετο κατὰ τὴν Δαρείου τοῦ Ὑστάσπου στρατείαν. Φίλιστος δὲ ἐν τῇ τρίτῃ φησὶν, ὅτι Γέλων Καμάριναν κατέστρεψεν, Ἱπποκράτης δὲ πολεμήσας Συρακουσίοις καὶ πολλοὺς αἰχμαλώτους λαβὼν ὑπὲρ τοῦ τούτους ἀποδοῦναι ἔλαβε τὴν Καμάριναν καὶ συνῴκισεν αὐτήν. ὁ γοῦν Πίνδαρος οἶδε συνῳκισμένην τὴν Καμάριναν. § ὅτι δὲ περὶ τὴν π' ἐνίκησεν Ὀλυμπιάδα ὁ Ψαῦμις τῇ ἀπήνῃ, οὕτω συνοράται· καταλύεται γὰρ αὐτῇ τὸ ἀγώνισμα περὶ ὀγδοηκοστὴν ε' Ὀλυμπιάδα, τῷ δὲ ἅρματι ἐνίκησε τὴν πβ' Ὀλυμπιάδα· ὥστε τὴν πα' ἐνίκησεν ἐν τῇ ἀπήνῃ ὁ Ψαῦμις. [1]) Vet.

Νέοικον ἕδραν λέγει τὴν Καμάριναν, ἐπειδὴ ἐν τῇ τεσσαρακοστῇ πέμπτῃ Ὀλυμπιάδι καταρχὰς κτισθεῖσα ἐν τῇ πεντηκοστῇ ἑβδόμῃ ὑπὸ Συρακουσίων ἐπικρατησάντων τοὺς αὐτὴν ἔχοντας κατέστραπτο· εἶτα ἐν τῇ ὀγδοηκοστῇ δευτέρᾳ Ὀλυμπιάδι μεταξὺ τοῦ χρόνου, καθ' ὃν Ψαῦμις ἐνίκησεν, ἀνεκτίσθη. Rec.

20. Ἱκὼν δ' Οἰνομάου] ἀπὸ τῆς Πίσης, περιφραστικῶς ἀπὸ τῆς Πελοποννήσου ἐλθὼν, ὅτι καὶ ὁ Οἰνόμαος ἐν Ὀλυμπίᾳ ᾤκει. ἱκὼν δὲ, ἀντὶ τοῦ παραγενόμενος. § Ἄλλως. ἱκὼν δ' Οἰνομάου ἕως τόνδε δᾶμον ἀστῶν] ὁ νοῦς· ἐλθὼν δὲ ἐκ τοῦ ἀγῶνος καὶ τῆς Πίσης νικήσας ὑμνεῖ μὲν [2]) τὸ σὸν ἄλσος, ὦ πολιοῦχε Ἀθηνᾶ, ἀντὶ τοῦ σὲ ὑμνεῖ, ὑμνεῖ δὲ καὶ τὸν ποταμὸν τὸν Ὄανιν καλούμενον καὶ τὴν ἐγχωρίαν λίμνην Καμάριναν, ὑμνεῖ δὲ καὶ τοὺς ὀχετοὺς τοῦ Ἱππάριδος ποταμοῦ, ὅστις τοῖς μὲν ὀχετοῖς αὐτοῦ ἄρδει τὸν ὅλον ὄχλον καὶ τὸν τόπον, προσκολλᾷ δὲ καὶ προστίθησιν ἀδιαλείπτως ἄλσος μέγα καὶ τόπον πολύν τε καὶ ὑψηλὸν, ὡς δύνασθαι καὶ θαλάμους ἐξ αὐτοῦ καὶ μεγάλας ποιεῖν οἰκίας· ἄγει δὲ τὸν δῆμον αὐτῶν εἰς φῶς καὶ χαρὰν ἐξ ἀμηχανίας καὶ ἀπορίας πάντα παρέχων. λέγεται γὰρ καὶ ναυσίπορος εἶναι καὶ πολύιχθυς. καὶ ὁ μὲν Ἀρίσταρχος βούλεται οὕτω, θαλάμων κατασκευὰς τὸν Ἵππαριν τῇ Καμαρίνῃ παρέχειν. [3]) φησὶ γὰρ, ὅτι διὰ μέσης ῥέων τῆς Καμαρίνης τῇ πλημμυρίᾳ ἀναπλάσσει γῆν, ἀφ' ἧς πλινθεύοντες οἱ Καμαριναῖοι οἰκοδομοῦσι τὰς οἰκίας· προσπλάσσει δὲ γῆν, ὡς ὁ Ἀχελῶος ταῖς Ἐχινάσι καὶ ὁ Νεῖλος τῇ Αἰγύπτῳ. ὁ δὲ Δίδυμος οὐ τοῦτο βούλεται· οὐ γάρ φησι τοσοῦτον πλημμυρεῖν, ὡς δύνασθαι τῇ νεωστὶ κατασκευασθείσῃ πόλει τοσοῦτον παρασχεῖν πηλὸν πρὸς πλινθοποιΐαν, ἀλλὰ τοῦτό φησιν, ὅτι ὁ ποταμὸς διὰ μέσης τῆς ὕλης ῥεῖ, εἶτα κοπτόντων τῶν Καμαριναίων τὰ ξύλα εἰς κατασκευὴν τῶν οἰκημάτων, ἀμηχανούντων δὲ πρὸς τὴν καταγωγὴν, ὑποδέχεσθαι καὶ τῷ πολλῷ ῥεύματι κατάγειν εἰς τὴν πόλιν. οὕτω καὶ τὸ ταχέως τῷ λόγῳ προσκεῖσθαί φαμεν. § ὁ Ἵππαρις λέγεται τὰς

τὸ τρίτον κατῳκίσθη ὑπὸ Γελώων. Ceterum in hoc scholio omnia perturbata sunt. Hippocrates, qui ipse Geloorum tyrannus fuit, non occisus est a Geloorum tyranno (cf. Goeller. Hist. Syrac. p. 261.), sed periit in pugna ad Hyblam urbem: v. Herod. l. c. nec sanus est numerus μβ'. Hippocratis nomen irrepsit e sequentibus; iam considerato priori scholio patet scribendum: Καμάρινα ὑπὸ Γέλωνος τοῦ τῶν Γελώων (vel Συρακουσίων) τυράννου ἀνῃρέθη, εἶτα ὑπὸ Γελώων συνῳκίσθη κατὰ τὴν οθ' Ὀλυμπιάδα. In fine scholii Hippocratis instauratio urbis Camarinae male confunditur cum ea, quam Pindarus respicit. [1]) Ex Vrat. A. [2]) Μὲν dedi de coniectura. Vulgo δέ. [3]) Vulgo θαλάμων κατασκευαστὸν Ἵππ. et παρέσχεν. Κατασκευὸς τὸν est de mea coniectura: Heynius dederat κατασκευαστήν. Παρέχειν praebet Vrat. D. Deinde pro φασὶ proxime sequenti dedimus φησί.

Digitized by Google

ῥύσεις τῶν ὑδάτων ἔχειν οὐχ ὁμοίως, ἀλλὰ τὴν μὲν γλυκεῖαν, τὴν δὲ πικρὰν, ὅπερ κρύπτων ὁ ποιητὴς σεμνοὺς ὀχετοὺς λέγει. Ἵππαρις δὲ ποταμὸς Σικελίας·

Φήσω καὶ Καμάριναν, ἵν' Ἵππαρις ἀγκύλον ἕρπει.

Ἀρίσταρχος παριέναι φησὶ τὸν Ἵππαριν τὴν πόλιν καὶ προσχέοντα συναναπλάσσειν αὐτῇ γῆν. τοῦτο δέ φησιν ὁ Δίδυμος ἀμάρτυρον εἶναι· οὐ γὰρ ἱστορεῖται περὶ τὸν Ἵππαριν καὶ τὴν Καμάριναν τοῦτο γενόμενον. βέλτιον οὖν οὕτω τινές· ἐπειδὴ ἐξ ὑπογυίου συνῴκισται ἡ Καμάρινα, καθὰ καὶ νέοικον αὐτὴν προσηγόρευσεν, γειτνιᾷ δὲ Ἵππαρις αὐτῇ, κατὰ τοῦτο φάναι ἐπὶ τοῦ συνοικισμοῦ κολλᾶσθαι ὑπ' αὐτοῦ σταδίων θαλάμων ὑψίπυργον ἅλσος· ἐπεὶ τὰ ἐπιτήδεια πρὸς τὴν οἰκοδομὴν διὰ τοῦ κατάπλου προσεκομίζετο, ὥστε ποιεῖν σταδίους θαλάμους. [1]) Vet.

21. Παρ' εὐηράτων σταθμῶν] ἐπεράστων οἴκων· νῦν γὰρ καταχρηστικώτερον σταθμῶν τῶν οἴκων. λέγει δὲ ἀπὸ τῆς Ὀλυμπίας. Vet.

Πέλοπος σταθμῶν] ἐνταῦθα γὰρ οὗτος Οἰνόμαον ἐνίκησε καὶ ὕστερον τελευτήσας ἐτάφη. εὐηράτων δὲ, ἤγουν ἐπιθυμητῶν· ἐνταῦθα γὰρ ἐπιθυμοῦσι πάντες νικῆσαι. διὸ καὶ πᾶσι καλὴν ἐπιθυμίαν ἐμβάλλουσιν. Rec.

Εὐκρατῶν] ἐπιθυμητικῶν. Gl. γ.

22. Πολιάοχε Παλλάς] Καμαριναίων θεὸς ἡ Ἀθηνᾶ καὶ διὰ πλείστης τιμῆς παρ' αὐτοῖς οὖσα ἡ θεὸς, καὶ Ἀθήναιον [2]) ἐπίσημον ἐν Καμαρίνῃ. τούτῳ δὲ εἰώθει ὁ κῶμος ἄγεσθαι ἐπὶ τῇ νίκῃ καὶ ὕμνος ᾄδεσθαι. Vet.

25. Ποταμόν τε Ὄανιν] ποταμὸς ἐν Καμαρίνῃ Ὄανις. [3]) τοὺς δὲ ἱεροὺς ποταμοὺς ἅλση εἰώθασι λέγειν. Vet.

27. Ἵππαρις] ποταμὸς οὗτος ἐν Καμαρίνῃ. ἔστι δὲ αὐτοῦ τοῦ ῥεύματος τὸ μέν τι γλυκὺ, τὸ δὲ ἁλμυρόν· διὸ καὶ Πίνδαρον εἰρηκέναι σεμνοὺς ὀχετοὺς ἀναστέλλοντα. [4]) Vet.

Ἱστορία περὶ τοῦ ποταμοῦ Ἱππάρεως. Ἵππαρις ποταμὸς ἐν Σικελίᾳ πλησίον Καμαρίνης, τοσοῦτος τῷ ῥεύματι ὡς καὶ ναυσίπορος εἶναι· ἔχει δὲ τὰς πηγὰς ἔκ τινος ὄρους ἐν Σικελίᾳ δένδρα πολλὰ ἔχοντος· τέμνοντες οὖν ἐνταῦθα οἱ Καμαριναῖοι ξύλα πρὸς οἰκοδομίαν ἐμβάλλουσιν ἐν τῷ ποταμῷ· ὁ δὲ τῷ αὐτοῦ ῥεύματι φέρει αὐτὰ πρὸς τὴν πόλιν, ὅθεν λαμβάνοντες χρῶνται. ἔχει δὲ καὶ πλείστους ἰχθῦς. διὰ γοῦν τὸ ῥεῖν αὐτὸν ἐπὶ συμφέροντι τῆς πόλεως, σεμνοὺς τοὺς αὐτοῦ ὀχετοὺς ἐκάλεσε. καὶ κολλᾷ καὶ ἐπιφέρει ταχέως ἅλσος ὑψίγυιον θαλάμων καὶ οἴκων σταθηρῶν καὶ ἑδραίων· τουτέστι κατάγει ταχέως πρὸς τὴν πόλιν, ἃ ἐν τῷ ὄρει οἱ Καμαριναῖοι τέμνουσι ξύλα, δι' ὧν ἑδραιοτάτους οἴκους ἐργάζονται. ὑψιγυίων δὲ δέον εἰπεῖν πρὸς τὸ θαλάμων, ἤτοι διωρόφων καὶ τριωρόφων οἴκων, ὑψίγυιον εἶπε πρὸς τὸ ἅλσος. ἢ ὑψίγυιον ἅλσος λέγε ἀντὶ τοῦ ὑψηλὰ καὶ μεγάλα ξύλα. Rec.

28. Ἄρδει] ποτίζει. Gl. γ.

1) Reliquiae docti olim scholii ex Vrat. A. In versu poetae cod. ἵνα Ἵππ. ἀγκύων ἕρπῃ. Ante συναναπλάσσειν legebatur προέχων, cum exigua lacuna. Mox scribe ὑψίγυιον pro ὑψίπυργ. Ubi dedi ἐπεὶ τὰ, cod. habet ἔπειτα, et deinde προεκομίζ. Cf. schol. ad vs. 29. 2) Vrat. A. Ἀθηνᾶς ἱερόν. 3) Heynius Ὄανον et Ὄανις: Beckius Ὤαν. quem iniuria tetigi in nott. critt. ad vs. 11. Libri scholiorum partim Ὤακιν, partim Ὄανιν praebent. 4) Bothius T. II, p. 35. vult ἀνατέλλοντα, male.

Digitized by Google

29. Κολλᾷ] κατασκευάζει. Gl. γ.

Κολλᾷ τε σταδίων] εὖ ἑστώτων, ἑδραίων, ὅτι προσχώννυσι καὶ προστίθησί τινα τῇ πόλει γῆν· κολλᾷ γοῦν, ἀντὶ τοῦ προσαναπλάσσει. τὸ δὲ σταδίων θαλάμων ἄλσος ἀντὶ τοῦ πρὸς οἰκοδομὴν ἐπιτήδειον οἴκων. § Ἄλλως. Ἀρίσταρχός φησιν ἰλὺν καταφέρειν τὸν Ἵππαριν ὡς καὶ τὸν Νεῖλον, ἐκ δὲ τῆς ἰλύος κατασκευάζεσθαί φησιν ἄλση· κυρίως γὰρ ἀκούεσθαι τὰ ἄλση. οὐκ ἔστι δὲ, ἀλλ' ὑψίγυια ἄλση τοὺς οἴκους φησὶ, [1]) παρὰ τὸ ἑστάναι ὡς τὰ ἄλση. ἄλσος δὲ θαλάμων, τὸ πλῆθος τῶν οἴκων, τουτέστιν αὐτὴν τὴν πόλιν, ὡς εἰ ἔλεγε δένδρων ἄλσος. σταδίων δὲ, οἷον ἑδραίων. ὁ οὖν Ἵππαρις κολλᾷ καὶ προστίθησιν ἐπὶ τῇ πόλει τοὺς θαλάμους, καθὸ δι' αὐτοῦ εἰσκομίζεται τὰ πρὸς κατασκευὴν ὑπουργήματα, καὶ διὰ τοῦτο αἴτιος τοῦ τὰς οἰκίας κατασκευάζεσθαι· μεσόγειος γάρ ἐστιν ἡ χώρα. § Ἄλλως. θάλαμος κυρίως ἐστὶν οἶκος, ἐν ᾧ κατακλείονται αἱ νυμφευόμεναι, ὅτε [2]) θάλλουσαι τῇ ἡλικίᾳ συνέρχονται γάμῳ. καταχρηστικῶς δὲ νῦν ὅλας τὰς οἰκίας θαλάμους εἶπεν ὁ Πίνδαρος. Vet.

31. Ὑψίγυιον ἄλσος] ὑψηλὸν, ἀπὸ τῆς γῆς ἔχον μακροὺς κλάδους, τουτέστι ξύλα μακρὰ, οἷς λακτίζουσι καὶ ὀροφοῦσι τοὺς θαλάμους. [3]) Vet.

32. Ἀμηχανίας] ἀδυναμίας. Gl. γ.

34. Αἰεὶ δ' ἀμφ' ἀρεταῖσιν] ὡμολόγηται ὅτι ἕνεκα τοῦ κτήσασθαι ἀρετὴν καὶ πόνους τις καὶ μεγάλας δαπάνας καταβάλλεται, καὶ πρὸς πᾶν ἔργον ἐπικίνδυνον ἀπομάχεται ἡ δαπάνη καὶ ὁ πόνος. κινδύνῳ δὲ κεκαλυμμένον εἶπε νῦν, ἐπειδὴ οὐ μόνον ἄδηλός ἐστι τοῖς τὰ ἑαυτῶν δαπανῶσιν ἡ ἐν Ὀλυμπίᾳ νίκη, ἀλλ' ὅτι καὶ πλεῖστοι τῶν ἀγωνιζομένων ἀπέθανον ἐν τῷ σταδίῳ. τοῦτο δὲ οὐκ ἔστι πρόδηλον· οὐδὲ γὰρ πᾶσι συμβαίνει· ἀλλὰ κεκάλυπται ὁ τοιοῦτος κίνδυνος τῇ ἀδηλίᾳ. ἐνδείκνυται δὲ ὅτι οὐ μικρόν ἐστι νικῆσαι Ὀλύμπια. Vet.

Πόνος δαπάνα τε] πονεῖν ἔφη καὶ δαπανᾶν τοὺς ὀρεγομένους ἀρετῆς. καὶ πόνον μὲν τὴν γυμνασίαν εἶπε, δαπάνην δὲ τὴν ἱπποτροφίαν.

Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

τὸ ἀγωνίζεσθαι οὐκ ἐκτός ἐστι κινδύνου διὰ τὸ ἄδηλον τῆς τύχης. οἱ δὲ λέγουσιν, ὅτι μετὰ κινδύνου ἐνίκησεν ὁ ὑμνούμενος. [4]) Vet.

Αἰεὶ δ' ἀμφ' ἀρεταῖς] ἤγουν ὁ χρηστόν τι κατορθῶσαι θέλων καὶ κόπῳ καὶ χρημάτων δαπάνῃ χρῆται. τὸ δὲ μάρναται ἀντὶ τοῦ ἀγωνίζεται. τοῦτο δὲ λέγει ὑπὲρ τοῦ Ψαύμιδος αἰτίαν σχόντος, πρὶν ἐστέφθαι τῇ νίκῃ, ὡς πέρα τοῦ δέοντος ἱπποτρόφου. Rec.

† Ἀμφ' ἀρεταῖς] ἀντὶ τοῦ ἐπ' ἀριστείαις, τουτέστιν ἕνεκα ἀριστειῶν, κόπος καὶ ἀναλώματα μάρναται, ἀντὶ τοῦ ἀμιλλᾶται, ἤγουν ἐπίσης συμβάλλεται πρὸς πᾶσαν ἐργασίαν ὑπὸ κινδύνων οὖσαν κεκαλυμμένην, τουτέστιν ὑποψίαν ἔχουσαν κινδύνου. οἱ εὖ δὲ ἔχοντες, ἤγουν οἱ εὐτυχοῦντες, τουτέστιν οἱ νικῶντες, καὶ σοφοὶ τοῖς πολίταις ἐνομίσθησαν εἶναι. Rec.

35. Μάρναται] διεγείρονται. Gl. γ. Κεκαλυμμένον] περικυκλούμενον. Gl. γ.

1) Rom. φασί. 2) Vulgo ὅτι, quod de coniectura mutavi. 3) Ex Vrat. A. Λακτίζουσι corruptum est. 4) Ex Vrat. A. Θεοὶ προπ. ἔθ. dedi ex Hesiodo Opp. et D. 287. Cod. nihil nisi θετέον.

Digitized by Google

36. Ἔργον κινδύνῳ] τοῦτο λέγει, ἐπειδὴ τὸ τῆς νίκης τέλος οὐ μόνον ἄδηλόν ἐστιν, ἀλλὰ καὶ ἐπικίνδυνον· πολλοὶ γὰρ τῶν ἐν τοῖς σταδίοις ἀγωνιζομένων, πρὶν νίκης ἐπιτυχεῖς γεγενῆσθαι, ἀπέθανον ἢ τὸ μέγεθος τῶν ἀγώνων οὐκ ἐνεγκόντες ἢ ὑπὸ τῶν ἀνθαμίλλων κατενεχθέντες. διὸ καὶ ὁ Ἡσίοδος εἰκότως τὴν πρὸς ἀρετὴν φέρουσαν ὁδὸν τραχεῖαν προσεῖπεν. [1]) Rec.

37. Εὖ δὲ ἔχοντες] εὖ δὲ πράξαντες οἱ ἀρετῆς ἀντιποιούμενοι, ὅ ἐστιν ἐπιτυχόντες οἱ νικήσαντες καὶ σοφίας δόκησιν ἔχουσιν. § Ἄλλως. οἱ ἐνάρετοι καὶ πονοῦσιν ἅμα καὶ ἀναλίσκουσιν ἕνεκα τοῦ ἀρετὴν κτήσασθαι. § ἢ οὕτω· παρὰ σοὶ, Ψαῦμι, ἕνεκα τῶν ἀρετῶν ὁ πόνος τῇ δαπάνῃ μάχεται· καὶ γὰρ δαπανᾷς καὶ ταλαιπωρεῖς. Vet.

Σοφοὶ καὶ πολίταις] οἱ γοῦν εὐδαιμονήσαντες καὶ καλῶς διώξαντες κατὰ τὸν βίον ἤδη που καὶ σοφοὶ καὶ λόγιοι ἔδοξαν εἶναι παρὰ τοῖς πολίταις. Vet.

39. Σωτὴρ ὑψινεφές] Ἀττικῶς ἀντὶ τοῦ ὑψινεφὴς Ζεῦ, ὅστις σωτὴρ τυγχάνεις καὶ τῶν ἐν ὕψει νεφελῶν κρατεῖς τόν [2]) τε λόφον κατοικεῖς τοῦ Κρόνου. § Κρόνιον ὄρος ἐστὶν ἐν τῇ Πίσῃ ἱερὸν τοῦ Κρόνου. [3]) Vet.

† Σύνταξις. Ὦ Ζεῦ σωτὴρ ὑψινεφὲς, ἤγουν ὁ τὴν διατριβὴν ἄνω ἐπὶ τῶν νεφελῶν ποιούμενος, καὶ ὁ οἰκῶν τὸν λόφον τὸν Κρόνιον, ἤγουν τὴν Πίσαν, καὶ ὁ ἔνδοξον ποιῶν τῇ αὐτόθι δηλονότι οἰκήσει τὸν Ἀλφειὸν τὸν ποταμὸν τὸν πλατέως ῥέοντα, καὶ ὁ τιμῶν ἀπὸ κοινοῦ, τὸ σπήλαιον τὸ σεβάσμιον τὸ τῆς Ἴδης τοῦ ὄρους τοῦ ἐν τῇ Κρήτῃ, ἱκέτης ἔρχομαι σὸς ἐν Λυδίοις αὐλοῖς ἀπύων, ἀντὶ τοῦ ὑμνῶν, αἰτήσων σε δαιδάλλειν, τουτέστι κοσμεῖν, τήνδε τὴν πόλιν, ἤγουν τὴν Καμάριναν, εὐανορίαις, ἤτοι εὐδοξίαις ἀνδραγαθημάτων, κλυταῖς, τουτέστιν ἐπὶ πολὺ διηκούσαις τῇ φήμῃ. Rec.

41. Τιμῶν τ' Ἀλφεόν] καὶ τιμῶν, καταξιῶν, [4]) τὸν Ἀλφειὸν ποταμόν. ἀπὸ δὲ μέρους τὴν Ἦλιν λέγει διὰ τὸν ἀγῶνα. Vet.

42. Ἰδαῖόν τε σεμνὸν ἄντρον] τὸ Κρητικὸν ὄρος, ἔνθα ἀνετράφη ὁ Ζεὺς ὑπὸ τῶν Κουρήτων φρουρούμενος. ἄντρον δὲ τὸ σπήλαιον λέγει. μέμνηται δὲ τῆς ἀνατροφῆς τοῦ Διὸς καὶ ὁ Καλλίμαχος ἐν Ὕμνοις. [5]) § Ἰδαῖον ἄντρον ἐν Ἤλιδι. Δημήτριος ὁ Σκήψιος· νεὼν διακόσμου ἱερὸν Διός. ἔνιοι δὲ νομίζοντες μὴ τῶν ἐν Ἤλιδι χωρίων αὐτὸν μεμνῆσθαι, ὑπέλαβον μνημονεύειν Ἴδης τῆς ἐν Κρήτῃ, ἢ τῆς ἐν Τροίᾳ. οὕτω Θέων φησίν. [6]) Vet.

Ἰδαῖον, ἤγουν Κρητικόν. Ἴδη γὰρ ὄρος καὶ ἐν Κρήτῃ, ἔνθα Ζεὺς ἀνετράφη Κουρήτων ἠχούντων, ἵνα μὴ γνοίη Κρόνος αὐτὸν κλαίοντα. Λυδίοις αὐλοῖς λέγει, ἢ διότι τοὺς μετὰ Πέλοπος ἐκ Λυδίας ἐλθόντας αὐλητὰς πρώτους Ἕλληνες ἐμιμήσαντο, ἢ ὅτι οἱ Λύδιοι αὐλοὶ γλυκύτεροι καὶ ποικιλώτεροι τῶν ἄλλων εἰσίν. Rec.

44. Ἱκέτας] παρακλήτωρ σοῦ. Gl. β. παρακαλέσων. Gl. γ.

1) Opp. et D. 289. 2) Vulgo κρήτιστον: Male Faehsius Syllog. p. 403. 3) Vrat. D. 4) Ante τιμῶν ex Vrat. D. addidi καὶ, idque delevi ante τόν. 5) In Iov. 6. 51. 6) Praeclara nota quamvis corrupta: lucramur enim apud Eleos Idaeum antrum, quo omnis de loci Pindarici integritate dubitatio tollitur atque id efficitur, ut interpreti non iam ad coniecturam confugiendum sit, quam de metr. lib. III. cap. XIX. proposui. Vrat. A. ex quo haec ducta sunt, habet ὁ σκῆψις et νέων: scripsi νεὼν, ad ἱερόν. Διακόσμου quid hoc loco sit nescio, et videtur depravatum. Mox cod. μὴ ταῖς.

Digitized by Google

29. Κολλᾷ] κατασκευάζει. Gl. γ.

Κολλᾷ τε σταδίων] εὖ ἑστώτων, ἑδραίων, ὅτι προσχώννυσι καὶ προστίθησί τινα τῇ πόλει γῆν· κολλᾷ γοῦν, ἀντὶ τοῦ προσαναπλάσσει. τὸ δὲ σταδίων θαλάμων ἄλσος ἀντὶ τοῦ πρὸς οἰκοδομὴν ἐπιτήδειον οἴκων. § Ἄλλως. Ἀρίσταρχός φησιν ἰλὺν καταφέρειν τὸν Ἵππαριν ὡς καὶ τὸν Νεῖλον, ἐκ δὲ τῆς ἰλύος κατασκευάζεσθαί φησιν ἄλση· κυρίως γὰρ ἀκούεσθαι τὰ ἄλση. οὐκ ἔστι δὲ, ἀλλ' ὑψίγυια ἄλση τοὺς οἴκους φησὶ, [1]) παρὰ τὸ ἑστάναι ὡς τὰ ἄλση. ἄλσος δὲ θαλάμων, τὸ πλῆθος τῶν οἴκων, τουτέστιν αὐτὴν τὴν πόλιν, ὡς εἰ ἔλεγε δένδρων ἄλσος. σταδίων δὲ, οἷον ἑδραίων. ὁ οὖν Ἵππαρις κολλᾷ καὶ προστίθησιν ἐπὶ τῇ πόλει τοὺς θαλάμους, καθὸ δι' αὐτοῦ εἰσκομίζεται τὰ πρὸς κατασκευὴν ὑπουργήματα, καὶ διὰ τοῦτο αἴτιος τοῦ τὰς οἰκίας κατασκευάζεσθαι· μεσόγειος γάρ ἐστιν ἡ χώρα. § Ἄλλως. θάλαμος κυρίως ἐστὶν οἶκος, ἐν ᾧ κατακλείονται αἱ νυμφευόμεναι, ὅτε [2]) θάλλουσαι τῇ ἡλικίᾳ συνέρχονται γάμῳ. καταχρηστικῶς δὲ νῦν ὅλας τὰς οἰκίας θαλάμους εἶπεν ὁ Πίνδαρος. Vet.

31. Ὑψίγυιον ἄλσος] ὑψηλὸν, ἀπὸ τῆς γῆς ἔχον μακροὺς κλάδους, τουτέστι ξύλα μακρὰ, οἷς λακτίζουσι καὶ ὀροφοῦσι τοὺς θαλάμους. [3]) Vet.

32. Ἀμηχανίας] ἀδυναμίας. Gl. γ.

34. Ἀεὶ δ' ἀμφ' ἀρεταῖσιν] ὡμολόγηται ὅτι ἕνεκα τοῦ κτήσασθαι ἀρετὴν καὶ πόνους τις καὶ μεγάλας δαπάνας καταβάλλεται, καὶ πρὸς πᾶν ἔργον ἐπικίνδυνον ἀπομάχεται ἡ δαπάνη καὶ ὁ πόνος. κινδύνῳ δὲ κεκαλυμμένον εἶπε νῦν, ἐπειδὴ οὐ μόνον ἄδηλός ἐστι τοῖς τὰ ἑαυτῶν δαπανῶσιν ἡ ἐν Ὀλυμπίᾳ νίκη, ἀλλ' ὅτι καὶ πλεῖστοι τῶν ἀγωνιζομένων ἀπέθανον ἐν τῷ σταδίῳ. τοῦτο δὲ οὐκ ἔστι πρόδηλον· οὐδὲ γὰρ πᾶσι συμβαίνει· ἀλλὰ κεκάλυπται ὁ τοιοῦτος κίνδυνος τῇ ἀδηλίᾳ. ἐνδείκνυται δὲ ὅτι οὐ μικρόν ἐστι νικῆσαι Ὀλύμπια. Vet.

Πόνος δαπάνα τε] πονεῖν ἔφη καὶ δαπανᾶν τοὺς ὀρεγομένους ἀρετῆς. καὶ πόνον μὲν τὴν γυμνασίαν εἶπε, δαπάνην δὲ τὴν ἱπποτροφίαν.

Τῆς ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

τὸ ἀγωνίζεσθαι οὐκ ἐκτός ἐστι κινδύνου διὰ τὸ ἄδηλον τῆς τύχης. οἱ δὲ λέγουσιν, ὅτι μετὰ κινδύνου ἐνίκησεν ὁ ὑμνούμενος. [4]) Vet.

Ἀεὶ δ' ἀμφ' ἀρεταῖς] ἤγουν ὁ χρηστόν τι κατορθῶσαι θέλων καὶ κόπῳ καὶ χρημάτων δαπάνῃ χρῆται. τὸ δὲ μάρναται ἀντὶ τοῦ ἀγωνίζεται. τοῦτο δὲ λέγει ὑπὲρ τοῦ Ψαύμιδος αἰτίαν σχόντος, πρὶν ἐστέφθαι τῇ νίκῃ, ὡς πέρα τοῦ δέοντος ἱπποτρόφου. Rec.

† Ἀμφ' ἀρεταῖς] ἀντὶ τοῦ ἐπ' ἀριστείαις, τουτέστιν ἕνεκα ἀριστειῶν, κόπος καὶ ἀναλώματα μάρναται, ἀντὶ τοῦ ἀμιλλᾶται, ἤγουν ἐπίσης συμβάλλεται πρὸς πᾶσαν ἐργασίαν ὑπὸ κινδύνων οὖσαν κεκαλυμμένην, τουτέστιν ὑποψίαν ἔχουσαν κινδύνου. οἱ εὖ δὲ ἔχοντες, ἤγουν οἱ εὐτυχοῦντες, τουτέστιν οἱ νικῶντες, καὶ σοφοὶ τοῖς πολίταις ἐνομίσθησαν εἶναι. Rec.

35. Μάρναται] διεγείρονται. Gl. γ. Κεκαλυμμένον] περικυκλούμενον. Gl. γ.

[1]) Rom. φασί. [2]) Vulgo ὅτι, quod de coniectura mutavi. [3]) Ex Vrat. A. Λακτίζουσι corruptum est. [4]) Ex Vrat. A. Θεοὶ προπ. ἔθ. dedi ex Hesiodo Opp. et D. 287. Cod. nihil nisi θετέον.

Digitized by Google

36. Ἔργον κινδύνῳ] τοῦτο λέγει, ἐπειδὴ τὸ τῆς νίκης τέλος οὐ μόνον ἄδηλόν ἐστιν, ἀλλὰ καὶ ἐπικίνδυνον· πολλοὶ γὰρ τῶν ἐν τοῖς σταδίοις ἀγωνιζομένων, πρὶν νίκης ἐπιτυχεῖς γεγενῆσθαι, ἀπέθανον ἢ τὸ μέγεθος τῶν ἀγώνων οὐκ ἐνεγκόντες ἢ ὑπὸ τῶν ἀνθαμίλλων κατενεχθέντες. διὸ καὶ ὁ Ἡσίοδος εἰκότως τὴν πρὸς ἀρετὴν φέρουσαν ὁδὸν τραχεῖαν προσεῖπεν. [1]) Rec.

37. Εὖ δὲ ἔχοντες] εὖ δὲ πράξαντες οἱ ἀρετῆς ἀντιποιούμενοι, ὅ ἐστιν ἐπιτυχόντες οἱ νικήσαντες καὶ σοφίας δόκησιν ἔχουσιν. § Ἄλλως. οἱ ἐνάρετοι καὶ πονοῦσιν ἅμα καὶ ἀναλίσκουσιν ἕνεκα τοῦ ἀρετὴν κτήσασθαι. § ἢ οὕτω· παρὰ σοὶ, Ψαῦμι, ἕνεκα τῶν ἀρετῶν ὁ πόνος τῇ δαπάνῃ μάχεται· καὶ γὰρ δαπανᾷς καὶ ταλαιπωρεῖς. Vet.

Σοφοὶ καὶ πολίταις] οἱ γοῦν εὐδαιμονήσαντες καὶ καλῶς διώξαντες κατὰ τὸν βίον ἤδη που καὶ σοφοὶ καὶ λόγιοι ἔδοξαν εἶναι παρὰ τοῖς πολίταις. Vet.

39. Σωτὴρ ὑψινεφές] Ἀττικῶς ἀντὶ τοῦ ὑψινεφὴς Ζεῦ, ὅστις σωτὴρ τυγχάνεις καὶ τῶν ἐν ὕψει νεφελῶν κρατεῖς τόν [2]) τε λόφον κατοικεῖς τοῦ Κρόνου. § Κρόνιον ὄρος ἐστὶν ἐν τῇ Πίσῃ ἱερὸν τοῦ Κρόνου. [3]) Vet.

† Σύνταξις. Ὦ Ζεῦ σωτὴρ ὑψινεφὲς, ἤγουν ὁ τὴν διατριβὴν ἄνω ἐπὶ τῶν νεφελῶν ποιούμενος, καὶ ὁ οἰκῶν τὸν λόφον τὸν Κρόνιον, ἤγουν τὴν Πίσαν, καὶ ὁ ἔνδοξον ποιῶν τῇ αὐτόθι δηλονότι οἰκήσει τὸν Ἀλφειὸν τὸν ποταμὸν τὸν πλατέως ῥέοντα, καὶ ὁ τιμῶν ἀπὸ κοινοῦ, τὸ σπήλαιον τὸ σεβάσμιον τὸ τῆς Ἴδης τοῦ ὄρους τοῦ ἐν τῇ Κρήτῃ, ἱκέτης ἔρχομαι σὸς ἐν Λυδίοις αὐλοῖς ἀπύων, ἀντὶ τοῦ ὑμνῶν, αἰτήσων σε δαιδάλλειν, τουτέστι κοσμεῖν, τήνδε τὴν πόλιν, ἤγουν τὴν Καμάριναν, εὐανορίαις, ἤτοι εὐδοξίαις ἀνδραγαθημάτων, κλυταῖς, τουτέστιν ἐπὶ πολὺ διηκούσαις τῇ φήμῃ. Rec.

41. Τιμῶν τ' Ἀλφεόν] καὶ τιμῶν, καταξιῶν, [4]) τὸν Ἀλφειὸν ποταμόν. ἀπὸ δὲ μέρους τὴν Ἦλιν λέγει διὰ τὸν ἀγῶνα. Vet.

42. Ἰδαῖόν τε σεμνὸν ἄντρον] τὸ Κρητικὸν ὄρος, ἔνθα ἀνετράφη ὁ Ζεὺς ὑπὸ τῶν Κουρήτων φρουρούμενος. ἄντρον δὲ τὸ σπήλαιον λέγει. μέμνηται δὲ τῆς ἀνατροφῆς τοῦ Διὸς καὶ ὁ Καλλίμαχος ἐν Ὕμνοις. [5]) § Ἰδαῖον ἄντρον ἐν Ἤλιδι. Δημήτριος ὁ Σκήψιος· νεὼν διακόσμου ἱερὸν Διός. ἔνιοι δὲ νομίζοντες μὴ τῶν ἐν Ἤλιδι χωρίων αὐτὸν μεμνῆσθαι, ὑπέλαβον μνημονεύειν Ἴδης τῆς ἐν Κρήτῃ, ἢ τῆς ἐν Τροίᾳ. οὕτω Θέων φησίν. [6]) Vet.

Ἰδαῖον, ἤγουν Κρητικόν. Ἴδη γὰρ ὄρος καὶ ἐν Κρήτῃ, ἔνθα Ζεὺς ἀνετράφη Κουρήτων ἠχούντων, ἵνα μὴ γνοίη Κρόνος αὐτὸν κλαίοντα. Λυδίοις αὐλοῖς λέγει, ἢ διότι τοὺς μετὰ Πέλοπος ἐκ Λυδίας ἐλθόντας αὐλητὰς πρώτους Ἕλληνες ἐμιμήσαντο, ἢ ὅτι οἱ Λύδιοι αὐλοὶ γλυκύτεροι καὶ ποικιλώτεροι τῶν ἄλλων εἰσίν. Rec.

44. Ἱκέτας] παρακλήτωρ σοῦ. Gl. β. παρακαλέσων. Gl. γ.

1) Opp. et D. 289. 2) Vulgo κρήτιστον: Male Faeksius Syllog. p. 403. 3) Vrat. D. 4) Ante τιμῶν ex Vrat. D. addidi καὶ, idque delevi ante τόν. 5) In Iov. 6. 51. 6) Praeclara nota quamvis corrupta: lucramur enim apud Eleos Idaeum antrum, quo omnis de loci Pindarici integritate dubitatio tollitur atque id efficitur, ut interpreti non iam ad coniecturam confugiendum sit, quam de metr. lib. III. cap. XIX. proposui. Vrat. A. ex quo haec ducta sunt, habet ὁ σκλῆψις et νέων: scripsi νεὼν, ad ἱερόν. Διακόσμου quid hoc loco sit nescio, et videtur depravatum. Mox cod. μὴ ταῖς.

Digitized by Google

Ἱκέτας σέθεν] ἡ ἀνταπόδοσις τῆς ἐπικλήσεως· ὦ Ζεῦ, ἱκέτης σου ἔρχομαι· ἵν ᾖ· ἱκετεύω σε, ὦ Ζεῦ. § παρακαλῶ σε, Ζεῦ, Λυδίαις ὑμνῶν εὐρυθμίαις, φυλάττειν τὴν Καμάριναν ἐν νίκαις καὶ ἀνδρείαις. [1]) Vet.

Λυδίοις ἀπύων] ἀντὶ τοῦ βοῶν, ᾄδων· αἰτήσων σε, φησὶν, ὦ Ὀλυμπιόνικε Ψαῦμι, καὶ σὲ τοῖς ἵπποις ἐπιτερπόμενον εὔθυμον ἔχειν γῆρας καὶ φέρειν σε ἐπὶ τελευτὴν υἱῶν παρισταμένων. § Ἄλλως. Λυδίοις ἀπύων ἐν αὐλοῖς] βοῶν· ἢ ὅτι αἱ λεγόμεναι γλωσσίδες τῶν αὐλῶν ἐν Λυδίᾳ γίνονται, ἢ ὅτι τοὺς μετὰ Πέλοπος ἐλθόντας πρώτους αὐλητὰς οἱ Ἕλληνες ἐμιμήσαντο. γλυκὺ δὲ τὸ Λύδιον μέλος. ἔρχομαι οὖν αἰτήσων σε διὰ Λυδίου μελῳδίας, ὥστε σε ταύτην τὴν πόλιν τὴν Καμάριναν ταῖς εὐφημίαις καὶ ταῖς εὐανδρίαις αὔξειν καὶ ἀγάλλειν. εὐρυθμίαις [2]) δὲ Λυδίαις, Λυδιστὶ ἡρμοσμέναις. § Λυδίοις ἀπύων, Λυδιστὶ ἡρμοσμένοις. Πτολεμαῖος δὲ ὁ Ἐπιθέτης τοὺς ἐν Λυδίᾳ αὐλοὺς φησι πρωτεύειν ἐν τῇ τέχνῃ. [3]) Vet.

46. Εὐανορίαισι] ἀνδραγαθίαις. Gl. β. γ.

48. Σέ τ', Ὀλυμπιόνικε] πάλιν ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Ψαῦμιν· καὶ σὲ ἦλθον αἰτήσων, ὦ τὰ Ὀλύμπια νενικηκώς, ταῖς ἵπποις ἐπιτερπόμενον· Ποσειδαιίαισι δὲ, ἐπεὶ φίλιππος ὁ θεός· μέχρι τῆς τελευτῆς σου τοῦ βίου διάγειν ἐν εὐθυμίᾳ καὶ τὸ γῆρας τοῖς καλοῖς τέρπειν. § αἰτήσω δὲ σὲ, φησὶν, Ὀλυμπιόνικε Ψαῦμι, σὲ τὸν ἵπποις τοῦ Ποσειδῶνος ἐπιτερπόμενον· τῆς γὰρ ἱππικῆς ἔφορος ὁ θεός· εὔθυμον ἔχειν γῆρας καὶ φέρειν ἐς τὴν τελευτὴν υἱῶν σου παρισταμένων. ἢ εὔχεται παῖδας αὐτῷ γενέσθαι, ἢ ὑπὲρ τῶν ὄντων καὶ παρεστώτων αὐτῷ. [4]) Vet.

Σέ τ', Ὀλυμπιόνικε] πρὸς τὸν Δία τὸν λόγον τείνων ἀπέστρεψε πρὸς τὸν Ψαῦμιν. δέον γὰρ οὕτως εἰπεῖν· αἰτῶ σε, ὦ Ζεῦ, κοσμεῖν τὴν πόλιν καὶ τὸν Ψαῦμιν εὐθύμου γήρως ἐπιτυχῆ ποιῆσαι· ἐπειδὴ πρὸς τοῦτον ἐποίει τὸν ὕμνον, φέρειν σε εἶπεν, ἀντὶ τοῦ ἔχειν γῆρας εὔθυμον. τὸ δὲ Ποσειδωνίοις εἶπεν, ἢ διότι Ποσειδῶν πρῶτον Πέλοπι ἅρμα ἐνεχείρισεν, ὡς πρώην εἴρηκει, ἢ τὸ Ποσειδωνίοις ἀντὶ τοῦ ταχέσι καὶ γαύροις. τοιαύτη γὰρ ἡ τῆς θαλάττης ὁρμή. † Σύνταξις. Σέ τ' Ὀλυμπιόνικε] σέ τε, ὦ Ψαῦμι Ὀλυμπιόνικε, τὸν ἐπιτερπόμενον ἵπποις Ποσειδωνίοις, ἀντὶ τοῦ ἀρίστοις, ἔχειν γῆρας ἄλυπον μέχρι τοῦ τέλους τοῦ βίου σου, υἱῶν σοι παρισταμένων. εἴ τις δὲ ἄρδει, ἀντὶ τοῦ αὔξει, πλοῦτον ὑγιεντα, τουτέστιν ὑγιεινὸν, ὑγιείας μετέχοντα, ἐξαρκῶν, ἀντὶ τοῦ ἐπαρκούμενος, ἤγουν βοηθούμενος ὑπὸ χρημάτων, καὶ εὐλογίαν, τουτέστιν ἔπαινον προστιθεὶς μὴ ζητήσῃ θεὸς γενέσθαι. Rec.

53. Υἱῶν, Ψαῦμι, παρισταμένων] παρεστώτων σοι, ὦ Ψαῦμι, καὶ υἱῶν. ἴσως δὲ ὡς πρὸς τέλεον ἄπαιδα, ἢ ὡς ἐπιθυμοῦντα ἀῤῥένων παίδων, ἢ ὡς λοιπὸν παρεστώτων αὐτῷ παίδων. Vet.

54. Ὑγιεντα δ' εἴ τις ὄλβον] τὴν μεθ' ὑγείας εὐδαιμονίαν. ὁ δὲ νοῦς· ὁ δὲ τὸν πλοῦτον καὶ τὴν εὐδαιμονίαν αὔξων ἐν ἑαυτῷ καὶ οὕτως ἐπαρκῶν τῇ περιουσίᾳ καὶ διοικῶν τὴν ὕπαρξιν, ὥστε καὶ εὐφημίας αὐτῷ προσγενέσθαι, οὗτος μὴ ζητείτω ἔτι καὶ

[1]) Vrat. A. [2]) Heynius coniicit αὐλῳδίαις pro vulgata εὐθυμίαις. Quod dedi, invenit Faehsius Syllog. p. 403. et firmat schol. ad va. 44. [3]) Ex Vrat. A. De Ptolemaeo Epitheta v. Suidam T. III, p. 224. collato Eustathio ibi citato, et schol. Ven. Iliad. β, 111. et 196. In codice est Λυδίοις pro Λυδιστί. [4]) Vrat. A. Addidi verba ὁ θεός.

Digitized by Google

θεὸς γενέσθαι. § τὸν μετὰ ὑγείας, ἢ τὸν ἄθραυστον καὶ ὑγιῆ. ὁ μὲν Ἀρίσταρχος ἀναγενώσκει ὀξύτονον τὴν παραλήγουσαν, ἀντὶ τοῦ ὑγιαίνοντα· τινὲς δὲ ὡς χαρίεντα· εἰ δὲ πλοῦτον ἔχει τις, μεθ' ὑγιείας διοικῶν αὐτὸν καὶ δαπανῶν ὅπως πρεπῶδές ἐστι, πρὸς τῇ τύχῃ δὲ καὶ ὕμνῳ εὐφημεῖται, μὴ ζητείτω θεὸς γενέσθαι· ταῦτα γὰρ αὐτῷ ἱκανά. [1]) § ὄλβον, τὸν ἐξ ὑγιοῦς ὄλβον, εἴ τις ἄρδοι, οἷον εἴ τις ἐπιμελούμενος τοῦ ἀπὸ τῶν παλῶν συναγομένου πλούτου τοῦτον αὔξειν ἱκανὸς ὢν τοῖς κτήμασιν καὶ προσκτώμενος εὐλογίαν, μὴ ζητείτω θεὸς γενέσθαι· ταῦτα γὰρ αὐτῷ ἱκανά. κτεάτεσσιν, ἀπ' εὐθείας τῆς κτέατος Δωρικῶς· τὰ γὰρ εἰς ον ἐξ ος ποιοῦσιν, ὡς παρ' Ὁμήρῳ ἀνδραπόδεσσιν. [2]) Vet.

Ὑγίεντα δ' εἴ τις] τοῦτο λέγει, ὅτι ἐάν τις μεθ' ὑγείας ἀπολαύῃ τῶν ὄντων, μηδαμόθεν ἁρπάζων ὥσπερ ἕτεροι, ἀλλὰ νίκαις ἑαυτὸν ὥσπερ ὁ Ψαῦμις κοσμῶν, μὴ τούτου μεῖζον ζητήσῃ· οὐκ ἔστι γὰρ κρείττων ταύτης εὐδαιμονία ἑτέρα, οὐδ' ἡ τῶν θεῶν. ἢ τὸ ὑγίεντα ἀντὶ τοῦ δίκαιον, ἵν' ᾖ τὸ Ἐξαρκέων κτεάτεσσι τούτου μεθερμηνευτικόν. Rec.

55. Ἐξαρκῶν] ἀντὶ ἐξαρκούμενος· καὶ ἔστιν ἀλλοίωσις κατὰ διάθεσιν. Gl. α.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ς'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἕκτου τῶν Ὀλυμπίων εἴδους. [3])

Αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ια'. Τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δὲ χρυσέας ἀμφίμακρος ἢ ἀνάπαιστος· – – υ – – – υ –. Τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον· – – υ υ – υ υ –. Τὸ γ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον, πρώτου χοριαμβικοῦ, δευτέρου Ἰωνικοῦ, τρίτου χοριάμβου· – υ υ – υ υ – – – υ υ –. Τὸ δ' ἐγκωμιολογικόν· – υ υ – υ υ – – – υ – –. Τὸ ε' Εὐριπίδειον ἢ ληκύθειον· – υ – – – υ –. Τὸ ς' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον· – – υ υ – υ υ – –. Τὸ ζ' ἰαμβέλεγος. ἔστι δὲ καὶ τοῦτο ἀπὸ δύο πενθημιμερῶν. τὸ δὲ ἰαμβικὸν πενθημιμερὲς πρῶτον κεῖται καὶ ὕστερον τὸ δακτυλικόν, ὃ καὶ ἐλεγεῖον λέγεται, ἀμετάβλητον, ἀκατάληκτον· – – υ – – – υ υ – υ υ –. Τὸ η' ἴαμβος τρίμετρος· υ – υ – – – υ – – – υ –. Τὸ θ' ὅμοιον τῷ ς', οἱονεὶ προσοδιακόν· – – υ υ – υ υ – –. Τὸ ι' ἐγκωμιολογικόν, λειπούσης τῆς ἐσχάτης· – υ υ – υ υ – – – υ –. Τὸ ια' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον· – – υ – – – υ – –.

1) Ex Vrat. A. in quo ὑγιαίνοντι p. ὑγιαίνοντα. Voculas πρὸς τῇ ego addidi, et scripsi εὐφημεῖται: nam cod. εὐφημεῖσθαι 2) Ex Vrat. A. In fine cod. ἐκ ος. Locus Homeri est Iliad. η, 475. 3) Haec paullo breviora sunt in Trichae libro ἐκ παλαιοῦ βιβλίου.

Digitized by Google

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιδ'. Τὸ α' ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν· [1]) – υ υ – υ υ – – – υ –. Τὸ β' προσοδιακὸν δίμετρον ἀκατάληκτον· – – υ υ – υ υ –. Τὸ γ' Στησιχόρειον τῷ Πινδαρικῷ ἰδιώματι. ὁ γὰρ τελευταῖος ἀντὶ τροχαίου ἴαμβον ἔχει· – υ – – – υ – – – υ υ –. Τὸ δ' Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ [2]) ἀναπαιστικὸν, ἤγουν δύο ἀνάπαιστοι, μονόμετρον ἀκατάληκτον· υ υ – υ υ –. Τὸ ε' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον· – – υ υ – – υ υ –. Τὸ ϛ' Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν δίμετρον ἢ μονόμετρον· ὡς θέλεις γὰρ τοὺς ἀναπαίστους λαμβάνεις· – – υ υ –. Τὸ ζ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· – – υ – – – υ –. Τὸ η' Εὐριπίδειον· – υ – – – υ –. Τὸ θ' προσοδιακὸν δίμετρον ἀκατάληκτον· – – υ υ – υ υ –. Τὸ ι' δακτυλικὸν πενθημιμερές· – υ υ – υ υ –. Τὸ ια' προσοδιακὸν δίμετρον ἀκατάληκτον· – – υ υ – υ υ –. Τὸ ιβ' δακτυλικὸν τρίμετρον· – υ υ – υ υ – –. Τὸ ιγ' προσοδιακὸν ἀπὸ χοριάμβου, ἀνακλώμενον· – υ υ – υ υ – – υ –. Τὸ ιδ' Στησιχόρειον· – υ – – – υ – – – υ – –.

Eadem paullo aliter ex Vrat. A. [3]) Mosc. B.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ἕκτου εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῶν ε'.

Τοῦ ἕκτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ια'. Τὸ πρῶτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἔχει δὲ συνεκφώνησιν ἤτοι συνίζησιν τὸ πρῶτον κῶλον τῆς πρώτης στροφῆς. Τὸ δεύτερον προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ τρίτον προσοδιακὸν τρίμετρον ἀκατάληκτον, τοῦ πρώτου χοριάμβου, τοῦ δευτέρου Ἰωνικοῦ, τοῦ τρίτου πάλιν χοριάμβου. Τὸ δ' ἐγκωμιολογικὸν ἤτοι διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶς. Τὸ ε' τροχαϊκὸν ἑφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθειον. Τὸ ϛ' προσοδιακὸν τρίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο δὲ ἀναπαιστικόν ἐστιν ἑφθημιμερὲς, ὡς ἐμοὶ δοκεῖ, σπονδείου ἀρχομένου. Τὸ ζ' ἀσυνάρτητον ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν, ὃ καλεῖται ἰαμβέλεγος. Τὸ η' ἴαμβος τρίμετρος ἀκατάληκτος. Τὸ θ' ὅμοιον τῷ ϛ', ἤτοι προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἢ καὶ ἀναπαιστικόν. Τὸ ι' ἐγκωμιολογικὸν, ἤτοι διπενθημιμερὲς, ὅμοιον τῷ τετάρτῳ. ἐλλείπει δὲ μιᾷ συλλαβῇ τὸ ἰαμβικόν. τοῦτο καὶ προσοδιακόν ἐστιν ἐκ χοριάμβου, Ἰωνικοῦ, καὶ πάλιν χοριάμβου καταληκτικοῦ. Τὸ ια' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. ἐπὶ τῷ τέλει τὰ ῥηθέντα σημεῖα.

1) Pro voce τελευταίαν Vrat. D. et liber Trichae μίαν συλλαβὴν τοῦ πενθημιμεροῦς ἰαμβικοῦ. 2) Haec inde ab Ἰων. Vrat. D. 3) In hoc bis leguntur, primum ante Metrica Olymp. V. deinde ante scholia ad VI.

Digitized by Google

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ιδ'. Τὸ πρῶτον ἐγκωμιολογικὸν, ὅμοιον τῷ ι' τῆς στροφῆς, ἢ καὶ προσοδιακὸν, ὡς εἴρηται ἐκεῖ. Τὸ δεύτερον προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ τρίτον Στησιχόρειον, ἤτοι τροχαϊκὸν τρίμετρον ἔχον ἐν τῷ τέλει ἴαμβον Πινδαρικῷ ἰδιώματι. Τὸ δ' ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ ε' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ τῶν μειζόνων. Τὸ ς' Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν, ὅμοιον τῷ τετάρτῳ. Τὸ ζ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ η' τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. Τὸ θ' προσοδιακὸν, ὅμοιον τῷ δευτέρῳ. Τὸ ι' δακτυλικὸν πενθημιμερές. Τὸ ια' ὅμοιον τῷ β'. Τὸ ιβ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ιγ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ χοριάμβου. Τὸ ιδ' τροχαϊκὸν τρίμετρον καθαρὸν Στησιχόρειον· οὐκ ἔχει γὰρ τὸ Πινδαρικὸν ἰδίωμα. Ἐφ' ἑκάστῃ ἐπωδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

Ἀγησίᾳ Συρακουσίῳ.] Γέγραπται ἡ ᾠδὴ ὡς μὲν ἔνιοι Ἀγησίᾳ Συρακουσίῳ, ὡς δὲ ἔνιοι Στυμφηλίῳ, υἱῷ Σωστράτου ἀπήνῃ· κατελύθη δὲ ἡ ἀπήνη, ὥς τινές φασιν, ὀγδοηκοστῇ πέμπτῃ Ὀλυμπιάδι, κατ' ἐνίους δὲ ὀγδοηκοστῇ ἕκτῃ. [1]) § ἄπορον δὲ, τὴν ποστὴν Ὀλυμπιάδα ἐνίκησεν. [2]) Vet.

1. Χρυσέας ὑποστάσαντες] ἀλληγορεῖ ὁ ποιητὴς ὡς ἐπὶ οἰκίας μεγαλοπρεποῦς κατασκευῆς [3]) τὸν ἐπίνικον διατιθέμενος, παραβάλλει δὲ προπυλαίῳ μὲν τὸ προοίμιον, τῷ δὲ ὅλῳ οἴκῳ τὸν ὕμνον, ἑαυτὸν δὲ τῷ κατασκευάζοντι. ὁ δὲ νοῦς τοιοῦτος· ὕμνον πήξομεν, ὥσπερ θαητὸν μέγαρον, χρυσέας κίονας ὑποστάσαντες τῷ προθύρῳ τοῦ θαλάμου· ὅπερ ἐστὶ τὸ προοίμιον. καὶ ὥσπερ θαύματος ἄξιον μέγαρον ἢ οἶκον κατασκευάσαντες τὸ πρόθυρον ἀξιοπρεπῶς ποιοῦμεν, οὕτω καὶ τοῦ ὕμνου τὸ προοίμιον πήξομεν ἀξιόλογον, προκαταβαλλόμενοι ἀρχὰς κεφαλαιώδεις. § Ἄλλως. Χρυσέας· τιμίας νῦν κίονας ὑπορθώσαντες. θηλυκῶς δὲ νῦν προήγαγεν, ὡς καὶ Ὅμηρος· [4])

ἔχει δέ τε κίονας αὐτός
Μακρὰς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν. Vet.

Χρυσέας ὑποστάσαντες] τὸν λόγον ποιεῖται ἐκ μεταφορᾶς τῶν οἰκίας μεγαλοπρεπεῖς κατασκευαζόντων· ὥσπερ γὰρ ἐκεῖνοι εἰς τὰ πρόθυρα κίονας μεγάλας ὑποβάλλουσιν, οὕτω καὶ οὗτος ὡσπερεὶ μέγαρον κατασκευάζων τὸν ὅλον ὕμνον, χρυσέας κίονας ἐν τοῖς προθύροις, ἤτοι τῷ προοιμίῳ, ὑφίστησι. κίονας δὲ χρυσᾶς ἐνταῦθα νόει τὴν τοῦ προοιμίου καλλίστην καὶ μεγαλοπρεπεστάτην ἀρχήν. πήξομεν καὶ κατασκευάσομεν τὸν ὕμνον οὕτως, ὥσπερ ὅτε πηγνύομεν θαητὸν καὶ θαυμαστὸν μέγαρον καὶ οἶκον, ὑποστήσαντες καὶ ὑποβάλλοντες τῷ εὐτειχεῖ προθύρῳ τοῦ θαλάμου χρυσέας καὶ λαμπρὰς κίονας. § ὥσπερ ὅτε θαυμαστὸν μέγαρον πήγνυμεν, εὔκτιστον ποιοῦμεν τὸ πρόθυρον

1) Vulgo haec metricis annexa sunt: non dubitavi tamen veteribus adiudicare scholiis. 2) Vrat. A. 3) Vrat. D. πρὸ κατασκευῆς, Vrat. A. κατασκευαστής. Vulgo τὸν λόγον παρακατασκευάζειν. In fine huius scholii addidi illa προκατ. ἀρχ. κεφ. 4) Odyss. α, 52. Habet etiam Vrat. A.

Digitized by Google

αὐτοῦ, λαμπρὰς κίονας ὑποτιθέντες αὐτῷ· οὕτω θαυμαστὸν ὕμνον μέλλοντες συντιθέναι, λαμπρὰ πρότερον τὰ τούτου προοίμια ποιήσαντες οὕτω συνθῶμεν αὐτόν. ἀρχομένου γὰρ ἔργου, λαμπροῦ δηλονότι, χρὴ ποιῆσαι πρόσωπον, ἤγουν ἀρχὴν, τηλαυγῆ, τουτέστι λαμπράν. Rec.

Εὐτειχεῖ] ἑδραίῳ. Gl. α.

3. Θαητόν] θαυμαστὸν περὶ τὴν θέαν. Vet.

Ἰστέον ὅτι θάλαμος, μέγαρον, μέλαθρον διαφέρουσι. θάλαμος μὲν λέγεται ἀπὸ τοῦ θάλλειν τοὺς δύο νεονύμφους, ὅντινα λέγομεν καὶ παστόν· μέγαρον δὲ λέγεται τὸ παλάτιον καὶ πᾶν οἴκημα ὑψηλὸν, ἀπὸ τοῦ μέγα αἴρεσθαι, ἤγουν ὑψοῦσθαι· μέλαθρον δὲ λέγεται ὁ οἶκος, ἐν ᾧ μαγειρεύουσιν, ἤγουν τὸ μαγειρεῖον, ἀπὸ τοῦ μελαίνειν τὸν αἰθέρα διὰ τοῦ καπνοῦ δηλονότι. Schol. ms. β. γ.

4. Πάξομεν] κυρίως μὲν τὸ πῆξαι ἐπὶ τῆς τῶν ξύλων ἁρμογῆς λέγεται, νῦν δὲ καταχρηστικῶς ἐπὶ τοῦ κατασκευάσομεν. Vet.

Πάξομεν] κτίσομεν. Gl. γ.

Ἀρχομένου δ' ἔργου] ὁ δὲ ἀντὶ τοῦ γάρ. ἡ γὰρ ἀκολουθία· παντὸς γὰρ ἔργου, φησὶν, ἀρχομένου περίβλεπτον καὶ ἐξαίρετον δεῖ ποιεῖν τὸ τῆς προσόψεως, ἤτοι τὴν εἰςβολὴν καὶ τὴν ἀρχὴν λαμπρὰν καὶ ἐπίσημον. § τοῦτο δὲ λέγει, ἐπειδὴ καὶ τὰ περὶ αὐτῶν προτερήματα κατ' ἀρχομένης τῆς ᾠδῆς λέγει. [1]) Vet.

5. Εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας] λοιπὸν περὶ τοῦ Ἀγησίου φησίν. εἴ τις οὖν, ὃν τρόπον οὗτος, Ὀλυμπιονίκης εἴη καὶ προφήτης τοῦ κατὰ Πίσαν καὶ Ὀλυμπίαν μαντείου καὶ συνῳκηκὼς τὰς Συρακούσας, τίνα διαφύγῃ ἂν ὁ τοιοῦτος ὕμνον, οὐχὶ δὲ παντὸς ἂν τύχῃ τῶν πολιτῶν γε δὴ τυχὼν ἀφθόνων ἐν τῷ ὑμνεῖσθαι; τοῦτο δὲ προστίθησιν, ἐπειδὴ οἱ πολῖται κατὰ φύσιν ἀλλήλοις φθονοῦσιν. Vet.

Εἰ δ' εἴη μέν τις Ὀλυμπιονίκης τῷ βωμῷ τε τοῦ Διὸς τῷ μαντικῷ τῷ ἐν τῇ Πίσῃ ταμίας, ἤγουν ἱερεὺς, συνοικιστής τε τῶν ἐνδόξων Συρακουσῶν. ταῦτα δὲ τοῦ Ἀγησίου εἰσὶ πλεονεκτήματα. οὐκ αὐτὸς δὲ συνῴκισε τὰς Συρακούσας, ἀλλ' οἱ πατέρες αὐτοῦ, ὧν τὸ ἔργον ἐπὶ τῷ παιδὶ αὐτῶν τίθησιν οἰκείως. Rec.

7. Βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ] παρόσον ὁ Ἀγησίας ἱερεὺς ἦν τοῦ ἐν Πίσῃ μαντικοῦ βωμοῦ τοῦ τῷ Διῒ ἀνιερωμένου. μαντείῳ δὲ ἀντὶ τοῦ μαντικῷ. § βωμῷ ἀντὶ τοῦ βωμοῦ. δι' ἐμπύρων ἐν Ἤλιδι Ἰαμίδαι ἐμαντεύοντο, ἀφ' ὧν τὸ γένος εἶχεν Ἀγησίας. τοῦ δὲ μαντείου τοῦ ἐν Ἤλιδι καὶ Δικαίαρχος μέμνηται. [2]) Vet.

Βωμῷ τε] τοῦτο λέγει διὰ τὸν Ἀγησίαν· ἦν γὰρ καὶ Ὀλυμπιονίκης καὶ τοῦ ἐν Ὀλυμπίᾳ βωμοῦ ἱερεὺς ἢ διοικητὴς καὶ ἑορταστὴς, καὶ οἱ αὐτοῦ πρόγονοι συνῴκισαν τὴν Συρακουσίων πόλιν. τὸ μαντείῳ δὲ λέγει, διότι ἐνταῦθα οἱ Ἰαμίδαι ἐμαντεύοντο, ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ. Rec.

8. Συνοικιστής τε] τοῦτο δὲ οὐκ ἀληθές· οὐ γὰρ οὗτος συνῴκισε τὰς Συρακούσας· ἀλλὰ πρὸς ἐγκώμιον εἴληφεν. ἀπὸ γὰρ ἐκείνων ὁ Ἀγησίας τῶν συνοικισάντων.

1) Vrat. A. Codex καταρχομένης: corrige κατ' ἀρχήν. 2) Vrat. A.

Digitized by Google

§ συνοικιστήρ τε, ὅτι οἱ πρόγονοι αὐτοῦ σὺν Ἀρχίᾳ παρεγένοντο ἐν Συρακούσαις, οἱ Ἰαμίδαι, ἀφ' ὧν εἰκὸς παραλαβεῖν τινας. [1]) Vet.

9. Τίνα κεν φύγοι ὕμνον] ἀντὶ τοῦ τίνι ἂν ὕμνῳ ἀνοίκειος γένοιτο ἐκεῖνος ὁ ἀνὴρ ἐν ᾠδαῖς ἐπιθυμηταῖς ἐπικύρσας, ἤγουν ἐπιτυχὼν πολιτῶν οὐ φθονούντων. Rec.

12. Ἴστω γάρ] γινωσκέτω. καὶ Ὅμηρος·

Ἴστω τοῦθ' ὅτι νῶϊν ἀνήκεστον ἄλγος ἔσται. [2])

§ Ἄλλως. Σωστράτου υἱὸς ὁ Ἀγησίας. ὁ δὲ νοῦς· εἰ δὲ ἐν τῷδε βεβηκὼς τῷ τρόπῳ ὁ τοῦ Σωστράτου παῖς Ἀγησίας τὰ τρία τὰ προειρημένα ἔχων, Ὀλυμπιονίκης καὶ ταμίας τοῦ Διὸς βωμοῦ καὶ συνοικιστὴς τῶν Συρακουσῶν. πεδίλῳ δὲ καὶ τὰ ἑξῆς εἶπεν, ἵν' εἴπῃ, ὅτι προσήρμοστο αὐτῷ τὰ προειρημένα δαιμονίως καὶ ἐξαιρέτως, ὡσανεὶ πέδιλον τῷ ποδὶ, τουτέστιν ὁ ὕμνος. § πέδιλον τὸ ὑπόδημα· νῦν δὲ τῇ βάσει καὶ τῷ ῥυθμῷ λέγει. [3]) § οἷον ὅτι, ἔχων τὰ προειρημένα τρία καὶ ἐν τούτῳ τῷ πεδίλῳ τῆς ἱμερτῆς ἀοιδῆς, τουτέστι περὶ πόδας ἑαυτοῦ πεποιημένος τὰ τρία καὶ συνηρημένα αὐτὰ ἔχων ὁ Ἀγησίας. [4]) Vet.

† Σύνταξις. Ἴστω γάρ] γινωσκέτω δὴ ὁ υἱὸς τοῦ Σωστράτου ὁ Ἀγησίας τούτῳ τῷ ὑποδήματι, ἀντὶ τοῦ τούτῳ τῷ ὕμνῳ, τουτέστι τῷ τῆς νίκης τῶν Ὀλυμπίων καὶ τῷ τῆς ἱερατείας καὶ τῷ τῆς συνοικίσεως τῶν Συρακουσῶν, δαιμόνιον πόδ' ἔχων, ἀντὶ τοῦ δαιμονίως αὐτὸς ἁρμόζων, τουτέστιν ὡς ἀπὸ μοίρας δαίμονος. Rec.

13. Δαιμόνιον] προσφυῆ. Gl. α. εὐτυχές. Gl. γ. Πόδα] θεμέλιον. Gl. γ.

14. Ἀκίνδυνοι δ' ἀρεταί] Ἡσίοδος δὲ λέγει· [5])

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

ὁ δὲ λέγει, ὅτι αἱ ἀρεταὶ αἱ χωρὶς ἱδρώτων καὶ κινδύνων οὐκ εἰσὶ τίμιαι οὔτε παρὰ τοῖς ἄλλοις ἀνθρώποις οὔτε παρὰ τοῖς θαλαττεύουσιν ἁπλῶς, εἰ μὴ καὶ ναύμαχός τις εἴη. παραμυθεῖται δὲ αὐτὸν, ἐπειδὴ μετὰ μόχθου πολλοῦ ἐνίκησεν. § ἤτοι ὡς περὶ τὸν οἶκον αὐτῶν πολλῶν κινδύνων γενομένων, ἢ αὐτοῦ μετὰ κινδύνου νικήσαντος. [6]) Vet.

Ἀκίνδυνοι δ' ἀρεταί] αἱ ἀρεταὶ δὲ αἱ χωρὶς κινδύνων οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις, τουτέστιν οὔτ' ἐν γῇ οὔτε ἐν θαλάσσῃ εἰσὶ τίμιαι, ἤγουν ἐπαινεταί. κυβερνήτης γὰρ ἄριστος ἐν κλύδωνι δείκνυται, καὶ ἀγωνιστὴς κραταιὸς ἰσχυρὸν ἀνταγωνιστὴν ἔχων. εἴ τι δὲ καλὸν σὺν πόνῳ κατορθωθῇ, πολλοὶ τούτου μέμνηνται. § ὁ μετὰ πόνου καὶ κινδύνου τὴν ἀρετὴν κατορθώσας πλείστου ἄξιος διὰ τὸ προηγήσασθαι πόνον τῆς αὐτοῦ ἀρετῆς· ὁ δὲ ἁπλῶς οὕτως εὐτυχῶν οὐκ ἐπαινετός· τύχης γὰρ εὐμενείᾳ κάλλιστος εἶναι δοκεῖ. χρὴ οὖν καὶ τοὺς ἐν ἠπείρῳ καὶ τοὺς θαλαττεύοντας οὐ μόνον ὡς κατὰ σκοπὸν αὐτοῖς χωροίη τὰ πράγματα σκοπεῖν, ἀλλὰ καὶ ἀγῶνας κατορθοῦν ἐθέλειν. τοῦτο δὲ λέγει παραμυθούμενος Ἀγησίαν ὡς μετὰ πόνου νικήσαντα. Rec.

16. Πολλοὶ δὲ μέμνανται] ταῦτα δὲ ὡς κάλλιστα παρὰ τοῖς πολλοῖς μνημονεύεται, τὰ μετὰ πόνων ἀγαθὰ συμβαίνοντα δικαίως. § ἢ οὕτω· πολλοὶ τοῦ καλοῦ μνημονεύουσιν, ὅταν πονηθῇ. [7]) Vet.

1) Indidem. In codice est παραβαλεῖν. Correxi παραλαβεῖν, nempe Archiam. 2) Vrat. D. Codex νῶϊ: apud Homerum est ἀνήκεστος χόλος ἔσται, Iliad. ο, 217. 3) Vrat. D. 4) Vrat. A. 5) Opp. et D. 287. 6) Vrat. A. 7) Vrat. A.

Digitized by Google

17. *Εἴ τι ποναθῇ*] ἤγουν διὰ πόνου τινὶ γένηται· ὁ γὰρ συμβὰς αὐτῷ πόνος οὐκ ἐᾷ λήθην κατακαυχήσασθαι. Rec.

18. *Τὶν δ' αἶνος ἕτοιμος*] σοὶ δὲ, ὦ Ἀγησία, πρόχειρος καὶ ἁρμόδιος ὁ ἔπαινος καὶ πρέπων ὁ ὑπὸ τοῦ Ἀδράστου ῥηθεὶς τοῦ Ταλαοῦ παιδὸς εἰς τὸν μάντιν Ἀμφιάραον τὸν Ὀϊκλέους υἱὸν, ὃν διαστᾶσα ἡ γῆ ἐδέξατο ἅμα τῷ ἅρματι ἐν Ὠρωπῷ τῆς Βοιωτίας, κινδυνεύειν μέλλοντα· περὶ οὗ μάντεως Ἀμφιαράου ὁ τοῦ Ταλαοῦ παῖς Ἄδραστος εἶπεν, ὅτε συνηθροίσθησαν οἱ τῶν ἑπτὰ πυλῶν [1]) νεκροὶ ἐν Θήβαις καὶ ἐγένοντο ἑπτὰ πυρκαϊαί· Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς, καὶ τὰ ἑξῆς. § τίς οὖν τοῦ Ἀδράστου πρὸς τὸν Ἀμφιάραον ἔπαινος ἐοικώς σοι; ἐκεῖνος ἀγαθὸς ἦν πολεμεῖν καὶ μάντις· σὺ δὲ καὶ ἀνδρεῖος καὶ μάντις ἀγαθός. ἔχεις δὴ τὸν Ἀμφιαράου ἔπαινον ἑτοίμως. [2]) Vet.

† Ὦ Ἀγησία, πρὸς σὲ δέ ἐστιν ὁ ἔπαινος ἕτοιμος, ἤγουν πρόχειρος, οὐ σὺν πόνῳ εὑρισκόμενος, ἅτε δηλονότι ὑφ' ἑτέρου προειρημένος, ὃν δικαίως ἐφθέγξατό ποτε ὁ Ἄδραστος διὰ γλώττης εἰς τὸν μάντιν τὸν Ἀμφιάρεων τὸν υἱὸν τοῦ Ὀϊκλέους, ἡνίκα κατέσχεν ἡ γῆ αὐτόν τέ νιν, ἤγουν καὶ αὐτὸν ἐκεῖνον, καὶ τὰς ἵππους αὐτοῦ τὰς φαιδίμας, τουτέστι τὰς λαμπρὰς, τὰς περιφανεῖς. τῶν νεκρῶν γὰρ δὴ τῶν ἑπτὰ πυρκαϊῶν τελεσθέντων, ἤγουν συναχθέντων καὶ ἀποκαταστάντων ἐπὶ τῷ δοθήσεσθαι τῇ πυρᾷ· ἑπτὰ γὰρ ταγμάτων ὄντων ἑκάστου τάγματος οἱ πεσόντες εἰς ἰδίαν πυρκαϊὰν συνελέγοντο· εἶπεν ἐν ταῖς Θήβαις ὁ υἱὸς τοῦ Ταλαοῦ ὁ Ἄδραστος τοιοῦτό τι ἔπος· ποθῶ ἰδεῖν δηλονότι τὸν ὀφθαλμὸν τῆς ἐμῆς στρατιᾶς, ἀντὶ τοῦ τὸν περιφανέστατον καὶ ἐξαίρετον, τουτέστι τὸν Ἀμφιάρεων, ἀμφότερον, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατ' ἀμφότερα, μάντιν τε ἀγαθὸν ὄντα, ἤγουν ἀγαθὸν τὴν μαντικὴν, καὶ δουρὶ μάρνασθαι, τουτέστι καὶ ἀγαθὸν κατὰ τὴν ἐν πολέμῳ μάχην. Rec.

19. *Ἐν δίκᾳ*] μετὰ δικαιοσύνης ἰδίας. Gl. γ.

21. *Ἐπεὶ κατάγε*] κεραυνωθεὶς γὰρ Ἀμφιάραος κατέδυ μετὰ τοῦ ἅρματος ἐν τῷ Ὠρωπῷ τῆς Βοιωτίας, καταποθεὶς ὑπὸ τῆς γῆς. *αὐτόν τέ νιν*, ὅτι ἐκ παραλλήλου τέθεικε τὰς ἀντωνυμίας, καὶ ἔστι ἡ μία αὐτῶν περισσή. κατεπόθη δὲ Ἀμφιάραος, οἱ μὲν περὶ Ὠρωπὸν, οἱ δὲ περὶ Κλεωνάς. τοὺς δὲ ἵππους αὐτοῦ φησιν Ἀντίμαχος εἶναι ἀσυστάτους, οἱ δὲ Θεσσαλοὺς, ὀνόματα δὲ αὐτῶν Θόας καὶ Δίας. ὁ δὲ ἡνίοχος αὐτοῦ Βάτων ἐκαλεῖτο ἢ Σχοίνικος, συγκαταποθεὶς αὐτῷ. [3]) Vet.

Σύναπτε τὴν κατὰ μετὰ τοῦ ἔμαρψεν. Ms. β.

22. *Ἔμαρψεν*] ἤγουν κατεκάλυψε σχισθεῖσα ἐν τῷ Ὠρωπῷ τῆς Βοιωτίας, ἔνθα καὶ μαντεῖον αὐτοῦ ἐστιν. δέον ἑπτὰ πυρῶν τελεσθεισῶν εἰπεῖν, τελεσθέντων εἶπε πρὸς τὸ νεκρῶν οὕτω· τελεσθέντων δὲ νεκρῶν ἑπτὰ πυρῶν, ἀντὶ τοῦ νεκρῶν γεγονότων ἑπτὰ καύσεων. ἑπτὰ δὲ καύσεις λέγει, ἐπειδὴ καὶ τὰ τάγματα παντὸς τοῦ Ἀργείου στρατεύματος [4]) ἑπτὰ ἦσαν, ὥστε οἱ ἐν ἑνὶ ἑκάστῳ ἀποθανόντες πυρᾷ ὑπεβλήθησαν πεπαυμένου τοῦ πολέμου καὶ ὑποσπόνδους τῶν Ἀργείων τοὺς αὐτῶν νεκροὺς εἰληφότων· οὕτω γὰρ ἦν ἔθος. ὥστε μὴ νόει τὸ νεκρῶν περὶ τῶν στρατηγῶν· ἀμήχανον γάρ· ἐπεὶ Ἄδραστος μὲν ζῶν ἐξεκεχωρήκει πρὸς Ἄργος, Ἀμφιάρεως δὲ ζῶν ὑπὸ γῆς κατεπόθη, Πολυ-

1) Vulgo ἑπταπύλων. Sed melius est ἑπτὰ πυρῶν. 2) Sic Vrat. A. 3) Ex Vrat. A. 4) Hanc vocem addidit Beckius.

Digitized by Google

νείκης δὲ μετὰ Ἐτεοκλέους ἐντὸς Θηβῶν ἤχθη, οἱ δὲ καυθέντες τῶν στρατηγῶν τέσσαρες ἦσαν. τὸ δὲ Θήβαις πρὸς τὸ τελεσθέντων συναπτέον. Rec.

23. Τελεσθέντων] ἐπισωρευθέντων, ἤτοι καταριθμηθέντων· ἵνα καὶ τὸ ἑξῆς τοῦ λόγου οὕτως ἔχῃ· καταριθμήσας γὰρ ὁ Ἄδραστος τοὺς νεκροὺς καὶ λείποντα τὸν Ἀμφιάραον εὑρὼν εἰκότως δυςφορήσας τὸν λόγον ἀπεφθέγξατο. § Ἄλλως. Ἑπτὰ δ' ἔπειτα] ζητεῖται, πῶς ἑπτά φησι τὰς πυράς· ἀδύνατον γάρ. ἠφάνιστο γὰρ ὁ Ἀμφιάραος, Ἄδραστος δὲ ζῶν εἰς Ἄργος ἀποφεύγει, Πολυνείκης δὲ ἄταφος ἔρριπτο ὡς ἐπιστρατεύσας τῇ πατρίδι, ὥςτε τῷ ἀληθεῖ λόγῳ τέσσαρας εἶναι τὰς πυρκαϊὰς τῶν τεθνηκότων. ἀλλ' ἐπιλυτέον οὕτως, ὅτι τὰς πυρὰς ὁ Πίνδαρος οὐ καταριθμεῖται πρὸς αὐτοὺς τοὺς στρατηγούς, ἀλλὰ τὰ τούτων στρατεύματα· ἑπτὰ γὰρ τάξεις στρατευμάτων περὶ τὰς ἑπτὰ πύλας τῶν Θηβῶν μάχην συνεστήσαντο, καὶ οὕτω τῶν ἐν ἑκάστῃ πύλῃ τεθνηκότων στρατιωτῶν φησι γενέσθαι τὰς ἑπτὰ πυρκαϊάς. § Ἄλλως. τὸ σημεῖον χ', ὅτι ἑπτὰ πυράς φησι, τῶν ἑπτὰ μὴ ἀποθανόντων· Ἀμφιάραος γὰρ κατεπόθη σὺν ταῖς ἵπποις ἐν Ὠρωπῷ πόλει τῆς Βοιωτίας. § Ἑπτὰ δ' ἔπειτα πυρᾶν] τῶν διαβεβοημένων ἐστὶ καὶ τοῦτο, πῶς ἑπτά φησι γενέσθαι πυρὰς τῶν ἑπτὰ ἐπιστρατευσάντων καὶ οὐ πάντων καέντων. Ἀμφιάραος μὲν κατεπόθη σὺν τοῖς ἵπποις ἐν Ὠρωπῷ, Πολυνείκης δὲ οὐκ ἐτάφη· ἄταφος γὰρ ἔμεινεν· Ἄδραστος δὲ ζῶν εἰς Ἄργος ἀπῆλθεν. καταλείπονται δ'· Τυδεὺς, Καπανεὺς, Παρθενοπαῖος, Ἱππομέδων. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ὅτι ἰδιάζει καὶ ἐν τούτοις ὁ Πίνδαρος, ὡς καὶ ἐν ἄλλοις, ὁ δὲ Ἀριστόδημός φησι τὰς ἑπτὰ πυρὰς εἶναι τῶν στρατιωτῶν τῶν ἀπολομένων. οὕτω καὶ Ἱππομέδων καὶ Ἁρμονίδης γράφει· καὶ πυρὰς ποιοῦντες ἑπτὰ ἐπὶ τοῖς ἕρμασιν, ἐνταῦθα ὅπου καλοῦνται ἑπτὰ πυραὶ, ἢ ἀπὸ τῶν ἑπτὰ ἐπὶ Θήβαις, ἢ ἀπὸ τῶν ἑπτὰ παίδων Νιόβης ἐκεῖ καυθέντων, ἀπὸ τῶν εὖ' χωρισθεισῶν τῶν συζυγιῶν. [1]) Vet.

24. † Ἀπὸ τοῦ Ταλαὸς Ταλαΐων, ἀπὸ τούτου Ταλαϊονίδης, ὡς ἀπὸ τοῦ Ἰαπετὸς Ἰαπετίων, εἶτα ἀπὸ τούτου Ἰαπετιονίδης. Rec.

26. Ποθέω] ὁ Ἀσκληπιάδης φησὶ ταῦτα εἰληφέναι ἐκ τῆς κυκλικῆς Θηβαΐδος. [2]) Vet.

Στρατιᾶς ὀφθαλμόν] ἤτοι τὸν ἐν πολέμῳ περίβλεπτον ἢ τὸν προορᾶν τὰ μέλλοντα δυνάμενον ὡς μάντιν. καὶ δι' ἀμφότερά φησιν αὐτὸν ποθεῖν. εἰς δὲ τὸ μάντις καὶ πολεμιστὴς ἀπὸ κοινοῦ τὸ ἀγαθός. ὅπερ ἔξεστιν εἰπεῖν καὶ τῷ Ἀγησίᾳ τῷ δεσπότῃ τοῦ ὕμνου. τί δὲ αὐτῷ πάρεστιν, ὃ καὶ τῷ Ἀμφιαράῳ; καὶ μάντις καὶ ἀνδρεῖος τὰ ἐν μάχαις. § ὀφθαλμὸν στρατιᾶς τὸν Ἀμφιάραον ἐκάλεσεν ὡς δυνάμει προὔχοντα καὶ μάντιν ὄντα καὶ προορᾶν τὰ μέλλοντα δυνάμενον· ὀφθαλμὸς γὰρ προὔχει τοῦ σώματος. τοῦτο οὖν καὶ ἐπὶ τούτου λέγει τοῦ νικηφόρου. [3]) Vet.

1) Ex Vrat. A. Codex: Ἀριστόδημός φησι τὰς ἑπτὰ πυράς: ἀπολομέμων. Scripsi πυρὰς εἶναι τῶν στρατιωτῶν τῶν ἀπολομένων. Cf. schol. Nem. IX, 52. Deinde codex Ιπομεδ' et Αρμονιδ'. Utrumque nomen corruptum iudico; et Hippomedontis quidem ex antecedentibus natum est, in altero vero *Artemon* latere videtur, cuius aliquoties in scholiis mentio fit: etsi Harmonides nomen Graecum est, ex Luciani libello notum. Mox cod. ἕρμεσιν. Ad vocem πυραὶ post καλοῦνται ἑπτὰ supra scriptum est πηγαί. Cetera vix intellexeris. 2) Vrat. A. 3) Vrat. A.

Digitized by Google

27. Ὥςπερ ἐν τῷ Ἱέρωνος Ὀλυμπιονίκῃ [1]) ἔφαμεν τὸ Ἀμφότερα ἐν τῷ Πίποιθα δὲ μήτινα ξένον, οὕτω καὶ τοῦτο. † Ἀμφότερον, εἰ μὲν οὐδετέρως τοῦτο δίχοιτό τις, παρακινδυνεύει· οὐ γὰρ ἐνικῶς δύναται λέγεσθαι τὰ ἀμφότερα· εἰ δ' ἀρσενικῶς κατ' αἰτιατικὴν, ἀντὶ τοῦ ἀμφοτεροδέξιον, ἔξω τῆς γνώμης τοξεύει τῶν χρησαμένων αὐτῷ. ἐπὶ γὰρ τούτου τοῦ σημαινομένου καὶ μετὰ εὐθείας ἔστιν ὅτε λέγουσιν αὐτὸ, ὡς ἐν τούτοις·

Ἀμφότερον, πολιός τε νόον πολιός τε κάρηνον. [2])

δοκεῖ δὴ ἐπιρρηματικῶς μᾶλλον λέγεσθαι, ἀντὶ τοῦ κατ' ἀμφότερα· οὕτω γὰρ καὶ τὴν ἔννοιαν σώζει καὶ τὸ παρακινδύνευμα λύει καὶ τῇ χρήσει οἰκείως ἔχει. Rec.

29. † Σύνταξις. Τὸ καὶ ἀνδρί] τοῦτο τὸ πρὸς Ἀμφιάρεων ῥηθὲν ἁρμόζει καὶ τῷ Ἀγησίᾳ· καὶ γὰρ καὶ αὐτὸς ἀμφότερά ἐστι, καὶ ἀνδρεῖος καὶ ἐκ μάντεων καταγόμενος. § Τὸ καὶ ἀνδρί] τοῦτο τὸ ἐπὶ Ἀμφιάρεῳ δηλοιότι ῥηθὲν ἔπος πάρεστι νῦν, ἀντὶ τοῦ ἁρμόζει, καὶ τῷ ἀνδρὶ τῷ Συρακουσίῳ, τῷ δεσπότῃ τοῦ μετὰ χορείας ὕμνου, ἤγουν τῷ Ἀγησίᾳ. Rec.

30. Κώμου δεσπότᾳ] τῷ Ἀγησίᾳ. φασὶ [3]) γὰρ τὸν Ἀγησίαν μεθ' Ἱέρωνος στρατευσάμενον πολλοὺς πολέμους κατωρθωκέναι μαντείᾳ καὶ ἀρετῇ. Vet.

31. Νῦν πάρστι γράφε διὰ τὸ μέτρον, καὶ οὐ δύςερίς τις· εἰ δ' ἄλλως γράφεις, οὐκ ὀρθὸν ἔσται. Mosc. B.

32. Οὔτε δύςερις ἐών] ἐγὼ γὰρ, φησὶν, οὔτε φιλόνεικος οὔτε δύςερίς τις πάνυ ὢν καὶ τὸν μέγιστον ὅρκον ὀμόσαιμι, μαρτυρῶν τῷ Ἀγησίᾳ, ὃ καὶ ἐπὶ τοῦ Ἀμφιαράου λέγεται. εὔχομαι δὲ ἐπιτρέψαι μοι τὰς Μούσας καὶ συνεργῆσαι. εἰκότως δὲ ἐπιτραπῆναι παρὰ τῶν Μουσῶν αἰτιᾶται, ἐπειδὴ οἶδεν ἀνάρμοστον ὂν [4]) τὸ ὀμνύναι ποιητῇ ἐγκωμιάζοντι. § ὁ γὰρ δύςερις καὶ ψευδῆ δύναται λέγειν πρὸς φιλονεικίαν. [5]) Vet.

Οὔτε δύςερίς τις] τουτέστιν ἄγαν σκληρὸς εἰς ἔριν, οὔτε φιλόνεικος, καὶ μέγαν ὅρκον ὀμόσας, τοῦτο τὸ ἔπος, ἤγουν τοῦτον τὸν ἔπαινον ἀληθῶς αὐτῷ, τῷ Ἀγησίᾳ, μαρτυρήσω. αἱ γλυκύφωνοι δὲ ᾠδαὶ ἐπ' ἐμοὶ τοῦτο δώσουσιν, ἤγουν οὐκ ἀντιτάξονται, συνδραμοῦνται τῇ μαρτυρίᾳ. Rec.

35. Τοῦτό γέ οἱ σαφέως μαρτυρήσω] τοῦτο αὐτῷ μαρτυρήσω τὸ προδεδηλωμένον, ὅτι εἰς πάντα ὁ Ἀγησίας παραπλήσιος ἦν τῷ Ἀμφιαράῳ. Vet.

36. Ἐπιτρέψοντι] συμφωνήσουσιν. Gl. β. γ.

37. Ὦ Φίντις, ἀλλὰ ζεῦξον] οὗτος ἦν ἡνίοχος τῆς ἀπήνης. [6]) § Ἄλλως. ὁ νοῦς· ἀλλ' ὦ Φίντις, ζεῦξον ἤδη τὰς ἡμιόνους μοι. τροπικῷ δὲ λόγῳ χρῆται· δοκῶν γὰρ προςκαλεῖσθαι τὸν ἡνίοχον τὴν ἑαυτοῦ ψυχὴν σπουδάσαι πρὸς τὸν ὕμνον προτρέπεται καί φησιν ἀντὶ τοῦ, γειοῦ μοι πρόφασις, ἢ ἔστω μοι ἀφορμὴ τοῦ ὕμνου Φίντις [7]) ὁ ἡνίοχος καὶ τὰ ἅρματα τοῦ ἡνιόχου. § ὦ Φίντις Δωρικῶς ἐσχημάτισται. εἴη δ' ἂν κατὰ τὴν ἡμετέραν διάλεκτον Φίλτις. οἱ Δωριεῖς γὰρ μετατιθέασι τὸ λ εἰς ν, ὅταν ᾖ εἴτε τὸ τ, εἴτε τὸ θ. τῇ δὲ κλητικῇ οὐκ ἐχρήσατο, ἀλλὰ τῇ εὐθείᾳ· Ἥλιος, ὃς πάντ' ἐφορᾷς. [8]) Vet.

1) Olymp. I, 165. vulg. 2) Similes versus sunt Iliad. χ, 74. ω, 516. 3) Libri φησί, quod mutavi. 4) Vrat. A. Vulgo ἁρμοστόν. 5) Ex Vrat. A. 6) Ex Vrat. D. 7) Vulgo post Φίντις est δέ, quo deleto et interpunctione mutata locum restitui. Τὰ ἅρματα τοῦ ἡνιόχου praebet Vrat. D. 8) Haec inde a τῇ δὲ Vrat. A. Cf. Iliad. γ, 277.

Digitized by Google

† Σύνταξις. Ἀλλ' ὦ Φίντις, ἤγουν ἡνίοχε, πρὸς τὸν ἑαυτοῦ δὲ λέγει νοῦν, ζεῦξον ἤδη ἐμοὶ, ἤγουν ἀπὸ τοῦ νῦν, τὸ σθένος τῶν ἡμιόνων, τουτέστι τὴν δύναμιν τοῦ λόγου τοῦ περὶ τῶν ἡμιόνων τοῦ Ἀγησίου καθ' ὅσον τάχος, ὅπως ἐν ὁδῷ καθαρᾷ, τουτέστι δικαίᾳ, ἀναβιβάσωμεν τὸν ὄχχον, ἤγουν τὸ ὄχημα, ἀντὶ τοῦ τὸν ὕμνον τὸν ἐπὶ τῷ ὀχήματι, ἵκωμαί τε, ἀφίκωμαί τε, καὶ πρὸς τὸ γένος τῶν ἀνδρῶν, ἤγουν πρὸς τὸν Ἴαμον. κεῖναι γὰρ, ἤγουν αἱ ἡμίονοι τοῦ Ἀγησίου μόναι δηλονότι ἐξ ἁπάντων τῶν ἄλλων ἵππων ἐπὶ τὴν ὁδὸν ταύτην, ἤγουν τὴν πρὸς τὸ γένος τοῦ Ἀγησίου ἐπίστανται ἡγεμονεῦσαι, ἤγουν ὁδηγῆσαι, προοδοποιῆσαι· ἐπεὶ στεφάνους ἐδέξαντο, ἤγουν ἐστεφανώθησαν ἐν τῇ Ὀλυμπίᾳ. χρὴ τοίνυν ἀναπιτνάμεν, ἤγουν ἀναπετανύειν, ἀνοίγειν, χάριν αὐτῶν, τῶν ἡμιόνων δηλονότι, τὰς πύλας τῶν ὕμνων, ἀντὶ τοῦ χρὴ ὑμνεῖν αὐτάς. Rec.

39. Ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ] ἵνα ἐπιβιβάσωμεν ἐν καθαρᾷ ὁδῷ τὸ ὄχημα. ἀλληγορεῖ δὲ νῦν περὶ τοῦ ὕμνου λέγων· ἵνα διὰ καθαρᾶς λεωφόρου τὸν ὕμνον ἐπιβιβάσαντες τῷ ὀχήματι χρησώμεθα. § Ἄλλως. Ὄφρα κελεύθῳ] ἀλληγορεῖ καί φησιν· ἵνα δικαίᾳ καὶ καθαρᾷ ὁδῷ τῇ τῶν λόγων ἐπιβήσωμεν τὸ ὄχημα, ἀντὶ τοῦ ὑμνήσωμεν δικαίως [1]) καὶ προσηκόντως, καὶ ἵνα πρὸς τὸ γένος ἵκωμαι τῶν ἀνδρῶν· λέγει δὲ τῶν προγόνων τοῦ Ἀγησίου· ἵκωμαι δὲ ἐν αὐταῖς διὰ τῶν ἐγκωμίων. ἐκεῖναι γὰρ αἱ ἡμίονοι τοῦ Ἀγησίου παρὰ τὰς ἄλλας πάσας ἐπίστανται καὶ δύνανται ἡγεμονεῦσαι ταύτην τὴν ὁδόν· ποίαν ὁδόν; τὴν τῶν ὕμνων· ἐπειδὴ τοὺς ἐν Ὀλυμπίᾳ στεφάνους ἐδέξαντο. § ᾧ τάχος, ἀντὶ τοῦ ὡς τάχος. τῇ ὁδῷ δὲ τῇ καθαρᾷ, τῇ μὴ ἐχούσῃ ἐπίληψιν ἢ ψεῦδος, ἀλλὰ ἀλήθειαν. τὸ δὲ ὄχχον κατὰ τὸ πλεῖστον ἐπὶ τῶν ἡμιόνων τιθέασιν. § τὸ δὲ βάσομεν ἀντὶ τοῦ βήσωμεν Ὁμηρικόν. [2]) Vet.

40. Ὄχχον] ῥυθμόν. Gl. γ.

Ἵκωμαί τε πρὸς ἀνδρῶν καὶ γένος] τὸν καὶ σύνδεσμον ὑπερβιβαστέον· καὶ πρὸς τὸ τῶν ἀνδρῶν γένος παραγένωμαι, τουτέστι μνημονεύσω καὶ τῶν προγόνων αὐτοῦ. ἀνέφερε δὲ ὁ Ἀγησίας εἰς τοὺς Ἰαμίδας τὸ γένος. ἔνιοι δὲ τὸν καὶ σύνδεσμον περισσὸν δέχονται, ἵν' ᾖ· ἵκωμαί τε πρὸς τὸ τῶν ἀνδρῶν γένος. Vet.

41. Ἐξ ἄλλαν] παρὰ τὰς ἄλλας πάσας, ἀντὶ τοῦ ὑπὲρ πάσας τὰς λοιπάς. αὗται γὰρ παρὰ τὰς ἄλλας πάσας τὰς ἀγωνισαμένας νικήσασαι προκαλοῦνται τὸν ὕμνον. Vet.

42. Ἀγεμονεῦσαι] προτερεῦσαι. Gl. γ.

44. Ἐπεὶ δέξαντο] ἀντὶ τοῦ ἐπεδείξαντο [3]) τοὺς στεφάνους, οὓς ἔλαβον. § ἐπειδὴ καὶ αὗται αἱ ἡμίονοι τοῖς στεφάνοις ἐβάλλοντο καὶ τοῖς ἄνθεσιν. Vet.

Πύλας ὕμνων] ἐνέμεινε τῇ τροπῇ καί φησι· προσήκει τὰς πύλας τῶν ὕμνων ἀνοίγειν ταῖς ἡμιόνοις. § προσήκει καθάπερ πύλας, οὕτω καὶ τοὺς ὕμνους ἀναπετάσαι. εὖ δὲ τῇ παρασκευῇ παρίστησι τήν τε τοῦ ἐπαινουμένου μεγαλειότητα καὶ τὴν τοῦ ἐπαινεῖν αὐτοῦ δύναμιν ὁ ποιητής. [4]) § περὶ τῶν ἡμιόνων λόγος. αὗται γὰρ παρὰ τὰς ἄλλας ἀγωνιζόμεναι νικήσασαι προκέκληνται τὸν ὕμνον. γράφεται καὶ, ἐπεδείξαντο τοὺς στεφάνους, οὓς ἔλαβον. [5]) Vet.

45. † Ἀναπιτνάμεν] ἀπὸ τοῦ πιτνῶ, τὸ πίπτω, καὶ τῆς ἀνὰ προθέσεως ἀνα-

1) Hanc vocem de coniectura addidi. 2) Duo haec scholia dedi ex Vrat. A. qui βήσομεν Ὁμηρικόν. 3) Sic Vrat. D. 4) Vrat. D. 5) Vrat. A. Ultima inde a γράφεται variam lectionem non textus, sed scholiorum codicis designant.

Digitized by Google

πιτνῶ· ἀφ' οὗ ἀναπιτνάμεν καὶ Δωρικῶς ἀναπιτνάμεναι. καὶ ἀναπιτνάμεν ἀντὶ τοῦ ἄνω κεῖσθαι ποιεῖν, ἤγουν ἀνοίγειν, ἀναπετᾶν. ἀποβάλλει δὲ τὸ προσγεγραμμένον ῑ, καὶ συστέλλεται κατὰ τὴν ἀκολουθίαν τοῦ ἔμεναι, δόμεναι, θέμεναι. Rec.

46. Πρὸς Πιτάναν δέ] Πιτάναν νῦν τὴν ὁμώνυμον πόλιν λέγει τῇ ἡρωΐδι, ἐπικειμένην ταῖς ὄχθαις τοῦ Εὐρώτα ποταμοῦ. προσέθηκε δὲ παρ' Εὐρώτα πόρον, ἐπειδὴ καὶ τῆς Αἰολίδος ἐστὶν ἡ Πιτάνη· αὕτη δὲ ἡ Πιτάνη ἡ τοῦ Εὐρώτα πρόγονός ἐστι τῶν Ἰαμιδῶν. ταύτης γὰρ καὶ Ποσειδῶνος Εὐάδνη, Εὐάδνης δὲ καὶ Ἀπόλλωνος Ἴαμος ὁ μάντις, ἀφ' οὗ καὶ Ἰαμίδαι. τῆς Πιτάνης δὲ ὁμώνυμος ἡ πόλις. Εὐάδναι δὲ δισσαί, μία μὲν ἡ Ποσειδῶνος καὶ Πιτάνης, ἑτέρα δὲ Ἴφιδος, ἣν καὶ Ἰάνειραν λεγομένην φασὶν Εὐάδνην ὠνομάσθαι διὰ τὸ πλῆθος τῶν ἔδνων, ὧν ἔδωκε Καπανεύς. ἡ δὲ Λακωνικὴ Πιτάνη Εὐρώτα τοῦ ποταμοῦ γενεαλογεῖται εἶναι, ὡς Σωσίβιος. ἢ ἡρωΐνη, ἀφ' ἧς καὶ ἡ πόλις..... καθ' ὃ ἔτι ἐδόκει παρθένος εἶναι· διὸ καὶ οἱ ἐξ αὐτῶν παῖδες Παρθένιοι. [1]) § Ἄλλως. Πρὸς Πιτάναν καὶ παρ' Εὐρώτα πόρον] ὁ Ἀγησίας γένει μὲν ἦν Ἀρκὰς καὶ Ἀργεῖος ὡς ἀπὸ Ἰάμου οὕτω· Πιτάνη γὰρ γέγονεν Εὐρώτα Λακωνικοῦ ποταμοῦ, ᾗ συνελθὼν Ποσειδῶν ἐγέννησεν Εὐάδνην τινά. αὕτη ἡ Πιτάνη τὸ γεννηθὲν ἐκπέμπει λαθραίως εἰς Ἀρκαδίαν τρέφεσθαι παρὰ Αἰπύτῳ τῷ Ἐλάτου παιδί. ταύτην τὴν Εὐάδνην ἐν ἀκμῇ γενομένην διεκόρευσεν ὁ Ἀπόλλων, καὶ ἔτεκεν Ἴαμον, ἀφ' οὗ οἱ Ἰαμίδαι μάντεις κατὰ Πίσαν, εἰς οὓς τὸ γένος ἀνάγει ὁ Ἀγησίας· καὶ οὕτως εὑρίσκεται ὡς μὲν ἀπὸ τῆς Πιτάνης Ἀργεῖος, ὡς δὲ ἀπὸ Ἰάμου καὶ Εὐάδνης τῆς ἐν Ἀρκαδίᾳ Ἀρκάς. § ἔστι δὲ Πιτάνη πόλις Λακεδαίμονος, καὶ Εὐρώτας ποταμὸς καὶ Σπάρτης καὶ ἄλλος Ἰταλίας. [2]) Vet.

Ἱστορία περὶ τῆς Πιτάνης. Εὐρώτου τοῦ Λακωνικοῦ ποταμοῦ θυγάτηρ γέγονε Πιτάνα. αὕτη ὑπὸ Ποσειδῶνος ἔγκυος γενομένη καὶ τῷ δοκεῖν εἶναι παρθένος λανθάνουσα, ὅτε καιρὸς ἦκε τοῦ τοκετοῦ, γεννήσασα τὴν Εὐάδνην δέδωκε ταῖς ἀμφιπόλοις λάθρα πρὸς Αἴπυτον Ἀρκάδων βασιλέα ἀγαγεῖν τὸ βρέφος. ἄλλοι δέ φασι καὶ ἀληθῆ λέγοντες, ὡς ἡνίκα τοῦτο ἐγέννησε, διὰ τῶν θεραπαινίδων εἰς ἐρημίαν ἐξέθηκεν· ὅθεν ἀνελόμενος Αἴπυτος ἔθρεψεν. ὃ καὶ Πίνδαρος εἰδώς, ἐπειδὴ ἐγκώμιον Ἀγησίου ποιεῖται, ἀντὶ τοῦ εἰπεῖν ἐκθεῖναι αὐτὴν τὸ βρέφος, ἐκπέμψαι πρὸς Αἴπυτον λέγει. ἀτιμίαν γὰρ Ἀγησίου εἶχεν ἄν. † Σύνταξις. Πρὸς τὴν Πιτάνην δὲ τὴν τοῦ ὀνόματος αὐτῆς μεταδοῦσαν τῇ πόλει τῇ παρὰ τὸ ῥεῦμα τοῦ Εὐρώτα τοῦ ποταμοῦ δεῖ σήμερον ἀπελθεῖν ἐγκαίρως, ἥτις τῷ Ποσειδῶνι μεγεῖσα τῷ υἱῷ τοῦ Κρόνου λέγεται τεκεῖν αὐτῷ θυγατέρα μελανοπλόκαμον τὴν Εὐάδνην. Rec.

47. Δεῖ σάμερον ἐλθεῖν ἐν ὥρᾳ] ἐν δέοντι καιρῷ δεῖ αὐτῆς μνησθῆναι σήμερον. [3]) § Ἄλλως. δεῖ σήμερον, φησίν, κατὰ τὸν ὡρισμένον καιρὸν τῶν ἐγκωμίων ἐλθεῖν ταχέως καὶ περὶ τῆς Πιτάνης εἰπεῖν τῆς τοῦ Εὐρώτα ποταμοῦ θυγατρός. § ἑαυτὸν λέγει ὁ ποιητής, ἀντὶ τοῦ σχολάσω τῷ ὕμνῳ. [4]) Vet.

[1]) Haec addidi ex Vrat. A. mutila quidem, neque tamen abiicienda. Cod. Σωσίνγιος, quod correxit Gerhardus, et ἡρωΐνης. *Sosibius* est Laco, grammaticus, quo scholiastes etiam ad Pyth. II, 127. usus est. Ceterum totum hoc scholium ad vs. 46. ex libris refinxi. Quae de παρθένῳ et Παρθενίοις, ea spectant ad vs. 51. [2]) Vrat. A. [3]) Ex Vrat. D. [4]) Ex Vrat. A.

Digitized by Google

48. Ἅ τοι Ποσειδάονι] ἥτις μιγεῖσα τῷ Ποσειδῶνι Πιτάνη λέγεται τὴν ἱοπλόκαμον, ἀπὸ μέρους τὸ πᾶν, καλὴν Εὐάδνην τεκεῖν, καὶ διαλαθεῖν ἐγκυμονοῦσαν καὶ κρύψαι τὴν ὠδῖνα τὴν ἐν τῇ δοκούσῃ παρθενίᾳ. [1]) Παρθένιοι δὲ λέγονται παῖδες οἱ κρύφα τικτόμενοι παρὰ τῶν ἔτι νομιζομένων εἶναι παρθένων. οὕτω που καὶ Ὅμηρος ἐν τῷ καταλόγῳ τῶν Ἀχιλλέως νηῶν φησι· [2])

Τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευεν
Παρθένιος.

§ Ἄλλως. Ἅ τοι Ποσειδάονι] πρὸς τὴν ἱστορίαν, ὅτι φησὶ τὸν Ποσειδῶνα Πιτάνῃ μιχθέντα λάθρα γεννῆσαι Εὐάδνην. ἐκ ταύτης δὲ καὶ Ἀπόλλωνος Ἴαμος, ἀφ' οὗ οἱ Ἰαμίδαι. Vet.

50. Ἰοβόστρυχον] μελανότριχα. Gl. γ.

51. Κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις] ἤγουν συνέλαβε δὲ ἐν τοῖς μυχοῖς τῆς γαστρὸς ἐγκυμόνησιν, σύλληψιν παρθενικήν. ἀσάφειάν τινα ἔχει ὁ λόγος, ταύτης δὲ αἰτία ἡ διάλυσίς ἐστιν. εἰ γὰρ συνημμένος ὁ λόγος ἐλέγετο, ἦν ἂν σαφὴς ἔχων οὕτως· ἥτις τῷ Ποσειδῶνι μιγεῖσα τῷ υἱῷ τοῦ Κρόνου, λέγεται συλλαβοῦσα ἐν τοῖς μυχοῖς τῆς γαστρὸς σύλληψιν παρθενικὴν τεκεῖν αὐτῷ θυγατέρα μελανοπλόκαμον τὴν Εὐάδνην. κατὰ τὸν μῆνα δὲ τὸν ὡρισμένον τοῦ τόκου, ἤγουν αὐτίκα δὲ καθ' ὃν μῆνα ἔτεκεν αὐτὴν, πέμπουσα ἀμφιπόλους, ἀντὶ τοῦ προσπόλους, ἤγουν δούλους, ἐκέλευσεν αὐτοῖς δηλονότι δοῦναι τὸ βρέφος τῷ ἥρωϊ τῷ Εἰλατίδῃ, ἤγουν τῷ Αἰπύτῳ τῷ υἱῷ τοῦ Ἐλάτου πορσαίνειν, ἤγουν ἀνατρέφειν, αὔξειν. § ἀπὸ τοῦ πόῤῥω πόρσω, καὶ ἀπὸ τούτου πορσαίνω, τὸ εἰς προκοπὴν ἄγω, καὶ πόῤῥω ποιῶ ἐκείνου, ἐφ' ᾧ ἐστιν. § τοῦτο διπλῶς νόει. ἔκρυψε δὲ ἡ Πιτάνη ἐν τοῖς κόλποις τὴν παρθενίαν καὶ παρθενικὴν ὠδῖνα, ἤγουν ἣν συνέλαβεν ὠδῖνα ἔκρυψε παρθένος εἶναι δοκοῦσα. ἢ οὕτως· ἔκρυψε δ' ἐν τοῖς κόλποις τὴν ὠδῖνα τὴν παρθενίαν, τουτέστι τὴν κρυφίως γενομένην· Παρθένιοι γὰρ λέγονται παῖδες οἱ λάθρα τικτόμενοι παρὰ τῶν ἔτι νομιζομένων εἶναι παρθένων. οὕτω που καὶ Ὅμηρός φησι·

Τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευεν
Παρθένιος.

ἐμοὶ δὲ δοκεῖ κάλλιον παρθενίᾳ γράφειν, ἵν' εἴη σαφὴς ὁ λόγος οὕτως· ἔκρυψε δὲ τὴν ἐν τοῖς κόλποις ὠδῖνα, ἐν τῇ παρθενίᾳ, ἐν τῷ δοκεῖν ἔτι παρθένος εἶναι. εἰ δ' ἐπ' εὐθείας τὸ παρθενίᾳ θήσεις λέγων, ἔκρυψε δὲ ἡ παρθενία τὴν ἐν τοῖς κόλποις ὠδῖνα, οὐ μόνον σαφέστερος ἂν εἴη ὁ λόγος, ἀλλὰ καὶ κατὰ σύνταξιν ἄριστος ἔχων. οἱ δὲ γράφοντες τὸ ψαι δίφθογγον, ἵνα πρὸς τὸ λέγεται συντάξωσιν, ἀγνοοῦσι τὰ μέτρα. Rec.

52. Κυρίῳ δ' ἐν μηνί] ὁ νοῦς· τῷ κυρίῳ δὲ μηνὶ τοῦ τίκτειν ἀποστείλασα θεράποντας ἐκπέμπει τὸ βρέφος πρὸς τὸν βασιλέα τῶν Ἀρκάδων Αἴπυτον Ἐλάτου παῖδα. § Ἄλλως. κύριον εἶπε τὸν μῆνα, εἰς ὃν ἔδει τεκεῖν αὐτήν. [3]) § τῷ τὸ κῦρος ἔχοντι τοῦ τόκου. [4]) Vet.

54. Ἥρωϊ πορσαίνειν] τὸ ἑξῆς· ἥρωϊ Εἰλατίδᾳ δόμεν ὥστε πορσαίνειν καὶ τρέφειν τὸ βρέφος. [5]) Vet.

1) Sic Vrat. D. 2) Iliad. π, 179. 3) Ex Vrat. D. 4) Ex Vrat. A. 5) Ex Vrat. A. qui λατίδα δόμεν.

Digitized by Google

55. Ὅς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ] τὴν Φαισάναν πάντες μὲν οἱ ὑπομνηματισταὶ τῆς Ἀρκαδίας εἶναι πόλιν ἐξεδέξαντο, ὁ δὲ Δίδυμός φησι τῆς Ἤλιδος αὐτὴν εἶναι, καὶ ὑπεραπολογεῖται τοῦ ῥητοῦ οὕτως, ὅτι ποτὲ οἱ Ἀρκάδες καὶ τῆς Ἤλιδος ἐβασίλευον κατὰ τὸν χρόνον τοῦ Αἰπύτου. οἱ δὲ βουλόμενοι τὴν Φαισάναν Ἀρκαδικὴν εἶναι τὸ περὶ Ἀλφειοῦ οὕτως ἐπιλύονται, ὅτι διὰ Φαισάνης ἔχει ὁ ποταμὸς τὰ ῥεύματα· φέρεται γὰρ ἐξ Ἀσέας κώμης Ἀρκαδικῆς· ἢ ὅτι αἱ πηγαὶ τοῦ Ἀλφειοῦ ἐξ Ἀσέας εἰσὶ τῆς Ἀρκαδικῆς καὶ ἀντιποιοῦνται αὐτοῦ οἱ Ἀρκάδες. § Δίδυμός φησιν, ὅτι πάντες οἱ ὑπομνηματισάμενοι Φαισάναν φασὶν εἶναι τῆς Ἀρκαδίας πόλιν· αὐτὸς δέ φησιν εἶναι τῆς Ἠλιαίας, καὶ παρατίθεται Ἴστρον ἱστοροῦντα ἐν τῇ πέμπτῃ τῶν Ἠλιακῶν. ἤτοι οὖν Πίνδαρος ψεύδεται, ἢ διὰ τὸ τὴν Πίσαν ὑπὸ τοῖς Ἀρκάσι ποτὲ γενέσθαι βασιλεύειν φησὶ τῆς Φαισάνης τὸν Αἴπυτον. [1]) § Ἄλλως. ὁ νοῦς· ὅστις Αἴπυτος βασιλεύων τῆς Ἀρκαδίας καὶ ἔχων ὑφ' ἑαυτὸν τὴν Φαισάναν, ἔλαχε κατοικεῖν ἐν ταῖς ἀρχαῖς τοῦ ποταμοῦ. ἄρχεται γὰρ τὰ ῥεῖθρα ἐν Ἀρκαδίᾳ, ἐν Ἤλιδι δὲ ἐκλάμπει πολύς. Vet.

† Σύνταξις. Ὅς ἀνδρῶν Ἀρκάδων] ὅστις, ἤγουν ὁ Αἴπυτος, ἀνδρῶν Ἀρκάδων ἐβασίλευε κατὰ τὴν πόλιν τὴν Φαισάναν, ἔλαχέ τε, ἤγουν ἐκληρώθη, οἰκεῖν τὸν Ἀλφειόν· ἀπὸ τῆς Φαισάνης γὰρ καταῤῥεῖ ὁ Ἀλφειός, καταντᾷ δὲ εἰς τὴν Ἦλιν· τὸ δὲ μέσον αὐτοῦ κατὰ τὴν Ἐπίδαυρον· ἔνθα δ' ἀνατραφεῖσα αὐτή, δηλονότι ἡ Εὐάδνη, ὑπ' Ἀπόλλωνος πρῶτον ἔψαυσεν Ἀφροδίτης γλυκείας, ἀντὶ τοῦ ἱμερτῆς. κλέπτουσα δὲ, ἤγουν πειρωμένη λαθεῖν ἐγκυμονοῦσα τὸν γόνον, τουτέστι τὸ σπέρμα τοῦ θεοῦ, ἤτοι τοῦ Ἀπόλλωνος, οὐκ ἔλαθε τὸν Αἴπυτον ἐν παντὶ χρόνῳ, ἤγουν διὰ παντός. Rec.

58. Πρῶτον ἔψαυσε] δαιμονίως τὸ ἔψαυσεν ὡς ἐπὶ θείας ἀφροδισίας συνόδου ἔταξε. τὸ δὲ ὅλον· διεφθάρη ὑπ' Ἀπόλλωνος. § Ἄλλως. τῆς γλυκείας πρῶτον τοῦ Ἀπόλλωνος συνουσίας μετέσχεν. § λάθρα τεκοῦσα ἡ Πιτάνη ἀπέστειλεν εἰς Ἀρκαδίαν Αἰπύτῳ τῷ Ἐλάτρου παιδί. τὸ δὲ ἐκ συντυχίας συμβεβηκὸς ἐκ προνοίας λέγει γεγενῆσθαι· τὴν γὰρ Εὐάδνην ἐκτεθεῖσαν Αἴπυτος εὑρὼν ἀνέλαβεν. Vet.

59. Οὐδ' ἔλαθεν] οὐκ ἠδυνήθη δὲ λαθεῖν τὸν αὐτὴν θρέψαντα Αἴπυτον δεξαμένη γόνον θεοῦ. § οὐκ ἔλαθε τὸ ἐκ θεοῦ λαθραῖον ἀδίκημα κρύπτουσα τὸν πάντα χρόνον. ἔγιω γὰρ αὐτὴν ἔγκυον οὖσαν. [2]) § θεοῖο γόνον, τὸν ἐξ Ἀπόλλωνος γενόμενον παῖδα. [3]) Vet.

61. † Σύνταξις. Ἀλλ' ὁ μὲν Πυθώνάδε] ἀλλ' ὁ μὲν γνοὺς θυμὸν οὐ φατὸν, ἤγουν ἄῤῥητον, μέγαν, ἐν τῇ ψυχῇ κατασχὼν σὺν φροντίδι ὀξείᾳ, τουτέστιν ἐπιτεταμένῃ, ἀπὸ μεταφορᾶς τῶν ὀξέων βελῶν τῶν βλάπτειν μάλιστα δυναμένων, ἀφανὴς ἐγένετο ἀπερχόμενος Πυθώνάδε, ἤγουν εἰς τὴν Πυθῶνα, μαντευσόμενος περὶ ταύτης τῆς ἀφορήτου βλάβης, τουτέστι τῆς κρυφίου διακορήσεως. ἡ δὲ, ἤγουν ἡ Εὐάδνη, καταθεῖσα τὴν ζώνην αὐτῆς τὴν φοινικόκροκον, ἤγουν τὴν κρόκῳ βεβαμμένην καὶ τὴν κάλπιδα τὴν ἀπὸ ἀργύρου κατεσκευασμένην. ἔστι δὲ ἡ κάλπις ἀγγεῖόν τι ὑδροδόχον. Rec.

Ἐν θυμῷ πιέσας χόλον] κατὰ τὴν ψυχήν· καίτοι δεινὴν οὖσαν τὴν ὀργὴν λογισμῷ κατασχὼν καὶ πρὸ τῆς ἀληθοῦς γνώσεως οὐκ ἐκφῆναι τὸ δεινὸν βουληθεὶς, καίτοι

1) Ex Vrat. A. qui Φαισάναν τὴν τῆς Ἀρκ. et παρατιθέναι, item Πίσσαν. 2) Vrat. A. 3) Vrat. D.

Digitized by Google

καὶ πάνυ χαλεπαίνων, εἰς τὸ τοῦ Πυθίου Ἀπόλλωνος μαντεῖον ἐπορεύετο γνωσόμενος περὶ τοῦ ἀτλήτου καὶ ἀτόπου τῆς διαφθορᾶς πάθους. ὀξείᾳ δὲ μελέτᾳ, τῇ μεγάλῃ φροντίδι. μελίτας γὰρ τὰς φροντίδας λέγουσιν. Vet.

Πιέσας] κρατήσας. Gl. β. γ.

63. Ἰών] βαδίζων. Gl. γ.

65. Ἀτλάτου] περὶ τοῦ προδεδηλωμένου ἀτολμήτου ὄντος, ἢ ἣν οὐκ ἄν τις ῥᾳδίως ἐνέγκοι διὰ τὴν ὕβριν. [1]) Vet.

66. Φοινικόκροκον] κοκκινόβαφον. Gl. γ.

Ἁ δὲ φοινικόκροκον] ἡ Εὐάδνη. φοινικόκροκον δὲ τὴν ἐκ φοινικῆς κρόκης ὑφασμένην. Vet.

67. Ζώναν] ὁ Αἴπυτος ἕως ᾤχετο πρὸς Δελφοὺς μαντευσόμενος, ἡ Εὐάδνη ἀφελομένη τὴν ζώνην τῆς γαστρὸς καὶ τὴν ὑδρίαν ἀποθεμένη ἔτεκε τὸν Ἴαμον. [2]) Vet.

68. Ἀργυρέαν] ἔθος ἦν ταῖς ἡρωΐσιν ἑαυταῖς ὑδρεύσασθαι, ὡς καὶ ἡ Εὐάδνη, ὅτε τὸν παῖδα ἐγέννησεν. ἔθος δὲ καὶ ταῖς τικτούσαις λύειν τὰς ζώνας. [3]) Vet.

69. Λόχμας ὑπὸ κυανέας] τοῦ ἀνθηροῦ καὶ καταπύκνου τοῖς φυτοῖς τόπου. κυανέας, ἤτοι τὰς βαθείας ἢ παρὰ τὴν τῶν ἴων χροιάν. Vet.

Λόχμας ὑπὸ κυανέας] ἤγουν ὑποκάτω δένδρων σκιᾶς βαθείας ποιητικῶν διὰ τὴν πυκνότητα ἔτεκεν υἱὸν θεόφρονα, ἤγουν ἐνθέου φρονήσεως δεκτικόν. τοῦτο δέ φησι διὰ τὴν ὕστερον ἠσκημένην αὐτῷ μαντικήν. Rec.

Κυανέας] ἢ τὰς σκιώδεις διὰ τὸ δάσος ἢ ὅτι τὰ ἴα τοιαύτην ἔχει τὴν χροιάν. θεόφρονα δὲ λέγει τὸν Ἴαμον ὡς γινώσκοντα τὰ πάντα διὰ τῆς μαντικῆς, ὥσπερ οἱ θεοί. παρέστησεν αὐτῇ, φησὶ, καὶ τὰς Μοίρας μετὰ τῆς Εἰλειθυίας, ἵνα τὰ κάλλιστα τῷ παιδὶ ἐπικλώσωσι. τοῦτο δὲ ἐποίει σεμνύνων τὰς αὐτοῦ γονάς. Rec.

70. Τίκτε θεόφρονα κοῦρον] τὸν Ἴαμον, ὅτι μάντις τὴν τέχνην ὁ Ἴαμος. ἢ ὅτι θεῶν βουλαῖς ἐγένετο. [4]) § ὁ δὲ νοῦς· ἡ δὲ Εὐάδνη τὴν ἐκ φοινικῆς κρόκης ζώνην λύσασα καὶ ἀποθεμένη δὲ καὶ τὴν κάλπιν οὕτω λοιπὸν ἔτεκεν ἐν συσκίῳ τόπῳ τὸν ἐσόμενον θεόφρονα παῖδα. λέγει δὲ τὸν Ἴαμον, ἀφ' οὗ τὸ γένος ἔχει ὁ Ἀγησίας. Vet.

71. Τᾷ μὲν ὁ Χρυσοκόμας] τῇ Εὐάδνῃ ἀποκυούσῃ παρέστησεν ὁ χρυσοκόμης Ἀπόλλων τὴν Εἰλείθυιαν κεχαρισμένα φρονοῦσαν καὶ τὰς Μοίρας. ἡ δὲ ἔνδειξις οὐ μόνον περὶ εὐτοκίας, ἀλλὰ καὶ καλλίστης γενέσεως τοῦ παιδός. Vet.

Τῇ μέν] ταύτῃ μὲν τικτούσῃ ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην παρέστησεν Ἐλευθὼ, ἤγουν Εἰλείθυιαν, ἔφορον δηλονότι θεὰν τῶν τόκων. Rec.

Πραΰμητίν τ' Ἐλευθώ] πραεῖαν καὶ εὐμενῆ. § τὴν Εἰλείθυιαν πραϋμῆτιν εἶπεν, ὅτι αἱ τίκτουσαι πρᾴότεραι γίνονται ἢ ὅτε παρθένοι εἰσίν. [5]) Vet.

72. Παρέστασέ τε] τοὺς συνδέσμους μεταθετέον. ὁ γὰρ λόγος οὕτως ἀπαιτεῖ· τῇ μὲν ὁ Χρυσοκόμας πραϋμῆτιν Εἰλείθυιαν παρέστασε Μοίρας τε κατὰ τὸν τόκον ὑπ' ὠδῖνος. Vet.

Πραΰμητιν] ἤγουν πραέα, φίλα φρονοῦσαν αὐτῇ, καὶ τὰς Μοίρας συμπαρέστησεν, ἵν' εὐδαίμων δηλονότι εἴη ὁ παῖς. ἦλθε δὲ ὁ Ἴαμος εἰς φῶς αὐτίκα ἐκ τῆς ἐπε-

1) Vrat. A. 2) Vrat. A. 3) Vrat. A. 4) Supplevi ex Vrat. A. 5) Vrat. D.

Digitized by Google

ράστου ἐντὸς τῶν σπλάγχνων ἐγκυμονήσεως. τὸν μὲν κνιζομένα, ἀντὶ τοῦ λυπουμένη, ἀλγοῦσα, κατελίμπανεν ἐν γῇ· δύο δὲ δράκοντες γλαυκῶπες, ἤγουν λαμπροὺς καὶ στίλβοντας ἔχοντες τοὺς ὀφθαλμοὺς, κατὰ βούλησιν θεῶν ἐθρέψαντο αὐτὸν κηδόμενοι, ἤγουν ἐπιμελούμενοι, δι' ἰοῦ μελισσῶν ἀμεμφοῦς, τουτέστιν οὐ μέμψεως ἀξίου ἀλλὰ ἐπαίνου δηλονότι, ἤγουν διὰ μέλιτος. ὁ βασιλεὺς δὲ, ὁ Αἴπυτος δηλονότι, ἐπεὶ ἀφίκετο ἐκ τῆς Πυθῶνος τῆς πετραέσσης, ἤγουν τῆς πετρώδους, τῆς τραχείας, ἐλαύνων, τοὺς ἵππους δηλονότι, ἅπαντας τοὺς ἐν τῷ οἴκῳ ἠρώτα τὸν παῖδα, ὃν ἡ Εὐάδνη ἔτεκε· τοῦ Φοίβου γὰρ πατρὸς ἔφη αὐτὸν γεγονέναι, υἱὸν δηλονότι, μάντιν δὲ ἔσεσθαι τοῖς ἀνθρώποις ἔξοχον περισσῶς πάντων τῶν ἀνθρώπων, ἤγουν ὑπὲρ πάντας ἀνθρώπους· οὐδέποτε ἐκλείψειν, ἤγουν σβεσθήσεσθαι, ἐκποδὰν γενήσεσθαι τὴν γενεὰν αὐτοῦ. Rec.

73. Ἦλθε δ' ὑπὸ σπλάγχνων] ὁ νοῦς τοιοῦτος· ἐγεννήθη δὲ ἐξ ἐπεράστου ὠδῖνος ὁ Ἴαμος, καὶ ἦλθεν εἰς τὸ φῶς εὐθέως. τοῦτον οὖν τίκτουσα καὶ ἐπιλυπουμένη καταλέλοιπεν ἐπὶ τῇ γῇ ἡ Εὐάδνη· δύο δὲ αὐτὸν φοβερώτατοι δράκοντες θεῶν βουλήσει ἀνέθρεψαν ἀβλαβῆ ἰὸν προσφερόμενοι, ἵνα λέγῃ τὸ μέλι. § ἡ δευτέρα ὑπὸ ἀντὶ τῆς μετὰ, ἡ πρώτη δὲ ὑπὸ ἀντὶ τῆς ἀπό. [1]) Vet.

Ὑπὸ σπλάγχνων] ἤγουν ἐν τῇ νηδύϊ· ἐν τούτῳ γὰρ τῷ τῆς γαστρὸς μέρει ἐστὶ τὸ ἔμβρυον· ἢ τὸ σπλάγχνων ἀντὶ τοῦ γαστρὸς ἁπλῶς. Rec.

74. Ὠδῖνος ἐρατῆς] ἤτοι γέννας ἐπιθυμητῆς, ἢ διότι θεοῦ παῖδα ἐγέννα, ἢ ὅτι πᾶσαι ἐπιθυμοῦσι τεκεῖν καὶ τῶν ἐντεῦθεν ἀπηλλάχθαι κακῶν. Rec.

75. Ἐς φάος αὐτίκα] εὐθέως· ἀκολούθως, ὡς ἀπὸ εὐμενεστάτης Εἰλειθυίας, ῥᾳδίαν καὶ ἄμοχθον τὴν ὠδῖνα ἐποιήσατο. Vet.

Τὸν μὲν κνιζομένα] δοκεῖ τὸ κνιζομένα ἐναντίον εἶναι πρὸς τὴν τῆς Εἰλειθυίας εὐμένειαν. καὶ ἴσως τὴν μετρίαν αἴσθησιν τῆς ἀλγηδόνος ὑποφαίνει κνισμὸν ὀνομάζων. ἢ κνιζομένη, λυπουμένη· ἤλγει μὲν γὰρ ὡς μήτηρ στέργουσα τὸ τέκνον· κατελείπετο δὲ αὐτὸ ἐπὶ τῆς ἐρημίας, βουλομένη λαθεῖν. § κνιζομένη, λυπουμένη ἐπὶ τοῦ μὴ δύνασθαι τρίφειν αὐτόν. [2]) Vet.

76. Γλαυκῶπες αὐτόν] ἢ πυρώδεις· τὸ γὰρ γλαυκὸν ἐπὶ τοῦ πυρώδους ἔθεσαν πολλοὶ, καὶ τὴν σελήνην Γλαυκὼ λέγουσιν· ἢ ἀπὸ τοῦ γλαύσσειν. [3]) Vet.

Γλαυκῶπες] εὐόφθαλμοι. Gl. α.

77. Δαιμόνων βουλαῖσιν] ἤτοι καθόλου τῶν θεῶν ἄκουστέον, ἢ εἰς Ἀπόλλωνα καὶ Ποσειδῶνα ἀνακτέον, τὸν μὲν πατέρα, τὸν δὲ προπάτορα. Vet.

78. Ἀμεμφεῖ] ἐπαινετῷ. Gl. γ.

Ἀμεμφεῖ ἰῷ] ἀμεμφῆ ἰὸν εἶπε τὸ μέλι τὸ σκληρότερον. [4]) ὁ γὰρ ἰὸς μοχθηρίαν τινὰ ὑποφαίνει. ὡς ἐπὶ δρακόντων δὲ τὸν ἰὸν εἶπεν· ἀποβάλλει γὰρ ὁ δράκων ἰόν· βουλῇ δὲ θεῶν ὡς μελισσῶν ἄνθος ἡδὺ γίνεται καὶ οἷον ὡς μέλι. § ἐπειδὴ δράκοντές εἰσιν οἱ τρέφοντες, καὶ οὗτοι εἰώθασιν ἐμεῖν τὸν ἰὸν, ὥστε τοὐναντίον ἐργάζεσθαι τὸν τῶν δρακόντων ἰὸν ᾧπερ εἰώθασι κατὰ φύσιν, τοῦ θεοῦ εἰς τοῦτο παραστήσαντος τὴν φύσιν

[1]) Ex Vrat. A. Codex bis ἀπὸ pro ὑπὸ, item τῆς ἀντὶ μετὰ, omisso ἀντὶ altero. [2]) Vrat. A. [3]) Vrat. A. [4]) Hoc addidi ex Vrat. A. D.

Digitized by Google

τῶν δρακόντων. § ἢ ἰῷ μελισσῶν, τῷ μέλιτι διὰ τὴν δριμύτητα καὶ κατὰ μεταφοράν. § ἀμεμφεῖ ἰῷ μελισσῶν, ἤτοι ἀμέμπτῳ ἰῷ καὶ παρὰ τῶν μελισσῶν, ἤτοι ἀπαλωτέρῳ καὶ γλυκυτέρῳ. [1]) § Ἄλλως. ἠστειεύσατο εἰπὼν ἀντὶ τοῦ ἰοῦ μέλι προϊέναι. τὸ δὲ σημεῖον χ', ὅτι ἰὸν μελισσᾶν εἶπε τὸ μέλι διὰ τὸ ἀφίεσθαι ὑπ' αὐτῶν. φησὶ δὲ τὸν Ἴαμον ὑπὸ δρακόντων μέλιτι τραφῆναι. Vet.

Εἰκότως εἶπε τὸ ἀμεμφεῖ ἰῷ μελισσᾶν· ὁ γὰρ τῶν ὄφεων ἰὸς μεμπτὸς διὰ τὸ φθορὰν ἐργάζεσθαι. Rec.

79. Καδόμενοι] φροντίζοντες. Gl. α.

Βασιλεὺς δ' ἐπεὶ πεταρέσσας] τῆς τραχείας. τὸ δὲ ἑξῆς· πεταρέσσας Πυθῶνος. § ὁ δὲ νοῦς· ἐπειδὴ οὖν ἦλθεν ἐκ τοῦ μαντείου ὁ βασιλεὺς Αἴπυτος, ἀνήρετο πάντας τοὺς ἐν τῇ οἰκίᾳ περὶ τοῦ γεννηθέντος παιδὸς ὑπὸ τῆς Εὐάδνης. Vet.

82. Μὴ λάβῃς εἰς τὸ παῖδα ἔξωθεν τὸ διά, ἀλλ' ὥςπερ φαμὲν, στεροῦμαί σε πλοῦτον, καὶ ἀφαιροῦμαί σε οἰκίαν, καὶ ὑβρίζω σε ὕβριν, οὕτω καὶ ἔρομαί σε λόγον. Εὐριπίδης· [2]) Ἄγ' ἤν σ' ἔρωμαι δύο λόγω. τὸ δὲ εὔχοντο ἀντὶ τοῦ διεβεβαιοῦντο, ἐπεὶ καὶ ὁ καυχώμενος διαβεβαιοῦται τοῦτο ὃ καυχᾶται. ἢ εὔχοντο ἀντὶ τοῦ μετὰ τῆς πρὸς θεοὺς εὐχῆς διεβεβαιοῦντο. τὸ δὲ πεμπταῖον γεγενημένον ἀντὶ τοῦ πέντε ἡμέρας ἔχον μετὰ τὸ γεννηθῆναι. ἔστι δὲ ἀπὸ τοῦ ποιητοῦ λέγοντος· πέντε τοῦτον ἡμέρας ἔχοντα μετὰ τὸ γεννηθῆναι ἐκεῖνοι οὔτε ἀκοῦσαι οὔτε ἰδεῖν διεβεβαιοῦντο. τὸ σχίνῳ ἐνταῦθα καὶ τὸ βατίᾳ καταχρηστικῶς εἶπε. σχῖνος γὰρ τὸ λεγόμενον ἰδιωτικῶς βρύλον καὶ ἡ τούτων συναγωγή· ἐνταῦθα δὲ τῷ σχίνῳ καὶ βατίᾳ ἀντὶ τοῦ δασεῖ νόει, ἢ διότι ἐν τοῖς βάτοις τὰ ῥόδα καὶ τὰ ἴα εὑρίσκεται καὶ ἐν ταῖς σχίνοις. δέον δὲ ἁβρῶς εἰπεῖν, ἤτοι δαψιλῶς βεβρεγμένος, ἁβρὸν εἶπε πρὸς τὸ σῶμα. Rec.

84. Ἤρι θνατῶν] περισσῶς ὑπὲρ πάντας ἀνθρώπους. ἔλεγε γὰρ αὐτὸν ἐκ πατρὸς Ἀπόλλωνος γεγονέναι καὶ περισσῶς ὑπὲρ πάντας ἀνθρώπους γενέσθαι μάντιν, καὶ μηδέποτε αὐτοῦ τὸ γένος διαλείπειν. § Ἄλλως. τὸ ἔφη ἀπὸ κοινοῦ, τὴν μαντείαν οὐδέποτε ἐκλείψειν τὴν γενεὰν αὐτοῦ διὰ τὸ ἀπ' αὐτοῦ τοὺς Ἰαμίδας εἶναι. [3]) Vet.

87. Ὡς ἄρα μάνυεν] οὕτως ἄρα ἐδήλου. οἱ δὲ, ἤγουν οἱ ἐν τῷ οἴκῳ, οὔτ' οὖν ἀκοῦσαι οὔτε ἰδεῖν τοῦτον εὔχοντο, ἤγουν ἠρνοῦντο μετὰ καταρῶν, καὶ ταῦτα πεμπταῖον, ἤγουν πέντε ἡμερῶν γεγενημένον, τουτέστιν ὄντα. Ἀλλ' ἐγκέκρυπτο] ὁ ἀλλὰ ἀντὶ τοῦ καί. ἤγουν· καὶ γὰρ ἐκέκρυπτο ἐν σχίνῳ καὶ ἐν βατίᾳ, ἤγουν βάτῳ ἀπειράτῳ, τουτέστιν ἀψηλαφήτῳ, ἀψαύστῳ, διὰ τὰς ἀκάνθας. Rec.

Τοὶ δ' οὔτ' ὦν] οἱ κατ' οἶκον τοῦ Αἰπύτου θεράποντες εἶπον. τῷ γὰρ εὔχοντο ἀντὶ τοῦ εἶπον οἱ Λάκωνες χρῶνται. § οὔτ' ὦν ἀκοῦσαι] ἀντὶ τοῦ ἔλεγον μήτε ἀκηκοέναι παιδὸς μήτε ἰδεῖν παῖδα ἤδη πέντε ἡμερῶν διελθουσῶν τῆς γενέσεως τοῦ παιδός. [4]) Vet.

88. Οὔτ' ἰδεῖν εὔχοντο ἕως τοῦτ' ὄνυμ' ἀθάνατον] ὁ νοῦς· ἔκειτο δὲ ὁ παῖς βεβρεγμένος καὶ κεκαλυμμένος ταῖς τῶν ἴων ἀκτῖσι καὶ καταδεδροσισμένος· διόπερ καὶ τὴν κλῆσιν τὴν τοῦ Ἰάμου αὐτῷ ἡ μήτηρ ἔθετο ἀπὸ τῆς τῶν ἴων αἰτίας. ἀθάνατον

1) Haec inde ab ἐπειδὴ Vrat. A. Cod. ἐπειδὴ δὲ, deinde καὶ οἱ τρέφοντες οὗτοι καὶ εἰωθ. et ὥςπερ pro ᾧπερ. 2) Phoen. 562. 3) Ex Vrat. D. 4) Ex Vrat. A. qui ἤδη· ε' γὰρ ἡμερῶν.

Digitized by Google

δὲ εἶπεν ὠνομάσθαι αὐτὸν ὡς ἀπὸ τῶν χρησμῶν· [1]) εἶπε γὰρ ἀνωτέρω, οὐδέποτε ἐκλείψειν τὴν γενεὰν αὐτοῦ. Vet.

Εὔχοντο] ὤμνυον. Gl. α.

Πεμπταῖον γεγεναμένον] τοῦτο οὐχ ὡς ἀπὸ τῶν οἰκετῶν· δίδομεν γὰρ αὐτοῖς τὸ εἰδέναι, εἰ καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν, ἀφ' οὗ γέγονεν, ἐπίστανται· [2]) ἀλλὰ ῥητέον ἐκ τοῦ ποιητικοῦ προςώπου τὸ τοιοῦτον λέγεσθαι. οἱ οὖν οἰκέται τοῦ Αἰπύτου ἐρωτώμενοι ἔλεγον μήτε ἑωρακέναι μήτε ἀκηκοέναι. εἶτα ὁ ποιητὴς ἀφ' ἑαυτοῦ· καὶ ταῦτα πεμπταῖον ἤδη ὂν τὸ παιδίον. Vet.

90. Βατείᾳ τ' ἐν ἀπειράτῳ] βάτειαν εἶπε τὴν βάτον, ὅ ἐστιν ἀκάνθης εἶδος, καὶ τὸν Ἴαμον ἐτυμολογεῖ. ἀπειράτῳ δὲ, ἐν δρυμῷ μεγάλῳ, ἀπειράτῳ ὑπὸ πολλῶν. [3]) § βατείᾳ τ' ἐν ἀπειράτῳ] ἣν οὐκ ἔστι διὰ τὰ κέντρα διαπερᾶσαι, ἢ τὴν πολλὴν καὶ δύςβατον μετασχηματίσας βάτειαν εἶπεν. οἷον ἐν δρυμῷ μεγάλῳ. [4]) Vet.

91. Ἀκτῖσιν ἴων] ἤγουν λαμπρότησι, διαυγείαις ξανθαῖς καὶ καταπολὺ πορφυροῖς, περιφραστικῶς ἀντὶ τοῦ ὑπὸ διαυγῶν ἴων ξανθῶν καὶ καταπολὺ πορφυρῶν βεβρεγμένος, τουτέστι δεδροσισμένος τὸ τρυφερὸν σῶμα. διὸ καὶ τοῦτο, ὃ ἐκαλεῖτο δηλονότι, τὸ Ἴαμος· ἀπὸ γὰρ τῶν ἴων Ἴαμος ἐκλήθη· διέδωκεν ἡ μήτηρ αὐτοῦ καλεῖσθαι αὐτὸν κατὰ πάντα τὸν ἑξῆς χρόνον, ἀθάνατον, ἀντὶ τοῦ ἀθανάτως. Rec.

Παμπορφύροις ἀκτῖσιν] Ζηνόδοτος γράφει . . . ἀντὶ τοῦ βεβρεγμένος. ἀκτῖνας λέγει τὰς ἀποπιπτούσας ἀπὸ τῶν ἀνθέων δρόσους·

Στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι·

ἢ τὴν λαμπηδόνα τῶν ἀνθέων. ἀκτῖσι δὲ παμπορφύροις εἶπεν, ἐπειδὴ τῶν ἴων τὰ μὲν ὑπολευκίζει, τὰ δὲ πορφυρᾷ ἐστιν. [5]) Vet.

93. Τὸ κατεφάμιξεν] ἀντὶ τοῦ διὰ τὸ τοῖς ἴοις δροσίζεσθαι αὐτὸν ἀστείως καὶ Ἴαμον καλεῖσθαι. Vet.

Κατεφάμιξεν] ἐκήρυξεν. Gl. γ.

Καλεῖσθαι] ἀπὸ τοῦ ἁμᾶν, ὃ δηλονότι τὸ θερίζειν, ἴα, ὅ ἐστιν ἄνθη, λέγεται Ἴαμος. Gl. γ.

95. Τοῦτ' ὄνυμ' ἀθάνατον] ἀντὶ τοῦ ὄνομα τὸ ἀθάνατον, ὅτι διαβόητος ἦν· ἢ ὅτι ἐξ αὐτοῦ πολὺ γένος ἐγίνετο τῶν Ἰαμιδῶν, ἢ ὅτι περιβόητος ἦν μάντις καὶ ἀεὶ ὀνομαζόμενος. [6]) § διὰ τὸ ἀπ' αὐτοῦ κεκλῆσθαι τοὺς Ἰαμίδας. [7]) Vet.

Ἀθάνατον] αἰωνίως. Gl. γ. διηνεκῶς. Gl. α.

Τερπνᾶς δὲ ἥβας] ὅτι ἐν ταύτῃ μάλιστα τὰ ἡδέα τοῖς ἀνθρώποις γίνεται. § Ἄλλως. Τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο] ὁ νοῦς· ἐπειδὴ δὲ ἐν ἀκμῇ ἡλικίας ἐγένετο, καὶ τὸν καρπὸν τοῦ χρόνου ἤνεγκε, λέγει δὲ τὰ γένεια, τότε δὴ παραγενόμενος εἰς τὴν Ἐπίδαυρον ηὔξατο. ἐν μέσῳ γὰρ Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐπίδαυρος, ὧν ἡ μὲν Ἀρκαδία πρὸς [8]) τὴν ἀρχὴν, ἡ δὲ Ἦλις τὰ πρὸς ταῖς ἐκβολαῖς οἰκεῖται τοῦ ποταμοῦ.

1) Vrat. D. ὡς ἐν τῷ χρησμῷ. 2) Sic haec Vrat. D. 3) Ultimum comma ex Vrat. D. 4) Ex Vrat. A. 5) Haec inde ab ἀκτῖσι Vrat. A. Cetera supplevi indidem. Locus Homeri est Iliad. ξ, 351. in quo codex ἔπιπτον. Quid vero Zenodotus in loco Pindari scripserit nescimus, quia lacuna est in Vrat. A. 6) Ex Vrat. A. 7) Ita vulgata correxi ex Vrat. A. 8) Πρὸς addidi de coniectura.

Digitized by Google

ἐνταῦθα οὖν εἰς τὴν Ἐπίδαυρον ἐπεκαλέσατο τόν τε ἑαυτοῦ πρόγονον Ποσειδῶνα καὶ τὸν τοξοφόρον καὶ ἔφορον τῆς θείας Δήλου τὸν Ἀπόλλωνα τὸν ἑαυτοῦ πατέρα. § καλῶς εἶπε τερπνῆς χρυσοστεφάνοιο καρπόν· ἐν γὰρ τῇ ἀκμῇ τοῦ σώματος οἱ ἄνδρες τὰ τέλεια φρονοῦσι· τερπνὴν δὲ καὶ εὐστέφανον ἐκάλεσε τὴν ἀκμὴν τοῦ σώματος διὰ τὸ ἐπίχαρι αὐτῆς. Καρπὸν Ἥβας, τῆς θεοῦ λέγει, ὡς ἥβησεν. Ἀλφεῷ μέσῳ· ὁ Ἀλφειὸς ἐκ τῆς Ἀρκαδίας ῥέει ἐπὶ τὴν Ἦλιν κατελθών. ἐν τῷ ποταμῷ ὑπαίθριος, ἀντὶ τοῦ ὑπὸ τὸν ἀέρα ἐν νυκτὶ ἐκάλεσε τὸν Ποσειδῶνα τὸν ἑαυτοῦ πρόγονον, ἀντὶ τοῦ πάππον κατὰ μητέρα. εἶπε γὰρ ἐν τοῖς προτεθεῖσιν, ὅτι τῇ Πιτάνῃ τῇ νύμφῃ ἐμίγη ὁ Ποσειδῶν, ἐξ ἧς Εὐάδνη, καὶ ἀπὸ Εὐάδνης καὶ Ἀπόλλωνος Ἴαμος. [1]) Vet.

Τερπνᾶς δ' ἐπεί] ἐπεὶ εἰς τοῦτο ἡλικίας ἦλθεν, ὡς γένειον ἀνθῆσαι ξανθόν. τὸ δὲ τερπνᾶς εἶπε διὰ τὸ τοὺς ἐν τοιαύτῃ ἡλικίᾳ ὄντας ὡραίους φαίνεσθαι. δέον δὲ εἰπεῖν χρυσοστέφανον πρὸς τὸ καρπὸν, χρυσοστεφάνοιο εἶπε πρὸς τὸ ἥβης. § ἐπεὶ δὲ ἔλαβεν ὁ Ἴαμος καρπὸν ἥβης ἡδείας, πάγκαλον προτεινούσης στέφανον, ἤγουν γένεια, ἃ προέτεινεν ἡλικίας ἀκμὴ τερπνὴ παγκάλως δι' αὐτῶν στεφανοῦσα, τουτέστιν ἐπειδὴ εἰς ἀκμὴν ἡλικίας ἔφθασε τερπνῆς, καὶ γενείοις παγκάλως ἐστεφανώσατο, καταβὰς ἐν τῷ μέσῳ τοῦ Ἀλφειοῦ, ἤγουν κατὰ τὴν Ἐπίδαυρον· ἐν μέσῳ γὰρ Ἤλιδος καὶ Ἀρκαδίας ἡ Ἐπίδαυρος· ἐκάλεσε τὸν Ποσειδῶνα τὸν ἑαυτοῦ πάππον τὸν εὐρυβίαν, ἤγουν τὸν καταπολὺ ἰσχυρὸν, καὶ τὸν σκοπὸν, ἤγουν τὸν ἔφορον, τὸν ἡγεμόνα τῆς Δήλου νήσου τῆς θεοδμήτου τὸν τοξοφόρον, τουτέστι τὸν Ἀπόλλωνα τὸν πατέρα αὐτοῦ, αἰτῶν αὐτοὺς ἐν νυκτὶ ὑπαίθριος, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐν ἀσκέπῳ τόπῳ, τιμήν τινα τῇ ἑαυτοῦ κεφαλῇ, περιφραστικῶς ἀντὶ τοῦ ἑαυτῷ, λαότροφον, τουτέστιν ὑπὸ τοῦ λαοῦ αὐξανομένην. Rec.

96. Χρυσοστεφάνοιο] τῆς προξενούσης χρυσοῦν στέφανον. Gl. γ.

99. Εὐρυβίαν] μεγαλοδύναμον. Gl. α. β. γ.

101. Θεοδμήτας λέγει, ἢ ἣν ἔχουσιν οἱ θεοὶ δόμον, Ἀπόλλων καὶ Ἄρτεμις, ἢ τῆς ὑπὸ θεῶν κατασκευασθείσης. ὕφαλον γὰρ οὖσαν Ζεὺς ἀνῆκεν εἰς φῶς. § θεόδμητον ἴσως λέγει αὐτὴν, διὰ τὸ πλανωμένην στῆναι ὑπὸ τῆς γεννήσεως τοῦ Ἀπόλλωνος. Rec.

Σκοπόν] φύλακα. Gl. γ.

102. Λαότροφον] τὴν διατρέφουσαν αὐτὸν ἐκ τοῦ λαοῦ ἐπιστήμην [2]) ἑαυτῷ αἰτῶν. λέγει δὲ τὴν μαντικήν. οἱ γὰρ τοιοῦτοι ὑπὸ τοῦ πλήθους τρέφονται μαντευόμενοι. τινὲς δὲ λαοτρόφον φασὶ τὴν βασιλείαν τὴν τοὺς λαοὺς τρέφουσαν. λαότροφον οὖν προπαροξυτόνως τὸν διὰ τῆς μαντικῆς τρεφόμενον, παροξυτόνως δὲ τὴν τρέφουσαν τὸν λαὸν, τουτέστι τὸν ὄχλον. [3]) § Ἄλλως. λαοτρόφον τιμάν· βασιλικὴν ἀρχήν. ᾧ καὶ Ὅμηρος ὁμολογῶν τοὺς βασιλέας ποιμένας λαῶν ὀνομάζει. αἰτεῖ οὖν τιμήν τινα τὴν ἀπὸ πολλῶν, ἐν πολλοῖς ὄχλοις, ὑπάρξαι αὐτοῦ τῇ κεφαλῇ. § τιμὴν ὑπὸ τῶν λαῶν καὶ αὐξανομένην καὶ τρεφομένην. [4]) Vet.

Λαοτρόφος, ὁ λαὸν τρέφων· λαότροφος δὲ προπαροξυτόνως, ὁ ὑπὸ λαοῦ τρεφόμενος. Rec.

104. Νυκτὸς ὑπαίθριος] τοῦτο συναπτέον τῷ πρώτῳ καταβὰς ἐν μέσῳ τῷ

[1]) Ex Vrat. A. qui τερπνὴν δὲ ὅτι καὶ εὐστ. et ὑπὲρ τὸν ἀέρα, ac προβαλοῦσιν; pro quo dedi προτεθεῖσιν. [2]) Vrat. A. τιμήν. [3]) Ex Vrat. A. [4]) Ex Vrat. A.

Digitized by Google

Ἀλφειῷ νυκτὸς ὑπαίθριος. [1]) § οἰκεῖος δὲ καὶ ὁ καιρὸς πρὸς θείαν ἐπίκλησιν. ηὔχετο οὖν, φησὶν, αἰτῶν καὶ παρακαλῶν νυκτὸς ὑπαίθριος. ἀρχαιότατος δὲ ὁ τρόπος τῆς εὐχῆς. Vet.

Νυκτὸς ὑπαίθριος] δίχα τινὸς ἐν τῇ κεφαλῇ καλύμματος· οὕτω γὰρ ἦν ἔθος εὔχεσθαι. τὸ νυκτὸς δὲ πρὸς τὸ καταβὰς συνάπτεται. μὴ λάβῃς δὲ ἔξωθεν ἐπὶ, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ καταβάς. νυκτὸς γὰρ ἦν ἡ τοιαύτη κατάβασις. Rec.

105. Ἀρτιεπὴς πατρία ὄσσα] ἡ ἀληθὴς καὶ ἀψευδής. ἡ δὲ ἀρτιεπὴς καὶ ἀληθὴς φωνὴ τοῦ πατρὸς αὐτοῦ πρὸς τὰς εὐχὰς ἀντεφθέγξατο. ὄσσα δὲ ἡ φωνή. § σαφὴς καὶ μηδὲν ἔχουσα ἀποκεκρυμμένον, ὥσπερ οἱ σεισμοί. [2]) Vet.

Ἀρτιεπής] ἡ ἄρτια καὶ ἀληθῆ λέγουσα.

Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
Τὸ θεῖον. [3])

§ τὸ πατρία ὄσσα ἀντὶ εὐθείας ληπτέον, ἵν' ᾖ· ἀντεφθέγξατο ἡ πατρικὴ ὄσσα ἡ ἀρτιεπὴς, ἤγουν παραυτίκα τῶν ἐκείνου λόγων. τὸ δὲ μετάλλασέν τέ μιν διὰ μέσου, ἀντὶ τοῦ ἠρεύνα ὅτου χάριν αὐτὸν ἐπεβοήσατο. τὸ δὲ ἀντεφθέγξατο πρὸς τὸ ὄρσο ἔχει τὴν δύναμιν. πάγκοινον δὲ τὸν χῶρον διὰ τὴν ἐν αὐτῷ ὕστερον συμβᾶσαν πανήγυριν τῶν Ὀλυμπίων. † Σύνταξις. ἀντεφθέγξατο δὲ αὐτῷ χρηματισμὸς πατρικὸς ἀρτιεπὴς, ἤγουν ἀληθῆ χρηματίζων, μετάλλασέ τε αὐτὸν, ἤτοι ἐζήτησε, τουτέστι καὶ ἐπεστράφη αὐτοῦ. ἔστι δὲ ὁ λόγος πρωθύστερος. ὤφειλε γὰρ οὕτως· ἐζήτησε δὲ αὐτὸν, ἤγουν ἐπεστράφη αὐτοῦ χρησμὸς τοῦ πατρὸς ἀψευδῆ χρηματίζων, καὶ ἀντεφθέγξατο· ὄρσο, τέκνον, ἤγουν διεγέρθητι, κινήθητι ὄπισθεν τῆς φήμης, ἤγουν τοῦ ἐμοῦ χρηματισμοῦ, τῆς ἐμῆς φωνῆς, ἔλθεῖν ὧδε εἰς τὴν χώραν τὴν πάγκοινον, ἐσομένην δηλονότι. τίνα δὲ ταύτην τὴν χώραν λέγει, ἐν τῷ ἐπαγομένῳ λόγῳ δείκνυσιν. ἐπάγει γάρ· ἵκοντο δὲ, ἀφίκοντο δὲ ἐπὶ τὴν πέτραν τοῦ Κρονίου λόφου τοῦ ὑψηλοῦ τὴν ἠλίβατον, ἤγουν τὴν μετέωρον καὶ ὀρθίαν, τουτέστι τὴν Ὀλυμπίαν, ὅπου παρέσχεν αὐτῷ, τῷ Ἰάμῳ δηλονότι ὁ Ἀπόλλων θησαυρὸν μαντείας διπλοῦν, τότε μὲν φωνὴν ἀκούειν αὐτοῦ, δηλονότι τοῦ Ἀπόλλωνος, ψευδέων ἄγνωστον, ἤγουν οὐ γινώσκουσαν ψεύδη, ἐνεργητικῶς· εἰ γὰρ ἐπὶ παθητικῆς ἐλέγετο σημασίας, δοτικῇ ἂν συνετάττετο· ὅταν δὲ ἐλθὼν ὁ Ἡρακλῆς ὁ θρασυμήχανος, ἤγουν ὁ γενναῖα μηχανώμενος, τὸ βλάστημα τὸ σεβάσμιον τῶν ἀπὸ τοῦ Ἀλκαίου, τοῦ Ἀμφιτρύωνος, ἑορτήν τε τοῦ πατρὸς αὐτοῦ κτίσῃ, ἤγουν συστήσῃ, πλειστόμβροτον, ἤγουν πλείστων ἀνθρώπων συγκροτουμένην, καὶ νόμον μέγιστον ἀγώνων, θείη δηλονότι· οὐ γὰρ δύναται τὸ κτίσῃ ἀπὸ κοινοῦ λέγεσθαι, συνυπακούεται δὲ τὸ οἰκεῖον κατ' ἀναλογίαν τοῦ προῤῥηθέντος· ἐν βωμῷ Διὸς ἀκροτάτῳ, ἀντὶ τοῦ ὑψηλοτάτῳ· τότε δὴ προσέταξε τῷ Ἰάμῳ ποιῆσαι χρηστήριον, ἤγουν μαντεῖον· ἀφ' οὗ χρόνου καταπολὺ δεδοξασμένον ἐστὶ κατὰ τοὺς Ἕλληνας τὸ γένος τῶν Ἰαμιδῶν, ἤγουν τῶν ἀπὸ τοῦ Ἰάμου καταγομένων, ἀφ' οὗ ἀπὸ κοινοῦ, ὄλβος, εὐδαιμονία ἠκολούθησεν, αὐτῷ δηλονότι. Rec.

106. Μετάλλασέν τέ μιν] ἐὰν μὲν ἐπὶ τοῦ Ἀπόλλωνος, νοεῖσθαι δεῖ οὕτως· ἐπεζήτησέ τε αὐτὸν καὶ ἐν φροντίδι ἔσχεν, ὅπως ἂν τὰ μέλλοντα προλέγειν παράσχοι αὐτῷ. ἐὰν δὲ ἐπὶ τοῦ Ἰάμου, ὅτι τῆς φωνῆς ἀκούσας τοῦ Ἀπόλλωνος ἐπεζήτησεν αὐτὸν,

[1]) Ex Vrat. D. [2]) Ex Vrat. A. [3]) Aeschyl. Prom. 1032.

Digitized by Google

ὥστε καὶ κατ' ὄψιν αὐτὸν εὐτυχῆσαι τῆς θέας τοῦ θεοῦ. τὸ δὲ μετάλλασεν ἐὰν λάβωμεν ἀντὶ τοῦ ἀνηρώτησεν, ἀκύρως κεῖται· μεταλλῆσαι γάρ ἐστι τὸ ζητῆσαι ὡς ἀπὸ τῶν μετάλλων. § Ἄλλως. Μετάλλασέν τέ μιν] ἰδίως κέχρηται τῇ λέξει· μεταλλῆσαι γάρ ἐστι τὸ ζητῆσαι ἀπὸ τῶν μετάλλων, νῦν δὲ ἐπ' οὐδενὸς τοιούτου τέταχεν, ἀλλ' ἀντὶ τοῦ ἐφθέγξατο καὶ προσεῖπεν αὐτὸν καὶ οἱονεὶ ἐφιλοφρονήσατο. ἔνιοι δὲ οὕτως· ἐπεὶ ἀφανὴς ἦν ὁ Ἀπόλλων τῷ Ἰάμῳ, μόνῃ δὲ φωνῇ προσεῖπεν αὐτόν, ἐφθέγξατο μὲν ὁ Ἀπόλλων, ὁ δὲ Ἴαμος ἐζήτησε τὸν φθεγξάμενον τίς ἦν. τὸ δὲ ἑξῆς λεγόμενον ἐφθέγξατο· Ὄρσο τέκνον δεῦρο πάγκοινον ἐς χώραν. ταῦτα παρὰ Ἀπόλλωνος πρὸς Ἴαμον· ἄγε δή, ἀνίστασο παῖ, ἀπέλθωμεν εἰς τὴν ἐσομένην ὕστερον πολύκοινον καὶ πολυπληθῆ χώραν, λέγει δὲ τὴν Ὀλυμπίαν. ὡς δὲ θεὸς μάντις ἀκριβής ἐστιν εἰς τὰ μέλλοντα. Vet.

107. Πάγκοινον χώραν] τὴν Ἤλιδα, ὅτι πολλοὶ ξένοι ἐκεῖσε ἤρχοντο ἀγωνισόμενοι. Vet. Vrat. A.

108. Φάμας ὄπισθεν] τῇ ἐμῇ φωνῇ ἐπικατακολούθει. Ὁμηρικῶς δέ· Καλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς. [1]) § τῆς ἐμῆς φωνῆς ὀπίσω.. καθηγήσομαι μὲν ἐγώ, σὺ δὲ ἀκολουθήσεις ἐς τὴν ἐσομένην πάγκοινον χώραν τὴν Ὀλυμπίαν. [2]) Vet.

109. Πέτραν ἀλίβατον] τὴν ὑψηλήν, καὶ ἤτοι ἐφ' ἧς βαίνοντά ἐστιν ἁλιτεῖν διὰ τὸ ὕψος, ἢ ἐφ' ἧς ἀνατέλλων πρῶτον ὁ ἥλιος βαίνει. § ὁ δὲ νοῦς· ὅρμησον ὦ τέκνον, καὶ ἔλθὲ εἰς τὴν πολύκοινον ἐσομένην χώραν, κατακολουθῶν τῇ ἡμετέρᾳ φωνῇ· παρεγένετο δὲ εἰς τὴν ὑψηλὴν πέτραν τοῦ Κρονίου, ἐν ᾧ Κρονίῳ παρέσχεν αὐτῷ διπλοῦν θησαυρὸν μαντείας. Vet.

Πέτραν] τὸν ἐν Ὀλυμπίᾳ λόφον φησίν. [3]) Vet.

111. Θησαυρὸν δίδυμον] ἓνα μὲν τὸ κατὰ τὸ παρὸν εὐθέως τότε φωνὴν ἀκούειν ψευδέων ἀνεπίγνωστον, οἷον ἀληθῆ, ὕστερον δὲ καὶ παρὰ τῷ βωμῷ τοῦ Διὸς μαντεύεσθαι ἐκ τῆς τοῦ πυρὸς ἀναδόσεως. § Ἄλλως. Ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον ἕως τὸ βωμῷ] ὁ νοῦς· ἐδίδου δὲ ὁ Ἀπόλλων τῷ Ἰάμῳ δίδυμον θησαυρὸν τῆς μαντείας, τότε μὲν φωνῆς κατακούειν ἀληθοῦς, ὅτε δὲ ὁ ἰσχυρὸς Ἡρακλῆς, τὸ τῶν Ἀλκαϊδῶν βλάστημα, τύχῃ ἐλθὼν εἰς Ὀλυμπίαν καὶ κτίσῃ τῷ αὐτοῦ πατρὶ περίβλεπτον καὶ πολυάνθρωπον πανήγυριν καὶ τὸν νόμον καὶ θεσμὸν τῶν μεγίστων Ὀλυμπιακῶν ἄθλων ἐπὶ τῷ τοῦ Διὸς ὑψηλοτάτῳ βωμῷ, τότε Ἴαμον ἐκέλευσεν ὁ Ἀπόλλων χρηστήριον θέσθαι καὶ μαντεῖον τὸ διὰ τῶν θυμάτων. § Ἄλλως. μαντεῖον ἦν ἐν Ὀλυμπίᾳ, οὗ ἀρχηγὸς γέγονεν Ἴαμος τῇ διὰ τῶν ἐμπύρων μαντείᾳ, ᾗ καὶ μέχρι τοῦ νῦν οἱ Ἰαμίδαι χρῶνται. ἀναλαμβάνοντες γὰρ τὰ τῶν ἱερείων δέρματα ἐπιτιθέασιν εἰς τὸ πῦρ καὶ οὕτω μαντεύονται. ἔνιοι δὲ οὕτω φασί· τεμνομένοις δέρμασι μαντεύεσθαι αὐτούς. λαμβάνοντες γὰρ τὰς βύρσας τῶν ἱερείων ἔσχιζον, καὶ κατὰ τὰ σχίσματα ἐμαντεύοντο ἀφορῶντες εἰς τὴν τομήν, πότερα εὐθεῖά ἐστιν ἢ οὔ. § τότ' αὖ χρηστήριον θέσθαι· τὸ διὰ τῶν ἐμπύρων μαντεύεσθαι. οὕτω δὲ μέχρι νῦν οἱ Ἰαμίδαι μαντεύονται, ἔμπυρα θύματα τιθέντες ἐν τῷ βωμῷ. Ἡρακλείδης δὲ ἐν τῷ περὶ χρησμῶν τοῖς δέρμασί φησιν αὐτοὺς μαντεύεσθαι ἀφορῶντας εἰς τὰς σχισμὰς τῶν δερμάτων, πότερον εὐθεῖαί εἰσιν ἢ οὔ. [4]) Vet.

1) Iliad. v, 131. 2) Vrat. A. 3) Vrat. A. 4) Haec Vrat. A. ad vs. 118. Codex ἀφορῶν τὰς σχ.

Digitized by Google

113. Ψευδέων ἄγνωστον] ἀληθῆ. ἄγνωστος δὲ ψευδέων ἡ τῶν θεῶν φωνή. ἄλλοι δέ φασιν, ὀρνέων. Vet.

115. Σεμνὸν θάλος] τὸ βλάστημα τῶν Ἀλκαϊδῶν. φησὶ δὲ τὸν τοῦ Ἀμφιτρύωνος· οὗτος γὰρ Ἀλκαίου παῖς. ἔνιοι μέντοι αὐτὸν τὸν Ἡρακλέα Ἀλκαῖον καλεῖσθαι βούλονται, μετωνομάσθαι δὲ Ἡρακλέα Ἀπόλλωνος τοῦτο χρησμοδοτήσαντος. § Δίδυμός φησι μὴ σώζεσθαι τὸν λόγον· τὸν γὰρ Ἡρακλέα θάλος εἶπεν Ἀλκαϊδᾶν ἀπὸ Ἀμφιτρύωνος, ὃς ἦν Ἀλκαίου παῖς. ἔθος δὲ τῷ Πινδάρῳ κατὰ τοῦ ἑνὸς τάσσειν τὸ πληθυντικόν. § ὅτι Ἀμφιτρύων Ἀλκαίου παῖς ἐστι, δῆλον. ἀφ' οὗ καὶ Ἀλκείδης ὁ Ἡρακλῆς τὸ πρότερον ἐκαλεῖτο. [1]) Vet.

116. Πατρός θ' ἑορτάν] τὸ τε οὐκ ἔστιν ἀργὸν ὡς οἴονταί τινες, ἀλλὰ τοῦτο λέγει διὰ τὸ προϋπάρχειν ἐκεῖ Κρόνου ἱερόν, ὅθεν καὶ Κρόνιος λόφος καλεῖται, ἢ διότι ἡ τοῦ Διὸς ἑορτὴ καὶ τῶν ἄλλων ἕνδεκα θεῶν ἦν, ὡς ἔφαμεν τὸ Ἑορταῖς θεῶν μεγίσταις, ἐν τῷ Ψαύμιδος Ὀλυμπιονίκῃ. [2]) τὸ δὲ κτίσῃ ἀντὶ τοῦ ποιήσῃ· ὁ γὰρ κτίζων οἰκίαν ποιεῖ ταύτην. Rec.

Πλειστόμβροτον] παρ' ἣν πλεῖστοι τῶν ἀνθρώπων ἀθροίζονται. Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ, τῷ κατὰ τὴν Ὀλυμπίαν μαντικῷ βωμῷ τοῦ Διός. § περὶ οὗ οἱ πολλοὶ τῶν ἀνθρώπων συνάγονται. [3]) Vet.

119. Χρηστήριον] ὅτι ἐμαντεύοντο ἐν τῇ Ὀλυμπίᾳ οἱ Ἰαμίδαι, ἢ μηρὸν πιμελῇ κεκαλυμμένον εἰς πῦρ ἐμβάλλοντες, ἢ δορὰν προβάτων σχίζοντες, καὶ ἐκ τῆς σχίσεως, εἰ μὲν εὐθεῖα γένηται, καλὰ ἔσεσθαι τὰ μαντευόμενα, εἰ δὲ λοξή, ἀποτρόπαια. Rec.

120. Ἐξ οὗ ὄλβος Ἰαμιδῶν ἕσπετο] ἰδίως τῇ φράσει ἐχρήσατο. ἀφ' οὗ δὴ χρόνου τὸ ἐνδοξότατον γένος τῶν Ἰαμιδῶν εὐδαιμονίᾳ ἠκολούθησεν· ἀντὶ δοτικῆς τὴν ἀκολουθίαν ἐχούσης πρὸς τὸν λόγον· ἀφ' οὗ τῷ τῶν Ἰαμιδῶν γένει ὁ ὄλβος ἠκολούθησε καθ' Ἕλληνας. Vet.

Πολύκλειτον] πολυδόξαστόν ἐστιν. Gl. β. γ.

121. Ἰαμιδᾶν] ἐκτεταμένον τὸ Ἰαμιδᾶν διὰ τὸ ἀντίστροφον. [4]) Vet.

122. Ὄλβος δ' ἅμ' ἕσπετο] Ὁμηρικῷ τῷ σχήματι τῆς ἑρμηνείας κέχρηται· ἐξ οὗ τῶν Ἰαμιδῶν τὸ γένος ὄλβος ἅμ' ἕσπετο, ἀντὶ τοῦ τῷ τῶν Ἰαμιδῶν γένει ὄλβος ἠκολούθησεν. § Ἄλλως. ὁμοίως τῷ·

Ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο. [5])

Τιμῶντες δ' ἀρετάς] ἤτοι καθόλου γνωμικὸς ὁ λόγος, ἢ ἐπὶ τῶν Ἰαμιδῶν· οἱ δὲ Ἰαμίδαι τὰς ἀρετὰς τιμῶντες ἀεὶ εἰς ἐπίδοξον ὁδὸν βίου πορεύονται. Vet.

Τὸ τιμῶντες εἰ μὲν μετὰ τοῦ οἱ ἄρθρου εἴποις, καθολικῶς γνωμικὸς ἔσται ὁ λόγος· εἰ δὲ χωρὶς τοῦ ἄρθρου, πρὸς τοὺς Ἰαμίδας νοήσεις· καὶ τὸ Τεκμαίρει χρῆμ' ἕκαστον ἢ δι' αὐτοὺς ἢ διὰ πάντας ἐρεῖς. † Σύνταξις. οἱ τιμῶντες δὲ, ἀντὶ τοῦ οἱ ἀσκοῦντες τὰς ἀρετὰς, ὥσπερ οὗτοι δηλονότι, εἰς φανερὰν ὁδὸν ἔρχονται, ἤγουν εἰς διάδηλον καὶ φανερὰν πολιτείαν. Rec.

1) Haec duo scholia ex Vrat. A. Coniicias delendum esse μὴ ante verbum σώζεσθαι. Ἀλκείδης dedi ex Apollod. II, 4, 12. Codex Ἀλκιβιάδης ὃς Ἡρακλῆς. 2) Olymp. V, 11. vulg. 3) Ex Vrat. A. 4) Ex Vrat. A. 5) Utrumque ex Vrat. A. Codex ὁμοίως pro Ὁμηρικῷ, et post versum Homeri Iliad. o, 305. addit: τὸ γένος τιμῶντος. Sunt lacera omnia et mutila.

Digitized by Google

123. Τεκμαίρει χρῆμ' ἕκαστον] ἀμφίβολον, πότερον ἀρσενικόν ἐστι τὸ ἕκαστον ἢ οὐδέτερον. ἐὰν μὲν οὐδετέρως δεξώμεθα, οὕτω· σαφὲς δὲ ποιεῖ καὶ τεκμηριοῖ ἕκαστον ἔργον τὸ ἴδιον πρᾶγμα· ἐὰν δὲ ἀρσενικῶς, οὕτως· ἔκδηλον καὶ φανερὸν καθίστησι τῶν ἀνθρώπων ἕκαστον τὸ ἴδιον πρᾶγμα. φανερὸν ποιεῖ, ὡς Ὅμηρον ἡ ποίησις, ἡ ῥητορικὴ Δημοσθένην. [1]) § ἕκαστον γὰρ τῶν ἀνθρώπων τεκμαίρει καὶ μηνύει τὸ οἰκεῖον πρᾶγμα, ὡς Ὅμηρον ἡ ποίησις καὶ Δημοσθένην ἡ ῥητορική. λείπει τὸ, ἐγὼ τοίνυν διὰ τοῦτο ἐπαινῶ. ὁ δὲ λόγος γνωμικός. Vet.

Τεκμαίρει χρῆμ' ἕκαστον] ἤγουν ἕκαστον ἀνθρώπων ἡ πρᾶξις δεικνύει· ψόγος δὲ ἀπ' ἄλλων φθονούντων κρέμαται, ἀντὶ τοῦ ἐπιφέρεται τούτοις, ὧν ἐπὶ τὴν ἔνδοξον ὄψιν χάρις, νίκης δηλονότι, αἰδοία, ἤγουν αἰδοῦς ἀξία, στάζει, ἀντὶ τοῦ παραγίνεται, πρῶτον, τουτέστιν ἐξαιρέτως, περὶ δωδέκατον δρόμον ἐλαυνόντων τοὺς ἵππους. Rec.

124. Μῶμος δ' ἐξ ἄλλων] φθόνος δὲ καὶ ψόγος ἐξ ἄλλων τινῶν, ἐκ τῶν φθονερῶν, ἐπικρέμαται τούτοις, οἷς ἄν ποτε κατὰ τὴν Ὀλυμπίαν περὶ τὸν δωδεκάκυκλον δρόμον ἀγωνισαμένοις καὶ νικήσασιν [2]) ἡ ἐκ τῆς νίκης χάρις ἔνδοξον τὴν ὄψιν παράσχῃ. § Ἄλλως. ὁ νοῦς· ἐκ τῶν ἄλλων τῶν φθονούντων μῶμος ἐπικρέμαται τοῖς τετυχηκόσι τῶν τιμῶν τούτων· οἷον οἱ μὴ τετυχηκότες τοὺς τυχόντας διαμωμῶνται ὡς μηδενὸς ἀξιολόγου τετυχηκότας. Vet.

Μῶμος δέ] τοῦτο λέγει ὑπὲρ τοῦ Ἀγησίου ἢ ὡς φθονηθέντος παρά τινων διὰ τὴν κατορθωθεῖσαν αὐτῷ νίκην, ἢ ἁπλῶς τοῦτο λέγων, ὅτι οἱ νικῶντες βασκαίνονται. Πρὸς γὰρ τὸν ἔχοντ' ὁ φθόνος ἕρπει, φησὶ Σοφοκλῆς. [3]) τὸ δὲ ποτὶ πρὸς τὸ μορφὰν συναπτέον οὕτως· οἷς πρὸς τὴν μορφὴν τὴν εὐκλέα καὶ ἔνδοξον στάζει χάρις αἰδοία καὶ σεμνὴ, τουτέστιν οἷς διὰ τὴν κατορθωθεῖσαν αὐτοῖς νίκην μεγάλη τις εὐφροσύνη συμβαίνουσα χαρίεντα αὐτῶν τὰ πρόσωπα τίθησιν. ἡ γὰρ ἐν τῷ προσώπῳ ἐπιφαινομένη ἡδονὴ τεκμήριόν ἐστι τῆς ἐν τῇ ψυχῇ ἡδονῆς. δέον δὲ εἰπεῖν εὐκλεῶς πρὸς τὸ στάζει, εὐκλέα εἶπε πρὸς τὸ μορφάν. τὸ δὲ πρῶτον πρὸς τὸ στάζει συναπτέον οὕτως· οἷς στάζει πρῶτον χάρις αἰδοία, καὶ τὰ ἑξῆς. Rec.

127. Αἰδοία ποτιστάξει] ἐπεὶ οἱ νικῶντες δοκοῦσιν εὐειδεῖς εἶναι. τὸ δὲ ποτιστάξει, ἐπιχαρίτους ποιήσει τοὺς νικῶντας. § τὸ ἑξῆς τοῦ λόγου· οἷς ἄν ποτε πρῶτον ἁρματηλατήσασιν ἡ αἰδοία χάρις ἐπιστάζει εὐκλεᾶ μορφήν. μορφὰν δὲ εἶπε διὰ τὸ περιβλέπτους εἶναι τοὺς νικῶντας καὶ ἐπιχάριτας καὶ λαμπρούς. [4]) Vet.

129. Εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄρος] Κυλλήνη ὄρος Ἀρκαδίας ἱερὸν Ἑρμοῦ. φησὶ δὲ, ὅτι εἰ δὴ ἀληθῶς οἱ τοῦ Ἀγησίου κατὰ μητέρα πρόγονοι τὴν Κυλλήνην κατοικοῦντες τὸ τῆς Ἀρκαδίας ὄρος, ἐτίμησαν διὰ δώρων καὶ θυσιῶν πολλῶν πολλάκις τὸν κήρυκα τῶν θεῶν τὸν Ἑρμῆν τὸν τῶν ἀγώνων δεσπόζοντα καὶ τὰς μερίδας τῶν ἄθλων κεκληρωμένον, τὸν τὴν Ἀρκαδίαν τιμῶντα, τοῦτον ἂν εἴποιμεν καὶ νῦν, ὦ Σω-

1) Ex Vrat. A. Cod. δεξάμεθα et in fine Ὅμηρος ac Δημοσθένους. Ego addidi verba, ἐὰν δὲ ἀρσενικῶς, οὕτως, item ἕκαστον post ἀνθρώπων. 2) Delevi καὶ οἷς ἄν. 3) Aiac. 157. 4) Ex Vrat. A. qui habet: ἐπιστάζειν εὐκλεῶν. μορφὰν δὲ εἶπεν.

Digitized by Google

στράτου παῖ, σὺν τῷ ἑαυτοῦ πατρὶ τελειοῦντά σου τὴν ἐπὶ τῇ νίκῃ εὐδαιμονίαν. § ὅροις, τῆς Ἀρκαδίας. τὸ δὲ Στύμφηλον Κυλλήνῃ ὑπόκειται. [1]) Vet.

† Εἰ δ' ἐτύμως] εἰ δ' ἀληθῶς, ὦ Ἀγησία, οἱ ἄνδρες οἱ σοὶ πρόγονοι πρὸς μητρὸς οἱ οἰκοῦντες ὑποκάτω τοῦ ὄρους τῆς Κυλλήνης, Ἀρκὰς γὰρ ἦν πρὸς μητρὸς ὁ Ἀγησίας, θυσίαις λιτανευτικαῖς πολλάκις πολλαῖς ἐδώρησαν, ἀντὶ τοῦ ἐδωρήσαντο, ἐδεξιώσαντο, εὐσεβῶς τὸν κήρυκα τῶν θεῶν τὸν Ἑρμῆν, ὃς τῶν ἀγώνων ἐξουσιάζει καὶ μερίδος τῶν βραβείων, καὶ τὴν Ἀρκαδίαν τε τὴν καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν τιμᾷ, ἤγουν δοξάζει οἰκῶν ἐν αὐτῇ· ἐκεῖνος ὁ Ἑρμῆς, ὦ παῖ τοῦ Σωστράτου, σὺν τῷ πατρὶ αὐτοῦ τῷ Διὶ τῷ βαρυγδούπῳ, τουτέστι τῷ τῶν βροντῶν αἰτίῳ τῶν βαρὺν κτύπον ἐργαζομένων, κραίνει, ἀντὶ τοῦ διοικεῖ τὴν εὐτυχίαν τὴν σήν. δόξαν ἔχω, ἀντὶ τοῦ λόγον φέρω τινὰ ἐπὶ γλώσσῃ, ἤγουν πρόχειρον εἰρῆσθαι ἀπὸ νοῦ δηλονότι, ὡς σίδηρον ἀπὸ ἀκόνης λιγυρᾶς, τουτέστιν ὀξέως ποιούσης ἠχεῖν τὰ ἀκονώμενα, ὅς με ἕλκει ἐθέλοντα ἐπὶ πνοὰς καλλιῤῥόους, ἤγουν ᾠδὰς εὐήχους, τὰς ἀπὸ τῶν ὀργάνων ἀναφερομένας. Rec.

130. Ἀγησία] σημείωσαι ὅτι κατὰ μητέρα Ἀρκὰς ἦν Ἀγησίας. Vet.

Μάτρωες] οἱ μητέρος ἀδελφοί. Vet. Vrat. A.

Μάτρωες ἄνδρες] οἱ πρὸς μητρὸς συγγενεῖς σου. ἐνταῦθα γὰρ ἡ σὴ προμήτωρ Εὐάδνη, ὡς ἔφαμεν, ἀνετράφη ὑπὸ τῷ Αἰπύτῳ. Rec.

131. Δώρησαν θεῶν κάρυκα] ἀντὶ τοῦ ἐδωρήσαντο τῷ κήρυκι τῶν θεῶν, ἢ χοροῖς ἐτίμησαν αὐτόν. Vet.

134. Ὅς ἀγῶνας ἔχει] ἐναγώνιος γὰρ ὁ θεός· ἢ ὅτι κήρυξ, κήρυξ δὲ καὶ ἐν ἀγῶσιν· ἢ ὅτι τῆς πάλης ἐστὶν εὑρετής. § ἐναγώνιος γὰρ ὁ θεός· δι' ὃν νικῶσιν οἱ περὶ Ἀγησίαν. [2]) Vet.

Ἔχει] κρατεῖ. Gl. γ.

136. Τὸ τιμᾷ εἰ μὲν γ' πρόσωπον νοήσεις, οὕτως ἐρεῖς· καὶ τιμᾷ τὴν Ἀρκαδίαν τὴν εὐάνορα, διὰ τὸ νεῶν αὐτοῦ ἐκεῖ εἶναι· εἰ δὲ ἀντὶ τοῦ τιμῇ, τὸ ἔχει ἀπὸ κοινοῦ λάβῃς οὕτω· καὶ ἔχει τὴν εὐάνορα Ἀρκαδίαν ἐν τιμῇ, τουτέστιν, ἢ ἐκεῖ κατοικῶν τιμᾶται, ἢ ἐκεῖ κατοικεῖ εἰς ταύτης τιμήν. Rec.

137. Ὦ παῖ Σωστράτου] τῇ σῇ εὐτυχίᾳ, ὦ τοῦ Σωστράτου παῖ, τὴν εὐδοξίαν ἐπιστεφανοῖ. τὸ γὰρ κραίνειν καὶ ἐπ' ἄλλων οὕτω τίθησιν Ὅμηρος·

Χρυσὸς δ' ἐπὶ χείλεσι κεκράανται,

ἐπιτετερμάτισται. τινὲς δέχονται ὡς ἁπλῶς αὐτοῦ λέγοντος ἐστεφάνωται. [3]) Vet.

140. Δόξαν ἔχω ἕως τοῦ ἔτικτεν] ὁ νοῦς· ἔχω τινὰ καὶ ἑτέραν δόκησιν οὕτω με προτρεπομένην λέγειν περὶ σοῦ, ὡσανεὶ τῆς ἀκόνης τῆς ὀξύνειν δυναμένης τὸ παραθηγόμενον· ἥτις δόκησις θέλοντί μοι καὶ βουλομένῳ προσέρπει καὶ προσπίπτει ὑπὸ ταῖς τῶν αὐλῶν πνοαῖς καὶ τῶν ἤχων· διὰ πνοῆς γὰρ ὁ ἦχος ἐκφέρεται· ἥτις δόκησίς ἐστι τοῦ ὑμνεῖν σε ἐκ τῆς ἐμῆς προγόνου Μετώπης, ἀπὸ Στυμφήλου πόλεως Ἀρκαδικῆς. μα-

1) Ex Vrat. A. Codex τὸ δὲ σύμφιλον. Nove Stymphalum neutro genere dicitur. Pro Κυλλήνῃ, quod dedi ex schol. ad vs. 144. codex ταύτῃ. 2) Vrat. A. 3) Vrat. A. qui ἐπιστεφανοῖς et κεκράαται. Locus Homeri est Odyss. δ, 132. Χρυσῷ δ' ἐπὶ χείλεα κεκράαντο.

Digitized by Google

τρομάτορα δὲ τὴν Μετώπην λέγει ὁ Πίνδαρος οὕτω· θυγάτηρ μὲν γὰρ ἦν Μετώπη Λάδωνος τοῦ τῆς Ἀρκαδίας ποταμοῦ, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ· ἐκ ταύτης γέγονε νύμφη τις Θήβη, ἀφ' ἧς ἡ πόλις· Θηβαῖος δὲ ὁ Πίνδαρος. διὰ τοῦτο ματρομάτορα ἰδίαν λέγει τὴν Μετώπην. § θηλυκῶς οὕτω ποταμὸς ἐν Ἀρκαδίᾳ Μετώπη. [1]) Vet.

Τὸ ἔχω τινὰ ἐπὶ γλώττῃ δόκησιν ἀκόνας λιγυρᾶς τοῦτο λέγει, ἀντὶ τοῦ ἐπέρχεταί μοι ἔννοιά τις καὶ λόγος ἡδὺς ὑπὲρ σοῦ, παρακινῶν με λέγειν τοῦτο πρὸς σέ. ὥσπερ γὰρ ἡ ἀκόνη ὀξύνει τὸ παραθηγόμενον, οὕτω καὶ ἡ ἐμὴ μουσικὴ ὥσπερ τις ἀκόνη ἐστὶ πρὸς ἐμέ. ἐπεὶ δὲ διὰ τῆς μουσικῆς ἔψαλλε πάντα τὰ αὐτοῦ ποιήματα, εἰκότως καὶ τὴν νῦν ἐπερχομένην αὐτῷ δόκησιν ὑπὲρ τοῦ Ἀγησίου εἰπεῖν τῆς αὐτοῦ μουσικῆς ταύτην εἶναί φησι. τὸ δὲ πνοαῖς αὐλῶν λέγει, διότι καὶ μετὰ μουσικῆς καὶ μετὰ αὐλῶν ᾖδε τοὺς ὕμνους. Rec.

141. Ἀκόνας λιγυρᾶς] ἀκόνην ὀξεῖάν φησι τὴν μουσικήν: [2]) λιγὺς γὰρ νῦν ὁ ὀξύς. καὶ Ὅμηρος· [3])

Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής,

Ἴσχεο.

οὐ γὰρ ἐγχωρεῖ τὸν [4]) ἄκριτα λέγοντα ἡδὺν εἶναι. § Ἄλλως. ἀκόνης τινὸς δόκησιν ἔχω ἐπὶ γλώσσης, ὅ ἐστι παρακονῶμαι. § ἢ οὕτως· ἡ δόκησις, ἀκόνη μου. [5]) ὃ δοκῶ παρὰ τῶν ἀνδρῶν, τοῦτό μοι ἀκόνη ἐστὶν ἡ παροξύνουσά με καὶ παρορμῶσα. § ἢ οὕτω· τῆς λιγυρᾶς ἀκόνης ἔχω δόκησιν ἐπὶ τῆς γλώσσης, ἥτις κραίνει τῆς εὐτυχίας τὴν δόκησιν. ὁ δὲ νοῦς· ὀξὺς ὢν ὀξύτερος γίνομαι παρ' ἀκόνης, τῆς δοκήσεως, θηγόμενος. Vet.

142. Προσέρπει] προσάγει, παροξύνει καὶ αὐτόν με θέλοντα ταῖς καλλιρόοις ῥοαῖς. καλλίροοι δὲ ῥοαὶ, ἀπὸ τῶν ὀργάνων ἐκπεμπόμεναι. [6]) Vet.

143. Καλλιῤῥόοισι] ταῖς ἀπὸ τῶν ὀργάνων ἀναφερομέναις τῶν μετ' αὐλοῦ ὕμνων. Vet.

Ματρομάτωρ] ἡ τῆς μητρὸς τῆς ἐμῆς μήτηρ. πῶς δὲ, ἐπιόντες δείξομεν. Vet.

Σύνταξις. Ματρομάτωρ ἐμά] μητρομήτωρ ἐστὶν ἐμὴ, ἀντὶ τοῦ τῆς ἐμῆς πατρίδος, τουτέστι τῶν Θηβῶν μήτηρ ἡ Μετώπη ἡ εὐανθὴς, ἤγουν ἡ φαιδρὰ, ἡ τῆς Στυμφαλίδος θυγάτηρ. θυγατέρα δὲ λέγουσι τὴν Μετώπην τῆς Στυμφαλίδος διὰ τὸ εἶναι τὴν Στυμφαλίδα περιεκτικὴν αὐτῆς. μητρομήτωρ δὲ εἰπὼν ἐπάγει ὡς ἐφερμηνεύων· ἥτις, ἤγουν ἡ Μετώπη, τὴν Θήβαν ἔτεκε τὴν πλήξιππον, ἤγουν τὴν πλήττουσαν τοὺς ἵππους ἐν τοῖς δρόμοις, τουτέστι τὴν ἱππικὴν, τὴν πολεμικήν. ταύτης ἐπέραστον ὕδωρ πίομαι, ἀντὶ τοῦ εὐπορίαν λόγων ἀπὸ ταύτης πορίσομαι ποικίλον ὕμνον συντιθεὶς χάριν ἀνδρῶν αἰχμητῶν, τουτέστι πολεμιστῶν. Rec.

144. Στυμφαλὶς εὐανθὴς Μετώπα] Μετώπη Ἀσωποῦ μὲν ἦν γυνὴ, μήτηρ δὲ Θήβης, ἀφ' ἧς ἡ πόλις Θήβη προσηγορεύθη. διὰ τὴν οἰκειότητα οὖν, φησὶν ὁ Πίνδαρος, τὴν πρὸς ἐμὲ τῆς Μετώπης, ἥτις Θήβης μήτηρ τῆς ἐμῆς πατρίδος, ἕλκεταί με ἡ

1) Hoc addidi ex laciniis confusis Vrat. A. 2) Vrat. A. τὴν τοῦ ὕμνου ᾠδήν. 3) Iliad. β, 247. 4) Vulgo ἔνι χωρητὸν ἄκρ. quod de coniectura mutavi. Vrat. D. ἔνι χώρῃ τὸν ἄκρ. 5) Sic Vrat. D. Vulgo ἀκόνημα. 6) Ex Vrat. A. Corrige πνοαῖς et πνοαὶ, ubi est ῥοαῖς et ῥοαί.

Digitized by Google

Μετώπη Ἀρκὰς οὖσα. τὴν δὲ Μετώπην φασὶ γήμαντα Ἀσωπὸν τὸν Ὠκεανοῦ Λάδωνος οὖσαν θυγατέρα τεκνῶσαι Κέρκυραν, Αἴγιναν, Σαλαμῖνα, Θήβην, Ἄρπινναν, Νέμεαν. [1]) εὐανθὴς δὲ Μετώπα, ἡ ἀκμαία καὶ ἀνθηρά, ἵν' ὁ λόγος ἐπὶ τῆς νύμφης ἀκούηται. § Ἄλλως. Στύμφηλος ὑπόκειται τῇ Κυλλήνῃ, ἔστι δὲ τῆς Ἀρκαδίας. οἱ δὲ κατὰ τὴν μητέρα πρόγονοι τοῦ Ἀγησίου Στυμφήλιοί εἰσι. Φιλοστέφανος δὲ ἐν τῷ περὶ Κυλλήνης φησὶ Κυλλήνην καὶ Ἑλίκην θρέψαι· [2]) ἐναγωνίου δὲ ὄντος τοῦ θεοῦ φησιν ὅτι οἱ περὶ τὸν Ἀγησίαν διὰ τὴν συγγένειαν, ἐπειδὴ καὶ ὁ Ἑρμῆς ἐν Ἀρκαδίᾳ, εἰκότως νικῶσιν. § Ἄλλως. Στυμφαλὶς εὐανθής] Στύμφηλος γὰρ πόλις Ἀρκαδίας. Ὅμηρος· [3])

Στύμφηλόν τ' εἶχον καὶ Παῤῥασίην ἐνέμοντο.

ματρομάτορα δὲ λέγει τὴν Μετώπην ὁ Πίνδαρος οὕτω· Μετώπη θυγάτηρ μὲν Λάδωνος τοῦ ἐν Ἀρκαδίᾳ ποταμοῦ, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ, ἥτις Μετώπη ἐγέννησε τὴν ἱππικὴν Θήβην, κατὰ ἀναφορὰν τῶν ἐνοικούντων ἐν ταῖς Θήβαις. Vet.

Στυμφαλίς] ἤγουν Ἀρκαδική. Στύμφαλος γὰρ πόλις Ἀρκαδίας. τὸ δὲ εὐανθὴς ἀντὶ τοῦ ὡραία. Ἱστορία. ἡ Μετώπη θυγάτηρ ἦν Λάδωνος τοῦ ποταμοῦ, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ, ἀφ' οὗ θυγατέρα ἔσχε Θήβην, ἧς ἡ πόλις ἐπώνυμος. Θηβαῖος δὲ ὁ Πίνδαρος· διὸ καὶ τὴν Μετώπην μητρομήτορα καλεῖ, οἱονεὶ μητέρα τῆς μητρὸς αὐτοῦ Θήβης. φασὶ δὲ τὴν Μετώπην οἱ μὲν λίμνην, οἱ δὲ ποταμόν. Rec.

146. Τᾶς] ταύτης οὖν τῆς Μετώπης· λέγει δὲ νῦν τὸν ὁμώνυμον ποταμὸν τῇ ἡρωΐδι. ὅτι δὲ ἡ Μετώπη τῆς Ἀρκαδίας ποταμός, Καλλίμαχος ἱστορεῖ ἐν ὕμνοις· [4]) Πολύστειόν τε Μετώπην. Vet.

147. Πίομαι ἀνδράσιν ἕως τοῦ ὕμνον] ἀνδράσι νῦν τῷ τε Ἀγησίᾳ καὶ τοῖς τούτου προγόνοις. τὸ δὲ πλέκων ἤτοι πρὸς τὸ ποικίλον καὶ διάφορον τῆς φθογγῆς· λέγουσι γὰρ καὶ στροφὰς ὧδε· ἢ ὡς ἐπὶ στεφάνῳ μουσικῆς. § ὁ δὲ λόγος· ὦ τῆς ἐμῆς πατρίδος Ἀρκαδικῆς Μετώπη. λέγει δὲ, τοῦ ποταμοῦ γεύσομαι τῷ ὕμνῳ, καὶ τὰ εἰς τὸ ἐγκώμιον ἀναλήψομαι, αὐτῷ τε τῷ Ἀγησίᾳ καὶ τοῖς τούτου ἀνδρείοις καὶ πολεμικωτάτοις προγόνοις τὸν ποικίλον καὶ πολύφθογγον ὕμνον διαπλέκων καὶ συντιθείς. § οὐ λέγεται κυρίως ὅτι πίομαι τὸ ἀπὸ τῆς Μετώπης ὕδωρ· ἀλλὰ οἷον, γεύσομαι αὐτῆς διὰ τὸν ὕμνον, καὶ ταύτην εἰς τὸν ὕμνον συλλήψομαι. [5]) Vet.

148. Ὄτρυνον νῦν ἑταίρους, Αἰνέα] ἀποστρέφει τὸν λόγον πρὸς τὸν Αἰνέαν τὸν χοροδιδάσκαλον. Αἰνέας γὰρ οὗτος χοροδιδάσκαλος, ᾧτινι ὁ Πίνδαρος ἐχρήσατο διὰ τὸ αὐτὸν ἰσχνόφωνον εἶναι καὶ μὴ δύνασθαι ἐν τῷ δημοσίῳ δι' ἑαυτοῦ καταλέγειν τοῖς χοροῖς, ὅπερ οἱ πλεῖστοι καὶ μεγαλόφωνοι τῶν ποιητῶν ἀγωνιζόμενοι ἐποίουν, δι' ἑαυτῶν διδάσκοντες τοὺς χορούς. ἀπέστρεψεν οὖν τὸν λόγον ὁ Πίνδαρος πρὸς τὸν Αἰνέαν λέγων· παρόρμησον νῦν, ὦ Αἰνέα, τοὺς ἑταίρους τοὺς ἐν τῷ χορῷ, ὥστε ὑμνῆσαι πρῶτον μὲν τὴν Ἥραν, ἔπειτα δὲ γνωρίσαι τοῖς λόγοις ποίησον αὐτοὺς, εἰ κατὰ τὸν ἀληθῆ λόγον ἐκφεύγομεν τὸ ὄνειδος τῶν Βοιωτῶν καὶ τὴν παροιμίαν τὴν λεγομένην Βοιωτία ὖς. ἡ δὲ παροιμία ἐντεῦθεν. Ὕαντες, ἔθνος βάρβαρον ἀρχαῖον, κατῴκησαν τὴν Βοιωτίαν, οὕς τινες ἐκ παραφθορᾶς τοῦ ὀνόματος ἀντὶ τοῦ Ὕαντας λέγειν Ὗς ἐκάλουν· ὥστε καὶ τοῖς

1) Vrat. D. addit Κλεῶσαν. 2) Quippe Mercurium. 3) Iliad. β, 608. 4) In Iov. 26. 5) Vrat. A.

Digitized by Google

ὕστερον διαδοθῆναι τὴν λέξιν ἐπὶ τῶν Βοιωτῶν, καὶ λοιπὸν νομισθῆναι διὰ πολλὴν ἀλογίαν καὶ ἀγροικίαν οὕτως ἐξ ἀρχαίου αὐτοὺς κεκλῆσθαι, τούς τε βουλομένους εἰς παιδευσίαν ἐπισκώπτειν τινὰς τοῦτο λέγειν, Βοιωτία ὗς. § ὁ δὲ νοῦς· παρόξυνον ἐπὶ τοῦ παρόντος τοὺς χορευτάς, ὦ Αἰνέα, πρῶτον μὲν τὴν Ἥραν τὴν ἐν τῷ Παρθενίῳ ὄρει Παρθενίαν ἀνυμνῆσαι, καὶ γνῶναι ἀληθέσι λόγοις διὰ τοῦ ὕμνου ποίησον τοὺς ἀκούοντας, εἰ ἀποφεύγομεν ἐκεῖνο τὸ ὄνειδος, ὃ ἀμουσίας ἕνεκεν ἡμῖν τοῖς Βοιωτοῖς προστρίβεται. ὑπάρχεις γὰρ τῶν καλλικόμων Μουσῶν ἄγγελος ἀληθὴς καὶ ὑποφήτης, καὶ τρόπον τινὰ σκυτάλη καὶ σκῆπτρον τούτων τυγχάνεις καὶ κρατὴρ ἡδὺς τῶν ἐπισήμων καὶ ἄγαν εὐφήμων ὕμνων, ἀντὶ τοῦ μουσικώτατος γὰρ εἶ. Vet.

† Ὄτρυνον Αἰνέα] ὦ Αἰνέα, διέγειρον νῦν τοὺς ἑταίρους, ἤγουν τοὺς συγχορευτὰς, πρῶτον μὲν ὑμνῆσαι τὴν Ἥραν τὴν Παρθενίαν, ἤγουν τὴν ἐν τῷ Παρθενίῳ ὄρει τῆς Ἀρκαδίας τιμωμένην, ἔπειτά τε γνῶναι, ἀντὶ τοῦ γνώριμον ποιῆσαι κατ' ἀληθῆ λόγον, εἰ φεύγομεν τὴν Βοιωτίαν ὗν, λέγω τὸ ἀρχαῖον ὄνειδος, τουτέστι τὴν παλαιὰν διαβολὴν τὴν ἐπὶ τῇ ἀμουσίᾳ. ὑπάρχεις γὰρ ἄγγελος ὀρθὸς, ἤγουν κήρυξ ἀληθὴς, τῶν καλλιτρίχων Μουσῶν σκυτάλη, τουτέστι ῥάβδος, γλυκὺς κρατὴρ, ἤγουν γλυκὺ ἀγγεῖον, γλυκὺς οἶνος τῶν ᾠδῶν τῶν ἀγαφθέγκτων, τουτέστιν ὧν πολὺ τὸ κλέος. § οὗτος ὁ Αἰνέας χοροδιδάσκαλος ἦν τοῦ παρὰ Πινδάρου χοροῦ, ᾧτινι πρὸς τὸν δῆμον ἐχρῆτο Πίνδαρος διδάσκοντι τὰ αὐτοῦ ποιήματα καὶ μεθ' ἑτέρων ψάλλοντι διὰ τὸ αὐτὸν ἰσχνόφωνον εἶναι καὶ μὴ δύνασθαι λέγειν ἀξίως. Ἱστορία, ὅθεν τὸ Ὗς Βοιωτία. Ὕαντες, ἔθνος ἀρχαῖον καὶ βάρβαρον, ᾤκησαν ἐν Βοιωτίᾳ, οὓς διὰ πολλὴν προσοῦσαν αὐτοῖς ἀλογίαν σκώπτοντές τινες καὶ παραφθείροντες τὸ ὄνομα ἕνα ἕκαστον τούτων ὗν ἔλεγον, καὶ ἐπεκράτησε τοσοῦτον αὕτη ἡ διαφθορὰ, ὡς ὄνειδος τοῖς Θηβαίοις τοὺς ἄλλους προφέρειν ταύτην τὴν παροιμίαν τὸ Βοιωτία ὗς. λέγει οὖν ὁ Πίνδαρος πρὸς τὸν Αἰνέαν· διέγειρον τὸν τὰ ἔπη ᾄδοντα χορὸν, ἵνα γνῶσιν ἅπαντες, ὡς οὐ τῇ παροιμίᾳ προσήκομεν τῇ λεγούσῃ Βοιωτία ὗς, ἀλλ' ἐσμὲν Μουσῶν θρέμματα. Rec.

149. Ἥραν Παρθενίαν] τὴν ἐν τῷ Παρθενίῳ τῷ ὄρει τῆς Ἀρκαδίας τιμωμένην, ἵν' ᾖ, τὴν ἐν Ἀρκαδίᾳ· οὕτω δὲ καὶ ἐν Ἄργει τιμᾶται Ἥρα. § Ἥραν, τὴν θαλαμίαν Ἥραν. τινὲς δὲ τὸν Ἀγησίαν φασὶν ἱδρύσασθαι ἄγαλμα Ἥρας. οἱ δὲ ὅτι γαμήλιος καὶ αἰτία γενέσεων, καὶ ἐν Εὐβοίᾳ Παρθένος ἐκαλεῖτο, καὶ ποταμὸς Παρθένιος, ὃς Ἴμβρασος ἐκλήθη. Καλλίμαχος·

Ἀντὶ γὰρ ἐκλήθης, Ἴμβρασε, Παρθενίου. [1]) Vet.

152. Εἰ φεύγομεν Βοιωτίαν ὗν] ὅτι διὰ τὴν ἀγροικίαν καὶ τὴν ἀναγωγίαν [2]) τοπαλαιὸν οἱ Βοιωτοὶ ὗες ἐκαλοῦντο, καθάπερ καὶ αὐτὸς ἐν τοῖς Διθυράμβοις· Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔλεγον. καὶ Κρατῖνος·

Οὗτοι δ' εἰσὶν Συοβοιωτοὶ, κρουπεζοφόρον γένος ἀνδρῶν. [3])

§ Ἀρίσταρχος παρὰ τὸ λεγόμενον Ἐν Βοιωτίᾳ ὗς. πεποιθὼς δὲ ὁ Πίνδαρος τοῖς ἑαυ-

[1]) Ex Vrat. A. qui Καλαμίαν. Callimachi locus est apud schol. Apollon. II, 868 coll. ad I, 187. Fragm. Bentl. 213. [2]) Gott. ἀλογίαν, ut est ad vs. 148. [3]) Hunc versum emendavit post alios Porsonus Praef. Hecub. p. LXIV. sq. Cf. Huschk. Anal. p. 291. Vulgo συοβοιωτικὸν πεζοφόρον: Vrat. D. συοβοιωτικοὶ πεζοφόρων.

Digitized by Google

τοῦ ποιήμασι κελεύει ἐπιγνῶναι τὸν Αἰνέαν καὶ γνῶναι τὴν τέχνην, εἰ φεύγουσιν οἱ Θηβαῖοι τὸ παλαιὸν ὄνειδος παιδείᾳ διαφέροντες καὶ μουσικῇ. τὸ δὲ πρότερον ὡς ἀμαθεῖς ἐσκώπτοντο. Ἕαντες δὲ ᾤκησαν τὴν Θήβην, καὶ ἀπὸ τοῦ ὀνόματος μετετράπη τὸ καὶ Συοβοιωτοὺς λέγεσθαι. [1]) Vet.

154. Ἠϋκόμων σκυτάλα Μοισᾶν] τῶν εὐκόμων Μουσῶν ἀξιόλογε ἄγγελε καὶ κήρυξ. σκυτάλην γὰρ ἐκ τοῦ συμβεβηκότος λέγουσιν, ὡς καὶ ἐν τοῖς Ἀρχιλόχου ὑπομνήμασιν εἴρηται· [2]) Ἀχνυμένη σκυτάλη. ἡ δὲ σκυτάλη τοιοῦτόν ἐστι. Λάκωνες κήρυκας διαπεμπόμενοι, ξύλον μελαίνοντες περιείλισσον λευκῷ ἱμάντι, καὶ περιέγραφον τῷ τε ἱμάντι καὶ τῷ ξύλῳ, εἶτα ὑπέλυον, ὥστε τὴν ἀκολουθίαν τῆς γραφῆς μὴ σώζεσθαι, εἰ μὴ προστεθείη πάλιν ὁ ἱμάς· καὶ οὕτω διὰ μὲν ἑτέρου τὸν ἱμάντα, διὰ δὲ ἑτέρου τὸ ξύλον ἀπέστελλον. οἱ δὲ ὅτι ξύλον διαπρίζοντες ἔνδον ἀπέγραφον καὶ οὕτως ἀπέστελλον. [3]) οἱ δὲ, ὅτι ξύλον τι στρογγύλον, ὅπερ διαπρίζοντες τὸ μὲν ἥμισυ κατεῖχον αὐτοῦ, τὸ δὲ ἕτερον ἐδίδουν τῷ ἁρμοστῇ τῷ ἐκπεμπομένῳ εἴς τινα πόλιν· εἶτα εἰ ἐβούλοντο δηλῶσαι αὐτῷ περὶ ἀπορρήτων, ἱμάντι περιειλίσσοντες ὃ εἶχον αὐτοὶ ξύλον, ἐπέγραφον, ὅντινα δεξάμενος ὁ ἁρμοστὴς περιείλει ᾧ εἶχεν ἐκεῖνος ἀποκόμματι, καὶ οὕτως ἀνεγίνωσκεν. ἦσαν δὲ ἁρμοσταὶ Λακεδαιμονίων εἴκοσιν. ἄλλοι δὲ, ὅτι ἐχρῶντο πλατείαις σκυτάλαις οἱ Λάκωνες, ἐγγράφοντες αὐτῶν τὰς ἐπιστολὰς καὶ ἐγκλείοντες εἰς σκύτινα ἀγγεῖα, καὶ οὕτω σφραγίζοντες. § τινὲς δὲ ῥάβδους δύο ἰσοπήχεις καὶ ἰσομήκεις. [4]) § Μοισᾶν, ἀντὶ τοῦ Μουσῶν ἄγγελε καὶ κήρυξ. [5]) § οἷον Μουσῶν εἶ κήρυξ, διὰ τὸ σκυτοφορεῖν τοὺς κήρυκας. [6]) Vet.

Ἱστορία, ὅπως ἡ σκυτάλη ἐγένετο. ὅτε πρός τινα πόλιν οἱ Λάκωνες στρατηγὸν ἔπεμπον, βουλόμενοι δηλῶσαί τι αὐτῷ τῶν ἀπορρήτων οὐκ ἐπίστευον χάρτῃ, ἀλλὰ τοιοῦτό τι ἐποίουν· τορεύοντες ξύλον στρογγύλον τριῶν ἢ τεττάρων πήχεων καὶ τέμνοντες εἰς δύο, τὸ μὲν ἓν τῷ ἐκπεμπομένῳ στρατηγῷ ἐδίδουν, θάτερον δὲ αὐτοὶ κατεῖχον. ὁπότε δὲ πρὸς αὐτὸν μηνῦσαί τι ἐβούλοντο, περιειλίσσοντες στενὸν ἱμάντα τῷ παρ' αὐτοῖς ξύλῳ ἔγραφον· εἶτα ἀπολύσαντες τὸν ἱμάντα τῷ στρατηγῷ αὐτὸν ἔπεμπον. ὁ δὲ ἐνειλίσσων τῷ οἰκείῳ ξύλῳ τοῦτον ἀνεγίνωσκε τὰ γεγραμμένα πρὸς αὐτόν. λέγει οὖν τὸν Αἰνέαν σκυτάλην Μουσῶν, οἱονεὶ ἄγγελον τῶν αὐτοῦ ἐπῶν πρὸς τοὺς ἄλλους. Rec.

156. Σύνταξις. Εἶπον δέ] εἰπὲ δὲ τοῖς ἑταίροις μεμνῆσθαι τῶν Συρακουσῶν τε καὶ τῆς Ὀρτυγίας, ἥντινα, ἤγουν τὴν Ὀρτυγίαν, καθαρῷ σκήπτρῳ διοικῶν ὁ Ἱέρων, τουτέστιν ἁγνῇ καὶ καθαρᾷ βασιλείᾳ, ἄρτια, ἤγουν ἔγκαιρα, ἀληθῆ βουλευόμενος, ἀμφέπει, τουτέστι περιέπει, τιμᾷ τὴν Δήμητραν τὴν φοινικόπεζαν, ἤγουν τὴν ἐρυθρὸς ἔχουσαν πόδας· ἀπὸ μέρους δὲ πᾶσαν ἐρυθρὰν θέλει δηλοῦν· καὶ τῆς θυγατρὸς αὐτῆς τῆς λευκίππου, ἤγουν τῆς Κόρης τῆς καὶ Περσεφόνης, τὴν ἑορτὴν τιμᾷ δηλονότι, καὶ τὸ

1) Ex Vrat. A. qui παιδιᾷ, deinde μουσικῇ τὸ τέτταρον ὡς, item Ἕαντες et συοβότους. Ultima sic refinge: καὶ ἀπὸ τούτου τοῦ ὀνόματος μετετράπη καὶ τὸ Συοβ. λέγ. 2) Brunck. Analect. T. I, p. 46. Vulgo ὡς καὶ Ἀρχίλοχος: quod dedi, est in Vrat. A. 3) Haec inde ab οἱ δὲ addidi ex Vrat. D. 4) Vrat. A. sed addidi ῥάβδους, cum in seqq. quae omitto, haec vox reperiatur. Idem alia de σκυτάλῃ, sed eadem quae vulgata scholia praebet, verbis passim diversis et mancis. 5) Vrat. D. 6) Vrat. A.

Digitized by Google

κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Αἴτνην τιμωμένου, περιφραστικῶς ἀντὶ τοῦ καὶ τὸν Δία τὸν κατὰ τὴν Αἴτνην τιμώμενον. λεύκιππον δὲ λέγει τὴν Περσεφόνην, ἐπεί φασι μετὰ τὴν ἁρπαγὴν, ἣν ἥρπασεν αὐτὴν ὁ Πλούτων, εὑρεθεῖσαν διὰ λευκοπώλου ἅρματος ἀνῆχθαι ὑπὸ τῆς μητρὸς εἰς τὸν Ὄλυμπον. Rec.

157. Καὶ Ὀρτυγίας] Ὀρτυγία νῆσος ταῖς Συρακούσαις παρακειμένη τὸ πρότερον· νῦν δὲ συνήφθη τῇ πόλει ταῖς Συρακούσαις. § Ἄλλως. νῆσος πρὸ τῶν Συρακουσῶν, ἧς ἄρχει ὁ Ἱέρων· ὅτι ἡ τῶν Συρακουσίων νῆσος Ὀρτυγία ἐκαλεῖτο, καὶ ὅτι Ἀγησίας ἐπολιτεύετο ἐν Συρακούσαις. ἦν δὲ τὸ ἀνέκαθεν Στυμφήλιος ἐξ Ἀρκαδίας. ἥντινα, φησὶ, τὴν τῶν Συρακουσῶν πόλιν Ἱέρων καθαρῷ σκήπτρῳ διοικῶν, ἴσα καὶ δίκαια βουλευόμενος, τιμᾷ καὶ θεραπεύει τὴν Δήμητραν τὴν ἀνθηρὸν καὶ ἐρυθρὸν ἔχουσαν πόδα, ἀπὸ μέρους καλήν. πέζα γὰρ ὁ ποῦς. Vet.

158. Τὰν Ἱέρων] ἱερωσύνην εἶχεν ὁ Ἱέρων Δήμητρος καὶ Κόρης καὶ Διὸς Αἰτναίου ἐν Σικελίᾳ ἐκ διαδοχῆς Τηλίνου τοῦ προγόνου αὐτῶν. [1]) § σκάπτῳ] Ἀρίσταρχος· τοῖς κατὰ τὸν χρόνον εἰπεῖν, ἐπικελεύων τῶν τε Συρακουσῶν μεμνῆσθαι καὶ τῆς Ὀρτυγίας· αὕτη δέ ἐστι προσεχὴς ταῖς Συρακούσαις νῆσος καὶ ἀχώματος. ὁ δὲ .... διὰ τὸν Ἱέρωνα, ἐπεὶ ἄνωθεν ἐκ προφόνων ἱεροφάντης ταῖν θεοῖν ἀποδέδεικται. τὰ προκείμενά φησιν ὁ .... καὶ παρατίθεται τὰ Φιλίστου καὶ τὰ Τιμαίου. [2]) Vet.

159. Φοινικόπεζαν] ἐπειδὴ οἱ λικμῶντες τὰ ἄχυρα ξανθοὶ γίνονται τὴν κεφαλήν. πᾶν δὲ ἄκρον πέζα καλεῖται. [3]) Vet.

Φοινικόπεζαν] κοκκινόπουν. Gl. γ. ἐρυθρόπουν. Vrat. D.

160. Λευκίππου τε θυγατρός] ἀπὸ κοινοῦ τὸ ἀμφέπει, καὶ τῆς λευκοὺς ἵππους ἐχούσης θυγατρὸς αὐτῆς· λέγει δὲ τῆς Κόρης. λεύκιππον δὲ εἶπεν, ἐπειδὴ λέγεται μετὰ τὴν ἁρπαγὴν, ἣν ὑπέστη ὑπὸ τοῦ Πλούτωνος, εὑρεθεῖσα [4]) ὑπὸ τῆς μητρὸς αὐτῆς Δήμητρος λευκοπώλῳ ἅρματι ἀνῆχθαι λοιπὸν εἰς τὸν Ὄλυμπον πρὸς τὸν πατέρα τὸν Δία· λέγεται δὲ ὁ Ἱέρων τῆς Δήμητρος καὶ τῆς Κόρης ἱεροφάντης. Vet.

Λευκίππου τε ἑορτάν] τὸ ἀμφέπει ἀπὸ κοινοῦ· ἐν γὰρ τῇ Σικελίᾳ τὰ τῆς Περσεφόνης ἀνακαλυπτήρια ἐτελεῖτο. λεύκιππον δὲ λέγει τὴν Περσεφόνην, ἢ διότι ἔθος ἐστὶ τοῖς ποιηταῖς τοιούτοις ἐπιθέτοις κοσμεῖν τοὺς θεοὺς, ὡς καὶ ἀνωτέρω φοινικόπεζαν εἶπε τὴν Δήμητραν, ἢ διότι λευκῷ ἅρματι ἐποχουμένη εὑρέθη ὑπὸ τῆς μητρὸς, ὅτε ἁρπασθεῖσαν ὑπὸ τοῦ Πλούτωνος ἐζήτει αὐτήν. Rec.

162. Καὶ Ζηνὸς Αἰτναίου] ἀπὸ κοινοῦ τὸ ἀμφέπει. περιέπει δὲ καὶ θεραπεύει ὁ Ἱέρων καὶ τὸ κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Αἴτνην τιμωμένου. § ἐν τῇ Αἴτνῃ Διὸς Αἰτναίου ἄγαλμα ἵδρυται, καὶ ἑορτὴ Αἰτναῖα καλεῖται. [5]) Vet.

1) Ex Vrat. A. Addidi εἶχεν, et Τηλίνου scripsi pro Λίνου. 2) Ex Vrat. A. Aristarchi sententia, ut solet in hoc codice, oblitterata mendis est: in qua Συρακουσῶν dedi pro codicis lectione Συρακουσίων. Ubi lacunam posui, in codice est Πίνδαρος: fuit credo Δίδυμος. Simile accidit Nem. III, 16. Ante ἱεροφ. in codice habetur ὁ, et pro ταῖν θεοῖν ibidem legitur τῶν θεῶν. Sed vide schol. ad vs. 160. et ad Pyth. II, 27. 3) Ex Vrat. A. 4) Delevi λοιπὸν, et paullo infra cum Vrat. D. inserui. 5) Ex Vrat. A. in quo ante Διὸς est ζ: quod si me audis, non *septem* significat, sed inde natum est, quod librario Ζηνὸς nomen in calamum incurrerat.

Digitized by Google

Ἀδύλογοι δέ μιν λύραι] λέγονται αἱ ἀπὸ τῶν ὀργάνων πνοαί. ὁ δὲ λόγος· αἱ δὲ ἡδύλογοι αὐτὸν πνοαὶ τῶν ὀργάνων καὶ ᾠδαὶ γνωρίζουσιν, ἤτοι ὡς πολυύμνητον διὰ τὰ κατορθώματα, ἢ ὡς καὶ αὐτὸν μουσικῆς ἔμπειρον. φησὶ γάρ που ἔμπροσθεν· [1]) Ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτῳ. Vet.

Ἀδύλογοι δέ] ἤγουν γλυκύφθογγοι. τοῦτο δὲ λέγει, ἢ διότι μουσικῇ καὶ αὐλοῖς ἔχαιρεν, ὡς καὶ πρώην ἔφη· Ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτῳ· ἢ διότι αὐτὸν ἑκάστοτε ἐπαινεῖ, ἵν' ᾖ· αἱ λύραι αἱ ἐμαί. ἐκ δὲ πάντων τούτων, ὧν ἄνω ἔφην, δείκνυσιν αὐτὸν νομίμως ἄρχοντα, ἄριστα βουλευόμενον, πρὸς θεοὺς εὐσεβέστατον καὶ βίον ἐνήδονον ζῶντα. † Σύνταξις. Ἀδύλογοι δέ μιν] ἡδύλογοι δὲ λύραι καὶ μολπαὶ γινώσκουσιν αὐτὸν, ἀντὶ τοῦ λύραι δὲ καὶ μολπαὶ δι' ἡδέων λόγων ὑμνοῦσιν αὐτὸν, ἤγουν τὸν Ἱέρωνα, διὰ τὰ κατορθώματα αὐτοῦ. Rec.

163. Μὴ θραύσοι χρόνος ὄλβον] ὁ λόγος εὐκτικός. μὴ δὴ οὖν, ὦ θεοί, θραύσοι καὶ ἀφανίσοι αὐτοῦ τὴν εὐδαιμονίαν ὁ μακρὸς χρόνος ἐπιγινόμενος, ἀλλὰ φιλοφροσύναις καὶ εὐθυμίαις ἐπεράστοις εἴη τὸν Ἱέρωνα τὸ τοῦ Ἀγησίου ἐγκώμιον δέξασθαι. § μὴ ταράσσοι. [2]) Vet.

Μὴ θραύσοι] εἴθε μὴ θραύσοι, ἤγουν μὴ κοιμίσαι, μὴ ἀφανίσαι ὁ χρόνος ὁ ἐφέρπων, τουτέστιν ὁ ἐπερχόμενος, τὸν ὄλβον, ἤτοι τὴν εὐδαιμονίαν αὐτοῦ, δηλονότι τοῦ Ἱέρωνος. Rec.

165. Σὺν δὲ φιλοφροσύναις] ὅτι φίλος Ἀγησίας Ἱέρωνος καὶ μάντις, ὃς ἀνῃρέθη Ἱέρωνος καταλυθέντος. [3]) Vet.

Σὺν φιλοφροσύναις δέ] ἤγουν δεξιώσεσιν ἐπεράστοις. εἴθε δέξαιτο τὸν ὕμνον τοῦ Ἀγησίου, ὃν ὑμνεῖται δηλονότι ὁ Ἀγησίας, οἴκοθεν, ἤγουν ἀπὸ τῆς πατρίδος τοῦ Ἀγησίου, λέγω ἀπὸ τῶν τειχῶν τῶν Στυμφαλίων, τουτέστι τῶν πόλεων τῶν ἐκ Στυμφαλίδι, προσερχόμενον οἴκαδε, ἤγουν εἰς τὴν ἑτέραν αὐτοῦ πατρίδα, ἤτοι τὴν Σικελίαν. Ἀρκὰς γὰρ καὶ Συρακούσιος ὁ Ἀγησίας. λέγω λείποντα τὸν ὕμνον τὴν μητέρα τῆς Ἀρκαδίας τῆς καλῶς ἐχούσης ἕνεκα θρεμμάτων, τουτέστι τὴν Στυμφαλίδα. Rec.

167. Οἴκοθεν οἴκαδε] ὅτι Ἀρκὰς καὶ Συρακούσιος ὁ Ἀγησίας. ὁ δὲ νοῦς· οἰκεῖον ὄντα καὶ οὐκ ἀλλότριον, ἢ ἴδιον ἐξ ἰδίων. εἰ γὰρ καὶ ἐν Σικελίᾳ δοκεῖ οἰκεῖν ὁ Ἀγησίας, ὅμως ἐκ μητρὸς Ἀρκάς ἐστιν, ὥςπερ ἐδείχθη ἀνωτέρω. § ἐκ τοῦ Στυμφήλου εἰς Συρακούσας πέμπει τὸν ὕμνον. [4]) μητρόπολις δὲ Ἀρκαδίας ἡ Στύμφηλος. [5]) Vet.

Τὸ Στυμφαλίων ἀντὶ τοῦ Ἀρκαδικῶν· Στύμφαλος γὰρ πόλις Ἀρκαδίας. ἔστι δὲ καὶ τὸ Οἴκοθεν καὶ τὸ Στυμφαλίων τειχέων καὶ τὸ Ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας ταυτό. τὸ δὲ Οἴκοθεν οἴκαδε παροιμία ἐστὶν ἐπὶ τῶν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἰόντων. § μὴ λάβῃς εἰς τὸ Ἀρκαδίας ἔξωθεν ἀπὸ, ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ Μητέρα. ὥςπερ γάρ φαμεν, ἀνθρώπῳ Αἰθιοπίας συνέμιξα, ἤγουν Αἰθίοπι, οὕτω καὶ τοῦτο. τὸ δὲ εὐμήλοιο ἢ πολυθρέμμονος ἢ πολυκάρπου, ἀπὸ μέρους. μῆλον γὰρ καὶ ὁ καρπὸς καὶ τὸ πρόβατον. Rec.

1) Olymp. I, 14. 2) Ex stercore Vratislaviensis primi lecta observatio non aurea... 3) Ex Vrat. A. 4) Malim κῶμον. Sed idem redit ad vs. 168. et 177. 5) Ex Vrat. A.

Digitized by Google

168. Ποτινισσόμενον] παραγενόμενον. ὁ δὲ νοῦς τοιοῦτος· δέξαιτο ὁ Ἱέρων ἀπὸ τῆς Ἀρκαδίας ἐρχόμενον τὸν ὕμνον καὶ καταλιπόντα τὴν Στύμφηλον πόλιν, ἥτις ἐστὶ μητρόπολις τῆς εὐμήλου Ἀρκαδίας, καὶ εἰς Σικελίαν [1]) παραγενόμενον. Vet.

170. Ἀγαθαὶ δὲ πέλοντ'] ἀστείως ἀπολογεῖται· τουτέστι τὸν νικηφόρον δύο πατρίδων εἶναι· καί φησιν· ὥςπερ ἐστὶ λυσιτελὲς καὶ συμφέρον ἐν χειμῶνι καὶ νυκτὶ τὴν νῆα δύο ἀγκύραις ἐπερείδεσθαι, οὕτως ἐπικερδὲς καὶ δύο πατρίδας ἔχειν τὸν νικηφόρον. ἡ δὲ ἔμφασις, ὅτι ἐκπίπτοντες τῆς ἑτέρας πόλεως ἐπὶ τὴν ἑτέραν δύνανται σώζεσθαι παραγενόμενοι. § ἀγαθαὶ δὲ, φησὶ, καὶ χρήσιμοι κατὰ χειμερίαν νύκτα δύο ἄγκυραι ἠρεισμέναι ἐκ μιᾶς νεώς. τοῦτο δέ φησι διὰ τὸ καὶ τὸν Ἀγησίαν δύο περιέχεσθαι πατρίσι, τῇ τε Ἀρκαδίᾳ καὶ ταῖς Συρακούσαις. § Ἄλλως. ἐν νυκτὶ δ' ἄνεμοι χαλεποὶ, πρὸς οὓς χρηστέον δύο ἀγκύραις χρησίμοις. οὕτω καὶ πρὸς τὰς γινομένας ταραχὰς αἱ δύο πόλεις. [2]) Vet.

Ἀγαθαὶ δέ εἰσι δύο ἄγκυραι ἐκ νηὸς ταχείας ἀπεσκῖμφθαι, ἤγουν κρέμασθαι, ἐρείδουσαι αὐτήν· τουτέστιν ἀγαθαὶ δὲ δύο πατρίδες δεξιοῦσθαί τινα, ὥςπερ δύο ἄγκυραι ἀπεσκίμφθαι ἐκ νηὸς ταχείας. ἀπὸ τοῦ σκίμπους σκίμποδος σκίμπτομαι, τὸ στηρίζομαι, ἀφ' οὗ τὸ ἀπεσκίμφθαι. ὁ θεὸς εἴθε παρέχοι τὴν μοῖραν τούτων, ἤγουν τῶν Ἀρκάδων, ἐκείνων τε, ἤγουν τῶν Συρακουσίων, κλυτὴν, τουτέστιν ἐπὶ πολλὰς ἀκοὰς ἐρχομένην μετὰ δόξης. Rec.

173. Δύ' ἄγκυραι] τοῦτο εἶπε διὰ τὸ ἔχειν τὸν Ἀγησίαν δύο πατρίδας, Ἀρκαδίαν καὶ Συρακούσας. ὥςπερ γὰρ χειμαζομένης νηὸς ἐν νυκτὶ αἱ δύο ἄγκυραι ὑφάλου πέτρας ἐχόμεναι σώζουσιν αὐτὴν καὶ μὴ τοῖς ἀνέμοις ὑπείκειν ἐργάζονται, τὸν αὐτὸν τρόπον καὶ ὁ δύο πατρίδας ἔχων ὠφελεῖται· ἀτυχούσης γὰρ τῆς μιᾶς ἐπὶ τὴν ἑτέραν ἐλθὼν σώζεται. Rec.

174. Τῶνδ' ἐκείνων τε] ὁ νοῦς· θεὸς οὖν τῶν Ἀρκάδων τὴν μοῖραν καὶ τὴν τῶν Συρακουσίων παρέχοι τῷ Ἀγησίᾳ καλλίστην. Vet.

175. Φιλέων δέσποτα] σὺ δὲ, ὦ δέσποτα Πόσειδον, ἄνερ τῆς Ἀμφιτρίτης, πάρεχε τῷ Ἀγησίᾳ εὐθὺν πλοῦν καὶ ἄκμητον, ὃν ἔν τε εὐθυμίᾳ καὶ εὐδαιμονίᾳ ὄντα παρέσχες, διανήξασθαι τὸν βίον· καὶ τὸν ἐμὸν δὲ ὕμνον εἰς ἄνθος, καὶ τὸν καρπὸν εἰς δόξαν ἔπαιρε. Vet.

177. Εὐθὺν δὲ πλόον] μέλλει γὰρ ὁ Ἀγησίας εἰς Συρακούσας πέμπειν τὸν ὕμνον πλοῖ. κατά τινας δὲ τὴν διαγωγὴν τοῦ βίου πλοῦν φησίν. [3]) § ἔν τε εὐθυμίᾳ καὶ εὐδαιμονίᾳ ὄντα παράσχες διανήξασθαι τὸν βίον. [4]) Vet.

179. Πόσις] τὸ πόσις ἐπὶ κλητικῇ κεῖται εὐθεῖα ὄν, ὡς τὸ Ἥλιος, ὃς πάντ' ἐφο-

1) Ita correxi. Vulgo Ἀρκαδίαν. 2) Ex Vrat. A. duo posteriora scholia dedi. In altero inter χαλεποὶ et πρὸς delevi verba δῆλον νηῶν. 3) Ex Vrat. A. addito a me κατὰ praepositione et deleto ποιεῖσθαι, quod post φησὶ praestat codex. 4) Haec exemi ex scholio ad vs. 175. ubi post ἄκμητον posita erant, praemisso ὄν: et παράσχες scripsi pro vulgato παρέσχες. Equidem in vulgatis sensum nullum video: ita vero constituto loco, ut feci, patet his verbis eam contineri sententiam, quae in scholio priori ad vs. 177. secundo loco affertur.

Digitized by Google

ρᾶς, [1]) καὶ Διὶ φίλος. [2]) δίδου οὖν, φησίν, ὦ Πόσειδον, ὦ πόσις Ἀμφιτρίτης, εὐπλοῆσαι καμάτων ἐκτὸς ἐόντα. [3]) Vet.

Σύνταξις. Δέσποτα ποντόμεδον] σὺ δὲ, ὦ δέσποτα ποντόμεδον, ἤγουν βασιλεῦ τῆς θαλάττης, ἄνερ τῆς Ἀμφιτρίτης τῆς χρυσηλακάτου, φιλῶν τοῦτον, ἤγουν τὸν Ἀγησίαν ὡς ἀπόγονον σὸν, εὐθὺν πλοῦν, ἀντὶ τοῦ ἄπονον ζωὴν δίδου, αὐτῷ δηλονότι, καμάτων, ἀντὶ τοῦ δυςτυχιῶν ἐκτὸς οὖσαν· τῶν ἐμῶν δὲ ὕμνων τὸ ἄνθος εὐτερπὲς ἄεξε, ἀντὶ τοῦ αὔξον, τερπνὸν ποίει. § ἄεξε, αὔξανε, ἤτοι ἡδεῖς τοὺς ὕμνους τοῖς δεχομένοις καὶ κρείττονας τῶν ἄλλων ποίει. § ἤγουν τῶν ἐμῶν ὕμνων τὸ ἄνθος αὔξανε πάντοτε τερπνὸν, ἀντὶ τοῦ αὐξάνων αὐτὸ τὸ ἄνθος τερπνὸν ποίει. [4]) Rec.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Ζ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑβδόμου τῶν Ὀλυμπίων εἴδους. [5])

Τοῦ ἑβδόμου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ια'. Τὸ α' Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ β' προςοδιακὸν δίμετρον ἀκατάληκτον. [6]) Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' Εὐριπίδειον. Τὸ ε' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' ὅμοιον τῷ β'. Τὸ η' ἐγκωμιολογικόν. Τὸ θ' ὅμοιον τῷ ς', δακτυλικὸν πενθημιμερές. Τὸ ι' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' δακτυλικὸν τρίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιγ'. Τὸ α' δακτυλικὸν πενθημιμερές. Τὸ β' προςοδιακὸν τρίμετρον ἀκατάληκτον. [7]) Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον, [8]) ἢ προςοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' ἀναπαιστικὸν μονόμετρον. Τὸ ς' περιοδικὸν, διπλοῦς τροχαῖος. Τὸ ζ' προςοδιακὸν δίμετρον ἀκατά-

[1]) Iliad. γ, 277. [2]) Vult credo ὦ φίλος aut καὶ σὺ φίλος, quod est in Homericis, aut, quod maxime probabile, δὸς φίλος Odyss. ρ, 415. Alia exempla vide in nott. critt. ad Pyth. I, 92. et in indicibus Homericis. [3]) Ex Vrat. A. [4]) Ex Bodleianis. [5]) Cum hoc convenit liber Trichae ἐκ παλαιοῦ βιβλίου, sed in epodo omittit notata de vs. 5. et de vs. 6. alia habet nec multum discedentia ab iis, quae in altero scholio ex Vrat. A. et Mosc. B. edito sunt, praemissis verbis δοκεῖ μοι. Videtur lacuna fuisse, quae deinde ex Triclinianis ex parte suppleta est. [6]) Vrat. A. καταληκτικόν. [7]) Vrat. A. Τὸ β' Ἰωνικὸν τρ. καταληκτικὸν εἰς τροχαϊκόν. [8]) Vrat. A. καταληκτικόν.

Digitized by Google

ληκτον. Τὸ η' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' δακτυλικὸν πενθημιμερές. Τὸ ι' ἰαμβέλεγος, τοῦ πρώτου ἰάμβου λελυμένου. Τὸ ια' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ ιβ' προσοδιακὸν δίμετρον καταληκτικόν. Τὸ ιγ' Στησιχόρειον.

Aliud simile ex Vrat. A. et Mosc. B.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ἑβδόμου εἴδους. Ἔστι δὲ τὸ ᾆσμα στροφῶν ε'. Παλαιόν.

Τοῦ ἑβδόμου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ια'. Τὸ πρῶτον Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικὸν ἤτοι ἐφθημιμερές. Τὸ δεύτερον προσοδιακὸν δίμετρον ἀκατάληκτον, Ἰωνικοῦ τοῦ πρώτου, τοῦ δὲ δευτέρου χοριάμβου. Τὸ τρίτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἢ ληκύθιον. Τὸ ε' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' προσοδιακὸν ὅμοιον τῷ β'. Τὸ η' ἐγκωμιολογικόν, ἤτοι ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμεροῦς. Τὸ θ' ὅμοιον τῷ ς'. Τὸ ι' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ια' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ιγ'. Τὸ πρῶτον δακτυλικὸν πενθημιμερές. Τὸ δεύτερον προσοδιακὸν ἀπὸ μείζονος Ἰωνικοῦ τρίμετρον ἀκατάληκτον. Τὸ τρίτον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ τέταρτον δακτυλικὸν τρίμετρον ἀκατάληκτον, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ. Τὸ ε' ἀναπαιστικὸν μονόμετρον. Τὸ ς' δακτυλικὸν ἐφθημιμερὲς, ὃ καλεῖται ἀκέφαλον διὰ τὸ ἔχειν βραχεῖαν τὴν πρώτην συλλαβήν. Τὸ ζ' προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ η' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' δακτυλικὸν πενθημιμερές. Τὸ ι' ἰαμβέλεγος, τοῦ πρώτου ἰάμβου λελυμένου. ἔστι γὰρ ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν. Τὸ ια' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἐλάσσονος. Τὸ ιβ' προσοδιακὸν δίμετρον καταληκτικὸν ἀπὸ ἐλάσσονος Ἰωνικοῦ καὶ χοριάμβου καταληκτικοῦ. Τὸ ιγ' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Στησιχόρειον. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα, ἤτοι ἐφ' ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος.

Διαγόρᾳ Ῥοδίῳ πύκτῃ] νικήσαντι τὴν οθ' Ὀλυμπιάδα. [1] ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ χρυσοῖς γράμμασιν. ὁ Διαγόρας οὗτος υἱὸς μὲν ἦν Δαμαγήτου τοῦ Ῥοδίου, ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια.

[1]) Hoc addidi ex Vrat. D. et A.

Digitized by Google

περὶ δὲ τούτου τοῦ Διαγόρου εἶπε μὲν καὶ Ἀριστοτέλης καὶ Ἀπόλλας, μαρτυροῦσι [1]) δὲ τοιαῦτα. κατὰ γὰρ τὴν Ὀλυμπίαν ἕστηκεν ὁ Διαγόρας μετὰ τὴν Λυσάνδρου εἰκόνα, πηχῶν τεσσάρων δακτύλων πέντε, τὴν δεξιὰν ἀνατείνων χεῖρα, τὴν δὲ ἀριστερὰν εἰς ἑαυτὸν ἐπικλίνων. μετὰ δὲ τοῦτον ἵσταται καὶ ὁ Δαμάγητος ὁ πρεσβύτατος τῶν παίδων αὐτοῦ, ὃς ἦν καὶ ὁμώνυμος τῷ πάππῳ, παγκράτιον προβεβλημένος, καὶ αὐτὸς πηχῶν τεσσάρων, ἐλάττων δὲ τοῦ πατρὸς δακτύλων πέντε. [2]) ἐχόμενος δὲ τούτου ἕστηκε Δωριεὺς [3]) ἀδελφὸς, πύκτης καὶ αὐτὸς προβεβλημένος. τρίτος δὲ μετ' ἐκεῖνον Ἀκουσίλαος, τῇ μὲν ἀριστερᾷ ἱμάντα ἔχων πυκτικὸν, τὴν δὲ δεξιὰν ὡς πρὸς προσευχὴν ἀνατείνων. καὶ οὗτοι μὲν οἱ τοῦ νικηφόρου παῖδες ἐν στήλαις ἵστανται σὺν τῷ πατρί· μετ' ἐκείνους δὲ καὶ θυγατέρων αὐτοῦ νικηφόροι υἱοὶ δύο· Εὐκλῆς [4]) πυγμῇ νικήσας Ἄνδρωνα, καὶ μετ' ἐκεῖνον Πεισίῤῥοθος. καὶ λέγεται [5]) κατὰ τὴν Ὀλυμπίαν νικήσαντας τοὺς παῖδας κατὰ τὴν αὐτὴν ἡμέραν τῷ πατρὶ, περιλαβόντας οὖν τὸν Διαγόραν περιϊέναι τὸ στάδιον, μακαριζομένους ὑπὸ τῶν Ἑλλήνων. χρόνῳ δὲ ὕστερόν φασι καὶ τὴν τούτου θυγατέρα Καλλιπάτειραν [6]) ἐλθεῖν εἰς τὴν Ὀλυμπίαν, καὶ αἰτεῖν παρὰ τῶν Ἑλλανοδικῶν ἐπιτρέψαι τὴν θέαν αὐτῇ, τοὺς δὲ κωλύειν φάσκοντας κατὰ νόμον, γυναῖκα μὴ θεωρεῖν τὸν γυμνικὸν ἀγῶνα· τὴν δὲ φῆσαι πρὸς αὐτοὺς, οὐχ ὁμοίαν εἶναι ταῖς ἄλλαις γυναιξὶν, ἀλλὰ φέρειν πλέον τι ταῖς προγονικαῖς ἀρεταῖς ἐπερειδομένην· ἔσχε γὰρ καὶ τὸν πατέρα καὶ τοὺς τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας, Δαμάγητον, Δωριέα, Ἀκουσίλαον, καὶ ἐξ ἀδελφῆς παῖδα Εὐκλέα καὶ αὐτῆς υἱὸν Πεισίῤῥοθον· [7]) καὶ δεῖξαι τάς τε τοῦ πατρὸς καὶ τῶν ἀδελφῶν στήλας, καὶ οὕτω νικηθέντας τοὺς Ἑλλανοδίκας ἐπιχωρῆσαι [8]) καὶ συνήθειαν νόμου διαλῦσαι, καὶ τῇ Καλλιπατείρᾳ τὴν θέαν ἐπιτρέψαι. καὶ τὰ μὲν περὶ αὐτῶν τοσαῦτα. ἱστόρηται δὲ ὁ Διαγόρας Ἑρμοῦ παῖς γεγενῆσθαι. φασὶ γὰρ αὐτοῦ τὴν μητέρα εἰς ἀγρόν που πορευομένην, εἶτα καύματος σφοδροῦ ἐπισχόντος ἐπικλιθῆναί τινι Ἑρμαίῳ τεμένει, καὶ οὕτω τὸν θεὸν αὐτῇ συνελθεῖν, τὸν δὲ Διαγόραν οὕτω τεκεῖν αὐτὴν, ὃς πρῶτος ἀφ' Ἡρακλέος λέγεται τοιοῦτος γενέσθαι. ἀφ' οὗ γὰρ Ἡρακλῆς συνέθηκε τὸν ἀγῶνα, μηδενί πω τοιαῦτα συμβῆναι, ὥστε καὶ τὸν πατέρα καὶ τοὺς υἱοὺς Ὀλυμπιονίκας γενέσθαι. [9]) Vet.

1) Haec Vrat. A. Nescio qui sit Ἀπόλλας. 2) Sic Vrat. A. Vulgo τεσσάρων. 3) Vulgo Διωρεύς. Correxit Beckius, quem vide. Cf. praesertim Pausan. VI, 7. et V, 6. Thuc. III, 8. et Schneider. ad Xenoph. Hellen. I, 1, 2. 4) Sic dedi e Pausania, huc deducente etiam Vrat. A. Vulgo Εὔκλων. 5) Vulgo: Πεισιῤῥόθιος καὶ Λελεγέτης κατὰ τὴν Ὀλ. νικήσαντες τοὺς παῖδας, et deinde post πατρὶ plene interpungebatur. Λελεγέτης qui sit, iuxta ignorant omnes; praeterea verba κατὰ τὴν Ὀλυμπίαν νικήσαντες τοὺς παῖδας etc. redire ad filios Diagorae animadvertit Bothius T. I, p. 98. qui hanc ob causam eiici vult illa μετ' ἐκείνους δὲ — Λελεγέτης. Ego quod Λελεγέτης plane abest a Vrat. D. et a narratione Pausaniae, reposui pro eo λέγεται, et scripsi νικήσαντας: quo facto locus iuste procedit, non impediente interposito οὖν. Praeterea ex Vrat. A. scripsi Πεισίῤῥοθος, qui Pausaniae est Πεισίδωρος. Vrat. A. habet: θυγατέρων τε υἱοὺς Εὐκλείστατον, Καλλιάνακτα καὶ Πεισίῤῥοθον. Pergitur in Vrat. A. οὗτοι δὲ πολλὰς νίκας ἐκ τῶν Ὀλυμπίων ἔσχον δέκα, ἐκ τῶν Πυθίων δὲ ἕξη et cetera, quae ad vulgata revertuntur, sed immane quantum depravata. 6) Ita vocat Pausanias et Vrat. A. Vulgo Ἀριστοπάτ. 7) Haec inde ab ἔσχε dedi ex Vrat. A. Sed ἐξ ἀδελφῆς obscurum in codice est. 8) Ita correxit Heynius. Vulgo ἐπιχειρῆσαι. Vrat. A. συγχωρῆσαι. 9) Haec inde ab ἀφ' οὗ ex Vrat. A. addita a me particula γάρ.

Digitized by Google

Ταύτην τὴν ᾠδὴν φασιν ἀνακεῖσθαι χρυσοῖς γράμμασιν ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ· ἀνέθεσαν δὲ ἢ Πίνδαρον τιμῶντες ἢ Διαγόραν. Rec.

1. Φιάλαν] τὸ προοίμιον τοῦτο ἄρχεται ἐκ παραδείγματος. Gl. β. γ.

Φιάλαν ὡς εἴ τις] τὸ σαφὲς οὕτως ἔχει· ὥσπερ εἴ τις φιάλην πάγχρυσον ἀπὸ πλουσίας χειρὸς λαβὼν πεπληρωμένην οἴνου δωρήσεται ἀκμαίῳ νυμφίῳ, ἅμα τὸν οἶνον προπίνων καὶ αὐτὴν τὴν φιάλην δωρούμενος τίμιον καὶ ἄκρον οὖσαν τῶν τοῦ πλούτου κτημάτων ἀπὸ τῶν οἴκων τοῦ πενθεροῦ εἰς τὰ ἑαυτοῦ φέρειν οἰκήματα ἐχαρίσατο. εἶπε δὲ συμποσίου, διὰ τοῦ δώρου τὴν ὀφειλομένην χάριν ἀποσώσας καὶ τὴν ἑαυτοῦ συγγένειαν πρὸς τὸν νεανίαν τιμήσας. τῶν δὲ φίλων κατὰ τὸ συμπόσιον παρόντων ἔθηκεν αὐτὸν ζηλωτὸν καὶ ἐπίδοξον ἕνεκα τῆς ὁμοφροσύνης, ἣν ἔχει ὁ νεανίας πρὸς τὴν τοῦ δωρησαμένου θυγατέρα. Vet.

Σύνταξις. Φιάλαν ὡς εἴ τις] ὥσπερ εἴ τις ἄνθρωπος λαβὼν ἀπὸ τῆς ἀφνειᾶς αὐτοῦ χειρὸς φιάλην καὶ ποτήριον πάγχρυσον, κορυφὴν καὶ ἐξαίρετον τῶν ἄλλων κτεάνων, καχλάζουσαν καὶ κινουμένην ἔνδον δρόσῳ ἀμπέλου, ἤτοι οἴνῳ, δωρήσεται ταύτην νεανίᾳ γαμβρῷ ἑαυτοῦ, προπίνων ἀπὸ ταύτης, τιμήσας καὶ τὴν χάριν τοῦ συμποσίου καὶ τὸ ἐὸν καὶ ἴδιον κῆδος καὶ συγγένειαν, τουτέστι τίμιον τὸ συμπόσιον τῇ φιλοδωρίᾳ ποιήσας, ὅτι τὸν αὐτὸν συγγενῆ ἔχει, πλείστου ἄξιός ἐστιν, ἐπειδὴ τοιαῦτα χαρίζεται· ἐν δὲ, ἤγουν σὺν τούτοις ἔθηκέ μιν καὶ αὐτὸν, τὸν γαμβρὸν, παρόντων φίλων ζηλωτὸν καὶ μακαριστὸν ἕνεκα τῆς εὐνῆς καὶ τοῦ λέχους οὗπερ ἠξίωται, τῆς ὁμόφρονος καὶ συγγενικῆς· οὕτω καὶ ἐγὼ πέμπων τοῖς ἀθλοφόροις ἀνδράσι νικώντεσσι καὶ νικῶσιν ἐν Ὀλυμπίᾳ καὶ ἐν Πυθοῖ, νέκταρ χυτὸν καὶ ἀρεστὸν, ἤτοι ὕμνον, δόσιν Μουσῶν, τουτέστιν ἣν αἱ Μοῦσαι διδόασιν, ἤγουν τόκον τῆς ἐμῆς γνώσεως, γλυκὺν καρπὸν τῆς ἐμῆς φρενὸς, ἱλάσκομαι καὶ ἱλαροὺς αὐτοὺς τίθημι. εἰ δὲ τοιαύτη ἐστὶν ἡ τῆς παραβολῆς ταύτης ἀπόδοσις, μὴ θαυμάσῃς· πολλὰ γὰρ ἂν τοιαῦτα ζητῶν εὑρήσεις. τὸ φιάλαν εἰ μὲν συνάψεις πρὸς τὸ πάγχρυσον, κορυφὴν αὐτὴν τῶν ἄλλων κτεάνων νόει, οὐχ ὡς ποτήριον, ἀλλ' ὡς χρυσῆν. ἔφη γὰρ πρόσθεν· [1]) Κτεάνων δὲ χρυσὸς αἰδοιέστατος. εἰ δὲ συνάψεις τὸ πάγχρυσον πρὸς τὸ τιμήσας, εἴποις οὕτω· τιμήσας τὴν πάγχρυσον κορυφὴν τῶν κτεάνων, τουτέστι τὸν αὐτῷ προσόντα χρυσόν· διότι οὐδέτερον κτῆμα, ἀλλὰ φιάλην ἐκ χρυσοῦ ἐχαρίσατο. τὸ δὲ ἀφνειᾶς ἀπὸ χειρὸς ἢ πρὸς τὸ ἑλὼν σύναπτε, ἢ πρὸς τὸ δωρήσεται· κρεῖττον δ' ἔστι τὸ πρῶτον, ὅπερ ἀγνοοῦντές τινες διὰ τὸ ἔχειν τινὰ ἀσάφειαν οὐ δέχονται. τὸ δ' οὕτως ἔχει· ἑλὼν-ἀφνειᾶς ἀπὸ χειρὸς, τουτέστιν αὐτὸς ταύτην κατέχων, ἐπεὶ ἑτέρῳ ἔδωκεν, ὥσπερ ἀπὸ τῆς κατεχούσης αὐτὴν χειρὸς ταύτην ἀφεῖναι τὴν κύλικα. τὸ δὲ κῆδος ἢ ὡς ἔφαμεν λέγε, ἢ κῆδος ἐὸν νόει τὸν ἴδιον γαμβρόν· ἵν' ᾖ τὸ κῆδος τιμήσας ἐὸν καὶ τὸ ἐν δέ μιν ζηλωτὸν ἔθηκε ταυτό. πρὸς δὲ τὸ εὐνᾶς εἰ καὶ τὸ ἕνεκα ἔξωθεν ἐλάβομεν, ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν· ἔστι γὰρ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ζηλωτός. εἰ γὰρ ἡ εὐνὴ ζηλωτὸν ἐκεῖνον ἐποίησε, πῶς οὐκ εἰκός ἐστι λέγειν ζηλωτὸν εὐνῆς; ὥσπερ γὰρ ῥεῦμα πηγῆς λέγομεν, οὕτω καὶ τοῦτο. ὅπερ εἰ μὴ δέχεταί τις, οὐδεὶς ἡμῖν λόγος. τὸ δὲ ἱλάσκομαι εἶπεν ἐκ μεταφορᾶς τῶν ἱκετευομένων, οὓς οἱ ἱκετεύοντες τῷ συνεχεῖ τῆς ἱκεσίας πρὸς οἶκτον καὶ ἔλεον αὐτῶν μαλθάσσουσιν. † Ἄλλως. Σύντα-

[1]) Olymp. III, 44.

Digitized by Google

ξις. ὥςπερ εἴ τις φιάλην λαβὼν διόλου χρυσῆν, κορυφὴν κτεάνων, ἤγουν ἐξαίρετον κτῆμα τῶν κτημάτων, καχλάζουσαν ἔνδον δρόσῳ ἀμπέλου, τουτέστιν οἴνῳ, ἀντὶ τοῦ οἶνον ἔχουσαν ἔνδον ἀναπηδῶντα τῇ ἑαυτοῦ φυσικῇ θέρμῃ, διὰ χειρὸς πλουσιοδώρου δωρήσεται, ἤγουν χαρίσεται νεανίᾳ γαμβρῷ ἑαυτοῦ προπίνων, τουτέστιν ἅμα τῷ πόματι καὶ τὴν φιάλην χαριζόμενος, οἴκοθεν, ἤγουν ἀπὸ τοῦ ἰδίου οἴκου, ὥςτε ἐνεγκεῖν τὸν νεανίαν εἰς τὴν ἑαυτοῦ οἰκίαν, τὸ ἐπαγωγὸν τοῦ συμποσίου τιμήσας, περιφραστικῶς, τουτέστι τὸ συμπόσιον καὶ τὴν συγγένειαν τὴν ἑαυτοῦ· φίλων δὲ συμπαρόντων ἐποίησεν αὐτὸν, ἤγουν τὸν ἑαυτοῦ γαμβρὸν, ζηλωτὸν, τουτέστι μακαριστὸν ἕνεκα τῆς συναφείας τῆς γαμικῆς, ἣ ἐξ ἀνάγκης ἕπεται ἡ ὁμοφροσύνη· οὕτω δηλονότι καὶ ἐγὼ νέκταρ χυτὸν, λέγω δόσιν Μουσῶν, τουτέστιν ἣν αἱ Μοῦσαι διδόασι, γλυκὺν καρπὸν, ἤγουν τόκον τῆς ἐμῆς γνώσεως πέμπων ἀνδράσιν ἀθλοφόροις, ἤτοι νικηταῖς ἐν Ὀλυμπίᾳ καὶ Πυθοῖ νικῶσιν, ἀντὶ τοῦ νικήσασιν, ἱλάσκομαι αὐτοὺς δηλονότι, ἤγουν ἱλαροὺς, χαρωποὺς ποιῶ. Rec.

3. Καχλάζοισαν] ἀντὶ τοῦ πεπληρωμένην. πρὸς ὃ τὸ σημεῖον. [1]) § ἀντὶ τοῦ πληθύνουσαν. ἔνδον δὲ, ὅτι ἔσω τῆς φιάλης ἔχεται ὁ οἶνος. ἀμπέλου δρόσῳ, ἤγουν τῷ οἴνῳ. [2]) Vet.

5. Προπίνων] προπίνειν ἐστὶ κυρίως τὸ ἅμα τῷ κράματι τὸ ἐγγεῖον χαρίζεσθαι. Ἀνακρέων· [3]) Ἀλλὰ πρόπινε ῥαδινοὺς, ὦ φίλε, μηροὺς, ἀντὶ τοῦ χαρίζου. καὶ Δημοσθένης [4]) τοὺς προδιδόντας τὰς πατρίδας τοῖς ἐχθροῖς προπίνειν ἔφη. § Ἄλλως. τινὲς προπέμπων λέγουσι, τὸ δὲ προπίνων παλαιὸν σφάλμα φασὶ τῶν γραψάντων. νεανίᾳ δὲ γαμβρῷ, τῷ ἀκμαίῳ νυμφίῳ. γαμβρὸν γὰρ κυρίως τὸν νυμφίον λέγουσι δηλοῦν. [5]) § οὐ μόνον προπίνων, ἀλλὰ καὶ τὴν φιάλην χαρίσεται χρυσῆν οὖσαν. δηλοῖ γὰρ τὸ δωρεῖσθαι, ὡς Ἀνακρέων. ὡς καὶ, προπίνων χρυσᾶς φιάλας. καὶ Δημοσθένης τοὺς προδιδόντας τὴν πατρίαν. [6]) Vet.

6. Οἴκοθεν] διὰ γὰρ τὴν οἰκειότητα αἱ οἰκίαι κοιναί εἰσι τοῦ πενθεροῦ καὶ τοῦ γαμβροῦ. [7]) Vet.

Πάγχρυσον] τὸ μὲν πάγχρυσον ὡς πρὸς τὴν φιάλην, ἵν' ᾖ ἡ φιάλη ὅλη χρυσῆ· τὸ δὲ κορυφὰν κτεάνων, ὅτι ἀξιοπρεπέστερος τῶν τοῦ πλούτου χρημάτων ὁ χρυσός. κορυφὰν οὖν τὸ κεφάλαιον καὶ ἄκρον ἀκουστέον. Vet.

8. Συμποσίου τε χάριν] ἀντὶ τοῦ, τῶν ἐν τῷ συμποσίῳ, ὅπως δόξῃ καὶ χαριστικός τις εἶναι παρὰ τοῖς πίνουσιν. Vet.

Κᾶδός τε] τὸ κῆδος καὶ τὴν συγγένειαν. ἔοικε γὰρ ὁ δωρούμενος πατὴρ εἶναι τῆς γαμηθείσης τῷ νεανίᾳ νύμφης. § τὴν κατ' ἐπιγαμίαν οἰκειότητα τιμῶν τῷ δώρῳ τῆς χρυσῆς φιάλης. ἔνθεν καὶ κηδεστής. [8]) Vet.

9. Ἐν δέ] σύναπτε τὴν ἐν μετὰ τοῦ θῆκε, ἵν' ᾖ· ἐνέθηκε. Gl. β.

10. Ζαλωτόν] ἐπαινετόν. Gl. γ.

12. Καὶ ἐγὼ νέκταρ χυτόν] αὐτόχυτον [9]) καὶ ἄκρατον. τὸ δὲ σαφὲς οὕτως ἔχει· ὥςπερ ὁ πενθερὸς δωρεῖται τῷ νεανίᾳ τὴν φιάλην οἴνου πεπληρωμένην, οὕτω καὶ

1) Ex Vrat. D. 2) Ex Vrat. A. 3) Fragm. 22. ed. Fisch. 4) Cf. Demosth. Olynth. III, p. 34, 24. de cor. p. 324, 23. Thom. M. p. 716. Harpocr. et Suid. v. προπεπωκότες. 5) Ex Vrat. D. 6) Ex Vrat. A. qui χρηστὰς φιάλου. Sed tota sententia mutila est. 7) Ex Vrat. A. 8) Vrat. A. 9) Non opus est coniectura Faehsii Syllog. p. 403. αὐτόφυτον.

Digitized by Google

ἐγὼ τὸ αὐτόματον καὶ ἄκρατον τὸ ἐκ τῶν Μουσῶν ὑπάρχον μοι νέκταρ, ὃ ἐκ τῆς ἐμαυτοῦ διανοίας ἐκαρπωσάμην, παρέχω τοῖς νικηταῖς ἀνδράσι· νικητὰς δὲ τοὺς ἐν Ὀλυμπίᾳ λέγει καὶ ἐν Πυθῶνι· ἱλαροὺς αὐτοὺς καὶ εὐχαρίστους ἀποτελῶν. [1]) § νέκταρ τὸ ποίημα εἶπε, Μοισᾶν δὲ δόσιν τὴν μουσικὴν καὶ τοὺς ὕμνους. ἱλάσκομαι δὲ, ἱλαροὺς ποιῶ τοὺς τὸν ὕμνον λαμβάνοντας νικηφόρους, ὡς ὁ προπίνων πενθερὸς τῷ γαμβρῷ τὴν φιάλην καὶ δωρούμενος λαμπρὸν κατασκευάζει τὸν λαμβάνοντα, καὶ γεγηθότα. § νέκταρ χυτὸν καὶ αὐτὸ ἄκρατον. οὐ γὰρ ἐπιδέεται τοῦτο κράσεως, καθάπερ οἶνος χωρὶς ὕδατος. [2]) καρπὸν φρενὸς τὴν ποίησιν εἶπε καὶ τὴν ἐπίνοιαν τῶν ποιημάτων. Vet.

14. Καρπόν] εὕρεσιν. Gl. γ.

17. Ὁ δ' ὄλβιος] οὗτος δέ ἐστιν εὐδαίμων, ὃν ἀγαθὴ δόξα καὶ φήμη κατέχει, ἤτοι γνωμικῶς, ἢ ἰδίως ὃν ἂν εὐφημήσω. § καθόλου πᾶς ὁ καλῶς ἀκούων ὄλβιός ἐστιν. ᾗ φῆμαι ἀγαθαὶ κατέχουσιν ἐκ τῶν ἐμῶν ποιημάτων· οἷον τῶν ὑπ' ἐμοῦ μνησθέντων. [3]) Vet.

Σύνταξις. Ὁ δ' ὄλβιος] οὗτος δὲ μακάριος, ὃν κατέχουσι φῆμαι ἀγαθαὶ, τουτέστι διαλαλήσεις χρησταὶ, ἃς οἱ ὕμνοι ποιοῦσι. τὸ γὰρ ἐπαγόμενον τοῦτο δίδωσι συνυπακούεσθαι. ἐπάγεται γάρ· ἄλλοτε δ' ἄλλον ἐποπτεύει χάρις ζωθάλμιος, ἀντὶ τοῦ ἄλλοτε δ' ἄλλον θάλπει, περιέπει τὸ ἐπαγωγὸν τῶν ὕμνων τὸ θαλερᾶς ζωῆς πάροχον, ἅμα μὲν καὶ σὺν φόρμιγγι ἡδέα μέλη ἐργαζομένη καὶ ἐν ἔντεσιν, ἤγουν κατασκευάσμασιν αὐλῶν, περιφραστικῶς ἀντὶ τοῦ καὶ ἐν αὐλοῖς παμφώνοις, τουτέστι ποικίλως φωνοῦσιν. § Ὅδ' ὄλβιος] εἰ μὲν ὀξύνεις τὸ ο, οὕτως ἐρεῖς· ὅδε καὶ οὗτος ὑπάρχει ὄλβιος καὶ εὐδαίμων, ὃν κατέχουσι φῆμαι ἀγαθαί· εἰ δὲ καθ' ὁμαλισμὸν γράφεις, οὕτως· ὁ δὲ ὄλβιος οὗτός ἐστιν, ὃν φῆμαι κατέχουσιν ἀγαθαί. Rec.

19. Ἐποπτεύει χάρις] Ἀρίσταρχος χάριν ἀκούει τῆς εὐδαιμονίας· βέλτιον δὲ τὴν τῶν ποιημάτων. ζωθάλμιος δὲ ἡ θάλλειν αὐτοὺς ποιοῦσα καὶ οἱονεὶ ζῆν διαπαντὸς μνημονευομένους. § Ἄλλως. χάρις, ἡ τῶν ποιημάτων ἡδονή. ὁ νοῦς· ἄλλοτε δ' ἄλλον ἡ ζωθάλμιος χάρις ἡ τῆς νίκης καταλαμβάνει καὶ ἐποπτεύει τοὺς νικηφόρους σύν τε κιθάρᾳ καὶ αὐλοῖς ποικίλως φθεγγομένοις. Vet.

21. Παμφώνοισί τε] πολυφθόγγοις, διὰ τὰς ἐν αὐλῷ ὀπάς. λέγει δὲ, ὅτι κατορθωθεῖσά τινι νίκη εἰ ἐπαίνου τεύξεται, ἀδιαλείπτως αὐτή τε θάλλει καὶ ὥςπερ ζῇ οὐχ ὑπὸ λήθης ἀφανιζομένη, καὶ τὸν ποιήσαντα ταύτην τοιοῦτον ἑξῆς παρίστησι. τὸ δὲ φόρμιγγι καὶ τὸ αὐλοῖς λέγει, ἐπειδὴ διὰ τοιούτων αὐτὸς ᾔδε τὰ ἔπη. Rec.

22. Ἔντεσιν αὐλῶν] περιφραστικῶς τῶν αὐλῶν, οὓς ἔντεα εἶπε παρὰ τὸ ἐντὸς ἔχειν τὴν φωνήν. Vet.

23. Ὑπ' ἀμφοτέρων] μετὰ αὐλῶν καὶ λύρας. ἡ δὲ ὑπὸ ἀντὶ τῆς μετά. καὶ Ὅμηρος· [4]) Δαΐδων ὕπο λαμπομενάων. κατῆλθον οὖν ἀπὸ Θήβης ἐπὶ τὴν Ῥόδον τὴν τοῦ νικηφόρου πατρίδα, ὑμνεῖν αὐτὴν μετὰ τῶν αὐλῶν καὶ κιθάρας. [5]) Vet.

† Σύνταξις. Καί νυν ὑπ' ἀμφοτέρων] καὶ δὴ μετ' ἀμφοτέρων, ἤγουν τῆς φόρμιγγος καὶ τῶν αὐλῶν, ἦλθον σὺν τῷ Διαγόρᾳ τῷ νικηφόρῳ, τουτέστι τοῦ Διαγόρου

1) Sic Vrat. A. Vulgo ἀποτελῶ. 2) Haec inde a verbis τοὺς τὸν ὕμνον ex Vrat. A. 3) Ex Vrat. A. qui παῖς, non πᾶς. Addidi ipse ἤ. 4) Iliad. σ, 492. 5) Postrema addidi ex Vrat. A.

Digitized by Google

τὴν ὁδὸν ἡγουμένου· οὗτος γὰρ νικήσας ἐγένετο αἴτιος τῆς ὁδοῦ ταύτης· ὑμνῶν τὴν Ῥόδον τὴν θαλασσίαν τὴν παῖδα τῆς Ἀφροδίτης, καὶ νύμφην, ἤγουν γυναῖκα τοῦ Ἡλίου· τὴν ἡρωΐδα δὲ λέγει, συμπεριλαμβάνει δὲ αὐτῇ καὶ τὴν νῆσον· ὅπως ἄνδρα πελώριον, ἤτοι πάνυ μέγαν, αὐτὸν τὸν Διαγόραν δηλονότι, εὐθυμάχαν, ἤγουν ἄτρεπτον ἐν μάχαις, ὁμόσε χωροῦντα, ἐν τῇ Πίσῃ στεφανωσάμενον, τουτέστι νικήσαντα, καὶ ἐν τῇ Κασταλίᾳ τῇ ἐν Πυθοῖ, ἐπαινέσω εἰς ἄποινα, ἀντὶ τοῦ εἰς ἀμοιβὴν τῆς πυγμῆς, καὶ τὸν πατέρα αὐτοῦ τὸν Δαμάγητον τὸν ἄρεστὸν γεγονότα τῇ δίκῃ, ἤτοι τὸν τιμήσαντα τὴν δίκην, τοὺς ναίοντας, ἀντὶ τοῦ τοὺς κατοικήσαντας σὺν αἰχμῇ, τουτέστι δυνάμει, στρατιᾷ Ἀργείᾳ τὴν νῆσον τὴν τρίπολιν, ἤγουν τὴν Ῥόδον, ἐφ' ᾗ τρεῖς ἦσαν πόλεις, Λίνδος, Ἰηλυσὸς καὶ Κάμειρος, πέλας, ἤτοι πλησίον τοῦ ἐμβόλου τῆς Ἀσίας τῆς εὐρυχόρου, τουτέστι τῆς ἐπὶ πολὺ πλάτος κατὰ κύκλον ἀνοιγομένης. Rec.

24. Τὰν ποντίαν] σύνηθες τῷ Πινδάρῳ τὰ τῶν Νηρηΐδων ὀνόματα κατὰ τῶν πόλεων τῶν ὁμωνύμως λεγομένων τάττειν καὶ τοὔμπαλιν, ἔστι δὲ ὅτε καὶ συμπλέκειν, ὥσπερ καὶ νῦν. Ἀφροδίτης μὲν γὰρ λέγει τὴν ἡρωΐδα, ὅτι δὲ ποντίαν ὀνομάζει, τὴν νῆσον βούλεται δηλοῦν. ἐὰν δὲ γράφηται [1]) παῖδ' Ἀμφιτρίτης, ὡς Ἀμφιτρίτης καὶ Ποσειδῶνος οὔσης τῆς Ῥόδου θυγατρὸς, κατὰ δὲ ταύτην τὴν γραφὴν τὸ ποντία οὐκέτι ἐπὶ τῆς νήσου θετέον, ἀλλ' ἐπὶ τῆς Ἀμφιτρίτης· καὶ γὰρ αὕτη ἐνάλιος δαίμων. Ἀσκληπιάδης δέ φησι γενεαλογεῖσθαι τὴν Ῥόδον Ἀμφιτρίτης καὶ Ἡλίου· τὸν γὰρ Ἥλιον αὐτῆς ἐρασθῆναι καὶ αὐτῇ ἐν τῇ ἀπ' αὐτῆς κληθείσῃ Ῥόδῳ νήσῳ συμμιγῆναι. § Ἄλλως. ποντίαν τὴν Ῥόδον, διὰ τὸ εἶναι νῆσον, οὐχ ὥς τινες ἠβουλήθησαν, ἐξ Ἡλίου καὶ Ἀφροδίτης τὴν νύμφην γεγεννῆσθαι· ἐναντίον γὰρ τὸ ἐπαγόμενον, Ἀελιοιό τε νύμφαν· ἀλλ' ἀκουστέον τὴν Ῥόδον Ἀφροδίτης παῖδα διὰ τὸ ἀνθηρὸν καὶ χαριέστατον, νύμφην δὲ Ἡλίου· λέγεται γὰρ θεασάμενος τὴν νύμφην καὶ ἐρασθεὶς, εἶτα ἁρπάσας ἐν τῇ ὁμωνύμῳ νήσῳ συγγενέσθαι· ἵνα τὸ μὲν ποντίαν παῖδ' Ἀφροδίτης ἐπ' αὐτῆς τῆς νήσου λάβωμεν, τὸ δὲ Ἀελιοιό τε νύμφαν ἐπ' αὐτῆς τῆς ἡρωΐδος. § Ἄλλως. παῖδα Ἀφροδίτης τῆς περὶ τὴν Ῥόδον διὰ τὸ κάλλος τῆς νήσου. [2]) Ἡρόφιλος δὲ Ποσειδῶνος καὶ Ἀφροδίτης τὴν Ῥόδον εἶναί φησιν, Ἐπιμενίδης δὲ αὐτὴν Ὠκεανοῦ γενεαλογεῖ, ἀφ' ἧς τὴν πόλιν ὠνομάσθαι. τινὲς δὲ αὐτήν φασι κληθῆναι οὕτω διὰ τὸ σπουδαῖα ἔχειν ῥόδα, οἱ δὲ διὰ τὸ ῥοώδη εἶναι τὰ περὶ αὐτήν. § Ἄλλως. Ἀφροδίτης φασὶ γενέσθαι Ῥόδον θυγατέρα, ἀφ' ἧς κληθῆναι τὴν νῆσον, Ἡλίου δὲ νύμφην. Ἡλίου καὶ Ῥόδου ἐγένοντο παῖδες ζ' καὶ θυγάτηρ Ἠλεκτρυώνη. Vet.

25. Παῖδ' Ἀφροδίτας] λέγουσί τινες τὴν Ῥόδον, ἧς ἡ νῆσος ἐπώνυμος, παῖδα μὲν Ἀφροδίτης εἶναι, γυναῖκα δὲ Ἡλίου, βεβαιοῦντες τοῦτο ἀπὸ τοῦ Νύμφην· ἄλλοι δὲ παῖδ' Ἀφροδίτης καὶ Ἡλίου. σὺ δὲ τοῖς προτέροις πείθου· μαρτυρήσει δὲ καὶ Πίνδαρος προϊών. ποντίαν δὲ λέγει διὰ τὸ τὴν ἐξ αὐτῆς ὀνομασθεῖσαν Ῥόδον ἐν θαλάσσῃ εἶναι καὶ ταύτην ἐν αὐτῇ κατοικεῖν. τὸ δὲ εὐθυμάχαν ἢ πρὸς τὸ Ῥόδον νόει, ὡς καὶ ὄπισθεν ἔφη τὸ Θήβαν πλήξιππον, [3]) ἢ πρὸς τὸ ἄνδρα. εὐθυμάχης δὲ ἀνὴρ ὁ ὁμόσε τῇ

[1]) Ita correxi de coniectura. Vulgo γράφῃ τήν. [2]) Haec Vrat. D. [3]) Olymp. VI, 85. Pro voce ὄπισθεν esse debuisse ἔμπροσθεν notat Beckius.

Digitized by Google

μάχῃ χωρῶν καὶ μηδαμῶς εἰς δειλίαν τεύων. διὰ τοῦτο δὲ εἶπε τὸ ὑμνέων τὴν Ῥόδον, διὰ τὸ τὸν Διαγόραν Ῥόδιον εἶναι. Rec.

28. Πελώριον] οὐ παρὰ τὸ τυγχάνον ἐνεκωμίασε τὸν ἄνδρα Διαγόραν, ἀλλὰ συμφώνως οἷς ἐξηγησάμεθα περὶ αὐτοῦ, ὅτι δ' πηχῶν καὶ ε' δακτύλων ὁ Διαγόρας. § εὐθυμάχαν δὲ τὸν ἐξ εὐθείας ἀγωνιζόμενον παρ' Ἀλφειῷ, ἤγουν ἐν Ὀλυμπίᾳ. [1]) § ἤτοι μὴ ἐπιστρεφόμενον ἐν τῷ πυκτεύειν, ἢ ἐπ' εὐθείας ἐρχόμενον ἐν μάχῃ. τὸ δὲ πελώριον οὐκ ἀργῶς, ἀλλ' ἐπεὶ τετράπηχυς ἦν καὶ πέντε δακτύλων. [2]) Vet.

Πελώριον ἄνδρα] ἤτοι τὸν μεγαλόσωμον Διαγόραν, ἢ οὗ ἐν Ὀλυμπίᾳ ἀνδριὰς ἵσταται πηχέων τεσσάρων καὶ δακτύλων ε'. Rec.

Πελώριον] ἀνδρειότατον. Gl. γ.

32. Πατέρα τε Δαμάγητον] τὸν τοῦ Διαγόρα· πάλιν δὲ τούτῳ κοινῶς συναπτέον τὸ αἰνέσω πελώριόν τε ἄνδρα. [3]) Vet.

Ἁδόντα] τὸν φανέντα ἀρεστόν. Gl. γ.

Ἁδόντα δίκᾳ] ἀρέσαντα τῇ δικαιοσύνῃ, ἀντὶ τοῦ δίκαιον. ὁ δὲ νοῦς· κἀγὼ τοίνυν ἐπὶ τοῦ παρόντος σὺν ἀμφοτέροις ἦλθον, τῇ τε λύρᾳ καὶ τῷ αὐλῷ, ὥστε ἅμα τῷ νικητῇ Διαγόρᾳ τὴν τοῦ Ἡλίου μὲν νύμφην, Ἀφροδίτης δὲ παῖδα Ῥόδον ὑμνῆσαι, ὅπως τοῦτον τὸν εὐθύμαχον ἄνδρα τὸν Διαγόραν τὸν πελώριον καὶ μέγιστον, τὸν παρὰ τῷ Ἀλφειῷ ἐν τῇ Ὀλυμπίᾳ στεφθέντα διὰ τὴν πυγμὴν, τοῖς ὕμνοις ὡς ἀποίνοις καὶ δώροις ὑμνήσω, στεφθέντα δὲ καὶ παρὰ τῇ Κασταλίᾳ τῇ ἐν τῇ Πυθοῖ, αἰνέσω δὲ καὶ τὸν πατέρα αὐτοῦ τοῦ Διαγόρα τὸν Δαμάγητον τὸν ἀρέσκοντα τῇ δίκῃ, τὸν ὅσιον καὶ εὐσεβῆ. § παρὰ Κασταλίᾳ δὲ, ὅτι ἐνίκησε καὶ Πύθια. ἡ δὲ Κασταλία κρήνη ἐν Πυθῶνι. πρὸς δὲ τοῦτο κοινῶς συναπτέον τὸ στεφανωσάμενον παρά τε Ἀλφειῷ καὶ Κασταλίᾳ. Vet.

33. Ἀσίας εὐρυχώροιο] τούτους δὲ ὑμνήσω τοὺς τὴν τρίπολιν νῆσον οἰκοῦντας Ῥόδον τὴν οὖσαν πλησίον τοῦ ἐμβόλου τῆς εὐρυχώρου Ἀσίας. ἔμβολον δὲ Ἀσίας ἡ Λυκία διὰ τὸ οὕτω παρατετάσθαι τὴν γῆν, ὡσεὶ πόλεως ἔμβολον ἢ τριήρους. ἔμβολα γὰρ τὰ τῶν πλοίων ὀξέα, ἃ δὴ καὶ σιμώματα καλοῦσιν. § Ἄλλως. σημείωσαι δὲ ὅτι εἰς Ῥόδον τόπος ἐστὶν ἀποτείνων εἰς ὀξὺ κατὰ Λυκίαν, ἐμβόλῳ παραπλήσιος. § Ἄλλως. [4]) Ἀσίας εὐρυχώροιο] δύναται καὶ ἑτέρως ἑρμηνεύεσθαι τὸ πέλας ἐμβόλου ναίοντας. καὶ γὰρ Ῥόδος ἀντικρὺ μὲν κεῖται τῆς Λυκίας καὶ πλησίον· ἐν Λυκίᾳ δέ ἐστι πόλις Ἀρύκανδα καλουμένη, ἧς πλησίον ἱερόν τι χωρίον, ὃ πρότερον μὲν Ἔμβολος ἐκαλεῖτο διὰ τὴν θέσιν τοῦ χωρίου· ἐκ γὰρ πολλῶν καὶ πλατέων τῶν παρακειμένων πέτρων εἰς ὀξὺ λήγει μέρος ἡ χώρα· ἣν δὲ προσονομάζεται Τριήρης ἀπὸ τῆς αὐτῆς αἰτίας, ἐπεὶ ὥσπερ πλοίῳ προσέοικεν ἡ θέσις τοῦ τόπου. ἐπεὶ οὖν μάλιστα ἐν τούτῳ τῷ τόπῳ θρησκευτήριόν ἐστιν Ἡλίου, Ῥόδιοι δὲ ἐξ Ἡλίου, διὰ τοῦτο ὡς οἰκειοτέρου καὶ προσφορωτέρου μέμνηται τοῦ τόπου. δύναται δὲ καὶ ἀπὸ τῆς ἐκ μέρους περιφράσεως νοεῖσθαι, τῇ τῆς Λυκίας πλησίον ὑπαρχούσῃ. § Ἀσίας εὐρυχώρου] τινὲς τὴν Ῥόδον φασὶ κεῖσθαι κατ' ἀντικρὺ τῶν Χελιδονίων νήσων, αἵ εἰσιν ἐπὶ τῆς Λυκίας. οἱ δὲ τὸν Κάρμηλον. Θεότιμος δὲ ἐν τῷ περὶ τοῦ Νείλου ὄρου ἱστοριῶν διὰ τοῦ ῡ γράφει εὔβολον, καὶ οὕτω

[1]) Vrat. D. qui ἐν Ἀλφειῷ. [2]) Vrat. A. [3]) Vrat. D. [4]) Haec inde a priori Ἄλλως Vrat. D. in quo Ῥόδον φησί.

Digitized by Google

προσαγορεύεσθαι διὰ τὸ ἐν καλῷ τόπῳ κεῖσθαι τὴν νῆσον. καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμὲν εὔβολον διακεῖσθαι τὸ πρᾶγμα, ὅταν ᾖ καλῶς διακείμενον, ὥστε τὴν μεταφορὰν ἀπὸ τῶν ἁλιέων εἶναι. ἢ ὅτι ἐν ἐξέχοντι τόπῳ κεῖται· ἢ ὥσπερ τριήρει οὖσα ὁμοία καὶ Ἀσίας εὐρυχώρου πέλας οὖσα. [1]) Vet.

34. Τρίπολιν νᾶσον] τὴν Ῥόδον, ὡς Ὅμηρος· [2])

Οἳ Ῥόδον ἀμφενέμοντο διάτριχα κοσμηθέντες,
Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμειρον.

ἔκγονοι δὲ Ἡλίου, ἀφ' ὧν αἱ πόλεις ὠνομάσθησαν, Λίνδος, Ἰηλυσὸς, Κάμειρος, παῖδες Κερκάφου τοῦ Ἡλίου καὶ Κυδίππης τῆς Ὀχίμου θυγατρός. Δίδυμος δέ φησι καὶ τετάρτην εἶναι πόλιν τὴν νῦν Ἀχαιῶν καλουμένην. [3]) § Ἄλλως. τρίπολιν εἶπε τὴν Ῥόδον, διὰ τὸ ἔχειν τρεῖς πόλεις, Λίνδον, Ἰηλυσὸν καὶ Κάμειρον. Vet.

† Τρίπολιν νᾶσον] τὴν τρεῖς ἔχουσαν πόλεις, Λίνδον, Ἰηλυσὸν καὶ Κάμειρον. ἐτέθη δὲ ταῖς πόλεσι τὰ ὀνόματα ἀπὸ τῶν τοῦ Ἡλίου υἱωνῶν, Λίνδου, Ἰηλυσοῦ καὶ Καμείρου. γράφεται δὲ καὶ Ἐμβόλου τῆς εὐρυχόρου καὶ Ἐμβόλῳ· καὶ τὸ μὲν Ἐμβόλου οὕτως ἀποδώσεις· ναίοντας τὴν τρίπολιν νῆσον πέλας τοῦ Ἐμβόλου τῆς εὐρυχώρου Ἀσίας. ἀντικρὺ γὰρ Ῥόδου Λυκία, ἥτις ἐστὶ τῆς Ἀσίας, ἐν δὲ τῇ Λυκίᾳ χωρίον τι Ἔμβολος λεγόμενον διὰ τὸ εἰς ὀξὺ λῆγόν τε καὶ στενὸν καὶ προήκειν εἰς θάλασσαν. τὸ δὲ Ἐμβόλῳ οὕτω· ναίοντας τὴν τρίπολιν νῆσον ἐν Ἐμβόλῳ πέλας τῆς εὐρυχώρου Ἀσίας. μέρος γάρ τι τῆς Ῥόδου τὸ πρὸς Ἀσίαν εἰς ὀξὺ καὶ στενὸν παρατέταται, ὡς ἐοικέναι ἐμβόλῳ νηός. ἔμβολα γὰρ τὰ τῶν πλοίων ὀξέα, ἃ δὴ καὶ πρῶραι καλοῦνται. Rec.

35. Ἐμβόλω] ἐμβασίας. Gl. γ. Αἰχμᾷ] δυνάμει. Gl. β.

Ἀργείᾳ σὺν αἰχμᾷ] σὺν πλήθει Ἀργείων ναίοντας. διὰ τοὺς κατελθόντας σὺν Τληπολέμῳ. Vet.

36. Ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς] ἐθελήσω, φησὶ, τοῖς Ἡρακλείδαις, τοῖς ἀπὸ Τληπολέμου Ῥοδίοις, κοινὸν ἐξ ἀρχῆς λόγον διορθῶσαι, ὅ ἐστιν ἀκριβῶσαι καὶ διασημῆναι. § τρεῖς ἀμφιβολίας ἔχει· ἤτοι γὰρ καθόλου πάντων ἀνθρώπων κοινὸν λόγον, ἢ αὐτῶν τῶν Ῥοδίων, ἢ ἔξωθεν ληπτέον τὸ ὡς, ἵνα ᾖ· ὥστε ξυνῶσαι, καὶ πᾶσιν ἀνθρώποις εἰς μέσον ἀγαγεῖν. § Ἄλλως. βούλομαι οὖν τοῖς ἐξ ἀρχῆς οὖσιν ἀπὸ Τληπολέμου Ῥοδίοις κοινόν τινα καὶ προσήκοντα λόγον εἰπεῖν καὶ διακριβῶσαι, οἵτινές εἰσι Τληπολεμίδαι οἱ Ῥόδιοι ἐκ τῆς τοῦ Ἡρακλέους γέννας. βούλεται δὲ τῆς Τληπολέμου φυγῆς ὑπεραπολογήσασθαι. ὁ γὰρ Τληπόλεμος Λικύμνιον τὸν Ἠλεκτρύωνος παῖδα νόθον, ὃς ἐγένετο ἐκ Μιδέας Φρυγίας τινὸς γυναικὸς, ἀφ' ἧς καὶ ἡ πόλις κέκληται, ἐλαΐνῳ σκυτάλῳ πλήξας ἄκων ἀναιρεῖ· ἐπὶ γὰρ βοῦν βουλόμενος ἀκοντίσαι τὸ σκυτάλιον ἔρριψε κατὰ τοῦ Λικυμνίου· ἀποφεύγοντι οὖν τὸ μῦσος τοῦ φόνου καὶ χρηστηριαζομένῳ τῷ Τληπολέμῳ ἀνεῖλε τὸ λόγιον ἀποικίσαι τὸ Ἄργος καὶ εἰς τὴν Ῥόδον ἐλθεῖν. τούτοις καὶ Ὅμηρος [4]) μαρτυρεῖ·

1) Ex Vrat. A. Theotimus δευτέρῳ Ἰταλικῶν est ap. Plutarch. parall. min. c. 8. atque πρώτῳ περὶ Κυρήνης ap. schol. Pyth. V, 53. Deinde cod. διὰ τοῦ μ γράφει ἔμβολον, mox iterum ἔμβολον, et τὰ πράγματα. 2) Iliad. β, 665. 3) Haec inde a Δίδυμ. ex Vrat. A. 4) Iliad. β, 661. Vrat. A. τράφεν.

Digitized by Google

Τληπόλεμος δ' ἐπεὶ οὖν τράφη ἐν μεγάρῳ ἐϋπήκτῳ,
Αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα,
Ἤδη γηράσκοντα Λικύμνιον, ὄζον Ἄρηος.

λέγεται δὲ κατὰ τὴν βασιλείαν Τληπολέμου μάλιστα εὐδαιμονῆσαι Ῥοδίους, ὡς καὶ Ὅμηρος [1]) μαρτυρεῖ·

Καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων.

ἔστι δὲ αὐτοῦ ἱερὸν καὶ τάφος ἐν Ῥόδῳ. οἱ γὰρ συστρατευσάμενοι αὐτῷ διήγαγον τὰ ὀστᾶ ἀπὸ τῆς Ἰλίου εἰς τὴν Ῥόδον, οὐκ εὖ ἔχειν κρίναντες τὸ ἄνευ τοῦ βασιλέως ἐπινοστῆσαι εἰς τὴν πατρίδα. τελεῖται δὲ καὶ ἀγὼν ἐπιτάφιος ἐν τῇ πόλει Τληπολέμῳ, κατὰ δὲ ἑτέρους ἱερὸς Ἡλίῳ· ἀγωνίζονται δὲ παίδων ἡλικίαι καὶ στέφονται ἐκ λεύκης. Vet.

Σύνταξις. Ἐθελήσω ὀρθῶσαι καὶ ἀποδοῦναι τοῖσι καὶ τούτοις, Διαγόρᾳ καὶ Δαμαγήτῳ καὶ τοῖς ἄλλοις Ῥοδίοις, λόγον ξυνὸν τῇ εὐρυσθενεῖ γέννᾳ τοῦ Ἡρακλέος, ἀγγέλλων ἐξ ἀρχῆς ἀπὸ Τληπολέμου· τουτέστι δείξω τοὺς Ῥοδίους ἐξ Ἡρακλέους τὸ γένος κατάγοντας, ἀρξάμενος τῆς κατὰ Τληπολέμου διηγήσεως. τὸ δὲ ἀπὸ Τληπολέμου ὥσπερ μεθερμηνευτικόν ἐστι τοῦ ἐξ ἀρχῆς. † Σύνταξις. Ἐθελήσω ἀγγέλλων, ἤγουν διηγούμενος, διορθῶσαι, τουτέστιν ὀρθῶς εἰπεῖν, ἰθῦναι κοινὸν πᾶσιν ἀνθρώποις λόγον χάριν τῶν ἐξ ἀρχῆς ἀπὸ Τληπολέμου καταγομένων, ἤγουν τῶν Ῥοδίων, λέγω τῆς γενεᾶς τοῦ Ἡρακλέους τῆς εὐρυσθενοῦς, τουτέστι τῆς καταπολὺ ἰσχυρᾶς. κατὰ μὲν γὰρ τὸ μέρος τὸ ἀπὸ τοῦ πατρὸς ἐκ τοῦ Διὸς εὔχονται εἶναι, ἀντὶ τοῦ μετὰ τοῦ σεμνύνεσθαι λέγουσιν οἱ Ῥόδιοι· ἀπὸ τοῦ εὔχομαι τὸ καυχῶμαι· κατὰ δὲ τὸ ἀπὸ τῆς μητρὸς μέρος Ἀμυντορίδαι εἶναι ἀπὸ τῆς Ἀστυδαμείας. ταῖς φρεσὶ δὲ, ἀντὶ τοῦ ταῖς ψυχαῖς τῶν ἀνθρώπων περικρέμανται ἀμπλακίαι, ἤγουν ἁμαρτίαι ἀναρίθμητοι, ἀντὶ τοῦ πλεῖσται, μυρίαι, τουτέστι μυρίαι δὲ ἁμαρτίαι περικρέμανται ἑκάστῃ ψυχῇ ἀνθρώπου, ὧν εἴς τινα δηλονότι ἀνάγκη αὐτὴν ἐμπεσεῖσθαι. τοῦτο δὲ ἀμήχανον, ἤγουν ἀδύνατον εὑρεῖν, λέγω ὅπερ νῦν συμβέβηκεν ἀνθρώπῳ, τὸ αὐτὸ καὶ ἐν τῇ τελευτῇ αὐτοῦ τυχεῖν, τουτέστι συμβῆναι, εὑρεθῆναι. Rec.

38. Ξυνόν] κοινῶς πᾶσι διηγήσασθαι, ὥστε ποιήσειν κοινῶς πᾶσι καὶ εἰς πάντας ἀγαγεῖν. [2]) Vet.

39. Ἡρακλέος] τοῖς Ῥοδίοις ἀπὸ Τληπολέμου Ἡρακλείδαις οὖσιν. [3]) Vet.

40. Εὐρυσθενεῖ γέννᾳ] παρ' ὅσον ἐκ μὲν Ἡρακλέος Τληπόλεμος, ἐκ δὲ Τληπολέμου Ῥόδιοί εἰσιν. Vet.

Ἱστορία, ὅθεν οἱ Ῥόδιοι. Τληπόλεμος ὁ τῶν Ῥοδίων πρόγονος υἱὸς ἦν Ἡρακλέους καὶ Ἀστυδαμείας. λέγει οὖν τοὺς Ῥοδίους ἐκ μὲν τοῦ πατρὸς τοῦ Τληπολέμου εἰς Δία ἀνάγειν τὸ γένος, εἴπερ Ῥόδιοι μὲν ἐκ Τληπολέμου, ἐξ Ἡρακλέους δὲ Τληπόλεμος, ἐκ Διὸς δὲ Ἡρακλῆς· ἐκ δὲ τῆς μητρὸς αὐτοῦ Ἀστυδαμείας εἰς Ἀμύντορα· Ἀμύντωρ γὰρ ὁ τῆς Ἀστυδαμείας πατήρ. τὸ μητρόθεν πρὸς τῷ δὲ συναπτέον, τὸ δὲ Ἀμυντορίδαι διὰ μέσου. Rec.

41. Εὔχονται] Ἡρακλῆς γὰρ Διὸς, τοῦ δὲ Τληπόλεμος, ὃς Ῥόδον ᾤκησεν. εὔχονται δὲ ἀντὶ τοῦ καυχῶνται. [4]) Vet.

1) Iliad. β, 670. 2) Vrat. A. 3) Vrat. A. 4) Vrat. A.

Digitized by Google

42. Τὸ δ' Ἀμυντορίδαι ματρόθεν] ἐναντίως τῷ ποιητῇ τὰ περὶ τῆς μητρὸς Τληπολέμου ἱστορεῖ ὁ Πίνδαρος. Ὅμηρος μὲν γὰρ αὐτὴν Ἀστυόχην ἀποκαλῶν καὶ Ἄκτορος εἶναι θυγατέρα βούλεται, ἐν οἷς φησιν· [1]) Ὃν τέκεν Ἀστυόχεια. ἔοικε δὲ ὁ Πίνδαρος ἐντετυχηκέναι τῷ Ἀχαιῷ ἱστοριογράφῳ. [2]) ἐκεῖνος γὰρ οὕτω γενεαλογεῖ· Ὑπερόχου Εὐρύπυλος· οὗ Ὄρμενος· οὗ Φίρης· οὗ Ἀμύντωρ· οὗ Ἀστυδάμεια ἡ Τληπολέμου μήτηρ· καὶ αὐτὸς δὲ Ἀμύντωρ εἰς Δία τὸ γένος ἀνάγει. ἔνιοι δὲ καὶ υἱὸν Ἀμύντορα τοῦ Διὸς εἶναι λέγουσιν. § Ἀστυδαμείας] Ὅμηρος ταύτην Ἀστυόχην φησὶν, οὐκ Ἀστυδάμειαν. εἰκὸς δὲ τὸν Πίνδαρον ἀπαντῆσαι ταύτῃ τῇ γραφῇ·

Ὃν τέκεν Ἀστυόχεια [3]) βίῃ Ἡρακληείῃ.

καὶ Ἡσίοδος δὲ Ἀστυδάμειαν αὐτήν φησι· Φερεκύδης δὲ Ἀστυγένειαν, ἣν δὲ Φύλαντος θυγάτηρ. τινὲς δὲ ἐξ Ἀντιγόνης αὐτῷ Τληπόλεμόν φασιν. ἐνταῦθα δὲ Ἀμύντορος αὐτήν φησιν ὁ Πίνδαρος, ὅτι παρὰ τῶν κατὰ τὴν πόλιν λογίων ἤκουσεν Ἀμυντορίδας εἶναι Ῥοδίους μητρόθεν. [4]) Vet.

43. Ἀμφὶ δ' ἀνθρώπων] ὑπεραπολογεῖται τοῦ φόνου, ὃν δέδρακεν ὁ Τληπόλεμος, καί φησι· περὶ τὰς τῶν ἀνθρώπων φρένας μυρίαι καὶ ἀναρίθμητοι ἁμαρτίαι ἀπήρτηνται. Vet.

Σύναψον δὲ τὸ ἀμφὶ μετὰ τοῦ κρέμανται, ἵν' ᾖ ἀμφικρέμανται. Gl. β. γ.

46. Τοῦτο δ' ἀμήχανον] καὶ τὸ τοιοῦτον γνῶναι ἀδύνατόν ἐστι· τὸ ποῖον; ὅπερ νῦν τε καὶ ἐπὶ τοῦ παρόντος βέλτιστόν ἐστι καὶ ἐν ὑστέρῳ. οἷον, εἰ καὶ ἐν τῇ τελευτῇ ἕξει τις καλόν. ἡ δὲ ἀπότασις πρὸς τὸν Τληπόλεμον. § Ἄλλως. Τοῦτο δ' ἀμάχανον εὑρεῖν] τὴν παροῦσαν καὶ τὴν μέλλουσαν εὐδαιμονίαν ἀμήχανόν ἐστιν εὑρεῖν. ὁ γὰρ Τληπόλεμος ἐν ἀρχῇ ἀτυχήσας ὕστερον ἐβασίλευσε τῆς Ῥόδου. § ἀμήχανον δέ ἐστι τοῦτο εὑρεῖν καὶ προγνῶναι, ὅπερ νῦν τε καὶ κατὰ τὸ παρὸν δυςτύχημα φερόμενον πρὸς τὸ τέλος λυσιτελήσει. καὶ τοὐναντίον βούλεται λέγειν, ὅτι τῷ Τληπολέμῳ τὸ κατὰ φύσιν δυςτύχημα εἰς ἀγαθὸν ἀπέβη Ῥόδον οἰκήσαντι καὶ βασιλείας καὶ τιμῆς ἀξιωθέντι. § Ἄλλως. ἀδύνατόν ἐστι τοῦτο εὑρεῖν, τὸ περιτυχεῖν ἀνδρὶ καὶ γνῶναι τὸ φέρτατον· ἀντὶ τοῦ τὸ ἀποβησόμενον ἀφ' οὗ τις γεννηθῇ μέχρι τέλους. [5]) Vet.

Ἀδύνατον δὲ ὑπάρχει εὑρεῖν τοῦτο, ὅπερ νῦν φέρτατον καὶ κράτιστον συμβέβηκεν ἀνθρώπῳ, τούτου καὶ ἐν τῇ τελευτῇ τυχεῖν, τουτέστιν οὐδεὶς οἶδεν, ὡς εἴ τῳ πάρεστι

1) Iliad. β, 658. cf. 513. 2) De Achaeo historico, quem Beckius Pherecydis aequalem iudicat, dubito magnopere. Voss. H. Gr. IV, p. 501. praeter nostrum locum novit unum scholiastae Arati Phaen. 171. ubi quamquam cum Pherecyde et Hippia coniungitur, tamen tragicus Achaeus accipi potest. Contra nostro loco vel articuli positus monstrare mihi videtur, excidisse nomen auctoris, e. c. Ἀκουσιλάῳ τῷ ἀρχαίῳ ἱστοριογράφῳ. Duobus locis Achaeum historicum restituere tentavit Aug. Meineke cur. crit. p. 30. altero schol. Nicandri Theriac. 613. ubi Schneiderus pro Ἀρχαίῳ nuper ex fide scripti Alcaeum dedit; altero Harpocrationis, cui illum non obtrudemus, ubi Achaei historici auctoritatem fere nullam intellexerimus. Idem vero ibidem pro Ἀρχαίῳ ap. Artemid. Onir. II, 25. rectissime Alcaeum praestat. 3) Scribe Ἀστυδάμεια. Scholiastes putat Pindarum incidisse in Homeri librum, in quo legeretur Ἀστυδάμεια, non Ἀστυόχεια. 4) Ex Vrat. A. in quo Φίλαντος, et in fine ματρόθεν. Ὅτι ante παρὰ τῶν ipse addidi. 5) Duo haec scholia ex Vrat. A. qui λυσιτελῆσαι et οἰκήσαντα. Alterum scholium mutilum est.

Digitized by Google

νῦν εὐδαιμονία, καὶ ὕστερον ταύτης τεύξεται. τοῦτο δὲ λέγει ὑπὲρ Τληπολέμου πρῶτον μὲν εὐτυχοῦντος, ὕστερον δὲ δυστυχήσαντος, φόνον πεποιηκότος, εἰ καὶ μετὰ ταῦτα πάλιν εὐδαιμονέστατος γέγονε, Ῥυδίων βασιλεὺς καταστάς. § Ἱστορία, ὅπως ἐν Ῥόδῳ ὁ Τληπόλεμος ᾤκησεν. ἡ δὲ ἱστορία ἔχει οὕτω. Λικύμνιον νόθον κασίγνητον Ἀλκμήνης ἐκ τῆς πατρίδος αὐτοῦ εἰς Τίρυνθα παραγενόμενον [1]) Τληπόλεμος στασιάσας πρὸς αὐτὸν ἀπέκτεινεν ἐλαΐνῳ ῥοπάλῳ βαλὼν πόῤῥωθεν. οἱ δέ φασιν, ὅτι βοῦν πλῆξαι θέλων καὶ ῥάβδον πόῤῥωθεν ῥίψας, ἀποτυχὼν ταύτης βάλλει Λικύμνιον καὶ ἀναιρεῖ. ἐλθόντι οὖν εἰς Δελφοὺς καὶ ἀπαλλαχὴν τοῦ μύσους ζητοῦντι ἔχρησεν ὁ Ἀπόλλων Ἀργείους παραλαβόντα μετοικίζειν εἰς Ῥόδον. νόθος δὲ ἀδελφὸς τῆς Ἀλκμήνης ὁ Λικύμνιος οὕτως ἦν· Ἠλεκτρύων γὰρ Λυσιδίκην τὴν Πέλοπος ἀδελφὴν [2]) κατὰ νόμους ἔχων ποιεῖ Ἀλκμήνην, Μιδέᾳ δὲ πορνικῶς συνελθὼν ποιεῖ Λικύμνιον. Rec.

48. Φέρτατον] εὐτυχέστατον πρᾶγμα. Gl. γ.

49. Καὶ γὰρ Ἀλκμήνας] καὶ γὰρ τὸν Ἀλκμήνης νόθον ἀδελφὸν Λικύμνιον ῥοπάλῳ ἐλαίας τύπτων ἀπέκτεινεν ἐν τῇ Τίρυνθι παραγενόμενον ἐκ τῆς οἰκίας τῆς ἑαυτοῦ μητρὸς Μιδέας ὁ Τληπόλεμος ὁ παλαιὸς οἰκιστὴς τῆς χώρας. πῶς δὲ νόθος ἀδελφὸς Λικύμνιος Ἀλκμήνης; Ἀλκμήνη μὲν ἐξ Ἠλεκτρύωνος καὶ Λυσιδίκης τῆς Πέλοπος θυγατρὸς, γνησίας γυναικὸς, Λικύμνιος δὲ ἐξ Ἠλεκτρύωνος καὶ Μιδέας, γυναικὸς Φρυγίας τὸ γένος. οἱ γὰρ γνήσιοι παῖδες Ἠλεκτρύωνος ἀπὸ Λυσιδίκης ἐγένοντο ἓξ, Γοργοφόνος, Στρατοβάτης, Φιλονόμος, Κελαινεὺς, Ἀμφίμαχος, Δηΐμαχος. αἰτία δὲ τῆς ἀναιρέσεως ἐγένετο περί τινων τιμῶν. οἱ δὲ περὶ Δεινίαν καὶ Δέρκυλλόν φασιν ἀκούσιον τὸν φόνον γενέσθαι. [3]) Vet.

† Σύνταξις. Καὶ γὰρ Ἀλκμήνας] καὶ γὰρ ὁ οἰκιστὴς τῆς γῆς, ἤγουν τῆς Ῥόδου, ὁ Τληπόλεμος δηλονότι, χολωθεὶς, ὀργισθείς ποτε ἔκτανε τὸν Λικύμνιον τὸν νόθον ἀδελφὸν τῆς Ἀλκμήνης, ἐν Τίρυνθι· πόλις δὲ τοῦ Ἄργους ἡ Τίρυνς· ἐλθόντα ἐκ τῶν θαλάμων, ἤγουν ἐκ τῶν οἴκων τῆς Μιδέας τῆς μητρὸς αὐτοῦ, θένων, τύπτων αὐτὸν ῥάβδῳ ἀπὸ σκληρᾶς ἐλαίας. αἱ δὲ φρενῶν ταραχαὶ, ἤγουν αἱ δὲ προπετεῖς καὶ ἀκρατεῖς ὀργαὶ, παρέπλαξαν καὶ σοφὸν, τουτέστιν ἐξήνεγκαν τοῦ ὀρθοῦ καὶ φρόνιμον. § ἀπὸ τοῦ πλάζω, τοῦ πλανῶ, τὸ παρέπλαξαν. [4]) Rec.

50. Νόθον] ἀκουσίως αὐτόν φασιν ἀνηρηκέναι. νόθον δὲ εἶπεν, ὅτι ἐκ Μιδέας τῆς παλλακίδος ἦν, Ἀλκμήνη δὲ καὶ οἱ αὐτῆς ἀδελφοὶ ἐκ Λυσιδίκης. [5]) Vet.

51. Σκληρᾶς ἐλαίας] ἀπεσκληκότος ξύλου; καὶ ῥοπάλῳ ἐλαΐνῳ. Vet.

52. Ἐλθόντ' ἐκ θαλάμων] παραγενόμενον εἰς Ἄργος ἐκ τῶν οἴκων τῆς Μιδέας, ἤτοι τῶν τῆς μητρὸς ἢ καὶ τῆς ὁμωνύμου πόλεως. ἔστι δὲ αὕτη τοῦ Ἄργους ἡ πόλις. § δύναται ἑκατέρως ἀκούεσθαι, ἔκ τε τῶν τόπων τῆς πόλεως Μιδέας, καὶ ἐκ τῶν θαλάμων τῆς μητρὸς Μιδέας, ἀφ' ἧς καὶ Ἠλεκτρύωνος ὁ Λικύμνιος. [6]) Vet.

1) Hanc vocem de meo addidi. 2) Esse debere θυγατέρα notat Schneiderus. 3) Inde ab οἱ γὰρ ex Vrat. A. in quo Στρατοτώτης, Οὐλονόμος. Alii plures Electryonis ex iusto connubio filios habent, ac pro Δηϊμάχῳ Χειρόμαχον, ut Apollod. II, 4, 5. Pro Δεινίαν et Δέρκυλλον cod. Δερά cum abbreviatione, et Δέρκυλον. Uterque est auctor Ἀργολικῶν: v. Voss. Hist. Gr. III, p. 551. 555. et intpp. Athen. III, p. 86. F. 4) Ex Mosc. B. 5) Vrat. A. 6) Vrat. A. qui ἑκατέρων, et καὶ Ἀλεκτρύων καὶ Λικύμνιος.

Digitized by Google

54. Χθονὸς οἰκιστήρ] τῇ δόξῃ ὁ Πίνδαρος ἕπεται τῶν ἱστορούντων διὰ τιμάς τινας καὶ ἀρχὰς τὸν Τληπόλεμον ἐργάσασθαι τὸν φόνον· διὰ γὰρ τοῦ χολωθεὶς τὸ τοιοῦτον ὑποφαίνει. Vet.

55. Αἱ δὲ φρενῶν ταραχαί] γνωμικῶς· αἱ δὲ ἀκριτόμυθοι καὶ προπετεῖς ὀργαὶ ἤδη που καὶ τοὺς σοφοὺς διασφάλλεσθαι ποιοῦσι. τοῦτο δὲ μέση παρεμβολή. § αἱ γὰρ ταραχαὶ καὶ τὸν σοφὸν παράγουσιν εἰς τὸ πρᾶξαί τι ἄτοπον. [1]) Vet.

56. Παρέπλαξαν] παρεπλάνησαν. ἐξέβαλον τοῦ ὀρθοῦ σκοποῦ. Gl. α. β. γ.

Ἰστέον ὅτι ἀπὸ τοῦ πλάζω, ὃ σημαίνει τὸ πλανῶ, ποιεῖται ὁ μέλλων πλάξω, ὁ ἀόριστος ἔπλαξα, καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἔπλαξαν καὶ παρέπλαξαν. Schol. β. γ.

Μαντεύσατο δ' ἐς θεὸν ἐλθών] ὡς οὖν ἀπέκτεινεν ὁ Τληπόλεμος τὸν Λικύμνιον, φεύγων τὸ μῦσος εἰς Δελφοὺς ἐλθὼν ἐμαντεύσατο, ὅποι χρὴ τραπέσθαι. ὁ τοίνυν Ἀπόλλων ἔχρησεν αὐτῷ, ὥστε ἀπὸ τῆς ἀκτῆς τῆς Λερναίας, τουτέστι τοῦ Ἄργους, ἰθύνειν καὶ ὁρμᾶν διὰ πλοίων ἐπὶ τὴν χώραν τῆς νήσου τῶν Ῥοδίων. Vet.

† Μαντεύσατο δ' ἐς θεὸν ἐλθών] ἀπελθὼν δὲ εἰς τὸν θεὸν ἐμαντεύσατο, ἤγουν μαντείαν ἤτησεν. εἰς τὸν θεὸν δὲ εἰπὼν ἀδήλως, διὰ τοῦ ἐπαγομένου δῆλον ποιεῖ ὅτι εἰς τὸν Ἀπόλλωνα λέγει αὐτὸν ἀπελθεῖν. ἐπάγει γάρ· τῷ μὲν εἶπεν ὁ Χρυσοκόμας. δῆλον δὲ πᾶσίν ἐστιν, ὅτι τὸ Χρυσοκόμης οὐκ ἄλλου τινός ἐστιν ἐπίθετον ἢ τοῦ Ἀπόλλωνος. τούτῳ μὲν ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην εἶπεν ἐκ τοῦ ἀδύτου, ἤγουν τοῦ ναοῦ τοῦ εὐωδίας πεπληρωμένου· στέλλε πλοῦν, ἀντὶ τοῦ στέλλου ἀπὸ τῆς ἀκτῆς, ἤγουν τοῦ αἰγιαλοῦ τῆς Λέρνης, τουτέστιν ἀπὸ τοῦ Ἄργους, εἰς τὸν νομὸν, ἤγουν διατριβὴν καὶ τόπον τὸν ἀμφιθάλασσον, τουτέστι τὸν ὑπὸ θαλάσσης περιλαμβανόμενον, εἰς τὴν Ῥόδον λέγω, ὅπου ποτὲ ὁ βασιλεὺς τῶν θεῶν ὁ μέγας, ἤγουν ὁ Ζεὺς, ἔβρεξε τὴν πόλιν διὰ ψηγμάτων χρυσοῦ ἀπὸ νεφῶν καταῤῥηγνυμένων, ὁπηνίκα ταῖς τέχναις τοῦ Ἡφαίστου, ἀντὶ τοῦ τῷ ὀργάνῳ, τῷ τῇ τέχνῃ τοῦ Ἡφαίστου κατασκευασθέντι πελέκει, ἡ Ἀθηνᾶ ἀνορμήσασα κατὰ τὸ ἄκρον τῆς κορυφῆς τοῦ πατρὸς αὐτῆς τοῦ Διὸς ἠλάλαξε, τουτέστι πολεμικὸν ἐβόησεν. ὑπερβολικῶς· ὁ οὐρανὸς δὲ ἔφριξεν αὐτὴν, τουτέστιν ἐφοβήθη, καὶ ἡ γῆ ἡ μήτηρ πάντων. τότε καὶ ὁ θεὸς ὁ φῶς τοῖς ἀνθρώποις φέρων, ὁ Ὑπεριονίδης, τουτέστιν ὁ Ἥλιος, ἐνετείλατο τοῖς παισὶν αὐτοῦ τοῖς προσφιλέσιν, ἤτοι τοῖς Ῥοδίοις, χρέος μέλλον, τουτέστι πρᾶγμα ἐξ ἀνάγκης γενησόμενον παραφυλάξασθαι, ἤγουν τὴν γέννησιν τῆς Ἀθηνᾶς, ὅπως ἂν χάριν αὐτῆς τῆς θεᾶς τῆς γεννηθησομένης πρῶτοι κτίσωσι βωμὸν, ἤγουν ναὸν ἐναργῆ, τουτέστι μετέωρον, περιφανῆ, καὶ σεμνὴν θυσίαν ἐν αὐτῷ ποιήσαντες τὴν ψυχήν τε εὐφράναιεν τοῦ πατρὸς, ἤγουν τοῦ Διὸς, καὶ αὐτῆς τῆς Ἀθηνᾶς τῆς γενησομένης θυγατρὸς αὐτοῦ τοῦ Διὸς τῆς ἐγχειβρόμου, ἤγουν τῆς περὶ τὸν ἠχητικὸν πόλεμον εὐφυοῦς, γενησομένης δηλονότι. Rec.

59. Εὐώδεος ἐξ ἀδύτου] τοῦ τεθυμιαμένου ἀδύτου. λέγει δὲ τοῦ κατὰ τὴν Πυθῶνα. Vet.

Εὐώδεος] μεμυρισμένου. Gl. β. γ. Ἀδύτου] ὁ ἄδυτος, ὁ μὴ εἴσβατος πολλοῖς. Gl. β.

[1]) Vrat. A.

Digitized by Google

60. *Λερναίας ἀπ' ἀκτᾶς*] *τουτέστιν ἀπὸ τοῦ Ἄργους. ἡ γὰρ Λέρνη κατὰ μέν τινας κρήνη, κατὰ δέ τινας λοχμῶδες χωρίον, ἐν ᾗ μυθεύουσι καὶ τὴν ὕδραν καταδεδυκέναι· φασὶ καὶ τὴν ἄβυσσον κρήνην αὐτόθι εἶναι. ἕτεροι δὲ καὶ πόλιν φασίν. § Φερεκύδης δὲ καὶ πόλιν φησίν· οἱ δὲ ἐπίνειον Ἄργους· ἣ νῦν καλεῖται Λάμπεια.* [1]) *§ ὁ δὲ νοῦς· εὐθῦναι* [2]) *τὴν ναῦν εἰς τὴν νῆσον Ῥόδον, ἐν ᾗ νήσῳ ὁ βασιλεὺς τῶν θεῶν ποτε ὁ Ζεὺς χρυσέαις σταγόσι τὴν πόλιν μετέβρεχε καὶ ἐπλουτοποίει τοὺς οἰκήτορας τῆς Ῥόδου.* [3]) Vet.

Ἀκτᾶς] *τῆς παραθαλασσίας.* Gl. γ.

61. *Εὐθὺν ἐς ἀμφιθάλασσον*] *οἱ μὲν ἀντὶ τοῦ εὐθῦναι, οἱ δὲ ἀντὶ τοῦ εὐθέως. ἀμφιθάλασσον δέ, τὴν ἑκατέρωθεν θαλάσσῃ περιεχομένην· νομὸν δέ, τὴν κατανομήν. § ἀμφιθάλασσον νομὸν, τὴν Ῥόδον, καθὸ νῆσος οὖσα περιείργεται θαλάσσῃ· νομὸν δέ, κατανέμησιν.* [4]) Vet.

Οὐ χρὴ γράφειν εὐθὺν πρὸς τὸ πλόον· ἀσύντακτον γὰρ τοῦτο· ἀλλὰ στέλλε ἢ στέλλου· οὕτω γὰρ ἔχει ὀρθῶς. [5]) Rec.

62. *Ἔνθα ποτέ*] *τοῦτο ἐκ τῶν Ὁμήρου ὁρμηθεὶς λέγει, ὅτι Ζεὺς χρυσὸν ἔβρεξε τοῖς Ῥοδίοις, διὰ τὸ τὸν ποιητὴν εἰρηκέναι·*

Καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων,

οὐκ εἰρηκότος Ὁμήρου, ὅτι ὁ Ζεὺς ἔβρεξε χρυσὸν, ἀλλὰ περιεποίησε χύδην αὐτοῖς τὸν πλοῦτον. [6]) *§ Ἄλλως. τοῦτο ἀντικρυς ἐκ τοῦ ἀθετουμένου Ὁμηρικοῦ στίχου εἴληφεν ὁ Πίνδαρος·*

Καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων, [7])

ὅτι ἄρα νεφέλην ἐπιστήσας τοῖς Ῥοδίοις χρυσὸν ἔχευεν, ἢ ὅτι πολὺν χύδην πλοῦτον αὐτοῖς κατεσκεύασεν· ὁμοίως τῷ,

Κούρη δ' εἰμ' Ἀρύβαντος ἐγὼ ῥυδὸν ἀφνειοῖο. [8]) Vet.

65. *Ἀνίχ' Ἀφαίστου τέχναισι*] *τὸν καιρὸν καθ' ὃν ὁ Ζεὺς ἐν Ῥόδῳ χρυσὸν ὕσε, διὰ τῆς ἱστορίας ἐπισημαίνεται καὶ φησιν· ἡνίκα ὁ Ζεὺς διαιρεθείσης αὐτοῦ τῆς κεφαλῆς ὑπὸ τοῦ πελέκεως τοῦ Ἡφαιστοτεύκτου* [9]) *ἀνέδωκεν ἐκ τῆς κορυφῆς τὴν Ἀθηνᾶν· ἡ δὲ ἀνορούσασα καὶ ἔκδηλος γενομένη μέγιστον ἐβόησεν.* Vet.

Ἱστορία. Ἀνίχ' Ἀφαίστου] *διαιρεθείσης τῆς τοῦ Διὸς κεφαλῆς ὑπὸ Ἡφαίστου καὶ Ἀθηνᾶς ἐξελθούσης, ἐκ τῆς κεφαλῆς γὰρ αὐτὴν ὤδινεν, ἐλθὼν Ἥλιος εἶπε Ῥοδίοις πρώτους θῦσαι αὐτῇ, ὡς ἀναγκαῖον ὂν ἐκεῖ ταύτην οἰκῆσαι παρ' οἷς ἂν πρώτοις θυσία αὐτῇ γένηται. ἀνελθόντες οὖν εἰς τὴν ἀκρόπολιν Ῥόδιοι θῦσαι αὐτῇ, ἐπελάθοντο καὶ πῦρ συμπαραλαβεῖν τοῖς ἐναγίσμασι, καὶ ἀπύρως ἔθυσαν· διὸ συνέβη Ἀθηναίους πρώτους θύσαντας μετὰ πυρὸς ἐν αὐτοῖς τὴν θεὸν οἰκεῖν ἠξιῶσθαι. Ζεὺς οὖν Ῥοδίων τὴν γνώμην ἀποδεξάμενος χρυσοῦν ὑετὸν αὐτοῖς κατέχεεν. τὸ ἡνίκα δὲ ἄνω καὶ πρὸς τὸ ἔνθα ἔχει τὴν ἀπόδοσιν καὶ οὐ πρὸς τὸ τότε, παραπλήσιον ὥσπερ ποιεῖ Ὅμηρος*

1) Hoc Vrat. A. qui *ἐπίγειον*. Ad vulgata confer Hemst. ad Lucian. T. I, p. 303. 2) Vrat. D. *εὐθύνεις*. 3) Haec inde a *σταγόσι* praebet Vrat. D. 4) Vrat. A. 5) Ex Mosc. B. Vrat. A. 6) Ex Vrat. D. 7) Iliad. *β*, 670. 8) Odyss. *ο*, 425. Vrat. A. haec inde ab *ὅτι ἄρα* addit. 9) Vrat. D. *Ἡφαιστοτεύκτου*: vulgo *Ἡφαίστου*, de quo nihil scholia ad vs. 66. quae sequor.

Digitized by Google

ἔν τισι τῶν παραβολῶν ἄνω μὲν ἐχούσαις τὴν ἀπόδοσιν, ὅμως δὲ ἐπάγει ὕστερον καὶ τὸ οὕτως, οὐκ εἰς ἀπόδοσιν τῆς παραβολῆς, ἀλλὰ διὰ τὴν ἑξῆς ἔννοιαν. Rec.

66. Χαλκελάτῳ πελέκει] οἱ μὲν Παλαμάονα [1]) λέγουσι ῥῆξαι τὴν τοῦ Διὸς κεφαλὴν, ὅτε Ἀθηνᾶ ἐγεννᾶτο· οἱ δὲ Ἑρμῆν· οἱ δὲ Προμηθέα· Ἀριστοκλῆς δὲ ὑφίσταται [2]) τὴν γέννησιν Ἀθηνᾶς ἐν Κρήτῃ· νεφέλῃ γάρ φησι κεκρύφθαι τὴν θεὸν, τὸν δὲ Δία πλήξαντα τὸ νέφος προφῆναι αὐτήν. § Χαλκελάτᾳ πελέκει] ἐν τοῖς Μουσαίου Παλαμάων λέγεται πλῆξαι τοῦ Διὸς τὴν κεφαλὴν, ὅτε τὴν Ἀθηνᾶν ἐγέννα· ἔνιοι δὲ τὸν Προμηθέα λέγουσι. Σωσίβιος δὲ Ἑρμῆν φησιν. Ἀριστοκλῆς δὲ νέφει συγκεκροῦσθαι τὴν θεὸν, τὸν δὲ Δία πλήξαντα τὸ νέφος ἐκφῆναι τὴν θεόν. [3]) Vet.

68. Ἀλάλαξεν] ὀξὺ ἀνεβόησε. διὰ δὲ τοῦτο τὸ φιλοπόλεμον τῆς θεοῦ ἐχαρακτήρισεν· ἡ γὰρ ἀλαλαγὴ κυρίως ἐπὶ τῆς τῶν πολεμίων συμβολῆς γίνεται, εἶτ' οὖν λέγεται καὶ ἐπὶ τῶν ἐκβακχευμάτων. Vet.

70. Οὐρανὸς δ' ἔφριξέ νιν] ἤτοι διὰ τὸ σὺν τοῖς ὅπλοις γεννηθῆναι ἢ διὰ τὴν βοὴν ἐφοβήθησαν Οὐρανὸς καὶ Γῆ. [4]) Vet.

71. Τότε καὶ φαυσίμβροτος] ὁ νοῦς· τότε οὖν, ἡνίκα ἔμελλε τίκτεσθαι ἡ θεὸς, ὁ Ἥλιος τοῖς ἑαυτοῦ παισὶ τοῖς περὶ Ὄχιμον καὶ Κέρκαφον ἐπεστείλατο τὸ μέλλον πρᾶγμα, τῆς Ἀθηνᾶς τὴν γένναν παραφυλάξασθαι, καὶ θυσίας ποιῆσαι· καὶ ὅπως τῇ θεῷ θυσίας πλήθοντα βωμὸν ἐναργῆ κτίσειαν, τοῦτόν τε πηξάμενοι ἐπιθύσαντες τήν τε ψυχὴν τοῦ πατρὸς αὐτῆς Διὸς τέρψαιεν καὶ αὐτῆς τῆς γεννηθείσης παρθένου τῆς πολεμικῆς. ἔγχος μὲν γὰρ τὸ δόρυ· βρόμος δὲ ὁ ἦχος. § Ἄλλως. ὁ Ἥλιος, φησὶ, παρεκελεύσατο τοῖς ἑαυτοῦ παισὶ καὶ Ῥόδου, μελλούσης γεννᾶσθαι τῆς Ἀθηνᾶς, ὅπως αὐτοὶ πρῶτοι θύσωσιν. ἐκεῖ γὰρ μέλλειν οἰκεῖν τὴν θεὸν παρ' οἷς ἂν πρῶτον αὐτῇ θυσία ἐπιτελεσθῇ. ἀνερχόμενοι δὲ εἰς τὴν ἀκρόπολιν πρῶτοι οὗτοι ἐπελάθοντο πῦρ κομίσαι· συνέβη οὖν πρώτους Ἀθηναίους θῦσαι· διόπερ καὶ τὴν θεὸν αὐτόθι καθιδρυσθῆναι, τιμῆσαι δὲ τὴν θεὸν καὶ [5]) τοὺς Ῥοδίους. διὰ τοῦτο δέ φασι τοὺς Ῥοδίους ἄπυρα θύειν, ὥσπερ οἱ πρῶτοι τῇ Ἀθηνᾷ ἔθυσαν. τινὲς δὲ, ὅτι καὶ φυλαξάντων αὐτῶν ὑπερησθεὶς ὁ Ζεὺς πλοῦτον καὶ εὐδαιμονίαν παρέσχε, δωρησαμένης καὶ αὐτῆς τῆς Ἀθηνᾶς τὴν περὶ τὴν τέχνην ἀρετήν. Vet.

Φαυσίμβροτος] φαεσίμβροτος. τὸ ῑ καὶ τὸ ᾱ εἰς τὴν ᾱυ δίφθογγον συνεῖλεν. [6]) Vet.

72. Δαίμων Ὑπεριονίδας] ὁ Ὑπερίονος παῖς. Ὑπερίων δὲ εἷς τῶν Τιτάνων κατὰ τὴν τοῦ Ἡσιόδου Θεογονίαν· [7])

[1]) Vrat. D. Παλαμαίονα. [2]) Sic Vrat. D. Gott. nisi quod in illo etiam φησὶν esse videtur. Vulgo Ἀρίσταρχος δὲ, φησὶν, ὑφίσταται. De *Aristocle Rhodio* rhetore, grammatico, historico v. Voss. Hist. Gr. II, p. 165 sq. III, p. 333. cuius nomen ut alibi Aristoteli, sic in hoc scholio Aristarcho notioribus cesserat. Hic eius locus ad Παράδοξα referendus videtur. Vixit aetate Strabonis. [3]) Ex Vrat. A. De Sosibio Lacone Ἐπιλυτικῷ, cuius iam supra mentio exstat, cf. Voss. Hist. Gr. I, p. 100. Mox codex Ἀριστοτέλης; cum quo commutatum passim esse Aristoclem notavit Vossius. Praeterea liber συγκεκρ. τὸν θεὸν, et τὸν δὲ διαπλήξαντα. [4]) Partim ex Vrat. D. partim ex Vrat. A. [5]) De coniectura transposui καὶ, quod erat ante τὴν. [6]) Vrat. A. [7]) Vs. 371.

Digitized by Google

Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει,
Γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.

οἱ δὲ αὐτὸ ἐπιθετικῶς ἀκούουσιν ἐν τύπῳ πατρωνυμικῷ· ὁ ὑπὲρ γῆν ἰέμενος ἢ ὑπὲρ ἡμᾶς πορευόμενος. Vet.

73. Ἔντειλεν] παρήγγειλεν. Gl. γ.

Μέλλον χρέος] τουτέστι τὴν οἴκησιν, ἣν ἔμελλεν ἡ Ἀθηνᾶ ποιήσειν ἐν τοῖς Ῥοδίοις· καὶ μὴ γένηταί τι ἐμπόδιον πρὸς τὸ μὴ οἰκῆσαι ἐν αὐτοῖς. Schol. γ.

Μέλλον ἔντειλε] τὸ μέλλον χρέος λέγει διὰ τοῦτο, διότι ἀναγκαίως ἔμελλεν ἐκεῖ τὴν θεὸν οἰκήσειν ἐν οἷς ἂν πρώτοις θυσία αὐτῇ γένηται. Rec.

76. Βωμὸν ἐναργέα] ἤτοι τῇ κατασκευῇ πολυτελῆ τυγχάνοντα, ἢ τὸν ἐναργῶς γενόμενον παρὰ τὸν τῆς γεννήσεως καιρόν· πρῶτοι γὰρ ἔθυσαν· διὸ ἔμελλεν ἐπίσημος εἶναι παρὰ τὸ πλῆθος τῆς τελουμένης θυσίας. Vet.

77. Σεμνὰν θυσίαν] τοῦτο πρὸς τὸν τῆς Ἀθηνᾶς τρόπον· σεμνῶς γάρ φασι τὰ θύματα αὐτῇ τελεῖν. Vet.

78. Ἐγχειβρόμῳ] τῇ παρὰ τῷ πολέμῳ βρεμούσῃ. Vet.

Ἐγχειβρόμῳ] πολεμικῇ. Gl. β. γ.

79. Ἐν δ' ἀρετὰν ἔβαλεν] δύναται ὁ λόγος γνωμικὸς εἶναι· ἔχει δὲ τὸ σαφὲς οὕτως· ἐπέβαλε δὲ ἀρετὴν καὶ ἡδονὴν τοῖς ἀνθρώποις ἡ περὶ τῶν μελλόντων πρόγνωσις. ὃ δέ φησι, τοιοῦτόν ἐστιν· οἱ περὶ τῶν μελλόντων πραγμάτων τὸ δέον προσκοπήσαντες καὶ τοῦτο προδιδαχθέντες, οὗτοι εἰς ἀρετὴν καὶ ἡδονὴν ἔρχονται. ἔνιοι δὲ οὕτως ἐνόησαν· ἐκ δὲ ταύτης τῆς αἰτίας καὶ αἰδὼς ἡ ὑπάρξασα εἰς τὴν θεὸν ἢ ἐκ τῆς προμηθείας καὶ τῆς προγνώσεως χαρὰν αὐτοῖς καὶ εὐθυμίαν καὶ ἀρετὴν παρέσχεν. § περιποιεῖ ἀρετὴν καὶ χαρὰν ἡ ἐκ τῆς προμηθείας αἰδώς. οἷον, εἴ τις ἐκ τοῦ προμηθεῖσθαι τὴν αἰδῶ μεταποιεῖται, τούτῳ ἐπακολουθεῖ χαρὰ καὶ ἀρετή, ὡς τῶν προσκοπουμένων μηδὲν ἀτύχημα ἐχόντων. [1]) § ὁ δὲ λόγος· οἱ τὴν προμήθειαν ἐπιστρεφόμενοι περί τινος καὶ προλαμβάνοντες τὸ ἐσόμενον διὰ τοῦ προβουλεύσασθαι, τοῦτο πράττουσι κατ' ἐκτροπήν, καὶ ὕστερον χαίρουσι τοῦτο προβουλευσάμενοι. ἔνιοι δὲ ἀναγινώσκουσι περισπωμένως αἰδῶς, τῆς αἰδοῦς. [2]) Vet.

Ἐν δ' ἀρετὰν ἔβαλεν] ἐμποιεῖ δὲ τοῖς ἀνθρώποις ἀρετῆς τιμὴν καὶ χαρὰν τοῦ Προμηθέως, τουτέστι τῆς προβουλεύσεως τὸ αἰδέσιμον, ἤτοι ἡ αἰδὼς ἡ ἑπομένη τῷ Προμηθεῖ, περιφραστικῶς ἀντὶ τοῦ ὁ Προμηθεὺς ὁ αἰδέσιμος, ἀλλ' ἐπιβαίνει καὶ νέφος τι λήθης ἀτέκμαρτον, τουτέστιν ἀπροσδόκητον, καὶ παρέλκει, ἤγουν παρατρέπει, ἐκκλίνει, τὴν ὀρθὴν μέθοδον τῶν πραγμάτων ἔξω τῶν λογισμῶν. καὶ οὗτοι γάρ, οἱ τοῦ Ἡλίου δηλονότι παῖδες, ἀνέβησαν οὐκ ἔχοντες, ἤγουν μὴ φέροντες σπέρμα φλογὸς καυστικῆς, τουτέστι πῦρ ὃ τὴν καυστικὴν αὔξει φλόγα. ἀνέβησαν δὲ εἰπὼν ἀδήλως, διὰ τῶν ἐπαγομένων δῆλον ποιεῖ ὅτι εἰς τὴν ἀκρόπολιν λέγει αὐτοὺς ἀναβῆναι. ἐπάγει γάρ· τεῦξαν δ' ἀπύροις ἱεροῖς, ἤγουν κατεσκεύασαν δὲ ἐν τῇ ἀκροπόλει ναὸν σὺν θυσίαις ἀπύροις, τουτέστιν ἅμα καὶ θυσίας πυρὸς ἀμετόχους τελέσαντες. Rec.

1) Ex Vrat. A. ubi ἐκτὸς προμηθείας. Deinde addidi ἀτύχημα. 2) Ex eodem.

Digitized by Google

80. Χάρματα] προτερήματα. Gl. γ.

81. Αἰδώς] σεμνότης. Gl. γ.

Προμηθέως αἰδώς] ἡ προμήθεια τοῖς ἀνθρώποις αἰτία ἀγαθῶν καὶ ἀρετῆς γίνεται. Προμηθέως αἰδώς, τὸ προσκοπεῖν τὸ μέλλον. [1]) Vet.

Προμηθέως αἰδώς] τουτέστιν ὁ μετὰ τοῦ προβεβουλεῦσθαι ποιῶν τι ὁμοῦ τε κατορθοῖ τοῦτο καὶ ἡδονὴν ἔχει ἅτε κατωρθωκώς. τὸ δὲ αἰδὼς Προμηθέως λέγει, διότι πᾶς ὁ χρώμενος προμηθείᾳ οἱονεὶ τὸν Προμηθέα αἰδεῖται καὶ τιμᾷ. Rec.

82. Ἐπὶ μὰν βαίνει] ἐνίοτε δὲ καὶ τοῖς ἀκούουσι τὴν προμήθειαν καὶ προσκοπουμένοις τὸ μέλλον ἐπιβαίνει τι καὶ λήθης ἴδιον νέφος, καὶ ἀνθιστᾷ δι' ἕτερον μέρος. [2]) ἐπὶ δὲ τῶν Ῥοδίων ὁ λόγος, ὅτι καίπερ προδιατειλαμένου τοῦ Ἡλίου αὐτοῖς θῦσαι τῇ Ἀθηνᾷ κατὰ τὴν γένεσιν, καὶ αὐτοὶ μεμνημένοι ταύτῃ συντελέσαι, συντελοῦντες τῶν πρὸς τὴν παρασκευήν τι παρέλιπον, ὅ ἐστι τὸ πῦρ. § τῇ προνοίᾳ ἐπιβαίνει γε μὴν καὶ λήθης τι ἀπροσδόκητον. [3]) Vet.

84. Καὶ παρέλκει πραγμάτων] ὁ νοῦς οὕτως ἔχει· καίτοι γὰρ οἱ Ῥόδιοι προμαθόντες παρὰ τοῦ Ἡλίου τὴν τῆς Ἀθηνᾶς γένεσιν καὶ κατακούσαντες παρ' αὐτοῦ τὸ θῦσαι τῇ θεῷ, παρ' αὐτὴν τὴν ἱερουργίαν τοῦ κυριωτάτου πρὸς τὰς θυσίας ἐπελάθοντο. οὐκ ἔχοντες γὰρ πῦρ ἀνῆλθον εἰς τὴν ἀκρόπολιν, ἔνθα οἱ βωμοί, καὶ ἄνευ πυρὸς θύοντες τὸ ἱερὸν ἐποιήσαντο ἐν τῇ ἀκροπόλει. § τῶν πραγμάτων τὴν ὀρθὴν ὁδὸν ἐκτὸς τῶν φρενῶν παρέλκει ἡ λήθη. [4]) Vet.

Καὶ παρέλκει πραγμάτων] καὶ μεταφέρει τοὺς ἀνθρώπους, ἤγουν ἔξω τοῦ ὀρθοῦ καὶ προσήκοντος τίθησιν. ἔστι δὲ αὕτη ἡ παραγωγὴ ἔξω φρενῶν. Rec.

86. Καίτοι γὰρ αἰθούσας] τῆς καυστικῆς, παρὰ τὸ αἴθειν. τὸ δὲ οὐ ἐπίρρημα προσαπτέον τῷ ἔχοντες, ἵν' ᾖ οὐκ ἔχοντες. φλογὸς δὲ σπέρμα, τὸ πῦρ· ὡς καὶ Ὅμηρος· [5]) Σπέρμα πυρὸς σώζων. § καὶ γὰρ αὐτοί, φησίν, ἀνέβησαν ἐπὶ τὴν ἀκρόπολιν, παραφυλάξαντες τὴν γένεσιν τῆς Ἀθηνᾶς. ἄλσος μὲν τὸ τέμενος εἴρηκεν· ἄπυρα δὲ μέχρι νῦν οἱ Ῥόδιοι θύουσιν ἀπ' ἐκείνης τῆς ἀρχῆς τῇ Ἀθηνᾷ. καὶ Ἀπολλώνιος ὁ ποιητής φησιν ἄπυρα τοὺς Ῥοδίους ἱερὰ θύειν διὰ τὴν πρὸς Ἥφαιστον ἕνεκα τῶν γάμων ἔχθραν, ὅτι ἐπεδίωξε τὴν Ἀθηνᾶν βουλόμενος συμμιγῆναι. οὐ μόνοι δὲ Ῥόδιοι ἀπύροις ἱεροῖς χρῶνται, ἀλλὰ καὶ Ἀθηναῖοι. ξανθὰν δὲ κατὰ τὴν ἔμφασιν ἔφη ὁ Πίνδαρος νεφέλην τὴν ἔγκυον οὖσαν χρυσοῦ, καθὸ καὶ τὴν ὕδωρ ἔχουσαν ζοφώδη. [6]) § αἰθούσας ἔχοντες] καὶ οὗτοι γὰρ, φησίν, ἀνῆλθον θῦσαι θέλοντες κατὰ τὴν γένεσιν τῆς θεᾶς κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς, οὐκ ἔχοντες ὑπέκκαυμα. ἔστι γὰρ τὸ ἑξῆς· οὐκ ἔχοντες δὲ πυρὸς σπέρμα. τὸν ἄνθρακα δὲ λέγει ἢ τὸν σπινθῆρα. αἰθούσας δὲ, τῆς αἰθομένης καὶ λαμπρᾶς καὶ καυστικῆς. [7]) Vet.

Ἔχοντες] φέροντες. Gl. β.

87. Σπέρμα φλογός] ἀνθρακιάν. Gl. γ.

1) Vrat. A. qui προσήκειν τὸ μ. 2) Ultima adieci ex Vrat. A. 3) Vrat. A. qui ἡ πρόνοια. 4) Vrat, A. 5) Odyss. ε, 490. 6) Ex Vrat. A. Delevi ὅτι ante μέχρι, duce alio scholio in eodem libro ad vs. 89. ubi eadem recurrebant. Mox pro verbis οὐ μόνοι codex ὅμοιον. 7) Ex eodem.

Digitized by Google

88. Τεῦξαν] ἐποίησαν. Gl. γ.

89. Ἄλσος] ἱερουργίαν. Gl. γ.

Κείνοισι μέν] ἐκείνοις μέν, ἤγουν χάριν ἐκείνων τῶν Ῥοδίων, ξανθὴν νεφέλην ἀγαγὼν ὁ Ζεὺς δηλονότι χρυσὸν ἔβρεξεν· αὐτὴ δὲ ἡ γλαυκῶπις, ἤγουν ἡ Ἀθηνᾶ ἡ ὀξὺ ὁρῶσα καὶ στιλπνὸν, παρεῖχεν αὐτοῖς κρατεῖν, τουτέστι τὸ κράτος ἔχειν τῶν ἐπιχθονίων κατὰ πᾶσαν τέχνην διὰ χειρῶν ἀριστοπόνων, ἤγουν ἄριστα ἔργα κατασκευαζουσῶν. ἔργα δὲ αἱ κέλευθοι, ἤγουν αἱ ὁδοὶ τῆς Ῥόδου δηλονότι ἔφερον, τουτέστιν ἐπικείμενα αὐταῖς εἶχον ὅμοια ζῶσι καὶ ἕρπουσιν, ἀντὶ τοῦ βαδίζουσιν· ἦν δὲ κλέος βαθὺ, ἀντὶ τοῦ πολὺ, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤγουν δασείας. δαέντι δὲ, ἤγουν τῷ διδαχθέντι ὑπ' αὐτῶν τῶν Ῥοδίων, καὶ ἡ φρόνησις ἡ ἄδολος, ἤγουν ἡ φυσικὴ, μείζων γίνεται, τουτέστιν εἰ καὶ φυσική ἐστιν αὐτῷ σοφία, ἥτις ἀεὶ κρατεῖ τῆς ἀπὸ μαθήσεως, ἐπίδοσιν καὶ αὐτὴ λαμβάνει διὰ τὴν ὑπερβολὴν τοῦ κάλλους καὶ τῆς ποικιλίας τῆς τέχνης. τέχναν πᾶσαν πρὸς τὸ ἀριστοπόνοις χερσὶ συναπτέον οὕτως· ὥπασέ σφισιν ἡ Ἀθηνᾶ, ἐπεὶ ἡ φρόνησις μηχανᾶται τὰς τέχνας, κρατεῖν τῶν ἐπιχθονίων, ἤτοι τῶν ἀνθρώπων, ἐν ἀριστοπόνοις χερσὶ κατὰ πᾶσαν τέχνην. λέγει δὲ τὸ χερσὶν, ἐπειδὴ αἱ χεῖρες τὰς τέχνας ἐργάζοιται. Rec.

91. Αὐτὰ δέ σφισιν] αὐτὴ δὲ ἡ Ἀθηνᾶ κατὰ πᾶσαν χειρουργικὴν τέχνην τὸ ἄριστον αὐτοῖς ἀπένειμεν. ὕστερον δὲ οἱ Ῥόδιοι πολλὰ τῶν πρὸς τὸν βίον ἀνηκόντων ἐργαλείων εὗρον. [1]) Vet.

92. Ὥπασε] ἐχάρισε. Gl. γ.

94. Κρατεῖν] νικᾶν. Gl. α. κυριεύειν. Gl. γ.

95. Ἔργα δὲ ζωοῖσιν] τὰ γὰρ ὑπ' αὐτῶν δημιουργούμενα καὶ ἐργαζόμενα τοιαῦτα καὶ ὀφθῆναι ἐπὶ τῆς γῆς, οἷα καὶ αὐτὰ τὰ ἔμψυχα κινούμενα. ἄριστοι γὰρ περὶ τὴν τῶν ἀνδριάντων κατασκευὴν οἱ Ῥόδιοι· αὐτοὶ γὰρ πρῶτοι οἱ Ῥόδιοι τὴν τῶν ἀνδριάντων ἐξεῦρον δημιουργίαν τὸ πρότερον οὐχ οὕτω τιμωμένων. [2]) Ἀρίσταρχος δὲ τὰ κατὰ Δαίδαλον αὐτόν φησι μεταφέρειν νῦν ἐπὶ τῶν κατὰ τὴν Ῥόδον τεχνιτῶν, ὅτι τοιαῦτα κατεσκεύαζον ἔργα. Πολέμων [3]) γάρ φησι παρὰ Χίοις μὲν τὸν Διόνυσον δεδίσθαι καὶ παρ' Ἐρυθραίοις δὲ τὸ ἔδος τῆς Ἀρτέμιδος, καὶ ὅλως πολὺν κατεσπάρθαι λόγον περὶ τῶν ἀγαλμάτων ὡς μὴ μενόντων ἀλλὰ πορευομένων ἄλλοσε πολλάκις. § Ἄλλως. Ἔργα δὲ ζωοῖσι] παρὰ τὸ Ὁμηρικόν· [4])

Χρύσειαι ζωῇσι νεήνισιν ἔργ' εἰκυῖαι.

κέλευθοι δὲ νῦν τὰ ἐν τῇ πόλει ἄμφοδα. Vet.

Ἔργα δὲ ζωοῖσιν] οἱ Ῥόδιοι οὕτως ἄριστοι ἀνδριαντοποιοὶ ἦσαν, ὡς ζῶσιν ἐοικότας ἀνδριάντας κατασκευάζειν, καὶ δεσμεῖν αὐτοὺς τοῖς ποσὶν ὥσπερ δεδοικότας μὴ τοῖν πυδοῖν χρησάμενοι φύγοιεν· ἐδόκουν γὰρ ὥσπερ κινεῖσθαι, τοιοῦτοι οὓς καὶ Δαίδαλος ἐποίει. μὴ εἴπῃς δὲ τὸ τε ἀργὸν, ἀλλ' οὕτω· φέρουσι δὲ αἱ κέλευθοι ἔργα ὅμοια ζῶσι καὶ ἕρπουσιν. Rec.

Ἑρπόντεσσι] περιπατοῦσιν. Gl. γ.

[1]) Haec inde ab ὕστερον Vrat. A. [2]) Heynius volebat ἠσκημένων. [3]) In periegesi aut libro περὶ τῶν ἀναθημάτων. [4]) Iliad. σ, 418.

Digitized by Google

97. Ἦν δὲ κλέος βαθύ] ἐκ δὲ τούτου βαθὺ κλέος καὶ πολλὴ δόξα προσῆν αὐτοῖς. Vet.

98. Δαέντι δὲ σοφία] ἀντὶ τοῦ δαέντος ἡ σοφία καὶ μείζων καὶ ἄδολος [1]) τελέθει. ἀδύνατον γὰρ ἔν τισι ποιήσασθαι ἐπίδειξιν μὴ μαθόντα. § βέλτιον δὲ οὕτως· οἱ παρατυχόντες καὶ μαθόντες σοφίαν ἀπ' αὐτῶν καὶ ἔντεχνον αὐτὴν λέγουσι καὶ ἄδολον, ὅ ἐστιν ἁπλῆν. § ἢ οὕτω· τῷ μαθόντι καὶ ἡ ἄδολος σοφία μείζων γίνεται. τὸ δὲ σαφὲς οὕτως ἔχει· τῷ δὲ μετ' εὐφυΐας μεμαθηκότι ἡ σοφία καὶ ἐπὶ τὸ μεῖζον ἀδόλως καὶ ἀνεμποδίστως ἐπαίρεται· ὡς τῶν Ῥοδίων εὐφυῶν μὲν ὄντων κατὰ φύσιν, προσδεξαμένων δὲ καὶ τὴν τέχνην, καὶ οὕτως ἐξ ἀμφοτέρων τῆς μαθήσεως αὐτῶν ἐπὶ τὸ ἄκρον ἐλθούσης. Vet.

Δαέντι δὲ καὶ σοφία] τὸ καὶ ἢ Ἀττικὸν, ὥσπερ φαμὲν τὸ, τί καὶ ποιήσω; ἢ οὕτω· καὶ τῷ δαέντι, ἤγουν καὶ τῷ μαθόντι εὐφυεῖ τελέθει καὶ ὑπάρχει καὶ ἡ σοφία μείζων τῆς ἐξ εὐφυΐας μόνης, ἄκρατος καὶ ἄδολος. [2]) λέγει δὲ διὰ τοὺς Ῥοδίους ὡς ὄντας καὶ δραστηρίους τῷ νῷ καὶ παρὰ τῆς Ἀθηνᾶς διδαχθέντας. Rec.

99. Μείζων] μεγαλώτερος. Gl. β.

Τελέθει] ὑπάρχει. Gl. γ.

100. Φαντὶ δ' ἀνθρώπων παλαιαὶ ῥήσιες] διὰ τὸ μηδέπω εἶναι τοὺς ἱστορικοὺς συγγραφέας, ἀπὸ τῶν κατὰ τὴν πόλιν λογάδων πυνθάνονται τὰ ἐπιχώρια οἱ ποιηταί. πρὸ Πινδάρου δὲ τοῦτο οὐχ ἱστόρητο. [3]) § οὔπω γὰρ τῶν ἱστοριογράφων ὄντων οἱ κατὰ καιροὺς ποιηταὶ παρὰ τῶν ἐν ταῖς πόλεσι λογίων καὶ γεγηρακότων, οἷς ὁ χρόνος τὸ ἀκριβὲς τῆς γνώσεως ἐμαρτύρει, τὰς ἱστορίας κατακούοντες ἐμάνθανον. λέγει δὲ τοιοῦτόν τι· καθ' ὃν χρόνον οἱ θεοὶ τὸν ὅλον κόσμον πρὸς ἑαυτοὺς διεμερίζοντο, ἀπόντος τοῦ Ἡλίου καὶ τὸν ἑαυτοῦ διανύοντος δρόμον οὐδὲ εἷς τῶν θεῶν ὑπέμνησεν, ὥστε καὶ αὐτῷ τοῦ κόσμου μερίδα φυλαχθῆναι. οὐδέπω δὲ ἡ Ῥόδος ἦν ἐκ θαλάσσης ἀναδοθεῖσα· διὸ καὶ ἀκλήρωτος μείνας ὁ θεὸς ταύτην εἵλετο τὴν μερίδα, ἱερὰν αὐτῷ τὴν νῆσον ἐπιτρεψάμενος. § ἁλμυροῖσιν] ἀλλά φησιν ἐνταῦθα αὐτὴν κεκρύφθαι. Ἔνδειξεν] ὑπέδειξεν, ἐνεφάνισε. λάχος δὲ τὴν μερίδα. [4]) ἁγνὸν δὲ θεὸν τὸν Ἥλιον, οὐχ ὅτι καθ' ἑαυτὸν ἁγνός ἐστιν, ἀλλ' ὁ ἁγνίζειν τῇ ἀκτῖνι δυνάμενος. Vet.

Φαντὶ δ' ἀνθρώπων] φασὶν ὡς ἡνίκα Ζεὺς μετὰ τῶν θεῶν μερισμὸν ἐποιεῖτο τοῦ κόσμου, οἱ μὲν ἄλλοι τούτων κλήρους ἔλαβον, Ἥλιος δὲ μὴ παρατυχὼν ἐν τῷ μεριομῷ ἀκλήρωτος ἔμεινε. βουλομένου οὖν τοῦ Διὸς πάλιν ἐκ δευτέρου ποιῆσαι, οὐκ εἴασεν εἰπὼν τὴν ἐκ θαλάσσης ἀναδοθεῖσαν νῆσον αὐτῷ δεδόσθαι. ἦν δὲ ἡ Ῥόδος. § φασὶ δὲ λόγοι ἀνθρώπων ἐκ παλαιοῦ χρόνου ᾀδόμενοι, οὔπω φανερὰν εἶναι τὴν Ῥόδον ἐν τῷ πελάγει τῷ θαλασσίῳ, ὅτε ὁ Ζεύς τε καὶ οἱ θεοὶ οἱ ἄλλοι διεμερίζοντο ἑαυτοῖς τὴν γῆν· κεκρυμμένην δὲ εἶναι τὴν νῆσον, τουτέστιν αὐτὴν τὴν Ῥόδον, ἐν τοῖς βένθεσι τοῖς ἁλμυροῖς, ἀντὶ τοῦ ἐν τοῖς βαθέσι μυχοῖς τῆς ἁλμυρᾶς θαλάσσης· ἀπόντος δὲ τοῦ Ἡλίου

1) Vrat. A. σοφ. μείζων καὶ φανερά. 2) Heynius et Valck. ad Ammon. p. 90. coniiciunt ἀκράτου καὶ ἀδόλου, atque hic etiam Pindaro obtrudit suum ἀδόλου. Ego non magnopere laboro in Byzantinorum nugis examinandis; sed arbitror commate post μόνης posito ferri vulgatam posse. 3) Vrat. A. Malim λογίων quam λογάδων. 4) Haec inde ab ἁλμυροῖσιν ex Vrat. D.

Digitized by Google

ἐν τῷ ὑπὸ γῆν δηλονότι ἡμισφαιρίῳ οὐδεὶς ἔνδειξεν, ἀντὶ τοῦ ὑπέδειξεν, τουτέστιν ὑπέμνησε, τὸν Δία δηλονότι, λάχος, [1]) ἤγουν κλῆρον αὐτοῦ, ἤτοι τοῦ Ἡλίου. καὶ δὴ κατέλιπον αὐτὸν τὸν ἁγνὸν θεόν· ἁγνὸν δὲ λίγουσιν αὐτὸν διὰ τὸ ἁγνίζειν δύνασθαι ταῖς ἑαυτοῦ ἀκτῖσι· χώρας ἀκλήρωτον, ἤγουν ἄμοιρον. Rec.

Παλαιαὶ ῥήσιες] δέον παλαιῶν εἰπεῖν πρὸς τὸ ἀνθρώπων, παλαιαὶ εἶπε πρὸς τὸ ῥήσιες. Rec.

Παλαιαί] ἀρχαῖαι. Gl. γ.

106. Ἀπέοντος] ἀπόντος δὲ τοῦ Ἡλίου οὐδεὶς τῶν παρόντων θεῶν ἐνέδειξεν οὐδὲ ἐνεφάνισεν ὥστε ἀποκληρῶσαί τινα χῶρον αὐτῷ. [2]) Vet.

Ἔνδειξεν] ἀνέμνησεν. Gl. γ.

108. Χώρας] ἐπαρχίας. Gl. γ.

Ἀκλάρωτον] ἀκληρονόμητον. Gl. γ.

110. Μνασθέντι δέ] μνησθέντι δὲ αὐτῷ περὶ τοῦ συμβεβηκότος ὁ Ζεὺς ἔμελλεν ἀνακληροῦν ἐξ ἀρχῆς καὶ ποιεῖν τὰ κεκληρωμένα τοῖς θεοῖς. δύναται δὲ τὸ μνασθέντι ἀντὶ τοῦ μνασθέντος. § ἢ μνησθέντι τῷ Ἡλίῳ. [3]) Vet.

Μνασθέντι δέ] ἀντὶ τοῦ ἀναμνησθέντος, ἤγουν εἰς ἀνάμνησιν ἐλθόντος, τοῦ Ἡλίου δηλονότι, ὁ Ζεὺς ἄμπαλον, ἤγουν ἀναμερισμὸν ἔμελλε θεῖναι, ἀντὶ τοῦ τιθέναι, ἤγουν ποιεῖν, ἀλλ' οὐκ εἴασεν αὐτὸν, τὸν Δία δηλονότι, ὁ Ἥλιος· ἐπεὶ εἶπεν ὁρᾶν αὐτὸς ἔνδον τῆς θαλάσσης τῆς λευκῆς τινα γῆν πολύβοσκον ἀνθρώποις, ἀντὶ τοῦ ἀνθρώπων, τουτέστι πολυειδῶς τρέφειν ἀνθρώπους δυναμένην, καὶ ἡδεῖαν μήλοις, ἀντὶ τοῦ πᾶσι τοῖς ἀλόγοις ζώοις αὐξομένην, ἀναδιδομένην, πεδόθεν, τουτέστιν ἀπὸ τοῦ πυθμένος. ἡ τοιαύτη δοτικὴ τὸ μνησθέντι πρὸς τὸ θέμεν ἔχει τὴν δύναμιν. Rec.

Ἄμπαλον μέλλεν θέμεν] ἀνακλήρωσιν, ἀπὸ τοῦ Ὁμήρου· [4]) Κλήρῳ νῦν πεπάλαχθε. ὁ δὲ νοῦς· ὑπομνησαμένῳ δὲ τῷ Ἡλίῳ ἀνακλήρωσιν ἔμελλε ποιῆσαι ὁ Ζεὺς, ἀλλ' οὐκ εἴασεν αὐτὸν τοῦτο ποιῆσαι ὁ Ἥλιος, ἐπειδὴ εἶπεν ἔνδον τῆς θαλάσσης καὶ ἐν τῷ βυθῷ ὁρᾶν παραυξομένην καὶ ἐγειρομένην ἐκ τοῦ πέδου ἐσομένην. ταύτην γὰρ πρός τε ἀνθρώπων [5]) χρησιμωτάτην καὶ πρὸς πάντα τὰ ζῶα εὔβοτον καὶ εὔφρονα, ἀπὸ μέρους τῶν προβάτων. Vet.

Μέλλεν] ἐμελέτα. Gl. β. γ.

111. Ἀλλά νιν οὐκ εἴασεν] ἀλλὰ τοῦτο μὲν ὁ Ἥλιος οὐκ ἠβουλήθη, ἀνακλήρωσιν γενέσθαι καὶ τὸν ἀναδασμόν· ἑώρα γὰρ τὴν Ῥόδον ἀναβλαστῆσαι θάλλουσαν ἐν τῇ θαλάσσῃ καὶ πάσας ὑπερβαίνειν. διὸ τὴν Λάχεσιν τὴν μίαν τῶν Μοιρῶν τὴν πρὸς τὸν δασμὸν ἁρμόδιον ἐκέλευσεν αὐτῷ ἐπικρῖναι τὴν Ῥόδον. τοὺς δὲ θεοὺς ὀμόσαι πεποίηκε μηδένα παρερεῖν μηδὲ ἀναπεῖσαι τὸν Δία γενομένης τῆς χώρας ἄλλῳ τινὶ δοθῆναι αὐτήν. [6]) Vet.

1) Delevi διὰ ante λάχος. 2) Vrat. A. 3) Haec scholia ad vs. 110. sunt ex Vrat. A. 4) Iliad. η, 171. 5) Heynius addere vult βίον, Faehsius Syllog. p. 403. χρῆσιν, illud non male. 6) Ex Vrat. A. Codex τὴν πρὸς τὴν τὸν δασμὸν, et deinde ὀνομάσαι ac παραιρεῖν.

Digitized by Google

115. Πολύβοσκον] τὴν μεγάλην [1]) καὶ πολλοὺς θρέψαι δυναμένην. ἐν ἴσῳ δὲ τῷ Ὁμηρικῷ [2]) Πουλυβότειραν. Vet.

116. Εὔφρονα μάλοις] εὐφραντικήν. Gl. α. γλυκεῖαν τοῖς προβάτοις. Gl. β. Μήλοις] καταχρηστικῶς πᾶσι τοῖς ἀλόγοις ζώοις, τουτέστιν ἀπὸ μέρους τὸ πᾶν. Vet.

117. Ἐκέλευσεν δ' αὐτίκα] Ἀρίσταρχος· [3]) ἐκέλευσε δὲ ὁ Ἥλιος παραχρῆμα τὴν μὲν Μοῖραν Λάχεσιν ἐπιχειροτονῆσαι τῷ λόγῳ, τοὺς δὲ θεοὺς ὀμόσαι μηδένα παρερεῖν μηδὲ παραπεῖσαι τὸν Δία περὶ τῆς μελλούσης φαίνεσθαι χώρας ὑπ' αὐτοῦ. § Ἄλλως. πιθανῶς δὲ τὴν Λάχεσιν παρέβαλε, ἐπεὶ περὶ κλήρου ὁ λόγος. Vet.

† Σύνταξις. Ἐκέλευσε δὲ ὁ Ἥλιος, ἀντὶ τοῦ εἶπεν, ἐζήτησεν αὐτίκα τὴν Μοῖραν μὲν τὴν Λάχεσιν, ἤγουν τὴν τοὺς κλήρους διανέμουσαν, τὴν χρυσῆν περικεφαλαίαν φοροῦσαν, τὰς χεῖρας ἀνατεῖναι, ἀντὶ τοῦ τὴν ἑαυτῆς ψῆφον δοῦναι, ὅρκον δὲ τῶν θεῶν μέγαν γενέσθαι, μὴ παρφάμεν, ἤγουν μὴ ἄλλο τι βουλεύσασθαι αὐτοὺς, ἀλλὰ σὺν τῷ παιδὶ τοῦ Κρόνου τῷ Διὶ κατανεῦσαι, πεμφθεῖσαν αὐτὴν τὴν νῆσον, ἤγουν ἀναδοθεῖσαν εἰς τὸν αἰθέρα φαεινόν, [4]) ἀντὶ τοῦ τὸν ἀέρα τὸν λαμπρὸν, γέρας ἔσεσθαι ἐξοπίσω, τουτέστιν εἰς τὸ ἐπιὸν, τῇ ἑαυτοῦ κεφαλῇ, ἀντὶ τοῦ αὐτῷ τῷ Ἡλίῳ δηλονότι. ἐτελεύτησαν δὲ, ἤγουν ἐτελειώθησαν αἱ κορυφαὶ, τουτέστι τὰ τέλη, αἱ ἀποκαταστάσεις τῶν λόγων, ἐν ἀληθείᾳ πεσοῦσαι, ἀντὶ τοῦ ἀποβᾶσαι· λέγω ἐβλάστησε μὲν, ἀντὶ τοῦ ἀνεδόθη ἐκ τῆς θαλάσσης τῆς ὑγρᾶς ἡ νῆσος, ἔχει τε αὐτὴν ὁ πατὴρ ὁ γεννήτωρ τῶν ἀκτίνων τῶν ὀξειῶν, τουτέστι τῶν καυστικῶν ἤ τῶν ταχειῶν, ἤτοι ὁ Ἥλιος ὁ ἀρχὸς, ἀντὶ τοῦ ὁ ἡνίοχος τῶν ἵππων τῶν πνεόντων τὸ πῦρ. § εἰκότως εἶπε τὸ Λάχεσις, ἐπειδὴ περὶ κλήρου ἦν ὁ λόγος. τὸ δὲ χεῖρας ἀνατεῖναι εἶπεν ἀντὶ τοῦ χειροτονῆσαι, ἐκ μεταφορᾶς τῶν δικαστηρίων. ἐκεῖ γὰρ ἡνίκα τις νόμον ἢ ψήφισμα περὶ τοῦ κοινοῦ ἐποιεῖτο, εἰ καλὸν καὶ συμφέρον ἔδοξε τοῖς πρυτάνεσιν εἶναι, τὰς χεῖρας ἀνέτεινον βεβαιοῦντες αὐτό. § ἐκ τοῦ εἰπεῖν θεῶν ὅρκον μὴ παρφάμεν δείκνυσιν, ὡς οὐ μόνον τὰς χεῖρας ἀνέτεινεν ἡ Λάχεσις, ἀλλὰ καὶ ὤμοσε τὸ τῆς Στυγὸς ὕδωρ. ὅρκος γὰρ ἦν τῶν θεῶν τὸ τῆς Στυγὸς ὕδωρ. Rec.

118. Λάχεσιν] τὴν κληρώτριαν. Gl. Ms. Bodl.

Χρυσάμπυκα] ἄμπυξ μὲν κυρίως κόσμος ἐπιτιθέμενος ταῖς τῶν γυναικῶν κεφαλαῖς, οὗ καὶ Ὅμηρος μνημονεύει· [5])

Ἄμπυκα κεκρύφαλόν τ' ἠδὲ πλεκτὴν ἀναδέσμην·

νῦν δὲ καταχρηστικῶς τὴν τιμίαν ἀκουστέον. Λάχεσις δὲ μία τῶν Μοιρῶν καλεῖται. τριῶν δὲ οὐσῶν τῶν πασῶν Ἡσίοδος [6]) μνημονεύει· Κλωθώ τε Λάχεσίς τε καὶ Ἄτροπος. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν πεποιημένα, καὶ ἡ μὲν Κλωθὼ παρὰ τὸ συγκλώθειν τὰ ἀνθρώπινα, ἡ δὲ Λάχεσις παρὰ τὴν κλήρωσιν τὴν ποιὰν, ἣν ἕκαστος γεγονὼς κεκλήρωται, ἡ δὲ τρίτη Ἄτροπος παρὰ τὸ ἀμετάτρεπτον τῆς μοιριδίου ἀνάγκης. Vet.

119. Χεῖρας ἀντεῖναι] ἀντὶ τοῦ χειροτονηθῆναι ποιῆσαι, κατὰ μετωνυμίαν. Vet. Ἀντεῖναι] ὑψῶσαι. Gl. γ.

1) Sic Vrat. A. 2) Iliad. γ, 265. 3) Hoc nomen addidi ex Vrat. A. 4) Addidi φαεινόν. 5) Iliad. χ, 469. Vera lectio est τ' ἠδέ. Apud Homerum vulgo τε ἰδέ: τ' ἰδὲ hoc loco Vrat. D. 6) Theog. 218.

Digitized by Google

Θεῶν δ' ὅρκον] θεῶν ὅρκον τὴν Στύγα· ταύτην γὰρ καὶ Ὅμηρος καὶ Ἡσίοδος εἶπε καὶ οἶδε, δι' ὧν φασι·

Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
Ὅρκος. [1])

φησὶν οὖν, μὴ ἀπατῆσαι, μὴ παραλογίσασθαι, τουτέστιν ἐπικυρῶσαι τὸν τῶν θεῶν ὅρκον. τοῦτο δὲ ὡς ὀμωμοκότων αὐτῶν φυλάξειν τὴν ἐν τῇ θαλάσσῃ κρυπτομένην νῆσον. Vet.

120. Παρφάμεν] παρειπεῖν. Gl. β.

122. Φαεννὸν ἐς αἰθέρα] ἀντὶ τοῦ εἰς τὸν λαμπρὸν αἰθέρα ἀναφανεῖσαν τὴν Ῥόδον αὐτῷ δοθῆναι τῷ Ἡλίῳ. § Ἄλλως. φαεννὸν, κατὰ συγκοπὴν φαενὸν, λαμπρὸν αἰθέρα. νῦν δὲ καταχρηστικῶς τὸν ἀέρα. Vet.

123. Ἑᾷ κεφαλᾷ] τῇ ἑαυτοῦ, τοῦ Ἡλίου, κεφαλῇ εἰς τὸ μετὰ ταῦτα μερίδα γενέσθαι. [2]) Vet.

124. Τελεύτασαν δέ] ἐτελειώθησαν, ἀντὶ τοῦ ἀληθῆ ἐποίησαν τὰ δόξαντα. [3]) ὁ δὲ νοῦς· ἐτελειώθη δὲ τούτων τῶν λόγων τὰ κεφάλαια ἐν τῇ ἀληθείᾳ πεσόντα. Vet.

125. Κορυφαί] ἀποφάσεις. Gl. γ.

Μὴ εἴπῃς τὸ κορυφαὶ μετὰ ἄρθρου, ἀλλ' οὕτω· τελεύτασαν δὲ κορυφαὶ πετοῖσαι καὶ πεσοῦσαι ἐν ἀληθείᾳ, τουτέστιν οἱ τοῦ Διὸς πρὸς Ἥλιον λόγοι οὐ παρέβησαν, ἀλλ' ἐπληρώθησαν. ἔστι δὲ τὸ ἐτελεύτησαν κορυφαὶ λόγων καὶ τὸ ἐν ἀληθείᾳ πετοῖσαι ταυτόν· οἱ γὰρ πληρούμενοι λόγοι ἀληθεύουσιν, οἱ δὲ μὴ πληρούμενοι οὐκ ἀληθεύουσιν. Rec.

126. Πετοῖσαι] τελειωθεῖσαι. Gl. γ.

127. Βλάστε μὲν ἐξ ἁλός] ὁ νοῦς· ἀνεβλάστησε μὲν καὶ ἀνεδόθη ἐκ τῆς θαλάσσης ἡ νῆσος, ἔχει δὲ αὐτὴν εἰς ἰδίαν μοῖραν ὁ Ἥλιος ὁ τῆς τῶν ὀξειῶν ἀκτίνων γενέσεως πατὴρ καὶ τῶν πῦρ πνεόντων ἡγεμὼν ἵππων. ἐκ δὲ τοῦ ὀξειῶν, τῶν πυρωτικῶν ἀκουστέον· τὴν γὰρ ὀξύτητα καὶ ἐπὶ πυρώσεως λέγομεν. Vet.

129. Ὁ γενέθλιος ἀκτίνων] ὁ Ἥλιος ὁ ἔφορος τῶν γενέσεων πάντων. [4]) Vet.

131. Ἔνθα Ῥόδῳ] ὁ νοῦς· ἐν ᾗ νήσῳ τῇ νύμφῃ Ῥόδῳ μιχθεὶς ποτε ὁ Ἥλιος ἐγέννησεν ἑπτὰ παῖδας, ἐπὶ τῶν παλαιῶν ἀνθρώπων τοὺς σοφώτατα νοήματα παραδεξαμένους, ἀντὶ τοῦ σοφωτάτους. εἰσὶ δὲ οἱ Ἡλίου ἑπτὰ παῖδες οὗτοι· Κέρκαφος, Ἀκτὶς, Μακαρεὺς, Τενάγης, Τριόπης, Φαέθων ὁ νεώτερος, [5]) Ὄχιμος. § Ἄλλως. Τενάγης ἤτοι Φαέθων, Ἀκτὶς, Μάκαρ, Χρύσιππος, Κάνδαλος, Τριόπης. [6]) Vet.

Ἔνθα, ἤγουν ἐν τῇ Ῥόδῳ τῇ νήσῳ, μιγεὶς ποτε αὐτὸς ὁ Ἥλιος τῇ Ῥόδῳ τῇ ἡρωΐδι ἐγέννησεν ἑπτὰ παῖδας τοὺς παραδεξαμένους ἐπὶ τοῦ χρόνου τῶν προτέρων ἀνθρώπων σοφώτατα νοήματα, ἤγουν ἐπιτηδεύματα, μαθήματα, ἀφ' ὧν εἷς μὲν ὁ πρῶτος Κέρκαφος τὸν Κάμειρον ἐγέννησε καὶ πρεσβύτατον τὸν Ἰάλυσον, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ καὶ τὸν Ἰάλυσον πρώτιστα ἐγέννησε, καὶ τὸν Λίνδον. ἀπάτερθε δὲ, ἤγουν χωρὶς, ἰδίᾳ, εἶχον μερίδα ἀστέων, ἤτοι πόλεων ἕκαστος εἰς τρεῖς μερίδας διαμερισάμενοι τὴν

1) Iliad. o, 37. 2) Vrat. A. 3) Inde ab ἀντὶ ex Vrat. A. 4) Vrat. A. Scribe τῆς γενέσεως. 5) Sic Vrat. D. recte. Vulgo ὁ νεώτατος, quod redit ad vs. 135. eratque etiam hoc loco in altero scholio post Τενάγης ἤτοι Φ. deletum ex Gott. Vrat. D. 6) Deest Κέρκαφος aut alius septimus.

Digitized by Google

πατρῴαν γῆν· καλοῦνται δὲ αἱ ἕδραι, ἤγουν αἱ καθέδραι, τὰ φρούρια, ἔνθα ἕκαστος ἐνεθρόνιστο, αὐτοῖς, ἀντὶ τοῦ ἀπὸ τῶν ὀνομάτων αὐτῶν. Rec.

132. Τὸ ἑπτὰ πρὸς τὸ παῖδας συναπτέον οὕτω· τέκεν ζ' παῖδας παραδεξαμένους ἢ ἀπὸ τοῦ Ἡλίου ἢ ἀπ' ἄλλων διδασκάλων σοφώτατα νοήματα, ἤγουν σοφωτάτους γενομένους ἐπὶ τῶν προτέρων ἀνδρῶν, ἤτοι ἐπὶ τῶν ὑπαρχόντων ἐν ἐκείνοις τοῖς χρόνοις ἀνθρώπων. τῶν δὲ παίδων ὀνόματά εἰσι ταῦτα· Κέρκαφος, Ὄχιμος, Ἀκτίς, Μακαρεύς, Τενάγης, Τριόπης, Φαέθων. Rec.

Τέκεν ἑπτά, σοφώτατα] τουτέστι σοφωτάτους γενομένους. ὁ γὰρ λέγων, ὅτι Δημοσθένης ῥήτωρ ἐγένετο τὰ νοήματα σοφώτατα [1]) τῶν προτέρων ἀνδρῶν παραδεξάμενος, μηνύει ὅτι ῥήτωρ ἄριστος ἐγένετο. Vet.

135. Ὧν εἷς μέν] ὧν, τούτων τῶν ἑπτὰ παίδων τῶν προειρημένων, εἷς ὁ Κέρκαφος ἐκ Κυδίππης τῆς Ὀχίμου ἢ τῆς Ἀλφειοῦ [2]) θυγατρὸς ὑπὸ Πινδάρου ἱστορεῖται πεποιηκέναι τρεῖς παῖδας, ὧν τὰ ὀνόματα ἐξέθετο, Κάμειρον, Λίνδον, Ἰήλυσον τῶν δύο πρεσβύτερον, ὡς εἶναι τούτους υἱωνοὺς καὶ οὐ παῖδας Ἡλίου. § Ἄλλως. Ἡλίου καὶ Ῥόδου, οὕτω γὰρ αὐτὴν Ἑλλάνικος καλεῖ, [3]) ἑπτὰ παῖδες γίνονται, Ὄχιμος, Κέρκαφος, Ἀκτίς, Μακαρεύς, Κάνδαλος, [4]) Τριόπης, Φαέθων ὁ νεώτατος, ὃν οἱ ἐν τῇ νήσῳ ὀνομάζουσι Τενάγην· [5]) περὶ δὲ τῶν ὀνομάτων αὐτῶν διαφωνοῦσιν· οὐ πάντες γάρ φασι τοὺς αὐτούς. [6]) τοῦ δὲ Κερκάφου Λίνδος, Ἰήλυσος, Κάμειρος οἱ ὑπὸ Πινδάρου ὀνομαζόμενοι, ὥστε μὴ εἶναι αὐτοὺς υἱοὺς Ἡλίου ἀλλ' υἱωνούς· διὸ καί τινες γράφουσιν, ὧν εἷς μὲν Κάμειρον πρεσβύτατος, [7]) ὥστε τὸν λόγον εἶναι τοιοῦτον· ἀφ' ὧν τῶν Ἡλίου ἑπτὰ παίδων εἷς Κέρκαφος ἐγέννησε τοὺς προκειμένους, ὥστε τὴν ἀπὸ πρόθεσιν ἔξωθεν λαμβάνειν ἡμᾶς. Vet.

138. Δασσάμενοι πατρῴαν] χωρὶς καὶ ἰδίᾳ ἕκαστος διαδασσάμενοι καὶ διαμερισάμενοι. ὁ δὲ νοῦς· τούτων δὲ ἕκαστος κεχωρισμένως καὶ κατ' ἰδίαν ἔχει πόλιν ὁμώνυμον. τὴν γὰρ πατρῴαν γῆν, αὐτὴν τὴν νῆσον, [8]) εἰς τρεῖς νειμάμενοι διεμερίσαντο καὶ οὕτως ἐπωνόμασαν τὰς ἕδρας καὶ τὰς πόλεις· ὁμώνυμοι γὰρ εἰσίν. Vet.

140. Κέκληνται δέ σφιν ἕδραι] ἐπωνομάσθησαν δὲ ἀπ' αὐτῶν αἱ ἕδραι, τουτέστιν αἱ πόλεις· ἕδρας γὰρ νῦν ταύτας ὀνομάζει τοῖς Ἡλίου υἱωνοῖς. Vet.

Μὴ εἴπῃς τὸ σφὶν ἀντὶ τοῦ σφῶν, ὥς τινές φασιν ἀπατώμενοι ἀπὸ τοῦ ἕδραι, ἀλλ' ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ κέκληνται οὕτως· αἱ ἕδραι κεκλήρωνται καὶ ἐκληρώθησάν σφιν καὶ αὐτοῖς, τῷ Λίνδῳ, τῷ Ἰαλύσῳ καὶ τῷ Καμείρῳ, τουτέστι πρὸς τὰ τούτων ὀνόματα, καὶ αὗται τὴν προσηγορίαν ἐσχήκασιν. Rec.

141. Τόθι λύτρον συμφορᾶς] αὐτόθι οὖν, ἔνθα καὶ τῷ Τληπολέμῳ τῷ τῶν

1) Addidi σοφ. 2) Vulgo abest ἢ τῆς Ἀλφειοῦ. Vrat. A. τῆς Ὀχίμου τῆς Ἀλφεοῦ. Scripsi ἢ τῆς Ἀλφειοῦ: nam ut Ochimus, ita et Alpheus frater Cercaphi dicitur. V. Plutarcheum de Fluviis libellum c. 19. 3) Haec inde ab οὕτω inserui ex Vrat. A. in quo tamen est αὐτόν. Mox γίνονται Vrat. A. vulgo γινώσκονται. 4) Sic Vrat. A. Vulgo Τενάγης. 5) Vrat. A. Φαέθων, ὃν ὁ νεώτατος οἰκεῖ κατὰ τὴν νῆσον ἣν Τενάγην καλοῦσι: hoc est, ὁ νεώτατος, ὃν οἱ κ. τ. νῆσον Τ. κ. 6) Haec inde a περὶ ex Vrat. A. addito οὐ, deinde vero τοίς. 7) Vrat. D. πρεσβύτατον. 8) Sic correxi. Libri scripti cum Heynio τ. γ. πατρῴαν αὐτὴν τὴν νῆσον; Rom. τ. γ. πατρῴαν αὐτὴν νῆσον. Post τρεῖς excidisse videtur μοίρας.

Digitized by Google

Ἀργείων ἡγεμόνι τῆς οἰκτρᾶς συμφορᾶς λυτήριον γλυκὺ ἵσταται. ἵσταται δὲ αὐτῷ τὸ λυτήριον ὥσπερ τοῖς θεοῖς· θυσίαι γὰρ αὐτῷ διάφοροι γίνονται καὶ ἀγῶνες τελοῦνται. λυτήριον δὲ τῆς συμφορᾶς τὴν μετοίκησίν φησι καὶ τὴν αὐτόθι τοῦ βίου διατριβήν. § τῆς κατὰ τὴν φυγὴν συμφορᾶς γλυκὺ λύτρον ἵσταται, τουτέστι γλυκερὰ λύσις ἵσταται. [1]) § Ἄλλως. λυτήριον τῆς φυγῆς τῆς διὰ Λικύμνιον. [2]) Vet.

Τόθι, ἤγουν ὅπου, ἐν τῇ Ῥόδῳ δηλονότι, ἵσταται τῷ Τληπολέμῳ τῷ ποτε ἀρχηγέτῃ τῶν Τιρυνθίων, ἀντὶ τοῦ ἐγένετο, λύτρον, ἀντὶ τοῦ παῦλα, ἐλευθερία ἡδεῖα τῆς συμφορᾶς τῆς οἰκτρᾶς, ἤγουν τῆς πλάνης ἧς ἐπλανήθη· ἐβασίλευσε γὰρ ἐκεῖ· ὅπου ἵσταται αὐτῷ, ἤγουν γίνεται ὥσπερ θεῷ, καὶ πομπὴ, ἤτοι ἑορτὴ, τιμὴ κνίσσης μετέχουσα, ἤγουν ἣν τὰ πρόβατα σφαγιαζόμενα καὶ καιόμενα ποιεῖ· [3]) τουτέστιν ὅπου γίγνεται αὐτῷ ὥσπερ θεῷ καὶ τιμὴ διὰ θυσιῶν, ὅπου γίνεται αὐτῷ ἀπὸ κοινοῦ, καὶ κρίσις ἐπ' ἀγῶσιν. ἐτελεῖτο γὰρ αὐτῷ ἀγὼν τὰ Τληπολέμεια, ὁ δὲ νικήσας αὐτὰ λεύκην ἐλάμβανε στέφανον. § Ἱστορία. ὅτε οἱ Ἕλληνες εἰς Τροίαν ἐστράτευσαν, ἦν καὶ Τληπόλεμος οὗτος μετὰ Ῥοδίων. ἀποθανόντος οὖν ἐκεῖ ἤγαγον τὰ ὀστᾶ αὐτοῦ εἰς Ῥόδον ὡς οἰκιστοῦ ταύτης, καὶ ναὸν αὐτῷ ποιήσαντες πανήγυριν κατ' ἐνιαυτὸν ἄγουσι τὰ λεγόμενα Τληπολέμεια. ἔστι δὲ τὸ τῶν ἀγώνων ἆθλον λεύκινος στέφανος, ὃν δὶς ἔσχε Διαγόρας νικήσας. Rec.

145. Κνισσάεσσα πομπά] πομπὴ ἡ θυσία. ἐπεί φασιν [4]) ὅτι ἀγὼν ἐκεῖ ἄγεται Τληπολέμεια· οἱ δὲ Ἡράκλεια· [5]) ὅθεν αὐτῷ θυσίαι ἀξιοπρεπεῖς τελοῦνται αὐτόθι. Vet.

146. Κρίσις ἀμφ' ἀέθλοις] κρίσιν εἶπε τὸν ἀγῶνα τῶν Ἡλιείων, ὃν διατιθέασιν οἱ Ῥόδιοι. ἐψεύσατο δὲ ὁ Πίνδαρος· οὐ γὰρ Τληπολέμῳ ὁ ἀγὼν ἐπιτελεῖται, τῷ δὲ Ἡλίῳ τιθέασι τὸν ἀγῶνα, ὡς Ἴστρος φησὶν ἐν τῇ περὶ τῶν Ἡλίου ἀγώνων· Ῥόδιοι τιθέασιν Ἡλίου ἐν Ῥόδῳ γυμνικὸν στεφανίτην ἀγῶνα. [6]) Vet.

147. Τῶν ἄνθεσι Διαγόρας] τῶν παρὰ Ῥοδίοις ἄθλων. ἄνθεσι δὲ τοῖς στεφάνοις. τελεῖται γὰρ ἐκεῖ ἀγὼν Τληπολέμειος ἐπικαλούμενος. § ἐγκωμιαστικῶς δὲ ὁ Πίνδαρος τὸν ἀγῶνα Ἡλίῳ τελούμενον εἰς τὸν Τληπόλεμον μετήγαγε. τελεῖται δὲ μηνὸς Γορπιαίου εἰκοστῇ τετάρτῃ ἡμέρᾳ, ἀπέχει δὲ τῶν Νεμέων ἡμέραις ἕξ· [7]) ἀγωνίζονται δὲ παῖδες καὶ ἄνδρες· ὁ δὲ στέφανος λεύκη δίδοται. Vet.

Τῶν ἄνθεσι] μὴ λάβῃς εἰς τὸ τῶν ἔξωθεν τὸ ἀπὸ, ἀλλὰ πρὸς τὸ ἄνθεσίν ἐστιν ἡ γενική. τῶν γὰρ ἀγώνων ἦσαν τὰ ἄνθη δι' αὐτοὺς διδόμενα. § ὧντινων, ἤγουν τῶν Τληπολεμείων, τοῖς στεφάνοις ὁ Διαγόρας ἐστεφανώσατο δὶς, καὶ ἐν τῇ ἐνδόξῳ Ἰσθμῷ ἐστεφανώσατο τετράκις εὐτυχῶν, ἤγουν ἐπιτυγχάνων, νικῶν, καὶ ἐν τῇ Νεμέᾳ ἄλλην ἐπ'

[1]) Ex Vrat. A. in quo νόσος pro voce λύσις. [2]) Ex eodem. [3]) Addidi de meo ἣν τὰ post ἤγουν. Iam supersedeas coniecturis Heynii, qui ποιεῖ in πυρὶ mutat, et Faehsii Syllog. p. 403. cui placet πολμνια pro verbo ποιεῖ. [4]) Sic Vrat. A. [5]) Coniicias Ἡλιεῖα ob scholia ad vs. 36. 146. 147. [6]) Ex Vrat. A. Verba, quae Istri esse videntur, in cod. sunt haec: Ἴ. τ. Ἡ. ἐ. Ῥ. γυμνικόν τε στεφανίτην, omisso ἀγῶνα. Cetera religiosa fide consarcinavi ex ternis codicis notis mirum in modum confusis et luxatis, quarum binae exstant ad hunc locum, tertia ad vs. 118. Ἡλιεῖα sunt quae Ἁλιεῖα sive Ἅλεια Rhodiis dicebantur. V. Athen. IX, p. 561. E. et intpp. [7]) Corsinus Diss. agonist. p. 101. ed. Lips. corrigit: μηνὸς Γορπιαίου ϛ' ἡμέρᾳ, ἀπέχει δὲ τῶν Νεμέων ἡμέρας κδ'.

Digitized by Google

ἄλλη στεφανηφορίαν δηλονότι, τουτέστι διττὰς στεφανηφορίας ἐστεφανώσατο· καὶ ἐν ταῖς Ἀθήναις ταῖς κρανααῖς, ἀντὶ τοῦ καὶ ἐν τῇ Ἀττικῇ τῇ πετρώδει καὶ καταξήρῳ, ἔνθα ἐτελεῖτο τὰ Παναθήναια, τὰ Ἡράκλεια, τὰ Ἐλευσίνια, τὰ Πανελλήνια, ἐστεφανώσατο, ἵνα τινὰ τούτων τῶν ἀγώνων δηλονότι ἢ καὶ πάντας νενικηκώς. Rec.

148. Κλεινᾷ τ' ἐν Ἰσθμῷ] θηλυκῶς τὴν Ἰσθμόν φησιν, ὡς καὶ ἐν ἄλλοις τὴν Ὀρχομενόν. [1]) λέγει δὲ τὸν Διαγόραν τετράκις Ἴσθμια νενικηκέναι. Vet.

150. Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ] καὶ ἐν τῇ Νεμέᾳ ἄλλην ἐπ' ἄλλῃ νίκην ἔσχεν, οἷον δὶς ἐνίκησεν, οὐκ ἐκ διαλείμματος μέντοι, ἀλλὰ πρώτην Νεμέᾳ νικήσας καὶ τὴν ἑξῆς ἀγωνισάμενος ἐστέφθη. Vet.

151. Κρανααῖς ἐν Ἀθάναις] τὴν ὅλην Ἀττικὴν Ἀθήνας προσηγόρευσεν· εἴη δ' ἂν ἤτοι τὰ Παναθήναια νενικηκὼς ἢ τὰ Ἡράκλεια ἢ τὰ Ὀλύμπια [2]) ἢ τὰ Ἐλευσίνια. ἴσως δὲ καὶ πάντα [3]) ἐνίκησεν ὁ Διαγόρας. ἀδήλως γὰρ ἐξενήνοχεν ὁ Πίνδαρος. Vet.

Τὸ κρανααῖς ἐν Ἀθήναις λέγει ἢ διὰ τὴν τῶν Παναθηναίων ἑορτὴν ἢ τῶν Ἐλευσινίων ἢ τῶν Ἡρακλείων. διὰ δὲ τὸ εἶναι τὴν Ἀττικὴν κατάξηρον καὶ λεπτόγαιον τὸ κρανααῖς εἶπεν. Rec.

152. Ὅ τ' ἐν Ἄργει χαλκός] ἐγνώρισε δὲ αὐτὸν καὶ ὁ ἐν τῷ Ἄργει διδόμενος χαλκὸς ἔπαθλον τῷ νικήσαντι. τελεῖται γὰρ κατὰ τὸ Ἄργος τὰ Ἥραια, ἃ καὶ Ἑκατόμβαια καλεῖται παρὰ τὸ ἑκατὸν βοῦς θύεσθαι τῇ θεῷ. τὸ δὲ ἔπαθλον ἀσπὶς χαλκῆ, ὁ δὲ στέφανος ἐκ μυρσίνης. § Ἄλλως. ἐν τῷ Ἄργει ἐν τῷ Ἑκατομβαίων ἀγῶνι χαλκὸς τὸ ἆθλον δίδοται, ὅτι Ἀρχῖνος Ἀργείων γενόμενος βασιλεὺς, ὃς καὶ ἀγῶνα πρῶτος συνεστήσατο ταχθεὶς ἐπὶ τῆς τῶν ὅπλων κατασκευῆς, ἀπὸ τούτων καὶ τὴν τῶν ἄθλων δόσιν ἐποιήσατο. Ἑκατόμβαια δὲ ὁ ἀγὼν λέγεται, ὅτι πομπῆς μεγάλης προηγοῦνται ἑκατὸν βόες, οὓς νόμος κρεανομεῖσθαι πᾶσι τοῖς πολίταις. τὸ δὲ σημεῖον, ὅτι Ἑκατόμβαια λέγεται τὰ ἐν Ἄργει νενικηκέναι μάλιστα τὸν Διαγόραν. § λαμβάνουσι δὲ ἐντεῦθεν οὐκ ἀργὸν χαλκὸν, ἀλλὰ τρίποδας καὶ λέβητας καὶ ἀσπίδας καὶ κρητῆρας. [4]) Vet.

Ὅ τ' ἐν Ἄργει χαλκός] καὶ ὁ χαλκὸς, τουτέστιν ἡ ἀσπὶς ἡ χαλκῆ ἡ διδομένη ἐν Ἄργει. ἐν τῷ Ἄργει πανήγυρίς ἐστι τῆς Ἥρας τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια λεγόμενα· [5]) θύονται γὰρ ἑκατὸν βόες τῇ θεᾷ· τὸ δὲ ἔπαθλον τῶν ἀγώνων χαλκῆ ἀσπὶς καὶ στέφανος ἐκ μυρσίνης. § Ἔγνω αὐτὸν, ἀντὶ τοῦ ἐδεξιώσατο αὐτὸν νενικηκότα. Rec.

153. Τά τ' ἐν Ἀρκαδίᾳ] ἀπὸ κοινοῦ τὸ ἔγνω μιν, ἐγνώρισε δὲ αὐτὸν νικῶντα

1) Olymp. XIV, 19. 2) In libris omnibus est ἢ τὰ Ὀλύμπια, quod Oxonienses deleverunt, quos ceteri secuti sunt. Ego restitui Ὀλύμπια, hoc est Ὀλυμπιεῖα, sollemnia Atheniensia, de quibus vide quae dixi Oeconom. Athen. T. II, p. 253. Cf. schol. Olymp. IX, 132. Pyth. IX, 177. Nem. II, 35. Post Ἐλευσίνια vulgo est: ἢ τὰ Πανελλήνια, quae omittit Vrat. A. neque habet schol. rec. ad hunc versum, sed tantum ad vs. 147. Huius igitur imperitiae condonemus Panhelleniorum Diagorae aetate mentionem, non veteri scholiastae imputemus, cuius pleraeque notae ante instituta Athenis Panhellenia scriptae sunt. Nam Attica Panhellenia non ante Imperatorem Hadrianum celebrari solita esse eximie monstravit carissimus mihi Muellerus Aeginetic. p. 157 sq. ubi etiam scholiastes notatur. 3) Sic Vrat. A. Vulgo πάντας τούτους. 4) Vrat. A. 5) Sic dedi duce Mosc. B.

Digitized by Google

καὶ τὰ ἐν Ἀρκαδίᾳ ἆθλα. τελεῖται δὲ ἐν Ἀρκαδίᾳ τὰ Λύκαια, ἀνακείμενα τῷ Λυκαίῳ Διΐ. τὰ δὲ ἔργα τινὲς οὕτως ἀκούουσιν, ἐπειδὴ οἱ αὐτόθι νικῶντες σκεύεσι τιμῶνται. § Ἄλλως. Πολέμων ἐν τῷ περὶ τῶν Θήβησιν Ἡρακλείων φησὶ χαλκὸν τὸ ἆθλον εἶναι τοῖς ἐν Ἀρκαδίᾳ Λυκαίοις, ὥστε ἀπὸ κοινοῦ τὰ ἔργα καὶ τὸν χαλκὸν ληπτέον, ὅτε φησὶν ὁ Πίνδαρος· ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν, τά τε ἐν Ἀρκαδίᾳ ἔργα καὶ Θήβαις. δίδοται γὰρ ἐν ταύταις τρίπους χαλκοῦς. πολλοὶ δ' ἄγονται ἀγῶνες ἐν Ἀρκαδίᾳ, Λύκαια, Κόρεια, Ἀλεαῖα, Ἕρμαια· [1]) ἐν δὲ Θήβαις τὰ Ἡράκλεια, τὰ δὲ αὐτὰ καὶ Ἰολάεια καλεῖται· ἐν δὲ Βοιωτίᾳ ἐν μὲν Θεσπειαῖς Ἐρώτια, ἐν δὲ ταῖς Πλαταιαῖς τὰ Ἐλευθέρια. ταῦτα Ἀριστόνικος. ὁ δὲ Δίδυμός φησι καὶ Ἀμφιαράϊα ἐν Ὠρωπῷ, καὶ Δήλια ἐπὶ Δηλίῳ, καὶ Τροφώνεια ἐν Λεβαδείᾳ. [2]) § ἐν δὲ Λεβαδείᾳ τὰ καλούμενα Βασίλεια. [3]) Vet.

Τά τ' ἐν Ἀρκαδίᾳ] καὶ τὰ ἔργα τὰ ἐν Ἀρκαδίᾳ ἔγνω αὐτόν. ἐτελεῖτο γὰρ ἐν Ἀρκαδίᾳ ἀγὼν τὰ Λύκαια τῷ Λυκαίῳ Διΐ ἀνακείμενος. οἱ δὲ νικῶντες [4]) σκεύεσι χαλκοῖς ἐτιμῶντο. Rec.

154. Καὶ Θήβαις] καὶ τὰ ἔργα τὰ ἐν Θήβαις ἔγνω αὐτόν. τὰ Ἡράκλεια καὶ Ἰολάεια ἐτελεῖτο ἐν ταῖς Θήβαις, ἐδίδοτο δὲ τῷ νικήσαντι τρίπους χαλκοῦς. § ἐν ταῖς Θήβαις Ἡράκλεια ἐτελεῖτο, ὧν ἆθλον ἦν χαλκοῦς τρίπους. τελοῦνται δὲ ἐν Βοιωτίᾳ ἀγῶνες ἐν Θεσπιαῖς τὰ Ἐρώτια, ἐν Πλαταιαῖς τὰ Ἐλευθέρια πρὸς τὸν Δία διὰ τὸ ἐνταῦθα νικῆσαι τοὺς Μήδους, ἐν δὲ Λεβαδίᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαρήϊα. [5]) Rec.

Ἀγῶνές τ' ἔννομοι] πάλιν ἀπὸ κοινοῦ τὸ ἔγνω μιν. τελοῦνται δὲ ἐν Βοιωτίᾳ διάφοροι ἀγῶνες, ἐν μὲν Θεσπειαῖς τὰ Ἐρωτίδια, [6]) ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια, ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαράϊα. Vet.

Ἀγῶνές τ' ἔννομοι Βοιώτιοι] καὶ οἱ ἀγῶνες οἱ Βοιώτιοι, ἤγουν οἱ ἐν τῇ Βοιωτίᾳ, οἱ ἔννομοι, τουτέστιν οἱ συνήθως κατὰ τοὺς νόμους τελούμενοι ἔγνωσαν αὐτόν. ἐτελοῦντο δὲ ἐν τῇ Βοιωτίᾳ διάφοροι ἀγῶνες, ἐν μὲν Θεσπιαῖς τὰ Ἐρώτια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια, ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαράϊα. Rec.

156. Πελλάνα τ' Αἴγινά τε] πάλιν τὸ ἔγνω μιν. ἐγνώρισε δὲ τὸν Διαγόραν ἥ τε Πελλήνη καὶ ἡ Αἴγινα ἑξάκις νενικηκότα. τελεῖται δὲ ἐν μὲν Πελλήνῃ τῆς Ἀχαΐας ἀγὼν ὁ καλούμενος Θεοξένια, τινὲς δὲ καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλόν ἐστι χλαῖνα· ἐν δ'

1) Hermaea addidi ex Vrat. A. in quo Ἕρμαιον, omisso Ἀλεαῖα. 2) Ex Vrat. A. ubi omisso δὲ legitur ἐν ταῖς Πλαταιαῖς, dein φασὶ et Δηλ ἐπὶ Δήλῳ. Haec ego emendavi, addito ἐν Ὠρωπῷ; et separavi ultima ἐν δὲ Λεβ. τ. κ. Βασ. quae statim post Ἐρώτια sequebantur. Paullo supra Ἰολάεια edidi e Vrat. D. et scripturam Vrat. A. Ἀμφιάρεια mutavi in Ἀμφιαράϊα. 3) Heynius in novissima editione ablegat ad Larcher. Herod. T. V, p. 526. ed. alt. Confer Corsin. N. Gr. Diss. IV, p. 80 sq. et Philemonem in Excerptis ap. Villoison. ad Lex. Apollon. p. 857. quos laudat Schneiderus. 4) Vulgo τιμῶντες et ἐτίμων. Hoc ex libro, illud de coniectura correxi. 5) Ex Mosc. B. post schol. Olymp. VIII, 12. 6) Vulgo Ἐρατίδια, quod correxit Beckius. Apud Plutarchum quidem Amator. init. dicuntur Ἐρωτικά: sed Athenaeus IX, p. 561. E. diserte vocat Ἐρωτίδια, cuius vocis prava scriptura ΕΡΩΤΙΔΑΙΑ exstat in titulo ap. Caylus. Rec. d'Ant. T. VI, tab. 58. Scholiastes recentior et unus veterum vocant Ἐρώτια.

Digitized by Google

Αἰγίνῃ τὰ Αἰάκεια. ἔστι δὲ καὶ ὁ Ἀμφορίτης ἀγών, οὗ Καλλίμαχος [1]) μέμνηται ἐν τοῖς Ἰάμβοις. § ἐν Πελλήνῃ τῇ Ἀχαϊκῇ ἐνίκησε· καλεῖται δὲ ὁ ἀγὼν Θεοξένια, ἐδίδοτο δὲ ἆθλον χλαῖνα. [2]) Vet.

Πελλάνα τ' Αἴγινα τε] καὶ ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Αἰάκεια, ἔγνω αὐτὸν, καὶ ἡ Πελλήνη, ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα· ἔγνω αὐτὸν νικῶντα ἑξάκις. § κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι· φησὶν οὖν ὅτι καὶ ἐν τοῖς Μεγάροις οὐχ ἕτερον ὄνομα ἐπιγεγραμμένον ἢ ἐγκεκολαμμένον φέρει ἡ ψῆφος ἡ λιθίνη, τουτέστιν ἡ στήλη, ἀλλ' ἢ τὸ τοῦ Διαγόρου. εἶχε δὲ ἡ στήλη καὶ ἄλλων τινῶν ἀγωνιστῶν ὀνόματα, ἀλλ' ἀπὸ τοῦ πλεονάζοντος τοῦτό φησι. ψῆφον δὲ λέγει τὴν στήλην διὰ τὸ περιέχειν τὰ τῶν κριτῶν ψηφίσματα. § ἐν Πελλήνῃ τῆς Ἀχαΐας ἀγῶνές εἰσι Θεοξένια καὶ Ἕρμαια, ὧν τὸ ἆθλον χλαῖνα· ἐν δὲ Αἰγίνῃ τὰ Αἰάκεια, ὧν τὸ ἆθλόν ἐστι κρατήρ. οἱ ἐν τοῖς Μεγάροις ἀγῶσι νικῶντες λιθίνης ἠξιοῦντο στήλης διὰ ψηφίσματος, ἐν αἷς τὸ αὐτῶν ὄνομα ἦν. ἐκόλαπτον καὶ τὸ ὑπὲρ αὐτῶν ψήφισμα. [3]) Rec.

157. Ἐν Μεγάροισιν] τὰ Διόκλεια καὶ Πύθια καὶ Νέμεα. [4]) Vet.

159. Ψᾶφος ἔχει λόγον] κατὰ τὰ Μέγαρα ἔθος ἐστὶ τῶν νικηφόρων τὰ ὀνόματα λίθοις ἐγκολάπτεσθαι. φησὶν οὖν ὅτι καὶ ἐν τοῖς Μεγάροις ἡ λιθίνη ψῆφος οὐχ ἑτέρου τινὸς οὕτως ἐγκεκολαμμένον φέρει τὸ ὄνομα ὡς τὸ τοῦ Διαγόρου. τὸ σημεῖον χ', ὅτι ψῆφον λιθίνην λέγει τὴν στήλην διὰ τὸ περιέχειν τὰ ψηφίσματα. § στήλη ἥτις οὐχ ἕτερον λόγον ἔχει ἐγκεκολαμμένον ἢ ὅτι νενίκηκε Διαγόρας. ἴσως γὰρ τοιοῦτον ἦν τὸ ἔθος αὐτῶν τῶν Μεγαρέων, τὸ γράφειν ἐν στήλαις τὰ τῶν νικώντων ὀνόματα. [5]) Vet.

Ἀλλ' ὦ Ζεῦ πάτερ νώτοισιν] ὁ νοῦς οὕτως ἔχει· ἀλλ' ὦ Ζεῦ πάτερ τοῦ Ἀταβυρίου ὄρους βασιλεύων, ἐν τιμῇ ἔχε τὸν ὕμνον τὸν εἰς τὸν Ὀλυμπιονίκην καὶ τὸν ἄνδρα τὸν εὑρόντα καὶ τὸν ἡγησάμενον τὴν ἀρετὴν, διὰ τῆς ἐν πυγμῇ νίκης. § Ἄλλως. Νώτοισιν Ἀταβυρίου] ὄρος Ῥόδου. ἐπάνω γὰρ τοῦ ὄρους ἵδρυται ὁ Ζεύς. νώτοισι δὲ, ἀλλάξας πτῶσιν ἀντὶ τοῦ νώτων. τὸ πλάτος δὲ λέγει, ἀπὸ τοῦ σώματος, ὡς Πόδα Ἴδης καὶ Κεφαλὴ ὄρους. εἰσὶ δὲ χαλκαῖ βόες ἐπὶ τῷ ὄρει τῆς Ῥόδου, αἵτινες ὅταν μέλλῃ τι τῇ πόλει γίγνεσθαι κακὸν, μυκῶνται. Δίδυμος δέ φησιν εἶναι καὶ ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς Τίμαιός φησι. καλεῖται δὲ καὶ ὁ Ἀταβύριος. [6]) Vet.

† Σύνταξις. Ἀλλ' ὦ Ζεῦ πάτερ] ἀλλὰ ὦ Ζεῦ πάτερ ὁ βασιλεύων τῶν νώτων, ἀντὶ τοῦ τῆς κορυφῆς τοῦ Ἀταβυρίου ὄρους, τίμα μὲν τὸν νόμον τοῦ ὕμνου, ἤγουν τὴν συνήθειαν, τίμα καὶ τὸν ἄνδρα τὸν Ὀλυμπιονίκην τὸν εὑρόντα ἀρετὴν, ἀντὶ τοῦ εὐφημίαν ἕνεκα ἀρετῆς, πῦξ, τουτέστι διὰ τῆς ἐν πυγμῇ νίκης. νώτοισι δὲ εἶπεν Ἀταβυρίου, ὅτι ἐπάιω αὐτοῦ ἐπὶ τῇ κορυφῇ ἵδρυται ὁ Ζεύς. εἰσὶ δὲ χαλκαῖ βόες ἐν αὐτῷ,

[1]) Fragm. 80. Paullo ante ex Vrat. D. addidi ὁ ante Ἀμφορ. sed idem omittit καί. Non tamen idem videtur sollemne Aeaceum et Ἀμφορίτης ἀγών (v. Mueller. Aegin. p. 24. et 140.) etsi eo ducere videatur schol. rec. ad h. l. [2]) Vrat. A. [3]) Ex Mosc. B. Cod. τὸ αὐτὸ ὄνομα. Nota est nullius pretii. [4]) Vrat. A. [5]) Vrat. A. [6]) Hoc scholium supplevi ex Vrat. A. Πόδα Ἴδης Homericum, Iliad. β, 824. Sed cod. πόδας. In fine notat schol. dici etiam masculino genere ὁ Ἀταβ.

Digitized by Google

αἵτινες ὅταν μέλλῃ ἄτοπόν τι γενέσθαι, μυκῶνται. ἔστι δὲ καὶ ἐν Σικελίᾳ ὄρος Ἀταβύριον, ὡς φησι Τίμαιος. Rec.

161. Τίμα μὲν ὕμνου] περιφραστικῶς τὸν ὕμνον τὸν Ὀλυμπιόνικον, ἢ τὸν Διαγόραν· οὗτος γὰρ νόμος ἐγένετο νικήσας τοῦ ὕμνου. βέλτιον δὲ τὸ πρότερον· ἐπιφέρει γὰρ, Ἄνδρα τε πὺξ ἀρετᾶν εὐρόντα. [1]) Vet.

162. Τεθμόν] ἀκολουθίαν. Gl. γ.

164. Δίδοι τέ οἱ αἰδοίαν χάριν] ὁ νοῦς· δίδου τε αὐτῷ αἰδοίαν χάριν καὶ παρὰ τῶν πολιτῶν καὶ παρὰ τῶν ξένων, ἐπειδὴ τὴν ἐχθρὰν τῆς ὕβρεως ὁδὸν βαδίζει, ἀντὶ τοῦ ἐπεὶ πάντας δι' αἰδοῦς ἔχει καὶ τιμῆς. Vet.

Δίδου τέ οἱ] δίδου τε αὐτῷ αἰδοίαν χάριν, ἀντὶ τοῦ τιμὴν αἰδεσίμου χάριτος, καὶ ποτ' ἀστῶν, καὶ παρὰ τῶν ἀστῶν, ἤγουν τῶν πολιτῶν, καὶ παρὰ τῶν ξένων, τουτέστι τῶν ἐπ' ἀλλοτρίου τόπου, ἐπεὶ ὁδὸν εὐθυπορεῖ, ἤγουν κατ' εὐθεῖαν πορεύεται οὐκ ἐκτρεπόμενος, ἐχθρὰν, τουτέστι ξένην, ἀλλοτρίαν ὕβρεως, ἤτοι ἀδικίας. § τὸ φρένες ἢ αὐτοῦ νόει, ἢ πρὸς τὸ πατέρων, ἵν' ᾖ τὸ ἐξ ἀγαθῶν πρὸς τὰ πράγματα. [2]) Rec.

168. Σάφα δαείς] ταῦτα λοιπὸν ὡς πρὸς ἑαυτόν φησιν ὁ ποιητής· σαφῶς γνοὺς ἅτινα αὐτῷ αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ὀρθαὶ φρένες ἐξέχραον, οἱονεὶ ἐξεχρησμῴδουν καὶ παρήνουν, ὑπέθεντο. ὡς περὶ εὐσεβῶν δὲ λίαν ὑπαινίττεται. § τοῦτο παρὰ τὸ Ὁμηρικὸν εἴρηται·

Μηδὲ γένος πατέρων αἰσχυνέμεν. [3]) Vet.

† Σύνταξις. Σάφα δαείς] πρὸς τὸν Δία καὶ τοῦτο. σαφῶς μαθὼν ἅτινα αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ὀρθαὶ, ἤγουν ἀληθεῖς, δίκαιαι φρένες, ἐξέχραον, ἀντὶ τοῦ ἔχραον, ἤγουν ἔχρων, τουτέστιν ἐχρησμῴδουν, παρήνουν αὐτῷ, ἀφ' ὧν πατέρων τοιοῦτος παῖς, δηλονότι αὐτὸς [4]) ἐβλάστησεν. Rec.

169. Ἐξ ἀγαθῶν ἔχραον] σύναπτε τὸ ἐξ μετὰ τοῦ ἔχραον. Gl. β. ἐπροφήτευον. Gl. γ.

170. Μὴ κρύπτε κοινόν] μὴ ἀπόκρυπτε τὸ κοινὸν καὶ δεάδηλον τοῖς πολλοῖς τοῦ Καλλιάνακτος γένος· πρόγονος γὰρ τοῦ νικηφόρου οὗτος ἔνδοξος· ἀλλὰ ὕμνει. § τουτέστι· μὴ ἀπόκρυπτε τοὺς προγόνους, ὦ θυμὲ, ἀλλὰ ὕμνει. ἑαυτῷ δὲ ὁ Πίνδαρος παρακελεύεται. [5]) Vet.

Μὴ κρύπτε] ἀντὶ τοῦ μὴ ἔα κρυβῆναι ἐν ἀδοξίᾳ τὸ σπέρμα, ἤγουν τὸ γένος τὸ κοινὸν, τουτέστι τὸ φανερὸν καὶ ἔνδοξον πᾶσι καὶ ὠφέλεμον, τὸ ἀπὸ τοῦ Καλλιάνακτος τοῦ προγόνου τοῦ Διαγόρου. καὶ σὺν ταῖς χάρισιν, ἀντὶ τοῦ διὰ τῶν χαρίτων, τουτέστι τῶν ἀνδραγαθημάτων τῶν Ἐρατιδῶν, ἤγουν τῆς ἐν Ῥόδῳ φυλῆς τῆς ἀπὸ τοῦ Ἐρατίδου τοῦ προγόνου τοῦ Διαγόρου, ἔχει ἡ πόλις θαλίας, ἤγουν εὐωχίας, εὐφροσύνας. § ἤγουν μὴ ἀφάνιζε τὴν γενεὰν τοῦ Διαγόρου τὴν ἔχουσαν κοινωνίαν ἀπὸ Καλλιάνακτος, ἤτοι καταγομένην. § σὺν χαρίτεσσιν, εὐτυχίαις, ἤτοι σὺν ταῖς εὐτυχίαις τοῦ Διαγόρου καὶ τῶν αὐτοῦ προγόνων καὶ ἡ πόλις ἡ Ῥόδος ἔχει θαλίας καὶ πανηγύρεις καὶ εὐφροσύνας ἑτέρας. [6]) Rec.

[1]) Ex Vrat. A. Correxi νόμος ἐγ. ν. τοῦ ὕμνου: nam cod. τὸν ὕμνον. [2]) Ex Mosc. B. [3]) Vrat. A. Cf. Iliad. ζ, 209. [4]) Sic Mosc. B. [5]) Vrat. A. [6]) Duo posteriora ex Mosc. B. Secundum ut ex Thomae Magistri scholiis edidit olim Guil. Canterus N. L. III, 17.

Digitized by Google

Κοινὸν σπέρμα] κοινὸν λέγει τὸ ἔνδοξον· κοινὰ γὰρ τὰ τοιαῦτα· ἐξ οὗ πάντως ἔχει τὸ συγγενικόν. [1]) Vet.

171. Ἀπὸ Καλλιάνακτος] τὸ καταβαῖνον. Gl. γ. τῶν ἀγόντων. Gl. β.

Καλλιάνακτος Ἐραστειδᾶν] Ἐραστείδης πρόγονος τοῦ Διαγόρου, ἀφ' οὗ καὶ φυλὴ ὁμώνυμος ἐν Ῥόδῳ. φησὶν οὖν ὅτι σὺν ταῖς τῶν Ἐραστειδῶν χάρισι καὶ ἡδοναῖς ἡ πόλις κοινωνεῖ· [2]) ἐπεὶ καὶ πᾶσα ἡ Ῥόδος πλείστας εὐτυχίας ἐκ τῆς τούτου νίκης ἔχει. ὁ δὲ καὶ σύνδεσμος περιττεύει. [3]) § ἐκ τῶν χαρίτων τῶν Ἐραστιδῶν ἢ σὺν ταῖς τῶν Ἐραστιδῶν χάρισι κῦδος ἔχει ἡ πόλις καὶ θαλίας. ὥστε τὸν μὲν Καλλιάνακτα πρόγονον εἶναι, Ἐραστίδας δὲ τὴν φατρίαν ἀπό τινος Ἐράστου καλεῖσθαι, ἢ Ἐραστέος ἀπὸ τοῦ Ἐραστεύς. φυλὴ δέ ἐστι τῶν Ἐραστιδῶν ἐν Ῥόδῳ, ἀφ' ἧς ἦν Διαγόρας. [4]) Vet.

173. Ἐν δὲ μιᾷ μοίρᾳ χρόνου] ἐν τῷ βραχεῖ δὲ χρόνῳ τὰ πράγματα ἄλλοτε ἄλλως διατίθεται. εἶπε δὲ ἀλληγορικῶς, ὡς πρὸ ὀλίγου τινὸς λυπηροῦ συμβάντος αὐτῷ, καὶ ὅτι λοιπὸν ὀφείλει ἑτέρας αὔρας, τὸ δὴ λεγόμενον, πνευσάσης τέρπεσθαι καὶ ἐν εὐτυχίᾳ πάσῃ καὶ χαρᾷ διαζῆν. § ἐκ τούτου ἐμφαίνει, ὅτι ἄνωθεν αὐτοῦ περὶ τὸν οἶκον συμφορὰ συνέβη γενέσθαι· νῦν δὲ ἑτέρως αὐτοῖς πνέει τὰ πράγματα. παραμυθεῖται οὖν αὐτόν. [5]) Vet.

Ἐν δὲ μοίρᾳ χρόνου μιᾷ, τουτέστιν ἐν ὥρᾳ μιᾷ, ἐνὶ [6]) καιρῷ, ἐνὶ χρόνῳ, αὔραι, ἀντὶ τοῦ μεταβολαὶ, διαιθύσσουσιν, ἤγουν ὁρμήσουσιν, ἄλλοτε ἄλλαι, καὶ εἴ τι συμβέβηκε δηλονότι καὶ τούτοις λυπηρὸν, ταχέως ἐπὶ τὸ κρεῖττον τραπήσεται. Rec.

Μοίρᾳ] ῥοπῇ. Gl. γ.

GLOSSAE INTERLINEARES AD OLYMP. VII, 1—81. VULG.

Ex Vratisl. A.

1. Φιάλαν] ποτήριον· ὥς εἰ] ὥσπερ εἴ τις ἄνθρωπος. τὸ προοίμιον ἐκ παραδείγματος. 2. ἀφνειᾶς] εὐδαίμονος, πλουσιοδώρου. διὰ τῆς αὐτοῦ χειρὸς λαβών. 3. οἰονεὶ πηδῶσαν, ὥσπερ ἐστὶν ὁρᾶν. ἢ τοῖς καλλίστοις τῶν οἴνων. 4. δρ.] ἤτοι οἴνῳ δῶρον παράσχοι ταύτην. 5. νεαν.] αὐτοῦ. γαμβρῷ] πρῶτος ἐκ ταύτης γενόμενος. ἅμα τῷ πώματι καὶ τὴν φιάλην χαριζόμενος. 6. οἴκαδε] ὥστε ἐνεγκεῖν. 7. διόλου χρυσῆν. ἐξαίρετον κτῆμα τῶν ἄλλων κτημάτων. 8. χάριν] τὴν ἡδονὴν, τὸ ἐπαγωγόν. κᾶδος] τὴν αὐτοῦ συγγένειαν. 9. τὸ ἴδιον ἑαυτοῦ. σὺν τούτοις δέ. τῶν ἐν τῷ συμποσίῳ. 10. παρόντων. ἐποίησεν αὐτὸν τὸν γαμβρόν. 11. μακαριστόν. συγγενικῆς. ἕνεκα τοῦ λέχους. 12. θεῖον πῶμα, ἤτοι ὕμνον. ῥευστόν. 13. αὗται γὰρ τοὺς λό-

[1]) Vrat. A. ἐξ ὧν πᾶν μεταλαμβάνουσι. [2]) Sic Vrat. A. [3]) Haec inde ab ὁ δὲ Vrat. A. [4]) Vrat. A. [5]) Ex Vrat. A. Ἑτέρως est coniectura Gerhardi: cod. ἐπείρως, ut videtur. [6]) Vulgo ἐν. Correxit Faehsius Syllog. p. 404.

Digitized by Google

γους παρέσχον μοι. ἀγωνισταῖς. ἤτοι τῷ Διαγόρᾳ. νικηταῖς. 14. τοῖς γὰρ δεχομένοις ὁ ἔπαινος γλυκύς. 15. τόκον τῆς ἐμῆς γνώσεως. ἵλαρούς καὶ χαρίεντας αὐτοὺς ποιῶ διὰ τοῦ ὕμνου. 16. ἐν ἀμφοτέροις γὰρ τούτοις ἐνίκησε Διαγόρας. 17. οὗτος. εὐδαίμων, μακάριος. 18. διαλαλήσεις. ἤτοι ὃν πάντες θαυμάζουσιν. χρησταί. 19. ἐν ἄλλῳ καιρῷ. ἄνθρωπον. ἐπιβλέπει, περιέπει. νίκης εὐτυχία. τὸ ἐπαγωγὸν τῶν. 20. θάλλειν καὶ ζῆν αὐτὸν ποιοῦσα. εἰς τὸ ἑξῆς γλυκυτάτη. τὸ θαλερᾶς ζωῆς πάροχον. ἡδέα μὲν ἐργαζομένη. 21. ἀδιαλείπτως. σύναπτε δὲ πρὸς τὸ ζωθάλμιος. φόρμ.] κιθάρᾳ. παμφ.] πολυφθόγγοις ἤτοι ποικίλως φωνοῦσιν. 22. ἤτοι αὐλοῖς ἐντεταμένως ἠχοῦσιν. κατασκευάσμασιν. 23. νυν] δή. μετὰ τῆς φόρμιγγος καὶ τῶν αὐλῶν. περὶ τοῦ νικητοῦ. 24. τῷ νικηφόρῳ τῷ νῦν προκειμένῳ εἰς ὕμνον. θαλασσίαν. 25. ὑμνῶν. τὴν θυγατέρα. 26. τοῦ Ἡλίου. γυναῖκα. 27. τὴν ἡρωΐδα λέγει, ἧς ἡ νῆσος ἐπώνυμος. ἄτρεπτον ἐν μάχαις. 28. ἵνα. πάνυ μέγαν. τὸν Διαγόραν. 29. τῷ. Ὀλυμπίᾳ, ἐν τῇ Πίσῃ. τουτέστι νικήσαντα. 30. ὑμνήσω. δι' ἧς ἐνταῦθα ἐνίκησεν. δῶρα εἰς ἀμοιβήν. 31. ἤτοι ἐν Πυθίᾳ. ἐνταῦθα γὰρ ἡ Κασταλία πηγή. τῇ ἐν Πυθοῖ. 32. πατ.] αὐτοῦ. ἀρέσκοντα, ἀρεστὸν γεγονότα. δικαίῳ. 33. μείζων γὰρ αὕτη Λιβύης καὶ Εὐρώπης. τῆς ἐπὶ πολὺ πλάτους κατὰ κύκλον ἀνοιγομένης. 34. τὴν τρεῖς ἔχουσαν πόλεις, Λίνδον, Ἰήλυσον καὶ Κάμειρον. οἱ γὰρ κατὰ Τληπολέμου ἐνταῦθα οἰκήσαντες Ἀργεῖοι. 35. τὸν πατέρα καὶ τὸν υἱόν. ἀντὶ τοῦ κατοικήσαντας. τῇ στρατιᾷ. 36. τῷ Διαγόρᾳ καὶ Δημαγήτῳ καὶ τοῖς ἄλλοις Ῥοδίοις. ὅτι ἐκ Διὸς καὶ Ἡρακλέους ὁ νικητής. τοῖσιν] ἕνεκα τῶν. 37. καταγομένων. 38. κοινὸν διηγούμενος, πᾶσιν ἀνθρώποις μηνύων, ἤγουν ἱστορῶν. ὀρθῶς εἰπεῖν ἀποδοῦναι. 40. τῇ ἰσχυροτάτῃ, λέγω τῆς καταπολὺ ἰσχυρᾶς. 41. κατὰ μέρος δηλονότι. ἀντὶ τοῦ μετὰ τοῦ σεμνύνεσθαι λέγουσι. 42. εἶναι. κατά. ἀπόγονοι Ἀμύντορος. 43. θυγατρὸς Ἀμύντορος. ὑπεραπολογεῖται Τληπολέμου. 44. ψυχαῖς. ἁμαρτίαι. ἤτοι οἱ ἄνθρωποι ἁμαρτίαις ὑπόκεινται καὶ οὐκ ἐπὶ τοῦ αὐτοῦ βαίνουσιν. 45. πλεῖσται, μυρίαι. ἐπίκειγται. 46. ἄπορόν ἐστιν, ἀδύνατον. τινά. 47. ὅπερ συμβέβηκεν. ἐν τῷ θανάτῳ. 48. κάλλιστον, κράτιστον. ἀνθρώπῳ. αὐτοῦ. ἤτοι συμβήσεται. 49. ἀδελφόν. 50. οὐ νόμιμον. ῥάβδῳ. τύπτων. 51. τοιοῦτον γὰρ τὸ φυτόν. ἐνταῦθα συναπτέον τὸ χολωθείς. 52. πόλις τοῦ Ἄργους. 53. τῶν οἴκων. τῆς μητρὸς αὐτοῦ. 54. ἤτοι τῆς Ῥόδου. ὁ Τληπόλεμος ὀργισθείς. 55. στάσεις. λέγει δὲ νῦν τὸν θυμόν. ἀκρατεῖς ὀργαί. 56. ἐξήγαγον τοῦ καθεστηκότος, ἤτοι ἐξήνεγκον τοῦ ὀρθοῦ. 57. περὶ τῆς τοῦ φόνου ἀπαλλαγῆς. τὸν Ἀπόλλω. ὁ Τληπόλεμος ἀπελθών. 58. ὁ χρυσῆν κόμην ἔχων Ἀπόλλων. 59. τεθυμιασμένου, εὐωδίας πεπληρωμένου. τοῦ μὴ πολλοῖς εἰςβατοῦ νεώ. 60. Ἀργείας. Λέρνη γὰρ ἐκεῖ πηγή. ἤτοι ἀπὸ τοῦ Ἄργους. τοῦ αἰγιαλοῦ. 61. περίῤῥυτον, τὸν ὑπὸ θαλάσσης περιλαμβανόμενον. 62. οἴκησιν, λέγει δὲ τὴν Ῥόδον. νομόν] διατριβήν. ὅπου. 63. ἔβρεξε. ἤτοι ὁ Ζεύς. ὅπως ὁ Ζεὺς ἔβρεξε τοῖς Ῥοδίοις χρυσόν. 64. συνίζησις. ὑετοῖς. τὸ πόλιν καὶ τὸ ἔνθα ἐκ παραλλήλου· ἢ καθ' ὅλον καὶ μέρος, ἵνα ᾖ τὸ ἔνθα ὅλον, τὸ δὲ πόλιν μέρος. 65. ὁπότε, ὁπηνίκα. 66. σιδηρῷ, τῷ ὑπὸ σιδήρου ἠλασμένῳ. 67. τοῦ Διός. ἡ Ἀθηνᾶ. ἤτοι εἰς τὴν ἀκρόπολιν. 68. ὁρμήσασα, ἐξελθοῦσα. ἐβόησε, πολεμικὸν ἐβόησεν. 69. μεγάλῃ. ὑπερβολικῶς ὑψηλῇ. 70. συνέσταλται, ἐφοβήθη αὐτήν. μάτηρ] πάντων. 71. ὁ φωτίζων τοὺς βρο-

Digitized by Google

τοὺς ταῖς ἀκτῖσιν, ὁ φῶς τοῖς ἀνθρώποις φέρων. 72. ὁ θεὸς, ὁ υἱὸς τοῦ Ὑπερίονος, ὃς ἦν εἷς τῶν Τιτάνων. ὅπως τοῖς Ῥοδίοις ἔφησεν Ἥλιος πρώτους τῇ Ἀθηνᾷ θῦσαι. 73. προσέταξε τηρῆσαι καὶ μὴ ἀμελῆσαι. ἐνετείλατο. 74. τοῖς ἐκγόνοις αὐτοῦ Ῥοδίοις. προσφιλέσιν. 75. τῇ Ἀθηνᾷ. ἀνοικοδομήσαιεν. 76. λαμπρὸν, μετέωρον. 77. εὐσεβῆ, μεγάλην. ποιήσαντες. 78. τῷ Διΐ. τὴν ψυχὴν εὐφράναιεν. τῇ Ἀθηνᾷ. 79. τὸ ἔγχος σείουσῃ, ἤτοι τῇ πολεμικῇ. 80. ἐμβάλλει, ἐμποιεῖ. ἡδονάς. 81. τῆς προβουλεύσεως. τὸ αἰδέσιμον.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Η'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ὀγδόου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ ὀγδόου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ α' τροχαϊκὸν ἐπίτριτον ἢ ἐπιχοριαμβικόν. Τὸ β' Ἰωνικὸν ἀπ' ἐλάσσονος, τρίτου παίωνος ἀντὶ τοῦ Ἰωνικοῦ. Τὸ γ' ἰαμβέλεγος πλεονάζων συλλαβῇ. Τὸ δ' ἐπιχοριαμβικὸν Πινδαρικὸν ἢ ἰαμβέλεγος. Τὸ ε' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς' προσοδιακὸν τρίμετρον καταληκτικὸν, τοῦ Ἰωνικοῦ μέσου ὄντος. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ η' Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ θ' Εὐριπίδειον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ἕνδεκα. Τὸ α' προσοδιακὸν τρίμετρον ἀκατάληκτον. Τὸ β' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ δ' ἐγκωμιολογικὸν, παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ ε' δακτυλικὸν τρίμετρον τελικὸν ἢ προσοδιακόν. Τὸ ς' ὅμοιον τῷ αὐτῷ. Τὸ ζ' ὅμοιον τῷ αὐτῷ. Τὸ η' δακτυλικὸν πενθημιμερές. Τὸ θ' προσοδιακὸν τρίμετρον ἀκατάληκτον, ὁ πρῶτος ἐξ ἰάμβων ἀδιάφορος, ὁ β' χορίαμβος. Τὸ ι' Ἰωνικὸν ἀπ' ἐλάσσονος, ἐκ τροχαϊκῆς συζυγίας καὶ τρίτου παίωνος κατὰ τὸ σύνηθες τῶν Ἰωνικῶν, τρίμετρον βραχυκατάληκτον. [1]) Τὸ ια' ἰαμβικὸν δίμετρον ἀκατάληκτον.

[1]) Addidi ἐκ; post Ἰωνικῶν delevi καὶ: cetera ex libris correxi. Cum toto hoc scholio concinunt ea, quae Trichae libro ἐκ παλαιοῦ βιβλίου inserta sunt.

Digitized by Google

Aliud plenius ex Mosc. B.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ὀγδόου εἴδους. Παλαιόν.

Τοῦ ὀγδόου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ἐννέα. Τὸ πρῶτον τροχαϊκὸν δίμετρον καταληκτικόν, τοῦ τρίτου ποδὸς δακτύλου, ἢ χοριαμβικόν. οἱ δὲ λέγοντες τοῦτο τὸ μέτρον ἐπίτριτον οὐ καλῶς λέγουσιν· οὐ γάρ εἰσι τέσσαρες τροχαῖοι, ἵν' ᾖ ἐπίτριτον. Τὸ δεύτερον Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ τρίτον ἰαμβίλεγος πλεοναζούσης συλλαβῆς· ἐξ ἰαμβικοῦ γὰρ καὶ δακτυλικοῦ πενθημιμεροῦς σύγκειται, ἔχει δὲ καὶ περισσὴν συλλαβήν. Τὸ τέταρτον ἐπιχοριαμβικὸν ἑνδεκασύλλαβον, ὃ καλεῖται Σαπφικόν, διὰ τὸ ἔχειν τὸν πρῶτον πόδα τροχαϊκὸν ἑπτάσημον ἤτοι ἐπίτριτον. οὐ γάρ ἐστι Πινδαρικόν, ὡς λέγουσιν. Τὸ πέμπτον προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο δὲ καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερὲς σπονδείου ἀρχομένου, ὡς ἐμοὶ δοκεῖ. Τὸ ἕκτον προσοδιακὸν ἕτερον τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ἕβδομον δακτυλικὸν πενθημιμερές. Τὸ ὄγδοον Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ ἔννατον τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ἕνδεκα. Τὸ πρῶτον προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου καὶ διτροχαίου ἢ ἐπιτρίτου. Τὸ δεύτερον δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ τρίτον χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ τέταρτον ἐγκωμιολογικὸν μιᾶς λειπούσης συλλαβῆς. τὸ γὰρ ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν σύγκειται. Τὸ πέμπτον ὅμοιον τῷ δευτέρῳ, δακτυλικὸν ἢ προσοδιακὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσοιος. Τὸ ἕκτον ὅμοιον τούτῳ. Τὸ ἕβδομον ὅμοιον τούτοις. Τὸ ὄγδοον δακτυλικὸν πενθημιμερὲς, εἰ δὲ βούλει προσοδιακὸν δίμετρον καταληκτικὸν ἐκ χοριαμβου καὶ Ἰωνικοῦ καταληκτικοῦ. Τὸ ἔννατον προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ πρῶτος δὲ πους τοῦ πρώτου κώλου ἀντὶ Ἰωνικοῦ παίωνα δεύτερον ἔχει. Τὸ δέκατον Ἰωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον βραχυκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας καὶ παίωνος τρίτου κατὰ τὸ σύνηθες τῶν Ἰωνικῶν. Τὸ ἑνδέκατον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

Ἀλκιμέδοντι παιδί.] Γέγραπται ὁ ἐπινίκιος προηγουμένως τῷ Ἀλκιμέδοντι παιδὶ παλαιστῇ νικήσαντι τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα, μέμνηται δὲ ὁ Πίνδαρος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Τιμοσθένους Νέμεα νικήσαντος καὶ τοῦ ἀλείπτου αὐτοῦ Μελησίου, ὥς τινες καὶ παγκρατιαστοῦ. τοῖς γὰρ τρισὶ, φησὶν ὁ Δίδυμος, μίαν ᾠδὴν γέγραφε. ζητοῦσι δέ τινες, διατί ἐν τῷ ἑνὶ τούτῳ ἐπινικίῳ τοὺς τρεῖς ἐνεκωμίασεν· καὶ οἱ μέν φασι διὰ

Digitized by Google

τὸ μὴ καθ' ἕκαστον ἀξιολόγους ἀφορμὰς εὑρηκέναι, οἱ δὲ ὅτι ἐκ τῆς πόλεως ἦσαν τῆς αὐτῆς οἱ τρεῖς. Vet.

Γέγραπται ὁ ἐπινίκιος Ἀλκιμέδοντι παιδὶ παλαιστῇ, Τιμοσθένει ἀδελφῷ αὐτοῦ παλαιστῇ Νέμεα, καὶ Μελησίᾳ ἀλείπτῃ Ἀλκιμέδοντος. συμπαρέλαβε δὲ καὶ τοὺς τρεῖς, τὸν μὲν Ἀλκιμέδοντα ὡς Ὀλυμπιονίκην ἐν πάλῃ, τὸν δὲ Τιμοσθένην ὡς ἀδελφὸν αὐτοῦ Νεμέοις νικήσαντα πάλῃ, Μελησίαν δὲ ὡς ἀλείπτην Ἀλκιμέδοντος ἢ καὶ τοῦ ἀδελφοῦ. ἦσαν δὲ οὗτοι ἐξ Αἰγίνης νήσου. [1]) Rec.

1. Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Ὀλυμπία] μητέρα τῶν ἄθλων εἶπε τὴν Ὀλυμπίαν ὡσανεὶ μητρόπολιν οὖσαν διὰ τὸ ἐπιφανέστατον εἶναι τὸν Ὀλυμπιακὸν ἀγῶνα, χρυσοστεφάνων δὲ ἀντὶ τοῦ καλλιστεφάνων. Ὅμηρος· [2])

Οὐδ' εἰ χρυσείῃ Ἀφροδίτῃ κάλλος ἐρίζοι.

καὶ γὰρ δὴ ὄντως ἡ διδομένη ἐλαία τοῖς νικῶσι καλλιστέφανος προσαγορεύεται. [3]) δέσποινα δὲ ἀληθείας, διὰ τὸ αὐτόθι τὸ τῶν Ἰαμιδῶν μαντεῖον ὑπάρχειν. § Ἄλλως. Μᾶτερ ὦ χρυσοστεφάνων] ἡ τῆς ἀρχῆς ἐξήγησις οὕτως ἔχει· ὦ Ὀλυμπία μῆτερ τῶν χρυσοστεφάνων ἄθλων· μῆτερ δὲ, ἐπεὶ δοκεῖ ὁ Ὀλυμπιακὸς ἀγὼν πρωτεύειν τῇ δόξῃ παρὰ τοὺς ἄλλους. ὡς οὖν λέγομεν μητρόπολιν τὴν πρώτην καὶ ἐνδοξοτέραν πόλιν, οὕτω καὶ ἐνταῦθα μητέρα ἄθλων. § ὁ Πίνδαρος πρὸς αὐτὴν τὴν Ὀλυμπίαν ποιεῖται τὸν λόγον, ὅ ἐστι πρὸς τὴν Πίσαν τὸν τόπον διαλέγεται, καὶ μητέρα αὐτὴν καλεῖ τῆς ἀληθείας, ἐπειδὴ μετὰ πάσης ἀληθείας ἐκρίνοντο οἱ ἀγωνιζόμενοι. [4]) Vet.

† Σύνταξις. Μᾶτερ ὦ χρυσοστεφάνων] ὦ Ὀλυμπία μῆτερ, τουτέστιν αἰτία τῶν βραβείων τῶν χρυσοστεφάνων, ἀντὶ τοῦ καλλιστεφάνων, ἤγουν τῶν κάλλιστον ἐχόντων κόσμον, τουτέστιν ὦ Ὀλυμπία ἐν ᾗ δίδονται οἱ κάλλιστοι στέφανοι τῶν βραβείων, δέσποιν' ἀληθείας, ἤγουν ἀληθείας προϊσταμένη· εἶτα θέλων δηλῶσαι, ὅπως προΐσταται τῆς ἀληθείας, ἐπάγει· ὅπου ἄνδρες μάντεις, οἱ Ἰαμίδαι δηλονότι, ἐν ἐντόμοις θύμασι σκοποῦντες παραπειρῶνται, ἀντὶ τοῦ ἀποπειρῶνται, ἤγουν εἰς γνῶσιν ζητοῦσιν ἐλθεῖν τοῦ Διὸς ἀργικεραύνου, τουτέστι τοῦ αἰτίου τῶν ταχέων κεραυνῶν· λέγω εἴ τινα φροντίδα ἔχει αὐτὸς δηλονότι ὁ Ζεὺς περὶ τῶν ἀνθρώπων τῶν ζητούντων κατὰ ψυχὴν μεγάλην ἀρετὴν λαβεῖν, ἀντὶ τοῦ τιμὴν μεγάλης νίκης· τῶν δὲ μόχθων, ἤγουν τῶν καμάτων ἀνάπνευσιν, ἄνεσιν. πληροῦνται δὲ αἱ λιταὶ, ἤγουν αἱ δεήσεις τῶν εὐσεβῶν ἀνδρῶν, τῶν Ἰαμιδῶν δηλονότι, πρὸς χάριν, τουτέστι χαριέντως, θαυμασίως. § οὐ χρὴ ἄνεται γράφειν, οὐδὲ εὐσεβείας, ἀλλὰ πληρέονται καὶ εὐσεβέων καὶ λιταί. οὕτω γὰρ ἔχει πρός τε τὴν σύνταξιν καὶ τὸ μέτρον ὀρθῶς. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ πολλὰ ἕτερα ἐκαινοτομήθη τῷ σοφωτάτῳ Μοσχοπούλῳ κἀμοί, ὡς ἐξετάζων εὑρήσεις, ἀνοικείως ἔχοντα πρὸς τὸ μέτρον. [5]) Rec.

3. Δέσποιν' ἀλαθείας] ὦ δέσποινα τῆς ἀληθείας· ἐπειδὴ τὸ μαντεῖόν ἐστιν ἐκεῖ τὸ τῶν Ἰαμιδῶν. Vet.

Δέσποιν' ἀλαθείας] δέσποιναν εἶπεν ἀληθείας τὴν Ὀλυμπίαν, ὅτι ἐκεῖ μαντεῖον ἦν Ἰαμιδῶν, ἐν ᾧ μαντευόμενοι τὰ ἀληθῆ ἐγίνωσκον, ὡς καὶ αὐτὸς ἤδη λέξει. [6]) Rec.

[1]) Ex Mosc. B. [2]) Iliad. ι, 389. [3]) Vide ad schol. Olymp. III, 60. [4]) Vrat. A. Debebat esse μητέρα ἄθλων καὶ δέσποιναν ἀληθείας αὐτὴν καλεῖ. [5]) Mosc. B. Nota est Triclinii. [6]) Mosc. B.

Digitized by Google

Ἵνα μάντιες ἄνδρες] ἔνθα, λέγει δὲ ἐν τῇ Ὀλυμπίᾳ, ἄνδρες οἱ μάντιες διὰ τῶν ἐμπύρων θυσιῶν ἀποπειρῶνται, φησὶ, τοῦ Διὸς περὶ τῶν ἀνθρώπων, εἴ τινα λόγον αὐτῶν ἔχει καὶ φροντίδα. § Ἄλλως. ἀποπειρῶνται οἱ μάντεις καὶ ἐπιζητοῦσι μαθεῖν διὰ τῶν ἐμπύρων, τεκμαιρόμενοι καὶ εὑρίσκοντες τὰ σημεῖα. περὶ ποίων δὲ ἀνθρώπων ἀποπειρῶνται; περὶ τῶν ζητούντων καὶ ἐπιθυμούντων μεγάλην ἀρετὴν κτήσασθαι ἐκ τῆς νίκης καὶ σπουδαζόντων ἀναπνοὴν λαβεῖν ἐκ τῶν κατεχόντων μόχθων. § τὸ ἑξῆς· ὅπου μάντιες ἄνδρες τοῖς διὰ τοῦ πυρὸς ἱεροῖς σημειούμενοι διαπειρῶνται τοῦ Διός. [1]) Vet.

4. Παραπειρῶνται] ἡ παρὰ περισσή· ἔστι γὰρ πειρῶνται. ἢ ἡ παρὰ ἀντὶ τοῦ ἀπό· ἔστι γὰρ ἀποπειράζουσιν. [2]) § Διὸς ἀργικεραύνου, ἤτοι παρὰ Διός. ἐνταῦθα ἡ παρὰ συναπτέον, ὥστε εἶναι· παρὰ Διὸς ἀργικεραύνου πειρῶνται, μεγάλαν ἀρετὰν θυμῷ βαλεῖν μαιόμενοι. ὁ δὲ λόγος· εἰ φροντίζει τῶν ἀνθρώπων ὃ ἡμεῖς λέγομεν, ἀποπειρῶνται. ὁ δὲ Ἀρίσταρχος οὕτως· ἀποπειρῶνται εἰ ἀντιποιεῖται περὶ ἀνθρώπων καὶ ἔχει λόγον τῶν ζητούντων ἀρετὴν κτήσασθαι. [3]) Vet.

Παραπειρῶνται] ἀπεικάζουσιν. Gl. γ.

9. Μόχθων] κόπων. Gl. γ.

10. Ἄνυεται δὲ πρὸς χάριν] ἀνύεται δὲ τὸ τοιοῦτον, τὸ ποῖον; τὸ φανερωθῆναι τὴν τοῦ Διὸς βουλὴν ἀνύεται εἰς χάριν τῶν εὐσεβῶς καὶ ὁσίως εὐχομένων καὶ λιτανευόντων, ὅπερ ἐστὶ τῶν μάντεων καὶ ἱερέων. ἐπαινεῖ οὖν ἴσως τοὺς Ἰαμίδας ὡς εὐσεβεῖς. δύναται οὖν καὶ ἐπ' αὐτῶν τούτων νοεῖσθαι τὸ εὐσεβείας. [4]) πρόσκειται δὲ τὸ σημεῖον, ὅτι τὸ σημαινόμενόν ἐστι τοιοῦτον· ἐπιτελεῖται δὲ χάριν τῆς εὐσεβείας ἢ διὰ τὴν εὐσέβειαν. § Ἄλλως. Ἄνυεται δὲ πρὸς χάριν] τουτέστιν οἱ εὐσεβεῖς ἀνύουσί τι ταῖς πρὸς τοὺς θεοὺς λιταῖς, οἱ δὲ ἀσεβεῖς οὐδαμῶς. γράφει δὲ ὁ Ἀσκληπιάδης ἄνευ τοῦ σ̄ λιταὶ, καὶ οὕτω καθίστησι τὸν λόγον· πρὸς δὲ τὸ κεχαρισμένον τῇ εὐσεβείᾳ τῶν ἀνδρῶν ἀνύονται λιταὶ, ὡς ἂν αὐτῇ τῇ τῶν ἀνδρῶν εὐσεβείᾳ κεχαρισμένου τοῦ λιτανεύειν ὄντος. δεήσει δὲ καὶ αὐτὸν λαμβάνειν τὸ ἄνεται ἀντὶ πληθυντικοῦ τοῦ ἀνύονται, ἵνα ᾖ· τελειοῦνται δὲ αἱ λιταὶ πρὸς τὴν χάριν τῆς εὐσεβείας. [5]) § Ἄλλως. τελειοῦται ἡ μαντεία πρὸς τὸ κεχαρισμένον ἕνεκα τῆς εὐσεβείας ταῖς τῶν ἀνδρῶν λιταῖς. § ἢ οὕτω· τελειοῦνται δὲ τὰ μαντεῖα ταῖς τῶν ἀνδρῶν εὐσεβείαις, ὅτι πείθοντες λιταῖς τοὺς θεοὺς λαμβάνουσι κεχαρισμένους χρησμούς. τοῦτο δὲ λέγει; ἐπεὶ οὐ παντὶ ἀνθρώπῳ μαντεύεται τὸ θεῖον, ἀλλὰ τοῖς εὐσεβέσιν. Vet.

12. Ἀλλ' ὦ Πίσας εὔδενδρον] ἤτοι λείπει τὸ ἔχων, ἢ φιλῶν τὸ τῆς Πίσης ἄλσος, ἵν' ᾖ πρὸς τὸν Δία λέγων, ἢ πρὸς αὐτὸ τὸ ἄλσος τῆς Ὀλυμπίας λέγει, ὅπερ ἀνάκειται τῷ Διὶ τῷ τῆς Πίσης, τὸ εὔδενδρον ἄλσος τὸ ὂν ἐπὶ τῷ Ἀλφειῷ. ὁ δὲ τρόπος περιφραστικός· τοῦτον τὸν κῶμον καὶ τὸν ὕμνον καὶ τὴν ἐκ τῆς στεφανηφορίας πρόσδεξαι νίκην. § πρὸς αὐτὸ τὸ τῆς Πίσης ἄλσος διαλέγεται, ἢ πρὸς τὸ Πάνθειον, ὅπου αἱ ἐλαῖαι φύονται, ἢ πρὸς τὸν τόπον, ὅπου οἱ ἀνδριάντες τῶν νικησάντων ἀνάκεινται. [6]) Vet.

1) Ex Vrat. A. 2) Ex Vrat. A. qui in fine πειράζουσιν. 3) Ex eodem. Retinui βαλεῖν, quia ex varia lectione esse potest. 4) Vulgo εὐσεβεῖς, quod correxi. 5) Inde a verbo δεήσει ex Vrat. A. Post πληθ. erat τὸ ἀνύεται. 6) Ex Vrat. A. in quo Πίσσης et Πανθιον. Cf. schol. Olymp. III, 60.

Digitized by Google

Σύνταξις. Ἀλλ' ὦ Πίσας] πρὸς τὴν Ὀλυμπίαν ἀποτείνων ἤρξατο, εἶτα πολλὰ διὰ μέσου θεὶς καὶ μὴ ἐπαγαγὼν τὴν ἀπόδοσιν ἐπαναλαμβάνει τὸν πρὸς αὐτὴν λόγον, καὶ οὕτως ἐπάγει προσεχῆ καὶ ῥᾳδίαν τὴν ἀπόδοσιν καί φησιν· ἀλλ' ὦ ἄλσος εὔδενδρον τῆς Πίσης τῆς ἐπὶ τῷ Ἀλφειῷ, ἤγουν ἀλλ' ὦ Ὀλυμπία, δέξαι τοῦτον τὸν κῶμον, τουτέστι τὸν μετὰ χορείας ὕμνον, καὶ ταύτην τὴν στεφανηφορίαν, ἤγουν τὴν ἐν στεφάνοις ἀνακήρυξιν· μέγα κλέος αἰεί, μεγάλη δόξα αἰεί ἐστι δηλονότι ἐκείνῳ τῷ ἀνθρώπῳ, ᾧτινι ἂν ἕσπηται, ἤγουν ἀκολουθήσῃ τὸ σὸν γέρας, ἤτοι ἡ σὴ τιμὴ ἡ λαμπρά. Rec.

14. Μέγα τι κλέος] μεγίστη γὰρ ἐκείνῳ δόξα, ᾧτινι ἂν τὸ σὸν γέρας ἡδὺ καὶ τερπνὸν παρακολουθήσῃ. [1]) ἀγλαΐα γὰρ ἡ τέρψις. Vet.

16. Ἄλλα δ' ἐπ' ἄλλον ἔβαν] οὐ πάντες τὰ αὐτὰ ἔχουσιν ἀγαθά, ἀλλὰ ἄλλο ἄλλος. τοῦτο δὲ εἶπεν, ὅτι ὁ μὲν Ἀλκιμέδων Ὀλύμπια ἐνίκησεν, ὁ δὲ ἀδελφὸς Τιμοσθένης Νέμεα. διὸ οὐ πάντες πάντων κοινωνοῦσι τῶν ἀγαθῶν, παρὰ τὸ Ὁμηρικόν· [2])

Ἀλλ' οὔ πως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν. Vet.

Ἄλλα δ' ἐπ' ἄλλον ἔβαν] τουτέστιν· ἄλλα δὲ ἀγαθὰ ἐπ' ἄλλον ἔβησαν, ἀντὶ τοῦ ἔρχονται. Rec.

18. Σὺν θεοῖς] ἀντὶ τοῦ τῶν θεῶν βουλομένων πολλαὶ ὁδοὶ γίνονται εἰς τὸ εὖ πράσσειν. Vet.

Πολλαὶ δ' ὁδοὶ σὺν θεοῖς] πολλαὶ ὁδοὶ γίνονται εἰς τὸ εὖ πράσσειν τῶν θεῶν βουλομένων· ἢ πολλαὶ δὲ ὁδοί εἰσιν, ὧν ἑκάστη εἰς διάφορον εὐπραγίαν ἄγει βοηθούντων τῶν θεῶν. ἤγουν πολλαὶ δὲ καὶ διάφοροι εὐπραγίαι εἰσὶν, ὧν ἄλλον ἄλλης ἐυτὶ τυχεῖν βοηθούντων τῶν θεῶν. Rec.

Εὐπραγίας] εὐτυχίας. Gl. γ.

19. Ἔτμε δὲ κλάρωσεν] ὑμᾶς μέντοι, ὦ Τιμόσθενες, ἐκλήρωσε καὶ προσῳκείωσεν ἡ μοῖρα καὶ τὸ δαιμόνιον τῷ Διῒ τῷ γενεθλίῳ· γενεθλίῳ δὲ, τῷ τῆς γεννήσεως αἰτίῳ. τοῦτο δὲ εἶπεν, ἐπειδὴ νεώτεροι ἐνίκησαν. § Ἐκλάρωσεν] ὁ μοιρίδιος ὑμῶν πότμος καὶ ἡ τύχη ἀπεκλήρωσεν ὑμᾶς κατὰ τὴν γένεσιν τῷ Διῒ, σέ τε, ὦ Τιμόσθενες, καὶ τὸν ἀδελφὸν Ἀλκιμέδοντα. [3]) Vet.

Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν] ὦ Τιμόσθενες, ὑμᾶς δὲ ἐκλήρωσεν, ἤτοι ἔταξεν ἡ τύχη ἐν τῷ Ζηνὶ τῷ γενεθλίῳ, τουτέστιν ἐν τῇ νεότητι ἐφ' ᾗ τιμαται γενέθλιος Ζεὺς, ὡς ἔφορος δηλονότι τῆς γεννήσεως. Rec.

20. Σὲ μὲν ἐν Νεμέᾳ] σὲ μὲν ἐπιφανῆ καὶ ἔνδοξον ὁ Ζεὺς ἐν τῇ Νεμέᾳ πεποίηκε, τὸν δὲ Ἀλκιμέδοντα Ὀλυμπιονίκην ἐν τῷ Κρονίῳ λοφῳ. Vet.

Ὃν μὲν ἐν Νεμέᾳ] τουτέστι· σὲ ἐν τῇ Νεμέᾳ πρόφαντον, τουτέστιν ἔξοχον, λαμπρόν· τὸν Ἀλκιμέδοντα δὲ τὸν σὸν ἀδελφὸν ἐποίησεν ἡ τυχη Ὀλυμπιονίκην παρὰ τῷ λόφῳ τοῦ Κρόνου. ἦν δὲ ὁ Ἀλκιμέδων καλὸς, ἤγουν εὐειδὴς εἰς τὸ ὁρᾶν αὐτόν τινα, καὶ τῷ ἔργῳ, τουτέστι καὶ διὰ τῆς πράξεως οὐ κατελέγχων, ἤγουν οὐ καταισχύνων τὸ εἶδος, ἤτοι τὴν μορφήν. Rec.

21. Πρόφαντον] ἐπιφανῆ καὶ ἐπίσημον ἐποίησεν. ἀμφοτέρους δὲ τοὺς ἀγῶνας

[1]) Correxi ex Vrat. A. [2]) Iliad. δ, 320. [3]) Vrat. A. qui μ. ἡμῶν.

Digitized by Google

τούτους ἀνάπτει τῷ Διΐ, παρόσον καὶ ἡ Ὀλυμπία καὶ ἡ Νεμέα Διός. καὶ ὁ Καλλίμαχός φησι· [1])

Ζηνί τε καὶ Νεμέῃ τι χαρίσιον ἔδνον ὀφείλω. Vet.

22. Κρόνου λόφῳ] τῇ Ἤλιδι. οἱ δὲ, ὅτι ὑπὸ τὸ ὄρος ἐκεῖνο Κρόνος ἱδρύνθη. [2]) Vet.

24. Ἦν δ' ἐς ορᾶν καλός] καλὸς μὲν ἦν ὀφθῆναι ὁ Ἀλκιμέδων, οὐ κατήσχυνε δὲ τὸ εἶδος τοῖς ἔργοις· ἀνεκήρυξε γὰρ τὴν Αἴγιναν τὴν ναυτικὴν κρατήσας καὶ νικήσας πάλῃ. § Ἄλλως. τὴν εὐμορφίαν τοῦ εἴδους οὐ κατελέγχων. ὁ δὲ Ὅμηρος ἐκ τοῦ ἐναντίου· Οὐκ ἄρα σοί γε φρένες ἦσαν καὶ εἶδος. [3]) Vet.

25. Εἶδος] ὡραιότητα. Gl. γ.

26. Ἐξένεπε] ἐδόξασε. Gl. γ.

Ἐξένεπε κρατέων] ἐξηγόρευσεν, ἀνεκήρυξε τὴν ναυτικὴν Αἴγιναν. Ἡσίοδος· [4])

Οἱ δ' ἤτοι πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας,
Πρῶτοι δ' ἱστία θέσσαν ἐπι πτερὰ ποντοπόροιο
Νηὸς . . .

§ ἀνακηρυχθῆναι ἐποίησε καὶ ἀνεκήρυξεν ἑαυτὸν Αἰγινήτην τῇ πάλῃ κρατήσας καὶ νικήσας. δολιχήρετμον δὲ τὴν Αἴγιναν, ὅτι ναυτικοὶ οἱ Αἰγινῆται, ὡς καὶ ἐν τῷ Περσικῷ πολέμῳ δεύτεροι Ἀθηναίων εὑρέθησαν. [5]) Vet.

Ἐξένεπε κρατέων] ἤγουν ἀνεκήρυξεν, ἀνακηρυχθῆναι ἐποίησε νικῶν ἐν πάλῃ τὴν πατρίδα αὐτοῦ τὴν Αἴγιναν τὴν δολιχήρετμον, ἤγουν τὴν μακραῖς κώπαις χρωμένην, τουτέστι τὴν ναυτικήν. Rec.

28. Ἔνθα σώτειρα Διὸς ξενίου] ἐν ᾗ, ἐν Αἰγίνῃ, ἡ Θέμις ἡ τοῦ Διὸς πάρε-

1) Fragm. 193. Vrat. D. Νεμέᾳ. 2) Vrat. A. in quo ἵδρισεν. Scholium lacunosum. 3) Vrat. A. in quo ante Ἄλλος est τοῦ τῆς πλάνης, hoc est πάλης: deinde συμμορφίαν τὸ εἶδος. Homericus versus est Odyss. ρ, 454. ὦ πόποι, οὐκ ἄρα σοί γ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν. 4) Fragm. p. 445. Loesn. Versu priori coniicitur πρῶτοι, quod omnino exspectes: neque tamen reponere audeo, quod etiam schol. ad Nem. III, 21. servat gratius sonans πρῶτον. Deinde vulgo τεῦξαν: ζεῦξαν, quod schol. Nem. habet, reposui adversante licet Ruhnkenio Epist. crit. p. 110. Cf. Mueller. Aeginet. p. 75. et p. 14. Alter versus sic legebatur:

Πρῶτοι δ' ἱστία θέσσαν νεὸς πτερὰ ποντοπόροιο.

Metro ut succurreret, Ruhnkenius scripsit θέντο: sed verisimile non est θέσσαν corruptum esse. Gott. habet: θέσσαν ἐπὶ πτερα: igitur correxi,

Πρῶτοι δ' ἱστία θέσσαν ἔπι πτερὰ ποντοπόροιο
Νηὸς . . .

Sequebatur credo ἐϊσσέλμου. Possis etiam,

Πρῶτοι δ' ἱστία νηὸς ἔθεσσαν ποντοπόροιο:

sed obest metrica quaedam ratio subtilior. Si modo θέσσαν depravatum iudicarem, libens scriberem,

Πρῶτοι δ' ἱστί' ἔθεν νηὸς πτερὰ ποντοπόροιο.

Sed vide ne fuerit:

Πρῶτοι δ' ἱστία νηὸς ἐπὶ πτερὰ ποντοπόροιο
Θέσσαν. . .

5) Vrat. A. Delevi καὶ ante κρατήσας. Sed in proelio Salaminio Aeginetae primi fuere, non secundi. V. Mueller. Aeginet. p. 125.

Digitized by Google

δρος ἀσκεῖται καὶ θρησκεύεται. ἐπαινεῖ δὲ αὐτοὺς ὡς φιλοξένους διὰ τὸ παρὰ τῷ πλῷ κεῖσθαι καὶ πολλοὺς ὑποδέχεσθαι. διὰ τοῦτο εἶπεν ἔξοχ' ἀνθρώπων, ἵνα ἐξόχως καὶ ὑπὲρ πάντας ἀνθρώπους εἴπῃ τὴν Θέμιν ἀσκεῖσθαι ἕνεκα φιλοξενίας παρ' Αἰγινήταις· ἐπειδὴ τὸ κεκριμένον καὶ πρὸς ἕκαστον ἀξίας αὐτοῖς προσμαρτυρεῖ. τοῦτο γὰρ μάλιστα ἀξιώματος ἄξιον τὸ τῶν πλησιαζόντων ἑκάστῳ τὴν πρέπουσαν καὶ πρόσφορον ἀποδοῦναι τιμήν. διὰ τοῦτο οὖν φησι τιμᾶσθαι ἐξόχως τὴν τοῦ Διὸς ξενίου Θέμιν. ἐπειδὴ ἔνθα ἂν ᾖ πολύ τι καλὸν, ὡς καὶ ἐν Αἰγίνῃ τὸ τῆς φιλοξενίας, καὶ ἐπὶ πλεῖστον ἀνθρώπων χρόνον ἢ πλῆθος ἀνθρώπων ἔχῃ τὴν ῥοπὴν, περιγινόμενον τοῦτο διακρῖναι καὶ δοκιμάσαι ὀρθῷ λογισμῷ καὶ προσήκοντι, ἵνα ἑκάστῳ τὸ πρέπον παράσχῃ καὶ κατὰ καιρὸν, δύσκολόν ἐστι καὶ δυσανταγώνιστον. ὅπερ Αἰγινῆται ὑπὲρ πάντας κατώρθωσαν. § Ἄλλως. Πάρεδρος ἀσκεῖται Θέμις] Ἀσκληπιάδης ἀντὶ τοῦ τιμᾶται πρὸς τοῦ ξενίου Διὸς, τουτέστι φιλόξενοί εἰσιν, ἴσως διὰ τὸ ἐμπορεῖον εἶναι τὴν Αἴγιναν, ὅθεν τὸν ἐπὶ μεταβολῆς φόρτον Αἰγινητικὸν ἔλεγον καὶ τοὺς παντοπώλας Αἰγινοπώλας. Vet.

Ἔνθα σώτειρα Διός] ἔνθα, ἤγουν ἐν τῇ Αἰγίνῃ, ἐπιμελείας ἀξιοῦται Θέμις, ἀιτὶ τοῦ δίκη, ἡ πάρεδρος τοῦ Διὸς τοῦ ἐφόρου τῶν ξένων, μάλιστα πάντων τῶν ἄλλων ἀνθρώπων. Rec.

29. Πάρεδρος] παρακαθήμενος. Gl. β. γ.

30. Ἔξοχ' ἀνθρώπων] ἵνα βεβαιώσῃ καὶ τὸ ἐξόχως, ἐπάγει· ἔνθα γάρ τι πολὺ ἐστι καὶ ῥοπὴν ἔχει μεγάλην, ὡς καὶ ἐν Αἰγίνῃ τὸ τῆς φιλοξενίας, τοῦτο ὀρθῇ διανοίᾳ καὶ ἀσφαλείᾳ κεχρημένον εἰπεῖν μὴ ἔξω τοῦ προσήκοντος ἀλλ' εὐκαίρως, δύσκολόν ἐστι καὶ δυσπαλές. Vet.

Ὅ, τι γὰρ πολὺ, καὶ πολλᾷ ῥέπει] γνωμικόν ἐστι τὸ λεγόμενον, συντείνει δὲ εἰς τὸν περὶ φιλοξενίας τῶν Αἰγινητῶν λόγον. σημαίνει δὲ τοῦτο· ὅπου γὰρ ἂν ᾖ τι πολὺ καὶ πολλαχοῦ ῥέπειν δυνάμενον, περὶ τοῦ τοιούτου προνοῆσαι καὶ κατὰ τρόπον οἰκονομῆσαι καὶ κατορθῶσαι, δυσχερὲς τοῖς πολλοῖς ἀεὶ γίνεται. τοῦτο δέ φησιν, ὅτι φιλόξενοι ὄντες μετὰ κρίσεως παραδέχονται τοὺς ἀφικνουμένους. [1]) οὐκ εἶναι οὖν φησιν ἀξένους τοὺς Αἰγινήτας καθάπαξ, οὐδὲ μὴν ἀκρίτως ὑποδέχονται τοὺς παραγενομένους οὗτοι πάντας, ὡς ὁ Τηλέμαχός φησιν ἐπὶ τῆς Πηνελόπης· [2])

Τοιαύτη γὰρ ἐμὴ μήτηρ, πινυτή περ ἐοῦσα·
Ἐμπλήγδην ἑτερόν γε τίει μερόπων ἀνθρώπων
Χείρονα, τὸν δ' ἕτερον ἀτιμήσασ' ἀποπέμπει.

δύναται οὖν τὸ πολὺ καὶ πολλὰ ῥέπον ἐπὶ τοῦ ὄχλου τίθεσθαι τοῦ ἐν τῇ πόλει, οἷον· ὅπου ἐστὶν ὄχλος, ἐνταῦθα τὸν κατοικοῦντα ὄχλον τῶν συμφερόντων τι νοῆσαι χαλεπόν ἐστιν. ἀκριβοῦς γὰρ διανοίας ἔργον ἐστὶ τοῦτο καὶ ἠρεμούσης καὶ ὀλίγων ἀνδρῶν τὸ ἐπὶ τοιαύτην ἐνεχθῆναι κρίσιν. οὕτω γὰρ ἐπλήθυναν οἱ Αἰγινῆται, ὡς τεσσαράκοντα ἑπτὰ μυριάδας οἰκετῶν κτήσασθαι, ὥς φησιν Ἀριστοτέλης. [3]) § τεθμὸς δὲ νόμος, κρίσις, δόγμα, δόκησις· ἀλιερκέα δὲ χώραν τὴν Αἴγιναν· νῆσος γάρ. [4]) § ἐπαινεῖ δὲ τοὺς

1) Haec inde a verbis τοῦτο δέ φησιν addidi ex Vrat. A. 2) Odyss. υ, 131. Supplevi ex Vrat. A. Homerus paullo aliter; Vrat. A. ἐκπλήγδην. 3) Sic dedi ex Vrat. A. addito ex vulgatis γάρ. In Vrat. A. est μζ', non τεσσ. ἑπτ. Aristotelis nota auctoritas apud Athenaeum VI, p. 272. D. 4) Vrat. D.

Digitized by Google

Αἰγινήτας, ὅτι πάντας δεχόμενοι ἐξαιρέτως τοὺς ἀγαθοὺς ἔχουσιν. πολλοὺς γὰρ ξένους παραγίνεσθαί φησιν εἰς Αἴγιναν, καὶ δυσχερὲς ὁμοῦ πολλῶν ὄντων διαγινώσκειν τοὺς Αἰγινήτας, χρηστὸς τίς ἢ τίς φαῦλος· καὶ ὅμως τοσούτους ὑποδεχόμενοι περὶ ἀγαθοὺς μᾶλλον ἐσπουδάκασιν. τὸ δὲ ὅ, τι πολὺ καὶ πολλὰ ῥέποι, τὸ γένος τῶν ἀνθρώπων· τὸ δὲ δυσπαλὲς ἀπὸ τῶν δοράτων ἔχει τὴν μεταφοράν, καὶ τὸ ῥέπειν ἀπὸ τῶν ἱστάντων ἐπὶ ζυγῷ. ὅταν γὰρ τὸ ἐν τῷ ζυγῷ ἐλαφρὸν ᾖ, εὐχερὲς τὴν ἰσότητα γνῶναι· ἐὰν δὲ βαρὺ, δυσχερές. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι εἰς ὑπερβολὴν εἰσι διακρίνειν τὸ καλὸν καὶ τὸ δυσχερές· ὅπερ καὶ παρὰ τοῖς ἄλλοις χαλεπὸν νομίζεται. [1]) Vet.

Ὅ, τι γὰρ πολὺ, καὶ πολλὰ ῥέπει] καὶ γὰρ ὅπερ ἂν ᾖ τι πολὺ καὶ πολλαχόσε, ἤγουν εἰς πολλὰς ὁδοὺς τείνει διαφερούσας ἀλλήλων, τοῦτο διοικεῖν ἀσφαλεῖ κρίσει λογισμοῦ καὶ δικαίᾳ οὐκ ἔξω τοῦ ἐγκαίρου, ἤγουν τοῦ ἁρμόζοντος, δυσχερές ἐστιν· ὥσπερ ἐν αὐτῇ τῇ Αἰγίνῃ δηλονότι πλῆθος συῤῥεῖ ξένων διαφέρον τὰς γνώμας, εἶτα ὀρθῶς διοικεῖται. Rec.

31. Εἰς πολλὰ διανοήματα κατὰ τὰς γνώμας, ἀλλ' ὅμως κρίνεται ἐν ὀρθῇ γνώσει. Schol. Bodl. γ.

Ῥέπει] κλίνει. Gl. γ.

33. Δυσπαλές] δύσκολον. Gl. β. γ. δεινὸν, δυσκλήρωτον. Gl. α.

Θεσμός] τὸ σημεῖον χ', ὅτι θεσμὸν νῦν τὸ δόγμα καὶ τὴν δόκησιν εἴρηκεν. § ἔτι πρὸς τὰ δεδηλωμένα τείνει περὶ τῆς εἰς τοὺς ξένους αὐτῶν εὐεργεσίας. [2]) § τὸ δὲ σαφὲς οὕτως ἔχει· θεσμὸς δέ τις καὶ δικαία κρίσις τῶν θεῶν καὶ ταύτην τὴν τῇ θαλάττῃ περιτετειχισμένην Αἴγιναν τοῖς πανταχόθεν ἐπιφοιτῶσι ξένοις βάθρον ὥσπερ καὶ ἔρεισμα θεῖον ἐνομοθέτησεν. Vet.

Θεσμὸς δέ τις ἀθανάτων, ἤγουν συνθήκη δέ τις, βουλὴ τῶν θεῶν, καὶ ταύτην τὴν χώραν τὴν ἁλιερκέα, ἤτοι τὴν θαλάσσῃ περιτειλημμένην, παντοδαποῖς ξένοις, ἤγουν ἀπὸ παντὸς τόπου ἀφικνουμένοις, ὑπέστησε κίονα δαιμονίαν, ἤτοι θείαν ἢ ὀλβίαν, τουτέστιν ὑποκειμένην ἐποίησεν εἰς ἀνάπαυσιν καὶ ἀσφάλειαν παντοδαπῶν ξένων ὥσπερεί τινα κίονα ὀλβίαν. Rec.

34. Ἁλιερκέα] ἀπὸ τῆς ἅλς ἁλὸς, καὶ τοῦ ἕρκος ὁ περίβολος καὶ τὸ τεῖχος. Schol. γ. θαλασσοτείχιστον. Gl. γ.

36. Κίονα δαιμονίαν] καταφύγιον εὐτυχές. Gl. γ.

37. Ὁ δ' ἐπαντέλλων χρόνος μὴ κάμοι] μήποτε οὖν ἐν παντὶ τῷ ἐπιόντι χρόνῳ λίποι τὸ τοιοῦτο μηδὲ κάμοι αὐτὸς ὁ χρόνος τοῦτο πράττων. ἔστι δὲ τοῦτο μέσον παρεμβληθὲν, ἐπεὶ ἡ ἀκολουθία· κίονα δαιμονίαν Δωριεῖ λαῷ, καὶ τὰ ἑξῆς, ἵν' ᾖ· τὴν Αἴγιναν τὴν χώραν, ἥτις ἐστὶ κίων τῶν ξένων, ἡ κρίσις τῶν θεῶν ὑπέστησεν ὑπὸ τοῦ Δωριέως λαοῦ βασιλευομένην μετὰ τὸν Αἰακόν. § ὁ δὲ ἐπιὼν χρόνος μὴ κάμοι διαφυλάσσων αὐτοὺς ἐν φιλοξενίᾳ. [3]) Vet.

Ὁ δ' ἐπαντέλλων χρόνος] ὁ δὲ ἐπερχόμενος χρόνος τοῦτο ἐνεργῶν εἴθε μὴ ἀτο-

[1]) Confusam hanc farraginem praebet Vrat. A. Pro verbis πολλοὺς γὰρ ξένους cod. ὅτι γὰρ πολλοὶς ξένους. In medio fere scholio ὅ,τι addidi ante πολύ. [2]) Haec inde ab ἔτι inserui ex Vrat. A. [3]) Vrat. A.

Digitized by Google

νήσειε. διὰ μέσου τοῦτο. τὸ δὲ ἑξῆς· παντοδαποῖς ὑπέστησε ξένοις κίονα δαιμονίαν Δωριεῖ λαῷ ταμιευομένην ἐξ Αἰακοῦ, τουτέστιν ὑπὸ τῶν Ἀργείων, οἱ γὰρ Ἀργεῖοι τοῦ Δωρικοῦ γένους, διοικουμένην μετὰ τὸν Αἰακόν. ἐκ Διὸς καὶ Αἰγίνης ἡρωΐδος Αἰακὸς, ἀφ' ἧς παρωνομάσθη ἡ πόλις ἡ Αἴγινα. Rec.

39. Δωριεῖ λαῷ] ὅτι οἱ μετὰ τὴν Αἰακοῦ βασιλείαν Δωριεῖς τῆς Αἰγίνης ἐκράτησαν. Αἰακοῦ γὰρ καὶ Ψαμάθης Νηρηΐδος Φῶκος ἐγένετο. τοῦτον ὡς νόθον ἀδελφὸν ἀπέκτειναν Πηλεὺς καὶ Τελαμών, καὶ φεύγει ὁ μὲν Πηλεὺς εἰς Θετταλίαν, τὴν καλουμένην Φθίαν, Τελαμὼν δὲ εἰς τὴν Σαλαμῖνα. τελευτήσαντος οὖν τοῦ Αἰακοῦ ἔρημος ἡ νῆσος περιελείπετο βασιλέως. ἐν τούτοις Τριάκων τις Ἀργεῖος συλλέξας πλῆθος Ἀργείων, οἱ δὲ Ἀργεῖοι τοῦ Δωρικοῦ γένους, εἰς τὴν Αἴγιναν ἦλθον καὶ κατῴκησαν, καὶ οὕτως ἔδοξε μετὰ τὸν Αἰακὸν ἀποταμιεύεσθαι τοῖς Δωριεῦσιν ἡ τῆς Αἰγίνης ἀρχή. Vet.

41. Τὸν παῖς ὁ Λατοῦς] ὅντινα Αἰακὸν ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν μέλλοντες τὸν στέφανον καὶ τὸ τεῖχος τῆς Ἰλίου κατασκευάζειν συνεργὸν εἵλοντο καὶ συλλήπτορα. τούτους γὰρ κατεδίκασεν ὁ Ζεὺς πρὸς τὴν τειχοποιΐαν ὑπηρετῆσαι τῷ Λαομέδοντι, ἐπειδὴ ἐπεβούλευσαν αὐτῷ εἰς τὴν βασιλείαν. ἠθέλησαν γὰρ αὐτὸν μεταστῆσαι, ὡς καὶ Ὅμηρος μνημονεύει· [1])

Ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων,

οὐχ ὡς ἔνιοι, καὶ Παλλὰς Ἀθήνη. § ἰδίως φησὶν ὁ Δίδυμος καὶ τούτοις χρῆσθαι τὸν Πίνδαρον· τὸν γὰρ Ποσειδῶνα καὶ Ἀπόλλωνα εἰς τὴν τοῦ τείχους κατασκευὴν φησι τὸν Αἰακὸν προσλαβεῖν, ἵνα διὰ τούτου τοῦ μέρους τοῦ ὑπὸ Αἰακοῦ οἰκοδομηθέντος ἁλώσιμος γένηται ἡ Ἴλιος. παρ' οὐδενὶ δὲ πρεσβυτέρῳ Πινδάρου ἡ ἱστορία. ὁ δὲ Εὐφορίων φησίν·

Ἦ γὰρ δὴ Φοῖβός τε Ποσειδάων τ' ἐκάλεσσαν
Αἰακὸν, οὐκ ἀβοήθητοι κρήδεμνα δέμοντες. [2]) Vet.

Ὃν παῖς ὁ Λατοῦς] ὅντινα, ἤγουν τὸν Αἰακὸν, ὁ υἱὸς τῆς Λατοῦς ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν ὁ μεγάλην βασιλεύων βασιλείαν μέλλοντες ἐπιτεύξειν, ἀντὶ τοῦ ἐντεύξειν, ἤγουν κατασκευάσειν στέφανον καὶ περίβολον, περιτείχισμα τῷ Ἰλίῳ, ἐκάλεσαν συνεργὸν ἕνεκα τοῦ τείχους, ὅτι ἦν μεμοιραμένον κινουμένων πολέμων ἐν μάχαις πορθητικαῖς τῶν πόλεων ἀναπνεῦσαι αὐτὴν, ἤγουν τὴν πόλιν, λάβρον καπνὸν, ἀντὶ τοῦ ἀναπνοὴν ἀναπέμψαι καπνοῦ σφοδροῦ. γλαυκοὶ δὲ δράκοντες τρεῖς, ἤγουν στιλπνοὶ τοὺς ὀφθαλμοὺς καὶ τῇ ἐνοράσει ἐκφοβοῦντες, ἐπεὶ ἐκτίσθη νέον, ἤτοι παραχρῆμα, τὸν πύργον, ἤγουν τὸ τεῖχος ἐσαλλόμενοι, ἀντὶ τοῦ, εἰσπηδῆσαι πειρώμενοι, οἱ δυο μὲν κατέπεσον, αὐτόθι δὲ ἀτυζόμενοι, ἤγουν ταραττόμενοι, ἐν ἄτῃ γενόμενοι, τὰς πνοὰς ἀπέβαλον, ἤτοι ἀπέπνευσαν, ὁ εἷς δὲ εἰσῆλθε βοήσας, ἀντὶ τοῦ συρίξας. Rec.

Εὐρυμέδων] μεγάλως βασιλεύων. Vet.

1) Iliad. α, 399. 2) Ex Vrat. A. Προλαβεῖν in προσλαβεῖν mutavit Gerhardus: post quod omisi haec: καὶ τὸν λόγον ἀποδίδωσι, φησίν, quae vacua sunt. In versibus Euphorionis cod. ἦ γὰρ Δηΐφοβος: δὴ Φοῖβος correxit Gerhardus. Versu altero codex πρὸς κρήδεμνα δέμονες, quae emendavi.

Digitized by Google

42. Ἐπὶ στέφανον τεῦξαι] μεταφορικῶς τὸ τεῖχος· στέφανοι γὰρ ὥσπερ τῶν πόλεων τὰ τείχη. καὶ Ἀνακρέων· [1])

Νῦν δ' ἀπὸ μὲν πόλεως στέφανος ὄλωλεν. Vet.

44. Ἦν ὅτι νιν πεπρωμένον] αὐτὸ τὸ τεῖχος. οὗτοι δὲ συνεργὸν εἵλοντο τὸν Αἰακὸν, ἐπειδὴ ἦν αὐτῷ πεπρωμένον, τῷ τείχει, πολέμου γενομένου πυρὶ καταφλεχθῆναι πολλῷ. οὐ γὰρ ἦν δυνατὸν ἁλῶναι αὐτὸ, εἰ τὸ πᾶν ἔργον ἦν τῶν θεῶν. § Ἄλλως. ὅτι πέπρωτο δορυάλωτον γενομένην τὴν πόλιν ταύτην ἐμπυρισθῆναι, διὰ τοῦτό φασι τὸν Ποσειδῶνα καὶ τὸν Ἀπόλλωνα εἰς τὴν τῆς Ἰλίου τείχησιν προσλαβεῖν τὸν Αἰακὸν, διὰ τοῦ ὑπ' αὐτοῦ οἰκοδομηθέντος ἵνα ἁλώσιμος γένηται, καὶ μὴ διὰ τοῦ ὑπὸ τῶν θεῶν. Vet.

48. Γλαυκοὶ] φοβερόφθαλμοι. Gl. β.

Γλαυκοὶ δὲ δράκοντες] ἀντὶ τοῦ φοβεροί. ὁ δὲ τοῦς· ἐπειδὴ οὖν ποτε ἐκτίσθη τὸ τεῖχος, εὐθέως καὶ παραχρῆμα τρεῖς δράκοντες ἐφάνησαν, ὧν οἱ μὲν δύο βουλόμενοι εἰσελθεῖν διὰ τοῦ πύργου εἰς τὸ ἐντὸς κατέπεσον καὶ ἀπέθανον, ὁ δὲ εἷς δράκων εἰσῆλθε μετὰ συριγμοῦ καὶ βοῆς. δηλοῖ δὲ τὴν ἅλωσιν τὴν τότε γενομένην· οἱ γὰρ ἐπιόντες πολέμιοι εἰώθασιν ἐφορμᾶν ἅμα βοῇ. § ἀκαταλλήλως εἶπεν· ἔδει γὰρ εἰπεῖν· γλαυκῶν δὲ δρακόντων εἰσαλλομένων τριῶν οἱ δύο μὲν κατέπεσον, ὁ δὲ εἷς ἀτόρουσε. τὸ δὲ σχῆμα Ὁμηρικόν· [2])

Οἱ δύο μὲν σκόπελοι, ὁ μὲν οὐρανὸν εὐρὺν ἱκάνει. Vet.

Κτίσθη νέον] οἱ μὲν νεωστὶ κατασκευασθὲν, οἱ δὲ ἀντὶ τοῦ εὐθύς. [3]) Vet.

49. Ἐσαλλόμενοί γε τρεῖς] κτισθέντος, φησὶ, τοῦ τείχους τρεῖς ἐσεπήδησαν δράκοντες, ὧν τοὺς δύο ἀποθανεῖν, τὸν δὲ ἕτερον ἕνα περιγενέσθαι καὶ εἰσελθεῖν. ἐπειδὴ τρεῖς οἱ κατασκευάζοντες· οἱ μὲν οὖν τῶν θεῶν ἀπέθανον, ὁ δὲ τοῦ Αἰακοῦ εἰσῆλθεν. [4]) Vet.

51. Ἀτυζόμενοι] ἢ ταραττόμενοι· Ὅμηρος, Πατρὸς φίλου ὄψιν ἀτυχθείς· [5]) ἢ περὶ τὴν ἄτην, τουτέστιν ἐν ἄτῃ ἐγένοντο. ἀπέθανον γάρ... [6]) Vet.

52. Εἷς δ' ἐσόρουσεν] δύο μὲν δράκοντας, Ἀχιλλέα καὶ Αἴαντα· ὁ δὲ περιγενόμενος Ἀχιλλέως υἱός. καθ' ὃ μέρος ᾠκοδόμει ὁ Αἰακὸς, εἰσῆλθεν ὁ δράκων· δι' οὗ οἱ Ἕλληνες εἰσῆλθον, διὰ τοῦ Δουρείου λυσάντων αὐτῶν τῶν Τρώων. [7]) Vet.

Ἐσόρουσε] ἔσω ὥρμησεν. Gl. β. γ.

53. Ἔννεπε δ' ἀντίον] ἔννεπε δὲ, ἀντὶ τοῦ εἶπεν εὐθὺς ὁ Ἀπόλλων ὁρμαίνων, ἤγουν διαλογιζόμενος, σκοπῶν τέρας ἐναντίον, τουτέστιν ἐχθρὸν, οὐ δεξιόν· ἡ Πέργαμος, ἤγουν ἡ ἐξοχὴ τοῦ τείχους, ὦ ἥρως Αἰακὲ, ἐπὶ ταῖς σαῖς ἐργασίαις, ἤτοι κατασκευαῖς, τῆς χειρὸς, ἤγουν διὰ τῆς σῆς χειρὸς, ἁλίσκεται, ἤγουν ἁλώσιμος ἔσται. Rec.

Ἀντίον ὁρμαίνων] φροντίζων καὶ τὴν διάνοιαν ἐφιστάς. ὁ δὲ λόγος· οὐχ ὑπερέθετο στοχάζεσθαι, φησὶν, ἀλλ' ἐξεναντίας ὁρῶν ἔτι εἶπεν. [8]) ὡς δὲ συνέβαλε τὸ σημεῖον, καὶ οἰκείως ἔνεπεν· οἱ προσβαλοῦντες κατὰ τὰ ἡμέτερα τείχη ἀπολοῦνται, καθάπερ οἱ δύο δράκοντες· ὁ δὲ κατὰ τὸ Αἰακοῦ τείχισμα ἐλθὼν δράκων κρατήσει, τουτέστιν οἱ προσβαλόντες κατ' ἐκεῖνο τὸ μέρος· ὥστε ἀπὸ τῶν τριῶν, ἐπειδὴ τὸ τρεῖς ἀρχὴ

1) Fragm. 32. 2) Odyss. μ, 73. 3) Vrat. D. Κατασκευασθέν, quippe τεῖχος. 4) Vrat. A. 5) Iliad. ζ, 468. 6) Vrat. A. 7) Ibidem. 8) An ὁρμῶν εἶπεν?

Digitized by Google

πλήθους ἐστὶ, τὸ πλῆθος τῶν Ἀχαιῶν εἰς σημείωσιν ἦχθαι. τινὲς δὲ εἰς τὸ ἐγγὺς τὸ αἴνιγμα ἔτι θέλουσιν ἄγειν. ἐπειδὴ γὰρ οἱ δράκοντές εἰσι τρεῖς, ὧν οἱ δύο ἀπέθανον, ὁ δὲ εἷς εἰςῆλθεν, ἀνάγεται πρὸς τοὺς ἐξ Αἰακοῦ, λέγεται δέ· Τελαμὼν καὶ Πηλεὺς δύο ἀδελφοί· δύο τούτων παῖδες προςβαλοῦσι μὲν, ἀπολοῦνται δὲ, Αἴας δηλονότι καὶ Ἀχιλλεύς· ὁ δὲ εἷς Νεοπτόλεμος, ὃς καὶ ἐντὸς τῆς πόλεως ἐγένετο, οὗτος κρατήσει τῆς πόλεως· ὥςτε τὸ ἀνάλογον σώζεσθαι καὶ δράκοντι τῷ εἰςελθόντι καὶ σωθέντι. § Ἄλλως. Ὁρμαίνων] διαλογιζόμενος, διανοούμενος. εἶπε δὲ ὁ Ἀπόλλων ἐναντίον καὶ ἀδέξιον θεασάμενος τὸ γεγονὸς τέρας. Vet.

55. Πέργαμος] ἡ τετειχισμένη. Gl. β.

Πέργαμος ἀμφὶ τεαῖς] Πέργαμος ἡ ἀκρόπολις. Ὅμηρος· [1]) Περγάμῳ ἐν ἱερῇ. ἀποστρέφει δὲ τὸν λόγον πρὸς Αἰακόν. ἡ πόλις δὲ, ὦ ἥρως Αἰακὲ, τῶν Τρώων εὐάλωτος γενήσεται κατὰ τὴν ἐργασίαν τῶν σῶν χερῶν, ὡς ἐμοὶ τὸ σημεῖον τὸ γεγενημένον ἐκ τοῦ Διὸς δηλοῖ. § Ἄλλως. κατὰ τὰς σὰς ἐργασίας ἡ Πέργαμος ἁλίσκεται, οἷον ἁλώσιμος ἔσται. ὅμοιον τῷ· [2]) Ἤτοι βίοτον κατέδουσιν, ἀντὶ τοῦ καταβρώσονται· οὐδέπω γὰρ παρῆσαν οἱ μνηστῆρες, ὅτ' ἐσφαγίαζεν ὁ Ὀδυσσεύς· ἀλλ' ἀντὶ τοῦ κατεδοῦνται κατέδουσιν εἶπεν. Vet.

56. Ἁλίσκεται] χαλᾶται. Gl. γ.

57. Φάσμα] φάσμα λέγει τὸ φάντασμα, τὸ σῆμα. εἴρηται παρὰ τὸ φαίνειν καὶ δηλοῦν. Vrat. D.

Ὡς ἐμοὶ φάσμα λέγει Κρονίδα] οὕτως ἐμοὶ λέγει, ἀντὶ τοῦ νοεῖν δίδωσι, τὸ πεμφθὲν φάσμα, ἤγουν ἡ πεμφθεῖσα ὄψις τοῦ Διὸς τοῦ υἱοῦ τοῦ Κρόνου τοῦ τῶν βαρυήχων βροντῶν αἰτίου· οὐκ ἄτερ παίδων σέθεν, ἤγουν οὐκ ἔξω τῶν ἀπογόνων σου ἁλώσιμος ἔσται, ἀλλ' ἅμα τοῖς πρώτοις σοῖς ἀπογόνοις, ἤγουν τῷ Τελαμῶνι, ἄρξεται, τουτέστιν ἀρχὴν λήψεται τοῦ ἁλίσκεσθαι, καὶ τοῖς ἀπὸ σοῦ δηλονότι τετάρτοις, ἤγουν τῷ Νεοπτολέμῳ, ἁλώσεται δηλονότι. Rec.

60. Πρώτοισιν ἄρξεται καὶ τετράτοις] ἰδίως κατὰ τὴν φράσιν οὐ τῷ αὐτῷ ἀριθμῷ κέχρηται· ὅτε μὲν γὰρ λέγει πρώτοις, οὐ συγκαταριθμεῖται Αἰακός· ὅτε δὲ λέγει τετάρτοις, συμπεριλαμβάνει καὶ τὸν Αἰακόν. πρῶτοι μὲν οὖν εἰσιν οἱ περὶ Πηλέα καὶ Τελαμῶνα, δεύτεροι δὲ Ἀχιλλεὺς καὶ Αἴας τούτων ὄντες υἱοὶ, τρίτος δὲ ὁ Νεοπτόλεμος· συγκαταριθμουμένου δὲ τοῦ Αἰακοῦ γίνεται τέταρτος στρατευόμενος. εἰ δὲ μεθ' Ἡρακλέος ἐπὶ τοῦ Λαομέδοντος Πηλεὺς κατὰ τὸν Πίνδαρον, κατὰ δὲ τοὺς ἄλλους μόνος Τελαμὼν, δεύτεροι δὲ ποιοῦνται στρατείαν μετ' Ἀγαμέμνονος Ἀχιλλεὺς καὶ Αἴας, μετὰ δὲ ταῦτα Νεοπτόλεμος στρατεύσας αἱρεῖ τὴν Ἴλιον· τὸ σημαινόμενον οὖν ἐστι, πρώτοις τοῖς περὶ Πηλέα, τετάρτῳ δὲ τῷ Νεοπτολέμῳ, συγκαταριθμουμένου τοῦ Αἰακοῦ. § Ἄλλως. Πρώτοις ἄρξεται καὶ τετράτοις] ἁλωθήσεται δὲ ἡ Τροία οὐ χωρὶς τῶν σῶν ἐκγόνων, ἀλλ' ἀρχὴν μὲν ἕξει τοῦ πορθεῖσθαι ἀπὸ τῶν σῶν παίδων, τῶν περὶ τὸν Πηλέα λέγει καὶ Τελαμῶνα· οὗτοι γὰρ συνεστράτευσαν Ἡρακλεῖ ἐπὶ τὴν Ἴλιον διὰ τοὺς Λαομέδοντος ἵππους· ἁλωθήσεται δὲ ὑπὸ τῶν τετάρτων ἀπὸ σοῦ. ἔστι δὲ ὁ Πύῤῥος. ἅμα οὖν πρώτοις ἄρξεται καὶ τετάρτοις· πρῶτοι γὰρ, ὡς προείπομεν, ἐπολέμησαν τοῖς

[1]) Iliad. ε, 446. [2]) Odyss. λ, 115.

Digitized by Google

Τρωσὶ συστρατεύσαντες Ἡρακλεῖ, ὡς καὶ Ὅμηρος μνημονεύει, καὶ τέταρτον Πύῤῥον λέγει τὸν καὶ Νεοπτόλεμον· τέταρτος γὰρ ἐξ Αἰακοῦ. Αἰακοῦ γὰρ Πηλεὺς, οὗ Ἀχιλλεὺς, οὗ Νεοπτόλεμος. τὸ τοίνυν τῶν δρακόντων σημεῖον πρὸς τοῦτο ἔχει τὴν ἀναφοράν. § σὺν Ἡρακλεῖ δὲ ἐστράτευσε καὶ Πηλεὺς, οὐ μόνος Τελαμὼν, ὡς καὶ Εὐριπίδης φησὶν ἐν Ἀνδρομάχῃ. [1]) πρώτοις οὖν τοῖς περὶ Πηλέα πολεμήσασι, τετάρτοις Νεοπτολέμῳ, συναριθμουμένου καὶ Αἰακοῦ, εἰ καὶ μὴ ἐμαχέσατο. [2]) Vet.

61. Ὥς ἄρα θεὸς σάφα εἶπας] ταῦτα τὰ περὶ τῶν δρακόντων σημεῖα σαφῶς διαλύσας ὁ Ἀπόλλων εἰς τοὺς ἰδίους ἐστέλλετο κλήρους. Vet.

Ὥς ἄρα θεὸς σάφα εἶπας] ὁ ἄρα ἀντὶ τοῦ δή. οὕτω δὴ ὁ θεὸς ὁ Ἀπόλλων σαφῶς εἰπὼν εἰς τὸν Ξάνθον τὸν ποταμὸν, ἀπὸ τούτου δὲ τὴν Λυκίαν θέλει δηλοῦν, ἤπειγε, τουτέστιν ἔσπευδεν ἐλαύνων τοὺς ἵππους δηλονότι, καὶ ἐκ τούτου εἰς τὰς Ἀμαζόνας τὰς καλαῖς ἵπποις χρωμένας, ἤτοι τὰς πολεμικὰς, καὶ ἀπὸ ἐκείνων εἰς τὸν Ἴστρον τὸν ποταμὸν, τουτέστιν εἰς τὴν Σκυθίαν· ὁ ὀρσοτριαίνης δὲ, ἤγουν ὁ Ποσειδῶν ὁ τὴν τρίαιναν φέρων, ἀποπέμπων τὸν Αἰακὸν δεῦρο, ἤγουν ὧδε, τουτέστιν εἰς τὴν Αἴγιναν, ἐν χρυσοῖς ἵπποις, ἐπέτεινε τὸ ταχὺ ἅρμα, ἤτοι ἐπέσπευδεν ἐπὶ τὸν Ἰσθμὸν τὸν περὶ τὴν Κόρινθον καὶ ἐπὶ τὴν δειράδα, ἤγουν τὴν ἐξοχὴν τῆς Κορίνθου, θεασόμενος τὴν δαῖτα, ἀντὶ τοῦ τὴν θυσίαν τὴν κλυτὴν, ἤτοι τὴν εὐκλεᾶ, τὴν περιαδομένην, τὴν τελουμένην αὐτῷ, ἐκεῖ δηλονότι. Rec.

62. Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας] ἀπὸ κοινοῦ τὸ ἔσπευδεν, εἰς Ἀμαζόνας οὔσας παρὰ τῷ Θερμώδοντι ποταμῷ τῆς Παφλαγονίας, ἵν' ἔχῃ τὸ ἑξῆς οὕτω κατὰ τὸν τῆς χωρογραφίας λόγον· πρῶτον μὲν εἰς Λυκίαν ἔσπευδεν, ἔπειτα εἰς τὰς Ἀμαζόνας, εἶτα ἐκεῖθεν διέβαινεν εἰς Σκυθίαν καὶ [3]) τὸν Ἴστρον ποταμὸν, λέγει δὲ τοὺς Ὑπερβορέους, παρεγένετο. καὶ τὰ μὲν πρῶτα χωρία τῆς Ἀσίας εἰσὶ, τὰ δὲ δεύτερα τῆς Εὐρώπης. § Ἄλλως. Ξάνθον ἤπειγεν] ἐκ δὲ τούτου εἰς Λυκίαν. ἱερὰ γὰρ τῷ θεῷ. § Ξάνθον ἤπειγεν] ποταμὸς Λυκίας, ἀφ' οὗ δηλοῖ ὅτι εἰς Λυκίαν ἠπείγετο. ἤπειγε δὲ ἀντὶ τοῦ ἠπείγετο, ἐνεργητικὸν ἀντὶ παθητικοῦ. [4]) Vet.

63. Ἴστρον ἐλαύνων] εἰς Ὑπερβορέους, ἔνθα Ἴστρος τὰς πηγὰς ἔχει. Vet.

64. Ὀρσοτρίαινα] κλητικὴ ἀντὶ τῆς εὐθείας, ὡς καὶ παρ' Ὁμήρῳ· [5]) Ἱππότα Πηλεύς. ὁ δὲ νοῦς· ὁ δὲ ὀρσοτριαίνης Ποσειδῶν ἐπὶ τοῦ Ἰσθμοῦ τοῦ παραθαλασσίου, ὅς ἐστι πλησίον τῆς Κορίνθου, ἠπείγετο θεάσασθαι .... τὴν τὰς θυσίας αὐτῷ καὶ τὴν τὰς τιμὰς ἐνδόξως τελοῦσαν. § ὁ μὲν οὖν Ἀπόλλων, φησὶν, εἰς τὸν Ξάνθον καὶ εἰς τὸν Ἴστρον ἠπείγετο, ὁ δὲ Ποσειδῶν εἰς Ἰσθμὸν ἤλαυνε χωριζόμενος ἐκ τῆς Τροίας καὶ ἀποπέμπων τὸν Αἰακὸν δεῦρο, τουτέστιν εἰς Αἴγιναν. θηλυκῶς τὸν Ἰσθμὸν, ὡς ἐν ἄλλῳ. [6]) Vet.

Ἐπ' Ἰσθμῷ ποντίᾳ] ἐπίφορός ἐστι πρὸς τὰ θηλυκὰ, ὡς τὸ, Ἐν αἰνᾷ Ταρτάρῳ, [7]) ὡς καὶ νῦν τῇ Ἰσθμῷ. τὸ δὲ Ἅρμα θοὸν τάνυεν, εἰς δρόμον παρώξυνεν.

[1]) Vs. 798 sqq. [2]) Ex Vrat. A. ubi Νεοπτολέμου. Delevi post Ἀνδρομάχ. haec verba: ὅτι μόνος Τελαμὼν· συγκαταριθμούμενος οὖν τέταρτος Νεοπτόλεμος. [3]) Recte Heynius ἐπὶ addi vult. [4]) Vrat. A. [5]) Iliad. π, 33. [6]) Ex Vrat. A. [7]) Sic connexi; vulgo Εὐδίνα Ταρταρίᾳ: sed codex a Gerhardo collatus Ἐνδίνα. Locus est Pyth. I, 15.

Digitized by Google

Ὅμηρος· [1]) Τανύοντο δὲ μώνυχες ἵπποι. § Τάνυεν· ἀπὸ τοῦ παρακολουθοῦντος τοῖ ἤλαυνεν. ἐτανύοντο δὲ μώνυχες ἵπποι. ἐὰν γὰρ τρέχωσι, τείνονται. [2]) Vet.

66. Ἀποπέμπων Αἰακὸν δεῦρο] εἰς τοῦτον τὸν τόπον· ὑπόκειται γὰρ τὸ ἐγκώμιον ἐν Αἰγίνῃ. ἀπὸ τοῦ χοροῦ δὲ ὁ λόγος. Vet.

68. Κορίνθου δειράδα] ἐν γὰρ τῇ Κορίνθῳ τιμᾶται ὁ Ποσειδῶν. δειράδα δὲ κυρίως τὸν τράχηλον, καταχρηστικῶς δὲ πάντα τὰ ἄλλα. ὁ δὲ Ἰσθμὸς στενοῦται ὡς ἐπὶ σώματι τράχηλος. [3]) Vet.

69. Δαῖτα κλυτάν] εὐωχίαν ἔνδοξον. Gl. γ.

70. Τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσεται οὐδέν] διάφοροι τῶν παλαιῶν ἐξηγήσεις περὶ τοῦτο γεγόνασι τὸ ῥητόν. οἱ μὲν γὰρ οὕτως· ἐπειδή, φασί, διεχώρισε τοὺς θεοὺς καὶ ἕκαστον ἐπὶ τοὺς ἀρεσκομένους ἤγαγε τόπους, οἰκείως ἐπάγει τὸ κῶλον· ὅτι ἴσως οὐδὲν τερπνόν ἐστι τοῖς πᾶσιν, οὔτε μὴν ἀνθρώποις οὔτε θεοῖς. οἱ δὲ οὕτως· ἐπειδὴ καινοτέρῳ τῷ τρόπῳ τῶν ἐγκωμίων ἐπιβάλλει τρεῖς ἅμα καθ' ἕνα ἐπινίκιον ἐγκωμιάσας, φασὶ τὸν Πίνδαρον λέγειν ὑπεραπολογούμενον τοῦ ἐγχειρήματος ταῦτα· οὐδὲν ἴσως τερπνόν ἐστι τοῖς πᾶσιν· εἰ γὰρ ἀηδὲς τοῦτο τοῖς ἄλλοις δοκεῖ, ἀλλ' οὖν ἐμοὶ προσφιλές. ὡς Ὅμηρος· [4])

Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.

§ Ἄλλως. οὐχ ὁμοίως ἐπὶ τοῖς αὐτοῖς τέρπονται ἅπαντες· ἄλλος γὰρ ἄλλο προκρίνει· οὐδὲν δὲ τοῦ νικᾶν τερπνότερον παρὰ τοῖς ἀνθρώποις. § οἷον, οὐ πάντες ἐπὶ τοῖς αὐτοῖς χαίρουσιν οὐδὲ τέρπονται. τάχα γὰρ ἂν ὑπό τινων φθονηθείην, εἰ παραβὰς τὸν ὕμνον Μελησίαν ἐπαινέσω· πράξω δὲ ὅμως τὸ τοιοῦτον, εἰ καὶ μὴ πᾶσι χαρίζομαι. [5]) Vet.

Τερπνὸν δ' ἐν ἀνθρώποις] τουτέστιν ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν οὐδὲν ἔσται, ἀντὶ τοῦ ἐστὶν, ἐν ἴσῃ μοίρᾳ τατταμένον, πᾶσι δηλονότι, ἤγουν οὐδέν ἐστιν ἡδὺ ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν, ἐφ' ᾧ πάντες ἐπίσης τερφθήσονται. διὸ οὐδὲ τοῖς θεοῖς δηλονότι οἱ αὐτοὶ τόποι ἀρέσκουσιν. § Τερπνὸν δ' ἐν ἀνθρώποις] προκατάστασίς ἐστιν οὗ μέλλει εἰπεῖν περὶ τοῦ Μελησίου, ὃς ἦν ἀλείπτης Ἀλκιμέδοντος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Τιμοσθένους. ἐνίκησε δὲ οὗτος ὁ Μελησίας νέος ὢν ἐν τῇ Ὀλυμπίᾳ. βούλεται οὖν Πίνδαρος ταύτην τὴν νίκην εἰπεῖν νῦν, καὶ ἐπειδὴ τὸ παιδικῆς νίκης μεμνῆσθαι μέμψιν ἂν αὐτῷ παρὰ τῶν ἀκουόντων ἤγαγεν, ὡς ἤδη πρεσβυτέρου ὄντος τοῦ Μελησίου, φησίν· Εἰ δὲ ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων, ἤγουν εἰ δὲ ἐγὼ ἀνέδραμον ἐν τῷ ὕμνῳ κῦδος καὶ δόξαν τῷ Μελησίᾳ ἐξ ἀγενείων, ἤγουν εἰ ἐπαινέσαιμι αὐτὸν, ὅτι ἀγένειος ὢν ἐν Ὀλυμπίᾳ πάλαι ἐνίκησε, μὴ βαλέτω με ὁ φθόνος τραχεῖ λίθῳ, ἤγουν μηδεὶς διὰ φθόνον κακῶς ἀγορευέτω με. ἐρέω γὰρ καὶ λέξω ἐν τῇ Νεμέᾳ ταύτην τὴν χάριν, ἤγουν ἣν ἐν τῇ πάλῃ νίκην ἔσχεν ὁμῶς καὶ ὁμοίως, ἤτοι ἀγένειος ὤν. Rec.

71. Εἰ δ' ἐγὼ Μελησίᾳ] εἰ οὖν καὶ αὐτὸς τῷ Μελησίᾳ τὸν ὕμνον ἐφαρμόζων ἐπὶ τὴν δόξαν αὐτοῦ ἀνέδραμον, ἣν ἔσχεν ἀγωνιζόμενος ἐξ ἀγενείων, μηδείς με τοῦ φθόνου τῷ λίθῳ ἀκοντιζέτω, ἀντὶ τοῦ μηδείς με διὰ βασκανίαν κακῶς ἀγορευέτω. Μελησίας δὲ ἀπὸ ἀθλητοῦ νῦν ἀλείπτης τοῦ Ἀλκιμέδοντος. § ἢ οὕτως· εἰ δὲ ἐκ τῶν ὕμνων

[1]) Iliad. π, 375. [2]) Vrat. A. [3]) Vrat. A. Pro voce ἄλλα codex ἄθλα. [4]) Odyss. ξ, 228. [5]) Vrat. A.

Digitized by Google

τοῦ Ἀλκιμέδοντος ἐπὶ τὸ τοῦ Μελησίου κῦδος ἀνέδραμον, ὃ ἔσχεν ἐξ ἀγενείων, μηδείς μοι φθονείτω. ἐρῶ γὰρ καὶ φήσω αὐτὸν ὁμοίως ἐν τῇ Νεμέᾳ τὴν αὐτὴν ἐσχηκέναι χάριν καὶ νίκην· ταύτην δὲ εἴποιμι ἂν, ἣν μετὰ ταῦτα εἰς τὴν τῶν ἀνδρῶν μάχην ἐκ τοῦ παγκρατίου ἔσχεν. § Ἄλλως. ὡς τοῦ Μελησίου προηθληκότος, καὶ τανῦν ἀλείφοντος καὶ διδάσκοντος τὸν Ἀλκιμέδοντα· ὥστε οὐ τῷ Μελησίᾳ γράφεται ὁ ἐπίνικος, ἀλλὰ τῷ Ἀλκιμέδοντι. ὁ οὖν εἰδὼς, φησι, ῥᾳδίως διδάσκει, οὐχ ὁ ἀθλῶν. § Ἄλλως. εἰ δ' ἐγὼ, φησὶ, τὸ γενόμενον τῷ Μελησίᾳ ἐκ τῶν ἀγενείων κῦδος ἀνέδραμον τῷ ὕμνῳ τοῦ Ἀλκιμέδοντος ἀφέμενος, οἷον παραβὰς ἦλθον ἐπ' αὐτόν. ἀνέδραμον δὲ νῦν ἔφη διὰ τὸ προγενεστέραν εἶναι τὴν τοῦ Μελησίου νίκην τῆς ἐνεστώσης. ἔνιοι δὲ τὸ ἀνέδραμον ἀκούουσιν ἀντὶ τοῦ ἀναδραμοῦμαι, οἱονεὶ τὸν ἀθλητὴν καταλιπὼν ἐπὶ τὸν ἀλείπτην ἐλεύσομαι καὶ ὑμνήσω. μηδεὶς δέ με μεμψάσθω. Ὅμηρος· Ὁ ξεῖνος εἴπερ μάλα μηνίει. [1]) Vet.

Εἰ δ' ἐγὼ Μελησίᾳ] εἰ δὲ ἐγὼ διὰ τοῦ ὕμνου εἰς τὸ κλέος ἀνατρέχω τοῦ Μελησίου τὸ ἐξ ἀγενείων, ἤτοι τὸ ἐκ παίδων αὐτῷ γεγενημένον, μὴ βαλέτω με φθόνος λίθῳ σκληρῷ, ἀντὶ τοῦ διασυρμῷ ὀνειδιστικῷ, βαρεῖ. καὶ ἐν τῇ Νεμέᾳ γὰρ ὁμοίως ἐρέω, ἀντὶ τοῦ λέγω, ταύτην τὴν χάριν, τουτέστι τὴν τιμὴν, τὴν νίκην, ὑπάρξαι δηλονότι αὐτῷ· τὴν δὲ τῶν ἀνδρῶν μάχην, ἀντὶ τοῦ τὴν δὲ νίκην τοῦ ἀγῶνος, ὃν ἠγωνίσατο ἐν ἀνδρὸς ἡλικίᾳ, ἔπειτα, ἤγουν μετὰ ταῦτα, λέγω ὑπάρξαι αὐτῷ ἐν παγκρατίῳ. Rec.

73. Μὴ βαλέτω με] μηδείς μοι φθονείτω, εἰ εἰς τὸ γεγενημένον τῷ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον τῷ ὕμνῳ, ἀποσχόμενος τοῦ Ἀλκιμέδοντος. Vet.

Βαλέτω] ὑβρισάτω. Gl. γ.

74. Καὶ Νεμέᾳ γὰρ ἕως τοῦ ἐκ παγκρατίου] ταύτην δὲ τὴν μάχην καὶ τὴν νίκην ἐπὶ τῶν ἀγενείων καὶ ἐν ἀνδράσιν ἔσχεν. ὁμοίως ἐν τῇ Νεμέᾳ τὴν αὐτὴν χάριν ἔσχε νίκης ἀγενείων κἀκεῖ παγκρατίου. Vet.

75. Ἐρέω ταύτην χάριν] τὴν γὰρ αὐτὴν χάριν ὁμοίως ἐρῶ καὶ ἐν Νεμέᾳ γεγενημένην αὐτῷ· καὶ γὰρ ἐκεῖ νενίκηκε τὴν τῶν ἀγενείων, ἐξ ἧς πάλιν Νεμεακὴν νίκην αὐτοῦ συνίστησι τοῦ ἀλείπτου τῶν νικηφόρων τούτων, εἰς οὓς τὸν ἐπίνικον ἔγραψεν. ἔστι δὲ καὶ αὐτὸς τῶν νενικηκότων τοὺς προεκκειμένους ἀγῶνας. [2]) Vet.

76. Τὰν δ' ἔπειτ' ἀνδρῶν] τὴν νίκην, ἐξ ἧς ἐνίκησεν ἀνδράσι παγκρατίῳ. § τὸ ἔπειτα ἀντὶ τοῦ δή. [3]) Vet.

Τὰν δ' ἔπειτα] καὶ ἄλλην δὲ μάχην ἀνδρῶν ἐκ παγκρατίου, ἐρέω ἀπὸ κοινοῦ. καὶ γὰρ ἀγένειος ὢν Μελησίας ἐν Ὀλυμπίᾳ καὶ ἐν Νεμέᾳ ἐκ πάλης ἐστεφανώθη, καὶ ἀνὴρ γενόμενος παγκράτιον ἐνίκησε. τὸ δὲ μάχην ἀνδρῶν λέγει, ἐπειδὴ ἀνὴρ ὢν παγκράτιον εἰς ἄνδρας ἠγωνίσατο. Rec.

77. Τὸ διδάξασθαι δέ τοι] τὸ διδάξασθαι δέ τοι ἐπιστάμενον βέλτιον καὶ εὔκολόν ἐστι, τὸ δὲ μὴ προμαθεῖν ἀπειρίαν ἔχει· τοιγαροῦν τῶν ἀπειράτων ἀνόητοί εἰσι καὶ κοῦφοι καὶ ὡς ἔτυχεν οἱ λογισμοὶ φερόμενοι. ταῦτα δέ φησιν, ἐπειδὴ διδάσκαλος ἐγένετο ἀλείφων τὸν Ἀλκιμέδοντα ὁ Μελησίας, καὶ ἀπὸ τούτου αὐτὸν θαυμάζει ὡς ἀπὸ πείρας καὶ ἐπιστήμης διδάσκοντα. § ὡς τοῦ Μελησίου προηθληκότος, εἶτα νῦν ἀλεί-

1) Vrat. A. Homericus locus est Odyss. ρ, 14. 2) Inde ab ἐξ ἧς Vrat. A. 3) Vrat. A.

Digitized by Google

φοντος καὶ διδάσκοντος τὸν Ἀλκιμέδοντα, οὗ ἀλείπτης ἦν. διὸ καὶ ἔφη· Τὸ διδάξασθαι δέ τοι εἰδότι ῥαΐτερον· ὁ γὰρ εἰδὼς ῥᾷον διδάσκει, οὐκ ἀγνοῶν. [1]) Vet.

Τὸ διδάξασθαι δέ τοι, ἀντὶ τοῦ τὸ διδάξαι τῷ εἰδότι, ἤγουν τῷ ἐμπείρῳ, τῷ ἐπισταμένῳ, ἐστὶ ῥαΐτερον, ἤτοι ῥᾷον ἀντὶ τοῦ ῥᾴδιον, ἤτοι εὔκολον. καὶ ὁ Μελησίας δηλοιότι εἰ μὴ αὐτὸς ἦν ἔμπειρος ἀθλητής, οὐκ ἂν ἄλλους ἀλείφων ἐποίει νικᾶν. τὸ δὲ μὴ προμαθεῖν ἄγνωμον, ἤγουν ἄπειρον καὶ ἀνεπιτήδειον εἰς διδασκαλίας ἑτέρων. τῷ εἰδότι εἰπὼν εὔκολον εἶναι τὸ διδάξαι ὤφειλεν ἐπαγαγεῖν· τῷ δὲ μὴ εἰδότι οὐκ εὔκολον· ὁ δὲ ἐπὶ τὸ πρᾶγμα μετατίθησι τὸν λόγον καί φησι· τὸ μὴ προμαθεῖν δὲ ἄπειρον, ταυτὸ λέγων· ὥσπερ εἰ ἔλεγεν· ὁ δὲ μὴ προμαθὼν ἄπειρος τούτου δηλονότι, ἤγουν τοῦ διδάξαι. κουφότεραι γάρ, ἀντὶ τοῦ κοῦφαι, ἤγουν ἐλαφραὶ, ἀμαθεῖς αἱ φρένες τῶν ἀπειράτων, ἤτοι τῶν μὴ πεπειραμένων, τῶν μὴ προμαθόντων. § Τὸ διδάξασθαι δέ] ἤγουν ὁ προαθλήτας, οὗτος εἰδὼς τὴν μάχην ὡς δεῖ μεταχειρίζεσθαι, κάλλιστος ἂν ἀλείπτης τῶν ἄλλων γένοιτο· τοιοῦτος δὲ ὁ Μελησίας. ὁ γάρ τι πονήσας οὗτος καὶ διδάξαι [2]) αὐτὸ ἄριστος. Rec.

78. Ἄγνωμον δέ] ἀνόητον δὲ διδάσκειν ἄλλους, ὃ μὴ αὐτὸς εἶδεν. οὕτως ὁ μὴ προμαθών. [3]) § Ἄλλως. οὐκ ἂν εἴη ἐπιγνώμων οὐδὲ τεχνίτης ὁ μὴ προμαθών. [4]) Vet.

Εἰδότι] γινώσκοντι. Gl. γ.

80. Κουφότεραι] ἐλαφραὶ, κεναὶ τῶν ἀγαθῶν αἱ διάνοιαι. Vrat. D.

Ἀπειράτων φρένες] γνώσεις ἀπαιδεύτων. Gl. γ.

81. Κεῖνα δὲ κεῖνος ἂν εἴποι] εἴποι δ' ἂν ἀκριβῶς ἐκεῖνα τὰ ἔργα καὶ ἐμπειρότερος ἐκεῖνος ὁ μεμαθηκὼς καὶ τῇ πείρᾳ τῆς διδασκαλίας ἀκριβώσας τὰ τῶν ἀγωνισμάτων ἔργα, καὶ ποῖος τρόπος εἰς εὐδοξίαν ἄνδρα ὁδηγῆσαι δύναται ἐκ τῶν ἱερῶν ἀγώνων ποθεινὴν βουλόμενον δόξαν ἀποφέρεσθαι. Vet.

Κεῖνα δ' ἐκεῖνος ἂν εἴποι ἔργα] ἤτοι ὁ πεπειραμένος περαίτερον, ἀντὶ τοῦ περαιτέρω, ἤγουν ἐπὶ πλέον τῶν ἄλλων λέγοι, τίς τρόπος ἢ τίς ὁδὸς, τίς μηχανὴ προβιβάσει ἄνδρα, τουτέστιν αὐξήσει, δοξάσει ἐκ τῶν ἱερῶν ἀγώνων μέλλοντα φέρειν, ἀντὶ τοῦ ἀποφέρεσθαι δόξαν ποθεινοτάτην, τουτέστιν ὑπερποθουμένην. Rec.

Εἴποι] διδάξοι. Gl. γ. 82. Περαίτερον] διδασκαλικώτερον. Gl. γ. 83. Προβάσει] παιδεύσει. Gl. γ. 86. Γέρας] δόξα. Gl. γ.

Νῦν μὲν αὐτῷ γέρας] τῷ Μελησίᾳ. ἐπὶ τοίνυν τοῦ παρόντος δόξα αὐτῷ ἐστιν ὁ Ἀλκιμέδων τριακοστὸς νικητὴς ἀναδειχθείς. λέγεται γὰρ σὺν τούτῳ ἀλεῖψαι τριάκοντα μαθητάς. § Ἄλλως. νῦν τῷ ἀλείπτῃ Μελησίᾳ γέρας ὁ Ἀλκιμέδων περιεποίησε· τὸ γὰρ περιεποίησεν ἢ ἤνεγκεν ἔξωθεν προσληπτέον· οὐ δεκτέον δὲ πάντως, ὅτι ὁ Ἀλκιμέδων τριάκοντα νίκας ἔσχεν, ἀλλ' ὁ Μελησίας γυμνάσας ἀθλητὰς τριάκοντα νίκας αὐτῶν ἐδέξατο. ἦν δὲ ὁ τριακοστὸς Ἀλκιμέδων. δύναται δὲ τὸ ἑλὼν μετοχὴ ἀντὶ ῥήματος ἑλεῖν. [5]) Vet.

Νῦν μὲν αὐτῷ γέρας] νῦν μὲν τιμή ἐστιν αὐτῷ, τῷ Μελησίᾳ δηλονότι τῷ ἀλείπτῃ, ὁ Ἀλκιμέδων νίκην ἑλὼν ὑπὸ ἀλείπτῃ τούτῳ μετὰ ἐννέα καὶ εἴκοσιν ἄλλους ὑπὸ τούτου γεγυμνασμένους· ὅστις, ἤγουν ὁ Ἀλκιμέδων, σὺν εὐτυχίᾳ θεοῦ, ἠνορέας δὲ, ἤγουν

1) Vrat. A. 2) Vulgo διδάξας. 3) Vrat. A. 4) Vrat. A. 5) Supplevi ex Vrat. A.

Digitized by Google

ἀνδρίας οὐκ ἀμπλακών, ἀντὶ τοῦ οὐκ ἄμοιρος γεγονώς, οὐκ ἀποτυχών, ἐν τέτρασι μέλεσι παίδων, ἀντὶ τοῦ ἐν μέλεσι τεττάρων παίδων, περιφραστικῶς ἀντὶ τοῦ ἐν τέτρασι παισὶν, ἀπεθήκατο, ἀντὶ τοῦ ἐπέθηκε νόστον, ἐπαναστροφὴν εἰς τὸν οἶκον αὐτῶν, ἔχθιστον, ἤγουν πάνυ μεμισημένην, καὶ ἀτιμοτέραν γλῶσσαν, ἀντὶ τοῦ ἄτιμον ἤτοι ἀπαῤῥησίαστον, καὶ οἶμον, ἤτοι ὁδὸν ἐπέθηκεν αὐτοῖς ἐπίκρυφον, τουτέστι λαθραίαν καὶ ἀποφεύγουσαν τὰς ὄψεις τῶν ἀνθρώπων διὰ τὴν αἰσχύνην τῆς ἥττης, τῷ πατρὶ δὲ τοῦ πατρὸς αὐτοῦ, ἤγουν τῷ πάππῳ αὐτοῦ ἐνέβαλε μένος, τουτέστιν ἰσχὺν τοῦ γήρως ἀντίπαλον, ἀντὶ τοῦ ἐναντίαν ἤγουν καταπονούμενον αὐτὸν ὑπὸ τοῦ γήρως ἀνέῤῥωσεν. § δέον εἰπεῖν τεττάρων παίδων, τέτρασιν εἶπε πρὸς τὸ γυίοις, καὶ ἔστιν ὅμοιον τὸ Τεαῖς χειρὸς ἐργασίαις. [1]) Rec.

88. Ὅς τύχᾳ μὲν δαίμονος] ὅστις Ἀλκιμέδων τῆς τοῦ δαίμονος εὐτυχίας καὶ τῆς ἀνδρείας τῆς ἰδίας οὐ διαμαρτὼν, ἐν τέτρασι παίδων μέλεσιν ἐναποθέμενος τὴν ἑαυτοῦ ἰσχὺν, τοῖς ἡττηθεῖσι τὴν ἐπὶ τὴν πατρίδα ἀνακομιδὴν ἐχθροτάτην εἶναι παρεσκεύασε καὶ τὴν γλῶτταν αὐτῶν τῆς παῤῥησίας ἀφείλετο καὶ τὸ βάδισμα κρύφιον καὶ ἀπαῤῥησίαστον πεποίηκε. τοιαῦτα γὰρ τὰ τῶν ἡττωμένων ἀτυχήματα. § Ἄλλως. ὅστις τῆς τοῦ δαίμονος εὐτυχίας οὐχ ἁμαρτήσας, οὐκ ἀποτυχὼν δὲ οὐδὲ τῆς ἰδίας ἀνδρείας· ἐνίκησε γάρ. Vet.

90. Ἐν τέτρασι παίδων] τουτέστι τέσσαρας παῖδας ἐνίκησε καὶ ἐποίησεν οὐχ ἡδέως οἴκαδε ἀπονοστῆσαι, τῆς νίκης στερήσας, οἱονεὶ κακῶς ἀπέπεμψεν, ὡς τέσσαρας αὐτοῦ καταβεβληκότος. ἀπεθήκατο γοῦν εἰς τὰ γυῖα αὐτῶν, τῶν ἀγωνισαμένων αὐτῷ, τὴν ἰδίαν δύναμιν· τουτέστιν ἀπὸ τοῦ παρακολουθοῦντος, ἐνίκησεν αὐτούς· καὶ ἐποίησεν αὐτῶν τὸν νόστον ἔχθιστον. οἱ γὰρ νικηθέντες ὅταν οἴκαδε ἀπίωσιν, ἐν κατηφείᾳ εἰσίν. ἐχθρὰ οὖν αὐτοῖς ἡ ἀνακομιδή· οὐ γὰρ τὸν κατ' εὐχὴν νόστον ἔχουσιν, ἀλλ' ἀπεχθῆ. Vet.

Γυίοις] σώμασι. Gl. γ.

91. Νόστον ἔχθιστον] ἀντὶ τοῦ φήμην κακὴν ἐποίησε παρ' αὐτοῖς. [2]) ἕκαστος γὰρ τῶν ὁρώντων ἐπὶ τῆς γλώττης, Οὗτός ἐστιν ὁ νενικηκώς, ἐπιφέρει. § ἀτιμοτέραν γλῶσσαν, ἀπαῤῥησίαστον. § ἀτιμοτέραν γλῶσσαν· οἱ γὰρ ἡττώμενοι καὶ σιωπῶσι καὶ λάθρα ἀναχωροῦσιν, ὡς ἀπαῤῥησίαστοι καὶ ἄγνωστοι τῇ πατρίδι. ἢ ὅτι οὐχ ὑμνοῦνται. [3]) Vet.

92. Καὶ ἐπίκρυφον οἶμον] οἱ γὰρ νενικημένοι οὐ φανερὰς ὁδοὺς ἀπιᾶσιν, ἀλλ' ἐκτρεπόμενοι διὰ τὸ ἐπονείδιστον τῆς ἥττης. καὶ ἀλλαχοῦ· Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται οὐ φίλων ἐναντίον ἐλθεῖν. Vet.

Ἐπίκρυφον οἶμον] ἤγουν ἐν σκότῳ πορείαν· ὁ γὰρ νικηθεὶς ἀτίμως τε πρὸς τὸν οἶκον χωρεῖ διὰ τὴν ἧτταν καὶ τοὺς ὁρῶντας αὐτὸν εἰς μυκτηρισμὸν ἄγει. διὰ τοῦτο ἐν νυκτὶ τὴν πορείαν ποιεῖται. Rec.

93. Πατρὶ δὲ πατρός] τῷ δὲ πάππῳ αὐτοῦ ἡ τῆς νίκης ἡδονὴ ἐνέβαλε δύναμιν

1) Vs. 42. 2) Bothius T. II, p. 47. αὐτοῦς: sed non intelligo eius rationes. 3) Vrat. A.

Digitized by Google

τὴν τοῦ γήρως ἐναντίαν οὖσαν, οἱονεὶ ταῖς εὐφροσύναις καὶ ταῖς ἡδοναῖς ἀτανεάζειν πεποίηκε τὸν γεγηρακότα ἡ χαρά. § τῷ δὲ προπάτορι αὐτοῦ μένος ἐνέπνευσεν ἐναντίον τῷ γήρᾳ· τουτέστιν ἀντὶ γέροντος νέον αὐτὸν ἐποίησε καὶ εὔθυμον. καὶ Ὅμηρος·

Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

ἐκ τοῦ ἐναντίου· ἡ γὰρ εὐθυμία τοὺς γέροντας νεάζειν ποιεῖ. [1]) Vet.

94. Ἀντίπαλον] ἐναντίον. ὑπὸ γὰρ τοῦ γήρως καταβεβλημένος ὥσπερ ὑπὸ τῆς τοῦ παιδὸς νίκης ἰσχὺν ἔλαβε καὶ τῆς τοῦ γήρως ἐπιλέλησται ἀσθενείας. Rec.

Ἐτυμολογεῖται τὸ πάλος ἀπὸ τῶν κατὰ συζυγίαν κληρουμένων ἐν τοῖς ἀγῶσιν, ἐν τῷ παλαίειν ἢ παγκρατιάζειν. [2]) Vet.

95. Ἀΐδα τοι λάθεται] πᾶς γὰρ ἀνὴρ ἁρμόδια πράξας τῇ ἑαυτοῦ προαιρέσει καὶ καταθύμια ᾄδου, τουτέστι θανάτου, λήθην λαμβάνει· ἤ πού γε τῶν ἁπλῶς καὶ κατὰ φύσιν ὀχλούντων οἱονεὶ τὸ φρόνημα. τοιαύτη γὰρ ἡ τῆς εὐπραξίας φαντασία τοῖς εὖ πράττουσιν. § τουτέστιν ἀθάνατα φρονεῖ διὰ τὴν παρεστῶσαν εὐφροσύνην. [3]) Vet.

† Σύνταξις. Ἀΐδα τοι λάθεται ἅρμενα πράξας ἀνήρ] εἰς κατασκευὴν τοῦ ἀνωτέρου τοῦτο γνωματεύεται· ἤγουν ὁ ἄνθρωπος ὁ παθὼν ἀρεστὰ τῇ ἑαυτοῦ γνώμῃ, ἤτοι εὐτυχήσας, τοῦ θανάτου ἐπιλανθάνεται, ἤγουν ἀνώτερος γίνεται τοῦ θανατου, ἀνεπιστρόφως ἔχει αὐτοῦ τῇ εὐπραξίᾳ ἀναῤῥωννύμενος. § βούλεται εἰπεῖν περὶ τῶν τοῦ Ἀλκιμέδοντος προγόνων, ὅτι κάλλιστοι ἦσαν. λέγει οὖν· ὁ πράξας ἅρμενα καὶ ἁρμόδια ἑαυτῷ λήθεται καὶ ἐπιλανθάνεται παρὰ τῶν ἄλλων ἐν τῷ ᾅδᾳ· ἀλλ' ἐμὲ χρὴ καὶ πρέπει φράσαι καὶ εἰπεῖν τὸν νῦν ἐπινίκιον καὶ ὕμνον τοῦ Ἀλκιμέδοντος, τὸν ἄωτον καὶ τὸν καρπὸν τῶν χειρῶν, ἤτοι τὴν νίκην, ἐγείροντα τοῖς Βλεψιάδαις μνημοσύνην καὶ ἐνθύμησιν αὐτῶν· τουτέστιν εἰ καὶ οἱ Βλεψιάδαι θανόντες οὐκ ἔρχονται εἰς μνήμην ἀνθρώποις, ὁποῖοί τινες ἦσαν τὰς ἀρετὰς, ἀλλ' ἐγὼ νῦν ἐγκωμιάζων Τιμοσθένην καὶ Ἀλκιμέδοντα τοὺς αὐτῶν ἀπογόνους δείξω πᾶσιν ἀνθρώποις τὴν αὐτῶν ἀρετὴν, καὶ ὅτι ἡ τούτων εὐδαιμονία καὶ πρὸς τοὺς ἀπογόνους ἀφῖκτο, οὓς οὐκ εἰκὸς γενέσθαι τοιούτους μὴ προϋπαρχόντων αὐτοῖς καλλίστων ἐκ προγόνων παραδειγμάτων. Rec.

96. Ἅρμενα] ἔργα τιμῆς ἄξια. Gl. γ.

97. Ἀλλ' ἐμὲ χρὴ μναμοσύναν] ἐμὲ τοίνυν χρὴ τὴν μνήμην ἀνεγείροντα ὥσπερ κοιμηθεῖσαν καὶ σιωπηθεῖσαν λοιπὸν, λέγει δὲ τῶν προγόνων αὐτοῦ, οἵτινές εἰσι Βλεψιάδαι οὕτω καλούμενοι, οὕτω τὸν εἰς αὐτοὺς ὕμνον πληρῶσαι διηγούμενον τὸν τῶν χειρῶν αὐτῶν καρπὸν, ὅς ἐστιν ἡ νίκη, ἀνεγεῖραι δὲ τὴν μνήμην ἢ τὴν νίκην τῶν προγόνων, διὰ τῶν τοῦ Ἀλκιμέδοντος νικητηρίων. Βλεψιαδῶν δὲ φυλὴ ἐν Αἰγίνῃ, ἀπὸ Βλεψιάδου προγόνου Ἀλκιμέδοντος. § Βλεψιάδαι ἡ φατρία αὐτῶν ἐστιν, ὧν εἷς ἀπόγονος ὁ νικήσας. [4]) Vet.

† Σύνταξις. Ἀλλ' ἐμὲ χρὴ μναμοσύναν] ἀλλ' ἐμὲ χρὴ ἀνιστῶντα τὴν μνήμην τοῖς Βλεψιάδαις τῇ φυλῇ τοῦ Ἀλκιμέδοντος φράσαι αὐτοῖς ἐπινίκιον ὕμνον, ἄωτον τῶν χειρῶν αὐτῶν, ἤγουν καρπὸν ὃν αἱ χεῖρες αὐτῶν ἤνεγκαν· οἷς, ἤγουν τοῖς Βλεψιά-

[1]) Ex Vrat. A. Delevi ἢ ante verba ἐκ τοῦ ἐναντ. et scripsi τοὺς γέροντας: cod. τοῦ γέροντος. Versus Homeri est Odyss. τ, 360. et Hesiodi Opp. et D. 93. [2]) Vrat. A. [3]) Vrat. A. [4]) Vrat. A.

Digitized by Google

ϑαις, ἕκτος ἤδη στέφανος περίκειται ἀπ' ἀγώνων φυλλοφόρων, ἤγουν στεφανηφόρων, ἀντὶ τοῦ στεφάνων αἰτίων. ἔστι δὲ καὶ τοῖς ἀποθανοῦσι μέρος τι, ὃ πραττόμενον πρὸς αὐτοὺς κατὰ νόμους ἂν πράττοιτο· ἤγουν οὐ μόνον πρὸς τοὺς ζῶντάς εἰσί τινα κατὰ νόμους ἀποδιδόμενα, ἀλλὰ καὶ πρὸς τοὺς ἀποθανόντας ἐστὶ μέρος, ὃ πραττόμενον κατὰ νόμους ἂν πράττοιτο. τὸ τῶν ἐγκωμίων λέγει, ὃ ἐν τοῖς ἑξῆς σαφέστερον δηλοῖ. ἐπάγει γάρ· οὐ κατακρύπτει δὲ ἡ κόνις, ἤγουν ἡ γῆ, ὁ τάφος, τὴν ἀγαθὴν ἀρετὴν τῶν συγγενῶν, ὥστε μὴ ἀναφέρειν δηλονότι αὐτὴν πρὸς αὐτοὺς ἐν τῷ τάφῳ. Rec.

100. Ἕκτος οἷς ἤδη στέφανος] οἷστισι Βλεψιάδαις καὶ ᾧ γένει ἕκτος ὑπῆρξε στέφανος ἤδη ἐκ τῶν ἱερῶν τούτων ἀγώνων. Vet.

Τὸ Ἕκτος στέφανος περίκειται λέγει, ἐπειδὴ Τιμοσθένης καὶ Ἀλκιμέδων ἕκτοι ἀπὸ Βλεψιαδῶν ἦσαν, ὥστε ὁ τούτων στέφανος Βλεψιάδαις ἕκτος [1]) περιετέθη. τὸ δὲ Ἔστι θανόντεσσι τοῦτο λέγει, ἢ ὅτι καὶ τοῖς προγόνοις ἡ τῶν παίδων εὐφημία καθίσταται, ἢ ὅτι οἱ τοὺς παῖδας ἐγκωμιάζοντες καὶ τῶν προγόνων εἰς μνείαν ἔρχονται, ὡς ὁ ἐγκωμιαστικὸς ἀναγκάζει νόμος. Rec.

101. Φυλλοφόρων ἀπ' ἀγώνων] ἤτοι καθὸ οἱ νικῶντες ἐφυλλοβολοῦντο, ἢ φύλλα τοὺς στεφάνους εἶπε διακρίνων αὐτοὺς πρὸς τοὺς δωρίτας καὶ χρηματίτας [2]) ἀγῶνας. § φυλλῖται οἱ στεφανῖται, δωρῖται οἱ ϑέματα διδόντες, ἀργυρῖται οἱ ἔχοντες χρυσᾶ ἆϑλα. [3]) Vet.

102. Ἔστι δὲ καί τι θανόντεσσιν] ἔστι δὲ καὶ τοῖς τετελευτηκόσιν ἔννομον καὶ δίκαιον μέρος ἀποδιδόμενον, ὸ τῶν ἐπαίνων λέγει. Vet.

105. Κεδνὰν χάριν] τὴν τῶν συγγενῶν ἀγαθὴν χάριν οὐ κρύπτει κόνις, ἀλλ' ἐν φανερῷ κειμένη καὶ τῶν τεθνεώτων ἐφικνεῖται. πρὸς γὰρ τοῦτο τὸ πᾶν λέγει, τὸν μὲν λόγον ἐν τῷ καθόλου τιθεὶς, τείνων δὲ πρὸς ἐκεῖνον. διὸ τῆς νίκης τούτου ὁ προθανὼν Ἰφίων μετέχει καὶ συνήδεται. Vet.

Κεδνάν] ἔνδοξον. Gl. γ.

106. Ἑρμᾶ δὲ θυγατρός] ὁ Ἰφίων πρόγονός ἐστιν Ἀλκιμέδοντος, οἱ δὲ ὅτι πατὴρ αὐτοῦ. [4]) οὗτος εἰδωλοπεποίηκεν [5]) Ἑρμοῦ θυγατέρα τὴν Ἀγγελίαν. ἄγγελος γὰρ ὁ θεὸς οὗτος καὶ διάκτωρ. ἀκούσας οὖν, φησὶν, ὁ Ἰφίων τῆς τοῦ Ἑρμοῦ θυγατρὸς Ἀγγελίας ἐννέποι ἂν τῷ Καλλιμάχῳ, ὡς καὶ τούτῳ συγγενεῖ ὄντι καὶ προτετελευτηκότι. τί ἂν οὖν ἐννέποι; τὴν νίκην· ταύτην γάρ φησι τὸν κόσμον τὸν ἐν Ὀλυμπίᾳ. ἡ γὰρ ἑνὸς νίκη πᾶν τὸ γένος κοσμεῖ. § Ἄλλως. Ἰφίων καὶ Καλλίμαχος κατὰ μέν τινας ἁπλῶς συγγενεῖς τοῦ Ἀλκιμέδοντος· κατὰ δέ τινας Ἰφίων μὲν πατὴρ Ἀλκιμέδοντος τεθνεὼς, Καλλίμαχος δὲ θεῖος. § Ἄλλως. ποιητικῶς ἀναπλάττει, τῆς Ἀγγελίας· ἢ ἴσως ὡς αἴσθησιν ἐχόντων τῶν τεθνεώτων λέγει. [6]) § ὅτι δὲ ὁ Ἑρμῆς καὶ ἐπουράνιος καὶ ἐπί-

1) Hanc vocem addidit Beckius. 2) Vulgo χρηματιστάς: quod dedi, semel est in Vrat. A. sed alio loco is χρηματιστάς: nam scholia a vs. 58. usque ad vs. 105. bis habet. Χρηματίτην sive χρηματικὸν ἀγῶνα memorat etiam Arg. Pyth. II. et IV. 3) Vrat. A. in quo φυλλῖδαι et θρέμματα. Noti sunt ἀγῶνες θεματικοί. Quod ἀργυρῖτας sive χρηματῖτας exponit τοὺς ἔχοντας χρυσᾶ ἆϑλα, ad pecuniam auro numeratam pertinere videtur. 4) Haec inde ab οἴδε Vrat. A. 5) Vrat. A. εἴδωλον πεποίηκεν. 6) Ex Vrat. A. deletis ceteris, quae continentur vulgatis.

Digitized by Google

γειος καὶ ὑποχθόνιος δηλονότι καὶ κήρυξ θεῶν ἐν οὐρανῷ καὶ ἐν γῇ. καὶ ὅτι ὑποχθόνιος, μαρτυρεῖ Ὅμηρος·

Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο.

Ἀγγελία δὲ ὄνομα κύριον τῆς θυγατρὸς Ἑρμοῦ. [1]) Vet.

Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσας] ἐπειδὴ ὁ Ἑρμῆς ἄγγελος τῶν θεῶν ἐστι, καὶ ἔστιν ἐν οὐρανῷ καὶ γῇ καὶ πρὸς τὸν Ἅιδην ψυχοπομπὸς, διὰ τοῦτο λέγει τῆς αὐτοῦ φωνῆς ἀκοῦσαι τὸν Ἰφίωνα, ἣν εἰδωλοποιῶν θυγατέρα αὐτοῦ καλεῖ. § Σύνταξις. Ἑρμᾶ δὲ θυγατρός] ὁ Ἰφίων δὲ ὁ πατὴρ, ὥς φασί τινες, τοῦ Ἀλκιμέδοντος, ἐννέποι, ἀντὶ τοῦ ἀγγείλαι, μηνύσαι τῷ Καλλιμάχῳ προσήκοντι κατὰ γένος καὶ τετελευτηκότι καὶ αὐτῷ τὸν ἐν Ὀλυμπίᾳ κόσμον τὸν λιπαρὸν, ἤγουν τὸν λαμπρὸν, ὃν ὁ Ζεὺς παρέσχε τῷ γένει αὐτῶν διὰ τοῦ Ἀλκιμέδοντος, ἀκούσας αὐτὸς ὁ Ἰφίων αὐτὸν τὸν κόσμον δηλονότι τῆς Ἀγγελίας τῆς θυγατρὸς τοῦ Ἑρμοῦ ἀγγελλούσης αὐτὸν πρὸς αὐτόν. Rec.

108. Καλλιμάχῳ] τῷ ὄντι ἐν ᾄδου. Gl. γ.

Λιπαρόν] ἔντιμον. Gl. γ.

110. Ἐσθλὰ δ' ἐπ' ἐσθλοῖς] ἀγαθὰ ἐξ ἀγαθῶν καὶ καλλίστων παρέχειν αὐτοῖς βούλοιτο ὁ Ζεύς. τὸ δὲ θέλοι, εὐκτικῶς. Vet.

Ἐσθλὰ δ' ἐπ' ἐσθλοῖς] ἀγαθὰ δ' ἐπ' ἀγαθοῖς ἔργα, ἤγουν ἀγαθὰ δὲ ἔργα συνεχῆ καὶ ἐπάλληλα εἴθε θέλοι ὁ Ζεὺς δοῦναι αὐτοῖς, ὀξείας δὲ νόσους, τουτέστι σφοδρὰς καὶ ἐπικινδύνους ἀπαλάλκοι, ἤτοι ἀποσοβοίη, ἀπ' αὐτῶν δηλονότι. Rec.

111. Ὀξείας δὲ νόσους] ὀξείας εἶπε τὰς νόσους διὰ τὰς ἀλγηδόνας. καὶ Ὅμηρος· [2])

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα.

ἢ ὀξείας διὰ τοὺς πυρετούς. Ἄρατος· [3]) Ὀξέα σειριάει. § καὶ ἀποκωλύοι αὐτῶν τὰς ἐπιπόνους καὶ ὀξείας νόσους. ὀξεῖαι δέ εἰσιν αἱ ἐπικίνδυνοι. Vet.

113. Εὔχομαι ἀμφὶ καλῶν] εὔχομαι μὴ γενέσθαι Νέμεσιν αὐτοῖς, τουτέστι μὴ φθονηθῆναι περὶ τῶν καλῶν. διχόβουλον δὲ τὴν Νέμεσιν, τὴν ἐπιφθονοῦσαν καὶ ἐναντία ποιοῦσαν οἷς βουλευόμεθα, οἷον τὴν διχάζουσαν ἀφ' ἡμῶν καὶ διαχωρίζουσαν τὰς βουλάς· ἢ τὴν ἐναντία βουλευομένην τοῖς ἤδη προκατωρθωμένοις ὑφ' ἡμῶν. § Ἄλλως. εὔχομαι δὲ τῷ αὐτῷ Διὶ ἐπὶ τῇ τῶν καλῶν μοίρᾳ Νέμεσιν καὶ βασκανίαν μὴ ἐπιβαλεῖν. Vet.

Σύνταξις. Εὔχομαι ἀμφὶ καλῶν] εὔχομαι ἐπὶ τῇ μοίρᾳ τῶν καλῶν, τῇ διδούσῃ δηλονότι αὐτοῖς τὰ καλὰ, μὴ θεῖναι αὐτὸν τὸν Δία, ἀντὶ τοῦ μὴ ἐᾶσαι συμβῆναι Νέμεσιν διχόβουλον, ἀντὶ τοῦ φθόνον ἐναντία βουλευόμενον, ἀλλ' ἄγων, τουτέστι κυβερνῶν τὸν βίον αὐτῶν δηλονότι ἀβλαβῆ αὐτούς τε εἴθε αὔξοι καὶ τὴν πόλιν αὐτῶν. Rec.

115. Ἀλλ' ἀπήμαντον] ἀλλ' ἵνα ἀβλαβῆ τὸν βίον αὐτῶν διάγων ὁ Ζεὺς καὶ φυλάττων αὐτοὺς ἐπαίροι εἰς δόξαν καὶ τὴν πατρίδα αὐτῶν Αἴγιναν. Vet.

[1]) Ex eodem. Locus Homeri est Odyss. ω, 1. Codex ἄγγελος, ubi apud nos Ἀγγελία. [2]) Iliad. λ, 269. [3]) Phaenom. 331.

Digitized by Google

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Θ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἐννάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ ἐννάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ις'. Τὸ α' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισύλλαβον. Τὸ β' Ἰωνικὸν δίμετρον καταληκτικὸν εἰς τροχαϊκὴν συζυγίαν. Τὸ γ' Φαλαίκειον ἀντισπαστικόν. Τὸ δ' Γλυκώνειον, οἷόν ἐστιν ἀντισπαστικόν. Τὸ ε' ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ς' ὅμοιον τῷ δ'. Τὸ ζ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η' ὅμοιον τῷ δ' καὶ τῷ ς'. Τὸ θ' ὅμοιον τῷ ζ'. Τὸ ι' περιοδικὸν, ἢ ἐπίτριτος τροχαῖος. Τὸ ια' ὅμοιον τῷ ζ' καὶ τῷ θ'. Τὸ ιβ' Γλυκώνειον. Τὸ ιγ' ὅμοιον τῷ ζ', τῷ θ' καὶ τῷ ια'. Τὸ ιδ' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιε' ἐπιωνικὸν ἄτακτον, σπονδεῖον ἔχον τὸν δεύτερον. Τὸ ις' ἐπιωνικὸν καθαρὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ι'. Τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ γ' ἀναπαιστικὸν δίμετρον, καταλῆγον μιᾷ συλλαβῇ. Τὸ δ' Ἰωνικὸν καταλῆγον εἰς τροχαϊκὴν συζυγίαν, δίμετρον ὑπερκατάληκτον. Τὸ ε' δακτυλικὸν ἐφθημιμερές. Τὸ ς' προσοδιακὸν τρίμετρον καταληκτικόν· ὁ α' Ἰωνικὸς ἀπὸ μείζονος, ὁ β' χορίαμβος, ὁ γ' Ἰωνικὸς ἀπ' ἐλάσσονος. Τὸ ζ' τρίμετρον ἐπιωνικὸν βραχυκατάληκτον. Τὸ η' διπλοῦς σπονδεῖος καὶ διπλοῦς ἴαμβος. [1]) Τὸ θ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἀδιάφορον κατὰ τὴν ἄρχουσαν. Τὸ ι' ἀντισπαστικὸν ἐνεασύλλαβον Σαπφικὸν, πλεονάζον τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ.

Idem plenius ex Vrat. A. Mosc. B.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ἐννάτου εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῶν δ'. Παλαιόν.

Τοῦ ἐννάτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ις'. Τὸ πρῶτον ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισυλλαβίαν. Τὸ δεύτερον Ἰωνικὸν ἀπὸ

[1]) Pal. C. et Vrat. D. qui praeter paucas varietates cum hoc consentiunt, habent τὸ η' διπλοῦς τροχαῖος. Codex Trichae ἐκ παλαιοῦ βιβλίου plenius exhibet διπλοῦς τροχαῖος καὶ διπλοῦς ἴαμβος, et in universum cum vulgaribus his scholiis consentit.

Digitized by Google

μείζονος δίμετρον καταληκτικὸν εἰς τροχαϊκὴν συζυγίαν. Τὸ γ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται Φαλαίκειον· Φάλαικος γὰρ τούτου εὑρετής. ἔχει δὲ τὴν μὲν πρώτην συζυγίαν ἀντισπαστικὴν ἢ καθαρὰν ἢ τρεπομένην εἰς τὰ τέσσαρα τοῦ δισυλλάβου σχήματα, ὡς Ἡφαιστίων φησὶ, τὴν δὲ β' ἰαμβικὴν, τὴν δὲ τελευταίαν ἀδιάφορον ἢ τροχαϊκὴν ἢ ἰαμβικήν. Τὸ τέταρτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον, ἐκ διτροχαίου ἢ ἐπιτρίτου. Τὸ ε' ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον, τοῦ β' ἀναπαίστου. Τὸ ς' ὅμοιον τῷ δ'. Τὸ ζ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἤτοι ἡμιόλιον. Τὸ η' ὅμοιον τῷ δ' καὶ ς'. Τὸ θ' ὅμοιον τῷ ζ'. Τὸ ι' περιοδικὸν, ἐπίτριτος τροχαῖος. οἱ γὰρ τέσσαρες τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὡς οἱ τρεῖς ἡμιόλιον· περιοδικὸν δὲ διὰ τὸ μίσγεσθαι ἰάμβοις. ἐμοὶ δὲ δοκεῖ προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου διαλελυμένου καὶ χοριάμβου. Τὸ ια' ὅμοιον τῷ ζ' καὶ θ'. Τὸ ιβ' ὅμοιον τῷ δ'. Τὸ ιγ' ὅμοιον τῷ ζ'. Τὸ ιδ' ἰαμβικὸν ἐφθημιμερὲς, τοῦ β' ἀναπαίστου. Τὸ ιε' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον· καλοῦσι δὲ τοῦτο ἄτακτον διὰ τὸ μὴ ἔχειν τὴν πρώτην συζυγίαν τροχαϊκὴν ἀλλὰ ἰαμβικὴν καὶ μὴ ἐν τῇ πρώτῃ χώρᾳ τὸν σπονδεῖον [1]) ἀλλ' ἐν τῇ δευτέρᾳ. Τὸ ις' ἐπιωνικὸν καθαρὸν δίμετρον ἀκατάληκτον, καθαρὰν ἰαμβικὴν ἔχον τὴν πρώτην συζυγίαν. Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων δέκα. Τὸ πρῶτον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ πρώτου ἀναπαίστου. Τὸ γ' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβὴν, ἤτοι ἐφθημιμερές. Τὸ δ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, καταλῆγον εἰς τροχαϊκὴν συζυγίαν. Τὸ ε' δακτυλικὸν ἐφθημιμερές. Τὸ ς' προσοδιακὸν τρίμετρον καταληκτικὸν, τοῦ α' Ἰωνικοῦ ἀπὸ μείζονος, τοῦ β' χοριάμβου, τοῦ γ' Ἰωνικοῦ ἀπ' ἐλάσσονος καταληκτικοῦ. τοῦτο καὶ ἀναπαιστικόν ἐστι δίμετρον ἀκατάληκτον, σπονδείου ἀρχομένου. Τὸ ζ' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· ἐμοὶ δὲ τοῦτο ἀσυνάρτητον δοκεῖ, ἐξ ἰαμβικῆς καὶ ἀναπαιστικῆς συζυγίας. Τὸ η' περιοδικὸν, διπλοῦς τροχαῖος καὶ διπλοῦς ἴαμβος, ἤτοι δίμετρον ἀκατάληκτον. ἔχει δὲ ἀντὶ τροχαίων σπονδείους. διὸ καὶ ἐπιλαμβάνονται τούτου ὡς σπονδεῖον ἔχοντος ἐν περιττῇ [2]) συλλαβῇ. ἀνοίκειον γὰρ τοῦτο τῷ τροχαϊκῷ μέτρῳ. Τὸ θ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον. ἔχει δὲ τὸν πρῶτον πόδα παίωνα δεύτερον ἀντὶ Ἰωνικοῦ. Τὸ ι' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐννεασύλλαβον, ὃ καλεῖται Σαπφικὸν, ἐκ τροχαίων ἀρχόμενον. πλεονάζει δὲ τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

1) Libri τῶν σπονδείων. 2) Pro ἔχοντος Vrat. A. ἔχον, et uterque codex ἐμπεριττῇ. Si quid video, metricus hoc vult, contra regulas artis trochaeorum in sede impari, hoc est in primo pede positorum alteram syllabam longam esse. Sed hoc mire dictum est: itaque haec verba corrupta arbitror.

Digitized by Google

1. Τὸ μὲν Ἀρχιλόχου μέλος] τὸ ἑξῆς τοῦ λόγου· τὸ μὲν Ἀρχιλόχου μέλος τὸ φωνᾶεν ἐν τῇ Ὀλυμπίᾳ ἤρκεσεν ἡγεμονεῦσαι παρὰ τὸν Κρόνιον λόφον κωμάζοντι Ἐφαρμόστῳ. [1]) § ὁ Ἀρχίλοχος, πρὸ τούτων τῶν Λυρικῶν γενόμενος, ἐλθὼν εἰς Ὀλυμπίαν θελήσας ὕμνον ἀναβαλέσθαι εἰς Ἡρακλέα ἐν τῇ Ὀλυμπίᾳ, ἀπορήσας [2]) κιθαρῳδοῦ διά τινος λέξεως μιμήσασθαι τὸν ῥυθμὸν καὶ τὸν ἦχον τῆς κιθάρας ἐπεχείρησε. συντάξας [3]) οὖν τοῦτο τὸ κομμάτιον Τήνελλα, οὕτω καὶ τὰ ἑξῆς ἀνεβάλλετο, καὶ αὐτὸς μὲν τὸν ἦχον τῆς κιθάρας ὑποκρινόμενος ἔλεγεν ἐν μέσῳ τῷ χορῷ τὸ Τήνελλα, ὁ δὲ χορὸς τὰ ἐπίλοιπα, [4]) οἷον Καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις, καὶ εἴ τι ἕτερον, οἷον Αὐτός τε καὶ ὁ Ἰόλαος αἰχματὰ δύο, Τήνελλα. ἐκ τούτου τολοιπὸν οἱ ἀποροῦντες κιθαρῳδῶν τούτῳ τῷ κόμματι ἐχρῶντο τῷ Τήνελλα, τρίτον αὐτὸ ἐπιφωνοῦντες. § τὸ δὲ ὅλον οὕτω· Τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις, αὐτός τε καὶ Ἰόλαος αἰχμητὰ δύο· Τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις. τριπλόον διὰ τοῦτο εἶπεν, ἐπειδὴ τρίτον ἐλέγετο τοῦτο τὸ κομμάτιον τοῖς νικῶσι. κωμάζει δὲ πρὸς τὸν τοῦ Διὸς βωμὸν ὁ νικήσας μετὰ τῶν φίλων, αὐτὸς τῆς ᾠδῆς ἐξηγούμενος. [5]) κεκράτηκεν οὖν ἐπὶ πάντων τῶν νικηφόρων παρ' αὐτὸν τὸν καιρὸν τῆς νίκης ἐπᾴδεσθαι τὸ κόμμα, καὶ τοίνυν ἐπὶ τοῦ Ἐφαρμόστου νικήσαντος τοῦτο ἐλέχθη. ὁ δὲ λόγος· τὸ μὲν τοῦ Ἀρχιλόχου μέλος, οἷον τὸ Τήνελλα καλλίνικε, φωνηθὲν καὶ προλεχθὲν ἐν τῇ Ὀλυμπίᾳ, ὅπερ μέλος ἔχον τὸ Καλλίνικος, τρίτον ἐλέγετο μετὰ πλήθους καὶ χοροῦ, ἐξήρκεσε παρὰ τὸ Κρόνιον ὄρος ἐν τῇ Ὀλυμπίᾳ καθηγήσασθαι καὶ προῤῥηθῆναι τότε χορεύοντι καὶ κωμάζοντι σὺν τοῖς ἑταίροις τῷ Ἐφαρμόστῳ. § Τήνελλα, μίμημα φωνῆς κρούματος αὐλοῦ ποιᾶς. Ἀρχίλοχος· Τήνελλα καλλίνικε, χαῖρε ἄναξ Ἡράκλεις, αὐτός τε καὶ Ἰόλαος αἰχματὰ δύω. Ἀριστοφάνης·

Ἀλλ' ἐὰν μέντοιγε νικᾷς τῇ βοῇ, τήνελλος εἶ,

ἀντὶ τοῦ νικηφόρος. τήνελλα δὲ κρουμάτιον ἐπινίκιον· ἢ τήνελλος, ἁρμονία λύρας. ἐὰν τοίνυν ὑπεραντίσῃς αὐτοὺς τῇ βοῇ, μουσικώτατος εἶ.

Ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

ὁ δὲ πυραμοῦς εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ τυρῶν πεφρυγμένων, ὡς σησαμοῦς ὁ διὰ σησάμης. ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας, καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω νικήσας ἔλαμβανε τὸν πυραμοῦντα. ὁ δὲ νοῦς ὅτι, ἂν μὴ νικηθῇς ὑπ' αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ταῖς περιεργίαις καὶ ἀναισχυντίαις, οὐδὲν ἧττον ἡμέτερον τὸ τερμάτιον, τουτέστιν ἡ νίκη. [6]) § Ἄλλως. ὁ μὲν ὑπ' Ἀρχιλόχου, φησί, λεχθεὶς ὕμνος ἤρκεσεν, ὁ δ' ὑπ' ἐμοῦ νῦν γεγονὼς ῥηθήσεται. ἔθος δὲ ἦν κωμάζειν τὴν νίκην ἑσπίρας τοῖς νικηφόροις μετ' αὐλητοῦ, μὴ παρόντος δὲ αὐλητοῦ εἷς τῶν ἑταίρων ἀνακρουόμενος ἔλεγε, Τήνελλα καλλίνικε. § Ἄλλως. τὸ μὲν Ἀρχιλόχου μέλος, ὃ τοῖς νικῶσι τὰ Ὀλύμπια ἐπῄδετο, ἦν τρί-

1) Vrat. A. 2) Vulgo ἑνός. Ἀπορήσας Gerhardus ex Vrat. A. 3) Vrat. A. ἀνατάξας. 4) Haec et cetera, quae novavimus, ex Vrat. A. Pars harum notarum in hoc codice bis legitur, semel in fine prioris carminis, iterumque hoc loco. 5) Inde a verbis τὸ δὲ ὅλον ex Vrat. A. 6) Ex Vrat. A. Aristophanis versus bini sunt Eqq. 276. 277. Priorem correxi; nam scholiastes noster habet: ἐὰν νικήσῃς τῇ βοῇ. In fine scholii coniicio τὸ θεμάτιον. Ceterum totum hoc schol. exstat apud Suidam v. Τήνελλα, ex schol. Aristoph. Acharn. extr. Cf. Suidam v. πυραμοῦς et ibi Kuster.

Digitized by Google

στροφον, κοινῶς δυνάμενον ἁρμόζειν ἐπὶ παντὸς νικηφόρου διὰ τὸ καὶ τῆς πράξεως αὐτῆς ψιλὸν ἔχειν τὸν λόγον μήτε δὲ ὄνομα μήτε ἰδίωμα ἀγωνίσματος. ἐφυμνίῳ δὲ κατεχρῶντο τούτῳ, Τήνελλα καλλίνικε. τῷ οὖν Ἐφαρμόστῳ, φησίν, ἐπήρκεσε παραχρῆμα κατὰ τὴν Ὀλυμπίαν τοῦτο τὸ μέλος κωμάζοντι σὺν τοῖς ἑταίροις. τὸ δὲ τριπλόος, ὅτι τρὶς ἐπεκελάδουν τὸ Καλλίνικε. οὐ καθόλου δὲ τρὶς, ἀλλ' ὅτι τριπλῆν ἔχει τὴν στροφὴν, καὶ πάλιν ἀναλαμβάνεται. Ἐρατοσθένης δέ φησι μὴ ἐπινίκιον εἶναι τὸ Ἀρχιλόχου μέλος, ἀλλ' ὕμνον εἰς Ἡρακλέα, τριπλόον δὲ οὐ διὰ τὸ ἐκ τριῶν στροφῶν συγκεῖσθαι, ἀλλὰ διὰ τὸ τρὶς ἐφυμνιάζεσθαι τὸ Καλλίνικε. περὶ δὲ τοῦ Τήνελλα Ἐρατοσθένης φησὶν ὅτι, ὅτε ὁ αὐλητὴς ἢ ὁ κιθαριστὴς μὴ παρῆν, ὁ ἔξαρχος αὐτὸ μεταλαβὼν ἔλεγεν ἔξω τοῦ μέλους, ὁ δὲ τῶν κωμαστῶν χορὸς ἐπέβαλε τὸ Καλλίνικε, καὶ οὕτω συνειρόμενον γέγονε τὸ Τήνελλα καλλίνικε. ἡ δὲ ἀρχὴ τοῦ μέλους ἐστίν· Ὦ Καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες. [1]) Vet.

Ἀρχίλοχος ἦν λυρικὸς ποιητὴς, ἐποίησε δὲ πρὸς τὸν Ἡρακλέα ὕμνον λέγοντα Καλλίνικε χαῖρε καὶ ἕτερ' ἄττα. ἐπειδὴ δὲ ἡ τῆς μουσικῆς φωνὴ ἄναρθρός ἐστιν, ἐμηχανήσατο αὐτὸς ἀπήχημά τι ταύτης ἔναρθρον ποιῆσαι, ὅπερ ἐστὶ τὸ Τήνελλα προσᾀδόμενον τῷ ὕμνῳ. ἐλέγετο δὲ ὁ ὕμνος ἐκ τρίτου πρότερον μὲν εἰς Ἡρακλέα ῥηθεὶς, ἐπικρατήσας δὲ ὕστερον καὶ εἰς τοὺς Ὀλυμπιονίκας λέγεσθαι, ὥσπερ καὶ ἐπὶ τῷδε τῷ Ἐφαρμόστῳ ἐν Ὀλυμπίᾳ νικήσαντι. νῦν δὲ ἐγὼ ὕμνοις αὐτόν τε καὶ τὸν ἐν Ὀλυμπίᾳ Δία κοσμήσω. ἔστι δὲ τὸ φωνᾶεν Ὀλυμπίᾳ διὰ μέσου· τὸ δὲ μέλος ἑρμηνεύει διὰ τοῦ τριπλόος ὁ καλλίνικος κεχλαδώς. οὕτω· τὸ μὲν Ἀρχιλόχου μέλος ὁ τριπλόος καὶ ἐκ τρίτου ᾀδόμενος καλλίνικος φωνᾶεν καὶ φωνῆεν ἐν τῇ Ὀλυμπίᾳ τῷ Ἐφαρμόστῳ κωμάζοντι καὶ χαίροντι σὺν τοῖς φίλοις ἑταίροις παρὰ τὸν Κρόνιον λόφον ἤρκεσε καὶ ἀρκετὸν ἐφάνη ἡγεμονεῦσαι καὶ καθηγήσασθαι, τουτέστιν ἀρκεῖ προῤῥηθέν. [2]) † Τὸ μὲν Ἀρχιλόχου μέλος] τὸ μὲν μέλος, ὅπερ ὁ Ἀρχίλοχος συνέθηκεν ἐν Ὀλυμπίᾳ, τὸ φωνᾶεν, ἤγουν τὸ μετεώρῳ φωνῇ ᾀδόμενον, λέγω ὁ Καλλίνικος ὁ τριπλοῦς κεχληδὼς, ἐπιῤῥηματικῶς τὸ τριπλοῦς ἀντὶ τοῦ ἐκ τρίτου, ἤτοι ὁ Καλλίνικος ὁ ἐκ τρίτου κεχληδὼς, τουτέστι τὸ Χαῖρε δεχόμενος, ἤγουν τὸ μέλος τὸ Καλλίνικε χαῖρε ἐκ τρίτου λεγόμενον, ἱκανὸν ἐγίνετο κατὰ τὸν ὄχθον, ἀντὶ τοῦ τὸν λόφον τὸν Κρόνιον προηγήσασθαι κωμάζοντι τῷ Ἐφαρμόστῳ, ἐπὶ τῇ νίκῃ τὴν χορείαν τελοῦντι σὺν τοῖς ἑταίροις αὐτοῦ, τουτέστι τοῖς συνήθεσι, τοῖς προσφιλέσιν. § ἀλλὰ νῦν, ὦ ψυχὴ δηλονότι, διὰ τόξων μουσικῶν πόῤῥω βαλλόντων, ἀντὶ τοῦ διὰ λόγων ἐγκωμιαστικῶν, οὓς αἱ Μοῦσαι παρέχουσι, πόῤῥω τὴν εὐφημίαν πεμπόντων, τὸν Δία τε τὸν τῆς πυρώδους καὶ λαμπρᾶς ἀστραπῆς αἴτιον ἐπίνειμαι, ἤγουν ἐπέξελθε, τόξευσον, τουτέστιν ὕμνησον τοιοῖσδε βέλεσιν, ἤτοι διὰ τοιούτων ποιημάτων, καὶ τὸ σεβάσμιον ἀκρωτήριον τῆς Ἤλιδος, ἤγουν τὴν Ὀλυμπίαν, ὕμνησον δηλονότι, ὅπερ ποτὲ ὁ Πέλοψ ὁ ἥρως ὁ ἀπὸ τῆς Λυδίας ἐξήρατο, ἀντὶ τοῦ ἤρατο, ἤτοι ἔλαβεν, ἔδνον κάλλιστον,

1) Sunt duo senarii:

Ὦ καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεες,
Αὐτός τε καὶ Ἰόλαος αἰχματὰ δύο.

In secundi sede secunda est tribrachys, brevi καὶ ante vocalem licentia lyricis licita. Versuum horum rationem notavit vir doctus in Ephem. Ien. a. 1815. num. 211. p. 254. Ego olim minus recte in commentatione vernaculo sermone scripta de metr. Pind. p. 35. 2) Vrat. C. Mosc. B.

Digitized by Google

ἀντὶ τοῦ προῖκα καλλίστην τῆς Ἱπποδαμείας. βέλος δὲ γλυκὺ πτερωτὸν, ἀντὶ τοῦ λόγον ἐγκωμιαστικὸν ἴει, ἤγουν πέμπε, Πυθῶνάδε, τουτέστι πρὸς τὴν Πυθῶνα. μέμνηται δὲ καὶ τῆς Πυθῶνος, ἐπειδὴ καὶ ἐν αὐτῇ ἐνίκησεν ὁ Ἐφάρμοστος. Rec.

Οὗτος ὁ Ἀρχίλοχος πρὸ τῶν λυρικῶν ἦν, ὃς ἐφεῦρε τὸν Τήνελλα ὕμνον ᾄδεσθαι τοῖς νικηταῖς. οὗτινος ᾀσθέντος καὶ ἐπὶ τῷ παρόντι νικητῇ, βούλεται τοῦτον ἐγκωμιάσαι καὶ αὐτὸς ὁ ποιητής. δι' ὃ λέγει· ἀρκετὸν μὲν ἐγένετο τῷ Ἐφαρμόστῳ ὁ ὕμνος τοῦ Ἀρχιλόχου ᾀσθεὶς εἰς αὐτὸν πρὸ τοῦ φθάσαι ἡμᾶς· ὅμως βούλομαι καὶ αὐτὸς ἐγκωμιάσαι αὐτόν. Pal. C.

2. Φωνᾶεν Ὀλυμπίᾳ] οἱ μὲν προσγράφουσι τῷ ᾱ τὸ ῑ καὶ ἀκούουσι φωνῇ, τὸ τῇ φωνῇ λεχθέν· οἱ δὲ ἀπόστροφον τίθενται ἐν τῷ ᾱ καὶ τὸ φωνηθὲν καὶ πολυθρύλλητον ἀκούουσιν. Vet.

Φωνᾶεν] τὸ μετεώρῳ φωνῇ λαληθέν. Gl. α.

3. Καλλίνικος ὁ τριπλόος] τρὶς ὑμνοῦντο οἱ νικηφόροι, ἅμα τῇ νίκῃ καὶ ἐν τῷ γυμνασίῳ καὶ ἐν τῇ πατρίδι. ἢ ὁ πολλάκις λεγόμενος τῇ νίκῃ. ἢ ἐπειδὴ τρία ἰάμβεια εἰσιν. § Ἄλλως. τριπλόος, ὁ πλήθει λεγόμενος, οἱονεὶ ὑπὸ τοῦ πλήθους ᾀδόμενος, ἢ ὁ ἁβρυτόμενος καὶ πολλάκις ᾀδόμενος· τοῦτο λέγει κεχλαδώς. § Ἄλλως. τριπλόος] ἀκαταλλήλως τῷ μέλος ἐπήγαγε τὸ τριπλόος, οὐδετέρῳ προσπλέξας τὸ ἀρσενικὸν, ἀλλὰ ῥητέον πρὸς τὴν διάνοιαν αὐτὸν ἀπηντηκέναι. Ἀρχιλόχου μέλος ὁ ὕμνος, εἶτα ὕμνος ὁ τριπλοῦς· τριπλόος δὲ ἤτοι ὁ τρὶς ἐπᾳδόμενος, ἢ τρίστροφος ὢν κατὰ τὸν Ἀρίσταρχον· στροφῇ δὲ καὶ ἀντιστρόφῳ τὰ τῶν λυρικῶν σύγκειται ποιήματα. Vet.

7. Ἑταίροις] συγγενέσιν. Gl. γ.

8. Ἑκαταβόλων] μακρὰν τοξευόντων. Gl. γ.

Ἀλλὰ νῦν ἑκαταβόλων] τότε μὲν οὖν καὶ περὶ τὸν καιρὸν τῆς νίκης ἐκεῖνα ἐλέχθη ἐν Ὀλυμπίᾳ, νυνὶ δὲ ἀπὸ τῶν τὰ πόῤῥω βαλλόντων τόξων μουσικῶν. τὸ δὲ ὅλον τροπή. τόξῳ μὲν γὰρ τὴν ποίησιν, βέλεσι δὲ τὰ ἐγκώμια παραβάλλει. § Ἄλλως. ἤτοι τῷ χορῷ ἢ ἑαυτῷ παρακελεύεται· ἀλλὰ κατὰ τὸν ἐνεστῶτα χρόνον, φησὶν, ἀπὸ τῶν μουσικῶν τόξων ἐπινεμέθητι τοῖς ὕμνοις τὸν Δία καὶ τὴν Ὀλυμπίαν. ἑκατηβόλων δὲ, τῶν εἰς ἅπαντα τόπον διϊκνεῖσθαι ποιούντων τὰ ποιήματα. Vet.

11. Σεμνόν τ' ἐπίνειμαι] ὑμνεῖν ἢ ὑμνηθῆναι ποίησον τὴν Πίσαν τὴν πρωτεύουσαν τῶν πόλεων, ἢ διὰ τὸν ἀγῶνα, οἷον τὴν τὸν ἀκρότατον καὶ κάλλιστον τῶν ἀγώνων ἔχουσαν. τὸ δὲ ἐπίνειμαι ἢ πρὸς ἑαυτὸν, ἢ πρὸς τὸν χορόν. § Ἄλλως. Ἐπίνειμαι] ἔπελθε, ἡ δὲ παρακέλευσις ἢ ὡς πρὸς ἑαυτὸν, ἢ ὡς πρὸς τὸν χορόν. ἔπελθε οὖν, φησὶ, τὸ ἀκρωτήριον τῆς Ἤλιδος, ὅπερ ποτὲ ὁ Πέλοψ ἐξαίρετον εἴληφε παρὰ τῆς Ἱπποδαμείας νικήσας τὸν Οἰνόμαον ἔδνον. Vet.

12. Ἀκρωτήριον Ἄλιδος] ὃ προσεκτήσατο Πέλοψ, λαβὼν τὴν Ἱπποδάμειαν. § Ἔδνον νῦν οὐ τὸ παρὰ τοῦ ἀνδρὸς διδόμενον τῇ γαμουμένῃ λέγει, ἀλλ' ὃ αὐτὸς ἐκείνην λαβὼν προσεκτήσατο. [1]) φησὶ δὲ τῶν ἐκ τῆς Ἱπποδαμείας αὐτῷ περιγεγονότων δώρων, ὅτε ἔγημεν αὐτὴν, τοῦτο κάλλιστον ἔδνον εἶναι, τὴν ἐκείνης τῆς χώρας κτῆσιν. § Ἄλλως. ἄκαιρόν ἐστιν ἐπὶ τῆς Ἱπποδαμείας τὸ ἔδνον. ἔδνα γὰρ διδόασιν οἱ ἄνδρες, φερνὰς δὲ

1) Supplevi haec ex Vrat. A. qui παρὰ τὸ, non τὸ παρά.

Digitized by Google

αἱ γυναῖκες παρὰ τὸ φέρειν μεθ' ἑαυτῶν. § τὴν Πίσαν λέγει, ἢ τὴν ἐξέχουσαν τῇ θέσει, ἢ τὴν ἐνδοξοτάτην καὶ πρωτεύουσαν. [1]) Vet.

13. Τοιοῖςδε μέλεσι] τοιοῖςδε ποιήμασι, τοιούτοις ὕμνοις, τοῖς νῦν, καὶ μὴ οἵοις οἱ πρότερον. Vet.

15. Πέλοψ ἐξάρατο] ὁ Πέλοψ κατὰ μέν τινας Λυδὸς, κατὰ δέ τινας Φρὺξ ἢ Παφλαγὼν, κατὰ δὲ Αὐτεσίωνα Ἀχαιός. [2]) Vet.

17. Πτερόεντα δ' ἵει ὀϊστόν] τροπικῶς τὸν ὕμνον. πάλιν δὲ ἢ πρὸς ἑαυτὸν ἢ πρὸς τὸν χορὸν τρέπει τὸν λόγον· καὶ εἰς τὴν Πυθῶνα δὲ ἵει καὶ πρόπεμπε τὸν πτερόεντα ὀϊστόν. πάλιν δὲ τῇ τροπῇ κέχρηται. παρακελεύεται δὲ ἑαυτὸν ἀπὸ τῆς Ὀλυμπίας βαλεῖν τοῖς τῶν ἐγκωμίων βέλεσι καὶ τὴν Πυθῶνα κατὰ σκοποῦ. ἐνίκησε δὲ ὁ Ἐφάρμοστος καὶ Ὀλύμπια, ὡς προεῖπε, καὶ Πύθια, ἑβδομηκοστῇ τρίτῃ Ὀλυμπιάδι. § Ἄλλως. ἀντὶ τοῦ καὶ τὴν Πυθῶνα ὕμνει. καὶ πρὸς τὴν Πυθῶνα, φησὶν, ἀφίει τὸν γλυκὺν ὀϊστὸν, ὅ ἐστι τὸν ὕμνον, ἀπὸ τῆς Ὀλυμπίας μεταβάς. καὶ γὰρ Πύθια ἐνίκησεν ὁ Ἐφάρμοστος τὴν τριακοστὴν [3]) Πυθιάδα. Vet.

19. Οὗτοι χαμαιπετέων] οὐ γὰρ δὴ εὐτελῶν οὐδὲ μικρῶν λόγων ἀπάρξῃ περὶ τῶν τοῦ ἀνδρὸς παλαισμάτων λέγων καὶ τῇ κιθάρᾳ ἐπὶ τούτοις χρώμενος· οὐ τοιούτων λόγων ἐφάψει κατὰ τοῦτον τὸν ὕμνον, οἳ πέσοιεν ἂν χαμαὶ, ἀλλὰ τοὐναντίον ἐνδόξων καὶ δυναμένων πανταχοῦ διϊκνεῖσθαι. § χαμαιπετῆ δὲ κυρίως ἐστὶ δόρατα ἢ βέλη, ὅτε ἀποτυχόντα τοῦ σώματος χαμαὶ ἔπεσεν. [4]) Vet.

† Σύνταξις. Οὗτοι χαμαιπετέων] μὴ δῆτα ἅψῃ λόγων χαμαὶ κειμένων, τουτέστιν ὑπτίων, εὐτελῶν· ἤγουν μὴ χρήσῃ λόγοις εὐτελέσιν, ἐλελίζων, ἤτοι κινῶν τὴν φόρμιγγα ἐπὶ τοῖς παλαίσμασι τοῦ ἀνδρὸς, ἀντὶ τοῦ χάριν τῆς νίκης τῆς ἐν τῇ πάλῃ τοῦ ἀνδρὸς τοῦ ἐκ τῆς ἐνδόξου Ὀποῦντος. αἰνήσαις, ἀντὶ τοῦ ἐπαίνεσον, ὕμνησον αὐτὴν τὴν πόλιν τὴν Ὀποῦντα καὶ τὸν υἱὸν, ἀιτὶ τοῦ τὸν πολίτην αὐτῆς, δηλονότι τὸν Ἐφάρμοστον, ἥντινα, ἤγουν τὴν πόλιν, λέλογχε, τουτέστιν εἰς κλῆρον ἔλαβεν, ἡ Θέμις, ἀντὶ τοῦ ἡ Δίκη, καὶ ἡ θυγάτηρ αὐτῆς ἡ τὰς πόλεις σώζουσα ἡ καταπολὺ τιμία Εὐνομία. ἕπεται γὰρ τῇ δίκῃ τὸ καλῶς τοῖς νόμοις χρῆσθαι. θάλλει δὲ αὐτὴ ἡ Ὀποῦς, ἤγουν λαμπρά ἐστιν ἐπ' ἀρεταῖς, τουτέστιν ἐπ' ἀριστείαις, ἐπ' ἀνδραγαθίαις ἐπίσης τε ἐν τῇ Κασταλίᾳ, ἤγουν ἐν τῇ Πυθῶνι καὶ πλησίον τοῦ ῥεύματος τοῦ ποταμοῦ τοῦ Ἀλφειοῦ, ἤτοι καὶ ἐν τῇ Ὀλυμπίᾳ· ὅθεν, ἤγουν ἀπὸ τῆς Κασταλίας καὶ τοῦ Ἀλφειοῦ, στεφάνων ἐξαίρετοι κόσμοι ἐπαίρουσι, τουτέστι μεγαλύνουσιν, ὑμνοῦσι τὴν Ὀποῦντα τὴν μητρόπολιν τῶν Λοκρῶν, τὴν περιῳδομένην, τὴν ἀγλαόδενδρον, ἤγουν τὴν εὐθαλῶν δένδρων αὐξητικὴν, τουτέστι τὴν εὔγεων. Rec.

21. Φόρμιγγ' ἐλελίζων] ἀντὶ τοῦ τῇ κιθάρᾳ τὸν ἐπίνικον προσᾴδων. [5]) Vet.

22. Κλεινᾶς ἐξ Ὀπόεντος] ποίου φησὶν ἀνδρός; τοῦ ἐκ τῆς Ὀποῦντος, ἵν' ᾖ, τοῦ Ἐφαρμόστου. ἐκεῖθεν γὰρ τὸ γένος ἔχει. Vet.

23. Αἰνήσαις ἢ καὶ υἱόν] ἢ ἀντωνυμία. κεῖται γὰρ ἀντὶ τοῦ αὐτὴν τὴν Ὀποῦν-

1) Vrat. A. 2) Vrat. A. in quo Ἀπεσίων. Αὐτεσίων audit ap. schol. Olymp. I, 37. ubi hoc pro vulgato Ἀντεσ. reposui ex Vrat. D. 3) Vrat. A. habet λγ'. 4) Vrat. A. in quo πέσει. 5) Vrat. A.

Digitized by Google

τα. υἱὸν δὲ τὸν πολίτην λέγει. § Ἄλλως. τὴν πόλιν Ὀποῦντα καὶ τὸν υἱὸν αὐτῆς τὸν Ἐφάρμοστον, καθὸ πατρὶς αὐτοῦ ἐστιν. § υἱὸν δὲ ἀντὶ τοῦ πολίτην. δύναται δὲ καὶ αὐτὴν τὴν ἡρωΐδα λέγειν, υἱὸν δὲ τὸν Ὀποῦντα. Vet.

24. Ἂν Θέμις] ἤντινα Ὀποῦντα ἥ τε Θέμις καὶ ἡ θυγάτηρ ταύτης Εὐνομία ἡ τὰς πόλεις σώζουσα κεκλήρωται κατέχειν, ἥτις Εὐνομία μεγάλην δόξαν ἔχει. § Θέμιδος δὲ θυγατέρα καὶ Ἡσίοδος· [1])

Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν.

ὁ δὲ λόγος ἐπὶ τῆς Ὀποῦντος, ὅθεν ἦν ὁ νικηφόρος. [2]) Vet.

25. Σώτειρα Εὐνομία] σώζει γὰρ ἡ Εὐνομία τὰς πόλεις. λέγει δέ, ὅτι ἡ Ὀποῦς εὐνομίᾳ καὶ δικαιοσύνῃ χαίρει. θυγάτηρ δὲ ἡ Εὐνομία Δικαιοσύνης, ἐπειδὴ οἱ νόμοι δικαίου χάριν ἐτέθησαν. Rec.

27. Θάλλει] λάμπει. Gl. β. γ.

Θάλλει δ' ἀρεταῖς] βρύει δὲ καὶ αὔξεται ταῖς ἀρεταῖς τῆς νίκης ἡ Ὀποῦς, ἔν τε τῇ Κασταλίᾳ πηγῇ ἐν Πυθοῖ, καὶ ἐν ταῖς τοῦ Ἀλφειοῦ ποταμοῦ, τουτέστιν ἐν Ὀλυμπίᾳ, ἀφ' ὧν, ἤτοι ποταμῶν ἢ τόπων, αἱ νῖκαι καὶ τὰ ἄνθη τῶν στεφάνων τὴν ἔνδοξον τῶν Λοκρῶν μητέρα τὴν Ὀποῦντα ἐπέρχονται, καὶ ὑψοῦσι τὴν καλλίδενδρον, ἀφ' οὗ δηλοῖ τὴν εὔγειον. § Ἄλλως. θάλλει ταῖς ἀρεταῖς τῆς Κασταλίας, ἀντὶ τοῦ τῆς Πυθοῦς. κρήνη γάρ ἐστιν ἐν Πυθῶνι· τὰ γὰρ Πύθια ἐνίκησε καὶ τὰ Ὀλύμπια. § τὸ δὲ ἴσον ἀντὶ τοῦ κοινῶς, παρά τε τὸ ἴσον ῥέεθρον Κασταλίας καὶ τὸ τοῦ Ἀλφειοῦ. [3]) Vet.

30. Ἄωτοι] χαρίσματα. Gl. γ.

31. Ἐπαείροντι] τὴν καλλίδενδρον ὑψοῦσι καὶ μετεωροῦσιν, ὑμνοῦσιν. Vet.

Ἐπαείροντι] δοξάζουσι. Gl. γ.

32. Ματέρ' ἀγλαόδενδρον] μητέρα, τὴν Ὀποῦντα τοῦ Ἐφαρμόστου πατρίδα. μητρόπολιν δὲ τὴν Ὀποῦντα τῶν Λοκρῶν λέγει. § μητέρα τοῦ Ἐφαρμόστου τὴν Ὀποῦντα, καθὸ μητέρας τὰς πατρίδας λέγουσι. Μῆτερ ἐμή, τὸ τεὸν, χρύσασπι, φησὶ τὴν Θήβην. [4]) μητρόπολις δὲ τῶν Λοκρῶν ἡ Ὀποῦς. [5]) Vet.

33. Ἐγὼ δέ τοι φίλαν πόλιν] ὁ νοῦς τοιοῦτος· ἐγὼ δὴ οὖν ταύτην τὴν προσφιλεστάτην Ὀποῦντα ἐκδήλοις καταυγάζων ὕμνοις πανταχοῦ ἐκπέμπω ταύτην τὴν ἀγγελίαν καὶ ἵππου παντὸς τοχυτάτου καὶ ναὸς ταχείας θᾶττον, εἴπερ τινὶ θείᾳ μοίρᾳ καὶ μετά τινος θείας χειρὸς τὸν ἐξαίρετον τῶν Χαρίτων κῆπον, τὸν ποιητικὸν λέγει, νέμομαι, καρποῦμαι. τοῦτον δὲ νέμομαι εἶπεν, ὅτι οἶδεν αὐτὸν εὐφυῶς καὶ δυνατῶς γράφοντα· εἰ δὲ καὶ χάρις τοῖς ποιήμασιν ἐπακολουθήσει, ὡς ἄνθρωπος ἀγνοεῖ. Vet.

† Σύνταξις. Ἐγὼ δέ τοι] ἐγὼ δὲ τὴν προσφιλῆ ἐμοὶ πόλιν ταύτην τὴν Ὀποῦντα φλέγων, ἀντὶ τοῦ λαμπρύνων ᾠδαῖς μαλεραῖς, ἤγουν λαμπραῖς, ταχύτερον καὶ ἵππου ἀγάνορος, ἤτοι πάνυ γενναίου, ἀπὸ μεταφορᾶς τῶν ἀνδρῶν· ὁ ἀγήνωρ γὰρ ἐπὶ ἀνθρώπων κυρίως λέγεται, καὶ ἔστι ταυτὸν τῷ ἀνδρεῖος· ἵπποι δὲ λέγονται κατὰ τοῦτο γενναῖοι καὶ ἀγέρωχοι καὶ εὔψυχοι· καὶ νηὸς ὑποπτέρου, ἀντὶ τοῦ ταχυτάτης, θᾶττον πέμψω

1) Theog. 901. 2) Vrat. A. Ante hoc scholium legitur: ἐνήλλαχε δὲ τὴν πτῶσιν, quod ab hoc certe loco alienum est. 3) Ex Vrat. A. 4) Isthm. I, 1. 5) Vrat. A.

Digitized by Google

πανταχόσε ταύτην τὴν ἀγγελίαν τὴν περὶ τῶν ἀνδραγαθημάτων, αὐτῆς δηλονότι καὶ τῆς εὐνομίας. Rec.

Φίλαν] ἀγαπητήν. Gl. β. γ.

34. Μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς] λαμπραῖς, κατὰ μετωνυμίαν. § Ἄλλως. ταῖς λαμπραῖς καὶ ἐκδήλοις, ἐπιφλέγων δὲ ἀντὶ τοῦ ἐπαυγάζων· διόλου γὰρ τῇ τροπῇ ὡς ἐπὶ πυρὸς ἐπέμεινε. λαμπρύνων ἐγὼ οὖν, φησὶν, ὑμνῶν τὴν πόλιν ταύτην, τὴν ἀγγελίαν πανταχοῦ πέμψω ταχύτερον ὀξέος ἵππου καὶ νηὸς οὐριοδρομούσης, εἰ σὺν θεοῦ βουλήσει κεχαρισμένα ποιήματα γράφω. § ταῖς λαμπραῖς, παρόσον τὸ πῦρ δηλοῦσθαι, ἐκ δὲ τοῦ πυρὸς τὸ λαμπρόν. ὁ δὲ τρόπος μετάληψις. λαμπρὰς δὲ τὰς ᾠδὰς διὰ τὸ διϊκνεῖσθαι ὡς τὸ πῦρ. ὁ δὲ Δίδυμος ἀντὶ τοῦ μαλακαῖς· καὶ γὰρ ἑτέρωθι μαλακοφώνους τὰς ᾠδάς φησιν. [1]) Vet.

Ἐπιφλέγων] μεγαλύνων. Gl. γ.

35. Ἀγάνορος] μεγαλοψύχου. Gl. γ.

36. Ναὸς ὑποπτέρου] ταχείας, ἢ διὰ τὰς κώπας. Ὅμηρος· [2]) Τὰ πτερὰ νηυσὶ πέλονται. ἀγγελίαν δὲ, τὴν περὶ τῆς νίκης. § ἢ τῆς ταχείας, ἢ τῆς εὐτρεπισθείσης ἁρμένοις, τὰ πτερὰ νηυσὶ πέλονται. [3]) Vet.

37. Ἀγγελίαν] τὸν ὕμνον, ὃν πρὸς τὸν πολίτην αὐτῆς πλέκων, καὶ αὐτὴν ἀΐδιον θήσω μέχρις ἂν παρ' ἀνθρώποις ὦσι λόγοι. Rec.

38. Εἰ σύν τινι μοιριδίῳ] δύναται τὸ εἰ ἐνταῦθα καὶ ἀντὶ τοῦ ἐπεὶ λαμβάνεσθαι καὶ δισταακτικῶς· ἄμεινον δὲ τὸ δεύτερον. εἰ σὺν παλάμῃ τινὶ, ἀντὶ τοῦ βοηθείᾳ μοιριδίῳ, τουτέστι μοίρας κρείττονος, κῆπον ἐξαίρετον καρποῦμαι Χαρίτων, ἀντὶ τοῦ δύναμιν λόγων, ἣν αἱ Χάριτες ἐφορῶσι, τουτέστι Χαρίτων μετέχουσαν. κεῖναι γὰρ, ἤγουν αἱ Χάριτες παρέσχον τοῖς ἀνθρώποις τὰ τέρψιν ἐμποιοῦντα. Rec.

Μοιριδίῳ παλάμᾳ] δαιμονίᾳ μηχανῇ καὶ τέχνῃ. § εἰ σύν τινι μηχανῇ παρὰ Μοιρῶν δεδομένῃ μοι τῶν Χαρίτων ἐπινέμομαι κῆπον, καὶ μὴ παρὰ φύσιν βιάζομαι. [4]) Vet.

39. Χαρίτων κᾶπον] τὴν ποιητικήν. ὅτι δὲ πάροικοι ταῖς Μούσαις αἱ Χάριτες, καὶ Ἡσίοδος [5]) μαρτυρεῖ·

Πὰρ δ' αὐταῖς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν. Vet.

Ἐξαίρετον Χαρίτων] φησὶν Ἡσίοδος ἐν τῇ Θεογονίᾳ μετὰ Μουσῶν εἶναι τὰς Χάριτας·

Πὰρ δ' αὐταῖς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν. Rec.

40. Κεῖναι γὰρ ὤπασαν] αἱ Χάριτες τὰ ἐν τῷ βίῳ τερπνὰ τοῖς ἀνθρώποις παρέσχον. ἀγαθοὶ δὲ καὶ σοφοὶ καὶ ἀνδρεῖοι ἄνθρωποι κατὰ βούλησιν τοῦ δαιμονίου καὶ θεῶν γίνονται. Χαρίτων μὲν γὰρ ἔργον οἶδε τὸ τὰ πράγματα χαριέντως ἀποτερματίζειν, Μοιρῶν δὲ καὶ Εἱμαρμένης τὸ δυνατούς τινας κατὰ ἀνδρείαν καὶ συνετοὺς κατὰ φρόνησιν γίνεσθαι. λεληθότως δὲ ὁ Πίνδαρος διὰ τὸ ἀνεπαχθὲς [6]) τὰ ἴδια ἐπεξεργάζεται ἐγκώμια. Vet.

[1]) Vrat. A. Pro forma λαμπρὰς cod. λαμπρόν: ante τὸ πῦρ addidi ὡς. Μαλθακόφωνοι ἀοιδαὶ sunt Isthm. II, 8. [2]) Odyss. λ, 124. [3]) Ex Vrat. A. [4]) Vrat. A. [5]) Theog. 64. [6]) Vrat. D. ἐπαχθές.

Digitized by Google

41. Τὰ τερπνά] μαθήματα. Gl. γ.

† Σύνταξις. Ἀγαθοὶ δὲ καὶ σοφοί] ἀγαθοὶ δὲ ἐγένοντο ἄνδρες, ἤγουν ἀνδρεῖοι καὶ σοφοὶ, τουτέστι φρόνιμοι κατὰ δαίμονα, ἀντὶ τοῦ κατὰ μοῖραν θείαν. ἐπεὶ εἰ μὴ ἐγένοντο δηλονότι κατὰ μοῖραν θείαν φρόνιμοι καὶ ἀνδρεῖοι, πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσειδῶνος ἐτίναξεν, ἤγουν σφοδρᾷ ὁρμῇ ἐκίνησε διὰ τῶν χειρῶν τὴν σκυτάλην, τουτέστι τὴν ῥάβδον, τὸ ῥόπαλον, ὁπηνίκα ὁ Ποσειδῶν στὰς ἤρειδεν, ἀντὶ τοῦ ἐπίεζεν αὐτὸν ἀμφὶ τὴν Πύλον, ἀντὶ τοῦ κατὰ τὴν Πύλον, ἐπίεζέ τε αὐτὸν ὁ Φοῖβος δι' ἀργυροῦ τόξου πολεμῶν αὐτῷ δηλονότι. Rec.

42. Κατὰ δαίμον' ἄνδρες] ἀγαθοὶ, φησὶν, ἄνδρες κατὰ ἀνδρείαν καὶ σοφοὶ κατὰ σύνεσιν ἐκ θεοῦ μοίρας ἐγένοντο. τοῦτο δὲ παραδεικνὺς παραβάλλει τὸν Ἡρακλέα, ὅτι εἰ μὴ κατὰ θεοῦ μοῖραν ἐγεγόνει τοιοῦτος, οὐκ ἄν ποτε ὑπέστη ἀντιστῆναι Ἀπόλλωνι καὶ Ποσειδῶνι καὶ Ἅιδῃ Ἡρακλῆς. Vet.

43. Ἐπεὶ ἀντία πῶς ἂν τριόδοντος ἕως θνασκόντων] τίνες εἰσὶν αἱ αἰτίαι, δι' ἃς ἐπολέμησε τοῖς τρισὶ θεοῖς ὁ Ἡρακλῆς; πρὸς τὸν Ποσειδῶνα μὲν προϊστάμενον Πυλίων· ἐπολέμει γὰρ Ἡρακλῆς τοῖς Πυλίοις διὰ ταύτην τὴν αἰτίαν. ἀνελὼν τινα Τραχίνιον καὶ φεύγων τοῦ φόνου τὸ μῦσος ἔρχεται πρὸς Νηλέα ἐπὶ τῷ καθαρθῆναι τοῦ φόνου. ὡς οὖν οὐκ ἐπέτρεψεν, ἐκίνησε πρὸς Νηλέα πόλεμον. ὁ οὖν Ποσειδῶν ὡς ὑπὲρ παιδὸς ἐμαχέσατο τῷ Ἡρακλεῖ· Νηλεὺς γὰρ καὶ Πελίας Τυροῦς καὶ Ποσειδῶνος υἱοί. πρὸς δὲ Ἀπόλλωνα οὕτω καὶ διὰ τοιαύτην αἰτίαν· εἰς γὰρ τὴν Πυθῶνα παρεγένετο μαντευσόμενος περί τινος. ἔφη οὖν αὐτῷ ἡ Πυθία, μὴ παρεῖναι τὸν θεὸν μηδὲ χρησμῳδεῖν· ὀργισθεὶς οὖν ἐπὶ τούτῳ ὁ Ἡρακλῆς ἥρπασε τὸν μαντικὸν τρίποδα καὶ πρὸς αὐτὸν εἵλετο τὴν μάχην. πρὸς δὲ τὸν Ἅιδην διὰ τοῦτο· ἐπιταχθεὶς γὰρ τὸν Κέρβερον κύνα ἀγαγεῖν ὑπὸ τοῦ Εὐρυσθέως, εἶτα διακωλυόμενος, ἐτόλμησε καὶ πρὸς τὸν Ἅιδην. αἱ δὲ μάχαι αἱ πρὸς τοὺς θεοὺς ἐν διαφόρῳ χρόνῳ τῷ Ἡρακλεῖ γεγόνασιν. § Ἄλλως. ἰδίως κἀνταῦθα ὁ Πίνδαρος τὸν Ἡρακλέα φησὶ τοῖς τρισὶ πολεμῆσαι θεοῖς. δεδόσθω γὰρ αὐτῷ, φησὶν ὁ Δίδυμος, περὶ τὴν ὑπὸ τῷ Νέστορι Πύλον συστῆναι τὸν πόλεμον, Ὁμήρου [1]) τὴν ἐν ᾅδου πύλην νεκύων εἰπόντος· Ἐν πύλῳ, ἐν νεκύεσσι βαλών. εἴη δ' ἂν νῦν ὁ Πίνδαρος τὰ καὶ τόποις καὶ χρόνοις διεστῶτα εἰς ἕνα καιρὸν ἄγων ἕνεκα τοῦ μειζόνως ἢ ὡς ἔσχε ταῖς ἀληθείαις τὸν Ἡρακλέα ἔχειν ἐπαινεῖν. Ἀπόλλωνι μὲν γὰρ ὁ Ἡρακλῆς ἐν Πυθοῖ μάχεται περὶ τοῦ τρίποδος, οὐκ ἀμύνων τῇ Πύλῳ, τῷ Ἅιδῃ δὲ, ὅτε τὸν Κέρβερον ἀνήγαγε, Ποσειδῶνι δὲ ἀμύνοντι Πύλῳ. [2]) § Ἄλλως. Ἐπεὶ ἀντίον] ἐπεὶ εἰ μὴ ἐκ θεῶν ἦν τὰ κάλλιστα τοῖς ἀνθρώποις, πότε ἂν ἠδυνήθη Ἡρακλῆς τῷ ῥοπάλῳ ἀντιμάχεσθαι πρὸς τὴν τοῦ Ποσειδῶνος τρίαιναν καὶ νικῆσαι, ἡνίκα ὁ Ποσειδῶν στὰς περὶ τὴν Πύλον διεκώλυε τὸν Ἡρακλέα καὶ ἐπολέμει; § τὸν Ἡρακλέα φασί τινα Τραχίνιον πεφονευκέναι, εἶτα εἰς Πύλον ἀποδημήσαντα τῆς πατρίδος πρὸς τὸ τοῦ μιάσματος καθαρθῆναι μὴ παραδεχθῆναι ὑπὸ τοῦ τῆς Πύλου, τῆς τοῦ Νέστορος, Νηλέως ἄρχοντος. ἐπὶ τούτῳ διωκόμενον ἆραι χεῖρας κατὰ τοῦ ἄρχοντος. τοῦ δὲ Νηλέως υἱοῦ Ποσειδῶνος τυγχάνοντος, ἐπὶ ἐκδικήσει τοῦ παιδὸς ἐλθεῖν, καὶ οὕτως Ἡρακλέα θάρσους

1) Iliad. ε, 397. 2) Haec inde a τῷ Ἅιδῃ Vrat. A. cetera ex pluribus libris correxi.

Digitized by Google

ἐμπλησθέντα τολμῆσαι καὶ κατ' αὐτοῦ καίπερ θεοῦ τυγχάνοντος τῇ οἰκείᾳ δυνάμει χρήσασθαι. [1]) Vet.

Ἱστορία περὶ Ἡρακλέους. Τραχίνιόν τινα ἀνελὼν Ἡρακλῆς προστάξαντος Ἀπόλλωνος ἔρχεται εἰς Νηλέα τὸν Ποσειδῶνος, ἵνα ὑπ' αὐτοῦ καθαρθείη τοῦ φόνου. μὴ βουληθέντος οὖν τοῦ Νηλέως πόλεμον συνέστησε πρὸς αὐτὸν Ἡρακλῆς καὶ πρὸς τὸν τούτου πατέρα Ποσειδῶνα τῷ παιδὶ συμμαχοῦντα. Ἑτέρα περὶ αὐτοῦ. ἐλθὼν εἰς Πυθίαν Ἡρακλῆς ὑπὲρ τούτου χρησόμενος τῷ Ἀπόλλωνι ἤκουσε παρὰ τῆς Πυθίας μὴ εἶναι τὸν θεὸν ἐνταῦθα μηδὲ μαντεύεσθαι. ὀργισθεὶς ἐπὶ τούτῳ τὸν τρίποδα λαβὼν ἔρριψεν, ὥςπερ μάχην ἐντεῦθεν ἀνταίρων πρὸς τὸν θεόν. Ἑτέρα περὶ αὐτοῦ. ἐπολέμησε πρὸς τὸν Ἅιδην Ἡρακλῆς, ὅτε ἀπελθὼν τὸν Κέρβερον λαβεῖν ἐκωλύετο παρ' αὐτοῦ. λέγει οὖν, πῶς ἂν Ἡρακλῆς ταῦτα ἐποίησε, μὴ ὑπὸ Διὸς τοιοῦτος γεγονώς; § δέον εἰπεῖν βροτῶν πρὸς τὸ θνησκόντων, βρότεα εἶπε πρὸς τὰ σώματα. Rec.

45. Σκύταλον] ῥοπάλην. Gl. γ.

46. Ἀνίκ' ἀμφὶ Πύλον] ὅτι παρακηκόει Ὁμήρου λέγοντος· Ἐν πύλῳ ἐν νεκύεσσι. διὸ καὶ μεμυθολόγηκε τὰ περὶ τὴν Πύλον τοῦ Νέστορος. Ὅμηρος δὲ οὐκ ἐν Πύλῳ λέγει τῇ πόλει, ἀλλ' ἐν πύλῃ τῇ τοῦ ᾅδου φησὶν αὐτὸν μάχεσθαι. Vet.

50. Ἀΐδας] οὗτος ὁ Ἅιδης βασιλεὺς ἦν τῶν Μολοσσῶν, ὃς εἶχε τὸν κύνα τὸν καλούμενον Κέρβερον. Schol. Bodl. γ.

Οὐδ' Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον] τῇ ῥάβδῳ κέχρηται καθάπερ ὅπλῳ τινί, βίαν μὲν οὐδεμίαν παρεχομένη, καθάπερ ἢ τριόδους ἢ ξίφος ἢ δόρυ, ἀλλὰ δυνάμει συνεχρῆτο θελκτικῇ καὶ μαλακτικῇ τῆς ψυχῆς· ταύτῃ γοῦν φησι καὶ τὰς ψυχὰς αὐτὸν κατάγειν. ἐπὶ τοῦ Ἡρακλέους οὖν ὁ Ἅιδης ἔργῳ διὰ τῆς ῥάβδου ταύτης οὐδὲν ἠδύνατο δρᾶσαι, διὰ τὸ τὴν δύναμιν αὐτοῦ ὑπὸ τοῦ Διὸς ἀμβλυνθῆναι. ἀπὸ κοινοῦ δέ, εἰ μὴ κατὰ δαίμονα ἄνδρες ἐγένοιτο, οὐκ ἂν οὐδὲ ὁ Ἅιδης ἀσθενῆ καὶ ἀκίνητον διαμαχόμενος Ἡρακλεῖ εἶχε ῥάβδον, ἐν ᾗ ῥάβδῳ τὰ τῶν ἀνθρώπων σώματα ἀσθενῆ ποιῶν οὕτως εἰς τὸν κοῖλον τόπον τοῦ ᾅδου κατάγει τῶν τελευτώντων. ὅτι δὲ καὶ θελκτικὴ ἡ ῥάβδος καὶ κατεργάσασθαι δύναται, Ὅμηρός [2]) φησιν ἐπὶ τοῦ Ἑρμοῦ·

Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει. Vet.

† Σύνταξις. Οὐδ' Ἀΐδας ἀκινήταν] οὐδὲ ὁ Ἅιδης εἶχεν ἀκίνητον, ἤγουν ἀνενέργητον τὴν ἑαυτοῦ ῥάβδον, δι' ἧς κατάγει τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἀγυιάν, ἤτοι τὴν δίοδον, τὴν στενωπὸν τὴν κοίλην τῶν ἀποθνησκόντων, τουτέστι τὰς καταδύσεις τῆς γῆς, ἃς οἱ ἀποθνήσκοντες διέρχονται. συνάπτει μὲν τὴν μάχην τῶν θεῶν τούτων τὴν πρὸς τὸν Ἡρακλέα, ἀντιτάττει δὲ αὐτὸν τῇ τριαίνῃ μόνῃ τοῦ Ποσειδῶνος, ἀφ' ἧς συνυπακούειν δίδωσι καὶ τὴν πρὸς τοὺς ἄλλους αὐτῷ ἀντιπαράταξιν καὶ ἰσχύν. ὁ γὰρ λόγος αὐτῷ σαφέστερον οὕτως ἔχει· ἐπεὶ πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσειδῶνος τὸ ἑαυτοῦ ῥόπαλον ἐκίνησεν, ὁπηνίκα ὁ Ποσειδῶν ἐπίεζεν αὐτὸν καὶ ὁ Φοῖβος καὶ ὁ Ἅιδης διὰ τῆς ἑαυτοῦ ῥάβδου; ἀγανακτῶν δὲ πρὸς τοῦτον τὸν λόγον ὡς προς-

1) Vrat. A. ad vs. 74. Addidi ὑπὸ et τῆς ante verba τοῦ Νέστορος, hoc perspicuitatis causa.
2) Iliad. ω, 343. Odyss. ε, 47.

Digitized by Google

κρούοντα τοῖς θεοῖς ἀναστέλλει ἑαυτὸν μὴ λέγειν τοιαῦτα καί φησιν· ἀπόῤῥιψον, ἤγουν ὡς βάρος ἀπόθου, ὡς ἐπιβλαβῆ ἔασον τοῦτον τὸν λόγον, ὦ στόμα ἐμόν. ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς, τουτέστι τὸ βλάσφημα περὶ θεῶν εἰπεῖν, ἐχθρὰ σοφία, ἤγουν μεμισημένη, καὶ τὸ καυχᾶσθαι ἔξω τοῦ καιροῦ, τοῦτο δέ φησιν ἐπεὶ Χαρίτων εἶπε κῆπον νέμεσθαι, μανίαις ὑποκρέκει, ἀντὶ τοῦ συνᾴδει, τουτέστι μανίᾳ ἐστὶν ἴσον. Rec.

53. Κοίλαν πρὸς [1]) ἀγυιάν] ὥςπερ παρὰ τὸ αἴθω αἴθυια, οὕτω παρὰ τὸ μύω μυῖα, καὶ παρὰ τὸ ἄγω ἀγυιά. § λέγοι ἂν οὖν τὸν Ἅιδην, ὅτι ἐκεῖ ἄγονται οἱ ἄνδρες. [2]) Vet.

54. Ἀπό μοι λόγον τοῦτον, στόμα, ῥίψον] ἀπόῤῥιψόν μοι τοῦτον τὸν λόγον, ὦ στόμα, παῦσαι τοῦ λέγειν τοιαῦτα περὶ θεῶν· τὸ γὰρ βλασφήμως ἐχόμενα λέγειν περὶ θεῶν, ἀλλότριον τοῖς σοφοῖς, ἀνοήτοις δὲ οἰκεῖον. σοφία μὲν γὰρ οἶδε τὸ γιγνώσκειν τὰ παλαιὰ καὶ ταῦτα ἑρμηνεύειν τεχνικῶς διασκευάζουσα, τὸ δὲ πρὸς λοιδορίαν ἕλκειν τὰ ποιήματα οὐχ ὅσιόν ἐστιν, ὡς διορίζεται. διὸ ἐχθρὰν σοφίαν αὐτὴν ὀνομάζει. Vet.

Ἀπό μοι λόγον] τὸ μοι οὐκ ἔστι πρὸς τὸ στόμα, ὡς οἴονταί τινες, ἀλλ' ἔστι πρὸς τὸ ῥίψον, καὶ ἔστιν ὅμοιον τῷ Ἀφαιρῶ σοι τὴν νόσον. Rec.

55. Ῥίψον] ὡς βλαβερόν. Bodl. β.

56. Ἐπεὶ τό γε λοιδορῆσαι] διότι ἄνδρα ὄντα τὸν Ἡρακλέα τριῶν θεῶν ἀπέδειξεν ὄντα βελτίονα. Vet.

57. Ἐχθρὰ σοφία] τὸ ἄκρα ἐπὶ σοφίᾳ καυχᾶσθαι πάντα μανίας μετέχει. [3]) Vet.

58. Τὸ καυχᾶσθαι παρὰ καιρόν] τὸ γοῦν ἐπὶ ταῖς οὕτως ἀκαίρως ἀναγκαίαις [4]) διηγήσεσι καυχᾶσθαι καὶ σεμνύνεσθαι μανίας ὅμοιόν ἐστι. τοῦτο δὲ εἴρηκε, παρόσον ἀσεβεῖν δόξει, [5]) ἐὰν τὸν Ἡρακλέα ἐγκωμιάζῃ ἐπὶ τῷ τοὺς θεοὺς νενικηκέναι. Vet.

59. Μανίαις ὑποκρέκει] συμφωνεῖ, οἷον ἐνδόσιμόν ἐστιν. § Ἄλλως. ὑποκρέκει, ὑπηχεῖ, προσέοικεν. ὑποκρέκειν γὰρ κυρίως ἐστὶ τὸ ἠρεμαίως ὑπηχεῖν ἐν τῷ ἁρμόζειν τὴν κιθάραν. ὑποτερετίζει οὖν, ἐνδόσιμός ἐστι μανία. ἡ μεταφορὰ οὖν ἀπὸ τῶν τῆς κιθάρας κρουμάτων. [6]) πρότερον γὰρ τῆς κιθάρας ἐπαφώμενοι ὑποκρέκουσιν, ἔπειτα δὲ τέλεον κιθαρίζουσιν. [7]) Vet.

60. Μὴ νῦν λαλάγει τὰ τοιαῦτα] ἀντὶ τοῦ μὴ τοίνυν θορύβει καὶ τὰ τοιαῦτα φλυάρει, ἀλλ' ἀπόῤῥιψον καὶ ἔα καὶ μὴ μέμνησο πολέμων καὶ μαχῶν. τὰ γὰρ τοιαῦτα κεχώρισται καὶ πόῤῥω ἐστὶ τῶν θεῶν. § μὴ λέγε τοῦτο, ὅτι οἱ θεοὶ μετέχουσι τῶν πολέμων καὶ μάχης. φιλόθεος γὰρ ὁ Πίνδαρος. [8]) Vet.

† Σύνταξις. Μὴ νῦν λαλάγει] μὴ νῦν, ὦ στόμα δηλονότι, λαλάγει, ἤγουν λήρει τὰ τοιαῦτα· ἔα πάντα πόλεμον καὶ πᾶσαν μάχην χωρὶς, ἤτοι μακρὰν τῶν θεῶν· φέροις δὲ, ἀντὶ τοῦ φέρε, κίνει, τὴν γλῶσσαν πρὸς τὸ ἄστυ τῆς Πρωτογενείας τῆς θυγατρὸς τοῦ Ὀποῦντος, τοῦ καὶ Δευκαλίωνος. [9]) ὅπου, ἤγουν ἐν τῇ Ὀποῦντι, ἡ Πύῤῥα καὶ ὁ

1) Vrat. A. ἐς. 2) Vrat. A. in quo λέγοιεν οὖν. 3) Vrat. A. 4) Verba corrupta. 5) Vulgo δείξει. Emendavit Heynius. 6) Ita correxi cum Toup. Em. in Suid. P. III, p. 525. Lips. Vulgo κρουμῶν. 7) Supplevi ex Vrat. A. qui δὲ ἔπ. ne cetera vitia enumerem. 8) Vrat. A. qui πόνων pro πολ. 9) V. schol. rec. ad vs. 73. extr. vet. et rec. ad vs. 85.

Digitized by Google

Δευκαλίων ἀπὸ τοῦ Παρνασοῦ καταβάντες τῇ αἴσῃ, ἀντὶ τοῦ τῇ προστάξει, τῇ βουλῇ τοῦ Διὸς τοῦ αἰολοβρόντου, ἤγουν τοῦ τῶν ταχέως κινουμένων βροντῶν αἰτίου οἶκον ἐποίησαν τὴν ἀρχήν. χωρὶς δὲ συνδυασμοῦ γενεὰν ἐκτησάσθην, ἤγουν ἐκτήσαντο, ἔσχον, λιθίνην, τουτέστιν ἀπὸ λίθων, ὁμόδημον, ἤτοι ὁμογενῆ. λαοὶ δὲ ὠνομάσθησαν, ἡ γενεὰ δηλονότι· πρὸς τὸ σημαινόμενον ἡ ἀπόδοσις. Rec.

61. Ἔα] κατάλειψον. Gl. β.

62. Φέροις δὲ Πρωτογενείας] φέροις δὲ μᾶλλον, ὦ στόμα, καὶ λέγοις τὰ περὶ τῆς πόλεως τῆς ἀπὸ Πρωτογενείας, λέγει δὲ τῆς Ὀποῦντος. ὑμνοίης δὲ, φησὶ, τὸ τῆς Πρωτογενείας ἄστυ· ἐκ ταύτης γὰρ γίνεται Ὀποῦς, κατ' ἐπίκλησιν μὲν Λοκροῦ, γόνῳ δὲ Διός· Πρωτογένεια δὲ Δευκαλίωνος καὶ Πύῤῥας. ὁ μέντοι Πίνδαρος Πρωτογένειαν Ὀποῦντος ἱστορεῖ ἐν τοῖς ἑξῆς. Vet.

64. Ἵν' αἰολοβρόντα Διὸς αἴσᾳ] καλῶς τοῦ κατακλυσμοῦ μεμνημένος αἰολοβρόνταν εἶπε τὸν Δία. ἵν' οὖν ἐν τῇ Ὀποῦντι λέγει· ἐκεῖ γάρ φησι Δευκαλίωνα καὶ Πύῤῥαν οἰκῆσαι, ὧν θυγάτηρ Πρωτογένεια. Ἀπολλόδωρός [1]) φησιν, οὐκ ἐν Ὀποῦντι, ἀλλ' ἐν Κύνῳ τὸν Δευκαλίωνα καὶ τὴν Πύῤῥαν οἰκῆσαι. § ἡ δὲ Πύῤῥα καὶ Δευκαλίων ἐκ τοῦ Παρνασοῦ ἐλθόντες ἐν τῇ λάρνακι πρῶτον ᾤκησαν ἐν τῇ Ὀποῦντι πλησίον Παρνασοῦ. ἔνιοι δὲ οὐκ ἐν Ὀποῦντί φασι Δευκαλίωνα καὶ Πύῤῥαν οἰκῆσαι· ὁ γὰρ Ἀπολλόδωρος οὕτω γράφει· οἰκῆσαι δὲ ἐν Κύνῳ τὸν Δευκαλίωνα λέγεται καὶ τὴν Πύῤῥαν, καὶ τὴν Πρωτογένειαν ἐκεῖ τετράφθαι φασίν. ἱστορεῖ δὲ ταῦτα καὶ Ἑλλάνικος. δυςχεραίνοι δ' ἄν τις, πῶς τινές φασι Πύῤῥας καὶ Δευκαλίωνος εἶναι Πρωτογένειαν, τοῦ Πινδάρου ἐξ Ὀποῦντός τινος Ἠλείου λέγοντος αὐτὴν γεγενῆσθαι. ὁ δὲ Ἑλλάνικος καὶ τὴν λάρνακα οὐ τῷ Παρνασῷ φησι προσενεχθῆναι, ἀλλὰ περὶ τὴν Ὄθρυν τῆς Θεσσαλίας. [2]) § Ἄλλως. ἔνθα, ἐν ᾗ Ὀποῦντι, κατὰ βούλησιν τοῦ Διὸς ὅ τε Δευκαλίων καὶ ἡ Πύῤῥα ἀπὸ τοῦ ὄρους τοῦ Παρνασοῦ καταβάντες κατῴκισαν ἑαυτοῖς οἰκίαν. ὅτε γὰρ ὁ κατακλυσμὸς, ἀνῆλθον εἰς τὸν Παρνασόν. ὄρος δέ ἐστι πάντων ὑψηλότατον. Πρωτογένεια δὲ κατὰ μέν τινας Προμηθέως, κατὰ δὲ ἑνίους Ὀποῦντος τοῦ ἐν Ἤλιδι ποταμοῦ. ἐκ ταύτης καὶ Διὸς Ὀποῦς ἡ πόλις τῶν Ὀπουντίων. ἵν' οὖν δείξῃ τὸ εὐγενὲς τῆς μητρὸς, λέγει τὴν πόλιν τῆς Ὀποῦντος Πρωτογενείας. Vet.

68. Ἄτερ δ' εὐνᾶς] οἱ προειρημένοι Δευκαλίων τε καὶ Πύῤῥα χωρὶς κοίτης καὶ μίξεως ὅμοιον καὶ ἴσον γένος δήμου ἐποιήσαντο ἐκ λίθων βολῆς· οἱ γὰρ πεμπόμενοι εἰς τὰ ὄπισθεν λίθοι παρ' αὐτῶν ἄνθρωποι ἐγίνοντο· διὰ τοῦτο καὶ λαοὶ οἱ ὄχλοι, ἀπὸ τοῦ λᾶας. Πύῤῥα δὲ γυνὴ Δευκαλίωνος. ἐξάδελφοι δὲ οὕτως· Ἰαπετοῦ γὰρ παῖδες Προμηθεὺς καὶ Ἐπιμηθεὺς δύο ἀδελφοὶ, καὶ ἐκ μὲν Προμηθέως καὶ Κλυμένης Ἕλλην, ἀφ' οὗ καὶ Ἕλληνες, καὶ Δευκαλίων. Πύῤῥα δὲ ἡ Δευκαλίωνος γυνὴ, θυγάτηρ Ἐπιμηθέως καὶ Πανδώρας. καὶ ὁ μὲν Ἐπίχαρμος [3]) ἀπὸ τῶν λάων, τῶν λίθων, λαοὺς τοὺς ὄχλους

[1]) Fragm. p. 1039. Cf. Strabo IX, p. 293. [2]) Ex Vrat. A. qui Παρνασσ. deinde ἔνιοι οὐκ ἐνόουν ὅτι φησὶ καὶ Πύῤῥαν οἰκῆσαι, quae partim emendavimus mutandis aliquot litteris partim supplevimus. Mox codex ἐν κοινῷ: idem omittit verba καὶ τὴν Πρωτογένειαν, quae de coniectura addidimus. Idem δυςχεράνοιεν δὲ, et τινές φησι Πύῤῥας ὁ Δειν. et ἐξ αὐτῆς γεγ. pro eo quod dedimus αὐτὴν γεγ. paullo ante vero Ἠλίου et in fine τῆς Ὄθρυν. [3]) In Prometheo sive Pyrrha. V. Pollux. X, 82. et ibi Hemst.

Digitized by Google

φησὶν ὠνομάσθαι· Φιλόχορος [1]) δέ φησι Κέκροπα βουλόμενον τὸν τῶν Ἀθηναίων δῆμον καὶ τὸ πλῆθος ἐπιγνῶναι, κελεῦσαι αὐτοὺς λίθους λαβεῖν καὶ ἐνεγκεῖν εἰς τὸ μέσον, ἐξ ὧν γνῶναι δισμυρίους αὐτοὺς ὄντας. ἀπὸ Κέκροπος οὖν τοὺς ὄχλους λαοὺς ὀνομασθῆναι. § Ἄλλως. κατηκολούθησε τοῖς μυθογράφοις εἰρηκόσι λαοὺς τοὺς ἀνθρώπους παρωνομάσθαι διὰ τὸ ἐκ λίθων γενέσθαι.

Ἐκ δὲ λίθων ἐγένοντο βροτοί, λαοὶ δὲ καλεῦντο. [2])

διό φησιν ὁ Πίνδαρος ἄνευ συνουσίας αὐτοὺς κτήσασθαι λίθινον γόνον. Vet.

70. Λίθινον γόνον] κοινὰ τὰ περὶ Δευκαλίωνα καὶ Πύῤῥαν, καὶ ὅτι τοὺς λίθους κατόπιν ῥίπτοντες ἀνθρώπους ἐποίουν, μαρτυρεῖ Ἀκουσίλαος. [3]) Vet.

Ἱστορία περὶ τοῦ Δευκαλίωνος κατακλυσμοῦ. Τὸν ἐπὶ τῷ Νῶε κατακλυσμὸν Ἕλληνες ἐξ ἡμῶν κεκλοφότες οὕτω φασί· Διὸς τὴν γῆν κατακλύσαντος Δευκαλίων καὶ Πύῤῥα ἔν τινι κιβωτίῳ εἰσελθόντες μετεωρίσθησαν ὑπὸ τοῦ ὕδατος ὑπεράνω τοῦ Παρνασσοῦ, κατὰ δέ τινας ὄρους Λυκωρέως καλουμένου· πεπαυμένου δὲ τοῦ ὕδατος ἐξελθόντες τοῦ κιβωτίου προσετάχθησαν ὑπὸ τοῦ Διὸς τὰ τῆς μητρὸς αὐτῶν ὀστᾶ ὄπισθεν ῥίπτειν· οὐκ ἄλλην δὲ ἢ τὴν γῆν μητέρα ὑποτοπάσαντες, λίθους λαβόντες ὄπισθεν αὐτῶν ἔῤῥιπτον· καὶ οὓς μὲν ἡ Πύῤῥα ἔῤῥιπτε γυναῖκες, οὓς δὲ ὁ Δευκαλίων ἄνδρες ἐγένοντο. ὅθεν ἐστὶ καὶ τὸ λαὸς ὄνομα· λᾶς γὰρ ὁ λίθος. Rec.

72. Ἔγειρ' ἐπέων σφιν οἶμον] τὸν τῶν ἐπέων λιμένα. καθόρμισον εἰς τὸν ὕμνον τοῦτον. § ἔγειρ' ἐπέων σφιν οἶμον· τοῖς ἀπὸ Δευκαλίωνος καὶ τοῦ Λοκροῦ, ὡς τοῦ νικηφόρου ἀπογόνου ὄντος Δευκαλίωνος. § τὸν δὲ κατὰ Δευκαλίωνα λόγον ὡς κοινὸν ὄντα παραιτεῖται λέγειν. φησὶν οὖν· ἔγειρε καὶ ἵστα καὶ παῦε τὴν ὁδὸν ταύτην τὴν ἡδεῖαν τῆς μυθολογίας· λιγὺν δὲ εἶπε τῇ ἀκοῇ μόνῃ. προσήκει γὰρ ἐπαινεῖν οὐ τὰ παλαιὰ διηγήματα, ἀλλὰ παλαιὸν μὲν οἶνον ἐπαίνει, λόγων δὲ νεαρῶν καὶ προκειμένων τὰς ὑποθέσεις καὶ τὰ ἄνθη· ἄνθη δὲ νῦν τὰς πράξεις. εἶτα πάλιν ὃ παρητήσατο, ἐκ περιουσίας διηγεῖται. § Ἄλλως. Ἔγειρ' ἐπέων] ἐπανάληψις τοῦ λόγου. λέγει γὰρ τὴν πρώτην πλημμυρίαν τοῦ ὕδατος Δευκαλίωνος. § ἐπέων οἶμον δὲ, τὸν ὕμνον. [4]) Vet.

Ἔγειρ' ἐπέων] τοῦτο λέγει, ὅτι ἐατέον τοὺς περὶ τούτου λόγους. ἔστι δὲ ἡ τοιαύτη σύνταξις ὁμοία τῇ ἄνω, τῷ Ἀπό μοι λόγον τοῦτον, στόμα, ῥίψον. οὕτω δὲ παραιτούμενος λέγειν περὶ τούτων πάλιν ἐπιχειρεῖ λέγειν. δέον δὲ λιγέως εἰπεῖν, ἀντὶ τοῦ ταχέως ἔγειρε, λιγὺν εἶπε πρὸς τὸν ὕμνον. τὸ αἴνει καὶ πρὸς τὸ ἄνθεα λάμβανε. αἴνει ἄνθεα νεωτέρων ὕμνων, ἤτοι νεωτέρους ὕμνους, περιφραστικῶς. λέγει δὲ, ὅτι τὸ τὰ νέα ὑμνεῖν κρεῖττον. § Σύνταξις. Ἔγειρ' ἐπέων] ἀντὶ τοῦ κίνησον, ὦ στόμα, χάριν αὐτῶν, τῶν Ὀπουντίων δηλονότι τῶν ἀπὸ τοῦ Δευκαλίωνος, ὁδὸν ἐπῶν λιγεῖαν, ἤγουν ἐμμελῆ· ἐπαίνει δὲ οἶνον μὲν πολυετῆ, ἄνθη δὲ, ἀντὶ τοῦ ἀνθηρότητα, λαμπρότητα ὕμνων νεωτέρων, τουτέστι καινοτέραν ὁδὸν ἐχόντων. λέγουσι δὴ κατακλύσαι μὲν, ἤγουν καταποντίσαι, καλύψαι, τὸ σθένος τοῦ ὕδατος, ἀντὶ τοῦ τὸ ὕδωρ περιφραστικῶς, τὴν γῆν τὴν μέλαιναν, ἀλλὰ διὰ τῶν τεχνῶν τοῦ Διὸς, ἤγουν τῶν μηχανῶν, τῶν δυνάμεων, ἀνάπωσιν λέγουσιν ἐξαίφνης, ἤγουν ἀναῤῥόφησιν, συστολὴν τῆς ἀναχύσεως καὶ εἰς τὴν γῆν

1) Fragm. p. 17. 2) Sic Vrat. D. Vulgo καλέονται. 3) Vrat. A. 4) Vrat. A.

Digitized by Google

αὖθις κατάδυσιν λαβεῖν τὸ ἄντλον, τουτέστι τὸ πλῆθος τοῦ ὕδατος. † Ὦ Ἐφάρμοστε, οἱ ὑμέτεροι πρόγονοι ἐξ ἀρχῆς οἱ ὄντες καὶ ὑπάρχοντες ἐκ τῆς φυτείας καὶ τῆς γενεᾶς Ἰαπετιονίδαι, οἱ κοῦροι καὶ παῖδες ἐκείνων τῶν κόρων καὶ κορασίων Κρονιδῶν καὶ τοῦ Κρόνου φερτάτων καὶ καλλίστων ἀεὶ καὶ διαπαντὸς ἄνωθεν καὶ ἐξ ἀρχῆς ἔσαν καὶ ὑπῆρχον βασιλεῖς χαλκάσπιδες καὶ ὡπλισμένοι, ἤτοι πολεμικοί. [1]) § Ἱστορία, ὅθεν Δευκαλίων καὶ Πύῤῥα. Ἰαπετοῦ παῖδες Προμηθεὺς καὶ Ἐπιμηθεύς. Προμηθέως καὶ Κλυμένης ὁ Δευκαλίων ὁ καὶ Ὀποῦς καλούμενος, Ἐπεμηθέως καὶ Πανδώρας Πύῤῥα, Πύῤῥας δὲ καὶ Δευκαλίωνος Πρωτογένεια, ἣν ἔγημε Λοκρός. διὰ δὲ τὸ μὴ ποιεῖν ὑπ' αὐτοῦ παῖδας, ἵνα μὴ χωρὶς διαδόχου ἀπέλθῃ Λοκρὸς, ἁρπάζεται Πρωτογένεια ἐκ Διὸς, ἣ συνελθὼν ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρκαδίας καὶ ἐγκύμονα ποιήσας ἐπανάγει πάλιν αὐτὴν πρὸς Λοκρὸν, ὃς τὸ γεννηθὲν ὑπ' αὐτῆς παιδίον Ὀποῦντα ἐκάλεσε συνώνυμον Ὀποῦντι τῷ καὶ Δευκαλίωνι, τῷ Πρωτογενείας πατρί. Rec.

Ἰαπετὸς ἐγέννησε Προμηθέα καὶ Ἐπιμηθέα· ἐκ γοῦν τοῦ Προμηθέως ἐγεννήθη Δευκαλίων, ἐκ δὲ τοῦ Ἐπιμηθέως τοῦ καὶ Ὀποῦντος ἐγεννήθη ἡ Πύῤῥα, ἐκ δὲ τῆς Πύῤῥας καὶ Δευκαλίωνος ἡ Πρωτογένεια. ἐκ ταύτης δὲ καὶ τοῦ Διὸς ὁ Ὀποῦς, ἀφ' οὗ ἡ πόλις Ὀποῦς, μητρόπολις τῶν Λοκρῶν. Pal. C.

74. Ἄνθεα δ' ὕμνων] τὰς ὑποθέσεις. ταῦτα δὲ πρὸς Σιμωνίδην αἰνίττεται. καὶ Ὅμηρος· [2])

Τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι,
Ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

§ δοκεῖ δὲ τοῦτο πρὸς τὸ Σιμωνίδειον εἰρῆσθαι. ἐπεὶ ἐκεῖνος ἐλασσωθεὶς ὑπὸ Πινδάρου λοιδορίας ἔγραψε κατὰ τοῦ κρίναντος ἀγαθῶν ᾠδῶν. ἐπειδὴ ἐκεῖνος εἶπεν· Ἐξελέγχει ὁ νέος οἶνος οὔπω πέρυσι δῶρον ἀμπέλου· ὁ δὲ μῦθος ὅδε κενεόφρων. διὰ τοῦτο ὁ Πίνδαρος ἐπαινεῖ παλαιὸν οἶνον. [3]) Vet.

Ἄνθεα] μέλος. Gl. α. σύνθεσιν. Gl. β.

77. Σθένος] δύναμις. Gl. β. γ.

Ἀλλὰ Ζηνὸς τέχναις ἄμπωτιν] ἤτοι ἀνάπωσιν. ἄμπωτις δὲ κυρίως ἡ αἰφνίδιος ὑποχώρησις ἢ ἐκ πλημμύρας τῶν ἐν θαλάσσῃ ὑδάτων ὡς ἐν Λεβύῃ λέγεται. τέχναις δὲ, μηχαναῖς καὶ βουλήσεσι Διός. § Ἄλλως. ἄμπωτιν νῦν λέγει τὸ γενόμενον πεδίον ἐκ τῆς τότε πλημμυρίδος ἀναποθέντος τοῦ ὕδατος. τὸν δὲ κατακλυσμὸν γεγενῆσθαι, οἱ μὲν διὰ τὸ Πέλοπος ἄγος, ὅτι ἐκρεουργήθη, οἱ δὲ διὰ τὸ περὶ τὸν Λυκάονος παῖδα Ἀζᾶνα ἀσέβημα, τοῦ Διὸς βουλομένου πάντα τῆς γῆς ἀποκαθᾶραι ἀσεβήματα. Vet.

79. Ἄντλον ἕλεῖν] ἄντλον τὴν χύσιν καὶ τὴν ῥύσιν λέγει τοῦ ὕδατος, ἣν ἡ ἄμπωτις ἀνεξήρανε, παρὰ τὸ ἀντλεῖσθαι. Ὅμηρος· [4]) Ἄντλῳ δ' ἐνδούπησε πεσοῦσα. Vet.

Κείνων δ' ἔσαν] λοιπὸν ὡς πρὸς τὸν Ἐφάρμοστόν φησιν· ἀπ' ἐκείνων δὴ ἦσαν

[1]) Ex Mosc. B. ab alia manu scriptum. [2]) Odyss. α, 351. [3]) Ex Vrat. A. cuius lectionem εἰδέον mutavi in ᾠδῶν, quamquam ne hoc quidem satisfacit. Omnino totum hoc scholium, ut pleraque omnia in Vrat. A. admodum corruptum est. Post κενεόφρων interpunxi, et delevi κούρων δὲ, quod vocem illam in codice excipit, quippe illatum ex scholio ad vs. 83. a nobis in fine schol. ad vs. 79. collocato, ubi in Vrat. A. est κούφαν δέ: quod iudicium si cui mirum videatur, meminerit in isto codice omnia immane quantum commista et confusa esse. Articulum ὁ ante vocem νέος delet Gerhardus, et coniicit οὐ τὸ πέρυσι, ubi nunc est οὔπω. [4]) Odyss. ο, 478.

Digitized by Google

οἱ πρόγονοι ὑμῶν οἱ πολεμικώτατοι ἐξ ἀρχῆς γενόμενοι, ἐκ τῆς γενεᾶς τῆς τοῦ Προμηθέως Ἰαπετιονίδος. Ἰαπετοῦ γὰρ Προμηθεὺς, ἐξ οὗ καὶ Κλυμένης γίνεται Δευκαλίων, ἐξ οὗ Πρωτογένεια· πάλιν Ἰαπετοῦ Ἐπιμηθεὺς, ἐξ οὗ καὶ Πανδώρας Πύῤῥα· Πύῤῥας δὲ καὶ Δευκαλίωνος Πρωτογένεια, ἧς καὶ Διὸς Ὀποῦς, ἐξ οὗ Ὀποῦντος οἱ ὄντες ἀπόγονοι τῆς κόρης τῆς Πρωτογενείας καὶ τοῦ ἀρίστου Κρονίδου, τουτέστι τοῦ Διὸς, διαπαντὸς τῆς αὐτῶν γῆς βασιλεύοντες. τούτων φησὶν εἶναι τοὺς προγόνους τῷ Ἐφαρμόστῳ. τὸ οὖν ἀπ' Ἰαπετιονίδος φύτλας καὶ φερτάτων Κρονιδᾶν ἀντὶ τοῦ τῆς Πρωτογενείας φησὶ καὶ τοῦ Διὸς, ἀφ' οὗ τοὺς Ὀπουντίους λέγει γεγενῆσθαι. τὸ δὲ κοῦροι κορᾶν πληθυντικῶς εἶπεν· ἐχρῆν γὰρ ἑνικῶς εἰπεῖν. κοῦροι γὰρ κούρης, τῆς Πρωτογενείας λέγει· κοῦροι, ὦ Ὀπούντιοι· καὶ φερτάτων Κρονιδᾶν, ἀντὶ τοῦ ἀπὸ φερτάτου Κρονίδου. Διὸς γὰρ Λοκρὸς ὁ πρόγονος αὐτῶν. § Κρονιδᾶν] τὸ ἑνικὸν διὰ πληθυντικοῦ ἐξενήνοχεν, ἀντὶ φερτάτου Κρονίδου· Διὸς γὰρ ὁ Λοκρὸς ὁ πρόγονος αὐτῶν· κουρᾶν δὲ πάλιν ἀντὶ τῆς κόρης τῆς Πρωτογενείας. ἢ ὡς καὶ Ἕλληνα φέρειν τὸ γένος ἢ ὑπὸ Δευκαλίωνος. δύναται δὲ καὶ ἀπὸ τοῦ Ὀποῦντος. Διὸς γὰρ ἦν, ὡς φησι Πίνδαρος, θέσει δὲ Λοκροῦ. [1]) Vet.

† Σύνταξις. Κείνων δ' ἔσσαν] τοῦτο πρὸς τὸν Ἐφάρμοστον· Ἐξ ἐκείνων δὲ ἦσαν ἀρχῆθεν οἱ ὑμέτεροι, ἀντὶ τοῦ οἱ σοὶ πρόγονοι οἱ χαλκάσπιδες, τουτέστιν οἱ πολεμισταὶ, λέγω τῆς γενεᾶς τῆς ἀπὸ τοῦ Ἰαπετοῦ καταγομένης κοῦροι, ἤγουν παῖδες, ἀπόγονοι τῶν κορῶν τε τῶν ἀρίστων Κρονιδῶν, ἀντὶ τοῦ καὶ τῆς κόρης, ἤγουν τῆς Πρωτογενείας, τοῦ ἀρίστου υἱοῦ τοῦ Κρόνου τοῦ Διὸς, ἐγχώριοι βασιλεῖς αἰεὶ, ἤγουν γνήσιοι βασιλεῖς καὶ οὐκ ἐπείσακτοι κατὰ διαδοχήν. Rec.

80. Χαλκάσπιδες] οἱ χαλκᾶς ἀσπίδας ἔχοντες. Gl. β.

85. Πρὶν Ὀλύμπιος ἀγεμών] πρόσθες σύνδεσμον γὰρ, ἵν' ᾖ συναρμοστέος ὁ λόγος τοῖς ἄνωθεν, καὶ εἰπέ· πρὶν γὰρ Ὀλύμπιος ἀγεμών. τὸ γὰρ παλαιὸν ὁ Ζεὺς ἀναρπάσας τὴν Πρωτογένειαν ἡσυχον αὐτῇ ἐμίγη ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρκαδίας, καὶ μετὰ ταῦτα ἐγκύμονα ποιήσας ἤνεγκε τῷ Λοκρῷ, ἵνα μὴ ὁ αἰὼν καὶ ὁ χρόνος αὐτὸν ἐξέλοι τῆς ζωῆς ἔρημον ὄντα παίδων καὶ γένους. ἐναντίωμα δὲ κατὰ τὴν γενεαλογίαν ἐμπίπτει. τὴν γὰρ Πρωτογένειαν οἱ μὲν Δευκαλίωνός φασιν, οἱ δὲ Ὀποῦντος, καὶ δοκεῖ συμφωνεῖν μήτε ἡ γενεαλογία μήτε ἡ ἱστορία. ἄλλο γάρ τι ποταμὸς Ὀποῦς καὶ ἄλλο ἀνὴρ ἐξ Ἰαπετοῦ. ἵν' οὖν τὸ ἀσύμφωνον ἀπὸ τοῦ τοιούτου λυθῇ, φασί τινες τὸν Δευκαλίωνα διώνυμον εἶναι, καὶ τὸν αὐτὸν λέγεσθαι Ὀποῦντα, ὥσπερ καὶ ἐπὶ τῆς Πηνελόπης. λέγεται γὰρ Ἀρνέα πρότερον καλουμένη παρὰ τῶν φύντων εἰς τὴν θάλασσαν ἀπορριφῆναι, εἶτα ὑπό τινων ὀρνέων πηνελόπων καλουμένων εἰς τὴν χέρσον ἐξενεχθῆναι, καὶ οὕτως ἀναληφθεῖσαν ὑπὸ τῶν γεννησάντων ὀνομασθῆναι Πηνελόπην ἀπὸ τῆς τῶν ὀρνίθων ἐπιμελείας καὶ ὁμωνυμίας, καὶ τραφεῖσαν διώνυμον εἶναι τολοιπόν. Vet.

† Σύνταξις. Πρὶν Ὀλύμπιος] πρότερον, τὴν ἀρχὴν, ὁ βασιλεὺς ὁ ἐν τῷ Ὀλύμπῳ ὁ Ζεὺς τὴν θυγατέρα τοῦ Ὀποῦντος τοῦ καὶ Δευκαλίωνος ἀναρπάσας, ἤγουν μετέωρον εἰς τὸν ἀέρα λαβὼν λάθρα, τοῦτο γὰρ τὸ ἔκηλος, ἀπὸ τῆς γῆς τῶν Ἐπειῶν,

1) Ex Vrat. A. Scripsi διὰ, ubi in libro est ἀντί; item addidi γὰρ post prius Διός, et alterum ἀντί: et pro κούραν scripsi κουρᾶν. Post Ἕλληνα videtur excidisse εἰς Δία aut simile.

Digitized by Google

τουτέστι τῶν Ἠλείων, Ἐπειοὶ γὰρ ὠνομάσθησαν οἱ Ἠλεῖοι ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος, ἐμίγη αὐτῇ ἐν ταῖς ἑξοχαῖς ταῖς Μαιναλίαις, ἤγουν ταῖς τοῦ Μαιάλου, καὶ ἤνεγκε τῷ Λοκρῷ τῷ ἀνδρὶ αὐτῆς, ἵνα μὴ καθέλοι αὐτὸν, τὸν Λοκρὸν δηλονότι, ἤγουν καταστρέψειεν ὁ αἰὼν, ἀντὶ τοῦ ὁ χρόνος, ἐστερημένον γενεᾶς, πότμον ἐφάψας, ἤγουν συντυχίαν θανάτου ἐπαγαγών. ἔσχε δὲ σπέρμα μέγιστον, ἀντὶ τοῦ υἱὸν ἀπὸ σπέρματος μεγίστου ἡ γυνὴ τοῦ Λοκροῦ ἡ Πρωτογένεια· εὐφράνθη τε ὁ ἥρως, ἤγουν ὁ Λοκρὸς, ἰδὼν υἱὸν τῇ ἀληθείᾳ μὲν ὄντα θεὸν υἱὸν, ἀντὶ τοῦ νόθον, ὑπ' αὐτοῦ δὲ γνήσιον νομιζόμενον, ὠνόμασε δὲ αὐτὸν οὕτως ὡστε εἶναι ἰσώνυμον, ἀντὶ τοῦ ὁμώνυμον τοῦ μάτρωος αὐτοῦ, ἤγουν τοῦ πατρὸς τῆς μητρὸς αὐτοῦ, ἤτοι τοῦ πάππου, τουτέστιν Ὀποῦντα ὠνόμασεν αὐτόν· ἰστέον δὲ ὅτι παρὰ τὴν συνήθειαν τῶν ἄλλων ἐδέξατο ἐνταῦθα οὗτος τὸ ὄνομα· μήτρωον γὰρ οἱ ἄλλοι τὸν πρὸς μητρὸς λέγουσι θεῖον· ἄνδρα ὑπέρφατον, γενόμενον δηλονότι αὐτὸν τὸν Ὀποῦντα, ἤγουν ὑπερβολικῶς θαυμαστὸν κατά τε τὴν μορφὴν, τουτέστι τὸ εἶδος, καὶ κατὰ τὰ ἔργα, ἤγουν τὰς πράξεις. τὴν πόλιν δὲ, τὴν Ὀπαῦντα δηλονότι, καὶ τὸν λαὸν αὐτοῦ παρέσχεν αὐτῷ ὁ Λοκρὸς δηλονότι διαιτᾶν, ἤγουν διοικεῖν. Rec.

86. Ἀπὸ γᾶς Ἐπειῶν] Ἐπειῶν τῶν Ἠλείων, ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος, ἢ τοῦ Ἀεθλίου τοῦ Ἐνδυμίωνος. § Ἐπειοὺς τοὺς Ἠλείους, ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος κληθέντας. τινὲς δὲ τὸν Ἐπειὸν Ἀεθλίου φασίν. [1]) § Ὀποῦντος ἦν θυγάτηρ Ἠλείων βασιλέως, ἣν Ἀριστοτέλης Καμβύσην καλεῖ. διὰ τούτων οὖν ὁ Πίνδαρος τὴν Πρωτογένειάν φησιν ἐξ Ἤλιδος ἁρπασθεῖσαν εἰς Μαίναλον τῆς Ἀρκαδίας ὄρος κομισθῆναι ὑπὸ Διός. Μαίναλον δὲ ὄρος Ἀρκαδίας καὶ πόλις. ἐνταῦθα μιχθεὶς αὐτῇ ὁ Ζεὺς ἤνεγκε τῷ Λοκρῷ, ἵν' ὡς ἑαυτοῦ ἀναθρέψῃ τὸν γεννηθέντα. τὸ δὲ Ἤνεικε Λοκρῷ, ἀντὶ τοῦ Λοκρὸς ἔσχε τὸ γένος ἐκ Διός· ἀφ' οὗ ἡ τῶν Λοκρῶν χώρα, ἧς Λοκρίδος μητρόπολις ἡ Ὀποῦς. ἐξήλλαχε δὲ τὴν ἱστορίαν ὁ Πίνδαρος. τὴν γὰρ Πρωτογένειαν οὐκ Ὀποῦντός φασιν οἱ πλείους, ἀλλὰ Δευκαλίωνος καὶ Πύῤῥας. § ὁ Πίνδαρος τὴν Πρωτογένειαν ἁναρπασθεῖσαν ὑπὸ τοῦ Διὸς εἰς τὸ Μαίναλον τῆς Ἀρκαδίας ὄρος κομισθῆναι· τὴν δὲ Πρωτογένειαν Ὀποῦντος τοῦ Ἠλείων βασιλέως φησὶ θυγατέρα, ἄλλων τὴν Πρωτογένειαν Πύῤῥας καὶ Δευκαλίωνος λεγόντων, ὡς Φερεκύδης φησὶν ἐν τῷ ε'. ἁρπάσας οὖν τὴν Πρωτογένειαν καὶ ἔγκυον αὐτὴν ποιήσας, ἵνα μὴ ὁ Λοκρὸς ἄτεκνος διατελοίη, ἔδωκε τῷ Λοκρῷ· ὁ δὲ Λοκρὸς τὸν ἀπὸ Διὸς καὶ Πρωτογενείας παῖδα ὡς ἴδιον σχὼν ὠνόμασεν αὐτὸν Ὀποῦντα ὁμώνυμον τῷ κατὰ μητέρα πάππῳ. [2]) Vet.

87. Ἔκηλος] ἥσυχος. Gl. γ.

88. Μίχθη] μετὰ γὰρ τὸ φθαρῆναι αὐτὴν ἔγημεν ὁ Λοκρός. Μαίναλος υἱὸς Λυκάονος, ἀφ' οὗ τὸ ὄρος τὸ ἐν Ἀρκαδίᾳ ἱερὸν Διός. [3]) Vet.

Παῖδα γράφε διὰ τὸ μέτρον, οὐχὶ θυγατέρα, καὶ Ὀποῦντος, οὐ μὴν Ὀπόεντος. Mosc. B.

91. Ἐφάψας] ἐπικρεμάσας. Gl. β. γ.

92. Ὀρφανὸν γενεᾶς] ἄτεκνον. Vet.

[1]) Sic Vrat. A. nisi quod habet φησίν. [2]) Ex Vrat. A. ubi κόσμηθῆναι et δέδωκε. [3]) Vrat. A. in quo ἐγάμη et Μένελ.

Digitized by Google

94. Εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν] εὐφράνθη τε, φησὶν, ὁ Λοκρὸς θεασάμενος τὸν παῖδα, ὃς ἦν μὲν θετὸς αὐτοῦ κατὰ φύσιν, ἐκ δὲ τῆς ἀγνοίας ἴδιος αὐτῷ ἐνομίζετο. λέγεται γὰρ ὁ Λοκρὸς ἅπαις γεγενῆσθαι καὶ τὸν ἐκ Διὸς συλληφθέντα ὑπὸ τῆς Πρωτογενείας ἴδιον νενομικέναι παῖδα. § θετὸν δὲ λέγει ὁ ποιητὴς ἐκ τοῦ ἰδίου προσώπου. προειρήκει γὰρ ὅτι εἶχε ἡ γυνὴ Πρωτογένεια σπέρμα μέγιστον ἐκ Διός. ὁ γὰρ Λοκρὸς ἴδιον αὐτοῦ ἐνόμιζεν. Vet.

96. Μάτρωος δ' ἐκάλεσσέ μιν] ἡσθεὶς οὖν ὁ Λοκρὸς ἐκάλεσεν αὐτὸν, φησὶ, τοῦ πρὸς μητρὸς πάππου τὸ ὄνομα. καὶ νῦν μὲν ὁ Πίνδαρος τὸν ἐκ μητρὸς πάππον μήτρωα ὀνομάζει· Ὅμηρος δὲ καὶ οἱ λοιποὶ τὸν τῆς μητρὸς ἀδελφὸν μήτρωα καλοῦσι. φησὶ γοῦν ἐν τῇ Ἰλιάδι· [1])

Ἀσίω, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
Αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος.

§ Ἄλλως. μάτρωος δ' ἐκάλεσσέ μιν] ὁ Λοκρὸς τὸν Ὀποῦντα. ἦν δὲ ὁ Λοκρὸς Ἀμφικτύονος τοῦ Διός· καὶ ἐκάλεσε τοῦ μητροπάτορος ὄνομα. Ὀποῦς γὰρ ἐκαλεῖτο ὁ βασιλεὺς τῶν Ἠλείων, ᾧ καὶ οὗτος ὁμώνυμός ἐστιν. § κυρίως μήτρωες οἱ μητρὸς ἀδελφοί· νῦν δὲ τὸν τῆς μητρὸς πατέρα Ὀποῦντα. [2]) Vet.

Προσέταξε, φησὶ, καλεῖσθαι τὸ βρέφος ὁ Λοκρὸς τῷ ὀνόματι τοῦ πρὸς μητρὸς αὐτῷ πάππου Ὀποῦντος, βασιλέως τῶν Ἠλείων. ἢ κατά τινας· προσέταξε καλεῖσθαι αὐτὸ, τὸ βρέφος, Ὀποῦντα τῷ ὀνόματι τοῦ πρὸς μητρὸς αὐτοῦ τῆς Πρωτογενείας πάππου Ἐπιμηθέως τοῦ καὶ Ὀποῦντος. Pal. C.

98. Ὑπέρφατον] ὑπερφυᾶ καὶ μέγαν καὶ τῷ εἴδει καὶ τοῖς πράγμασιν. Vet.

Ὑπέρφατον] ὑπερθαύμαστον. Gl. β. γ.

99. Πόλιν δ' ὤπασεν] ὄντι δὲ τῷ παιδὶ ἐξαιρέτῳ καὶ ἀνδρωθέντι ὁ Λοκρὸς τὴν πόλιν ἐνεχείρισε καὶ τὸν ὄχλον διαιτᾶν καὶ διοικεῖν. Vet.

101. Ἀφίκοντο] ἦλθον. Gl. α. β. γ.

Ξένοι] φίλοι. Gl. α.

Ἀφίκοντο δέ οἱ ξένοι] διαβοήτου δὲ τῆς τοῦ Ὀποῦντος ἀρετῆς τυγχανούσης πανταχόθεν τὰς ἰδίας αὐτῶν πατρίδας οἱ περίοικοι καταλελοιπότες πρὸς αὐτὸν ἔσπευδον. παρεγένοντο μὲν οὖν μέτοικοι πρὸς αὐτὸν ἀπό τε τοῦ Ἄργους καὶ τῶν Θηβῶν, καὶ οἱ μὲν ἐξ Ἀρκαδίας, οἱ δὲ Πισᾶται. Vet.

† Σύνταξις. Ἀφίκοντο δέ οἱ ξένοι] ἀφίκοντο δὲ πρὸς αὐτὸν, ἤγουν τὸν Ὀποῦντα, ξένοι καὶ ἐκ τοῦ Ἄργους καὶ ἐκ τῶν Θηβῶν καὶ Ἀρκάδες, οἱ δὲ καὶ ἀπὸ τῆς Πίσης, ἤγουν Ἠλεῖοι. ἀπὸ τῶν ἐποίκων δὲ, τουτέστι τῶν ξένων τῶν κατοικησάντων ἐν τῷ βασιλευομένῳ ὑπ' αὐτοῦ τόπῳ, τὸν Μενοίτιον ἐτίμησεν ἐξόχως, τὸν υἱὸν τοῦ Ἄκτορος καὶ τῆς Αἰγίνης, οὗτινος, τουτέστι τοῦ Μενοιτίου ὁ υἱὸς, ὁ Πάτροκλος δηλονότι, ἅμα τοῖς Ἀτρείδαις ἐπελθὼν εἰς τὴν γῆν τοῦ Τεύθραντος, ἤγουν εἰς τὴν Μυσίαν· ἣν τοῦ Τεύθραντος λέγει διὰ τὸ ἄρξαι αὐτῆς ποτε τὸν Τεύθραντα, τότε δὲ ἐπ' αὐτῇ ὁ Τήλεφος ἐβασίλευε· μόνος ἔστη σὺν τῷ Ἀχιλλεῖ, ὅτε ὁ Τήλεφος τρέψας τοὺς Δαναοὺς τοὺς ἀλκήεντας, ἤγουν τοὺς ἰσχυροὺς, τοὺς γενναίους, ἐνέβαλεν εἰς τὰς πρύμνας τὰς θαλασ-

1) Π, 717. 2) Vrat. A.

Digitized by Google

σίας, ἀντὶ τοῦ εἰς τὰς ναῦς τὰς ἐν τῇ θαλάσσῃ τὴν διατριβὴν ποιουμένας· ὥστε δεῖξαι αὐτὸς ὁ Πάτροκλος τῷ φρονίμῳ μαθεῖν τὸν νοῦν τοῦ Πατρόκλου, ἀντὶ τοῦ τὸν ἑαυτοῦ, τὸν βιατὴν, ἤγουν τὸν γενναῖον, τὸν ἀνδρεῖον, ἀπὸ τοῦ βία ἡ ἰσχύς· ἀφ' οὗ χρόνου παρηγορεῖτο, ἀντὶ τοῦ παρήνει, ἔλεγεν αὐτῷ ὁ υἱὸς τῆς Θέτιδος ὁ Ἀχιλλεὺς, μηδέποτε ταξιοῦσθαι, τουτέστι παρατάττεσθαι αὐτὸν ἐν τῷ πολέμῳ τῷ ὀλεθρίῳ χωρὶς τῆς αἰχμῆς τῆς σφετέρας, ἀντὶ τοῦ τῆς ἑᾶς, τῆς ἑαυτοῦ, τῆς δαμασιμβρότου, ἤγουν τῆς τοὺς ἄνδρας κτεινούσης. § Ἱστορία περὶ τοῦ Πατρόκλου. Ὅτ' ἐς Τροίαν ἐστράτευον Ἕλληνες, προσώκειλαν ἐν Μυσίᾳ, καὶ νομίζοντες ταύτην εἶναι τὴν Τροίαν ἐδήουν. ὁ οὖν ταύτης βασιλεύσας Τήλεφος ἀμυνόμενος ὑπὲρ τῆς χώρας μάχην συνῆψε τοῖς Ἕλλησιν, ἧς καρτερᾶς γινομένης οἱ μὲν ἄλλοι πάντες Ἕλληνες εἰς τὰς ναῦς ἀνεχώρησαν, μόνος δὲ ὁ Πάτροκλος σὺν τῷ Ἀχιλλεῖ ἐμάχετο. Rec.

104. Υἱὸν δ' Ἄκτορος] τὸν Μενοίτιον λέγει τὸν Πατρόκλου πατέρα. ὑπὲρ πάντας δὲ τοὺς ἐνοικοῦντας ξένους ἐτίμησε τὸν Ἄκτορος παῖδα τὸν ἐξ Αἰγίνης μητρὸς Μενοίτιον. Αἴγινα δὲ μήτηρ Αἰακοῦ, θυγάτηρ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ. ἀφίκοντο δὲ οἱ ξένοι συνοικήσοντες αὐτῷ. Vet.

105. Ἐποίκων] πάντων τῶν προειρημένων. Vet.

107. Τοῦ παῖς ἄμ' Ἀτρείδαις] τινὲς ἐκ Δαμοκρατείας τῆς Αἰγίνης καὶ Ἄκτορός φασι τὸν Μενοίτιον· ὁ δὲ Πάτροκλος Μενοιτίου ἦν καὶ Σθενέλης. § Αἴγινα μετὰ τὸ τεκεῖν τὸν Αἰακὸν ἦλθεν εἰς Θεσσαλίαν καὶ ἐγαμήθη Ἄκτορι, ἐξ οὗ ἔσχε Μενοίτιον, ὃς ἐπῴκησε τὴν Ὀποῦντα ἀναστὰς ἀπὸ Θεσσαλίας. § Πυθαίνετος δὲ, Διὶ συνελθοῦσαν Αἴγιναν γεννῆσαι Αἰακὸν καὶ Δαμοκράτειαν, ἣν γαμηθῆναι Ἄκτορι ἐν Θετταλίᾳ καὶ τεκεῖν Μενοίτιον· ὕστερον δὲ τοῦτον εἰς Ὀποῦντα ἐλθεῖν· συγγενὴς γὰρ ὑπῆρχε τοῦ Λοκροῦ. τοῦ παῖς· τοῦ Μενοιτίου παῖς ὁ Πάτροκλος ἀπὸ Σθενέλης. καὶ Μυρμιδόνα φησὶν αὐτὸν Ὅμηρος· Μυρμιδόνων τὸν ἄριστον. [1]) § ὁ δὲ νοῦς· τούτου οὖν, φησὶ, τοῦ Μενοιτίου παῖς συστρατεύσας τοῖς Ἀτρέως παισὶν εἰς Μυσίαν κατήντησε, καὶ τῶν ἄλλων Ἑλλήνων εἰς φυγὴν τραπέντων μόνος αὐτὸς Ἀχιλλεῖ συμπαρέστη, ἡνίκα τοὺς γενναιοτάτους Ἕλληνας τρέψας καὶ νικήσας μέχρι τῶν νεῶν καὶ τοῦ πελάγους συνήλασεν ὁ Τήλεφος ὁ Μυσῶν βασιλεύς. Τεύθραντος δὲ πεδίον τὴν Μυσίαν λέγει· ὁ γὰρ Τεύθρας ἐβασίλευσε τῆς Μυσίας· ὅτε δὲ οἱ Ἕλληνες εἰς τὴν Μυσίαν παρεγένοντο, κἀκεῖ νομίσαντες εἶναι τὴν Ἴλιον ἐπολέμουν τοῖς Μυσοῖς, καὶ ὁ Τήλεφος πάντας εἰς φυγὴν ἐτρέψατο καὶ μέχρι τῶν νεῶν ἤλασε, πλὴν Ἀχιλλέως καὶ Πατρόκλου· διὰ τοῦτο οὖν μέμνηται τοῦ γένους τούτου ὡς ἀνδρείου. § τὴν Μυσίαν λέγει. βασιλεὺς γάρ τις τῶν ἐκεῖσε Τεύθρας γενόμενος ἀφ' ἑαυτοῦ ὠνόμασε τὴν πόλιν. ἦν δὲ ὁ Τήλεφος θετὸς παῖς Τεύθραντος· τῇ ἀληθείᾳ Αὔγης ἦν παῖς Ἡρακλέους ὁ Τήλεφος. [2]) Vet.

110. Ἀλκάντας] δυνατούς. Gl. γ.

113. Ὥστ' ἔμφρονι δεῖξαι] ὥστε παραστῆσαι τῷ φρονίμῳ, ᾗ ἐκέχρητο ἀνδρείᾳ ὁ Πάτροκλος. [3]) § ὥστε γνῶναι τὸν ἔμφρονα, ὅτι γενναῖος ἦν ὁ Πάτροκλος ἀνθιστά-

[1]) Ex Vrat. A. Addidi ἐλθεῖν, et correxi Μυρμιδόνα: codex Μυρμιδονες αὐτόν φησιν αὐτόν. Pythaenetus est scriptor Aegineticorum. V. Mueller. Aeginet. passim. Locus Homeri est Iliad. σ, 10.
[2]) Ex Vrat. A. in quo est: ἦν δὲ ὁ Τεύθρας θετὸς παῖς Τηλέφου. [3]) Ex Vrat. A. D.

Digitized by Google

μενος Τηλέφῳ. [1]) § οὗτος ἔστη ἐν τῷ πολέμῳ, ὥστε παντὶ ἀνθρώπῳ νοῦν ἔχοντι δειχθῆναι τὴν ἰσχὺν καὶ φανερὰν γενέσθαι. [2]) § Ἄλλως. οὗτος ἔστη μόνος ἅμα τῷ Ἀχιλλεῖ, [3]) ὥστε δυνατὸν εἶναι δεῖξαι παντὶ φρονίμῳ πρὸς τὸ γνῶναι τὴν τοῦ Πατρόκλου ἐπὶ τῇ ἀνδρείᾳ διάνοιάν τε καὶ σπουδὴν καὶ θάρσος. Vet.

Ὥστ' ἔμφρονι δεῖξαι] ἤγουν· ἐπεὶ Πάτροκλος ἔστη σὺν Ἀχιλλεῖ τῶν ἄλλων Ἑλλήνων τραπέντων, πᾶς ἀνὴρ νουνεχὴς ἔγνω ἂν ἰδὼν ὅτε Πάτροκλος ἔξοχος ἦν τὰ ἐς μάχην. Rec.

114. Βιατάν] ἰσχυρόν, ἀνδρεῖον. Vet.

Βιατάν] βιητήν. Gl. Bodl.

115. Ἐξ οὗ Θέτιος γόνος] θαυμάσας, φησίν, ὁ Ἀχιλλεὺς ἐν τῇ προσβολῇ τότε τὴν βίαν τοῦ Πατρόκλου ἀρχὴν ἔλαβε τοῦ θαυμάζειν αὐτὸν καὶ παρήνει μήποτε χωρὶς τάσσεσθαι τῆς πολεμικῆς αὐτοῦ τάξεως, ἀλλ' ἅμα αὐτῷ πολεμεῖν. καὶ Ὅμηρος· [4])

Μὴ σύ γ' ἄνευθεν ἐμεῖο λελαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν, ἀτιμότερον δέ με θήσεις.

§ ἰδίως δὲ τοῦτο τάσσει χαριζόμενος τῷ Πατρόκλῳ. Ὅμηρος γὰρ διαπαντὸς λέγει αὐτὸν θεράποντα Ἀχιλλέως. [5]) § ἢ οὕτως· ἐκ τῆς πρὸς τὸν Τήλεφον μάχης παρηγορεῖτο κατὰ ψυχὴν καὶ τεθαρσήκει, ὅτι τὸν Πάτροκλον εἶχε διαπαντὸς παραστάτην. [6]) Vet.

117. Παραγορεῖτο] ἐδίδασκε, παρήγγειλε. Gl. γ.

118. Σφετέρας] ἀντὶ τοῦ τῆς ἑᾶς. Vet.

Ταξιοῦσθαι] παρατάττεσθαι. Vet.

119. Δαμασεμβρότου] τῆς δαμαζούσης. Gl. β. γ.

Αἰχμῆς] λόγχης. Gl. γ.

120. Εἶην εὑρησιεπής] ὡς σεμνυνόμενος τοῖς διηγήμασί φησιν· εἶην δὲ λόγων καινοπρεπῶν εὑρετὴς ἐπὶ τῷ διηγεῖσθαι καὶ πρόσφορος ποιητικῇ Μούσῃ καὶ τρόπῳ Μουσῶν ἁρμοδίῳ. § Ἄλλως. γενοίμην, φησί, διαπαντὸς δυνάμενος εὑρίσκειν λόγους καὶ διηγεῖσθαι τὰς πράξεις τῶν ἀρχαίων. § Ἄλλως. ἐμοὶ δὲ παρέποιτο ἐν τοῖς λόγοις ὁμοῦ μὲν εὐτολμία, ὁμοῦ δὲ δαψιλειά τις δυνάμεως· ταῦτα δὲ λέγει διὰ τὸ πλάσασθαι αὐτὸν τὸ περὶ Πατρόκλου προειρημένον εἰς ἔπαινον τοῦ Ἐφαρμόστου Ὀπουντίου ὄντος, Πατρόκλου πολίτου. τὸ δὲ ἀμφιλαφὲς κατὰ ἀντίστοιχον εἴρηται κατὰ ἔθος Μακεδόνων, μεταθέσει τοῦ β̄ εἰς φ̄. ἔστι γὰρ ἀμφιλαβὲς, ὅ ἐστιν ἀμφοτέραις λαβεῖν ταῖς χερσίν· τοῦτο δὲ ἐπὶ πλήθει συμβαίνει. εὑρεσιεπὴς, καινολόγος. Vet.

† Εἶην εὑρεσιεπής] εἴθε εἴην καινῶν ἐπῶν εὑρετὴς, ὥστε ἀναγεῖσθαι, ἀντὶ τοῦ διηγεῖσθαι τὰ περὶ τούτων δηλονότι, πρόσφορος; ἤγουν ἐπιτήδειος γενόμενος ἐν δίφρῳ τῶν Μουσῶν, ἀντὶ τοῦ ἐν ὑψηλῇ ποιήσει, ἣν αἱ Μοῦσαι δωροῦνται. τόλμα δὲ, ἀντὶ τοῦ παῤῥησία, εἴθε ἔποιτο, ἤγουν ἀκολουθήσειεν ἐμοὶ, καὶ δύναμις ἀμφιλαφὴς, ἀντὶ τοῦ μεγάλη, ἐκ μεταφορᾶς τῶν ὄγκον ἐχόντων σωμάτων, ὧν ἀμφοτέραις χερσὶν ἔστι λαβέσθαι. ἔστι δὲ ἀμφιλαβὴς, καὶ τροπῇ τοῦ β̄ εἰς φ̄ κατ' ἔθος Μακεδόνων ἀμφιλαφής. ἐπὶ προ-

[1]) Ex Vrat. A. in quo εὔφρονα. [2]) Indidem. [3]) Ex Vrat. D. [4]) Iliad. π, 89. Θήσεις pro vulgato θήσῃς dedi ex Vrat. D. ἐμεῖο pro ἐμοῖο ex Homerico textu. [5]) Vrat. A. [6]) Vrat. A.

Digitized by Google

ξενίᾳ δὲ, ἀντὶ τοῦ χάριν τῆς προξενίας, τουτέστι τῆς φιλοφρονήσεως τοῦ Λαμπρομάχου πρὸς τοὺς Θηβαίους, καὶ χάριν τῆς ἀρετῆς, ἤτοι ἀνδρείας καὶ τῶν ἀνδραγαθημάτων αὐτοῦ, ἦλθον τιμάορος, τουτέστι τιμητὴς, ὑμνητὴς γενησόμενος τῶν μιτρῶν, ἀντὶ τοῦ τῶν στεφάνων αὐτοῦ, οὓς ἐν τῷ Ἰσθμῷ ἔλαβεν, ὅτε ἀμφότεροι, ἤγουν αὐτὸς ὁ Λαμπρόμαχος καὶ ὁ Ἐφάρμοστος ἐκράτησαν ἔργον, τουτέστιν ἐνίκησαν νίκην κατὰ μίαν ἡμέραν. ἀμφότεροι γὰρ, φασὶν, ἐνίκησαν ἐν μιᾷ ἡμέρᾳ, ὁ μὲν Ἐφάρμοστος Ὀλύμπια, ὁ δὲ Λαμπρόμαχος Ἴσθμια. ἔνιοι δέ φασιν, ὅτι οἱ δύο Ἴσθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν. ἔπειτα δὲ ἄλλαι δύο χάρμαι, ἤγουν χαραὶ νίκης, ἀντὶ τοῦ νῖκαι, ἐγένοντο τῷ Ἐφαρμόστῳ ἐν ταῖς πύλαις τῆς Κορίνθου, ἤτοι ἐν τῷ Ἰσθμῷ· ταὶ δὲ, ἤγουν αὗται δὲ, ἀντὶ τοῦ τοσαῦται δὲ, κατὰ τὸν κόλπον τῆς Νεμέας ἐγένοντο δηλονότι αὐτῷ νῖκαι. καὶ κατὰ τὸ Ἄργος, ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἥραια, ἔλαβε κῦδος ἀνδρῶν, ἤγουν γέρας ἀνδράσι προσῆκον, τουτέστιν ἐν ἀνδρὸς ἡλικίᾳ νενικηκώς· παῖς δ' ἐν Ἀθήναις νικήσας δηλονότι ἔλαβε κῦδος. § Εἴην εὑρεσιεπής] εἴθε τοιαύτας ἱστορίας εὑρίσκοιμι, ἵνα ἐποχούμενος τῷ παρὰ τῶν Μουσῶν δοθέντι μοι δίφρῳ, λέγω δὴ τῇ ποιητικῇ, ἁρμοδίως τῇ παρούσῃ ὑποθέσει ποιῶμαι τοὺς λόγους. τοῦτο δὲ λέγει, ἐπεὶ καὶ ὁ Πατροκλος Ὀπούντιος ἦν ὥσπερ καὶ Ἐφάρμοστος. τοῦ δὲ Ἐναγεῖσθαι τὸ Ἐν πρὸς τὸ δίφρῳ συναπτέον, οὕτως· ἐν τῷ δίφρῳ τῶν Μουσῶν ἠγεῖσθαι καὶ προέρχεσθαι. Rec.

Ἀναγεῖσθαι] διηγεῖσθαι. Vet.

121. Πρόσφορος] μέγας, διαφέρων, εὐεπίφορος ἐν ποιήμασιν, ἐπιτήδειος, ἱκανός. ταῦτα δὲ εἶπεν, ἐπειδή φησι τὴν περὶ Πατρόκλου ἱστορίαν, ἣν οὐδεὶς εἴρηκεν. [1]) § κατάλληλος ἐν ποιητικῇ, ἐπιτήδειος, αἴτιος. [2]) Vet.

122. Τόλμα δὲ καὶ ἀμφιλαφής] εἴη μοι τολμᾶν καὶ ἀποκινδυνεύειν διαπλάσσοντι τὰ τοιαῦτα. [3])

123. Προξενίᾳ δ' ἀρετᾷ τ' ἦλυθον] πρόξενος ἦν Θηβαίων Λαμπρόμαχος, δι' ὃν ἔγραψε τὴν ᾠδὴν ταύτην, ἦν δὲ καὶ Ἰσθμιονίκης. δύναται δὲ καὶ τοῦ Πινδάρου πρόξενος εἶναι. ὁμοῦ δὲ νενικήκασιν Ἴσθμια καὶ Νέμεα τῇ αὐτῇ ἡμέρᾳ αὐτὸς καὶ ὁ Ἐφάρμοστος, μετὰ δὲ ταῦτα ἄλλα δὶς νενίκηκεν Ἴσθμια ὁ Ἐφάρμοστος. § προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον· τῇ φιλίᾳ. τὸ δὲ ἑξῆς οὕτως ἔχει· διὰ δὲ τὴν προξενίαν, τουτέστι τὴν φιλίαν, καὶ τὴν ἀρετὴν τοῦ Λαμπρομάχου ἦλθον ἐπαινέτης τῶν ἐν τῷ Ἰσθμῷ μιτρῶν, ὅτι κατὰ μίαν ἡμέραν οἱ δύο ἐνίκησαν, ὁ μὲν Ἐφάρμοστος Ὀλύμπια, ὁ δὲ Λαμπρόμαχος Ἴσθμια. ἔνιοι δέ φασιν, ὅτι οἱ δύο Ἴσθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν. § ὡς οἰκείου ὄντος τοῦ Λαμπρομάχου πρὸς τὸν Ἐφάρμοστον διὰ Λαμπρόμαχόν φησι γεγονέναι τὸν ἐπίνικον, καὶ δι' ἣν εἶχον προξενίαν πρὸς αὐτόν. τιμάορος δὲ εἶπεν ἀντὶ τοῦ τιμητὴς ἐσόμενος καὶ τιμῶν διὰ τῆς ἀρετῆς τοῦ ὕμνου, ὡς τοῦ Λαμπρομάχου καὶ Ἐφαρμόστου νενικηκότων Ἴσθμια τῇ αὐτῇ ἡμέρᾳ καὶ Νέμεα. μετὰ δὲ ταῦτα καὶ ἄλλα δὶς ἐνίκησεν Ἴσθμια ὁ Ἐφάρμοστος. [4]) Vet.

Προξενίᾳ] τιμῇ. Gl. γ.

1) Supplevi ex Vrat. D. 2) Vrat. A. 3) Vrat. A. in quo διπλάσσοντι. 4) Vrat. A: qui ἀλυδις pro ἄλλα δίς.

Digitized by Google

125. *Λαμπρομάχου*] *Λαμπρόμαχος συγγενὴς τοῦ Ἐφαρμόστου, κατὰ μίαν ἡμέραν Ἴσθμια σὺν αὐτῷ νικήσας.* Vet.

Λαμπρομάχου] *τὰ ... μία ἐστὶ περίοδος. μίτραισι δὲ, ταῖς νίκαις.* [1]) Vet.

Λαμπρομάχου] *ἐπειδὴ Ἐφάρμοστος καὶ Λαμπρόμαχος Ὀπούντιοι ὄντες φίλοι τε ἦσαν καὶ ἐν τῷ Ἰσθμῷ ἅμα ἐνίκησαν, διὰ τοῦτο ἐν τῷ Ἐφαρμόστου ὕμνῳ καὶ τούτου μέμνηται. Κορίνθου πύλας λέγει τὸν Ἰσθμόν· ἐν τῷ τέλει γὰρ αὐτοῦ ἡ Κόρινθος κεῖται. λάμβανε δὲ εἰς τὸ ἐγένετο, τῷ Ἐφαρμόστῳ, κατὰ συνεκδοχήν. τὸ δὲ Νεμέας κατὰ κόλπον, ἀντὶ τοῦ εἰς τὴν Νεμέαν περιφραστικῶς.* Rec.

126. *Μίτραις*] *μίτραις νῦν τοῖς στεφάνοις καὶ ταῖς νίκαις. μίτρας γὰρ ἔνδοθεν τῶν στεφάνων καὶ διαδήματα ποικίλα εἰώθασι συνδεῖν. § μίτραι κυρίως οἱ ἀπὸ φασκίων καὶ ὠραρίων γινόμενοι στέφανοι· ἐν καταχρήσει δὲ πᾶς στέφανος μίτρα λέγεται, ὡς καὶ ἐνταῦθα.* [2]) Vet.

128. *Ἄλλαι δὲ δύο*] *ἐν Ἰσθμῷ, φησὶν, ἄλλαι δύο νῖκαι ἐγένοντο Ἐφαρμόστῳ ἑξῆς. § Ἄλλως. χάρμαι νῦν χαραὶ καὶ ἡδοναὶ, καθ' Ὅμηρον* [3]) *δὲ αἱ μάχαι. § Ἄλλως. ἤτοι μάχαι ἢ χαραὶ καὶ νῖκαι ἐγένοντο αὐτῷ ἐν τῷ Ἰσθμῷ. Κορίνθου γὰρ πύλαι ὁ Ἰσθμός. § ὁ δὲ νοῦς· καὶ ἄλλαι δὲ χαραὶ ἐγένοντο τῷ Ἐφαρμόστῳ ἐν τῷ κόλπῳ τῆς Νεμέας. ἔστι δὲ περίφρασις ἀντὶ τοῦ ἐν Νεμέᾳ. ἀπὸ κοινοῦ δὲ ἐξυπακουστέον τὸ Ἐγένοντο χάρμαι. § ἔπειτα χάρμα*] *νῦν ἀντὶ τοῦ χαρά. Ὅμηρος δὲ ἐπὶ τῆς μάχης. οἱ δὲ περὶ Ἴβυκον καὶ Στησίχορον χάρμην τὴν ἐπιδορατίδα φασίν.* [4]) Vet.

130. *Τὰ δὲ καὶ Νεμέας*] *καὶ ἐν τῇ Νεμέᾳ Ἐφάρμοστος ἐνίκησεν, ἐν Ἀθήναις δὲ τὰ Παναθήναια.* [5]) Vet.

132. *Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν*] *ἀντὶ τοῦ καὶ ἐν Ἄργει δὲ δόξαν προσείληφεν ἀνδρῶν νικήσας τὰ Ἥραια, ἀντὶ τοῦ ἀνδρεῖα νικᾷ ἐν Ἄργει·* [6]) *καὶ ὡς παῖς ἐν Ἀθήναις, ἀπὸ κοινοῦ δὲ τὸ Κῦδος ἔσχε, νικήσας ἢ τὰ Παναθήναια ἢ τὰ Ὀλύμπια.* [7]) *§ τὰ Ἑκατόμβαια ἢ Ἥραια ἐνίκησεν. οὗτος δὲ ἐν Ἄργει ἐτελεῖτο ὁ ἀγών.* [8]) Vet.

134. *Οἷα*] *ὦ θαῦμα.* Gl. γ.

Οἷον δ' ἐν Μαραθῶνι] *νῦν τὰ Ἡράκλεια λέγει. τοῦ δὲ οἷον διπλῆ ἡ ἐκδοχή. τινὲς γὰρ τὸ οἷον ψιλῶς ἀναγινώσκουσιν, ἵν' ᾖ· μόνον ἐν Μαραθῶνι ἀγενείων ἀγωνισάμενος ἡττήθη καὶ μετεγγράψας ἑαυτὸν εἰς τοὺς ἄνδρας ἐνίκησεν. ἄτοπον δὲ τοῦτο. οὐ γὰρ ἂν ἐγκωμιάζων περὶ τῆς ἥττης ἔμελλε λέγειν. οἱ δὲ θαυμαστικῶς, ὃ καὶ βέλτιον· ὅπως δὲ καὶ οἵως ὑπέμεινεν ἐν τῇ Μαραθῶνι ἀγωνιζόμενος πρὸς τοὺς προβε-*

1) Vrat. A. qui *ταῖσι νίκαις.* Post *τὰ* excidit aut *δύο* aut *τρία.* Nota haec metrica est, qua significatur vss. 125. 126. aut 124—126. unam esse periodum, quem nos versum dicimus. Eadem res recurrit vs. 134. et XI, 24. ubi etiam apertior est. Vides igitur aliquem aut criticum aut musicum inter veteres probe nosse, ea cola, quae in medio vocabulo finiebantur, coniungenda esse. 2) Haec Etym. M. p. 588, 47. ex scholiis Pindari; additur enim: *οὕτως εὗρον εἰς τὸ σχόλιον τοῦ Πινδάρου, Ἐφαρμόστῳ Ὀπουντίῳ.* Vulgo *ὠαρίων*: *ὠραρίων* ex Eustathio ad Iliad. δ, p. 992. Polit. T. III. eadem habente correxit Schneiderus, qui mihi haec suppeditavit. Aliter Sylburgius. Ceterum confer schol. ad Isthm. V, 78. 3) Iliad. η, 218. 4) Vrat. A. 5) Ibidem. 6) Haec inde ab *ἀντὶ τοῦ* ex Vrat. D. 7) Hoc est *Ὀλυμπιεῖα.* Vide ad schol. Olymp. VII, 151. 8) Ex Vrat. A. in quo corrupte: *τὸ Ἑκατόμβαιον νικήσας καὶ τὰ Ἥρ. ἐν.*

Digitized by Google

βηκότας ἄνδρας, ἀποσυληθεὶς τῶν ἀγενείων καὶ ὑπεξελθὼν, καὶ εἰς τοὺς ἄνδρας χωρήσας, ἡνίκα περὶ ἀργυρῶν φιαλῶν προέκειτο ἀγωνίζεσθαι. τοῖς γὰρ ἐν Μαραθῶνι ἐν τοῖς Ἡρακλείοις ἀγωνιζομένοις φιάλαι ἀργυραῖ δίδονται [1]) ἔπαθλον. Ἀθηναίοις δὲ ἔθος χρυσίδας καὶ ἀργυρίδας λέγειν. § Οἷον ἐν Μαραθῶνι· τὰ δύο μία ἐστὶ περίοδος. τὸ οἷον θαυμαστικῶς. ἀγωνιζόμενος γὰρ ἐν Μαραθῶνι, ἔκκριτος γενόμενος ἐκ τῶν ἀγενείων, προβὰς ἄνδρας ἐνίκησε. δύναται δὲ τὸ οἷον καὶ ψιλῶς ἀντὶ τοῦ μόνον τὸν ἀγῶνα. [2]) Vet.

† Σύνταξις. Οἷον δ' ἐν Μαραθῶνι] ἐν δὲ Μαραθῶνι φεῦ ὅπως ἑαυτὸν λάθρα ἐξαγαγὼν ἀπὸ τῶν ἀγενείων, ἀντὶ τοῦ ἀπὸ τοῦ ἀγωνίσασθαι μετὰ τῶν ἀγενείων, ἀνέμενε τὸν ἀγῶνα τῶν πρεσβυτέρων, ἤγουν τῶν τελεωτέρων τὴν ἡλικίαν, τουτέστι τῶν ἀνδρῶν, ἀμφ' ἀργυρίδεσσιν, ἀντὶ τοῦ ἐπὶ ταῖς ἀργυρίσιν, ἤγουν ταῖς ἀργυραῖς φιάλαις, αἳ ἐδίδοντο ἐκεῖ γέρας. ἄνδρας δὲ δαμάσας, ἤγουν καταβαλὼν διὰ μηχανῆς ἀφόβου, ὀξυῤῥέποῦς, ἤτοι ταχεῖαν ἐχούσης τὴν ὁρμὴν, διήρχετο τὸν κύκλον, ἤγουν τὸν ἀγῶνα, φεῦ τῆς βοῆς ὅση. ἐπὶ δοτικῆς τὸ ὅση, ἤγουν δι' ὅσης βοῆς διήρχετο· ὡραῖος ὢν, ἤγουν ἐν ἀκμῇ ἡλικίας καὶ καλὸς, τουτέστιν εὔμορφος, καὶ κάλλιστα ἔργα πράξας. Rec.

136. Μένεν] ἐκαρτέρει. Gl. β.

137. Ἀργυρίδεσσιν] ἃς ἐβράβευον. Gl. γ.

138. Φῶτας δ' ὀξυρεπεῖ δόλῳ] ἀντὶ τοῦ ὀξυτάτῃ καὶ ἐπιμελεῖ τέχνῃ. ὁ νοῦς τούτου· τοὺς δὲ ἄνδρας τοὺς ἀνταγωνιστὰς αὐτοῦ τέχνῃ ὀξυτάτῃ νικήσας, αὐτὸς κατὰ τὴν ἄθλησιν μὴ πεσὼν μήτε ὑποστὰς πτῶμα διέβαινε τὸν κύκλον τοῦ σταδίου μεθ' ὅσης βοῆς καὶ ὅσων ἐπαίνων, νεανίας μὲν ὢν καὶ θαυμαστὸς τῷ ὀφθῆναι, ταῖς δὲ πράξεσιν οὐ καταισχύνων τὸ εἶδος. ὅσσα βοᾷ δὲ, ἀντὶ τοῦ μεγάλῃ βοῇ· τὸ γὰρ ὅσσα θαυμαστικῶς. § Δόλῳ· παλαίσματι δολίῳ, καταγωνισάμενος τῇ παλαιστικῇ ὀξύτητι. τὸ δὲ ἀπτῶτι ἐπιῤῥηματικῶς. [3]) Vet.

140. Διήρχετο κύκλον] τὸν τοῦ σταδίου, ἔνθα ἠγωνίζοντο, κύκλον σὺν βοῇ τῇ τῶν θαυμαζόντων. ὅσσα βοᾷ, μετὰ πάσης βοῆς παρόντι αὐτῷ ἐπήχουν πάντες καὶ ἐθαύμαζον. ὡραῖος ἐὼν, τὸ ἄκρον τῆς ὥρας καὶ τῆς ἀκμῆς ἔχων. οἷον, καλὸς ὢν καλῶς ἔπραξεν. [4]) Vet.

142. Καλός] ἐπιτήδειος. Gl. γ.

143. Τὰ δὲ Παῤῥασίῳ στρατῷ] τουτέστιν ἐν τῷ δήμῳ τῆς Ἀρκαδίας· Παῤῥασία γὰρ μέρος τῆς Ἀρκαδίας, ἔνθα τελεῖται Λυκαίου Διὸς ἀγών. ὁ νοῦς· τὰ δὲ ἔργα αὐτοῦ τὰ ἐν τῷ ἀγῶνι τοῦ Λυκαίου Διὸς κατὰ τὴν Παῤῥασίαν τῆς Ἀρκαδίας, ὅπως αὐτὸν ἔδειξε θαύματος ἄξιον. § τὰ δὲ Παῤῥασίῳ στρατῷ· τῷ Ἀρκαδικῷ. ὡς ἐν Ἀρκαδίᾳ τὰ Λύκαια νενικηκότος· ἐν τῇ Ἀρκαδίᾳ γὰρ ἤγοντο τῷ Διῒ τὰ Λύκαια. Κλεοφάνης ἐν τῷ περὶ ἀγώνων. Λυκαίου· ἐν τῇ Ἀρκαδίᾳ, ὅπου ὁ Ζεὺς τιμᾶται, ὁ καὶ Λύκαιος ἀπὸ ὄρους Λυκαίου. [5]) Vet.

[1]) Sic Vrat. D. Vulgo ἐδίδοντο. Quod non notarem, nisi inde intelligeretur, vetera scholia satis antiqua esse. [2]) Vrat. A. Addidi δύο. Cf. ad vs. 125. et ad XI, 24. Vult coniungi haec: οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων. [3]) Vrat. A. [4]) Vrat. A. in quo σὺν βοῖ et ὡραῖος ἦ. [5]) Vrat. A. Verba Κλεοφάνης ἐν τῷ π. ἀ. in codice male post στρατῷ habentur. Deinde abest ὁ ante καὶ, et pro ὄρους in libro legitur τινός.

Digitized by Google

Σύνταξις. Τὰ δὲ Παῤῥασίῳ στρατῷ] κατὰ δὲ τὰ ἔργα τὰ γενόμενα αὐτῷ ἐν τῷ στρατῷ τῷ Παῤῥασίῳ, ἤγουν τῷ Ἀρκαδικῷ, Παῤῥασία γὰρ τόπος ἐν Ἀρκαδίᾳ, θαυμαστὸς ἐφάνη ὤν, λέγω κατὰ τὴν πανήγυριν τοῦ Λυκαίου Διὸς θαυμαστὸς ἐφάνη ὤν, καὶ ὁπότε ἔφερεν, ἀντὶ τοῦ ἐπηνέγκατο ἐν τῇ Πελλήνῃ, ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἕρμαια, φάρμακον εὐδιανὸν, ἀντὶ τοῦ ἀποσοβητικὸν τῶν πνοῶν τῶν ψυχρῶν. χλαῖνα γὰρ ἐκεῖ ἐδίδοτο τῷ νικῶντι. σύνδικος δὲ, τουτέστι μάρτυς αὐτῷ τῷ Ἐφαρμόστῳ δηλονότι, ἐστὶ κατὰ τὰς ἀγλαΐας, ἤγουν τὰς λαμπρότητας, τουτέστι τὰς νίκας, ὁ τύμβος τοῦ Ἰολάου, ἔνθα ἐτελεῖτο ἀγὼν τῷ Ἰολάῳ τὰ Ἰολάϊα, καὶ ἡ Ἐλευσὶς ἡ εἰναλία, ἤγουν ἡ παραθαλασσία, μάρτυς ἐστὶν αὐτῷ δηλονότι κατὰ τὰς νίκας· ἐτελεῖτο δὲ αὐτόθι ἀγὼν Κόρης καὶ Δήμητρος, ὃς ἐκαλεῖτο Ἐλευσίνια, ἐλάμβανε δὲ γέρας ὁ νικῶν κριθάς. § Ἐν Πελλήνῃ πανήγυρις ἐγίνετο τὰ Ἕρμαια ἢ τὰ Φιλοξένια πρὸς τὸν Ἀπόλλωνα· ἔνθα νικήσας Ἐφάρμοστος διφθέραν ἔλαβε, τοῦτο γὰρ ἦν ἆθλον, ἥτις ἀλεξίκακός ἐστι τῶν ἀνέμων. ἐδίδοτο δὲ διφθέρα διὰ τὸ ἐν χειμῶνι τοὺς ἀγῶνας τούτους γίνεσθαι. [1]) § τὸ σύνδικος διὰ τοῦτο λέγει, ἐπειδὴ ἐν ταῖς Θήβαις ἀγὼν ἐτελεῖτο Ἡράκλεια καὶ Ἰολάϊα. ἦν δὲ ἐν μέσῳ τοῦ σταδίου ὁ τοῦ Ἰόλεω τάφος, ἔνθα Ἐφάρμοστος ἐνίκησεν. § Ἐν τῇ Ἐλευσῖνι τῆς Ἀττικῆς ἀγὼν ἐτελεῖτο Δήμητρος καὶ Περσεφόνης, τὰ καλούμενα Ἐλευσίνια, ἔνθα ἐνίκησεν. Rec.

Στρατῷ] λαῷ. Gl. γ.

146. Καὶ ψυχρᾶν ὁπότε] ἐφάνη δὲ θαυμάσιος, καὶ ἡνίκα τῶν ψυχρῶν αὐρῶν καὶ τοῦ κρύους τὸ φάρμακον καὶ τὸ βοήθημα ἀπὸ τῆς Πελλήνης λαβὼν ἔφερε, τὴν χλανίδα. ταύτην γὰρ ἐλάμβανον τὴν χλανίδα οἱ νικῶντες, οἷον τρίβωνας. ὁ δὲ ἀγὼν ἐν Πελλήνῃ Ἕρμαια καλεῖται. [2]) ἄγεται δὲ Ἑρμοῦ καὶ Ἀπόλλωνος ἑορτὴ, Θεοξένια λεγομένη. Εὐδιανὸν δὲ φάρμακον, ἀντὶ τοῦ ἀνάπαυσιν τὴν ἀλεξάνεμον, ὅτι ἐν Πελλήνῃ χλαῖνα ἐδίδοτο τῷ νικῶντι χειμῶνος ὥρᾳ. ἀπὸ κοινοῦ δὲ τὸ θαυμαστὸς ἐφάνη. § Εὐδιανὸν, εὐδίαν ποιοῦν. [3]) § ὅτι χλαῖνα ἦν τὸ ἔπαθλον ἐν Πελλήνῃ, εἴρηται. πεποίηται δὲ ταῦτα παρὰ τὸ Ὁμηρικόν· [4]) Ἀλεξάνεμον μάλα πυκνήν. ἤγετο δὲ ὁ ἀγὼν ἐν Πελλήνῃ τῆς Ἀχαΐας τὰ Θεοξένια ἐν χειμῶνι, διὸ καὶ χλανὶς ἐδίδοτο. [5]) Vet.

148. Σύνδικος] κριτὴς κοινός ἐστιν αὐτῷ τῷ Ἐφαρμόστῳ εἰς τὴν πολλὴν νίκην ὁ τάφος τοῦ Ἰολάου. ἐκεῖ γὰρ συνήρχετο πλῆθος πολὺ ἀνδρείως ἀγωνιζομένων. Bodl. γ.

Σύνδικος δ' αὐτῷ] μαρτυρεῖ δὲ αὐτοῦ τῇ ἀνδρείᾳ καὶ ὁ τοῦ Ἰολάου τάφος ἐν Θήβαις. Ἰολάϊα γὰρ λέγεται ὁ ἀγὼν, ὃν ἐνίκησεν. § Ἄλλως. Σύνδικος· σύμψηφος, σύμφωνος. Ἰολάου τύμβος· ὁ ἐν Θήβαις· τὸν τῶν Ἡρακλείων ἀγῶνα θέλων δηλῶσαι τύμβον Ἰολάου εἶπε· παρὰ γὰρ τῷ κοινῷ σήματι Ἀμφιτρύωνος καὶ Ἰολάου [6]) ὁ τῶν Ἡρακλείων ἀγὼν ἐτελεῖτο, ὃν ἐνίκησεν. § ὁ δὲ νοῦς οὗτος· σύμφωνος δὲ τῶν προειρημένων ἀγώνων καὶ τὰ Ἰολάεια. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν τῷ ἀγῶνι συνδικούντων ἀλλήλοις. τύμβον δὲ λέγει τὸ κενοτάφιον. [7]) Vet.

1) Supplevi ex Mosc. B. 2) Sic Vrat. D. Vulgo ἐκαλεῖτο. 3) Vrat. A. 4) Odyss. ξ, 529. Ἀμφὶ δὲ χλαῖναν ἑέσσατ' ἀλεξάνεμον μάλα πυκνήν. In codice est ἀλλ' ἐξάνεμον μάλα πνήν. 5) Vrat. A. qui χλαμὺς, ubi dedi χλανίς. 6) Καὶ Ἰολάου addidi ex Vrat. A. indeque cetera supplevi, adhibito etiam Vrat. D. 7) Vrat. A. qui Ἰόλεια et συνδικούντων ἀλλήλων.

Digitized by Google

150. Εἰναλία τ' Ἐλευσίς] καὶ ἡ Ἐλευσὶς δὲ ἡ πρὸς τῇ θαλάσσῃ κειμένη ταῖς ἀγλαΐαις αὐτοῦ καὶ νίκαις μαρτυρεῖ. ἄγεται δὲ αὐτόθι ἀγὼν Κόρης καὶ Δήμητρος, ὃς καλεῖται Ἐλευσίνια, οὗ ἔπαθλον κριθαί. § ἐν Ἐλευσῖνι ἄγεται τὰ Δημήτρια. τοῦτον δὲ πρῶτον ἀγώνων φασὶν εἶναι. μετὰ γὰρ τὸ εὑρεθῆναι τὸν Δημήτριον καρπὸν εὐρωστίας οἱ ἄνθρωποι ἐπίδειξιν ἐπιδειξάμενοι ἠγωνίζοντο, καὶ τετραποδιστὶ τοπάλαι περιπατοῦντες ἀνέστησαν καὶ δρόμον ἠγωνίζοντο· ἔνθεν καὶ στάδιον καλοῦσι δρόμον διὰ τὴν στάσιν. [1]) § τὸν τῶν Ἐλευσινίων ἀγῶνα λέγει· ἔπαθλον δὲ κεῖται κριθαί. ἄγεται δὲ ἐν Ἀθήναις μετὰ τῶν Δημητριακῶν καρπῶν συλλογὴν τῇ Δήμητρι εὐχαριστήρια. [2]) Vet.

151. Ἀγλαΐαισιν] ἀνδραγαθίαις. Gl. γ.

152. Τὸ δὲ φυᾷ κράτιστον ἅπαν] τὸ δὲ ἐκ φύσεως προσὸν ἀγαθὸν καὶ θείας μοίρας κράτιστον καὶ ἐξαίρετον. ἢ τὸ ἐξ εὐφυΐας. [3]) λείπει δὲ τὸ ἐστίν. εἰς ἑαυτὸν δὲ αἰνίττεται· ἀεὶ γὰρ ἑαυτὸν λέγει αὐτοδίδακτον. Vet.

Τὸ φυᾷ φασί τινες λέγειν τὸν Πίνδαρον δι' ἑαυτόν, οὐ καλῶς· ἔστι γὰρ πρὸς τὸν Ἐφάρμοστον, ἐπειδὴ ἐκ φύσεως ἀνδρεῖος ὢν καὶ οὐκ ἀπὸ μόνης τέχνης τοὺς συναγωνιζομένους ἐνίκα. πρὸς ὃ ἐπιφέρει· πολλοὶ δὲ τῶν ἀνθρώπων ἐν διδακταῖς ἀρεταῖς, τουτέστιν οὐ φύσει ὄντες ἀνδρεῖοι, ἀλλ' ὑπὸ διδαχῆς μόνης καὶ μαθήσεως, ὤρουσαν καὶ ὥρμησαν ἀνελέσθαι καὶ λαβεῖν κλέος, ἤτοι νικῆσαι καὶ δοξασθῆναι. ἕκαστόν δὲ χρῆμα, ἤγουν πᾶσα πρᾶξις ἄνευ θεοῦ, ἤγουν μὴ ἀπὸ φύσεως κατορθουμένη· τὸ θεοῦ δὲ λέγει, ἐπειδὴ ἐκ θεοῦ πάρεστι τοῖς ἀνθρώποις φύσει ἀνδρείοις εἶναι καὶ ἄλλο τι ἀγαθὸν ἔχειν· οὐ σκαιότερον καὶ οὐ φαῦλον ὑπάρχει σεσιγημένον καὶ σιωπηθέν, ἀλλὰ μᾶλλόν ἐστιν, εἰ μηδεὶς γινώσκει αὐτό. μόνα γὰρ τὰ ἐκ φύσεως πλείστου ἐστὶν ἄξια, ὥστε εἰ μή πρός τι φυσικῶς ἔχει τις, οἷον πάλην λέγω καὶ δρόμον καὶ ἄλλον τινὰ ἀγῶνα, ἀφεὶς τοῦτο, πρὸς ὃ ἡ φύσις αὐτοῦ ῥέπει τρεπέσθω. ἐντὶ γὰρ καὶ εἰσὶν ἄλλαι ὁδοὶ καὶ μεταχειρήσεις πράξεων περαίτεραι καὶ ἐξοχώτεραι ὁδῶν ἑτέρων, τουτέστι πολλῶν οὐσῶν πράξεων τὴν προσφυῆ σοι μεταχειριζόμενος κατορθώσεις αὐτὴν μᾶλλον ἢ τὴν οὐ προσφυῆ. § Σύνταξις. Τὸ δὲ φυᾷ, ἀντὶ τοῦ τὸ μὲν φύσει, τουτέστι τὸ μὲν ἀπὸ φύσεως ἅπαν κράτιστον, ἤγουν ἄριστον, δεξιώτατον. διὰ τὸν Ἐφάρμοστον τοῦτο λέγει. πολλοὶ δὲ δι' ἀρετῶν, ἤγουν ἐπιτηδευμάτων δεδιδαγμένων παρὰ ἀνθρώπων, δόξαν ὥρμησαν ἑλέσθαι, ἤτοι λαβεῖν· χωρὶς δὲ θεοῦ, τουτέστι τῆς φύσεως, ἕκαστον πρᾶγμα οὐ σκαιότερόν ἐστιν, ἀντὶ τοῦ οὐκ ἀπρεπὲς, σεσιγημένον, ἤγουν ἄπρακτον ὑπάρχον· τουτέστιν ἕκαστον δὲ πρᾶγμα χωρὶς φύσεως πρεπωδέστερόν ἐστιν, εἰ σεσιγημένον ἐστίν. εἰσὶ γὰρ ὁδοὶ ἄλλαι, πρὸς ἃς ἔχει δηλονότι τις εὐφυῶς, περαίτεραι, ἀντὶ τοῦ δυνάμεναι μᾶλλον ἀνύεσθαι ὁδῶν ἑτέρων, πρὸς ἃς οὐκ ἔχει δηλονότι τις εὐφυῶς· οὐχ ἅπαντας δὲ ἄμμε, ἀντὶ τοῦ ἡμᾶς, μία μελέτη, ἤγουν ἓν ἐπιτήδευμα, δυνατόν ἐστι θρέψαι, ἀντὶ τοῦ οὐ δυνατὸν δέ ἐστι πάντας ἡμᾶς ἐν ἑνὶ ἐπιτηδεύματι τραφῆναι, ἤγουν τὸν βίον ἀνῦσαι, τουτέστιν ἐν ἑνὶ ζῆσαι ἐπιτηδεύματι. Rec.

1) Ex Vrat. A. Codex ἐν Ἐλευσίνῃ, deinde τοῦτο δὲ πρώτων ἀγ. φησὶν, et Δημήτρειον. Ex his scholiis, sed paullo concinnius adornatis eadem haec illata sunt in Etym. M. p. 743, 25. v. στάδιον: Ἢ ὅτι τετραποδιστὶ τοπάλαι περιπατοῦντες μετὰ τὸ εὑρεθῆναι τὸν Δημητριακὸν καρπὸν ἀνέστησαν, καὶ εὐρωστίας ἐπίδειξιν ποιούμενοι δρόμον ἠγωνίζοντο. διὰ τὴν στάσιν οὖν στάδιον. εἰς τὰ σχόλια Πινδάρου. 2) Vrat. A. 3) Inde ab ἢ τὸ ex Vrat. A.

Digitized by Google

153. Πολλοὶ δὲ διδακταῖς] πολλοὶ δὲ, φησὶ, δόξαν ἑαυτοῖς ἠθέλησαν περιποιήσασθαι ἀπὸ διδακτῶν ἀρετῶν, καὶ ὥρμησαν καὶ ἔσπευσαν ἐπὶ τοῦτο προελθεῖν. Vet.

156. Ἄνευ δὲ θεοῦ σεσιγαμένον] τὸ ἄνευ δὲ θεοῦ γινόμενον οὐ σκαιότερόν φησιν ἀλλ' ἐκ τῶν ἐναντίων βέλτιον σιωπώμενον· οἷον, μετὰ θεοῦ τις παραγενόμενος εἰς τοὺς ἀγῶνας, οἷος ὁ Ἐφάρμοστος, ὑμνείσθω· ὁ δὲ παρὰ θεόν τι πράσσων, ὡς αὐτόθεν μηδὲ νικᾶν μέλλων εὐλόγως ἂν καὶ οὐ σκαιῶς σιωπῷτο. § Ἄλλως. ἕκαστον δὲ, φησὶ, πρᾶγμα τὸ χωρὶς θεοῦ πραττόμενον οὐ σκαιότερόν ἐστι σιωπώμενον· οἷον, σοφώτερόν ἐστι. τὸ γὰρ μὴ κατὰ θεὸν πρασσόμενον δεῖ σιγᾶν καὶ μηδενὸς λόγου ἀξιοῦν· ἀντὶ τοῦ καλόν ἐστί τινα παρὰ βούλησιν θεοῦ νικήσαντα μὴ ὑμνεῖσθαι. § Ἄλλως. ἀπὸ κοινοῦ τὸ κλέος λεκτέον, ἵν' ᾖ· τὸ δὲ ἄνευ θεοῦ καὶ χωρὶς θείας φύσεως προσγινόμενον κλέος, τοῦτο σεσιγημένον καὶ μὴ θρυλλούμενον οὐκ ἔστι σκαιότερον οὐδὲ μέμψεως ἄξιον, ὡς τοῦ ἐναντίου μέμψιν ἔχοντος, τοῦ μὴ ἐπαινεῖν τοὺς φύσει ἀγαθοὺς, ὅπερ ἑαυτὸν λέγει ποιεῖν. δύναται δὲ καὶ οὕτω νοεῖσθαι· ἕκαστον δὲ πρᾶγμα, ὃ μὴ κατὰ φύσιν ἐστὶ, τοῦτο σεσιωπημένον οὐκ ἔστι σκαιόν· ἐὰν γὰρ νόθον ὂν ἐμφανίζηται, τότε τὴν ἀδοξίαν προστρίβεται, τουτέστι πᾶν πρᾶγμα παρὰ φύσιν γινόμενον οὐχ οὕτως ἐστὶ σιγηθὲν ἀηδὲς ὡς φαινόμενον· φανὲν γὰρ πλεῖον ἐρυθριάσει καὶ ὑβρισθήσεται. θεὸν δὲ τὴν φύσιν λέγει. Vet.

157. Οὐ σκαιότερον χρῆμα] διατί οὐκ ἔστι σκαιότερον τὸ [1]) θαυμάζειν τοὺς ἄνευ θεοῦ μοίρας τι πράττοντας, ἑαυτοῖς δὲ ἐπιτρέποντας; ὅτι εἰσὶν αἱρετώτεραι καὶ προτιμότεραί τινες ἐπιτηδεύσεις ἐπιτηδεύσεων, οἷον αἱ προσφυεῖς ἑκάστῳ καὶ οὐκ ἐναντιούμεναι κατὰ γένεσιν καὶ φύσιν. Vet.

158. Ἐντὶ γὰρ ἄλλαι ὁδῶν ὁδοὶ ἕως μελέτα] δεῖ ἕκαστον τὴν δεδομένην αὐτῷ ἐκ θεῶν ὁδὸν, ταύτην ἰέναι καὶ μὴ παραβιάζεσθαι. Ὅμηρος· [2])

Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα,
Ἄλλῳ δ' ἐν στήθεσσι τίθει νόον,

ἕτεραι δὲ ἀμείνονες, παρασημότεραι, εὐοδώτεραί εἰσιν ὁδοὶ, δι' ὧν τις δύναται περαιῶσαι· ὅ ἐστιν, εἰ μὴ πέφυκας πρὸς τὸ παγκράτιον, πάλην ἄσκει ἢ ἄλλο τι, πρὸς ὅ,τι ἂν εὐφυῶς ἔχοις. ὁ γὰρ ἑλόμενός τι ὥς τι τηρῆσαι πάντων, ἐκεῖ εὐκλεὴς ἔσται. [3]) Vet.

Ἤγουν, μὴ ὤν τις παλαιστρίτης καλὸς μετερχέσθω ἄλλην τέχνην· εἰσὶ γὰρ πολλαί· μία γὰρ οὐχ ἅπαντας ἡμᾶς θρέψει τέχνη· ἤγουν, οὐκ ἔστι δυνατὸν πάντας παλαιστρίτας εἶναι, αἱ σοφίαι δὲ μεγάλαι εἰσὶν ἢ ὑψηλαὶ, ὡς εἶναι τὴν ἐπ' αὐτῶν ὁδὸν δυσχερῆ· ἤγουν, τὸ κατορθῶσαί τινα ἀρετὴν δυσχερὲς ὑπάρχει. Pal. C.

159. Ὁδοὶ περαίτεραι] πρακτικώτεραι, ἀνυστικώτεραι. Vet.

160. Μία δ' οὐχ ἅπαντας] οὐ γὰρ ἡ μία μελέτη οὐδὲ τὸ ἓν ἐπιτήδευμα πάντας ἡμᾶς δύναται τρέφειν· μελέτη δὲ ἄσκησίς ἐστι καὶ ἐπιτήδευμα. Vet.

161. Σοφίαι μὲν αἰπειναί] δυσέφικτοι. τουτέστιν ἐφ' ὕψους καὶ προβάσεως κεῖνται αἱ σοφίαι, ὥστε εἶναι τὴν ἐπ' αὐτὰς ὁδὸν δυσχερῆ. § ἢ οὕτως· ὑψηλόν ἐστι καὶ ἐν μετεώρῳ κείμενον τὸ ἀρετὴν ἔχον. ὡς Ἡσίοδος· [4])

1) Adde μή. 2) Iliad. ν, 730. 732. 3) Postrema addidi ex Vrat. D. 4) Opp. et D. 287.

Digitized by Google

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

§ ἢ οὕτως· αἱ μὲν σοφίαι ὑψηλαί εἰσι καὶ πόῤῥω καὶ δυςχερεῖς. Vet.

† Σύνταξις. Σοφίαι μὲν αἰπειναί] αἱ σοφίαι μὲν, ἤγουν αἱ λογικαὶ τέχναι αἰπειναὶ, ἤτοι ὑψηλαί· τοῦτο δὲ τὸ ἄθλον, ἤγουν τὸ γέρας, τουτέστι τὸν ὕμνον προςφέρων, ὦ νοῦ, δηλονότι τῷ Ἐφαρμόστῳ, ὤρυσαι, ἀντὶ τοῦ βόησον ὄρθιον, ἤγουν ὀξὺ, ὑψηλὸν καὶ μετὰ θάῤῥους, τόνδε τὸν ἄνδρα, τουτέστι τὸν Ἐφάρμοστον, ἀπὸ μοίρας δαίμονος γεγονέναι εὔχειρα, γενναῖον τὰς χεῖρας, δεξιόγυιον, ἤτοι ἐπιτήδειον, εὔστροφον κατὰ πᾶν τὸ σῶμα, ὁρῶντα ἀλκὴν, τουτέστι παράστημα γενναῖον ἔχοντα, ὅςτις νικῶν ἐπεστεφάνωσεν, ἤγουν ἐκόσμησε δαιτὶ, τουτέστι δι' ἑορτῆς, τὸν βωμὸν τὸν Αἰάντειον τοῦ Οἰλιάδου, ἀντὶ τοῦ τὸν βωμὸν τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Ὀϊλέως. πρὸς τὸ σημαινόμενον τοῦ κτητικοῦ ἡ ἀπόδοσις. τὸ τοιοῦτο δὲ σύνηθες καὶ τῷ πεζῷ λόγῳ. § Αἴας ὁ Λοκρὸς ἐν Τροίᾳ ἀποθανὼν τιμᾶται ἐν τῇ Λοκρίδι ἴσα θεῷ. κενοτάφιον γὰρ τούτου ἐνταῦθα ἐποίησαν μέσον τοῦ τόπου, ἔνθα οἱ τῆς ἐπ' αὐτῷ πανηγύρεως ἀγῶνες τελοῦνται. ἐνίκησεν οὖν ἐνταῦθα Ἐφάρμοστος. δέον εἰπεῖν, ἐπεστεφάνωσε τὸν βωμὸν τοῦ Ὀϊλίδα Αἴαντος· Ὀϊλέως γὰρ υἱὸς ὁ Αἴας· Αἰάντειον εἶπε πρὸς τὸν βωμόν. Rec.

162. Τοῦτο δὲ προςφέρων ἄεθλον] τὸ τῆς ἐμῆς σοφίας ἐπιτήδευμα. § τὸν ἆθλον, αὐτὴν τὴν σοφίαν. [1]) § ἑαυτῷ ὁ Πίνδαρος παρακελεύεται καὶ φησιν· ὅμως δὲ τοῦτο ἀπὸ τῆς σοφίας ἆθλον προςφέρων καὶ ἐκπληρῶν, τὸν ὕμνον, μέγα καὶ ὑπερφυὲς ἀναβόησον μετὰ εὐθαρσίας. τί δὲ ἀναβόησον; τοῦτον δαιμονίᾳ, λείπει μοίρᾳ, γεγενῆσθαι δυνατὸν ἐν ταῖς χερσὶ καὶ παντὶ τῷ σώματι ἐπιδέξιον κατὰ πᾶν μέλος, ἵνα κοῦφος ᾖ καὶ εὔστροφος παλαιστὴς, ὃς καὶ τῷ βλέμματι ἀλκὴν καὶ δύναμιν ἐμφαίνει. § τὸν ὕμνον δὲ λέγει ἔπαθλον τοῦ νικηφόρου. [2]) Vet.

Τοῦτο δέ] τὸ τοῦτο πρὸς τὸ γεγάμεν ἔχει τὴν δύναμιν οὕτω· προςφέρων, ὦ θυμὲ, ἆθλον καὶ ὥςπερ βραβεῖον τῆς νίκης τὸν ὕμνον τῷ Ἐφαρμόστῳ θαρσέων καὶ θαῤῥῶν καὶ μὴ ἀμφιβάλλων ὤρυσαι καὶ μετὰ βοῆς ὕψωσον ὄρθιον τοῦτο, γεγάμεν καὶ ὑπάρξαι τόνδε τὸν ἄνδρα τοιόνδε καὶ τοιόνδε. Rec.

163. Θαρσέων] θαρσῶν φώνησον ἀνατεινάμενος, ὦ θυμὲ, ὅτι θείᾳ μοίρᾳ ἐγένετο πρὸς ἄθλησιν οὗτος. περὶ δὲ τοῦ νενικηκότος ὁ λόγος. [3]) Vet.

Ὄρθιον ὤρουσαι] ὀξὺ καὶ μέγα. Ὅμηρος· [4]) Ὄρθι' Ἀχαιοῖσι δὲ μέγα σθένος. λέγει δὲ πρὸς τὸν χορὸν περὶ τοῦ νενικηκότος· βόησον ἀνατεταμένον θαρσῶν, ὅτι θείᾳ μοίρᾳ ἐγένετο πρὸς ἄθλησιν οὗτος ὁ ἀνήρ. ἢ πρὸς ἑαυτὸν λέγει ὅτι ὥρμησα [5]) ὀξέως. Rec.

164. Δαιμονίᾳ γεγάμεν] ἀντὶ τοῦ θείᾳ μοίρᾳ γεγονέναι. [6]) Vet.

165. Δεξιόγυιον] τὸν Ἐφάρμοστον λέγει. μετὰ γὰρ σῶμα ἔχει καὶ ὑγιῆ τὰ μέλη· ἐπιδέξιον κατὰ πᾶν μέλος καὶ βλέποντα ἀνδρικῶς. [7]) Vet.

Δεξιόγυιον] ἐπιτήδειον εἰς τὰ μέλη. Gl. β. γ.

Ὁρῶντ' ἀλκάν] βλέποντα ἀνδρεῖον. - Vet.

166. Αἰάντειόν τ' ἐν δαιτὶ Ἰλιάδα] ὅςτις ἀνὴρ καὶ ἐν τῇ τοῦ Αἴαντος τοῦ Ὀϊλέως παιδὸς πανηγύρει καὶ ἐν τῷ ἐπωνύμῳ αὐτοῦ ἀγῶνι νικήσας θυσίαις καὶ στέμμασι τὸν Αἰάντειον βωμὸν κατεκόσμησε. τὰ Αἰάντεια δὲ ἐν Ὀποῦντι ἄγεται, ἃ νικη-

1) Vrat. A. 2) Vrat. A. 3) Vrat. A. qui ἐγένοντο. 4) Iliad. λ, 11. 5) Heynius coniicit ὅρμησον. 6) Vrat. A. 7) Vrat. A. Coniicias κατὰ γὰρ τὸ σῶμα.

Digitized by Google

σας ἐστεφάνωσε τὸν Αἰάντειον βωμὸν ἐν πανηγύρει. [1]) § Αἰάντειον· τὸ ἑξῆς· Αἰάντειον βωμὸν ἔστεφε νικῶν ἐν δαιτὶ, τουτέστιν ἐν τῷ ἀγῶνι τοῦ Ὀϊλέως παιδός. ἀπὸ δὲ τοῦ ῑ τὸ ὄνομα εἶπεν. [2]) § ὡς τὰ ἐν Ὀποῦντε Αἰάντεια νενικηκότος καὶ ἐστεφανωκότος τὸν Αἴαντος βωμόν. ἄγεται δὲ ταῦτα τῷ Λοκρῷ Αἴαντι ἐν Ὀποῦντι. [3]) Vet.

167. Ἰλιάδα] τοῦ Ὀϊλέως παιδὸς τοῦ Αἴαντος τοῦ Λοκροῦ. ἄνευ δὲ τοῦ ō εἴρηκε τὸν Ἰλιάδα, ὥς πού φησι καὶ Ἡσίοδος. Vet.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Γ' (ΙΑ').

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑνδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ ἑνδεκάτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφος κώλων ἕξ. Τὸ α' ἰαμβέλεγος, τῆς τελευταίας εἰς τὴν ἀρχὴν μετατεθείσης. Τὸ β' ὅμοιον τῷ πρώτῳ, παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ γ' τὸ αὐτὸ παρὰ τὸν τελευταῖον πόδα. Τὸ δ' μικτὸν ἐκ διμέτρου τροχαϊκοῦ καὶ ἡμίσεος [4]) ἔπους. Τὸ ε' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον εἰς ἴαμβον, Πινδαρικῷ ἔθει. Τὸ ς' ἰαμβικὸν τρίμετρον ἀκατάληκτον [5]) ἢ ἰαμβέλεγος.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων δέκα. Τὸ α' ἐγκωμιολογικόν. Τὸ β' δίμοιρον ἔπους. Τὸ γ' ἰαμβέλεγος παρὰ τὴν πρώτην συλλαβήν. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ε' τὸ αὐτό. Τὸ ς' τροχαϊκὸν δίμετρον καταληκτικόν· τὸ αὐτὸ [6]) Εὐριπίδειον. Τὸ ζ' ἐγκωμιολογικόν· ἐπιλαμβάνονται δὲ αὐτοῦ διὰ τὸν δάκτυλον. [7]) Τὸ η' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θ' Εὐριπίδειον. Τὸ ι' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Aliud plenius ex Vrat. A. Mosc. B.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑνδεκάτου εἴδους. ἔστι δὲ μιᾶς στροφῆς. Παλαιόν. [8])

Τοῦ ἑνδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ ἑκάστη κώλων ἕξ. Τὸ πρῶτον προσοδιακὸν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δευτέρου, χοριάμβου καὶ

[1]) Supplevi ex Vrat. D. [2]) Vrat. A. ubi Ἰολίου pro Ὀϊλέως. [3]) Ex eodem. [4]) Sic Vrat. D. Pal. C. et Trichae liber ἐκ παλαιοῦ βιβλίου, qui vulgaribus his scholiis concinit. [5]) Sic Vrat. D. Pal. C. et codex Trichae. Vulgo βραχυκατάληκτον. [6]) Sic Pal. C. [7]) Sic codex Trichae. [8]) Παλαιὸν additur in Vrat. A. Sed patet a Triclinio interpolatum esse, ut cetera παλαιά.

Digitized by Google

Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ β' ὅμοιον, πλὴν τρίμετρον καταληκτικόν. οἱ δὲ λέγοντες ὡς ἰαμβέλεγοι καὶ ἀμφότερά ἐστι τὰ κῶλα, μετατιθεμένης τῆς τελευταίας τούτων συλλαβῆς ἐν τῇ ἀρχῇ, οὔ μοι δοκοῦσι καλῶς λέγειν. ἐπεὶ μηδ' ἐν ἄλλοις κώλοις τοιοῦτό τι κεκαινοτόμηται. Τὸ γ' ὅμοιον, πλὴν δίμετρον ἀκατάληκτον. Τὸ δ' ἀσυνάρτητον ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ ἡμίσεος ἔπους. τρίμετρον γάρ ἐστι δακτυλικὸν τὸ ἥμισυ τοῦ ἔπους. Τὸ ε' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον εἰς ἴαμβον καταλῆγον Πινδαρικῷ ἔθει. τοῦτο γὰρ ἐν τοῖς τροχαϊκοῖς ἔθος αὐτῷ. Τὸ ς' ἰαμβέλεγος, ἤτοι ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν· εἰ δὲ βούλει, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰάμβων καὶ ἀναπαίστων. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἡ ἐπῳδὸς κώλων δέκα. Τὸ πρῶτον ἐγκωμιολογικὸν ἤτοι ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ β' δίμοιρον ἔπους. οἱ γὰρ δ' πόδες τῶν ἓξ δίμοιρον. Τὸ τρίτον ἰαμβέλεγος, ὅμοιον τῷ ς' τῆς στροφῆς. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ε' ὅμοιον τροχαϊκόν. Τὸ ς' τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. Τὸ ζ' ἐγκωμιολογικὸν Πινδαρικῷ ἔθει. ἐπιλαμβάνονται δὲ αὐτοῦ διὰ τὸ ἀντὶ μιᾶς τῆς τελευταίας συλλαβῆς τοῦ ἰαμβικοῦ ἔχειν δύο. Τὸ η' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θ' ὅμοιον τῷ ς'. Τὸ ι' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

Περὶ τῆς ἐπιγραφῆς αὐτοῦ. Τῷ αὐτῷ τόκος.] Τόκος γέγραπται, ἐπειδὴ ἐν προσθήκης μέρει τελευταῖον γέγραφε, διδοὺς ὡς ἂν τόκον, διὰ τὸ μὴ παρὰ τὸν τῆς νίκης καιρὸν γεγραφέναι τὸν ἐπίνικον, καθάπερ καὶ ἐπὶ δανεισμάτων τὸ προστιθέμενον ἐκτὸς τοῦ ἀρχαίου. τόκος δὲ κέκληται παρὰ τὸ ἐπιτετέχθαι καὶ ἐπιγεγενῆσθαι τῷ ἀριθμῷ τοῦ δανείσματος. Vet.

1. Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα χρῆσις] ὁ λόγος· ἔστι καιρὸς τοῖς ἀνθρώποις, φησὶν, ὅτε πλείστη χρεία γίνεται ἀνέμου, οἷον ἐπὶ τῶν πλεόντων μάλιστα συμβαίνει. ἔστι δὲ ὅτε καὶ οὐρανίων ὄμβρων τοῖς γεωργοῦσι χρεία· οὕτω δηλονότι καὶ τοῖς ἀθληταῖς ἐγκωμίων. § Ἄλλως. ἔστιν ὅτε τοῖς ἀνθρώποις πολλὴ χρεία ἐστὶν ἀνέμου, οἱονεὶ τοῖς πλέουσι· καὶ ἔστιν ὅτε πλείστη χρεία ἐστὶν ὄμβρων καὶ ὑετῶν, οἱονεὶ τοῖς γηπονοῦσιν. [1]) Vet.

Ἔστιν ἀνθρώποις] ἔστι καιρὸς ὅτε ἐστὶ τοῖς ἀνθρώποις χρεία πλείστη ἀνέμων, ἔστι δὲ καιρὸς ὅτε ἐστὶ χρεία αὐτοῖς ὑδάτων οὐρανίων ὀμβρίων, τουτέστι τῶν ἐκ τῶν ὄμβρων, τῶν παίδων τῆς νεφέλης, ἤγουν οἵτινες ὄμβροι παῖδές εἰσι τῆς νεφέλης. Rec.

3. Παίδων Νεφέλας] παῖδας νεφελῶν τοὺς ὄμβρους φησίν. [2]) Vet.

4. Εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι] εἰ δέ τις, φησὶ, μὴ κατὰ κενὸν πονήσει, διὰ δὲ τῶν πόνων ἀθλήσας τοῦ ἀθλήματος τῆς νίκης τύχοι, τούτῳ προσδεῖται ὕμνων.

1) Vrat. D. 2) Vrat. A.

Digitized by Google

οὗτοι γὰρ αὐτῷ ἀρχὴν ποιοῦνται τῶν ὕστερον πρὸς αὐτὸν καὶ περὶ αὐτοῦ ἐσομένων λόγων. § Ἄλλως. ἐπειδὴ ἡδυτάτοις μέλεσιν ἐχρήσατο, μελιγάρυες ὕμνοι, φησὶ, τῶν ὑστέρων λόγων ἀρχαί εἰσι. δι' αὐτοὺς γὰρ καὶ οἱ ὕστεροι μνημονεύουσι [1]) τῶν προγενεστέρων, ἢ ταῖς ἀρεταῖς οἱ ὕμνοι συνηρμοσμένοι εἰσὶ τῶν ὑμνουμένων. § Ἄλλως. εἰ δέ τις πονήσας εὐτυχῆ πράσσει καὶ νικήσει, τούτῳ οἱ ἡδεῖς οὗτοι ὕμνοι τῶν ὕστερον ἐπαίνων ἀρχὴ γίνονται καὶ πρόφασις, ἀντὶ τοῦ οἱ ὕμνοι οὗτοι αἴτιοι γίνονται τοῦ καὶ αὖθις μνημονεύεσθαι τοῦ νικηφόρου τὰ κατορθώματα, τῶν ὕστερον μετὰ ταῦτα λόγων ἤτοι ἐπαίνων μελλόντων λέγεσθαι, τοῦ ὕμνου τὴν ἀρχὴν καὶ τὴν πρόφασιν διδόντος. Vet.

Εἰ δέ τις εὖ πράσσοι, ἤγουν εὐτυχοίη, νικῴη μετὰ κόπων, οἱ ἡδύφωνοι ὕμνοι τέλλεται, ἀντὶ τοῦ τέλλονται, ἤγουν γίνονται αὐτῷ ἀρχαὶ, τουτέστι ῥίζαι, αἰτίαι τῶν ὑστέρων λόγων, ἤτοι φημῶν, τουτέστι τοῦ ἐπικρατῆσαι ὕστερον τὴν φήμην τῆς νίκης, καὶ πιστὸν ὅρκιον, ἤγουν καὶ βεβαία ἀσφάλεια γίνονται οἱ ἡδύφωνοι ὕμνοι τοῖς μεγάλοις κατορθώμασιν αὐτοῦ. οὗτος δὲ ὁ ἔπαινος ὁ δι' ἐμμελῶν ποιημάτων δηλονότι, ἀφθόνητος, ἤγουν ἄπειρος τῶν κακῶν τοῦ φθόνου, τουτέστιν ἀκαταπόνητος ἢ ἀδιάβλητος ἀνάκειται, ἀντὶ τοῦ διαμένει τοῖς Ὀλυμπιονίκαις. § ἐπειδὴ διπλοῦν ἔφη τὸν ὕμνον γίνεσθαι τοῖς νικηταῖς, τὸν μὲν ἐγγράφως ἀπὸ τῶν ποιητῶν, τὸν δὲ ἀπὸ φήμης τῶν ἄλλων ἀνθρώπων, διὰ τοῦτο τούτῳ τῷ προοιμίῳ ἐχρήσατο τῶν ἀνέμων καὶ τῶν ὄμβρων. παρεικάζει δὲ τὴν μὲν τῶν ἄλλων φήμην ἀνέμοις, ὡς ἀστάτοις· τοιαύτη γὰρ ἡ φήμη ἀνυπόστατος· τὸν δὲ ἔγγραφον ὕμνον ὄμβρῳ, οὐ μόνον ὡς τὴν γῆν πιαίνοντι καὶ θάλλειν ποιοῦντι τὰ σπέρματα, ἀλλὰ καὶ ὡς στασίμῳ καὶ ἐπὶ πλεῖστον καιρὸν διαμένοντι. τοιοῦτος δὲ καὶ ὁ ὕμνος. θάλλειν γὰρ ποιεῖ τὸν ὑμνούμενον καὶ εἰς μακροὺς διαμένειν χρόνους. [2]) Rec.

Μελιγάρυες] γλυκύφωνοι. Gl. γ.

5. Ὑστέρων] μεγίστων. Gl. γ.

Τέλλεται] ἀντὶ τοῦ τέλλονται οἱ ὕμνοι· ἑνικὸν ἀντὶ πληθυντικοῦ. [3]) Vet.

Σημείωσαι ἐνταῦθα τὸ τέλλεται. οὐδεὶς γὰρ οὔτε τῶν προγενεστέρων οὔτε τῶν ἔπειτα ἐν τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς ὀνόμασι τῷ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο ὥσπερ οὗτος. ἡμεῖς δὲ, εἰ καὶ μὴ ἐν ἄλλοις ταυτηνὶ τὴν παρανομίαν οὗτος ἐποίει, εἴποιμεν ἂν, πρὸς τὸ πιστὸν ὅρκιον ἀποδεδόσθαι τὸ τέλλεται οὕτως· οἱ μελιγάρυες ὕμνοι ἀρχαὶ καὶ προφάσεις τῶν ὑστέρων ὑπὲρ αὐτοῦ λόγων καὶ πιστὸν ὅρκιον τέλλεται ταῖς μεγάλαις αὐτοῦ ἀρεταῖς. Rec.

6. Καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς] σύνθημα, ὁμολόγημα. δύναταί τις ὀμόσαι νενικηκέναι τὸν Ἀγησίδαμον ἀκούων τοῦ ὕμνου. [4]) § Ἄλλως. ἀντὶ τοῦ οἱ ὕμνοι. οὐ γὰρ ἀπολείπουσιν αὐτοὺς οὐδέποτε συμπαρόντες, ἀλλ' ἀεὶ μνείαν αὐτοῖς πορίζουσιν. § καὶ τὸ μέγιστον, ὅτι ἀλλότριος τῶν διὰ φθόνον ἐπιβουλευόντων ὁ ὕμνος ἐστίν. εἰκόνα μὲν γὰρ καὶ ἄγαλμα καθέλοι ἄν τις διὰ φθόνον, ὕμνον δὲ ῥηθέντα οὐκ ἄν τις ἀφανίσειεν. Vet.

7. Ἀφθόνητος] πολυφθόνητος. Gl. γ.

1) Sic Vrat. A. Vulgo contra usum sermonis μνημονεύονται. 2) Hoc scholium et recentia ad vss. 5. 8. absunt a Cygn. et videntur Moschopuli esse aut Triclinii. 3) Vrat. A. 4) Vrat. A.

Digitized by Google

8. Ἄγκειται] ἀνάκειται. Cygn.

Οὗτος ἄγκειται] ἤγουν ὁ διὰ ὕμνων αἶνος. καὶ γὰρ οἱ τοῖς νικηφόροις παρὰ τῶν ἄλλων ἀνιστάμενοι ἀνδριάντες ἢ ὑπὸ χρόνου ἢ ὑπὸ βασκάνων τινῶν καθαιροῦνται· ὁ δὲ διὰ λόγων ὕμνος, ἔστ' ἂν ἄνθρωποι ὦσιν, ἀθάνατος μένει. Rec.

Τὰ μὲν ἁμετέρα γλῶσσα] ὕμνος ἀφθόνητός ἐστιν ἔπαινος, καὶ ἀνάκειται τοῖς Ὀλυμπιονίκαις. ταῦτα οὖν τὰ κατορθώματα καὶ τὰ ἐγκώμια τῶν ἐν Ὀλυμπίᾳ νενικηκότων καὶ ἡ ἡμετέρα γλῶσσα καὶ Μοῦσα περιέπειν καὶ ἀνυμνεῖν βούλεται. Vet.

Τὰ μὲν ἁμετέρα] τὰ μὲν, ἀντὶ τοῦ τὸ μὲν, ἤγουν τὸ τῶν ὕμνων, ἡ ἐμὴ γλῶσσα ἐθέλει ποιμαίνειν, ἀντὶ τοῦ διοικεῖν, οἰκονομεῖν. ἐκ βοηθείας δὲ θεοῦ πᾶς ἀνὴρ ἀνθεῖ ἐσαεὶ, ἀντὶ τοῦ λαμπρός ἐστιν, εὐδοκιμεῖ ἐπὶ σοφαῖς διανοίαις. γίνωσκε νῦν, ὦ Ἀγησίδαμε, παῖ τοῦ Ἀρχεστράτου, ὅτι ἕνεκα τῆς σῆς πυγμαχίας, τουτέστι τοῦ ἀγῶνος τῆς πυγμῆς, ἣν σὺ ἠγωνίσω, ὑμνήσω κόσμον, ἀντὶ τοῦ ὕμνον ἡδυμελῆ, τουτέστιν ἐξ ἡδέων μελῶν συγκείμενον, ἐπὶ τῷ στεφάνῳ τῆς ἐλαίας τῆς χρυσῆς, ἀντὶ τοῦ τῆς τιμίας, τῆς καλλίστης, ἀλέγων, ἤγουν ἐν φροντίδι ποιούμενος, τουτέστιν ὑμνῶν τὴν γενεὰν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων. Rec.

10. Ἐκ θεοῦ δ' ἀνήρ] κατὰ δὲ βούλησιν δαίμονος ἴσως καὶ αὐτῷ τῷ τρόπῳ σοφὸς διαπαντὸς ἀνθεῖ ταῖς γνώμαις. ἀπὸ γὰρ θείας μοίρας μουσικός τις καὶ ἔξοχος λάμπει, ὁμοίως ὥσπερ καὶ σὺ νενίκηκας. τοῦτο δὲ πρὸς τὰ ἴδια ἐγκώμια κατασκευάζει, λέγων ἑαυτὸν διαπαντὸς σοφῶς φράζειν. § καὶ ἡμεῖς, φησὶ, καὶ οἱ ὕμνοι καὶ οἱ ἐγκωμιάζοντες τῆς τῶν θεῶν ἐπινοίας δεόμεθα. [1]) Vet.

Θεοῦ] δυνάμεως. Gl. γ.

11. Ἴσθι νῦν Ἀρχεστράτου παῖ] ἴσθι δὴ οὖν καὶ γίνωσκε, ὦ Ἀγησίδαμε, ὅτι τῆς σῆς πυγμῆς ἕνεκεν τὸν κόσμον τὸν διὰ τοῦ στεφάνου κελαδήσω. λέγει δὲ, τὸν ὕμνον ἀναβοήσω τῆς καλλιστεφάνου ἐλαίας. Vet.

13. Κόσμον] ᾠδήν. Gl. γ.

Κόσμον ἐπὶ στεφάνῳ] λείπει τὸ δεξάμενον. [2]) § τὸν ὕμνον λέγει. παρεῖται δέ τι εἰς τὸ τοῦ λόγου πλῆρες. πληρωθείη δ' ἂν οὕτω· χρυσέας ἐλαίας σε κόσμον δεξάμενον κελαδήσω, τοὺς Ἐπιζεφυρίους φροντίδος ἀξιῶν Λοκροὺς διὰ σέ. § κελαδήσω δὲ τὸν κόσμον τῆς νίκης σου, τῶν Ἐπιζεφυρίων Λοκρῶν φροντίδα ποιούμενος καὶ μνήμην. γένη δὲ καὶ ἔθνη τῶν [3]) Λοκρῶν εἰσι τρία, Ἐπιζεφύριοι, Ὀζόλαι, Ἐπικνημίδιοι· τούτων οἱ μὲν Ἐπιζεφύριοί εἰσι Λοκροὶ ἐν τῇ Ἰταλίᾳ, οἱ δὲ Ὀζόλαι πρὸς τῇ Αἰτωλίᾳ, οἱ δ' Ἐπικνημίδιοι πρὸς τῇ Εὐβοίᾳ, ὅθεν ὁ Ὀϊλέως Αἴας ὑπῆρχε, καὶ τὴν ἐπωνυμίαν ἔσχε τὴν τοῦ Λοκροῦ. Vet.

15. Ἀλέγων] ἐν φροντίδι ἔχων, μεμνημένος, ἀνυμνῶν. [4]) § ἀλέγων· ὑμνῶν. καὶ Ἀλκαῖος· Οὐκ ἐγὼ λύκον ἐν Μούσαις ἀλέγω· παρὰ τὸ ἀλέγειν καὶ φροντίδα ποιεῖν. [5]) Vet.

Ἀλέγων] φροντίζων. Gl. β. φημίζων. Gl. γ.

16. Ἔνθα συγκωμάξατε] ἐν ταύτῃ οὖν τῇ Λοκρίδι τῶν Ἐπιζεφυρίων συγκω-

[1]) Vrat. A. [2]) Vrat. A. [3]) Sic Vrat. D. et partim Vrat. A. [4]) Vrat. D. [5]) Vrat. A. Alcaeus scripserat Μώσαις.

Digitized by Google

μάσατε καὶ συγχορεύσατε, ὦ Μοῦσαι· ἐγγυήσομαι δὲ ἀφίξεσθαι ὑμᾶς πρὸς στρατὸν μὴ ἄξενον, ἤτοι κακόξενον, μηδὲ καλῶν ἄπειρον, ἀλλὰ πάντων καλῶν πεπειραμένον. § ἐκεῖ δὲ συγχορεύσατε, ὦ Μοῦσαι. ἐγγυῶμαι γὰρ ὑμῖν, μηδαμῶς τὸν στρατὸν αὐτῶν ἢ τὸν δῆμον κακόξενον εἶναι καὶ μὴ χαίροντα μουσικῇ. [1]) Vet.

Ἔνθα συγκωμάξατε] ἔνθα, ἤγουν ἐν τοῖς Λοκροῖς, ὦ Μοῦσαι, συγκωμάσατε, τουτέστιν ὁμοῦ χορεύουσαι ὑμνήσατε, ἀπελθοῦσαι δηλονότι ἐκεῖσε. ἐγγυήσομαι, ἤτοι βεβαιώσομαι, μὴ εἰς στρατὸν φυγόξενον, ἤγουν διώκοντα τοὺς ξένους, τουτέστιν ἄξενον, αὐτὸν τὸν τῶν Λοκρῶν δηλονότι, ἀφίξεσθαι, ἤγουν παραγενήσεσθαι, ἀπελεύσεσθαι ὑμᾶς, μηδὲ ἀπείρατον, ἤτοι ἀδόκιμον, ἀμέτοχον καλῶν, ἔργων δηλονότι· εἰς ἀκρόσοφον δὲ, τουτέστιν ἄκρως σοφὸν στρατὸν βεβαιῶ ἀπελθεῖν ὑμᾶς, καὶ αἰχμητὴν, ἤγουν αἰχμὴν εἰδότα μεταχειρίζεσθαι, ἤγουν πολεμιστήν. τὸ γὰρ ἔμφυες ἦθος, τὸν ἔμφυτον τρόπον, ἤτοι τὸν φυσικὸν, οὔτε ἡ ἀλώπηξ ἡ αἴθων, ἤγουν ἡ διάπυρος, ἡ τοὺς τρόπους δραστηρία, οὔτε οἱ λέοντες οἱ μεγαλόηχοι διαλλάξαιτο, ἤγουν διαλλάξουσι, μεταβαλοῦσιν. § ἀποροῦσιν ἐνταῦθα, πῶς πρὸς τὸ φυγόξενον καὶ τὸ ἀπείρατον στερήσεις ἔθηκεν, εἰς δὲ τὸ ἀκρόσοφον καὶ τὸ αἰχμητὰν οὔ. καί φαμεν ὅτι ὃν τρόπον ἔχει τὸ, οὔτε τόδε καὶ τόδε, οὕτω καὶ ἐνταῦθα· ἐγγυάσομαι καὶ ὑποσχεθῶ ἀφίξεσθαι καὶ ἐλθεῖν ὑμᾶς εἰς στρατόν μιν καὶ αὐτὸν, τὸν τῶν Λοκρῶν δηλονότι, οὐκ εἰς φυγόξενον οὐδὲ καλῶν ἀπείρατον, εἰς ἀκρόσοφον δὲ καὶ αἰχμητήν. [2]) Rec.

17. Φυγόξενον] ἄφιλον. Gl. β. μισόξενον. Gl. γ. διώκοντα τοὺς ξένους. Cygn.

Φυγόξενον] φυγαδεύοντα τοὺς ξένους, κακόξενον. Vet.

19. Ἀκρόσοφον] τὸν εἰς ἄκρον ἐληλυθότα σοφίας. Vet.

Τὸ γὰρ ἔμφυες οὔτ' αἴθων ἀλώπηξ] τὸ γὰρ ἦθος τὸ ἐκ τῆς φύσεως οὐκ ἂν μεταβάλοι οὔτε ἡ δολία ἀλώπηξ οὔτε οἱ φοβεροὶ λέοντες. τοῦτο δὲ ὡς φύσει ὄντας αὐτοὺς πρὸς ἀρετὴν ἐπιτηδείους, καὶ οὐχ οἱόντε μεταβληθῆναι. διὰ τοῦτο οὖν, φησὶ, καὶ ἐγγυῶμαι αὐτούς. § Ἄλλως. τούτοις ὑπακουστέον, ὅτι οὐδὲ οἱ Λοκροὶ τὸ συγγενικὸν μετέβαλον, ἀλλ' ὡς ἀπ' ἀρχῆς αἰχμηταὶ, τῶν προδεδηλωμένων ἀρετῶν μετέχοντες ἐκ φύσεως. ὥσπερ οὖν ὁ λέων οὐ μεταβάλλει τὸ γενναῖον οὐδὲ ἡ ἀλώπηξ τὸ σοφὸν, οὕτως οὐδὲ οἱ Λοκροὶ τὸ ἔμφυτον ἦθος μεταβάλλονται. Vet.

20. Αἴθων] καυστική. Gl. β. κοκκίνη. Gl. γ.

Αἴθων ἀλώπηξ] διάπυρος, δολία τῇ διανοίᾳ· ἡ αἴθων παρόσον λαμπουρὶς καλεῖται ἡ ἀλώπηξ. § πανοῦργον ζῶον ἡ ἀλώπηξ, ὁ δὲ λέων δυναμικώτερος. ἀλλ' οὐκ ἀλλάξει τὸ ἦθος τὸ ἔμφυτον. [3]) Vet.

21. Ἐρίβρομοι] μεγαλόφωνοι. Gl. γ.

1) Vrat. A. qui ἡμῖν. 2) Abest hoc scholium a Cygn. Mosc. B. est in Vrat. C. 3) Vrat. A.

Digitized by Google

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ΙΑ' (Γ).

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντεστροφῆς τοῦ δεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ δεκάτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφος κώλων η'. Τὸ α' Ἀσκληπιάδειον ἀντισπαστικὸν ἀκατάληκτον, τοῦ πρώτου ἀντισπάστου ἀπὸ διβραχέος ἀρξαμένου. Τὸ β' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἀρξάμενον ἀπὸ ἰαμβικοῦ [1]) καὶ λῆγον εἰς ἴαμβον. Τὸ γ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, ὁ τρίτος δάκτυλος πανταχοῦ. Τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, διῃρημένου τοῦ πρώτου ποδός. Τὸ ε' καταληκτικὸν πενθημιμερὲς, ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὅ ἐστι Φερεκράτειον παρὰ συλλαβήν. Τὸ ζ' ἐπιωνικὸν τρίμετρον καταληκτικόν· ἡ πρώτη συζυγία Ἰωνικὴ, ἡ δευτέρα ἰαμβικὴ, εἶτα τροχαῖος οἰκεῖος τῇ Ἰωνικῇ, καὶ συλλαβή. Τὸ η' Γλυκώνειον, ὅπερ ἔλυσεν ἐν τῷ Πέφνε Κτέατον ἀμύμονα, [2]) ἐννεασύλλαβον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων θ'. Τὸ α' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἡ πρώτη συζυγία ἰαμβική ἐστι, τοῦ δευτέρου ποδὸς ἀναλυομένου, εἶτα χορίαμβος, εἶτα ποὺς ἁπλοῦς. Τὸ β' προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ πρῶτος τροχαῖος, τοῦ ἑνὸς [3]) ποδὸς λελυμένου, εἶτα Ἰωνικὸς ἀπὸ μείζονος, εἶτα χορίαμβος. Τὸ γ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον λελυμένον. Τὸ δ' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικῆς συζυγίας λελυμένον. Τὸ ε' Ἰωνικὸν τετράμετρον καταληκτικὸν, τοῦ τρίτου παίωνος ἀντὶ τοῦ ἀπ' ἐλάσσονος κειμένου, καὶ τροχαίου καὶ συλλαβῆς. Τὸ ς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. [4]) Τὸ ζ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ Ἰωνικοῦ τοῦ ἀπὸ μείζονος, χοριάμβου [5]) καὶ ποδὸς ἡμίσεος. Τὸ η' ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ δεύτερος ποὺς ἀνάπαιστος, ὁ τέταρτος τρίβραχυς. Τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς συζυγίας.

1) Sic Vrat. D. Pal. C. item codex Trichae ἐκ παλαιοῦ βιβλίου, qui praeter paucas varietates hoc ipsum vulgare scholium exhibet. 2) Vs. 33. vulg. 3) Sic Vrat. D. Pal. C. 4) Delevi verba ἐξ Ἰωνικοῦ uncis inclusa a Beckio et Heynio. Absunt enim a Vrat. D. Pal. C. Codex Trichae et haec et τρίμετρον βραχυκατάληκτον omittit. 5) Hanc vocem addidi sine libro.

Digitized by Google

Aliud e Vrat. A.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ι' εἴδους. ἔστι δὲ στροφῶν ε'.

Τοῦ δεκάτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη η'. Τὸ πρῶτον ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀσκληπιάδειον ἀπὸ τοῦ [1]) εὑρόντος ἢ καταχρησαμένου αὐτῷ. σύγκειται δὲ ἐκ δύο ἀντισπάστων καὶ δύο ἰάμβων, ἀλλ' ὁ πρῶτος ἀντίσπαστος οὐκ ἔστι καθαρός· τρέπεται γὰρ εἰς τὰ εἰρημένα τοῦ δισυλλάβου σχήματα, καὶ ἔστιν ἐνταῦθα παίων τρίτος. Τὸ δεύτερον χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἀρξάμενον ἐξ ἰαμβικῆς συζυγίας καὶ καταλῆξαν εἰς ἴαμβον. Τὸ γ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον τὸν τρίτον ἔχον πόδα δάκτυλον. Τὸ δ' τροχαϊκὸν, τοῦ πρώτου καὶ τρίτου ποδὸς διαλελυμένου εἰς τρίβραχυν. Τὸ ε' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου, ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον σπονδείου ἀρχομένου. Τὸ ς' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον ἤτοι ἡμιόλιον· οἱ δέ φασι Φερεκράτειον ἐνδέον μιᾷ συλλαβῇ. Τὸ ζ' Ἰωνικὸν τρίμετρον καταληκτικόν. ἡ πρώτη Ἰωνικὴ, ἡ β' ἰαμβικὴ καὶ ἡ γ' τροχαϊκή. Τὸ η' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον. διέλυσε δὲ τὸν ἀντίσπαστον εἰς τὸ Πέφνε Κτέατον ἀμύμονα, ποιήσας τὸ κῶλον ἐννεασύλλαβον. Ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων θ'. Τὸ α' χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἡ πρώτη συζυγία ἰαμβικὴ, τοῦ δευτέρου ποδὸς διαλελυμένου εἰς τρίβραχυν, εἶτα χοριαμβος, εἶτα ποὺς ἁπλοῦς. Τὸ δεύτερον προσοδιακὸν τρίμετρον ἀκατάληκτον. ἡ πρώτη συζυγία τροχαϊκὴ, τοῦ πρώτου τροχαίου διαλυομένου εἰς τρίβραχυν, εἶτα Ἰωνικὸς [2]) ἀπὸ μείζονος, εἶτα χοριαμβος. Τὸ τρίτον ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τινὰς [3]) τῶν ποδῶν ἔχον λελυμένους. ἐμοὶ δὲ δοκεῖ Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικὸν, τὸν δεύτερον ἔχον πόδα πεντασύλλαβον, ἤτοι ἰαμβικὴν συζυγίαν διαλελυμένου τοῦ δευτέρου ποδὸς, τὴν δὲ τρίτην Ἰωνικὴν καταληκτικήν. Τὸ δ' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, τῆς πρώτης συζυγίας ἰαμβικῆς λελυμένης εἰς ἴαμβον καὶ ἀνάπαιστον, τῶν δ' ἄλλων Ἰωνικῶν. Τὸ ε' Ἰωνικὸν τετράμετρον καταληκτικὸν, τοῦ τρίτου παίωνος ἀντὶ Ἰωνικοῦ κειμένου τοῦ ἀπ' ἐλάσσονος, εἶτα Ἰωνικῶν, [4]) καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ ς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰάμβων καὶ ἀναπαίστων. ἐμοὶ δὲ δοκεῖ ὡς ἰαμβέλεγός ἐστι τοῦτο τὸ [5]) κῶλον· ἐκ γὰρ δύο ἰάμβων καὶ συλλαβῆς καὶ ἐκ δύο δακτύλων καὶ συλλαβῶν σύγκειται. εἰ δ' ἔν τισι τῶν κώλων καὶ τρίβραχυς εὕρηται, ἀλλ' οὐκ ἔστι τρίμετρον, ἀλλὰ δάκτυλος· κοινὴ γὰρ συλλαβὴ τὰ τέλη τῶν λέξεων ἐν τῷ δακτυλικῷ [6]) λελόγισται. Τὸ ζ' προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ Ἰωνικοῦ [7])

1) Addidi ἀπὸ τοῦ. 2) Codex εἰς τρι . . . . . Ἰωνικόν. 3) Codex . . του τινάς. 4) Codex Ἰω . . . 5) Codex ἔστι τὸ . . . κῶλον. 6) Codex δακτ . . . . 7) Codex ἰαμβικοῦ.

Digitized by Google

ἀπὸ μείζονος, χοριάμβου καὶ ἡμίσεος ποδὸς ἀδιαφόρου. Τὸ η' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ὁ β' ποὺς ἀνάπαιστος, ὁ δὲ τέταρτος τρίβραχυς. Τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαϊκῆς εἰς Ἰωνικὴν συζυγίαν. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα.

Ἀγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ.] Ἔθνη Λοκρῶν εἰσι τρία· Ἐπιζεφύριοι πρὸς τῇ Ἰταλίᾳ, Ὀζόλαι πρὸς τῇ Αἰτωλίᾳ, Ἐπικνημίδιοι πρὸς τῇ Εὐβοίᾳ. ἐνίκησε δὲ οὗτος ὁ Ἀγησίδαμος τὴν ἑβδομηκοστὴν τετάρτην Ὀλυμπιάδα. § οὗτος ἐνίκησεν ἕκτην καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα. [1]) Vet.

1. Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι] ὁ λόγος πρὸς τὰς Μούσας, ἢ πρὸς τοὺς τοῦ χοροῦ. [2]) § ἔοικεν ὁ Πίνδαρος πρὸ πολλοῦ συνθέμενος γράφειν αὐτῷ τὸν ἐπίνικον ἐν λήθῃ γενέσθαι, [3]) αὖθις δ' ἀποδοὺς αὐτῷ σὺν τόκοις ὥςπερ τι χρέος παλαιὸν διαλύσασθαι, προςθεὶς ἕτερόν τι ᾠδάριον. τὸ δὲ ἑξῆς· ἀνάγνωτέ μοι, ἀντὶ τοῦ ἀναμνημονεύσατε καὶ ἀναγνωρίσατε, ὦ Μοῦσαι, ἐν ᾧ χωρίῳ τῆς φρενός μού ἐστιν ὁ Ἀγησίδαμος. ὡς δὲ προδιαθέμενος ἤδη τὸν ἐπίνικον νῦν ἀναμνήσεως δεῖν αὐτῷ φησι. καὶ Σοφοκλῆς ἐν Τριπτολέμῳ· [4]) Θὲς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους. ἔστι δὲ τροπικῶς ταῦτα. § Ἄλλως. ἀναγνωρίσατέ μοι καὶ εἰς μνήμην τὴν ἐμὴν ἀγάγετε τὸν Ὀλυμπιονίκην τὸν τοῦ Ἀρχεστράτου υἱὸν καὶ εἴπατε, ἐν ποίῳ μέρει μού τῆς διανοίας κεχάρακται. § τρία μέρη φασὶν εἶναι τῆς φρενὸς, λογιστικὸν, μνημονευτικὸν καὶ φανταστικὸν, καὶ τὸ μὲν λογιστικόν ἐστιν ἐν τῷ ἐγκεφάλῳ, τὸ δὲ φανταστικὸν ἐν τῷ μετώπῳ, τὸ δὲ μνημονευτικὸν μέσον τῶν δύο. ἔχουσι δὲ ἀμφότερα, τό τε λογιστικὸν καὶ φανταστικὸν ὥς τι ταμεῖον τὸ μνημονευτικὸν, καὶ ἐναποτιθεῖσιν ἐν αὐτῷ, ἅπερ ἐκεῖνο μὲν φαντάζεται, ἐκεῖνο δὲ, ἤγουν τὸ λογιστικὸν, λογίζεται. ἐκ δὲ τούτου, ἤγουν τοῦ μνημονευτικοῦ ἔχομεν μνημονεύειν, ἅπερ ἀνέγνωμεν καὶ ἅπερ ἐθεασάμεθα. διά τοι τοῦτο καὶ ὁ Πίνδαρος εἶπεν, ἀναγνωρίσατέ μοι, ὦ Μοῖσαι, ἐν ποίῳ μέρει τῆς φρενὸς γέγραπται, ἤγουν κεχάρακται ὁ παῖς τοῦ Ἀρχεστράτου, ἤγουν ὁ Ἀγησίδαμος. χρεωστῶν γὰρ αὐτῷ ὕμνον γλυκὺν, ὦ Μοῦσαι, ἐπελαθόμην μέχρι τοῦ παρόντος. § Ἄλλως. ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ προοιμίου ὁ Πίνδαρος δῆλός ἐστιν, ὅτι πρὸ πολλοῦ μὲν ἠξίωτο γράψαι, ὑπερθέμενος δὲ νῦν ὡς ἐξ ὑπομνήσεως ἀποδοῦναι βούλεται τὸν ὕμνον. § πόθι φρενός· ἐν ποίῳ μέρει τῆς ἐμῆς φρενὸς ἀπόκειται, διὰ τὸ μῆκος τοῦ χρόνου. γράφεται δὲ καὶ ἐγγέγραπται, οἱονεὶ ἐγκεχάρακται. [5]) Vet.

Ἔοικεν ὁ Πίνδαρος ἐκ πολλοῦ συνθέμενος γράψειν αὐτῷ τὸν ἐπινίκιον ὀλιγωρῆσαι διά τινα περιπέτειαν· νῦν οὖν ὥςπερ τι χρέος ἀποδίδωσιν αὐτῷ τὸν παρόντα ὕμνον. ἐπεὶ δὲ τὸ χρέος γεγονὸς χρόνιον ἀπαιτεῖ καὶ τόκον, προςτίθησι μετὰ ταῦτα καὶ ᾠδάριόν τι ὥςπερ τινὰ τόκον. τὸ δὲ ἀνάγνωτε οὐχ ὥς φασί τινες, ἀντὶ τοῦ ἀναγνωρίσατε, ἀλλ' ἐπειδὴ γέγραπται λέγει, διὰ τοῦτο ἀνάγνωτε εἶπε· τὰ δὲ γεγραμμένα ἀναγινώσκεται. φασὶ δέ τινες, ὅτι πρὸς τὰς Μούσας πάσας ποιεῖται τὸν λόγον· ἐγὼ δέ φημι πρὸς τὴν Μοῦσαν καὶ τὴν Ἀλήθειαν, εἰ καὶ ὕστερον ταύτας ἐπιβοᾶται. Rec.

1) Vrat. A. qui ἑβδόμην pro ἑβδομηκ. 2) Vrat. A. 3) Sic Pal. C. qui ex hoc scholio particulas quasdam decerptas habet. 4) Fragm. 8. Vrat. A. οὐδ' αἱ pro verbis θὲς δ' ἐν. 5) Vrat. D.

Digitized by Google

5. Ὦ Μοῖσα, ἀλλὰ σὺ καὶ θυγάτηρ] σὺ τοίνυν, ὦ Μοῦσα, καὶ σὺ τοῦ Διὸς θυγάτηρ Ἀλήθεια, ταῖς ἴσαις καὶ δικαίαις χεραὶν ἀποκωλύσατε καὶ ἀπείρξατε ἀπ' ἐμοῦ τὴν ἐπίπληξιν καὶ τὴν ἐπιτίμησιν, ἣν ἄν τις εἰς ἐμὲ ποιήσαιτο, ὡς εἰς τὸν ξένον μου καὶ φίλον ἡμαρτηκότα, ὅτι ἐψευσάμην καὶ ἐβράδυνα πληρῶσαι τὸν ὕμνον. ἀλιτόξενον οὖν ἐνιπὴν φησι τὴν διαμαρτάνουσαν εἰς τοὺς ξένους, ὅτι ξένου αὐτῷ ὄντος τοῦ Ἀρχεστράτου ψευσάμενος ἤλιτεν εἰς αὐτόν, ὅ ἐστιν ἥμαρτεν. § τὴν Ἀλήθειαν Διός φησι θυγατέρα εἶναι. ἐπὶ τούτῳ πρέπει ἀληθεύειν. Οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον. [1]) Vet.

Ὦ Μοῖσ', ἀλλὰ σύ] ἐπειδὴ ποιήσειν αὐτῷ εἰπὼν οὐκ ἐψεύσθη ἀλλ' ἐπελάθετο, διὰ τοῦτό φησιν· ὦ Μοῦσα καὶ ὦ Ἀλήθεια, ἀντὶ τοῦ ὦ λόγοι τῆς ἐμῆς ποιήσεως, ἀληθῶς ὡς ὑπεσχόμην, ἐπαινέσοντα αὐτὸν μὴ συγχωρήσητε ψευδομένου αἰτίαν λαβεῖν με. § τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι, ὦ παρόντες δηλονότι, ἤγουν ἀναγιόντες ὥςπερ ἐν βιβλίῳ γράμματα. εἰς μνήμην ἀγάγετέ μοι τὸν υἱὸν τοῦ Ἀρχεστράτου, τὸν Ἀγησίδαμον τὸν Ὀλυμπιονίκην, ἐν ποίῳ μέρει τῆς ἐμῆς μνήμης ἐστὶ γεγραμμένος, ἤτοι ἀποκείμενος. γλυκὺ γὰρ μέλος, ἀντὶ τοῦ ἡδὺν ὕμνον χρεωστῶν αὐτῷ ἐπελαθόμην. ἀλλ' ὦ Μοῦσα σὺ καὶ ἡ Ἀλήθεια ἡ θυγάτηρ τοῦ Διὸς ἐρύκετον, ἤγουν ἐρύκετε, κωλύετε, παύετε ὀρθῇ χερὶ, ἤγουν δικαίᾳ, ἀντὶ τοῦ κωλύετε διὰ τῆς χειρὸς δικαίως, τὴν ἐνιπὴν, ἤγουν τὴν ἐπιτίμησιν τῶν ἀνθρώπων τὴν ἕνεκα τῶν ψευδῶν, τὴν ἀλιτόξενον, τουτέστε τὴν ὀνείδη προσφέρουσαν ἡμῖν ἕνεκα τῆς εἰς τὸν φίλον ἁμαρτίας. ἔκαθεν γὰρ, ἤγουν πρὸ πολλοῦ χρόνου ἐπελθὼν, τουτέστι παραγενόμενος, ἐνστὰς ὁ μέλλων χρόνος, ἤτοι ὁ ἀποκείμενος, ὁ συμπεφωνημένος, τὸ ἐμὸν χρέος τὸ βαθὺ, τουτέστι τὸ πολὺ, κατήσχυνεν, ἤγουν ἤλεγξεν, ἐπονείδιστον ἔδειξεν. ὅμως δὲ δυνατός ἐστιν ὁ τόκος, ἤγουν ὁ ὕμνος ὁ ἐπὶ τῷ ὀφειλομένῳ ὕμνῳ προστεθησόμενος, λῦσαι τὴν ἐπιμομφὴν, τουτέστι τὴν πολλὴν μέμψιν τῶν ἀνθρώπων, τὴν ὀξεῖαν, ἤγουν τὴν ὀξέως κινουμένην, τουτέστι τὴν μετ' ὀργῆς καὶ ἀγανακτήσεως κινουμένην. Rec.

Θυγάτηρ] ποίησις. Gl. γ.

7. Εἴπερ ἐπιλέλησμαι Ἀγησιδάμου καὶ γέγονα ῥᾴθυμος καὶ ἀχάριστος. [2]) Schol. Bodl. γ.

8. Ἐνιπάν] τὴν φωνήν. Gl. γ.

Ἀλιτόξενον] τὴν τοὺς ξένους βλάπτουσαν· ὅτι καὶ οὗτος εἰς Ἀρχεστράτου υἱὸν ξένον ὄντα ἤλιτεν. [3]) Vet.

Ἀλιτόξενον] τὴν ὀνειδιστικὴν τῶν ἀνθρώπων, τὴν προφερομένην. Gl. γ. ἁμαρτάνουσαν εἰς τοὺς φίλους. Gl. β.

9. Ἔκαθεν] ἀπὸ μακρόθεν. Gl. γ.

Ὁ μέλλων χρόνος] ὁ προσδοκώμενος μετὰ τὴν ὑπόσχεσιν ἔσεσθαι, καθ' ὃν ἀποδίδωσι τὸν ἐπινίκιον ὁ μελλητικός. § ἢ οὕτως. ὁ γὰρ ἐκ πολλοῦ διαστήματος χρόνος παραγενόμενος· τουτέστιν ἀφ' οὗπερ ὑπεσχόμην, πρὸς τοῦτο ἔκαθεν· [4]) τὸ ἐμὸν χρέος

[1]) Iliad. α, 526. Ex Vrat. A. [2]) Εἴπερ p. ἤνπερ correxit Heynius. [3]) Vrat. A. qui βλέπουσαν et Ἀρχέστρατον omisso υἱόν. [4]) Haec inde a τουτέστιν parenthetica et a recentiore manu sunt. Omittit Vrat. A. in aliis libris locum mutant, ut fere plurima.

Digitized by Google

καταισχύνει, οἷον βαθὺ αὐτὸ καὶ πολὺ ποιήσει χρέος καὶ αὐξηθησόμενον τόκοις. § ἢ οὕτως. ὁ γὰρ ἐπιγενόμενος χρόνος μετὰ τὴν ὑπόσχεσιν πολὺς ὢν καταισχύνει τὸ ὄφλημα. διὰ δὲ τούτου σημαίνει, ὅτι πολὺς ὁ μεταξὺ χρόνος ἐγένετο, εἴπερ ὁ μέλλων χρόνος οὐκ ἐγγύθεν ἀλλὰ μακρόθεν ἐλήλυθεν, ἡνίκα μνησθεὶς ἐπετέλει τὴν ἐπαγγελίαν. § ὁ δὲ νοῦς· οὐδὲ γὰρ ὡρισμένως οὐδὲ καθὼς ὑπεσχόμην, ἀλλὰ πόῤῥω τῆς προθεσμίας ὁ τότε ὡρισμένος καὶ τότε μέλλων, ὁ προσδοκώμενος χρόνος αἰσχύνης ἀξίαν μηνύει μου τὴν ὑπόσχεσιν καὶ ὀφειλὴν βραδύνας. Vet.

Ὁ μέλλων χρόνος] τὸ μέλλων λέγει ὡς πρὸς τὸν καιρὸν, καθ' ὃν ὑπέσχετο ὑμνῆσαι. ὁ γὰρ μετ' αὐτὸν ἐπιὼν χρόνος ὡς πρὸς αὐτὸν μέλλων ἦν. Rec.

10. Βαθὺ χρέος] μέγιστον ὄφλημα. τὸν ὕμνον λέγει. Vet.

11. Ὅμως δέ γε λῦσαι δυνατός] ἠρεθισμένην τὴν τῶν θνητῶν ἔτι μορφὴν δυνατὸς ὁ τόκος ἐστὶ λῦσαι. ὀξεῖαν γὰρ τὴν ἠρεθισμένην, ἢ τὴν εἰεπίφορον. ὁ δὲ ὀφείλων ἀποδοὺς μετὰ τόκων ἄμεμπτος γίνεται. φιλοκερδεῖς γὰρ οἱ ἄνθρωποι. [1]) Vet.

12. Τόκος] ὄζος τοῦ ὕμνου τούτου. [2]) Bodl. γ.

13. Νῦν ψᾶφον ἑλισσομέναν] ἀλληγορικῶς ταῦτα λέγει. προσυπακουστέον δὲ ἔξωθεν τοιοῦτόν τι· ἴδωμεν, θεωρήσωμεν, μή ποτε κῦμα τὴν ψῆφον δινουμένην ἐπιῤῥέον κατακλύσῃ. τινὲς δὲ, πρὸς τὸ κατὰ τὸν ὕμνον νοούμενον πνεῦμα. παραβάλλει δὲ ἀλληγορῶν τῷ τῆς θαλάσσης ῥεύματι τὴν ἑαυτοῦ δύναμιν. ὡς γὰρ ψῆφον ἐπ' αἰγιαλὸν κυλινδουμένην ἐκβρασσόμενον τὸ κῦμα κατακλύζει, τὸν αὐτὸν τρόπον, φησὶ, κἀγὼ τὴν ἐπικυλιομένην καὶ ἐπιφερομένην μοι μέμψιν ἐκκλύσω καθάπερ ψῆφον. ῥεῦμα οὖν λέγει τῶν ὕμνων τὸ ῥεῦμα. [3]) § ἢ οὕτω· νῦν τὴν τῶν ἀνδρῶν μομφὴν ὥσπερ ψῆφον δινουμένην κατακλύσει τὸ τῶν ὕμνων ῥεῦμα ὡς κῦμα. § Ἄλλως. νῦν τὴν παρὰ τῶν ἀνθρώπων μέμψιν κατακλύσει ὁ ὕμνος ὡς ψῆφον κῦμα, [4]) ὅταν τὸν κοινὸν λόγον, τουτέστι τὸ ποίημα πρὸς χάριν ἀποτίσωμεν. λείπει γὰρ τὸ ὡς. § προσυπακουστέον δὲ τὸ ὡς, ἵν' ᾖ· ὡς ψῆφον ἑλισσομένην, οὕτω καὶ τὸ κῦμα κατακλύσει αὐτήν. [5]) § ἢ οὕτως. ὥσπερ τὸ κῦμα κατακλύζει τὴν ψῆφον, οὕτω καὶ τὸν ἐπίνικον ἀποδώσομεν. [6]) § ἰδίωμα δέ ἐστι Πινδάρῳ οὕτως ἐλλείπειν τὸ ὡς. [7]) § Ἄλλως. νῦν οὖν σκοπήσωμεν, ὅπως καθάπερ ψῆφόν τινα κυλιομένην τὸ τῆς θαλάσσης κῦμα περικλύζει καὶ ἵστησιν, οὕτω στήσωμεν τὸν παρὰ τῶν πολλῶν ψόγον· καὶ σκοπήσωμεν, ὅπως τὸν κοινὸν τοῦ παντὸς γένους καὶ πάσης τῆς πόλεως ἔπαινον προσφιλῶς καὶ κεχαρισμένως ἀποτίσωμεν. [8]) § Ἄλλως. νῦν σκοπήσωμεν, ὅπως τὸ ἡμέτερον κῦμα ῥέον, τουτέστιν ἡ ἡμετέρα ποίησις, κατακλύσει τὴν ἑλισσομένην ψῆφον, τουτέστι τὴν καθ' ἡμῶν ἑλισσομένην λοιδορίαν. Vet.

Νῦν ψᾶφον] νῦν σκοπήσωμεν δηλονότι, ὅπως τὸ κῦμα τὸ ῥέον κατακλύσει, ἤγουν κατακαλύψει, τὴν κυλιομένην παρὰ τῷ αἰγιαλῷ ψῆφον· συμβολικὸς [9]) ὁ λόγος, ἀντὶ τοῦ νῦν σκοπήσωμεν, ὅπως ἡ δύναμις τῶν ἡμετέρων λόγων ἀποκρύψει τὴν φερομένην καθ' ἡμῶν τῶν ἀνθρώπων μέμψιν, ὅπως τε κοινὸν ὕμνον πάσῃ τῇ πόλει δηλονότι ἀπο-

1) Ex Vrat. A. qui μορφὴν, et dein corruptissime: ὁ δὲ ὀφειλ. ἐπιδὼν τόκων ἄμεμπτος γί. 2) Huiusmodi aliquid in Bodl. γ. esse dicunt Oxonienses. Incerta igitur glossa. 3) Ultimum comma ex Vrat. A. 4) Ex Vrat. D. 5) Ex eodem. 6) Ex eodem. 7) Vrat. A. 8) Vrat. D. Post καθάπερ delevi λοιδορίαν. 9) Vett. edd. συμβουλευτικός.

Digitized by Google

δώσομεν εἰς χάριν ἀφορῶντα, ἤγουν δύναμιν ἐπαγωγὸν, φίλην, τουτέστι φιλουμένην. ἔχομεν δὲ δηλονότι εὐπορίαν λόγων· νέμει γὰρ, ἤγουν διοικεῖ τὴν πόλιν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων τὴν πατρίδα τοῦ Ἀγησιδάμου ἀτρέκεια, τουτέστιν ἀλήθεια, καὶ διὰ φροντίδος ἐστὶν αὐτοῖς, ἤγουν τοῖς Λοκροῖς, ἡ Καλλιόπη, τουτέστι καὶ ποιητικοί εἰσι, καὶ ὁ Ἄρης, ἤγουν ὁ πόλεμος, ὁ χαλκῷ, ἤτοι ὅπλοις ὠχυρωμένος, μέλει αὐτοῖς τοῖς Λοκροῖς, τουτέστι καὶ πολεμικοί εἰσιν. Rec.

Ἑλισσομέναν] κυλιομένην. Vet.

Ἑλισσομέναν] πληθυνομένην. Gl. γ.

14. Ὅπα κῦμα] οἱ μὲν ὅπου, οἱ δὲ ὅπερ. § τινὲς τὸ ὅπα ἀντὶ τοῦ ὡς νῦν παραλαμβάνουσιν. [1]) Vet.

15. Κοινὸν λόγον] ἕτεροι μὲν τὸν περὶ τῶν πολλῶν λόγον, οἱ δὲ τὸν ὕμνον ἤκουσαν, ἤτοι ὅτι πλείονες αὐτοῦ μεθέξουσι νικηφόροι ἢ ὅτι διὰ πολλῶν ἔσται στομάτων. § ὅπα· ὅπως τὸν ὕμνον ἀποτίσομεν προσφιλῶς τε καὶ κεχαρισμένως τῷ ἐγκωμιαζομένῳ. [2]) § Ἀρίσταρχος κοινὸν λόγον τὸν ὕμνον, οὗ πολλοὶ ἐπιθυμοῦσι. πολύκοινος γὰρ καὶ εὐεπίφορός ἐστιν εἰς τὸ λέγειν. πάγκοινον λόγον. [3]) Vet.

Τὸ κοινὸν λόγον ἀντὶ τοῦ πάγκοινον τοῖς μετιοῦσι νῦν τε καὶ ἐσύστερον. ἔχει δὲ τὸ ὅπα τὴν δύναμιν πρὸς τὸ τίσομεν ἐς φίλαν χάριν· τὸ δὲ κοινὸν λόγον ὕστερον λέγει. Rec.

Λόγον] τῆς παρούσης ᾠδῆς. Gl. γ.

17. Νέμει γὰρ ἀτρέκεια πόλιν Λοκρῶν] ἀντὶ τοῦ εὐνομεῖται· διὸ δεῖ χαρίζεσθαί με τὸν ὕμνον. ἢ νέμει, οἱονεὶ ἔχει νομὴν καὶ δίδωσι λαβὰς ἡ πόλις τῶν Λοκρῶν πρὸς τὸ ἐγκωμιάζειν. διὸ ἐπήνεγκε· μέλει τέ σφισι Καλλιόπα καὶ χάλκεος Ἄρης· καὶ γὰρ καὶ ἐν τῇ μουσικῇ διαφέρει κἀν τοῖς κατὰ πόλεμον· διὸ καὶ ἀφορμὰς δίδωσι τοῖς βουλομένοις. § ἢ οὕτω· νέμει γὰρ, ἀντὶ τοῦ νέμεται καὶ ἔστιν ἐν τῇ ἀληθείᾳ, τουτέστι μεθ' ἑαυτῆς ἔχει τὴν ἀλήθειαν ἡ τῶν Λοκρῶν πόλις. οὐ δεῖ οὖν, φησὶν, οὐδὲ ψεύδεσθαι. § τραχεῖα δὲ εἰκότως ἂν λέγοιτο, λοφώδης οὖσα καὶ ἐπιθαλασσίδιος. αὐτὸς γάρ φησιν· Οἵ τ' ἀργείλοφον πὰρ Ζεφυρίου [4]) κολώναν. καὶ ὃ βούλεται λέγειν, ἔστι τοιοῦτον· καίπερ τραχεῖα οὖσα εὐνομεῖται. διατί δὲ, φησὶν Ἀριστοτέλης. [5]) ἐπειδὴ γὰρ ἐχρῶντο τῷ θεῷ, πῶς ἂν πολλῆς ταραχῆς ἀπαλλαγεῖεν, ἐξέπεσεν αὐτοῖς χρησμὸς, ἑαυτοῖς νόμους τίθεσθαι, ὅτε καί τις ποιμὴν, ὄνομα δ' ἦν Ζάλευκος, πολλοὺς νόμους δυνηθείη τοῖς πολίταις εἰσενεγκεῖν δοκίμους. γνωσθείς τε καὶ ἐρωτηθεὶς, πόθεν εὕροι, ἔφησεν ἐνύπνιον αὐτῷ τὴν Ἀθηνᾶν παρίστασθαι. διὸ αὐτός τε ἠλευθέρωται καὶ νομοθέτης κατέστη. οὐκ ἀπὸ σκοποῦ δὲ μουσικοὺς εἶπε τοὺς Λοκρούς, ἀλλ' ὅτι ἐστί τις ἁρμονία Λοκριστὶ προσαγορευομένη, ἣν ξυναρμόσαι φασὶ Ξενόκριτον τὸν Λοκρόν. Καλ-

1) Vrat. A. 2) Sic Vrat. A. Vulgo κομιζομένῳ. 3) Vrat. A. Delevi δὲ post πάγκοινον. 4) Vrat. D. παντζεφύριον. Fortasse fuit πὰρ Ζεφύριον. Vulgo Ζεφύροιο: quod nunc in textu est, dedit Heynius, haud dubie ex Gott. Ceterum hoc scholium pertinet ad lectionem Νέμει γὰρ ἀ τραχεῖα πόλις, quae deinceps recurrit. 5) Quae sequuntur, sunt ex Aristotelis Λοκρῶν πολιτείᾳ, teste Clemente Alexandrino, ex quo haec excerpta leguntur in fragmentis Aristotelis: Χαμαιλέων ὁ Ἡρακλεώτης ἐν τῷ περὶ μέθης καὶ Ἀριστοτέλης ἐν τῇ Λοκρῶν πολιτείᾳ Ζάλευκον τὸν Λοκρὸν παρὰ τῆς Ἀθηνᾶς τοὺς νόμους λαμβάνειν ἀπομνημονεύουσιν.

Digitized by Google

λίμαχος· Ὃς Ἰταλὴν ἐφράσαθ' ἁρμονίην. [1]) § Ἄλλως. ἡ ἀτρέκεια νέμει τὴν πόλιν τῶν Λοκρῶν, ἀντὶ τοῦ ἐπαληθεύει ἡ τῶν Λοκρῶν πόλις· διὸ καὶ ἐμοὶ τὴν πρὸς αὐτοὺς ἀλήθειαν φυλακτέον ἐστὶ γράφοντι τὸν ἐπίνικον καὶ ἀποδιδόντι Ἀγησιδάμῳ. ὁ δὲ Δίδυμός φησιν ἔχειν λόγον καὶ τὴν ἡμετέραν γραφὴν, Νέμει γὰρ ἁ τραχεῖα πόλις Λοκρῶν. ἐπεὶ γὰρ περὶ χάριτός ἐστιν ὁ λόγος, φησίν· Ἀπονέμει γὰρ ἡ τραχεῖα πόλις τὴν χάριν. [2]) § τινὲς οὕτως· οἶδεν ἀντιχαρίζεσθαι ἡ τῶν Λοκρῶν πόλις. [3]) τὸ δὲ φίλαν ἐς χάριν, εἰς χάριν φησὶ τοῦ νενικηκότος, ἵν' ᾖ δῆλον, ὅτι καθαρεῖ καὶ ἀποτρίψει τὸ ὄφλημα. Vet.

Νέμει] κυβερνᾷ. Gl. γ.

Πόλιν Λοκρῶν] Λοκροὶ Ἐπιζεφύριοι, Λοκροὶ Ἐπικνημίδιοι, Λοκροὶ Ὀπούντιοι, Λοκροὶ Ὀζόλαι. τέσσαρα γὰρ γένη Λοκρῶν. § τὸ Καλλιόπη λέγει, ἢ ὅτι καὶ παρ' αὐτοῖς ἡ ποιητικὴ χάρις ἐσπουδάζετο, ἢ ὅτι νίκας ποιοῦντες τοὺς ποιητὰς εἰς ὕμνον ἐγείρουσιν. Rec.

18. Ἐπιζεφυρίων] τῶν Λοκρῶν τρισσά εἰσιν ἐν Ἑλλάδι ἔθνη, Ἐπικνημίδιοι καὶ Ὀζόλαι καὶ Ἐπιζεφύριοι· Ἐπικνημίδιοι μὲν οἱ μετὰ τοῦ Ὀϊλείου Αἴαντος εἰς Ἴλιον παραγενόμενοι, οἷς τὸ ὄνομα ἀπ' ὄρους Κνημῖδος, ὅπου κεῖνται· Ὀζόλαι δὲ ὑπέρκεινται, καὶ αὐτοὶ ἀπὸ τῶν φευγόντων Κενταύρων ἐκλήθησαν Ὀζόλαι· τρίτον δὲ Ἐπιζεφύριοι Ἰταλοὶ μίαν πόλιν καὶ οὐκ ἐθνηδὸν οἰκοῦντες, ἀπὸ δὲ ἄκρας ὑπερκειμένης Ἐπιζεφυρίας ἐκλήθησαν Ἐπιζεφύριοι· ὧν εἷς ἐστιν ὁ νενικηκώς. [4]) Vet.

Καλλιόπα] ἡ ποίησις. Gl. β.

19. Τράπε δὲ Κυκνεία μάχα] ἐτράπη δὲ καὶ ὑπεχώρησεν ἐν τῇ πρὸς τὸν Κύκνον μάχῃ ὁ μέγιστος Ἡρακλῆς παρορμήσαντος Ἄρεος τὸν Κύκνον. ἐμαχέσατο δὲ Ἡρακλῆς, ὅτι κακόξενος ἦν Κύκνος υἱὸς τοῦ Ἄρεος, καὶ ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν ἀπεκαρατόμει τοὺς παριόντας ξένους, ναὸν τῷ Ἄρει [5]) βουλόμενος ἐκ τῶν κεφαλῶν οἰκοδομῆσαι, καὶ αὐτῷ παριόντι ἐπιβουλεῦσαι ἠθέλησε. συστάσης οὖν αὐτοῖς μάχης ἔφυγε δείσας Ἡρακλῆς συμβαλλομένου Ἄρεος τῷ παιδὶ Κύκνῳ, ἀλλ' ὕστερον αὐτὸν μόνον γενόμενον ἐνίκησεν ὁ Ἡρακλῆς καὶ ἀπέκτεινε. Στησίχορος ἐν τῷ ἐπιγραφομένῳ Κύκνῳ ἱστορεῖ. [6]) τοιγάρτοι διὰ τὸ καὶ τὸν Ἀγησίδαμον ἀπολήγοντα [7]) ἤδη ὑπὸ Ἰολάου ἀλείπτου ἀνερρῶσθαι, εἰκότως ταῦτα ἐπηγάγετο· ἐχέτω οὖν, φησὶ, τῷ Ἰόλᾳ Ἀγησίδαμος χάριν, ὡς Ἀχιλλεῖ Πάτροκλος παρορμήσαντι εἰς τὸν πρὸς τοὺς βαρβάρους πόλε-

[1]) Haec inde ab ἀλλ' ὅτι ex Vrat. D. dedi pro vulgatis: Λοκρισία γάρ τις ἁρμ. ἐστὶν, ἣν ἀσκῆσαί φασι Ξ. τ. Λ. Codex προσαγορευόμενον et φησὶ Ξενοκράτην, deinde ἐφράσσατ'. De Xenocrito dixi in Commentariis de metris: Callimachum de Epizephyriis Locris egisse, patet etiam ex editis fragmentis. Hoc loco scribe ὅς τ' Ἰταλήν. [2]) Scholium hoc vulgo mancum et lacerum correxi et supplevi ex Vrat. A. qui etiam Didymi auctoritatem suppeditat. Codex ἔχει. In lemmate Vrat. A. habetur: Νέμει γὰρ ἁ τραχεῖα πόλιν; corrige πόλις. [3]) Vrat. A. addit: πρὸς ἐκδημίαν. διό φησι, Μέλει τέ σφι Καλλιόπα. Ceterum quidquid in scholiis ad vs. 17. novavi non monito lectore, est ex libris. [4]) Ex Vrat. A. ubi haec corruptissime habentur. Initio pro verbis τῶν Λοκρῶν τρ. legebatur: τῶν Ἐπιζεφυρίων τρισσοί: post ἔθνη erat τῶν κατοικούντων, quod delevi, et post Ὀζ. addidi καὶ Ἐπιζεφύριοι. Mox habet μετὰ τοῦ Ἰολέου Α. et οἳ τὸ ὄν. παρ' οὓς αἱ κνημῖδες τοῦ Αἰόλου Αἴαντος, ὅπου κεῖνται. Ἑλλάδα noster latiore sensu dicit, ut etiam τὴν ἐν Ἰταλίᾳ Ἑλλάδα complectatur: et Opuntios Locros Epicnemidiis annumerat, ut schol. vet. ad X, 13. et XI, init. [5]) Correxit Heynius. Vulgo Ἀπόλλωνι. [6]) Fragm. Stesich. Suchfort. p. 37. [7]) Heynius coniicit ἀπολείποντα: quo non opus.

Digitized by Google

μον. § διὰ τὸν Ἀγησίδαμον δὲ εἰκότως ἡ ἱστορία. οὗτος γὰρ καταλύειν ἤδη προηρημένος ὑπὸ τοῦ ἀλείπτου ἀνερρώσθη παραθήξαντος αὐτόν. [1]) § ἔοικε δὲ ὁ Ἀγησίδαμος ἡττῆσθαι πρῶτον, εἶτα ὕστερον ὑπὸ Ἰολάου παροξυνθεὶς νενικηκέναι. τῷ Ἰολάῳ, φησὶν οὖν, χάριν ἐχέτω ὁ Ἀγησίδαμος, ὥσπερ Ἀχιλλεῖ Πάτροκλος. [2]) § καὶ εἰ ἐνικήθης, μή σοι μελέτω. τράπε γὰρ, καὶ τὸ ἑξῆς. [3]) Vet.

Ἱστορία. Τράπε δὲ Κυκνεία. Κύκνος ὁ Ἄρεως υἱὸς ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν τοὺς παριόντας ἐκαρατόμει, βουλόμενος ἐκ τῶν κεφαλῶν Ἄρει νεὼν ἀνεγεῖραι. παριὼν οὖν καὶ Ἡρακλῆς καὶ ὑπὸ τούτου ἐπιβουλευθεὶς μάχην συνῆψεν αὐτῷ, βεβοηθηκότος δὲ Ἄρεως τῷ παιδὶ τραπεὶς ἀνεχώρησεν. ἀλλ' ὕστερον μόνον Κύκνον εὑρὼν ἀπέκτεινε. λέγει οὖν τὴν Ἡρακλέους τροπὴν εἰς παραμυθίαν Ἀγησιδάμου ὀκλάσαντος μὲν ἐν τῷ τῆς πυγμῆς ἀγῶνι καὶ τὸν ἀντίπαλον ἂν παρὰ μικρὸν νικῆσαι ποιήσαντος, εἰ μὴ ὁ ἀλείπτης αὐτοῦ Ὕλας ἰδὼν θάρσος ἐνέβαλε· διὸ καὶ ἐνίκησεν. § Τράπε δέ] ἤγουν εἰς φυγὴν ἐκίνησε καὶ τὸν Ἡρακλέα τὸν ὑπερβολικῶς ἰσχυρὸν ἡ μάχη ἡ Κυκνεία, ἤγουν ἡ τοῦ Κύκνου τοῦ υἱοῦ Ἄρεως, ἣν μετὰ τοῦ Κύκνου συνεκρότησεν ὁ Ἡρακλῆς. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Ἀγησίδαμος ὑπεστάλη ἐν αὐτῷ τῷ ἀγῶνι, εἶτα ὑπὸ τοῦ Ὕλα τοῦ ἀλείπτου ἀναρρωσθεὶς ἐνίκησε. διὸ ἐπάγει· τοὺς πύκτας δὲ ἐν τῇ Ὀλυμπιάδι νικῶν ὁ Ἀγησίδαμος τῷ Ὕλᾳ φερέτω χάριν, ἤγουν εὐχαριστίαν, ὥσπερ ὁ Πάτροκλος τῷ Ἀχιλλεῖ ἔφερε δηλονότι, ὅτε ἔτρεπε τοὺς Τρῶας μετὰ τῶν ὅπλων αὐτοῦ. παρορμήσας δ' ἂν ἀνὴρ σὺν παλάμῃ, ἤγουν σὺν βοηθείᾳ θεοῦ, ἄνδρα πρὸς ἀρετὴν, πρὸς πελώριον, τουτέστιν ὑψηλότατον, ὥρμησεν, ἀντὶ τοῦ ἀνεβίβασεν, ὕψωσε κλέος. ὀλίγοι δέ τινες, ἀντὶ τοῦ οὐδέ τινες ἔλαβον χαρὰν χωρὶς πόνων, λέγω φῶς τῷ βιότῳ, τουτέστι τῇ παρούσῃ ζωῇ, ἔργων πρὸ πάντων, ἀπὸ πάντων φημὶ τῶν ἔργων. Rec.

21. Ὕλᾳ φερέτω χάριν] οὕτω, φησὶ, τῷ Ἰόλᾳ χάριν ἐχέτω ὁ Ἀγησίδαμος ὁ πύκτης, ὥσπερ Πάτροκλος τῷ Ἀχιλλεῖ. τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς ἐκείνου. § Ἄλλως. ὡς Ἡρακλέα τραπέντα ἀνέρρωσεν ἡ Ἀθηνᾶ, οὕτω καὶ τὸν Ἀγησίδαμον ὁ Ἰόλας. § φερέτω οὖν χάριν, ἤτοι ἐχέτω χάριν τῷ Ὕλᾳ τῷ ἀλείπτῃ αὐτοῦ [4]) Ἀγησίδαμος πύκτης, ὡς Πάτροκλος τῷ Ἀχιλλεῖ· τοῖς γὰρ ὅπλοις ἠρίστευσε τοῖς αὐτοῦ. § ὁ γὰρ Ἀχιλλεὺς τοῖς ἰδίοις ὅπλοις κοσμήσας Πάτροκλον καὶ περιθαρσύνας ἔπεμψεν εἰς τὸν πόλεμον. [5]) Vet.

23. Φύντ' ἀρετᾷ] τὸν φύντα πρὸς ἀρετὴν σὺν θεοῦ παλάμᾳ παροξύνας τις πρὸς μέγα κλέος ὁρμῆσαι ποιήσειεν ἄν. [6]) Vet.

Τὸ ἀρετῇ ἢ πρὸς τὸ θήξας, ἵν' ᾖ, παρακινήσας ἐν ἀρετῇ, ἢ πρὸς τὸ ὁρμῆσαι, ἵν' ᾖ, ὁρμῆσαι ἐν ἀρετῇ πρὸς κλέος μέγα ἢ τῇ ἑαυτοῦ ἢ τῇ ἐκείνου. Rec.

24. Πελώριον] τὰ δύο μία ἐστὶ περίοδος ιζ' συλλαβῶν. [7]) Vet.

26. Ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες] οὗτος μὲν οὖν, φησὶ, μετὰ πόνου ἔλαβε τὴν νίκην. ὀλίγοι δέ τινές εἰσιν οἱ χωρὶς πόνου νικήσαντες. § ἢ οὕτως·

1) Vrat. A. in quo καὶ λύειν et προειρ. 2) Vrat. A. qui Ἀχιλλεὺς Πατρόκλῳ. 3) Ex Pal. C. sed addidi verba καὶ τὸ ἑξῆς ad supplendam sententiam. 4) Τῷ ἀλείπτῃ αὐτοῦ ex Pal. C. 5) Vrat. A. Iliad. π, 39 sqq. 6) Ἂν addidi de meo. 7) Notula eximia codicis Vrat. A. ex qua lucem accendi similibus Olymp. IX, 125. et 134. Auctor vult duos qui habebantur versus 24. 25. coniungi: Πελώριον ὁρμῶσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ, ut est ex nostra doctrina.

Digitized by Google

οὐδένες χωρὶς πόνου χαράν τινος ἔσχον ἔργου. ἢ οὐδένες πρὶν ἐνεργῆσαί τι νικῶσι. τὸ ὀλίγοι ἀντὶ τοῦ οὐδείς·

Ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. [1])

ἡ δὲ νίκη τῷ βίῳ αὐτῶν ἐστι φάος. § τὸ χάρμα τὸ ἀπὸ τῆς νίκης ἁπάντων ἐτῶν τοῦ βίου φάος εἴρηκεν. [2]) Vet.

28. Ἀγῶνα δ' ἐξαίρετον] ἐμὲ δὲ παρώρμησαν αἱ τοῦ Διὸς θέμιδες ὑμνῆσαι τοῦτον τὸν ἀγῶνα. θέμιδες δὲ Διὸς ὁ κατὰ θεσμὸν τῆς πενταετηρίδος πληρωθεὶς χρόνος. § ἢ οὕτως· ἐμὲ προτρέπουσιν αἱ Διὸς θέμιδες ᾄσαι τὸν ἀγῶνα τὸν ἐξαίρετον τοῦ Διὸς τοῦ ἐν Ὀλυμπίᾳ. § Ἄλλως. τὸ ἑξῆς· ἀγῶνα Διὸς θέμιτες ὦρσαν· ἐπεὶ μετὰ δικαιοσύνης ἀγωνίζονται· ἀντὶ τοῦ θέμιδες· Δωρικὴ δὲ ἡ κλίσις. Ὅμηρος· [3]) Θέμιστι δὲ καλλιπαρήῳ. § προτρέπουσί με ἀεῖσαι τὸν ἀγῶνα τὸν ἐξαίρετον τῶν Ὀλυμπίων. δηλονότι δικαίως ᾄδεται. [4]) Vet.

Ἀγῶνα δ' ἐξαίρετον] τὸν ἀγῶνα δὲ τὸν ἐξαίρετον, ἀντὶ τοῦ τὸ κατασκεύασμα τὸ ἐν Ὀλυμπίᾳ, ἔνθα ὁ ἀγὼν ἐτελεῖτο, ὑμνῆσαι ὦρσαν, ἤγουν διήγειραν ἐμέ, δηλονότι αἱ θέμιτες, ἤγουν αἱ νομοθεσίαι τοῦ Διός, αἱ κατὰ νόμους συνήθειαι. τοῦ Διὸς δὲ λέγει αὐτάς, ἐπειδὴ βασιλέα πάντων αὐτὸν ἐνόμιζε, βασιλέως δὲ τὸ νομοθετεῖν. ὅν, ἤγουν τὸν ἀγῶνα, ἡ ἰσχὺς τοῦ Ἡρακλέους, περιφραστικῶς ὁ Ἡρακλῆς, ἐκτίσατο, ἀντὶ τοῦ ἔκτισε, κατεσκεύασε, πλησίον τοῦ ἀρχαίου μνήματος τοῦ Πέλοπος· ἐπεὶ, ἤγουν ἀφ' οὗ τὸν Κτέατον τὸν ἀμύμονα, ἤτοι τὸν ἄψογον, ἐφόνευσε, τὸν υἱὸν τοῦ Ποσειδῶνος· ἐφόνευσε δὲ τὸν Εὔρυτον τὸν ἀδελφὸν αὐτοῦ, ἵνα πράσσοιτο, ἤγουν ἀπαιτοίη τὸν Αὐγείαν ἄκοντα ἑκὼν τὸν μισθὸν τὸν ὑπέρβιον, τὸν ὑπερβολικῶς πολὺν, ἀπὸ μεταφορᾶς τῶν ὑπερβολικῶν τὴν ἰσχὺν, τὸν λάτριον, τουτέστι τὸν ὑπὲρ τῆς δουλείας τῆς ἐξαιρέσεως τῆς κόπρου. συνεμάχουν γὰρ οὗτοι, ἤτοι ὁ Κτέατος καὶ ὁ Εὔρυτος, τῷ Αὐγείᾳ οὐ προθυμουμένῳ δοῦναι τῷ Ἡρακλεῖ τὸν συμπεφωνημένον μισθόν. ἦσαν δὲ οὗτοι μητρὸς μὲν τῆς Μολιόνης, ἀφ' ἧς καὶ Μολιονίδαι ἐλέγοντο, πατρὸς δὲ λόγῳ μὲν τοῦ Ἄκτορος αὐτοὺς ἔλεγον, τῇ δ' ἀληθείᾳ Ποσειδῶνος ἐνόμιζον. § Κτέατος καὶ Εὔρυτος Μολιόνης καὶ Ποσειδῶνος υἱοί. ὅτε δὲ Ἡρακλῆς μετὰ Τιρυνθίων κατ' Αὐγείου ἐστράτευσε, συμμαχοῦντες οὗτοι Αὐγείᾳ ἔν τινι τόπῳ τῆς Ἤλιδος λοχήσαντες τοῦ στρατοῦ τὸ πλεῖστον διέφθειραν, ἔπειθ' ὕστερον αὐτοὺς Ἡρακλῆς εἰς τὸν ἀγῶνα μέλλοντας ἀπιέναι λοχήσας καὶ αὐτὸς ἐν ταῖς λόχμαις τῶν Κλεωνῶν, τούτους ἀπέκτεινε. μονωθέντος οὖν Αὐγείου πρῶτον μὲν τὴν πόλιν αὐτοῦ πορθεῖ, ἔπειτα καὶ αὐτὸν ἀναιρεῖ. Rec.

29. Ὃν ἀρχαίῳ σάματι] τὸ μνῆμα τοῦ Πέλοπος τὸ αὐτὸ τῷ βωμῷ. οὐ γὰρ ἑτέρωθι μὲν ὁ Πέλοψ, ἑτέρωθι δὲ ὁ βωμὸς, ἀλλ' ἓν καὶ τὸ αὐτὸ χωρίον ἐστὶ σῆμα καὶ βωμός. ἑξάριθμον δὲ, ἐπεὶ τῶν δώδεκα θεῶν ἐξ βωμοὺς κατεσκεύασεν. § Ἄλλως. ὅντινα ἀγῶνα πλησίον τοῦ ἀρχαίου σήματος καὶ τάφου ἐξ βωμῶν ἀριθμὸν ἔχοντα [1]) ἱδρύσατο καὶ κατεσκεύασεν ὁ Ἡρακλῆς, ἡνίκα τοὺς τοῦ Ποσειδῶνος ἀνεῖλε παῖδας Κτέατον καὶ Εὔρυτον, ἵνα δυνηθῇ τῆς ὑπηρεσίας μισθὸν κομίσασθαι παρὰ τοῦ Αὐγείου πλεῖστον ὄντα, καὶ παρὰ ἄκοντος αὐτὸς ἑκών. § Βωμῶν ἑξάριθμον· ἐν τοῖς ἐξ βω-

1) Iliad. ε, 800. Supplevi hoc scholium e Vrat. A. 2) Vrat. A. 3) Iliad. ο, 87. 4) Vrat. A. 5) Delevi verba ἕκτον βωμὸν ab Heynio uncis inclusa.

Digitized by Google

μοῖς δώδεκα θεοῖς Ἡρακλῆς ἔθυεν, περὶ ὧν εἴπαμεν. [1]) ἐξ γὰρ βωμοὺς ἔκτισεν Ἡρακλῆς, ἡνίκα τοὺς Ποσειδῶνος παῖδας ἐφόνευσεν. [2]) § ἐλάτρευσε γὰρ αὐτῷ ὁ Ἡρακλῆς ἐκφορήσας τὴν ἐν τῇ αὐλῇ κόπρον. ὑπέρβιον δὲ, τὸν πολύν. ἀνεῖλεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς, ἵν' εἰςπράξηται τὸν Αὐγίαν. § Ἄλλως. Κτέατος καὶ Εὔρυτος ἀδελφοὶ, τῷ μὲν δοκεῖν Ἄκτορος καὶ Μολιόνης, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος καὶ Μολιόνης. οὗτοι δὲ συνεστρατεύσαντο Αὐγείᾳ, καὶ ἐπειδὴ εἰς τὸν μισθὸν τῆς ἐκχύσεως τῆς ὄνθου ἠδικεῖτο ὁ Ἡρακλῆς, ἀποκαθάρας μὲν τὴν κόπρον, ἀποστερούμενος δὲ τοῦ συμφωνηθέντος μισθοῦ, λοχήσας ἐν Κλεωναῖς τοῦ Ἄργους ὁ Ἡρακλῆς ἀνεῖλεν, ἵν' εὐαλώτερος αὐτῷ μονωθεὶς ὁ Αὐγείας γένηται. ἦν δὲ ὁ μισθὸς ἡ δεκάτη τῶν βοῶν· ἀνεῖλεν οὖν τοὺς Μολιονίδας ὁ Ἡρακλῆς, ἵν' εἰςπράξηται τὸν Αὐγείαν. λάτριον δὲ μισθὸν, τὸν ἀντὶ τῆς λατρείας καὶ ὑπηρεσίας. Vet.

30. Πάρ] σύναψον τὴν παρὰ μετὰ τοῦ ἀρχαίῳ σάματι. Schol. Bodl. β.

31. Βίη] δύναμις. Gl. β.

Οὕτως ἄμεινον γράφεσθαι· βίη Ἡρακλέος· οἱ γὰρ γράφοντες ἕτερον οὐκ ὀρθῶς γράφουσιν. Mosc. B.

34. Ὡς Αὐγέαν] τὸ ὡς ἀντὶ τοῦ ἕως. § τὸ ὡς ἀντὶ τοῦ ἵνα. [3]) Vet.

Ὡς πράσσοιτο] τὸ ὡς ἢ ἀντὶ τοῦ ἐπεὶ, ἵν' ᾖ τὸ πράσσοιτο ἀντὶ τοῦ ἔπρασσεν, ἢ ἀντὶ τοῦ ἵνα, ἵν' ᾖ πρὸς τὸν μέλλοντα. τὸ δὲ ὑπέρβιον πρὸς τὸν Αὐγείαν συναπτέον. Rec.

Λάτριον] τὸν ἐν τῇ λατρείᾳ γενόμενον. ἐλάτρευσε γὰρ τῷ Αὐγέᾳ ἐκβαλὼν τὴν ἐν τῇ αὐλῇ κόπρον. [4]) Vet.

Λάτριον] δεδουλευμένον. Gl. γ.

36. Λόχμαισι δὲ δοκεύσας] δασέσι τόποις. ὁ νοῦς· ἐπιτηρήσας γὰρ αὐτοὺς ἐν τοῖς συνδένδροις τόποις τῶν Κλεωνῶν ἀνεῖλεν ὁ Ἡρακλῆς ἐνεδρεύσας καὶ λοχήσας, διότι πρώην ποτὲ τὸ στράτευμα αὐτοῦ τὸ ἐκ τῶν Ἀργείων ἐν τῇ πόλει τῶν Ἠλείων καθεζόμενον ἐπολέμησαν αὐτοὶ οἱ ὑπερήφανοι παῖδες τῆς Μολιόνης. Vet.

Λόχμαισι δέ] ὁ δὲ ἀντὶ τοῦ γάρ. ἤγουν ἐν συνδένδροις γὰρ τόποις ὑποκάτω τῶν Κλεωνῶν, πόλις δὲ τοῦ Ἄργους αἱ Κλεωναὶ, ἐφόνευσε καὶ ἐκείνους ὁ Ἡρακλῆς, τουτέστι τὸν Κτέατον καὶ τὸν Εὔρυτον, ἐφόδῳ ἤγουν ἐνέδρᾳ, δοκεύσας καὶ ἐπιτηρήσας, διότι πρότερον αὐτοὶ οἱ Μολίονες οἱ ὑπερφίαλοι, ἤγουν οἱ ὑπερβολικῶς ὑπερήφανοι, στρατὸν Τιρύνθιον, ἤτοι Ἀργεῖον, καθήμενον ἐν ταῖς κοιλάσι τῆς Ἤλιδος ἐπόρθησαν, ἀντὶ τοῦ ἔφθειραν. Rec.

37. Ὑπὸ Κλεωνᾶν] Δωρικῶς, ὑπὸ Κλεωνῶν. ἔστι δὲ ὄνομα πόλεως Ἀργολικῆς. τινὲς δὲ, δῆμον Λακωνικόν. ἐδάμασε δὲ Εὔρυτον καὶ Κτέατον ἀποκτείνας αὐτοὺς πορευομένους ἐπὶ τὸν Ἰσθμιακὸν ἀγῶνα. § ἤτοι ἀπέκτεινεν αὐτούς· ἐφ' ὁδῷ δὲ, ἀντὶ τοῦ λόχῳ. καὶ Ὅμηρος· [5]) Ὁδὸν ἐλθέμεν, ἀντὶ τοῦ ἐνέδραν ἐλθεῖν. ἀπέκτεινε δὲ αὐτοὺς πορευομένους εἰς τὸν Ἰσθμιακὸν ἀγῶνα. τὸ δὲ, ὅτι πρόσθε ποτὲ, τὴν αἰτίαν ἀπο-

1) Ad Olymp. V, 10. 2) Ex Vrat. A. qui pro δωδ. θ. Ἡρακλῆς habet δέδωκε Ἡρακλεῖ, atque iterum Ἡρακλεῖ pro nominativo Ἡρακλῆς. 3) Vrat. D. 4) Vrat. A. 5) Addidi Ὅμηρος, ob praecedens καὶ, ex usu scholiastarum. Locus est Iliad. α, 151.

Digitized by Google

διδοὺς τοῦ γεγενημένου ὁ Πίνδαρός φησιν. § ἐφ' ὁδῷ, ἢ ὑφὲν ἐφόδῳ, ἀντὶ τοῦ τῇ ἐνέδρᾳ. [1]) Vet.

39. Ὅτι πρόσθε ποτὲ Τιρύνθιον] τουτέστιν ὅτι πολλοὺς συστρατεύσαντας αὐτῷ ἀπέκτειναν. οἱ δὲ ἀποθανόντες ἐν τῇ μάχῃ εἰσὶν οὗτοι· Τελαμών, Χαλκώδων καὶ Ἰφικλῆς ὁ πρεσβύτατος αὐτοῦ ἀδελφός. § Ἄλλως. Τιρύνθιον, ἀντὶ τοῦ Ἀργεῖον· Τίρυνς γὰρ πόλις Ἄργους. ὅτι δὲ ἐν τῷ πρὸς Αὐγείαν πολέμῳ ὁ Ἡρακλῆς ὑπὸ τῶν Μολιονιδῶν ἁλοὺς ἔφυγε, διὸ μηνίσας αὐτοῖς τὸν περὶ Κλεωνὰς συνεστήσατο λόχον, φησὶ Μνασέας ὁ Παταρεύς. § ὅτε Αὐγέᾳ ἐπολέμει Ἡρακλῆς διὰ τὸν μισθὸν τῆς κόπρου, εἶχε πολλοὺς συμμάχους Τιρυνθίους, οὓς οἱ Μολιονίδαι ἐφόνευσαν βοηθοῦντες Αὐγέᾳ. [2]) Vet.

42. Ὑπερφίαλοι] ἄδικοι. Gl. γ.

Καὶ μὰν ξεναπάτας βασιλεύς] ξεναπάτην αὐτόν φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην· ἀλλὰ μὴν καὶ ὁ περὶ τοὺς φίλους ἀπατηλὸς Αὐγείας, ὁ τῶν Ἠλείων βασιλεύς, ἐθεάσατο οὐ πολὺ ὕστερον τὴν ἑαυτοῦ πατρίδα εἰς πλῆθος κακῶν ἐμβαλλομένην, τοῦτο μὲν πυρί, τοῦτο δὲ σιδήρῳ, καὶ εἰς ῥεῦμα ἄτης ἐγκαθίσασαν. § οὐ μετὰ πολὺ τῆς ἰδίας ἀπάτης καὶ ἀδικίας. [3]) § Ἄλλως. μετ' οὐ πολὺν χρόνον Αὐγείας εἶδεν ἁλισκομένην τὴν πατρίδα. [4]) Vet.

Καὶ μὰν ξεναπάτας] καὶ μὴν ὁ βασιλεὺς τῶν Ἐπειῶν, ἤτοι τῶν Ἠλείων, ἤγουν ὁ Αὐγείας ὁ ξεναπάτας, τουτέστιν ὁ τοὺς φίλους ἀπατῶν, τοῦτο δέ φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην αὐτοῦ, ὄπισθεν, ἤγουν ὕστερον μετὰ ταῦτα, οὐκ ἐπὶ πολὺν χρόνον εἶδε τὴν πατρίδα, τὴν ἑαυτοῦ πόλιν τὴν πολυκτέανον, ἤτοι τὴν πολυκτήμονα, τὴν πολυθρέμμονα, ὑπὸ στερεοῦ πυρὸς, ἰσχυροῦ, δραστηρίου, καὶ ὑπὸ πληγῶν σιδήρου καθίζουσαν, ἀντὶ τοῦ καταδυομένην, εἰς βαθὺ ῥεῦμα βλάβης. Rec.

44. Πολυκτέανον] πλούσιον. Gl. γ.

45. Πλαγαῖς τε σιδήρου] διὰ τὸ κατασκάπτεσθαι ὑπὸ τῶν σκαφέων τὴν πορθουμένην πόλιν καὶ καίεσθαι. [5]) Vet.

46. Βαθὺν ἐς ὀχετὸν ἄτας] κατὰ περίφρασιν ἄτην, εἰς ῥεῦμα ἄτης ἐμπεσοῦσαν. ἵζοισαν δὲ, ἐπικαθημένην· τὴν πόλιν δὲ καλεῖσθαί φασι Φύκτεον [6]) ἀπό τινος Φυκτέως, οὗ μέμνηται καὶ Ἡσίοδος [7]) οὕτω·

Τὴν δ' Ἀμαρυγκείδης Ἱππόστρατος, ὄζος Ἄρηος,
Φυκτέος ἀγλαὸς υἱὸς, Ἐπειῶν ὄρχαμος ἀνδρῶν.

§ καθεζομένην εἰς τὸν βαθὺν ὀχετὸν τῆς ἄτης τῆς ἑαυτοῦ. [8]) § Ἄλλως. εἰς βάθος κακῶν. [9]) Vet.

Ἵζοισαν] καθημένην. Gl. γ.

47. Νεῖκος δὲ κρεσσόνων] ὅ ἐστι· τὸ τῶν κρεισσόνων νεῖκος οὐ ῥᾴδιον ἀποθέσθαι· ἐπὶ γὰρ τοῖς κρείττοσι κεῖται τὸ ὅταν θέλωσι πολεμεῖν. καὶ Ὅμηρος· [10])

1) Vrat. A. Transposui ἀντὶ τοῦ, quod erat post ὑφέν. 2) Vrat. A. qui ὅτι. 3) Vrat. A. praemisso ξειναπάτας. 4) Vrat. A. qui οὐ μετ' οὐ πολ. χρ. Ἀρίσταρχος εἶδεν. 5) Supplevi ex Vrat. A. 6) Vrat. D. Φυκτέαν. 7) Fragm. p. 444. Ruhnk. epist. crit. I, p. 111. Correxi Φυκτέος: vulgo Φυκτέως, Vrat. D. Φυκτεὺς omissis verbis ἀγλ. υἱ. Ἐπ. 8) Ex Vrat. A. 9) Indidem. 10) Iliad. α, 80.

Digitized by Google

Κρείσσων γὰρ βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ.

§ Ἄλλως. ἀδύνατον γάρ ἐστι τῷ ἥττονι τὸ τῶν ὑπερεχόντων κράτος ἐκκλῖναι. Vet.

Νεῖκος δέ] ὁ δὲ ἀντὶ τοῦ γάρ· ἤγουν τὴν φιλονεικίαν γὰρ τὴν πρὸς τοὺς ἐπικρατεστέρους κινηθεῖσαν ἀποθέσθαι, ἀντὶ τοῦ ἐκφυγεῖν ἐπιτιθεμένην δηλονότι καὶ βλάπτουσαν· ἡ ἀπόθεσις γὰρ ἐπὶ βάρους λέγεται· ἄπορον, ἤγουν ἀμήχανον, ἀδύνατον. καὶ ἐκεῖνος, ἤγουν ὁ Αὐγείας, δι' ἀβουλίαν, τουτέστι μωρίαν, ὕστατος, ἤγουν τελευταῖον περὶ τὸ τέλος τῆς ἁλώσεως, τουτέστι τῆς πορθήσεως τῆς ἑαυτοῦ πόλεως συναντήσας, ἤγουν συγκρούσας τῷ Ἡρακλεῖ δηλονότι, θάνατον χαλεπὸν οὐκ ἐξέφυγεν. Rec.

Κρεσσόνων] ἀνδρειοτέρων. Gl. γ.

Ἀποθέσθ' ἄπορον] ἀμήχανον. διὸ καὶ Αὐγείαν οὐχ οἷόντ' ἦν τὴν Ἡρακλέους μάχην ἀποφυγεῖν καὶ μὴ ὑπὸ τούτου τετιμωρῆσθαι. Rec.

48. Κἀκεῖνος ἀβουλίαις] ὁ γοῦν Αὐγείας διὰ τὴν οἰκείαν ἄνοιαν περὶ τὰ τελευταῖα τῆς ἁλώσεως περιτυχὼν τῷ Ἡρακλεῖ οὐκ ἠδυνήθη τὸν μέγιστον καὶ χαλεπώτατον θάνατον ἐκφυγεῖν. § ἀντὶ τοῦ ὕστατος τῆς ἁλώσεως ἀπέθανε· τουτέστι μετὰ τὸ ἁλῶναι τὴν πόλιν ἀπώλετο διὰ τὴν ἑαυτοῦ ἀβουλίαν. [1]) Vet.

49. Ἀντιάσας] περιτυχὼν τῷ Ἡρακλεῖ. Gl. Par. A.

51. Ὁ δ' ἄρ' ἐν Πίσᾳ ἕλσας] ἐν χωρίῳ τινὶ χωριζομένῳ τῆς Ὀλυμπίας κατὰ τὴν τῶν γεωγράφων [2]) βουλὴν σταδίους ς'. § ὁ δὲ νοῦς· ὁ δὲ δὴ τοῦ Διὸς ἰσχυρότατος υἱὸς Ἡρακλῆς, συναγαγὼν καὶ κατασχὼν ἐν τῇ Πίσᾳ, ἤτοι ἐν τῇ Ἤλιδι τὸν ὅλον αὐτοῦ στρατὸν καὶ τὴν πᾶσαν λεῖαν, οὕτω λοιπὸν κατεσκεύαζε τὸ θεῖον τοῦ Διὸς ἄλσος. § Ἄλλως. ἐν Πίσᾳ ἕλσας] συνδήσας, συγκλείσας, κατασχὼν, καθιδρύσας. Vet.

Ὁ δ' ἄρ' ἐν Πίσᾳ] ὁ δὲ υἱὸς τοῦ Διὸς ὁ ἰσχυρὸς, ἤγουν ὁ Ἡρακλῆς, ἐν τῇ Πίσᾳ ἕλσας, τουτέστι συναγαγὼν, κατασχὼν, ὅλον τε τὸν στρατὸν καὶ πᾶσαν τὴν λεῖαν, ἤγουν τὴν λαφυραγωγίαν, ἐσταθμᾶτο, ἀντὶ τοῦ κατεμέτρει χάριν τοῦ πατρὸς αὐτοῦ τοῦ μεγίστου, ἤγουν τοῦ Διὸς, ναὸν ἄγαν θεῖον, ἀντὶ τοῦ τόπον εἰς κατασκευὴν ναοῦ καταπολὺ

1) Vrat. A. 2) Vrat. D. τὴν Γεωγράφου. Coniicias legendum τὴν τοῦ Γεωγράφου, et Strabonem τὸν Γεωγράφον intelligi; sed si hoc statuas, locus expediri vix possit. Nam intervallum Olympiae et Pisae certo numero definitum apud Strabonem non reperio, qui VIII, p. 244. Olympiam ab Elide minus quam trecentis stadiis abesse dicit, sed nihil de Pisa. Quodsi censeas, apud nostrum scribendum esse χωριζομένῳ τῆς Ἤλιδος pro eo quod nunc est τῆς Ὀλυμπίας, nihilo magis hoc Strabonianum erit, quod Geographus tantum Olympiam, non Pisam trecentis fere ab Elide stadiis abesse dicit, Pisa autem an urbs fuerit, omnino dubitat. Vid. p. 245. 246. Accedit, quod ne semel quidem in scholiis Pindari Strabo memoratur. Iam vero si hoc loco de Pisae et Olympiae intervallo agitur, falsa omnino scriptura est σταδίους τριακοσίους vulgo recepta: igitur cum Heynio τριακοσίους sive τ' mutavi in ς' duce scholiaste ad vs. 55. nisi quis putet ex Vrat. A. ad illum versum utroque loco scribendum esse σταδίους τρεῖς: quod mihi quidem ob intervalli exiguitatem magnopere displicet. Ceterum quum verbis ὁ δὲ νοῦς novi fere scholii initium designari soleat, separavi a priori sequens scholium, in quo Pisa et Elis confunduntur: quod illi certe scholiastae imputari non potest, qui Pisam sex ab Olympia stadiis dissitam dicat. Nam Olympiam ab Elide longe distare, nemo ignorabat: de Pisa ambigebatur, quam alii eandem atque Elidem, alii quinquaginta ab Elide stadiis abesse dicebant, alii prope Olympiam fuisse intelligebant. Cf. schol. Olymp. I, 24. et ibi not.

Digitized by Google

θείου. περιπήξας δὲ, ἤγουν περιορίσας, περικυκλώσας, τὴν Ἄλτιν μὲν, τουτέστι τὸ ἱερὸν, οὗτος ὁ Ἡρακλῆς ἐν καθαρῷ τόπῳ δηλονότι διέκρινεν, ἤτοι διεχώρισε. τὸ δὲ κύκλῳ τῆς Ἄλτεως πέδον, ἤγουν χωρίον, ἐποίησε δείπνου κατάλυσιν, ἤγουν καταγωγὴν, ἀνάπαυσιν, τιμήσας τὸν πόρον τοῦ Ἀλφειοῦ, περιφραστικῶς ἀντὶ τοῦ τὸν Ἀλφειὸν, μετὰ τῶν δώδεκα θεῶν τῶν βασιλέων, καὶ πάγον, ἤγουν ὄρος Κρόνου, τουτέστι Κρόνιον λόφον προσεφθέγξατο, ἤτοι προσηγόρευσεν, ὠνόμασε πάντα τὸν τόπον δηλονότι. πρότερον γὰρ νώνυμνος, ἤτοι ἄδοξος, ἔξω ὕμνου, ἤτοι κλέους, προσηγορίας δηλονότι ἡ χώρα, ἧς ἐβασίλευεν ὁ Οἰνόμαος, ἐβρέχετο πολλῇ νιφάδι, τουτέστιν ἐκαλύπτετο τῇ σιωπῇ, ὥσπερ ὑπὸ πολλῆς καταφερομένης χιόνος. Rec.

52. Λεῖαν] αἰχμαλωσίαν. Gl. γ.

Λεῖαν γράφε καὶ μὴ λαΐαν διὰ τὸ μέτρον. Mosc. B.

53. Σταθμᾶτο] κατεμετρεῖτο, περιώριζε, περιεσκέπτετο, ἢ κατεσκεύαζεν. ἄλσος δὲ τὸ ἀνιερωμένον τῷ θεῷ γῆς μέρος, εἰ καὶ ψιλὸν εἴη φυτῶν. § σταθμᾶτο· περιεγράφετο, ἐσημειοῦτο, ἐχωρογράφει, ἐποίει. ἄλσος· ὁ σύμφυτος καὶ ἀνιερωμένος τῷ θεῷ τόπος. [1]) Vet.

Σταθμᾶτο] κατεμοίραζε. Gl. γ.

54. Περὶ δὲ πάξας] περιπήξας δὲ, φησὶν, ὁ Ἡρακλῆς κύκλῳ τὰ ὅπλα ἐσταθμᾶτο τῷ πατρὶ τῷ μεγίστῳ τὸ ἱερὸν, ἀντὶ τοῦ κατεβάλλετο. § Ἄλλως. Ἄλτιν τὸ ἄδυτον· κατὰ δέ τινας τὸν νεὼν, κατὰ δὲ ἐνίους ὄνομα χωρίου. γράφεται δὲ καὶ Ἄλιν, ἵν' ᾖ, τὴν μὲν Ἦλιν καθιέρωσε τῷ θεῷ, τὸν δὲ κύκλῳ τόπον αὐτῆς εἰς συμπόσιον ἐποίησεν. Vet.

55. Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ διέκρινε] τὴν μὲν Ἦλιν ἢ Ἄλτιν καθιέρωσε τῷ θεῷ, τὸ δὲ χωρίον τὸ κύκλῳ τοῦ ἱεροῦ καταλυτήριον ἔταξεν εἶναι τῶν ξένων τῶν ἀγωνιζομένων εἰς εὐωχίαν. τὸ δὲ ὅλον· περιπήξας δὲ καὶ περιφράξας τόπον τὸν μὲν ναὸν καὶ τὸ ἄδυτον αὐτὸ διεχώρισεν ἐν τῷ καθαρωτάτῳ μέρει ἀνὰ τὸ μεσαίτατον, τὸ δὲ εἰς κύκλον τῆς γῆς ἢ τοῦ νεὼ καταγώγιον ἐποίησε καὶ δειπνητήριον τῶν ξένων. § Ἄλλως. Ἀριστόδημος γράφει ἀντὶ τοῦ Ἄλιν Ἄλτιν· οὕτω γὰρ τὸν περὶ τὴν Ὀλυμπίαν τόπον καλεῖσθαι, καὶ τὸν Δία ἐξ ἐπιθέτου Ἄλτιον, μηδὲ λόγον ἔχειν, τὴν ὑπ' αὐτοῦ ἄρτι πεπορθημένην Ἦλιν ἱερὰν καὶ καθαρὰν ποιῆσαι, ἀλλὰ μηδὲ ἱερὸν εἶναι Διὸς ἐν Ἤλιδι, ἀλλ' ἐν Πίσῃ. ἀπῳκίσθαι [2]) δὲ τὴν Πίσαν τῆς Ὀλυμπίας σταδίους ἕξ. Δίδυμος δὲ κατὰ χώραν ἐῶν τὴν γραφὴν τὸν Πίνδαρον τὴν Πίσαν Ἦλιν λέγειν φησίν· οἱ γὰρ Ἠλεῖοι ὑφ' ἑαυτοὺς ποιησάμενοι τοὺς Πισάτας [3]) Ἦλιν τὴν Πίσαν μετωνόμασαν. εἰ οὖν ἡ Πίσα μετέβαλε, τί ἂν εἴη ἐμποδὼν γράφειν Ἄλιν; καὶ Καλλίμαχος [4]) δὲ τὴν Ἦλιν ἀντὶ τοῦ τὴν Πίσαν Διὸς οἰκίον εἶπεν·

Ἦλιν ἀνάσσεσθαι, Διὸς οἰκίον, ἔλλιπε Φυλεῖ.

ἱερὰν δὲ τὴν Ἦλιν, ἀντὶ τοῦ τὴν Πίσαν. καὶ τὸν ἐν Πίσῃ δὲ Δία Ἠλεῖον εἶπε Καλλίμαχος· [5]) Ἀλεῖος ὁ Ζεύς. § οἱ περὶ Ἀριστόδημον καὶ Λεπτίνην καὶ Διονύσιον [6]) γράφου-

[1]) Vrat. A. [2]) Sic Gott. Vrat. D. Vulgo ἀποκεῖσθαι. [3]) Vulgo Πισαιάτας: Vrat. D. Πισιάτας. [4]) Fragm. 189. [5]) Fragm. 99. Vrat. D. Ἄλιος. [6]) Intellige Phaselitam, cuius mentio ad Pyth. II, init. Nem. XI, init. ubi οἱ περὶ τὸν Φασηλίτην. Sed Λεπίνης, quod erat in codice,

Digitized by Google

σιν Ἄλτιν· μὴ γὰρ πρέπον ἐστὶ τὴν ἄρτι πεπορθημένην Ἦλιν ἱερὰν γενέσθαι τῷ Διΐ, καὶ λόγον ἔχει τὸ τοῦ Διὸς ἱερὸν ἱδρύσθαι ἐν Πίσῃ· οὐ γὰρ ἐν Ἤλιδι οἱ ἐρχόμενοι ἐπὶ τὴν πανήγυριν θοινῶνται, ἀλλὰ ἐν Πίσῃ. τὸ γὰρ ἐν κύκλῳ τοῦ ἱεροῦ καταγωγίοις διείληπτο. διῴκισται δὲ ἡ Πίσα τῆς Ὀλυμπίας γ' στάδια. Ἄλτιν οὖν γραπτέον· οὕτω γὰρ τὸν περὶ τὴν Ὀλυμπίαν τόπον ἐκάλουν. [1]) § Ἄλτιν, τὸ ἄδυτον τοῦ ναοῦ, ἀπὸ τοῦ ἅλλομαι τὸ πηδῶ, κατὰ ἀντίφρασιν, εἰς ὃν οὐδεὶς ἅλλεται ἢ εἰσέρχεται τῶν μὴ ἀξίων. [2]) Vet.

58. Τιμάσας πόρον Ἀλφεοῦ μετὰ δώδεκ' ἀνάκτων θεῶν] καὶ γὰρ αὐτὸς ἐγκαταριθμεῖται τοῖς ιβ' θεοῖς, ὁ δὲ ἐν Ὀλυμπίᾳ βωμὸς οὐ δύναται ἐξ ἄλλου ὕδατος γενέσθαι [3]) εἰ μὴ ἐκ τοῦ Ἀλφειοῦ. § Ἄλλως. Ἀλφειῷ εἰκότως ὡς ἐγχωρίῳ ἔθυσε ποταμῷ. καὶ γὰρ μετὰ τῶν δώδεκα θεῶν τιμᾶται. [4]) μετὰ δὲ τῶν δώδεκα θεῶν τοὺς βωμοὺς ἐποίησε. βωμοὺς γὰρ ἵδρυσε διδύμους ἓξ, ἐπωνόμασε δὲ τοῦτον τὸν τόπον πάγον Κρόνου. τοπρότερον γάρ, φησίν, οὐδεμίαν εἶχε προσηγορίαν, ἕως ἐβασίλευσεν ὁ Οἰνόμαος, ἀλλὰ κρημνὸς οὖσα καὶ ἀοίκητος ἐξέκειτο τοῖς πολλοῖς ὑετοῖς καὶ ὄμβροις. § Ἄλλως. τὸ βρέχετο ἀντὶ τοῦ κατεσιωπᾶτό φησι. συνήθως γὰρ τὸ βρέχεσθαι ἐπὶ τοῦ σιωπᾶσθαι τίθησι. καὶ ἀλλαχοῦ κεῖται· Μησὶ γὰρ βρεχέσθω. [5]) τινὲς δὲ οὕτως· ἐκρύπτετο νιφάδι, τῇ περὶ τὸν Οἰνόμαον ἀδοξίᾳ. [6]) § Ἄλλως. Τιμάσας πόρον Ἀλφεοῦ· τουτέστι πρῶτον τῷ Ἀλφειῷ ἔθυσεν ὡς ἐντοπίῳ θεῷ. Vet.

59. Μετὰ δώδεκ' ἀνάκτων] ἀντὶ τοῦ σὺν δώδεκα θεοῖς. Vet.

Καὶ πάγον Κρόνου] μετὰ ταῦτα, φησί, Κρόνιον πάγον προσηγόρευσεν ὄνομα οὐκ ἔχοντα πρότερον. [7]) Vet.

61. Ἅς Οἰνόμαος] ἀντὶ τοῦ ἕως· καὶ ἔστιν ἐπίρρημα χρονικόν. Vet.

Τινές φασιν, ὡς πρὸ τοῦ τὸ δωδεκάθεον τὸν Ἡρακλέα ποιῆσαι, Κρόνιος ἐκαλεῖτο λόφος διὰ τὸ Κρόνου ἱερὸν ἐνταυθοῖ εἶναι. ἄλλοι δὲ λέγουσι, μεθ' ὧν καὶ Πίνδαρος, ὡς ἔρημος ἦν ὁ χῶρος, Ἡρακλῆς δὲ τὸ δωδεκάθεον κτίσας Κρόνιον λόφον τὸν τόπον ὠνόμασεν ἀπὸ τοῦ ὑπερέχοντος. ὁ γὰρ Κρόνος πατὴρ τῶν θεῶν. § δέον εἰπεῖν νωνύμνως νώνυμνον εἶπε πρὸς τὸ μέρος, οὕτως· ἧς γὰρ χώρας Οἰνόμαος ἦρχε τοῦτο τὸ μέρος ἐν ᾧ νῦν ἡ Ὀλυμπία, ἐβρέχετο πρόσθεν ἐν πολλῇ νιφάδι νώνυμνον, ἤτοι ἀνώνυμον, ἀκλεές. εἰκότως δὲ εἶπε τὸ νιφάδι· λόφος γὰρ ἦν. ἔστι δὲ ἡ τοιαύτη γενικὴ τὸ ἧς πρὸς τὸ νώνυμνον, ἵν' ᾖ ἀκλεὲς καὶ ἄδοξον αὐτῆς. Rec.

62. Ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ] ἐν δὴ ταύτῃ τῇ πρώτῃ καταβολῇ τῶν

nomen non est: aut *Λεπρίνην*, aut quod mihi magis probatur, *Λεπτίνην* scribendum esse patet. Reposui posterius; et videtur is Leptines esse, ad quem Chrysippus de usu sermonis scripsit, ut narrat in Chrysippi vita Diogenes. [1]) Vrat. A. Codex omnibus locis *Πίσσ.* item *καταγωγαῖς διήλειπτο*, et inferius *Ἀλτί.* In fine addidi *τόπον*, ut est in scholiis vulgatis. *Γ' στάδια* non mutavi, quamquam mihi certum est $\overline{\Gamma}$ natum esse e sigla $\overline{\varsigma}$, hoc est ς'. Vide quae dixi Oeconom. Athen. T. II, p. 385. [2]) Ex Pal. C. [3]) Heynius coniicit *φαίνεσθαι*. [4]) Hoc comma addidi e Vrat. A. Post hoc est in Vrat. A. *σφόδρα δὲ αὐτὸν τιμῶσι Σάλμιοι, ἀντὶ τοῦ ἕως τοῦ ποταμοῦ γίνονται.* In voce *Σάλμιοι* putes latere *Σαλμωνεῖς* sive *Σαλμωνεῖτας*, qui tamen ab Alpheo remotiores sunt. Verba *ἀντὶ τοῦ ἕως* sunt ex scholio ad vs. 61. [5]) Fragm. inc. 170. Heynius coniicit *μή τι γάρ.* Vrat. A. sic: *καὶ ἀλλαχοῦ μὲν κεῖται βρέχεσθαι.* [6]) Vrat. D. *εὐδοξίᾳ.* [7]) Supplevi ex Vrat. A. et addidi de meo *ὄνομα.*

Digitized by Google

Ὀλυμπίων καὶ πρώτῃ τελουμένῃ ἑορτῇ παρεγένοντο μὲν αἱ Μοῖραι αἱ τίμιαι καὶ ὁ τὴν ἀλήθειαν πᾶσαν φανερῶν Χρόνος. τοῦτο δὲ εἶπεν ἐνδεικνύμενος, ὅτι εὐμοίρως καὶ πολυχρονίως ἡ πανήγυρις τελεσθήσεται. § Ἄλλως. ἐν ταύτῃ πρῶτον ἀγομένῃ τῇ ἑορτῇ τῶν Ὀλυμπίων παρέστησαν αἱ Μοῖραι καὶ ὁ Χρόνος τοῖς τόποις. παρείληφε δὲ τὰς Μοίρας καὶ τὸν Χρόνον, ὅτι εὔμοιρός τε ὁ ἀγὼν ἔσοιτο καὶ εἰς ἅπαντα τὸν αἰῶνα. [1]) Vet.

Ταύτᾳ δ' ἐν πρωτογόνῳ] ἐν ταύτῃ δὲ τῇ ἑορτῇ τῇ πρωτογόνῳ, ἤγουν τῇ πρώτῃ γενομένῃ, τουτέστι τῇ ἐν πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων, παρέστησαν μὲν, ἤγουν παραγενόμεναι ἔστησαν πλησίον αἱ Μοῖραι, παρέστη καὶ ὁ Χρόνος ὁ μόνος τὴν ἀλήθειαν ἀποδεικνύων φανερῶς. τὸ δὲ σαφὲς ἔμπροσθεν χωρῶν ἐφανέρωσεν, ἀντὶ τοῦ φανεροῖ, δηλοῖ. ταῦτα δέ φησι διὰ τὴν παρακολουθήσασαν τῷ ἀγῶνι εὐδαιμονίαν καὶ τοῦ κλέους βεβαίωσιν. τὰς Μοίρας εἶπε καὶ τὸν Χρόνον παραστῆναι τότε τῇ πανηγύρει, ἵνα εὐδαίμων εἴη καὶ μηδέποτε παύσαιτο. Rec.

67. Τὸ δὲ σαφανές] τὸ δὲ πρότερον ἀφανὲς [2]) ὂν προϊὼν ὁ χρόνος ἐνεφάνισε καὶ φανερὸν ἐποίησεν, ὅπου τὰ λάφυρα τοῦ πολέμου καὶ τὰ ἀπάργματα ἔθυσεν ὁ Ἡρακλῆς. § ἢ οὕτω· προϊὼν δὲ ὁ χρόνος τὸ σαφανὲς ἡμῖν κατέδειξεν, ὅπου τὴν τοῦ πολέμου δόσιν, τουτέστι τὰ ἀκροθίνια [3]) διαμερίσας τοῖς θεοῖς ἔθυσεν. § Ἄλλως. τὸ ἀφανὲς ἰὼν εἰς τὸ πρόσω ὁ χρόνος ἔκδηλον ἐποίησεν. ἕτεροι δὲ οὕτω σαφανές, ἵν' ἢ τὸ σαφὲς, ὑφὲν ἀναγινώσκουσιν, ὡς τὴν ἄνω διάνοιαν· τὸ δὲ ἀληθὲς ὂν καὶ σαφὲς ἀεὶ ὁ χρόνος φανεροῖ. τὸ δὲ, ὅπα τὰν πολέμου δόσιν, ἀντὶ τοῦ ὅπου καὶ ἐν ᾧ τόπῳ διανείμας τὰ λάφυρα λαβών τε τὰς ἀπαρχὰς ἔθυσε, καὶ ὅπως θαυμασίως τὴν τοῦ ἀγῶνος ἑορτὴν κατέστησεν ἐν τῇ πρώτῃ Ὀλυμπιάδι καὶ τοῖς ἀγωνίσμασι. πολέμου δὲ δόσιν τὰ λάφυρά φησιν· ὅπου τὴν λῆψιν τὴν ἐκ τοῦ πολέμου γενομένην διελὼν, φησὶ, τὰ ἀκροθίνια [4]) τοῖς θεοῖς ἔθυσεν. § διότι καὶ οὗτος ὁ χρόνος ἀποδέδωκε τὸν ὕμνον, ὃν εἶπεν. [5]) § Ἄλλως. τὸ δὲ πρότερον ἀσαφὲς κατάδηλον ἐποίησεν ὁ χρόνος, ὅπου Ἡρακλῆς διελὼν ἔθηκε τὰς ἀπαρχὰς τῶν σκύλων. [6]) § ὁ χρόνος, φησὶ, προϊὼν τὸν τόπον ἐδήλωσεν, ὅπου τὴν λείαν ἔθηκε κατὰ τὴν πρώτην Ὀλυμπιάδα. [7]) Vet.

Τὸ δὲ σαφανές] τοῦ σαφανές ἐστι μεθερμηνευτικὸν τὸ ὅπα. τὸ δὲ ἀκρόθινα πρὸς τὸ ἔθυον συναπτέον, ἵν' ἢ τὸ διελὼν πρὸς τὴν τοῦ πολέμου δόσιν. Rec.

Ἰών] πορευόμενος. Gl. γ.

68. Ὅπα τὰν πολέμου δὲ δόσιν] ὁπηνίκα δὲ τὴν δωρεὰν τοῦ πολέμου ὁ Ἡρακλῆς δηλονότι, διαχωρίσας τὰ ἀκρόθινα, ἤγουν τὰ ἐξαίρετα ἔθυε, καὶ εὐθὺς τὴν πενταετηρίδα ἑορτὴν, ἤγουν τὴν διὰ πέντε ἐτῶν τελουμένην κατέστησεν, ἤτοι ἔταξε, τελεῖσθαι ἐποίησεν ἐν Ὀλυμπιάδι πρώτῃ, τουτέστιν ἐν τῇ πρώτῃ ἑορτῇ καὶ ἐν ταῖς πρώταις δηλονότι νικηφορίαις ἢ νίκαις· τίς δὴ ἐκληρώσατο στέφανον ποταίνιον, ἤγουν πρόσφατον, ἐναγώνιον χερσὶν, ἀντὶ τοῦ ἔργοις χειρῶν, τουτέστι διὰ πυγμῆς ἢ δισκεύσεως ἢ τοιούτου τινὸς, καὶ ποσὶν, ἀντὶ τοῦ ἔργοις ποδῶν, ἤτοι διὰ δρόμων, καὶ ἅρμασιν, ἤγουν δι' ἁρ-

[1]) Sic Heynius aut ex coniectura aut ex Gott. Editiones antiquae ἀγῶνα: Beckius dedit χρόνον. Αἰῶνα praebet Vrat. D. Pal. C. [2]) Ita emendo. Vulgo σαφανές. Legerant nonnulli τὸ δ' ἐς ἀφανὲς, et coniungebant ἐς πόρσω. [3]) Vrat. D. ἀκροθόνια. Cf. ad Olymp. II, 7. [4]) Iterum ἀκροθόνια Vrat. D. [5]) Vrat. A. [6]) Vrat. A. Post ἀσαφὲς delevi καὶ, addidi ὁ χρόνος, et ὅτι mutavi in ὅπου. [7]) Vrat. A. Addidi ὅπου et κατά.

Digitized by Google

μάτων, ἀντὶ τοῦ καὶ δι' ἱππηλασίας· ἐν δόξῃ θέμενος ἑαυτὸν δηλονότι, καθελὼν, ἀντὶ τοῦ ἑλὼν, ἤτοι λαβὼν καύχημα ἔργῳ, τουτέστι δι' οἰκείας νίκης, δι' οἰκείων ἀνδραγαθημάτων. Rec.

Δόσιν] κερδοσύνην. Gl. γ.

69. Ἀκρόθινα] ἀντὶ τοῦ ἀκροθίνια. ὅπως ἂν τὸν πρῶτον ἐνιαυτὸν καταριθμῶν ἀνέθηκε τὴν πρώτην Ὀλυμπιάδα. [1]) Vet.

Διελών] διαμοιράσας. Gl. β. γ.

Καὶ πενταετηρίδ' ὅπως] θαυμαστικῶς λέγει· καὶ πενταετηρικὴν ὅπως ἄρα ἔστησε καὶ ἐνομοθέτησεν εἶναι τὴν τῶν Ὀλυμπίων πανήγυριν. Vet.

72. Τίς δὴ ποταίνιον] πρὸς τὴν Μοῦσαν λέγει. ποταίνιον δὲ ἀντὶ τοῦ πρόσφατον. ἐκ δὲ τοῦ παρακολουθοῦντος σημαίνει τὸ πρῶτον· ἐπεὶ ὁ πρῶτος πρόσφατός ἐστι. τίς οὖν, φησὶ, πρῶτος ἔλαχε τὸν στέφανον, ὅτε ἔθηκεν ὁ Ἡρακλῆς τὸν ἀγῶνα; § Ἄλλως. ποταίνιον Δωρικῶς τὸ πρόσφατον, οἷον τὸν πρῶτον στέφανον. [2]) § Ἄλλως. τίς οὖν δὴ προσφάτως καὶ ἐν ἀρχῇ νικῆσαι δεδύνηται; ἤτοι διὰ τῶν χειρῶν ἢ δρόμῳ ἢ ἅρματι ἐνδόξως μὲν αὐτὸς ἀγωνισάμενος, τὸ δὲ ἀνταγωνιστοῦ κλέος καθελών. [3]) Vet.

Ποταίνιον] ἔνδοξον. Gl. γ.

74. Ἀγώνιον εὖχος καθελών] ἄδοξον θέμενος. τὸ ὑπερβατὸν, ἀγώνιον εὖχος καθελὼν τὸ τοῦ ἀνταγωνιστοῦ καὶ τὴν νίκην, τὴν αὐτοῦ εὐχὴν, ἔργῳ ἀποβαλών. § ἢ οὕτω· συλλαβὼν τὴν εὐχὴν, ὅ ἐστι τὸ καύχημα τὸ τοῦ ἀνταγωνιστοῦ, καθελὼν διὰ τοῦ ἔργου. § ἔνδοξα θέμενος· ἀντὶ τοῦ ἔνδοξον νομίσας τὸ νικῆσαι, τουτέστι συλλαβὼν τὴν εὐχὴν ἢ καύχημα ἀνταγωνιστοῦ, καθελὼν διὰ τοῦ ἔργου. [4]) § ἢ οὕτω· τὸ ἀγώνιον εὖχος δόξαν θέμενος καὶ ἔργῳ καθελὼν αὐτό. [5]) Vet.

Ἐν δόξᾳ θέμενος] θέμενος ἑαυτὸν δηλονότι ἐν δόξῃ καὶ τιμῇ, καθελὼν καὶ καταβαλὼν τὸ εὖχος τοῦ ἀνταγωνιστοῦ, ἤτοι τὸν ἀνταγωνιστὴν αὐτοῦ, καὶ οὐκ ἐάσας νικῆσαί τε αὐτὸν καὶ καυχήσασθαι. Rec.

Οἱ γράφοντες ἐν δόξαν οὐ καλῶς γράφουσιν. Mosc. B.

76. Στάδιον μὲν ἀρίστευσεν εὐθύτονον] εὐθὺ, τὸ μὴ ἔχον καμπὴν, καθάπερ ὁ δίαυλος, [6]) τὸν ἁπλοῦν δρόμον. τὸν δὲ Οἰωνὸν Πίνδαρος ὡς ἤδη ἠνδρωμένον νικῆσαί φησι στάδιον παρὰ τὴν πρώτην θέσιν τῶν Ὀλυμπίων· ἔνιοι δέ φασι παῖδα ὄντα αὐτὸν διεσπαράχθαι ὑπὸ τῶν Ἱπποκόωντος κυνῶν. ἐκλήθη δὲ οὕτως ὑφ' Ἡρακλέους διὰ τὸ ὀξέως αὐτὸν τρέχειν ὡς πτηνὸν καὶ μὴ καταλαμβάνεσθαι. [7]) § ὁ δὲ νοῦς· ὁ μὲν τοῦ Λικυμνίου παῖς Οἰωνὸς τὸ εὐθύτονον καὶ ἀκαμπὲς στάδιον διαδραμὼν ἠρίστευσεν. οὗτος δὲ ὁ Οἰωνὸς ἦλθεν ἀπὸ πόλεως Μιδέας καλουμένης τοῦ Ἄργους, βασιλεύων καὶ ἡγεμὼν λαοῦ ὤν. [8]) ἡ δὲ μεταφορὰ τοῦ ἐλαύνων ἀπὸ τῶν ποιμνίων. § Ἄλλως. εὐθύτονον στάδιον εἶπε· τοιοῦτον γὰρ λέγεται εἶναι τὸ στάδιον. § Ἄλλως.

1) Vrat. A. 2) Vrat. D. et partim A. 3) Vrat. D. A. Prior εὖχος pro voce κλέος. 4) Vrat. A. 5) Vrat. A. 6) Has tres voces addo e Vrat. A. 7) Vulgo pro his haec leguntur: ἔνιοι δὲ παῖδα ὄντα αὐτὸν ὑπὸ τῶν Ἱπποκοωντιδῶν διεῤῥγεσθαι: Vrat. D. διέῤῥεσθαι. Quae nunc habes, sunt ex Vrat. D. ubi tamen ἀπὸ τῶν, et οὗτος ἀφ' Ἡ. 8) Vrat. D. ἡγεμὼν Λασιῶνος. Non video quomodo qui Midea venerit, potuerit Lasionis rex esse.

Digitized by Google

παῖς ὁ Λικυμνίου ὅσον ἤδη ἀνδρωθεὶς τὴν πρώτην τῶν Ὀλυμπίων θέσιν [1]) ἐνίκησεν. ἐλαύνων δὲ, τουτέστι προηγούμενος ἦλθε, [2]) συνεκρότησεν εἰς συμμαχίαν Ἡρακλεῖ, [3]) ἀπὸ Μιδέας κώμης Ἀργολικῆς, ἔνιοι δὲ πόλεως, ὅθεν καὶ Ἀλκὼ ἡ Λικυμνίου ἀδελφή. [4]) Vet.

Στάδιον μέν] τὸ στάδιον μὲν τὸ κατ' εὐθεῖαν εἰς μῆκος τεταμένον διὰ τῶν ποδῶν τρέχων ὁ Οἰωνὸς ὁ υἱὸς τοῦ Λικυμνίου ἠρίστευσεν, ἤγουν ἠνδραγάθησεν, ἄριστος ἐφάνη· ἦλθε δὲ Μιδέαθεν, ἤτοι ἀπὸ τῆς Μιδέας, πόλις δὲ αὕτη τοῦ Ἄργους, στρατὸν ἐλαύνων, τουτέστιν ἄγων, ἐπαγόμενον ἔχων. ὁ δὲ Ἔχεμος ἠρίστευσεν ἐν πάλῃ δοξάζων τὴν Τέγεαν τὴν ἑαυτοῦ πατρίδα· ἔστι δὲ ἡ Τέγεα πόλις Ἀρκαδική· ὁ Δόρυκλος δὲ ἔφερεν, ἀντὶ τοῦ ἤρατο, τὸ τέλος, ἤγουν τὸ κράτος τῆς πυγμῆς, τουτέστι τὴν ἐν τῇ πυγμῇ νίκην, οἰκῶν τὴν πόλιν τὴν Τίρυνθα· ἐν ἵπποις δὲ τέτρασιν ὁ Σῆμος ὁ ἀπὸ Μαντινέας νικήσας δηλονότι ἠείδετο, ἤγουν ἀνεκηρύττετο· ὁ Φράστωρ δὲ δι' ἄκοντος ἔλασεν, ἤγουν ἀφῆκεν, ἔπεμψεν ἐπὶ τὸν σκοπὸν, τουτέστιν εὐστόχως ἠκόντισεν· ὁ Ἐνικεὺς δὲ τὴν χεῖρα κυκλώσας, ἤγουν κατὰ κύκλον στρέψας, ἔδικε, τουτέστιν ἔβαλλε διὰ πέτρας, ἤτοι ἐδίσκευσεν εἰς μῆκος ὑπὲρ ἅπαντας τοὺς ἀνταγωνιστὰς δηλονότι, καὶ τῇ συμμαχίᾳ, ἀντὶ τοῦ τῷ πλήθει τῶν συναγωνιστῶν παραίθυξε, τουτέστιν ἐκίνησε, διερρίπισε, θόρυβον μέγαν. Rec.

79. Πάλᾳ δὲ κυδαίνων] ἠρίστευσε πάλῃ κυδαίνων, ὅ ἐστι δοξάζων τὴν πόλιν αὐτοῦ Τέγεαν, ἔστι δὲ πόλις Ἀρκαδίας. δοξάζων δὲ διὰ τὸ ἀναγορευθῆναι ἀπὸ Τεγίας. § προσυπακουστέον τὸ ἠρίστευσεν· τὴν δὲ πάλην ἐνίκησεν Ἔχεμος Ἀρκὰς τὸ γένος. ὑπὸ δὲ τούτου τοῦ Ἐχέμου τὸν Ὕλλον φασὶ τελευτῆσαι κατιόντα εἰς Πελοπόννησον. ἐγάμησε δὲ τὴν Τιμάνδραν. Ἡσίοδος·

Τιμάνδρην, φησὶν, Ἔχεμος θαλερὴν ποιήσατ' ἄκοιτιν. [5]) Vet.

83. Ἀν' ἵπποισι δὲ τέτρασιν ἕως Ἁλιῤῥόθιου] ἐφ' ἵπποισι δὲ τέτρασιν, ἤτοι τεθρίππῳ ἀγωνισάμενος ἐνίκησεν ὁ Ἁλιῤῥόθιος· ὅθεν τινὲς σῆμα Ἁλιῤῥοθίου κατὰ περίφρασιν ἤκουσαν, οἱονεὶ τὸ σημεῖον καὶ ἡ δόξα τοῦ Ἁλιῤῥοθίου, ὡς καὶ Ὅμηρος· Ἱερὴ ἷς Τηλεμάχοιο, [6]) καὶ Βίη Ἡρακληείη. ὁ δὲ Δίδυμος οὕτω καθίστησι τὸν λόγον· τὴν Μαντινέαν [7]) φησὶν εἶναι ἱερὰν Ποσειδῶνος, καὶ παρατίθεται τὸν Βακχυλίδην [8]) λέγοντα οὕτω· Ποσειδάνιον [9]) ὡς Μαντινεῖς τριόδοντα χαλκοδαιδάλοισιν ἐν ἀσπίσι φορεῦντες. ἐπίσημον γὰρ εἶναι τῶν ἀσπίδων τὸν Ποσειδῶνος τριόδοντα, ὅτι παρ' αὐτοῖς μάλιστα τιμᾶται ὁ θεός. ἔσται οὖν τὸ σαφὲς οὕτω, καθ' αὑτὸ ἔξωθεν παραλαμβανομένου τοῦ ὀνόματος· ἀν' ἵπποισι δὲ τέτρασιν ἥρως ὁ ἀπὸ Μαντινέας ἐνίκησε. καὶ ἔστιν ἡ Μαντινέα σημεῖον καὶ ἱερὰ τοῦ Ποσειδῶνος. Ἁλιῤῥόθιον γὰρ ἐπιθετικῶς τὸν Ποσει-

1) Post hoc delevi καὶ δίαυλον. 2) Hoc loco delevi verba ἔστι δ' ὄνομα κύριον ὁ Οἰωνός. In Vrat. D. est: ἐνίκησε. τὸ δὲ χ', ὅτι Οἰωνὸς προηγ. An χ' pertinebat ad nomen proprium, et scribendum est: τὸ δὲ χ', ὅτι ὄνομα κύριον ὁ Οἰωνός? 3) Συνεκρ. ε. σ. Ἡρ. addidi e Vrat. A. 4) Haec inde ab ὅθεν ex Vrat. A. 5) Supplevi ex Vrat. A. qui ἐγ. δὲ τὴν Τιμάνδρην, deinde in versu Hesiodi ἀκοίτην. Versus ineditus. De re v. Heyn. ad Apollod. III, 10, 6. 6) Odyss. β, 409. 7) Heynius vult Μαντίνειαν: sed scholiastes plurimis locis servat Pindaricam formam. 8) Ursin. Fragm. Lyr. p. 203. 9) Vulgo Ποσειδώνιον. Ποσειδάνιον Gott. Vrat. D.

Digitized by Google

δῶνά φησι, καὶ παρατίθεται τὸ Ὁμηρικόν· [1]) Πάσας δ' ὀρόθυνεν ἀέλλας παντοίων ἀνέμων· παρατίθεται δὲ καὶ τὸν γράφοντα τὴν Θησηΐδα μαρτυροῦντα τῷ ἥρωϊ τὴν τοῦ ἅρματος ἡνιοχευτικὴν ἀρετήν·

Τρέψας [2]) δὲ πώλους, ὡς ὁ Μαντινεὺς Σῆμος. [3])

§ Ἄλλως. ἐὰν μὲν γράφηται Σᾶμ' Ἀλιῤῥόθιον, ἔσται αὐτὸς ὁ Ἀλιῤῥόθιος ἥκων, ὡς ἂν ἐπίσημος ἐγένετο ὁ Ἀλιῤῥόθιος [4]) νικῶν· ἐὰν δὲ Σᾶμος ὁ Ἀλιῤῥοθίου, [5]) φανερὸν, οἷον Σᾶμος ὁ Ἀλιῤῥοθίου [6]) ἐνίκησεν. Ἀριστόδημος δέ φησι, μὴ δύνασθαι συγχρονεῖν Ἀλιῤῥόθιον τὸν κατὰ Κέκροπα Ἡρακλεῖ, ἀλλὰ μηδὲ Ἀρκάδα εἶναι, ἀλλ' Ἀθηναῖον· Σῆμον δέ τινα νῦν νενικηκέναι ἅρματι, ὡς φησι Δίφιλος ὁ τὴν Θησηΐδα ποιήσας ἔν τινι ἰαμβείῳ οὕτω·

Τρέψας δὲ πώλους, ὡς ὁ Μαντινεὺς Σῆμος,
Ὃς πρῶτος ἅρματ' ἤλασεν παρ' Ἀλφειῷ.

§ Ἄλλως. Ἀλιῤῥόθιος Μαντινεὺς ὁμώνυμος τῷ Ἀθηναίῳ, ὃς ἦν Ποσειδῶνος καὶ Βαθυκλείας. ἔνιοι δὲ γράφουσι Σῆρος Ἀλιῤῥοθίου, [7]) οὗ μέμνηται καὶ Ἡσίοδος· [8])

Ἤτοι ὁ μὲν Σῆρον καὶ Ἀλάζυγον, [9]) υἱέας ἐσθλούς.

ἦν δὲ ὁ Σῆρος τοῦ Ἀλιῤῥοθίου τοῦ Περιήρους καὶ Ἀλκυόνης. § Ἀπὸ Μαντινέας· Μαντινέα πόλις Ἀρκαδίας. σᾶμ' Ἀλιῤῥοθίου· περιφραστικῶς ὁ Ἀλιῤῥόθιος, ἢ σῆμα ἐπίσημος, φανερός. [10]) § ὁ δὲ λόγος· ἀπὸ Μαντινείας Σῆμος ὁ τοῦ Ἀλιῤῥοθίου πρῶτος ἐνίκα, ἢ ἐπίσημος ὢν Ἀλιῤῥόθιος. τὸ γὰρ ἐνίκα πᾶσι τούτοις ὑπακουστέον· εἶτα ἀφ' ἑτέρας ἀρχῆς, Ἄκοντι Φράστωρ ἔλασε σκοπόν. [11]) § ἢ οὕτως· ἀν' ἵπποισι δὲ τέτρασιν ἀπὸ Μαντινέας· ἅρμασιν ἐνίκα Θησεύς. [12]) § σῆμα Ἀλιῤῥοθίου· οἷον ὅμοιος ὢν Ἀλιῤῥοθίῳ τῷ ἀδελφῷ. [13]) § μετὰ τὴν τῆς Ἤλιδος ἅλωσιν εἷς ἦν τῶν ἀγωνισαμένων ὁ Θησεὺς, οὐχ ἅρματι δὲ, ἀλλὰ παγκρατίῳ. ἱστορεῖ Ἀρίστιππος. [14]) Vet.

84. Ἤειδετο] ἀνεκηρύττετο τὸ τῆς βολῆς σημεῖον. Gl. Mosc. B.

1) Odyss. ε, 292. 2) Rom. στρώφας, Gott. Vrat. D. στρωφάσων. An στρωφῶν? 3) Gott. Vrat. D. Μαντ. ἥρως. 4) Vulgo Ἀλιῤῥοθίου. Correxi de coniectura. 5) Vulgo Ἀλιῤῥόθιος, quod correxi de coniectura. De utroque dixi nott. critt. p. 413. 6) Vulgo Ἀλιῤῥόθιος. Vide nos ibidem. 7) Vrat. D. Ἀλιῤῥόθιος. 8) Fragm. p. 446. ed. Loesn. 9) Vrat. D. Ἀλαζονὸν, vulgatae Ἀλάζυγον. Retinui Heynianum, quod analogiae magis convenit. 10) Vrat. D. 11) Vrat. A. post verba Ἀλιῤῥόθιος (codex Ἀλιῤῥοθίους) νικῶν ἐπίσημος ἐγένετο, quae delevi, atque inde assumpsi νικῶν post vocem Ἀλιῤῥόθιος, cui numerus 4. appositus. Deinde legebatur: ὁ δὲ λόγος· ἀπὸ τοῦ Ἀλιῤῥοθίου Μαντινίας ἐν ἅρμ. et mox ἑνὶ καὶ pro verbo ἐνίκα, et ἔλαβε pro voce ἔλασε. 12) Ex eodem. Delevi καὶ ante ἅρμ. et ἀπὸ scripsi, ubi erat ὑπό. Quid vero Theseus ad hunc locum? Coniicias Σῆμος: sed sequentia verisimile reddunt, scholiasten, cuius nonnisi laciniae supersunt, etiam de Theseo locutum esse. Vide nott. seqq. 13) Haec Vrat. A. post ea, quae modo dedimus. Halirrhothius Atheniensis filius Neptuni: Neptuni filius etiam Theseus habebatur: itaque haec de Theseo intelligenda videntur. Post haec delevi verba: ἢ ἐπίσημος ὢν Ἀλιῤῥόθιος, quae vulgatis iam continentur. 14) Sequuntur haec in Vrat. A. sed habet εἷς ἦν, et verba ἱστορεῖ Ἀρίστιππος, vel ut in codice est Ἀρίσιππος, leguntur post vocem Θησεύς. Hic me locus maxime retinet, ne Thesei nomini Semum substituam: Semus enim curru certaverat, non pancratio: et Thesei quoque in primo certamine Olympico aliquas partes fuisse non dissimile veri, etsi hoc ex Diphili Theseidos fragmento colligi non potest. Semi vero occasione de Theseo locutus videtur Aristippus scriptor Arcadicorum, de quo cf. Voss. H. Gr. III, p. 333.

Digitized by Google

Οὕτως ἄμεινον γράφεσθαι ἠείδετο. ὃς δ' ἄλλως γράφει, οὐ καλῶς γράφει. Mosc. B.

Ἀείδετο] ἐδοξάζετο. Gl. γ.

85. Ἄκοντι δὲ Φράστωρ] ἀκοντίῳ ἀγωνισάμενος ἔῤῥιψε κατὰ σκοποῦ. οἱ δὲ τὸ ἤλασε σκοπὸν ἀντὶ τοῦ τὴν νίκην εὐτύχησε φασίν. Vet.

Ἤλασε] ἐκέρδησε. Gl. γ. Σκοπόν] τὸν ἀγῶνα. Gl. γ.

86. Μᾶκος δ' Ἐνικεὺς ἔδικε πέτρῳ] Ἐνικεὺς ὄνομα κύριον, ὡς Τυδεύς. § μακρὸν ἐδίσκευε δίσκῳ λιθίνῳ. οὕτως οἱ ἀρχαῖοι. μᾶκος δὲ, μακρόν. παρὰ τὸ Ὁμηρικὸν [1]) Χεὶρὶ περιστρέψας φησὶ Χέρα κυκλώσας. § ὁ δὲ λόγος· μακρόν τε καὶ ἐπίμηκες ἐδίσκευσεν ὁ Ἐνικεύς. ὅτι δὲ πέτροις τοπαλαιὸν ἐδίσκευον, μαρτυρεῖ Ὅμηρος· Βόμβησεν δὲ λίθος. [2]) Vet.

Μὴ λάβῃς εἰς τὸ μῆκος ἔξωθεν εἰς, ἀλλ' οὕτω λέγε· ὁ Ἐνικεὺς δὲ κυκλώσας τὴν χεῖρα ἐν πέτρῳ ἔδικε καὶ ἔῤῥιψε μῆκος, ἤγουν ἡ τοῦ πέτρου ῥίψις πολλοῦ μήκους ἐγένετο ὑπὲρ ἅπαντας καὶ ἐπέκεινα πάντων. ὥςπερ δέ φαμεν, ὑβρίζω σὲ ὕβριν, οὕτω καὶ ἔδικε μῆκος, ἀντὶ τοῦ μακρὰν ἔῤῥιψε ῥίψιν. Rec.

Πέτρῳ] διὰ τῆς στρογγυλοειδοῦς πέτρας. Gl. γ.

87. Ὑπὲρ ἁπάντων] πάντας φησὶ τοὺς ἀνταγωνιστὰς τῇ βολῇ παρελθών. τὸ δὲ χέρα κυκλώσας παρὰ τὸ Ὁμηρικόν· [3])

Τόν ῥα περιστρέψας ἧκε στιβαρῆς ἀπὸ χειρός.

τὸ δὲ καὶ συμμαχίᾳ θόρυβον, ἀντὶ τοῦ καὶ τοῖς παρεστῶσιν αὐτοῖς συμμάχοις ἔκπληξιν καὶ ταραχὴν ἐκίνησε. μέγαν, διὰ τὸ ὑπερβεβλημένον τῆς βολῆς θαῦμα. καὶ τοῦτο παρὰ τὸ Ὁμηρικόν· [4])

Κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ
Φαίηκες δολιχήρετμοι, ναυσίκλυτοι ἄνδρες.

καὶ συμμαχίᾳ, ἀντὶ τοῦ τὸ πλῆθος θαυμάσαν ἀνεβόησεν ἐπὶ τῷ τῆς βολῆς μήκει. § ἢ οὕτω· παρεκίνησε καὶ ἀνήγειρε τὸ τῶν συμμάχων πλῆθος. § ἤτοι διὰ τὸ ὑπερβάλλειν τοὺς ἄλλους τῷ δίσκῳ διαταραχθῆναι εἰς τὸ πλῆθος. [5]) § ἀνήγειρε δὲ νικήσας ταραχὴν τοῖς συνοῦσιν· ἐβόησαν γὰρ θαυμάσαντες τῆς βολῆς τὸ μῆκος. [6]) Vet.

Ὑπὲρ ἅπαντας γράφε καὶ μὴ ὑπὲρ ἁπάντων· οὕτω γὰρ ἔχει πρὸς τὴν σύνταξιν ὀρθῶς. Mosc. B.

89. Παρέθηξεν] ἐκίνησε, παρώρμησεν. Vet.

90. Ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος] τῆς δὲ εὐώπιδος σελήνης τὸ ἐρατὸν φάος κατέλαμψε τὴν ἑσπέραν. ταῦτα γὰρ ἐγένετο τοῦ ἑσπέρου, καὶ τοῦ σκότου καταυγαζομένου καὶ φαιδρυνομένου ὑπὸ τῆς σεληνιακῆς αὐγῆς. ἐρατὸν δὲ φάος σελήνης, τὸ πανσέληνον. τελεῖται γὰρ κατὰ πληροσέληνον, ὡς αὐτὸς ἐν τοῖς πρώτοις [7]) εἶπεν. ἔδει δὲ οὕτως εἰπεῖν· οὔσης δὲ πανσελήνου ἐτέθη ὁ ἀγών. ὁ δὲ τὸν ἀγῶνα διαθέμενος τότε τοῦτο ἐπήνεγκεν. § Ἐν δ' ἕσπερον ἔφλεξε] τὸ ἑσπερινὸν φῶς· ἐν πανσελήνῳ γὰρ ἐτέθη

1) Iliad. τ, 131. 2) Odyss. θ, 190. Ex Vrat. A. in quo desideratur μαρτυρεῖ, et Homerica ita depravata sunt: βόμβω ἤλασε δὲ λίθῳ. 3) Odyss. θ, 189. 4) Odyss. θ, 190. sq. 5) Vrat. A. ubi προςβάλλειν. Post haec delevi verba: ἀποθαυμάσαντας ἐπὶ τῷ τῆς βοῆς (βολῆς) μήκει. 6) Vrat. A. in quo βοῆς. 7) Olymp. III, 35. vulg.

Digitized by Google

ὁ ἀγών. § τοῦτο ἔδει πρῶτον εἰπεῖν, ὅτι πανσελήνου οὔσης ὁ ἀγὼν ἐτέθη. εὐήθως δὲ καὶ οἱ φαντασθέντες ἄχρι δύσεως ἡμέρας αὐτοὺς ἀγωνίζεσθαι. [1]) Vet.

Ἐν δ' ἕσπερον ἔφλεξεν] ἐν τούτοις δὲ, ἤγουν ἐν ᾧ χρόνῳ ταῦτα ἐγίνετο, ἔφλεξεν, ἤτοι ἀνέλαμψε τὸ ἐπέραστον φῶς τῆς σελήνης τῆς εὐοφθάλμου. ἕσπερον ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατὰ τὴν ἑσπέραν· τουτέστιν οὔσης δὲ πανσελήνου ταῦτα ἐτελεῖτο. ἀείδετο δὲ ἀντὶ τοῦ περιηχεῖτο τοῖς ὕμνοις πᾶς ὁ ναὸς, κατὰ τὸν τρόπον, ἀντὶ τοῦ τὸν νόμον τὸν ἐγκωμιαστικὸν, ἐν θαλίαις, ἤγουν εὐωχίαις ἡδείαις, ἃς δηλονότι εὐωχοῦντο οἱ εὐφημοῦντες. Rec.

Εὐώπιδος] ὡραιοφθάλμου. Gl. γ.

91. Ἐρατόν] καλόν. Gl. γ.

92. Ἀείδετο] ἐκροτεῖτο. Gl. γ.

Ἀείδετο δὲ πᾶν τέμενος] ἐν ταῖς εὐωχίαις δὲ περιῆδετο καὶ ἠχεῖτο τὸ πᾶν τέμενος εὐφημιῶν καὶ ὕμνων λεγομένων. οὗτος γάρ ἐστιν ἐγκωμιαστικὸς τρόπος. § ἢ οὕτως· ἐνεκωμιάζετο ἐκ τῶν νικώντων τὸ τέμενος, φησίν. § τῶν ἐπινίκων λεγομένων ἤχει ἡ Πίσα. [2]) Vet.

Τερπνῇσι] εὐφραντικαῖς. Gl. γ.

93. Ἐγκώμιον] ἐπαινετικόν. Gl. γ.

94. Ἀρχαῖς δὲ προτέραις] ταῖς οὖν ἀρχαῖς καὶ τοῖς ἐπιτηδεύμασι τῶν φθανόντων. Vet.

Ἀρχαῖς δὲ προτέραις] ἑπόμενοι δὲ, ἀκολουθοῦντες ταῖς προτέραις ἀρχαῖς, ἤγουν τῇ παλαιᾷ συνηθείᾳ· πρὸ γὰρ τῶν νικηφόρων τότε ὁ Ζεὺς ὑμνεῖτο· κελαδήσομεν καὶ ὑμνήσομεν τὴν βροντὴν τοῦ ὀρσικτύπου Διὸς καὶ τὸ πυρπάλαμον βέλος, τὸν αἴθωνα καὶ τὸν καυστικὸν κεραυνὸν τὸν ἀρηρότα καὶ ἡρμοσμένον ἐν ἅπαντι κράτει, ἤγουν ᾧ Ζεὺς χρῆται εἰς ἅπασαν χρείαν· κελαδήσομεν χάριν καὶ ὕμνον, ἐπωνυμίαν τῆς ἀγερώχου νίκης· ὁ γὰρ ἐπινίκιος τῆς νίκης ἐπώνυμος. ὥςπερ δέ φαμεν ὑμνῶν ὕμνον, οὕτω καὶ τὸ κελαδησόμεθα χάριν. τὸ γὰρ πρὸς τὸν Δία κελάδημα χάρις καὶ ὕμνος ἐστίν. οἱ δὲ τὸ εἰς πρὸς τὸ χάριν λαμβάνοντες ἔξωθεν ἄγνοοῦντες λέγουσιν. § Ἀρχαῖς δὲ προτέραις] ἀντὶ τοῦ ταῖς τάξεσι δὲ τῆς ἀρχῆς τῆς παλαιᾶς ἀκολουθοῦντες καὶ νῦν ἡμεῖς εἰς χάριν ἐπωνυμίαν, ἀντὶ τοῦ περιώνυμον ἤτοι περίφημον, μεγάλην, τῆς νίκης τῆς ἀγερώχου, τουτέστι τῆς μετεώρου, τῆς ἐξόχου, ὑμνήσομεν τὴν βροντὴν τοῦ Διὸς τοῦ κινοῦντος τοὺς κτύπους τῶν βροντῶν καὶ τὸ βέλος τὸ πυρπάλαμον, ἤγουν τὸ πῦρ προτεῖνον, τουτέστι τὸ πυρῶδες, λέγω τὸν κεραυνὸν τὸν καυστικὸν, τὸν ἀρηρότα, ἤγουν τὸν ἁρμόζοντα, τὸν ἐπαρκοῦντα ἐν ἅπαντι τῷ κράτει αὐτοῦ, ἀντὶ τοῦ ἐν πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ. ἡ μολπὴ δὲ τῶν μελῶν, ἀντὶ τοῦ τῶν ποιημάτων, τῶν ἐγκωμίων, ἤγουν σὺν αὐλῷ ᾀδομένη, χλιδῶσα, ἤγουν τρυφῶσα, ἁβρὰ, ἀντιάσει, τουτέστιν ἀπαντήσει ταῖς ἀκοαῖς δηλονότι, ἅτινα, τουτέστι τὰ μέλη, τὰ ἐγκώμια, διὰ χρόνου μὲν ἐφάνησαν παρὰ τῇ Δίρκῃ τῇ εὐκλεΐ, ἀντὶ τοῦ τῇ εὐκλεεῖ κατὰ συγκοπὴν, ὡς ἐν ἄλλοις εὐκλέα λέγει μορφὰν, [3]) ἀντὶ τοῦ εὐκλεᾶ, τουτέστι παρὰ ταῖς Θήβαις· τὸν ποταμὸν γὰρ εἰπὼν τὸν παρὰ ταῖς Θήβαις τὰς Θήβας ἐδήλωσεν. Rec.

1) Vrat. A. 2) Vrat. A. 3) Olymp. VI, 128. vulg.

Digitized by Google

Καὶ νῦν ἐπωνυμίαν χάριν] καὶ νῦν ἡμεῖς ἀκολουθοῦντες τὴν ἐπώνυμον τῆς νίκης χάριν, τουτέστι τὸν ἐπινίκιον ὕμνον εἴπωμεν. § ἢ ἔξωθεν τὴν εἰς πρόθεσιν ληπτέον, ἵν' ᾖ, εἰς χάριν κελαδήσομεν θαυμάζοντες τήν τε βροντὴν τοῦ Διὸς καὶ τὸ ἔμπυρον αὐτοῦ βέλος τὸν κεραυνὸν τὸν ἐπὶ πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ ἁρμόδιον καὶ ἐπαρκοῦντα πρὸς τὰς χρείας. § Ἄλλως. πρὸς πᾶσαν αὐτῷ δύναμιν ἀρηρότα. ἢ κράτει τῇ νίκῃ, νικῶντα ἀεί. § κράτει ἀραρότα, ἡρμοσμένον παντὶ κράτει τοῦ Διός. [1]) § Ἄλλως. τὴν ὀνομαστὴν βροντὴν καὶ διαβόητον. ἢ οὕτω· τὴν νίκην περιφραστικῶς, τὴν διαβόητον. § χάριν νίκας, ἀντὶ τοῦ διὰ τὴν νίκην. § ἢ οὕτως· ἐπίθετον τῆς νίκης ἐπωνύμους ποιούσης, ἢ τῆς ὄνομα φερούσης καὶ κρατούσης ἐν παντὶ κράτει. [2]) Vet.

95. Ἀγερώχου] θαυμαστῆς. Gl. γ.

96. Πυρπάλαμον βέλος] τὸν κεραυνὸν καὶ ἐκ πυρὸς καὶ ἐκ Διὸς τεχνασθέντα. [3]) Vet.

97. Ὀρσικτύπου] μεγαλοκτύπου. Gl. γ.

Κράτει] δυνάμει. Gl. γ.

99. Χλιδῶσα] γλυκεῖα. Gl. γ.

Χλιδῶσα δὲ μολπά] ἀντὶ τοῦ τρυφῶσα, ἐναβρυνομένη. § ὁ δὲ νοῦς· ἡ δὲ μολπὴ ἡ τῶν μελῶν ἁβρῶς καὶ ἡδέως ἐντρυφῶσα τῇ ἡδονῇ ἀπαντήσει πρὸς αὐτόν. § ἀντιάζει· ἀπαντιάζει. [4]) ὁ δὲ ὕμνος τρυφηλῶς καὶ ἡδέως μετὰ αὐλῶν ῥηθήσεται. § τρυφῶσα δὲ ἡ μολπὴ τῶν ἐπέων ἀντιάσει πρὸς τὸν κάλαμον. τοῦτο δέ φησιν, ἐπεὶ μετ' αὐλῶν τὸν ὕμνον ἔλεγον. [5]) Vet.

100. Ἀντιάξει] ὁμοδρομήσει, συναντήσει τῷ αὐλῷ· οἷον ἀντιάσει, ἀνακινήσει. [6]) Vet.

Ἀντιάξει] συμφωνήσει. Gl. γ.

101. Τὰ παρ' εὐκλεεῖ Δίρκᾳ] ἅτινα μέλη ἐν τῇ ἐνδόξῳ Δίρκῃ, φησί, τουτέστιν ἐν Θήβαις, ἐν πλείονι μὲν χρόνῳ τῆς προσδοκίας ἐφάνη καὶ ἐγράφη, ἀλλ' οὕτως ἐστὶ γλυκὺς ὁ ἐπίνικος τῷ λαβόντι ὥσπερ παῖς γνησίας γυναικὸς καὶ οὐ παλλακίδος πατρὶ γεννηθεὶς ἤδη γεγηρακότι. § Ἄλλως. Δίρκη πηγὴ ἐν Θήβαις. κεχρονικέναι δέ φησι καὶ ἐν ἀρχῇ λέγων ὁ Πίνδαρος, ὅτι διέστηκε τοπρῶτον ἀπὸ τῆς ὁμολογίας πρὶν γραφῆναι τὸ ἐγκώμιον. καὶ νῦν ἀπὸ τῆς Δίρκης φησὶ μετὰ πολὺν χρόνον πεφηνέναι τὰ μέλη καὶ τὰ ποιήματα, ὡς ἐν Θήβαις γεγραφὼς τὸν ἐπίνικον μετὰ πολὺν τῆς ὁμολογίας τῆς περὶ τοῦ γράφειν χρόνον. § ἢ οὕτως· ἅπερ μέλη χρόνῳ ἐφάνη ἐν Βοιωτίᾳ, ἐπεὶ μετὰ χρόνον ἔγραψε τὸ ποίημα. § ὁ δὲ νοῦς· οὕτω δέ σοι ποθεινὰ καὶ ἡδέα ἔσται τὰ μέλη, φησίν, ὥσπερ τις γνήσιος παῖς ἐκ νομίμης γυναικὸς πατρὶ ποθεινὸς ὁρᾶται εἰς τὸ ἀνάπαλιν τῆς νεότητος ἐλθόντι, τουτέστι γηράσαντι. πάνυ γὰρ τοῦ ἑαυτοῦ πατρὸς τὸν νοῦν ἐκπυροῖ πρὸς τὸν πόθον κεχαρισμένως [7]) φαινόμενος. Vet.

102. Ἀλλ' ὥστε παῖς] ἀλλ' οὕτως ἐφάνη τέρψιν ἔχοντα, δηλονότι πρὸς τὸν νενι-

1) Haec ex Vrat. D. 2) Pro his Vrat. A. τὸ δὲ ἐπώνυμον τοῦ χάριν ἐπίθετον, τὴν ἐπωνυμίαν ποιοῦσιν, ἀντὶ τοῦ ἐπονομάζοντος καὶ καλοῦντος! 3) Vrat. A. 4) Vrat. D. Delevi post hoc vocem sensu cassam ἀντηρήσει, quae in eodem libro additur. 5) Vrat. A. 6) Vrat. A. qui in lemmate ἀντιάζει. 7) Sic correxi. Vulgo κεχορισμένος.

Digitized by Google

κηκότα, καθὰ παῖς ποθεινὸς ἀπὸ γυναικὸς γνησίας τῷ πατρὶ φαίνεται γεννηθεὶς αὐτῷ ἤδη εἰς τὸ γῆρας ἀφιγμένῳ. καταπολὺ δὲ θερμαίνει, ἤγουν ἐξάπτει, διεγείρει τὸν λογισμὸν αὐτοῦ πρὸς φιλοφροσύνην. ἐπεὶ ὥςπερ πλοῦτος ὁ λαχὼν, ἤγουν ὁ κληρωσάμενος, ὃ εἰς κλῆρον λαβὼν ποιμένα, ἀντὶ τοῦ δεσπότην ἐπείςακτον ἀλλότριον καταπολὺ μεμισημένος ἐστὶ τῷ ἀποθνήσκοντι, ἀντὶ τοῦ ἐπεὶ ὥςπερ καταπολὺ μεμισημένον ἐστὶ τῷ ἀποθνήσκοντι τὸ εἰς κλῆρον λαβεῖν τὸν πλοῦτον αὐτοῦ δεσπότην ἐπείςακτον ἀλλότριον, οὕτως, ὦ Ἀγησίδαμε, καὶ ὅταν ἀνὴρ καλὰ ἔργα πράξας εἰς τὸν σταθμὸν, ἤγουν εἰς τὸν τόπον τοῦ ᾅδου, τουτέστιν εἰς τὸν ᾅδην ἀφίκηται χωρὶς ᾠδῆς, ἤτοι ἐγκωμίων, κενὰ καὶ μάταια κοπιάσας βραχεῖάν τινα τέρψιν παρέσχε τῷ ἀγῶνι, ἀντὶ τοῦ οὐδεμίαν. Rec.

Ἐξ ἀλόχου] ὥςπερ φαίνεται παῖς ἐκ νομίμου γυναικός τινι πατρί. Gl. γ.

Εἰκότως εἶπε τὸ ἀλόχου, ἵνα δείξῃ οἰκεῖον αὐτοῦ παῖδα. λέγει δὲ ὅτι, εἰ καὶ μὴ ἡνίκα ἐνίκησας, τὸν ὕμνον σοι ἔγραψα, ὅμως νῦν ἀποδιδοὺς μεγίστην εὐφροσύνην παράσχω σοι, καὶ τοιαύτην οἵαν παῖς παρέχει πατρὶ εἰς γῆρας αὐτῷ γεγονὼς ἐκ τῆς ἰδίας ἀλόχου. ἔστι δὲ ἡ ἀπόδοσις τῆς παραβολῆς εἰς τὸ Καὶ ὅταν, εἰ καὶ δοκεῖ ἀναρμόστως ἀποδοθῆναι. δέον γὰρ οὕτως εἰπεῖν· ὥςπερ ὀψίγονος παῖς ποθεινὸς τῷ πατρὶ, οὕτω καὶ τὸ ὕστερον δοθέν τινι ἐγκώμιον πρέπον ποιῆσαι· ὁ δὲ ἄλλως ἐξήνεγκεν. εὕροις δ' ἂν καὶ παρὰ λογοποιοῖς πολλὰ τοιαῦτα. Rec.

103. Ἥκοντι] φθάσαντι. Gl. γ.

105. Θερμαίνει] ὁ γεννηθεὶς τοῦ πατρὸς θάλπει τὸν νοῦν. [1]) Vet.

Φιλότατι] εἰς ἀγάπην. Gl. γ.

106. Ἐπεὶ πλοῦτος ὁ λαχών] διατί δὲ ὁ παῖς ποθεινός ἐστι γηρῶντι; ἐπειδή, φησὶν, ἡ περιουσία καὶ ὁ πλοῦτος ἄρχοντα καὶ δεσπότην ἑαυτοῦ λαχὼν ἀλλότριον τοῦ γένους καὶ ἔξωθέν τινα ἐπαχθέντα, λυπηρότατός ἐστι τῷ ἀποθνήσκοντι. τὸ δὲ ἵκοντι νεότατι, εἰς τὸ ἔμπαλιν τῆς νεότητος, τὸ γῆρας, ἤδη ἐληλυθότος, καθ' ὃν καιρὸν οὐκ ἔστιν οἷος ἄλλο γεννῆσαι. [2]) § Ἄλλως. τοῦτο ἐν τῷ καθόλου λέγει, ἐπεὶ ὁ πλοῦτος ὁ λαχὼν ποιμένα ἐπακτὸν τὸν διαδεξάμενον, τῷ καταλιπόντι, ὅ ἐστι τῷ ἀποθνήσκοντι, στυγερώτατός ἐστι καὶ ἀλλότριος. διὰ δὲ τούτου σημαίνει, ὅτι ἐάν τις ἔχῃ πλοῦτον ἄτεκνος ἀποθνήσκων καὶ διάδοχον μὴ καταλιπὼν, [3]) ἐπώδυνος αὐτῷ γίνεται. § Ἄλλως. τὸν μὴ κατὰ γένος διάδοχον ἔχοντα, παρὰ τὸ Ὁμηρικόν· [4]) Κηρωσταὶ δὲ διὰ κτῆσιν δατέοντο. τὸ δὲ θνάσκοντι κοινῶς πρὸς ἀμφότερα, ἀλλότριον θνήσκοντι καὶ στυγερώτατος. πάνυ γὰρ ἀλγοῦσιν οἱ τοῖς μὴ προσήκουσι διαδόχοις χρώμενοι. ὥςπερ οὖν, φησὶ, λυπηρόν ἐστι τῷ τελευτῶντι τὸ ἀλλοτρίῳ τινὶ χρήσασθαι κληρονόμῳ, οὕτως ἀλγεινόν ἐστι καὶ ὅταν κάλλιστα μὲν εἴη διαπεπραγμένος τις, ἄνευ δὲ ἐπαίνου καταλείψῃ τὸν βίον, ὦ Ἀγησίδαμε, ματαίως μοχθήσας, ὡς μηδὲ βραχύ τι τερπνὸν καὶ ἡδὺ ἀποκερδάναι ἐκ τῶν πόνων. Vet.

Λαχών] πεσὼν εἰς κληρονομίαν. Gl. γ.

108. Θνάσκοντι] καταλιμπάνοντι τὸν πλοῦτον. Gl. γ.

109. Καὶ ὅταν καλὰ ἔρξαις] καὶ ὅταν τις, φησὶ, καλὰ ἐπιτελέσας ἔργα δίχα καὶ χωρὶς ὕμνου ἀποθάνοι ἀκλεὴς, τῷ μόχθῳ βραχύ τι ἔδωκε τερπνὸν, τουτέστι βραχύ

1) Vrat. A. in quo θάλλει. 2) Inde a τὸ δὲ ex Vrat. D. 3) Sic Vrat. A. 4) Iliad. ε, 158. Vrat. D. δατέονται.

Digitized by Google

τι ἐτέρφθη τῷ μόχθῳ, ὅσον παραχρῆμα, παρ' αὐτὴν τὴν νίκην. [1]) οὐκέτι γὰρ αὐτοῦ τελευτήσαντος μέμνηταί τις. § βραχύ τι τερπνὸν, ἀντὶ τοῦ οὐδὲν, οὐδὲ ὀλίγον, οὐδὲ τὸ ἐλάχιστον. [2]) Vet.

110. Ἀΐδα σταθμόν] τὸν οἶκον, ἢ τὸν ᾅδην περιφραστικῶς. [3]) Vet.

111. Ἵκηται] ἔλθῃ, ἀπέλθῃ. Gl. β.

112. Τερπνόν] εὐφραντόν. Gl. γ.

113. Τὶν δ' ἁδυεπής τε λύρα] σοὶ οὖν, φησὶ, πᾶν εἶδος μουσικῆς ἀνεγείρει, ἄνω ποιεῖ ἢ διαποικίλλει τὴν χάριν. καὶ γὰρ τὸ πάσσειν ποικίλλειν ἐστί· καὶ παστὸς, διὰ τὸ πεποικίλθαι. [4]) παρὰ τὸ Ὁμηρικόν· [5]) Πολέας δ' ἐνέπασσεν ἀέθλους. ἀναποικίλλει σοι καὶ παρέχει τὴν ἡδονὴν ἥ τε λύρα καὶ ὁ αὐλός. τὶν δὲ ἀντὶ τοῦ σοὶ, Δωρικῶς. Vet.

Τὶν δ' ἁδυεπής] σοὶ δὲ ἡδυεπής τε λύρα, ἀντὶ τοῦ ἡδύφωνος ἀναπάσσει, τουτέστιν ἐπιπάσσει, ἐνστάζει χάριν, ἀντὶ τοῦ μέλος χάριεν, ἤγουν τὸ ἐπαγωγὸν ἔχον, καὶ τερπνὸς αὐλὸς ἀναπάσσει χάριν· ἔχουσι δέ σοι, ἀντὶ τοῦ φέρουσι, παρέχουσιν αἱ Πιερίδες, ἤτοι αἱ Μοῦσαι αἱ θυγατέρες τοῦ Διὸς, κλέος εὐρὺ, ἤγουν ἐπὶ πολὺν τόπον παραπεμπόμενον· ἐγὼ δὲ συνεφαπτόμενος, ἤγουν συνεργῶν, συλλαμβανόμενος αὐταῖς ταῖς Μούσαις δηλονότι, σὺν σπουδῇ ἀμφέπεσον, ἀντὶ τοῦ περιπτύσσομαι, τὸ περιᾳδόμενον καὶ εὐκλεὲς ἔθνος τῶν Λοκρῶν· καταβρέχων δὲ μέλιτι, ἀντὶ τοῦ κοσμῶν ὕμνῳ ἡδεῖ τὴν πόλιν αὐτῶν τὴν καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν· τὸν υἱὸν τοῦ Ἀρχεστράτου, ἤγουν σὲ ἤνεσα, ἀντὶ τοῦ ἐπαινῶ, ὃν εἶδον, ἀντὶ τοῦ ἔγνων νικῶντα ἔργῳ τῆς ἰσχύος τῶν χειρῶν, τουτέστι πυγμῇ ἐν Ὀλυμπίᾳ κατ' ἐκεῖνον τὸν χρόνον, ὅτε ἠγωνίζετο δηλονότι, κατὰ τὴν ἰδέαν τε, ἤγουν τὸ εἶδος, τὴν μορφὴν καλὸν ὄντα, ἤτοι εὐειδῆ, ὥρᾳ τε, ἤγουν ἀκμῇ ἡλικίας κεκραμένον, τουτέστι συνόντα, ἥτις ποτὲ, ἤγουν ἡ ὥρα, ἅμα τῇ Ἀφροδίτῃ ἄλαλκε τῷ Γανυμήδει, ἤγουν ἐβοήθησεν ἀποσοβήσασα τὸν ἀναιδῆ θάνατον, τουτέστι τὸν ἄκαμπτον, τὸν φθοροποιόν. § ἀναιδὴς γὰρ οὗτος κυρίως, ἐπεὶ οὐδενὸς αἰδῶ φυλάττει. [6]) § Κυπρογενεῖ, τῇ Ἀφροδίτῃ· τουτέστιν ὡραῖος ὢν καὶ ὑπὸ Διὸς ἁρπαγεὶς συνουσίας χάριν ἀθάνατος γέγονεν. [7]) Rec.

114. Ἀναπάσσει] ἀναπέμπει, ἀναβάλλει, ἀναποικίλλει. Vet.

115. Τρέφοντι [8]) δ' εὐρὺ κλέος] αὔξουσι δέ σου τὸ κλέος αἱ Μοῦσαι καὶ οἱ λόγοι. ἀθάνατοι γὰρ οἱ διὰ τῶν λόγων ἔπαινοι. § Ἄλλως. ἔχουσι [9]) δὲ αἱ Μοῦσαι μέγιστον κλέος τῶν νικησάντων. Vet.

117. Ἐγὼ δὲ συνεφαπτόμενος σπουδῇ] καὶ αὐτὸς δὲ ἐγὼ ἐν τῇ σπουδῇ συνεφαπτόμενος τῶν Μουσῶν, συλλαμβανόμενος καὶ συνεργῶν τρέφω σου τὸ κλέος καὶ αὔξω, εἴς τε τὸ τῶν λόγων ἐμαυτὸν ἐμβάλλων καὶ ὡσανεὶ μέλιτι πιαίνω τὴν πόλιν καὶ ἡδέως διατίθημι ὑμνῶν. Vet.

1) Παρ' αὐτ. τ. ν. addidi ex Vrat. A. quippe in quo post vs. 117. legitur scholium: τερπνόν· βραχὺ τυγχάνει περὶ αὐτὴν τὴν νίκην. 2) Vrat. D. 3) Vrat. A. post vs. 117. 4) Supplevi ex Vrat. A. 5) Iliad. γ, 126. Vrat. A. ἀνέπασσεν. 6) Omittit Mosc. B. Vrat. C. habet Cygn. 7) Mosc. B. Vrat. C. 8) Sic Gott. Vrat. D. in lemmate. Vulgo ἔχοντι. 9) Hic quoque Vrat. D. τρέφουσι.

Digitized by Google

Συνεφαπτόμενος] συνακολουθῶν. Gl. γ.

Σπουδᾷ] τῇ σπουδῇ τῶν Μουσῶν. Vet.

118. Κλυτόν] ἔνδοξον. Gl. γ.

Ἀμφέπεσον] κατήντησα. Gl. γ.

Ἀμφέπεσον μέλιτι καταβρέχων] ὥρμησα, αὐτῷ τῷ ποιήματι, φησὶν, καταβρέχων, τουτέστιν ὑμνῶν. Vet.

119. Παῖδ' ἐρατόν] ταῦτα κομματικὰ καθ' ἑαυτὸν λέγει. [1]) Vet.

120. Ἐρατόν] ἐπιθυμητόν. Gl. γ.

Τὸν εἶδον] ἀντὶ τοῦ ἔγνων. Vet.

121. Κρατέοντα] νικῶντα. Vet.

Χειρὸς ἀλκᾷ] ἀντὶ τοῦ πυκτικῇ. Vet.

122. Κεῖνον κατὰ χρόνον] τὴν βραδυτῆτα τοῦ ἐπινίκου καὶ νῦν ἐπιδείκνυται· οὐ γὰρ ἐν ᾧ καιρῷ ἐνίκησεν, ἔγραψε τὸν ὕμνον. [2]) § καὶ τῷ κάλλει τοῦ σώματος, φησὶν, ἀναλόγως συγκεκραμένον καὶ φαιδρυνόμενον τῇ τούτου ὥρᾳ, ἥτις ὥρα τῆς ἡλικίας, φησὶ, ποτὲ τὸν ἀναιδῆ θάνατον ἀπεκώλυσε τοῦ Γανυμήδους ἅμα τῇ Ἀφροδίτῃ. καὶ γὰρ δι' αὐτὴν καὶ διὰ τὸ κάλλος ἀθάνατος ἐγένετο. Ὅμηρος· [3])

Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διΐ οἰνοχοεύειν
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη. Vet.

Ἰδέᾳ τε καλόν] καὶ τῇ ὥρᾳ τοῦ σώματος ἐναβρυνόμενον καὶ τῷ κάλλει. [4]) Vet.

123. Κεκραμένον] τεθραμμένον. Gl. γ.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ΙΒ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δωδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ δωδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων θ'. Τὸ α' ἰαμβέλεγος, λειπούσης τῆς πρώτης συλλαβῆς ἢ τοῦ τέλους μετακειμένου ἐπὶ τὴν ἀρχήν. Τὸ β' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ γ' προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικὸν, ὅμοιον τῷ·

Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην. [5])

1) Vrat. D. 2) Supplevi ex Vrat. A. 3) Iliad. υ, 234. 4) Vrat. A. ubi ἐναυρονόμενον. 5) Hephaest. p. 19. ubi ut hic vulgo ἐδασάμην. Correxi e Vrat. D. Versus mentionem omittit liber Trichae ἐκ παλαιοῦ βιβλίου, in ceteris vulgaribus his scholiis praeter exiguas varietates consentiens.

Digitized by Google

Τὸ ε' Πινδαρικὸν ἐκ Στησιχόρου, τρίμετρον ἀκατάληκτον. Τὸ ς' ἰαμβέλεγος, τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν μετακειμένου. Τὸ ζ' Εὐριπίδειον. Τὸ η' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θ' Εὐριπίδειον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ι'. Τὸ α' ἐγκωμιολογικόν. Τὸ β' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' Εὐριπίδειον. Τὸ δ' ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ε' προσοδιακὸν δίμετρον καὶ συλλαβή. Τὸ ς' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ' ἰαμβέλεγος, τῆς πρώτης ἀφῃρημένης ἢ τοῦ τέλους μετακειμένου. Τὸ η' Πινδαρικὸν ἀπὸ Στησιχόρου. Τὸ θ' Στησιχόρειον. Τὸ ι' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Aliud ex Vrat. A. Mosc. B.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δωδεκάτου εἴδους. ἔστι δὲ μιᾶς στροφῆς.

Τοῦ δωδεκάτου εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ ἑκάστη κώλων ἐννέα. Τὸ πρῶτον προσοδιακὸν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου δευτέρου, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος καταληκτικοῦ. οἱ δὲ λέγοντες τοῦτο ἰαμβέλεγον, καινοτομοῦντες [1]) ἃ οὐκ ἔξεστιν, οὐ καλῶς μοι δοκοῦσι λέγειν. Τὸ β' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τροχαϊκῆς συζυγίας καὶ χοριάμβου. Τὸ γ' προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ ἐλάσσονος καὶ χοριάμβου. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικὸν, ὃ καλεῖται Ἀρχιλόχειον. Τὸ ε' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον Στησιχόρειον τῷ Πινδαρικῷ ἔθει· ἴαμβον γὰρ ἔχει ἐν τῇ τελευταίᾳ χώρᾳ. Τὸ ς' ὡς ἐμοὶ δοκεῖ προσοδιακόν ἐστιν ὅμοιον τῷ πρώτῳ. ἐκ τῶν αὐτῶν γὰρ ποδῶν σύγκειται, πλὴν τρίμετρόν ἐστιν ἀκατάληκτον. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα. Τὸ ζ' Εὐριπίδειον ἢ ληκύθιον. τροχαϊκὸν γάρ ἐστιν ἑφθημιμερές. Τὸ η' προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές. Τὸ θ' ὅμοιον τῷ ζ'. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος.

Ἐπῳδὸς κώλων ι'.

Τὸ α' ἐγκωμιολογικὸν διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ β' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' Εὐριπίδειον ἢ ληκύθιον. Τὸ δ' ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ε' προσοδιακὸν, ὅμοιον τῷ η' τῆς στροφῆς, καὶ ἀναπαιστικὸν ἐκ σπονδείου ἑφθημιμερές. Τὸ ς' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

[1]) Sic correxi. Libri καὶ κενοτομοῦντες. Ceterum hoc totum est Triclinii.

Digitized by Google

Τὸ ζ' ὅμοιον τῷ πρώτῳ τῆς στροφῆς, πλὴν ἐκ τροχαϊκῆς συζυγίας ἀρχόμενον. Τὸ η' τροχαϊκὸν Στησιχόρειον ὅμοιον τῷ πέμπτῳ τῆς στροφῆς σὺν τῷ Πινδαρικῷ ἔθει. Τὸ θ' Στησιχόρειον καθαρὸν τρίμετρον ἀκατάληκτον. Τὸ ι' ὅμοιον τῷ ς'. Ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος.

Ἐργοτέλει Ἱμεραίῳ.] Ἐργοτέλης Κρὴς μὲν ἦν τῷ γένει πόλεως Κνωσσοῦ, ὃς ἠγωνίσατο ἑβδομηκοστὴν ἑβδόμην Ὀλυμπιάδα καὶ τὴν ἑξῆς Πυθιάδα εἰκοστὴν ἐννάτην. στασιαζομένης δὲ τῆς πόλεως φυγὰς εἰς Ἱμέραν πόλιν Σικελιωτικὴν ἀπῆλθε, καὶ καταλαβὼν πάλιν τὰ ἐν Σικελίᾳ πράγματα στασιαζόμενα πρὸς Γέλωνος καὶ Ἱέρωνος, ἐκδεξάμενος εἰρήνην ἐνίκησε. διὸ πρὸς τὴν εἰρήνην ἀποτείνεται ἐν τῷ προοιμίῳ ὡς αἰτίαν γενομένην τῷ νικηφόρῳ τῆς νίκης. Ἱμέραν δὲ νῦν τὴν πόλιν αὐτὴν λέγει, ἔστι δὲ καὶ ποταμός. ἐκ ταύτης δὲ τῆς Ἱμέρας καὶ Στησίχορος ὁ μελοποιός. ἦν δὲ ὁ Ἐργοτέλης υἱὸς Φιλάνορος, καὶ ἐπολιτογραφήθη ἐνταῦθα. § Ἐργοτέλει] Ὀλυμπιάδα μὲν ἐνίκησεν οζ', καὶ τὴν ἑξῆς κθ' Πυθιάδα, Πυθιάδα δὲ καὶ κε', καὶ Ἴσθμια ὁμοίως. αὐτὸς δὲ ὁ Ἐργοτέλης ἦν μὲν τὸ γένος Κρὴς Κνώσιος, φυγαδευθεὶς δὲ ἐντεῦθεν ἀπῆλθεν εἰς Ἱμέραν πόλιν τῆς Σικελίας, ἐξ ἧς ἦν ὁ Στησίχορος ὁ μελοποιός, καὶ πολίτης γραφεὶς ἐνταῦθα ἤθλησεν. διὰ δὲ τοῦ προοιμίου εὔχεται ἀεὶ τὴν Ἱμέραν ἐλευθέραν εἶναι καὶ ἀνυπότακτον ἄλλοις· φανερὸν δὲ καὶ, ὅτι διὰ τοῦτο τὴν Τύχην προσαγορεύει Διὸς Ἐλευθερίου παῖδα, ἣν καὶ παρακαλεῖ ἀμφιπολεῖν τὴν Ἱμέραν. [1]) Vet.

Ἐργοτέλης Κρὴς ὢν τὸ γένος καὶ τῆς πόλεως αὐτοῦ Κνωσοῦ στασιαζομένης ἀπῆρεν εἰς Ἱμέραν πόλιν Σικελίας, ἔνθα καὶ ἑτέραν στάσιν εὑρὼν, Γέλωνος καὶ Ἱέρωνος ἐπιπεπαυμένων τῆς μάχης εἰρήνη ἐγένετο. ἀπελθὼν οὖν οὗτος εἰς Ὀλυμπίαν δόλιχον δρόμον νικᾷ· ἔστι δὲ ὁ δόλιχος εἶδος δρόμου· κατὰ τὴν οζ' Ὀλυμπιαδα. εἶτα νικᾷ καὶ Πύθια καὶ Ἴσθμια. ἀποτείνεται οὖν Πίνδαρος πρὸς τὴν Τύχην τὴν τὴν εἰρήνην ποιήσασαν, εἶτα πρὸς τὰς ἐλπίδας, δεικνὺς ἐντεῦθεν ὡς οὐδεὶς οἶδε τὸ μέλλον ἐπελθεῖν αὐτῷ· τοῦτο δὲ ἐποίησε διὰ τὸν Ἐργοτέλην ἐξελθόντα μὲν τῆς πατρίδος αὐτοῦ διὰ στάσιν, ἵνα πρὸς εἰρηναῖον χωρίον γένηται, εὑρόντα δὲ καὶ τὴν Σικελίαν στασιαζομένην. [2]) Rec.

1. Λίσσομαι] παρακαλῶ. Gl. γ.

Λίσσομαι παῖ Ζηνὸς Ἐλευθερίου] τὴν Εἰρήνην Ἐλευθερίου Διὸς ὑποτίθεται θυγατέρα διὰ τὴν ἐνοῦσαν τοῖς εἰρηνεύουσιν ἐλευθερίαν. ἔστι δὲ ὡς τὸ Χρύσην ἀμφιβέβηκας. [3]) § ἱκετεύω οὖν σε, ὦ τοῦ Ἐλευθερίου Διὸς παῖ Τύχη Σώτειρα, σώζουσα, περὶ τῆς μεγαλοσθενοῦς πόλεως τῆς Ἱμέρας καλουμένης. ἔστι δὲ Ἱμέρα πόλις Σικελίας. Ἀμφιπόλει δὲ, περιπόλει, σῶζε. εὔχεται δὲ μὴ ὑποταγῆναι τὴν Ἱμέραν μηδενί. § κα-

[1]) Haec Vrat. A. sed nimium corrupta. Sub initium codex: καὶ τὴν ἑξῆς ηθ', Πυθιάδι δὲ κε', quae ut aliquo modo ferri possent, ex vulgatis scripsi καὶ τὴν ἑξ. κθ' Πυθιάδα; Πυθιάδα δὲ καὶ κε'. Patet enim ex ipso carmine Pythia Ergotelem bis vicisse: tamen numerum κε' verum esse non arbitror. Pro ἤθλησεν, hoc est ἠγωνίσατο, codex ἠθέλησεν, deinde εὔχεσθαι, et omisso ὅτι habet προσαγορεύειν, post quod delevi καί. Pro verbo ἀμφιπολεῖν codex praebet Ἀμφίπολιν. [2]) Ex Vrat. C. Mosc. B. [3]) Iliad. α, 37.

Digitized by Google

ταλυθέντων τῶν περὶ Ἱέρωνα, ἀθλήσας ἤδη ἐνίκησεν. ὅθεν λέγει τὸν Ἐλευθέριον Δία ἐπὶ τῶν Σικελιωτῶν κατελευθερωθέντων τῆς τυραννίδος. [1]) Vet.

Λίσσομαι παῖ Ζηνός] ὦ Τύχη σώζουσα Τοὺς ἀνθρώπους, ἥγουν φυλάττουσα, περιέπουσα, θύγατερ τοῦ Διὸς τοῦ Ἐλευθερίου, τουτέστι τοῦ ἐφόρου τῆς ἐλευθερίας. Διὸς δὲ Ἐλευθερίου θυγατέρα λέγει αὐτὴν, ἐπεὶ ἐδόξαζον αὐτὴν ὑψοῦν τε καὶ ἀπαλλάττειν δουλείας καὶ φυλάττειν τῶν ἐλευθέρων τὴν ἐλευθερίαν. λίσσομαι, ἥγουν ἱκετεύω ἀμφὶ τῇ Ἱμέρᾳ τῇ πόλει, ἀντὶ τοῦ περὶ τῆς Ἱμέρας τῆς πόλεως τῆς εὐρυσθενοῦς, τουτέστι τῆς πολλὴν ἐχούσης δύναμιν. [2]) § ἢ οὕτως· ἱκετεύω ἀμφιπόλει, ἥγουν περιπόλει, περίεπε, ἐπισκοπῆς ἀξίου τὴν Ἱμέραν τὴν πόλιν τὴν πολλὴν ἔχουσαν δύναμιν. ὑπὸ σοῦ γὰρ κυβερνῶνται ἐν τῇ θαλάσσῃ αἱ ταχεῖαι νῆες καὶ ἐν τῇ χέρσῳ, ἀντὶ τοῦ τῇ γῇ οἱ πόλεμοι οἱ λαιψηροὶ, ἥγουν οἱ σφοδροὶ τὴν ὁρμὴν καὶ δραστήριοι· ὑπὸ σοῦ κυβερνῶνται καὶ αἱ ἀγοραὶ αἱ βουληφόροι, τουτέστιν οἱ τόποι, ἔνθα αἱ βουλαὶ δίδονται, ἤτοι τὰ βουλευτήρια. [3]) Rec.

4. *Τὶν γὰρ ἐν πόντῳ*] σοὶ, Δωρικῶς. διὰ σὲ γὰρ, φησὶ, καὶ νῆες ἐν τῇ θαλάσσῃ ἰθύνονται. § ἐπεὶ καὶ αἱ νῆες ἐν τύχῃ τινὶ κινοῦνται· ὁμοίως δὲ καὶ αἱ δημηγορίαι γίνονται. [4]) Vet.

Κυβερνῶνται] βοηθοῦνται καὶ οὐκ εἰς κλύδωνα πίπτουσιν ἢ πεσοῦσαι ταχέως ἀπαλλάττονται. [5]) Rec.

5. *Λαιψηροί τε πόλεμοι*] τουτέστι κοῦφοι καὶ ἀνόητοι, διὰ τὸ ἀνοήτως ποιεῖν ὁρμᾶν τοὺς μαχομένους ἐν τῷ πολέμῳ, ἤτοι ὅτι ὀξέως ἡ ὀργὴ τῶν ἀνθρώπων διανίσταται, ἐξ ἧς ὁ πόλεμος. ψευδῆ δὲ μεταμώνια εἶπεν ἀντὶ τοῦ μετέωρα καὶ αἰρόμενα. τὸ δὲ τάμνοισαι ἀπὸ μεταφορᾶς τῶν νεῶν εἴληπται. ὥσπερ γὰρ αἱ νῆες τρέχουσιν, οὕτω καὶ αἱ τῶν ἀνθρώπων ἐλπίδες ἀνὰ πολλὰ πράγματα φέρονται καὶ κυλίονται, καὶ οὐδὲν ὧν ᾠήθησαν ἀληθὲς εὑρίσκουσι. τοῦτο δὲ πρὸς τὸν ὑμνούμενον, ἐπεὶ φυγὰς γενόμενος καὶ νομίσας δυστυχεῖν ἐνίκησε παρὰ προσδοκίαν. [6]) § ἢ ὑπὸ σοῦ. διὰ τὴν Τύχην οὖν φησι καὶ τὰς ἐν ἀνθρώποις ἐλπίδας ἐκκλείεσθαι. § διὰ σὲ, ὦ Τύχη, πάντα γίνονται. αἱ γοῦν τῶν ἀνθρώπων ἐλπίδες πολλάκις ἀντιστρόφῳ τῇ προσδοκίᾳ χρησάμεναι μάτην διεξῆλθον καὶ περισσῶς ἠλπίσθησαν. Vet.

Εἰ μὲν ἄρθρον πρὸς τὸ λαιψηροὶ λάβῃς ἔξωθεν, οὕτως ἐρεῖς· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ λαιψηροὶ πόλεμοι, ἥγουν οἱ λαιψηρῶς καὶ κούφως καὶ ἀνοήτως τοῖς ἀνθρώποις γινόμενοι, ἢ οἱ λαιψηρῶν καὶ ταχυτάτων καὶ σπουδαίων ἀνθρώπων δεόμενοι. εἰ δὲ χωρὶς τοῦ ἄρθρου, οὕτως· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ πόλεμοι· ποταποί; λαιψηροὶ καὶ ταχεῖς· ἥγουν ταχέως παύονται. οὕτω δὲ ἐρεῖς καὶ τὸ βουλαφόροι καὶ χωρὶς ἄρθρου καὶ μετὰ ἄρθρου. τοῦτο δὲ λέγει, ἐπεὶ εἰρήνης ὑπὸ τύχης γινομένης βουλευτήρια καὶ δικαστήριά ἐστιν. [7]) Rec.

Λαιψηροί] μεγάλοι. Gl. γ.

1) Vrat. A. Addidi *λέγει*. 2) Habet etiam Leid. B. Cygn. Lips. Mosc. B. 3) Habet etiam Leid. B. Cygn. Lips. Mosc. B. 4) Vrat. A. 5) Ex Vrat. C. Mosc. B. In hoc legitur *ἀπαλλάττουσιν*. 6) Supplevi ex Vrat. A. qui ante *ἀνθρώπων* habet *ἐλπίδων* et post *κυλίονται* praestat *τοῖς ποιήμασι*, quae delevi. Pro hoc scribere possis *τοῖς πήμασι*. 7) In Mosc. B. nigro suppleta est prima littera. Leid. B. Ciz. Lips. et Cygn. non habent. Est Triclinii.

Digitized by Google

6. *Αἵ γε μὲν ἀνδρῶν*] ὃ ἄν τις ἐλπίζοι, οὐκ εὐθέως ἀποβαίνει, οὐδὲ εὐθυποροῦσιν αἱ ἐλπίδες, ἀλλὰ ποτὲ μὲν εἰς ὕψος φέρεται τὰ προσδοκώμενα, ὁτὲ δὲ ῥίπτεται καὶ ταπεινοῦται. [1]) Vet.

Αἵ γε μὲν ἀνδρῶν] αἵ γε μὴν ἐλπίδες τῶν ἀνθρώπων κυλίνδονται, ἤγουν ἐν τῇ στροφῇ τοῦ χρόνου συμφέρονται, τέμνουσαι, ἀντὶ τοῦ ἐλπίζουσαι, λογιζόμεναι πολλὰ ἄνω ἔσεσθαι, τὰ δὲ δὴ κάτω, ψευδῆ μεταμώνια ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ψευδῶς, ματαίως. σύμβολον δὲ, ἤγουν σημεῖον προγνωστικὸν ἀσφαλὲς οὔπω τις κατενόησεν ἀπὸ τοῦ θεοῦ περὶ τῆς ἐσομένης πράξεως, ἤγουν τύχης. τῶν δὲ μελλόντων, ὁ δὲ ἀντὶ τοῦ γὰρ, ἤγουν αἱ φραδαὶ γὰρ, τουτέστιν αἱ γνώσεις τῶν μελλόντων τετύφλωνται, ἀντὶ τοῦ ἀφανεῖς, ἄδηλοί εἰσιν. [2]) § Αἱ δὲ ἐλπίδες κυλίνδονται καὶ δίκην τροχοῦ περιφέρονται, τέμνοισαι καὶ ποιοῦσαι πολλὰ τῶν ἀνδρῶν ἄνω, τὰ δὲ, καὶ ἄλλα δὲ, κάτω, ψευδῆ μεταμώνια καὶ μάταια· τουτέστιν ἑτεράς τις ἐλπίζει καὶ ἑτεράττα ἀποβαίνει. ἔστι δὲ τὸ ψευδῆ καὶ τὸ μεταμώνια ἑρμηνεία τοῦ ἄνω καὶ κάτω. καὶ γὰρ ἡ τοιαύτη ἀνατροπὴ ψευδεῖς τοὺς ἐλπίζοντας τίθησιν· ἢ τὸ ἐλπίδες πρὸς τὸ ἀνδρῶν συναπτέον. [3]) Rec.

10. *Σύμβολον δ' οὔπω τις ἐπιχθονίων πιστόν*] τοιγαροῦν, φησὶν, οὐδεὶς τῶν ἀνθρώπων τεκμήριον ἢ σημεῖον δυνάμενον πιστώσασθαι περὶ τῶν ἐλπιζομένων πράξεων εὕρατο παρὰ θεῶν, ὅτι πάντως ἐκβήσεται κατὰ τόνδε τὸν τρόπον ὡρισμένως. § Ἄλλως. οὐδεὶς ἀνθρώπων περὶ πράξεως μελλούσης ἔσεσθαι πιστὸν εὗρε παρὰ θεῶν σῆμα. σύμβολον, ἀρσενικῶς καὶ οὐδετέρως. [4]) Φιλόχορος δὲ τὰς ἐκ φήμης μαντείας, τουτέστι κληδόνας καὶ πταρμοὺς ἢ φωνὰς ἢ φήμας ἢ ἀπαντήσεις σύμβολά φησι λέγεσθαι, ὡς Ἀρχίλοχος·

Μετέρχομαί σε σύμβολον ποιουμένη. [5])

χρήσασθαι δὲ αὐτοῖς πρώτην Δήμητραν. Vet.

Ἐπιχθονίων] ἐπιγείων. Gl. β. γ.

13. *Τετύφλωνται φραδαί*] ἀπροόρατοί εἰσιν αἱ γνώσεις καὶ ἀφανεῖς αἱ ἀποβάσεις. [6]) Vet.

14. *Πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν*] καὶ γὰρ τοῖς ἕτερα τῆς γνώμης προσδοκῶσι τὰ ἐναντία συνέβη. τὸ δὲ ἔπεσεν ἀπὸ μεταφορᾶς τῶν κύβων. οἱ μὲν γὰρ τὰ ἐναντία, ἢ ὡς προσεδόκησαν καὶ μετεῖχον τέρψεως, εὕραντο, οἱ δὲ χαλεπαῖς καὶ δειναῖς πραγμάτων ζάλαις περιτυχόντες μέγιστον ἀγαθὸν αἰφνιδίως ἀντηλλάξαντο τοῦ προσδοκωμένου κακοῦ. πάντων δὲ τῶν προειρημένων ὁ σκοπὸς τὴν ἀναφορὰν εἰς τὸν Ἐργοτέλη ἔχει· ἐπειδὴ προσδοκήσας ἐκ τοῦ κατὰ Κρήτην πολέμου καὶ τῆς φυγῆς ἀδέξια τὰ μέλλοντα, δι' εὐτυχίαν πολλὴν ὕστερον δόξαν ἐκτήσατο. Vet.

Πολλὰ δ' ἀνθρώποις] πολλὰ δὲ ἔπεσεν, ἀντὶ τοῦ ἀπέβησαν τοῖς ἀνθρώποις παρὰ προσδοκίαν, ἔμπαλιν δὴ τέρψεως, ἤγουν κατὰ τὸ ἐναντίον τῆς παρούσης αὐτοῖς τέρψεως· οἱ δὲ ἀλγειναῖς ταραχαῖς ἀντικύρσαντες, ἀντὶ τοῦ ἐγκύρσαντες, ἤτοι ἐντυχόντες, ἐν

1) Vrat. A. in quo ἐλπίζει et δοκώμενα. 2) Habet Leid. B. Cygn. Mosc. B. et Lips. 3) Omittit Leid. B. Cygn. Lips. 4) Hoc comma addidi e Vrat. A. D. Pergitur in utroque: συμβόλους γὰρ λέγομεν πταρμοὺς etc. Cf. Schol. Ariſtoph. Av. 722. ubi etiam Philochori mentio. 5) Gott. Vrat. D. ποιούμενος. Verum est ποιουμένη, quippe Ceres Proserpinam quaerens. 6) Vrat. A.

Digitized by Google

μικρῷ χρόνῳ, ἀντὶ τοῦ ἐν βραχεῖ, εἰς πολὺ ἀγαθὸν ἀπὸ πήματος, ἤτοι ἀπὸ κακοπαθείας, ἀπὸ βλάβης, πεδάμειψαν, ἀντὶ τοῦ μετήμειψαν, ἤτοι μετέπεσον. [1]) Rec.

15. Ἔμπαλιν μὲν τέρψιος] τὰ ἐναντία τῇ τέρψει, τουτέστι τὰ ἀηδῆ. ἔνιοι δὲ ζάλαις περιπεσόντες καὶ πραγμάτων χειμῶσιν ἐν μικρῷ χρόνῳ μετήμειψαν καὶ μετήλλαξαν εἰς βαθὺ καὶ μέγα ἀγαθὸν παραγενόμενοι. ταύτην δὲ τὴν γνώμην λέγει πολλάκις ὁ Πίνδαρος, ὅτι παρὰ μὲν εὐτυχίαν κακὸν ἐμβαίνειν εἴωθε, παρὰ δὲ δυστυχίαν ἀγαθόν. καὶ γὰρ ὁ Ἐργοτέλης φυγαδευθεὶς καὶ ἔπειτα ἆθλον ἀγωνισάμενος ἐνίκησεν. [2]) Vet.

Τέρψιος] χαρᾶς. Gl. γ. εὐφροσύνης. Gl. β.

16. Ἀντικύρσαντες] ἀντὶ τοῦ ἐντυχόντες ζάλαις καὶ τρικυμίαις. [3]) Vet.

Ἀντικύρσαντες] ἐμπεσόντες. Gl. β.

17. Πήματος ἐν μικρῷ] λείπει ἡ ἀντί, ἵν' ᾖ· ἀντὶ πήματος. τοῦτο δὲ εἶπε διὰ τὸν Ἐργοτέλην· καὶ γὰρ οὗτος ἐκ πημάτων τῶν περὶ τὴν ἀπόπτωσιν ἀγαθὸν ἔσχε τὴν νίκην. Vet.

19. Υἱὲ Φιλάνορος] ὁ λόγος πρὸς τὸν Ἐργοτέλην υἱὸν ὄντα Φιλάνορος. λέγει δὲ προδεδηλωκώς, ὅτι φιλεῖ μεταπίπτειν ἐξ ἀγαθῶν μὲν κακά, ἐκ κακῶν δὲ ἀγαθά· ὅτι καὶ Ἐργοτέλης εἰ μὴ ἐφυγαδεύθη, οὐκ ἂν ἠγωνίσατο. [4]) Vet.

Υἱὲ Φιλάνορος] ὦ υἱὲ τοῦ Φιλάνορος Ἐργότελες, ὄντως δὴ καὶ ἡ σὴ τιμὴ τῶν ποδῶν, ἀντὶ τοῦ καὶ ἡ τιμὴ τῆς ταχυτῆτος τῶν σῶν ποδῶν ἄδοξος ἂν κατεφυλλορρόησεν, ἤγουν κατεμαράνθη παρὰ τῇ οἰκίᾳ τῇ συγγόνῳ, ἀντὶ τοῦ τῇ συγγενικῇ, τῇ πατρικῇ, καθὰ ἀλέκτωρ ἔνδον, ἐν τῷ οἴκῳ τὰς μάχας ποιούμενος, ἀφανής ἐστι δηλονότι, εἰ μὴ ἡ μάχη ἡ ἀντιάνειρα, τουτέστιν ἡ ἐξ ἐναντιώσεως τῶν ἀνδρῶν γινομένη, ἐστέρησέ σε τῆς πατρίδος τῆς σῆς τῆς Κνωσίας, ἀντὶ τοῦ τῆς Κνωσοῦ, τὸ κτητικὸν ἀντὶ τοῦ ἁπλοῦ. [5]) Rec.

20. Ἐνδομάχας ἅτ' ἀλέκτωρ] τὸν ἀλέκτορα παρείληφε διὰ τὸ κατοικιδίους ποιεῖσθαι τὰς μάχας τὸ ζῶον τοῦτο καὶ μηδὲν λόγου ἄξιον δρᾶν δημοσίᾳ. θέλει δὲ εἰπεῖν, ὅτι εἰ μὴ ἔφυγεν ἐκ τῆς πατρίδος, οὐκ ἂν ἐστεφανώθη. § Ἄλλως. τί οὖν, φησίν, ὦ τοῦ Φιλάνορος υἱὲ, Ἐργότελες; καὶ ἡ σὴ τιμὴ ἀκλεὴς ἂν ἐγένετο, καὶ ἀπεμαράνθη ἂν καὶ ἀπώλετο ἡ τῆς ὀξύτητός σου τῶν ποδῶν δόξα, εἴπερ ἐν τῇ τῶν προγόνων σου ἑστίᾳ παρέμειας, ἐκεῖ μόνον ἀγωνιζόμενος, ὡσεί τις ἀλέκτωρ ἐνοικίδιος τοῖς ἔνδον ὄρνισι [6]) μαχόμενος, καὶ μὴ ἡ γεγενημένη στάσις καὶ ὁ πόλεμος ὁ ἐν τῇ πατρίδι σου τῇ Κνωσῷ στερήσας σε ἦν τῶν οἰκείων καὶ ποιήσας ἀναχωρῆσαί σε τῆς πατρίδος, ὥστε δυνηθῆναι τὸν Ὀλυμπιάσιν ἀγῶνα νικῆσαι. Vet.

21. Συγγόνῳ παρ' ἑστίᾳ] ἐν τῇ Κρήτῃ κατοικίδιον ἂν ἔσχε τὴν ἀρετήν. συγγόνῳ, ἐν τῇ συγγενικῇ, τῇ ἀπὸ προγόνων· Κνώσιος γὰρ ἦν. λέγει δὲ, ὅτι καὶ τὸ δόξαν κακῶς γεγενῆσθαι, τὸ τῆς φυγῆς, τοῦτο αὐτῷ ἀγαθὸν προέβη. Vet.

25. Νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος] ἐκ δὲ ταύτης τῆς αἰτίας, φησὶ, τῆς

1) Habet Leid. B. Cygn. Lips. Mosc. B. 2) Inde a ταύτην e Vrat. A. qui ἐπὶ pro ἔπειτα. 3) Vrat. A. qui ἔτυχεν pro ἐντυχ. 4) Vrat. A. qui μεταπίπτει habet, et post προδεδηλωκὼς verba τῶν συμμαχίων, quae delevi. 5) Habet Leid. B. Cygn. Lips. Mosc. B. Cetera Lipsiensis codicis scholia ad hoc carmen desunt, quia folium perierat, quod recentior manus supplevit, omissis huius odae scholiis. 6) Vulgo ὁρῶσι, Beckius ὁρμῶσι. Recepi elegantem coniecturam Bothii T. II, p. 63.

Digitized by Google

κατὰ τὴν φυγὴν στεφθεὶς ἐν Ὀλυμπίᾳ καὶ ἐν Πυθίᾳ καὶ ἐν Ἰσθμῷ τὰ θερμὰ ὕδατα τῶν Νυμφῶν ἐν τῇ Ἱμέρᾳ ὑψοῖς καὶ ἐπαίρεις τῇ δόξῃ. § Ἄλλως. τὰ ἐν τῇ Σικελίᾳ θερμὰ λουτρὰ τὰ τῆς Ἱμέρας πόλεως λέγεται Ἀθηνᾶν ἀναδοῦναι εἰς ἀπόλουσιν Ἡρακλεῖ· τινὲς δὲ τὰς Νύμφας ἀναδοῦναι αὐτά, καθὼς ὁ Πίνδαρος· ἵνα ἀπολούσηται, ὅτε τὰς Γηρυόνου βοῦς ἀπελαύνων παρεγένετο. βούλεται δὲ λέγειν ἀπὸ μέρους αὐτὴν τὴν πόλιν· τόπος γὰρ ἐν αὐτῇ τὰ θερμὰ λουτρὰ τὰ φυσικὰ ἔχων. [1]) Vet.

Νῦν δ' Ὀλυμπίᾳ] νῦν δέ, ὦ Ἐργότελες, τούτου γενομένου, ἐν τῇ Ὀλυμπίᾳ στεφανωσάμενος, ἤγουν νικήσας, καὶ δὶς ἐν Πυθῶνι νικήσας καὶ ἐν τῷ Ἰσθμῷ νικήσας τὰ θερμὰ λουτρὰ τῶν Νυμφῶν τὰ ἐν τῇ Ἱμέρᾳ τῇ πόλει βαστάζεις, ἤγουν ὑψοῖς, μεγαλύνεις, ὁμιλῶν, τουτέστιν οἰκῶν, ἀναστρεφόμενος παρ' αὐτῇ, τῇ Ἱμέρᾳ δηλονότι, ὥσπερ εἰ ἀνεστρέφου παρὰ τῇ οἰκείᾳ γῇ, ἤγουν τῇ πατρίδι σου τῇ Κνωσῷ. [2]) § Ὅτε Ἡρακλῆς λαβὼν τὰς Γηρυόνου βοῦς ἐπανῆει ἐν Σικελίᾳ, αὐτῷ θερμὰ ὕδατα ἐκ τῆς γῆς ἀναδεδόσθαι Ἀθηνᾶ παρεσκεύασεν, ἵνα λουτροῖς αὐτοῖς χρήσαιτο πλεῖστα καμὼν περὶ τὴν ὁδόν. λέγει οὖν τὸ θερμὰ λουτρὰ Νυμφᾶν, ἤτοι τὴν Ἱμέραν πόλιν, συνεκδοχικῶς ἀπὸ μέρους. [3]) Rec.

28. Παρ' οἰκείαις ἀρούραις] λοιπὸν καὶ ὡς ἐν ἰδίᾳ γῇ παροικῶν καὶ σύδενὸς τῶν ἔξωθεν ἐπιδεόμενος. Vet.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ΙΓ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρισκαιδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τοῦ τρισκαιδεκάτου εἴδους ἡ στροφὴ καὶ ἡ ἀντίστροφος κώλων ια'. Τὸ α' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἀπὸ πρώτου ποδὸς ἀδιαφόρου καὶ τροχαίου. ὁ τρί-

[1]) In hoc scholio quae novavi haec sunt. Ante τῆς Ἱμέρας addidi τὰ e Vrat. D. Deinde ἀπόλουσιν dedi pro ἀπόλαυσ. quamquam illa vox ut dubia notatur: nam etsi ἀπόλαυσιν ferri potest, tamen sequentia mihi satis significare videntur, scholiasten scripsisse ἀπόλουσιν. Mox post Ἡρακλεῖ delevi verba ἡνίκα ἐκεῖ ἐφάνη, quae neque quidquam continent, quod non ceteris comprehendatur, et nexum orationis impediunt. Ante Νύμφας addidi τὰς, post Νύμφας verba ἀναδοῦναι αὐτά, utrumque e Vrat. A. et ὁ Πίνδ. scripsi pro vulgato καὶ Πίνδ. e Vrat. D. Βούλεται habet Vrat. D. vulgo λείπεται: ex eodem adieci ultima τὰ φυσικὰ ἔχων. In Vrat. A. exstat etiam hoc: Θερμᾶν νυμφᾶν] ἀντὶ τοῦ θερμαίνεις καὶ αὔξεις (est interpretamentum vocis βαστάζεις, mutato θερμαίνεις in vocem ἐπαίρεις). ἀπὸ μεταφορᾶς (lege μέρους) δέ φησι τὴν Ἡμέραν (Ἱμέραν) ἀντὶ τοῦ τὴν Σικελίαν, ὅτι ἐν Μεγάροις θερμὰ λουτρά ἐστι, αὐτῷ (lege ἃ τῷ) Ἡρακλεῖ φησι (corrige φασι) τὴν Ἀθηνᾶν ἀναδοῦναι etc. Vides in hoc codice omnia confundi. Etenim grammaticus docuerat, θερμοῖς λουτροῖς Himeram significari ἀπὸ μέρους, Vrat. A. Himera Siciliam. Megaridis sive Hyblae mentio nostro loco plane non convenit: ubi etiamsi thermae naturales fuerint, de quo mihi quidem non constat, nemo tamen eas Pindaro explicando advocare potuit, nisi qui ignoraret Himerae thermas fuisse. Quod quis doctus ignoraverit, quum in eius urbis vicem ipsi Thermitani cesserint? [2]) Habent Leid. B. Cygn. Mosc. B. [3]) Omittunt Leid. Cygn. Mosc. B.

Digitized by Google

τος ποὺς παρενομήθη· ὁ γὰρ ἀντίσπαστος ἀπὸ β' τροχαίου, ὅπερ πάσχει κατὰ μέσον. [1]) Τὸ β' Φερεκράτειον. Τὸ γ' ἴαμβος τρίμετρος βραχυκατάληκτος. ὁ β' ποὺς ἀπανταχοῦ τρίβραχυς· ὁ δ' ἄτακτος· σπονδεῖος γὰρ εὑρίσκεται παρὰ τοῖς μελοποιοῖς. Τὸ δ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. [2]) Τὸ ε' διπλῆ περίοδος καὶ διπλοῦς ἴαμβος ἀρχόμενος. Τὸ ς' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον ἀπὸ ἰαμβικοῦ καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος καὶ τροχαϊκῆς συζυγίας τῆς οἰκείας. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ η' ἐπιχοριαμβικὸν, ἀπὸ διποδίας τροχαϊκῆς καὶ χοριάμβου, τῆς τελευταίας καὶ βραχείας [3]) οὔσης διὰ τὴν κατάληξιν. Τὸ θ' προσοδιακὸν ἢ ἀναπαιστικόν. Τὸ ι' Εὐριπίδειον. [4]) Τὸ ια' ἢ ἐπιχοριαμβικὸν ἢ τροχαῖος ἐπίτριτος.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς καὶ αὐτὴ κώλων ια'. Τὸ α' προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς μοι βραχείας οὔσης. Τὸ β' ἐγκωμιολογικόν. Τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. [5]) Τὸ δ' ὅμοιον τῷ η' καὶ τῷ ια' τῆς στροφῆς. Τὸ ε' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' Εὐριπίδειον. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' δακτυλικὸν πενθημιμερές. Τὸ θ' ἐπιωνικὸν ἄτακτον· ὁ γὰρ β' σπονδεῖός ἐστιν, εἶτα ἥμισυ συζυγίας. γίνεται δὲ ἐν τοῖς ἐπιωνικοῖς ἡ ἀταξία, ὡς ἐν τῷ·

. Ὦ καλλίστη πόλι πασῶν ὅσας Κλέων ἐφορᾷ. [6])

Τὸ ι' Εὐριπίδειον. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Aliud e Vrat. A. Mosc. B.

Περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ τρισκαιδεκάτου εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῶν πέντε.

Τοῦ τρισκαιδεκάτου εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ια'. Τὸ πρῶτον ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος τρίτου· ἀδιάφορος γάρ ἐστιν ἡ πρώτη συζυγία. ἃ δὲ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα. Τὸ δεύτερον ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἤτοι ἐφθημιμερὲς, ὃ καλεῖται Φερεκράτειον ἐκ διτροχαίου. Τὸ γ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου ποδὸς χορείου τριβραχέος, τοῦ δὲ τετάρτου σπονδείου, ὃν καὶ ἀτάκτως παρὰ τοῖς μελοποιοῖς φασι κεῖσθαι.

1) Gott. κατὰ μέρος; codex Trichae ἐκ παλαιοῦ βιβλίου, hic quoque exceptis nonnullis varietatibus vulgata scholia praebens, κατὰ μέτρον. Ego hic nihil intelligo: Pauwius intellexerat. An fuit ἀπὸ διτροχαίου, nempe καταληκτικοῦ ⏑ ⏑ –, αἰνέων? 2) Sic Vrat. D. 3) Vulgo ἀπὸ διπ. τρ. χοριαμβικῆς καὶ χοριάμβου τῆς καὶ βρ. οὔσ.: paullo aliter Trichae liber. Correxi partim ex Brubach. partim de coniectura. 4) Sequebatur hoc loco: αἱ δὲ ἀποδόσεις ἐπεὶ μονοσύλλαβοί εἰσιν Ἰωνικαὶ ἀπ' ἐλάσσονος. Delevi haec sensu cassa: et absunt a Vrat. D. 5) Sic Vrat. D. et partim Trichae liber. 6) Hephaest. p. 60. ubi ὅσας pro ὁπόσας, quod olim hoc loco legebatur. Reposui ὅσας e Vrat. D.

Digitized by Google

ἐμοὶ δὲ ἐπιωνικὸν δοκεῖ εἶναι ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικὸν, ἐκ παίωνος δευτέρου, Ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ δ' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον καθαρόν. Τὸ ε' περιοδικὸν ἰάμβοις καὶ τροχαίοις, ἀλλὰ τὸ μὲν ἰαμβικόν ἐστι μονόμετρον ἐξ ἀναπαίστου ἀρχόμενον, τὸ δὲ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, τοῦ δευτέρου ποδὸς δακτύλου. ἐμοὶ δὲ δοκεῖ ἐκ δύο ἰαμβικῶν συγκεῖσθαι κώλων πενθημιμερῶν, καὶ ἔστιν ὥςπερ ἀσυνάρτητον, εἰ καὶ μὴ ἐκ διαφόρων κώλων σύγκειται. εἰ δὲ μὴ παραδίδωσι τοῦτο ὁ μετρικὸς, [1]) οὐδὲν θαυμαστόν· τὰ καιριώτερα [2]) γὰρ παραδίδωσιν, ὡς ἐγχειρίδιον γράφων. Τὸ ς' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, τῆς πρώτης συζυγίας ἰαμβικῆς, τῆς δευτέρας Ἰωνικῆς ἀπ' ἐλάσσονος καὶ τῆς τρίτης τροχαϊκῆς. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ η' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἔχει δὲ ἔν τισι μὲν τοὺς χοριάμβους καθαροὺς, ἔν τισι δὲ ἰαμβικὴν ἢ τροχαϊκὴν συζυγίαν καὶ τὴν κατάληξιν ὡσαύτως ἀδιάφορον. Τὸ θ' προςοδιακὸν ἐξ Ἰωνικοῦ καὶ χοριάμβου· εἰ δὲ βούλει, ἀναπαιστικόν. Τὸ ι' τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον ἐκ δακτύλου ἀρχόμενον. ἐμοὶ δὲ δοκεῖ προςοδιακὸν εἶναι, ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον. Τὸ ια' ἐπιχοριαμβικὸν ἐκ τροχαϊκῆς συζυγίας ἢ ἐπιτρίτου καὶ χοριάμβου. Ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος.

Περὶ τῶν κώλων τῶν ἐπῳδῶν.

Ἑκάστη ἐπῳδὸς κώλων ια'. Τὸ πρῶτον προςοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ β' ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον δακτύλοις μεμιγμένον. Τὸ δ' προςοδιακὸν ἢ ἐπιχοριαμβικὸν ὅμοιον τῷ ια' τῆς στροφῆς. Τὸ ε' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ἕκτον Εὐριπίδειον. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' δακτυλικὸν πενθημιμερές. Τὸ θ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. ἔστι δὲ ὡς φασιν ἀταξία ἐν αὐτῷ· ἡ γὰρ δευτέρα συζυγία ἰαμβικὴ οὖσα ἐν τῇ δευτέρᾳ χώρᾳ σπονδεῖον ἔχει ἀτάκτως· διὸ καὶ ἐπιλαμβάνονται αὐτοῦ. ὡς καὶ τὸ παρ' Εὐπόλιδι ἐπιωνικὸν ἐν τῷ Χρυσῷ γένει τό,

Ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ.

Τὸ ι' Εὐριπίδειον. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Ἐφ' ἑκάστῃ ἐπῳδῷ τὰ συνήθη σημεῖα.

---

1. Τριςολυμπιονίκαν] παρόσον τρεῖς νίκας αὐτοῖς συμβέβηκε γενέσθαι, τῷ μὲν παιδὶ δύο κατὰ τὴν αὐτὴν ἡμέραν πεντάθλῳ καὶ σταδίῳ ἀγωνισαμένῳ, τῷ δὲ πατρὶ Θεσσαλῷ τοὔνομα πρῶτον ἐν τῇ ξθ' Ὀλυμπιάδι. τὸν τριςολυμπιονίκην οἶκον ἐπαινῶν τὸν πρᾶον μὲν πρὸς τοὺς πολίτας, φιλοξενώτατον δὲ πρὸς τοὺς ξένους εἰς γνῶσιν ἄξω, καὶ ὑμνήσω διὰ τούτων καὶ τὴν εὐδαίμονα Κόρινθον τὴν τοῦ Ἰσθμίου Ποσειδῶνος οὖσαν προπύλαιον καὶ οἰκητήριον, ἥτις ἀγλαοὺς κούρους καὶ ἄνδρας ἔχει. ἀγλαόκουρον

1) Hephaestion 2) An κυριώτερα?

Digitized by Google

γὰρ τὴν εὔανδρον λέγει. § Ἄλλως. πρόθυρον καὶ θύρας εἰώθασι καλεῖν τὴν Κόρινθον διὰ τὸ ἀρχὴν ἢ τέλος εἶναι τῆς Πελοποννήσου τὸν Ἰσθμὸν, πρόθυρον δὲ τοῖς εἰς Πελοπόννησον στελλομένοις. Βακχυλίδης· [1]) Ὦ Πέλοπος λιπαρᾶς νάσου θεόδματοι πύλαι. § ἢ οὕτως· ἐπεὶ ἀρχὴ μὲν τοῖς ἀπὸ τῆς Ἑλλάδος εἰς Πελοπόννησον πορευομένοις, ἐσχάτη δὲ τῆς Πελοποννήσου. Vet.

Τριςολυμπιονίκαν λέγει τὸν τοῦ Ξενοφῶντος οἶκον, ἐπειδὴ αὐτῷ μὲν τῷ Ξενοφῶντι δύο Ὀλυμπιακαὶ νῖκαι κατὰ τὴν αὐτὴν ἡμέραν ἐγένοντο πεντάθλου καὶ σταδίου, κατὰ τὴν οθ' Ὀλυμπιάδα νικήσαντι, τῷ πατρὶ δὲ Θεσσαλῷ μία πρόσθεν. § Ἡ Κόρινθος ἐν τέλει μὲν τοῦ Ἰσθμοῦ, ἐν ἀρχῇ δὲ τῆς Πελοποννήσου κειμένη, εἰκότως προπύλαιον τοῦ ἐν Ἰσθμῷ τιμωμένου Ποσειδῶνος τῷ Πινδάρῳ καλεῖται. [2]) † Σύνταξις. Τριςολυμπιονίκαν] τὸν οἶκον ἐπαινῶν τοῦ Ξενοφῶντος τὸν τρὶς ἐν Ὀλυμπίᾳ νενικηκότα, τὸν πρᾷον τοῖς πολίταις, τοῖς ξένοις δὲ θεράποντα, ἀντὶ τοῦ θεραπευτὴν, γνώσομαι, ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἀνάξω τὴν Κόρινθον τὴν πατρίδα τοῦ Ξενοφῶντος τὴν μακαρίαν, τὸ πρόθυρον τῆς Πελοποννήσου δηλονότι τὸ λαμπροὺς ἔχον νέους, τὸ τοῦ Ἰσθμίου Ποσειδῶνος, τουτέστιν ὃ ὁ Ποσειδῶν ὁ ἐν τῷ Ἰσθμῷ τιμώμενος ἔχει κατοικητήριον δηλονότι. ἐν τᾷ [3]) γὰρ, ἤγουν ἐν ταύτῃ τῇ Κορίνθῳ οἰκεῖ ἡ Εὐνομία, ἤγουν ἡ κατὰ νόμους καλῶς ἐνδιαιτωμένη διοίκησις, καὶ αἱ κασίγνηται, ἤτοι αἱ ἀδελφαὶ αὐτῆς τῆς Εὐνομίας δηλονότι, ἡ Δίκη ἡ ἀσφαλὴς, ἀντὶ τοῦ ἡ ἀσφαλείας ποιητικὴ, τὸ βάθρον, ἤγουν ἡ ἀσφάλεια τῶν πόλεων, καὶ ἡ Εἰρήνη ἡ ὁμότροπος, τουτέστιν ἡ τὴν αὐτὴν αὐτῇ γνώμην ἔχουσα, ταμίαι οὖσαι, ἤγουν πάροχοι πλούτου τοῖς ἀνθρώποις, αἱ χρυσαῖ λέγω, ἀντὶ τοῦ αἱ κάλλισται θυγατέρες τῆς Θέμιδος τῆς εὐβούλου, τουτέστι τῆς δίκαια βουλευομένης. Rec.

6. Ἐν τᾷδε γάρ] ἐν γὰρ ταύτῃ τῇ Κορίνθῳ, φησὶν, οἰκεῖ ἡ Εὐνομία καὶ ἡ ἀδελφὴ αὐτῆς ὁμότροφος Εἰρήνη, ὡς Ἡσίοδος· [4])

Δεύτερον ἠγάγετο λιπαρὰν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν. Vet.

7. Βάθρον] θεμέλιον. Gl. β. γ.

Βάθρον πολίων] ἀντὶ τοῦ ἐφ' ὧν πᾶσα πόλις ἀσφαλῶς βέβηκεν. Vet.

8. Δίκα] κρίσις. Gl. γ.

10. Χρύσεαι] θεῖαι. Gl. γ.

11. Θέμιτος] δικαιοσύνης. Gl. γ.

12. Ἐθέλοντι δ' ἀλεξεῖν ὕβριν] ἤτοι εὐκτικῶς εἶπεν, ἀντὶ τοῦ αἱ προειρημέναι θεαὶ ἀπαλεξήσουσι τῶν πόλεων τὴν ὕβριν· ἤτοι βούλοιντο δ' ἂν ἀπαμύνειν τὴν ὕβριν καὶ ἀποκωλύειν. § Ἄλλως. περὶ τῶν Κορινθίων φησὶν, ὅτι βούλημά ἐστιν αὐτοῖς καὶ σκοπὸς ἐκκλίνειν τὴν ὕβριν, ἀντὶ τοῦ καθεστῶτές εἰσι καὶ οὐχ ὑβρισταί. § ἔνιοι δὲ οὕτω· βούλημα δὲ καὶ σκοπὸν ἔχουσιν αἱ τῆς Θέμιδος θυγατέρες ἀπαλεξεῖν τὴν ὕβριν τὴν τοῦ κόρου μητέρα τὴν θρασεῖαν. § Ἄλλως. Ἐθέλοντι δ' ἀλεξεῖν] αἱ

1) Ursin. Fragm. Lyr. p. 203. 346. 2) Hoc scholium abest a Mosc. B. Cygn. 3) Sic Cygn. Leid. A. 4) Theog. 901. Vrat. τέκε κούρας.

Digitized by Google

προειρημέναι θεαὶ ἀλεξήσουσι τὴν ὕβριν τῶν πόλεων. οὐκ ὀρθῶς δὲ τὴν ὕβριν τοῦ κόρου μητέρα λέγει, ἀλλὰ τὸ ἀνάπαλιν εἰπεῖν μᾶλλον ἔδει. Ὅμηρος· [1])

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται. Vet.

Ἐθέλουσι δὲ ἀλεξεῖν, ἤγουν ἀποσοβεῖν, διώκειν τὴν ὕβριν, τὴν τοῦ κόρου θυγατέρα δηλονότι, τὴν μητέρα τῶν θρασέων, ἤτοι τῶν ἐπηρμένων λόγων. § Ὕβριν κόρου] ὕβριν λέγει τὴν ἀδικίαν καὶ πλεονεξίαν, αἳ πλῆθος πολέμων καὶ σφαγῶν καὶ φόνων καὶ παντοίων κακῶν παρασκευάζουσι γίνεσθαι, καὶ πάντων τούτων τοῖς ἀνθρώποις εἰσὶν αἴτιαι. Ὅμηρος δὲ τὸν κόρον πατέρα καλεῖ τῆς ὕβρεως λέγων· Τίκτει τοι κόρος ὕβριν. [2]) † Κόρος λέγεται κυρίως ἐπὶ τοῦ στομάχου, ὅταν ἐμπλησθῇ βρωμάτων· ἀπὸ τούτου δὲ καὶ ἐπὶ τῶν μεγάλης περιουσίας ἀπολαυόντων ἢ τιμῆς ἢ ἑτέρου τοιούτου, καθὸ λέγεται ἐνταῦθα. ὕβρις δὲ ἡ ἀδικία καὶ ἀλαζονεία καὶ ἔπαρσις κατὰ τῶν ὑποδεεστέρων, ἣν ἡ Εὐνομία καὶ ἡ Δίκη καὶ ἡ Εἰρήνη ἀποστρέφεται καὶ διώκει. Rec.

14. Ἔχω καλά τε φράσαι] ἔχω τοίνυν περὶ τῆς Κορίνθου τὰ κάλλιστα διεξελθεῖν. παρορμᾷ γὰρ τὴν γλῶτταν ἡ τόλμα ἡ εὐθεῖα καὶ πρόσφορος νῦν διηγεῖσθαι περὶ αὐτῶν. § Ἄλλως. ἡ ὑπομονὴ καὶ ἡ εὐτολμία τὴν γλῶττάν μου παρορμᾷ λέγειν τὰ ἐπ' εὐθείας καὶ ἐφεξῆς τούτοις πράγμασιν. [3]) Vet.

† Σύνταξις. Ἔχω καλά τε φράσαι] ἔχω καλά τε εἰπεῖν ἐπὶ τῇ Κορίνθῳ, τόλμα τέ μοι εὐθεῖα, τουτέστι καὶ προθυμία εὐθεῖα, ἀντὶ τοῦ δικαία, τὴν γλῶσσάν μου παρορμᾷ εἰς τὸ λέγειν. ἄμαχον δὲ, ἤγουν ἀμήχανον, ἀδύνατον, κρύψαι, ἤτοι σβέσαι, ἐᾶσαι, τὸ συγγεγενημένον ἐμοὶ φυσικὸν ἦθος. ὑμῖν δὲ, ὦ παῖδες, ἀντὶ τοῦ ἀπόγονοι τοῦ Ἀλήτου, τουτέστιν ὦ Κορίνθιοι, πολλάκις μὲν παρέσχον αἱ Ὧραι αἱ πολυειδῆ ἄνθη προτείνουσαι λαμπρότητα νικηφόρον, ἀντὶ τοῦ νικητικὴν, δι' ἐξόχων ἀνδραγαθιῶν ὑπερελθόντων, ἤγουν νικησάντων [4]) ἐν ἱεροῖς, ἤτοι θείοις ἀγῶσιν. Rec.

15. Εὐθεῖα] ὀρθή. Gl. γ.

Ὀρνύει] διεγείρει. Gl. γ.

16. Ἄμαχον δὲ κρύψαι] ἀμήχανον δὲ καὶ ἀδύνατον ἀποκρύψαι τὸ συγγεγενημένον ἦθος καὶ ἐκ φύσεως. [5]) Vet.

Τὸ συγγενὲς ἦθος] τὸ ἔμφυτον, ὥστε καὶ Κορίνθιοι ἀγαθοὶ ἐκ φύσεως ὄντες οὐκ ἄν ποτε μεταβληθεῖεν. § Ἀλήτης ἀνήρ τις ἡγήσατο Ἡρακλείδαις τῆς πρὸς Πελοπόννησον ἐπανόδου. κατοικήσαντος οὖν ἐν Κορίνθῳ Ἀλήτου ἀπ' αὐτοῦ οἱ Κορίνθιοι καλοῦνται. [6]) Rec.

17. Ὕμμιν δὲ, παῖδες Ἀλάτα] τουτέστιν οἱ Κορίνθιοι. Ἀλήτης γὰρ ἡγήσατο τῆς ἀποικίας τῶν Ἡρακλειδῶν, ὅτε οἱ Ἡρακλεῖδαι κατῆεσαν εἰς Πελοπόννησον, καὶ αὐτὸς εἷς ὢν τῶν Ἡρακλειδῶν· ἦν γὰρ Ἱππότου τοῦ Φύλαντος τοῦ Ἀντιόχου τοῦ Ἡρακλέους. οὗτος ἐκράτησε Κορίνθου· διόπερ παῖδας εἶπεν Ἀλήτου τοὺς Κορινθίους ὡς ἀπογόνους. Δίδυμος δέ φησι τὸν Ἀλήτην μὴ οἰκιστὴν τῆς Κορίνθου γεγονέναι, ἀλλὰ βασιλέα ἔτει τριακοστῷ μετὰ τὴν τῶν Δωριέων ἄφιξιν. § ὁ δὲ νοῦς· ὑμῖν γὰρ, ὦ Κο-

1) Immo Theognis vs. 155. Brunck. 2) Abest a Cygn. Leid. A. 3) Vrat. D. 4) Leid. A. et Cygn. ὑπερελθοῦσιν et νικήσασιν, ut Mss. Oxon. 5) Vrat. D. 6) Omittit Cygn. quantum ex schedis colligere licet.

Digitized by Google

ρίνθιοι, τὴν ἀπὸ τῶν νικῶν ἡδονήν τε καὶ τέρψιν παρέσχον αἱ Ὧραι νικηταῖς γενομένοις ἐν τοῖς μεγίστοις καὶ ἱεροῖς ἀγῶσιν. οὐ μόνον δὲ ἐνδόξους διὰ τὰς νίκας τοὺς Κορινθίους αἱ Ὧραι ἐποίησαν, ἀλλὰ καὶ ταῖς καρδίαις αὐτῶν ἐνέβαλον σοφίαν. Vet.

19. Ὥπασάν γ' ἄκραις] αἰτιῶνταί τινες ἀσυνέτως τὸν Πίνδαρον, διότι ὑπερελθόντων εἶπε δέον ὑπερελθοῦσιν εἰπεῖν πρὸς τὸ ὑμῖν. οὗς αὐτὸς ἐάσας τὸ μὲν ὑμῖν νόει, διότι τὸ ὥπασαν δοτικῇ συντάσσεται, τὸ δὲ ὑπερελθόντων οὐ πρὸς τὴν σύνταξιν τοῦ ὥπασάν ἐστιν, ἀλλ' ἐπειδὴ αἰτία ἐστὶ τὸ νικηφόρον ἀγλαΐαν, σχηματίζομεν δὲ τὰς αἰτίας καὶ πρὸς τὴν ὄπισθεν σύνταξιν, εἰ δοτικὴ ἢ αἰτιατική ἐστι, καὶ πρὸς γενικήν. διὰ τοῦτο καὶ νῦν οὐ πρὸς τὸ ὑμῖν, ἀλλ' ὡς αἰτία πρὸς γενικὴν ἀπεδόθη. ὥσπερ ἐστὶ τοῦτο· Πολλῶν πειραθῆναι συνέβη μοι ἁμαρτωλοῦ ὄντος. [1]) Rec.

20. Ὑπερελθόντων ἱεροῖς] νικησάντων, ὑπερβαλόντων καὶ κρεισσόνων γενομένων. ὑπερελθόντων δὲ ἱεροῖς ἐν ἀέθλοις, σχῆμά ἐστιν ἀντὶ τοῦ ὑπερελθοῦσιν. ἅπαν δ' εὑρόντος ἔργον· τοῦ πρώτου εὑρόντος ἴδιόν ἐστιν, οὐχὶ τοῦ μιμησαμένου. παρ' ὑμῖν γὰρ τοῖς Κορινθίοις πολλὰ τῶν ἔργων εὑρέθη. πολλὰ δ' ἐν καρδίαις· ἐπεὶ πολλὰ οἱ Κορίνθιοι ἐτεχνήσαντο ταῖς τῶν θεῶν γνώμαις ἑπόμενοι. [2]) § λέγει, ὅτι πολλὰ ἐτεχνήσαντο καὶ εὗρον: διὸ καὶ ἐπιφέρει· πᾶν δ' εὑρόντος ἔργον. πολλὰ οὖν εὗρον οἱ Κορίνθιοι, ὥστε τὰ ὕστερα εὑρεθέντα ἴδια αὐτῶν νομισθῆναι. [3]) § Ἄλλως. οὐ μόνον νίκην παρέσχον ὑμῖν αἱ Ὧραι, ἀλλὰ καὶ πλεῖστα σοφὰ διανοήματα ὁ χρόνος ἐν ταῖς καρδίαις τῶν παρ' ὑμῖν ἀνδρῶν ἐνέβαλεν· ἀντὶ τοῦ καὶ ἀνδρείους ὑμᾶς ἤνεγκεν ὁ χρόνος καὶ συνετοὺς καὶ σοφούς. ταῦτα δέ φησιν, [4]) ἐπειδὴ Φείδων τις ἀνὴρ Κορίνθιος εὗρε μέτρα καὶ στάθμια, καὶ ἄλλα πολλὰ λέγονται εὑρηκέναι οἱ Κορίνθιοι. Vet.

Ὑπερελθόντων χρὴ γράφειν, οὐχ ὑπερελθοῦσιν· οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς. Mosc. B. et marg. Vrat.

21. Πολλὰ δ' ἐν καρδίαις] πολλάκις δὲ ἔβαλον ὑμῖν αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν, τουτέστι πολλάκις δὲ ἔβαλον αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν ὑμετέρων σοφίσματα ἀρχαῖα, ἤγουν ἐπινοίας τεχνῶν πρῶτον εὑρημένας, οὔπω πρότερον εὑρημένας. ἅπαν δ' εὑρόντος ἔργον, τουτέστιν ἅπασα δ' ἐργασία τεχνικὴ τοῦ εὑρόντος αὐτὴν τὴν ἀρχὴν ἤτοι τοῦ ἐφευρόντος ἐστίν. αἱ Χάριτες τοῦ Διονύσου, ἤγουν αἱ ἑορταὶ αἱ τὸ ἐπαγωγὸν ἔχουσαι, αἱ παρὰ τοῖς Κορινθίοις ὑμῖν τελούμεναι δηλονότι, σὺν ὕμνῳ διθυράμβῳ βοηλάτῃ, τουτέστι χάριν βοὸς ᾀδομένῳ, πόθεν ἄλλοθεν, ἢ παρ' ὑμῶν δηλονότι, ἐξέφανεν, ἤγουν ἔλαμπρύνθησαν; τίς δὲ ἄλλος ἔθηκεν, ἀντὶ τοῦ ἐπενόησε συμμετρίας ἐν κατασκευάσμασιν ἱππείοις, ἀντὶ τοῦ πολεμικοῖς· ἤγουν τίς δὲ ἄλλος ἐπενόησε τὴν ἐν τοῖς ὅπλοις συμμετρίαν; ἢ τίς ἄλλος ἐπενόησεν ἐν τοῖς ναοῖς τῶν θεῶν τὸν βασιλέα τῶν ὀρνέων τὸν διπλοῦν, ἤγουν τὸν διπλοῦν ἀετόν, τουτέστι τὸ λεγόμενον ἀέτωμα; ἐν τούτοις δὲ, τουτέστι τοῖς Κορινθίοις ἀνθεῖ, ἀντὶ τοῦ ἀκμάζει, περιφανής ἐστι, δύναμις ποιητικὴ ἡδύπνους, ἤγουν ἡδυμελής, τερπνὰ προτείνουσα μέλη· ἐν τούτοις δὲ ἀνθεῖ Ἄρης, τουτέστι πολεμικὴ ἐμπειρία νέων ἀνδρῶν, ἐν αἰχμαῖς, ἀντὶ τοῦ ἐν μάχαις ὀλεθρίαις. Rec.

23. Τὸ Ὧραι πολυάνθεμοι καὶ πρὸς τὸ ὥπασαν ἐκληπτέον. παρέχουσι δὲ αἱ

1) Haec absunt a Cygn. 2) Vrat. D. qui σχήμασιν, ubi edidi σχῆμά ἐστιν. Post ἱεροῖς addidi ἐν ἀέθλοις, et haec ipsa delevi ante πολλὰ δ' ἐν καρδίαις. 3) Vrat. D. 4) Vrat. D.

Digitized by Google

Ὧραι τὰς νίκας διὰ τὸ τὰς πανηγύρεις κατὰ περίοδον φέρειν, ἐν αἷς ἀγῶνες καὶ νῖκαι γίνονται. πῶς δὲ ἀρχαῖα σοφίσματα ἐν τοῖς Κορινθίοις ἔβαλον; ἐπειδὴ ἔν τε τῷ ἔαρι καὶ θέρει καὶ τοῖς ἄλλοις καιροῖς ἐμηχανήσαντο τὰ πρόσφορα. δέον δὲ εἰπεῖν, σοφίσματα ἔβαλλον καταρχάς, ἀρχαῖα εἶπε πρὸς τὸ σοφίσματα. [1]) Rec.

24. Ἅπαν δ' εὑρόντος ἔργον] τοῦ εὑρόντος ἐστὶ δηλονότι. εἰ γὰρ καί τινες τοῖς εὑρεθεῖσι παρὰ Κορινθίων ἐπιδεδωκότες ἐξέλαμψαν, οἱ καταρχὰς εὑρόντες αὐτὰ Κορίνθιοι κρείττους εἰσὶν αὐτῷ τῷ εὑρεῖν. [2]) Rec.

25. Ταὶ Διονύσου πόθεν ἐξέφανεν] αἱ τοῦ Διονύσου, φησὶ, πανηγύρεις πόθεν ἐξέλαμψαν σὺν τῷ διθυράμβῳ, ἀντὶ τοῦ τὸν διθύραμβον προσλαβοῦσαι; § ἢ οὕτως· αἱ τῶν διθυράμβων χάριτες αἱ τῷ Διονύσῳ ᾀδόμεναι πόθεν ἐξεφάνησαν; τοῦτο δὲ ὡς παρὰ Κορινθίοις πρῶτον εὑρεθέντων εἰς τὸν Διόνυσον διθυράμβων. ὁ Πίνδαρος [3]) βοηλάτην τὸν διθύραμβον προσαγορεύει, ἤτοι διὰ τὸ βοῦν εἶναι τῷ νικήσαντι ἔπαθλον· ἱερὸς γὰρ τοῦ Διονύσου· ἢ διὰ τὸ ἐλαύνεσθαι αὐτὸν διὰ βοῆς καὶ λέγεσθαι. ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρεθῆναι πρῶτον διθύραμβον, ἐν δὲ τῷ πρώτῳ τῶν Διθυράμβων ἐν Θήβαις, ἐνταῦθα δὲ ἐν Κορίνθῳ. § ἢ οὕτως ἀκουστέον· αἱ τοῦ Διονύσου διθυράμβων ἐν Κορίνθῳ ἐφάνησαν Χάριτες, τουτέστι τὸ σπουδαιότατον τῶν Διονύσου διθυράμβων ἐν Κορίνθῳ πρῶτον ἐφάνη. ἐκεῖ γὰρ ὠράθη ὁ χορὸς ὀρχούμενος. ἔστησε δὲ αὐτὸν πρῶτος Ἀρίων ὁ Μηθυμναῖος, εἶτα Λάσος ὁ Ἑρμιονεύς. § Ἄλλως. ὁ λόγος ἐρωτηματικός. ὑπακούεται δὲ δηλονότι ἐν Κορίνθῳ. συνίστησι γὰρ, ὅτι πρῶτος ἐν Κορίνθῳ διθύραμβος εἰσήχθη· ὃς ἦν κύκλιος χορός· Ἀρίωνος τοῦ Μηθυμναίου συστήσαντος αὐτόν. ἡ δὲ ἀκολουθία· αἱ τοῦ Διονύσου οὖν χάριτες ὁ διθύραμβος ποῦ πρῶτον ἐξεφάνη; οὐκ ἀπὸ Κορίνθου; § Ἄλλως. ὅπου, φησὶν, ὤφθησαν αἱ ἐπὶ τῶν διθυράμβων χάριτες, δηλονότι ἐν Κορίνθῳ. [4]) Vet.

26. Βοηλάτᾳ] βοῇ λαμπρᾷ. Gl. γ.

Βοηλάτην καλεῖ τὸν διθύραμβον, ἢ διότι τῷ κατορθώσαντε αὐτὸν βοῦς ἐδίδοτο ἆθλον, ἢ διότι ἐλαύνετό τε καὶ ἐτελεῖτο. ὁ δὲ διθύραμβος χορὸς ἦν κυκλικὸς πρὸς τὸν Διόνυσον, ἐλέγετο δὲ διθύραμβος ἀπὸ τοῦ Διονύσου τοῦ ἐκ δύο θυρῶν ἐξελθόντος, ἔκ τε τῆς μητρῴας αὐτοῦ γαστρὸς καὶ τοῦ μηροῦ τοῦ Διός. εὗρον δὲ οἱ Κορίνθιοι πρῶτον τοῦτον ἐν τοῖς Διονυσιακοῖς, ὥσπερ καὶ τὸ μέτρον τοῦ ἱππικοῦ τροχοῦ, τουτέστι τοῦ ἅρματος, ὁπόσον δεῖ γίνεσθαι, ὃν ἵππεια ἔντεα καλεῖ, καὶ τὰ ἐπάνω τῶν ναῶν διπλᾶ ἀετώματα. [5]) Rec.

27. Τίς γὰρ ἱππείοις ἐν ἔντεσι μέτρα] τουτέστι τὰ ἵππεια μέτρα τοῦ χαλινοῦ. ἀποδιδώκασι δὲ τῷ δοκεῖν τὸν Πήγασον πρῶτον ὑπὸ Βελλεροφόντου ἐν Κορίνθῳ κατεζεῦχθαι. Δίδυμος δέ φησι μήτε τοὺς ἱππικοὺς δρόμους μήτε τὰς τῶν ἁρμάτων κατασκευὰς μήτε τὸν χαλινὸν διὰ τούτων δηλοῦσθαι, ἀλλὰ τὸν κεραμεικὸν τροχὸν ἐκ μεταφορᾶς διχόθεν μετεννηνεγμένης· τοῦτο μὲν ὅτι ἵπποις οἰκεῖος ὁ τροχὸς, τοῦτο δὲ ὅτι ἑκατέρωθεν ἐλαύνεται ὑπὸ ποδὸς πτέρνης. Καλλίμαχος· [6]) Πτέρνῃ θ' ἵππος ἐλαυνόμενος. καὶ Θεόφραστος δὲ ἐν τῷ περὶ εὑρημάτων Ὑπέρβιον τὸν Κορίνθιόν φησιν εὑρηκέναι

1) Abest a Cygn. 2) Abest a Cygn. 3) Ita haec Vrat. D. 4) Postrema inde a voce ἡ δὲ ἀκολουθία e Vrat. D. 5) Abest a Cygn. 6) Fragm. 6.

Digitized by Google

τὴν τοῦ κεραμεικοῦ τροχοῦ μηχανήν· μέτρα δὲ αὐτὸν ὁ Πίνδαρος, παρόσον ἐκ κεραμεικοῦ μετροῦμεν. ἔνιοι δὲ ἵππεια ἔντεα ἅρματα καὶ χαλινοὺς, ἀπὸ μέρους τοὺς πολεμικούς· ὅτι δὲ παρ' αὐτοῖς ὁ χαλινὸς εὕρηται, δείκνυσιν ἐν τοῖς ἑξῆς. § ὁ δὲ τοῦς οὕτω· τίς γὰρ, φησὶν, ἕτερος εὗρε τὰ μέτρα τὰ ἐν τοῖς ἱππείοις ἔντεσι καὶ ὅπλοις γινόμενα; ἱππείοις δὲ ἔντεσιν εἶπε τοῖς τροχοῖς τοῖς κεραμεικοῖς, ἐπειδὴ ἐπὶ τροχοῦ πλάττεται· ὁ δὲ τροχὸς κοινωνεῖ τῷ ἅρματι τῶν ἵππων. § Ἄλλως. ὁ Δίδυμος ἑτέραν ἀποδίδωσιν οὕτως ἔχουσαν· τὴν ἐν πρόθεσιν ἀντὶ τῆς εἰς κειμένην συναπτέον πρὸς τὰ μέτρα. τίς γὰρ τοῖς εἰς τὰ μέτρα ἱππείοις ἔντεσιν ἐχρήσατο πρώτη ἢ σὺ, ὦ Κόρινθε; ἵππεια δὲ ἔντεα τὰ Φειδώνεια ἀγγεῖα ἀκουστέον· ἔντεα γὰρ ἂν εἴη τὰς χοίνικας καὶ τοὺς μεδίμνους λέγων, καὶ ὅσα ἄλλα, οἷον χόες, ψυκτῆρες, κώθωνες, [1]) διὰ τὴν κοιλότητα. καὶ Ὅμηρος· [2]) Ἀμφίπολοι δ' ἐπεκόσμεον ἔντεα δαιτός. τούτων οὖν εἰς τὰ μέτρα ἐντέων εὑρετάς φησιν εἶναι τοὺς Κορινθίους. διατί δὲ ἵππεια αὐτὰ εἶπεν; ὅτι Φείδων ὁ πρῶτος κόψας Κορινθίοις τὸ μέτρον Ἀργεῖος ἦν, τὸ δὲ Ἄργος ἵππειον λέγουσιν οἱ ποιηταί. Εὐριπίδης· [3]) Ὅταν εἰς Ἑλλάδ' ἵππιόν τ' Ἄργος μόλῃς. Vet.

29. Ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον] οἰωνῶν βασιλέα τὸν ἀετόν φησι, λέγει δὲ τὸ κατὰ τοὺς ναοὺς τῶν θεῶν ἀέτωμα. τίς οὖν, φησὶν, ἐν τοῖς ναοῖς τῶν θεῶν τὸν βασιλέα τῶν ὀρνίθων ἐπέθηκε, τὸ λεγόμενον ἀέτωμα; Δίδυμος δέ φησιν, ὅτι διπλᾶ τὰ ἀετώματα, ὄπισθεν καὶ ἔμπροσθεν, διὰ τὸ ἐξ ἀμφοτέρων τῶν μερῶν κατασκευάζεσθαι αὐτά. § Ἄλλως. Οἰωνῶν βασιλέα] ὁ ἀετὸς οἰωνῶν βασιλεύς ἐστιν ὁ ἐπὶ τῶν ἱερῶν τιθέμενος. τινὲς δὲ τὸ ἀέτωμα, ὡς φησι Δίδυμος παρατιθέμενος Τίμαιον λέγοντα καὶ τοῦτο ἐν ταῖς οἰκοδομίαις αὐτῶν εὕρημα, ταύτην ἀποδοὺς τὴν ἐξήγησιν τῶν προκειμένων. Vet.

31. Ἐν δὲ Μοῖσ' ἀδύπνοος] ποῦ δὲ ἀλλαχοῦ ἡ μουσικὴ ἀνθεῖ καὶ τὰ πολεμικά; τοῦτο δὲ διὰ τὸν Εὔμολπον ὄντα Κορίνθιον καὶ γράψαντα νόστον τῶν Ἑλλήνων. § Ἄλλως. τοῦτό φησιν ἀντὶ τοῦ μουσικοί εἰσι, παρόσον καὶ ποιηταὶ διασημότατοι ἐν Κορίνθῳ ἐγένοντο, ὧν ἦν καὶ Αἴσων, οὗ μέμνηται Σιμωνίδης. ἐν δὲ τῷ Περσικῷ πολέμῳ καὶ οὗτοι ἐστρατεύσαντο ἔχοντες ἡγεμόνα τὸν Ἀδείμαντον. Vet.

Μοῖσ' ἀδύπνοος] τοῦτο λέγει, ἢ ὅτι μουσικώτατοι ἦσαν Κορίνθιοι, ἢ ὅτι ἐν Κορίνθῳ κάλλιστοι ποιηταὶ ἐγένοντο, ὧν εἷς ἦν Αἴσων. ἀνθεῖ δὲ ἐν αὐτοῖς ὁ Ἄρης, διότι πολεμικώτατοί εἰσι καὶ ἐν τῷ Περσικῷ πολέμῳ κάλλιστα ἐξέλαμψαν. [4]) Rec.

32. Ἐν δ' Ἄρης ἀνθεῖ νέων] ποῦ δὲ, φησὶ, καὶ τὰ τοῦ πολέμου ἐμπείρως οὕτω γίνεται; τοῦτο δὲ διὰ τὰ Μηδικά φησιν, ὅτι ἠνδραγάθησαν ἐπὶ Ξέρξου ἡττηθέντος καὶ φυγόντος ὑπὸ Ἀθηναίων, ὅτε καὶ πεντήκοντα ναῦς τοῦ Πέρσου κατέδυσαν. § Ἄλλως. τὸν Ἄρην φησὶν ἐν Κορίνθῳ λάμπειν τείνων εἰς τὰ περὶ Περσίδα, ἐν οἷς ὑπὲρ τῆς τῶν Ἑλλήνων σωτηρίας ἠνδραγάθησαν οἱ Κορίνθιοι. Θεόπομπος δέ φησι καὶ τὰς γυναῖκας αὐτῶν εὔξασθαι τῇ Ἀφροδίτῃ ἔρωτα ἐμπεσεῖν τοῖς ἀνδράσιν αὐτῶν μάχεσθαι ὑπὲρ τῆς Ἑλλάδος τοῖς Μήδοις, εἰσελθούσας εἰς τὸ ἱερὸν τῆς Ἀφροδίτης, ὅπερ ἱδρύσα-

1) E Vrat. D. addidi verba ἔντεα γὰρ, usque ad λέγων, et huc transposui καὶ ὅσα ἄλλα usque ad κώθωνες, quae vulgo supra ante vocem ἔνιοι male intrusa erant: sed οἷον de meo est. 2) Odyss. η, 232. 3) Iphig. Taur. 700. 4) Abesse videtur a Cygn.

Digitized by Google

σθαι τὴν Μήδειαν λέγουσιν Ἥρας προσταξάσης· εἶναι δὲ καὶ νῦν ἀναγεγραμμένον ἐλεγεῖον εἰσιόντι εἰς τὸν ναὸν τῆς ἀριστερᾶς χειρός·

Αἴδ' ὑπὲρ Ἑλλάνων τε καὶ ἀγχεμάχων πολιητᾶν
Ἕστασαν εὐχόμεναι Κύπριδι δαιμονίᾳ.
Οὐ γὰρ τοξοφόροισιν ἐβούλετο δῖ' Ἀφροδίτα [1])
Μήδοις Ἑλλάνων ἀκρόπολιν δόμεναι. Vet.

34. Ὕπατ' εὐρὺ ἀνάσσων] ὦ Ζεῦ πάτερ ἔξοχε, εὐρύ, ἀντὶ τοῦ μεγάλως, κραταιῶς ἀνάσσων τῆς Ὀλυμπίας, γενοῦ κατὰ πάντα τὸν χρόνον ἀφθόνητος, ἀντὶ τοῦ οὐκ ἐῶν ἐπιτίθεσθαι φθόνον τοῖς ἔπεσι τούτοις τοῖς ἐπ' αὐτοῖς, τουτέστι τοῖς ὕμνοις. ἐπίφθονον τὸ ἔχον φθόνον, ἤτοι τὸ φθονούμενον· ἄφθονον τὸ χωρὶς φθόνου γινόμενον ἢ διδόμενον, οἷον ἄφθονος χάρις ἡ χωρὶς φθόνου γενομένη, καὶ ἄφθονος πρᾶξις ἡ χωρὶς φθόνου πραττομένη· ἀφ' οὗ ἄφθονος πλοῦτος ὁ πολὺς, καὶ ἄφθονον πλῆθος ὁμοίως ἀντὶ τοῦ πολύ. ἀφθόνητος δὲ ὁ μὴ φθονούμενος· ἐνταῦθα δὲ τὸ ἀφθόνητος ἐπὶ ἐνεργείας κεῖται. καὶ τόνδε τὸν λαὸν τοῦ Ξενοφῶντος νέμων, ἤγουν διοικῶν, ἀβλαβῆ, ἐπιρρήματικῶς ἀντὶ τοῦ ἐν ἀσφαλείᾳ, ἐν εὐτυχίᾳ, εὔθυνε, ἤγουν εὐόδου, τοῦ δαίμονος αὐτοῦ, ἤγουν τοῦ θεοῦ τοῦ διοικοῦντος αὐτῷ τὸν βίον, τὸν οὖρον, τουτέστι τὸν οὔριον ἄνεμον, μεταφορικῶς ἀπὸ τῶν νεῶν ἀντὶ τοῦ εὐτυχίαν. οὖρος γὰρ ποιητικῶς ὁ ἀπὸ τῆς οὐρᾶς ἤτοι τῆς πρύμνης τῆς νεὼς ἐπιτήδειος ἄνεμος, ὃν οὔριον πεζογράφοι φασὶν, ἀφ' οὗ καὶ τὸ Ἐξ οὐρίας πλεῖν. [2]) Rec.

35. Ἀφθόνητος ἔπεσιν] ἐπὶ τοῖς ἔπεσι τῆς Ὀλυμπίας καὶ τοῖς ὕμνοις οἷς λέγω περὶ αὐτῶν, μὴ νεμεσήσῃς, ὦ Ζεῦ. Vet.

37. Νέμων] κυβερνῶν. Gl. γ.

38. Ξενοφῶντος εὔθυνε] τουτέστι τοῦ Ξενοφῶντος ἴθυνε τὴν εὐτυχίαν, οὔριον καὶ εὐδιεινὸν διδοὺς αὐτῷ τὸ δαιμόνιον. ποίει δὲ αὐτὸν, φησὶν, εὐτυχῆ καὶ εὐδαίμονα. Vet.

39. Δέξαι δέ οἱ στεφάνων ἐγκώμιον] καὶ πρόσδεξαι, φησὶν, ἡδέως τὸν ἐπὶ τῶν στεφάνων αὐτοῦ τεθμὸν καὶ θεσμὸν, καὶ νόμιμον ἔπαινον· λέγει δὲ τὸν ὕμνον. δέξαι δέ οἱ, ἀντὶ τοῦ δέξαι παρ' αὐτοῦ. [3]) τεθμὸν δὲ τὸν νόμον φησί· νόμος γάρ ἐστιν οὗτος, Ὀλυμπιονίκας ὑμνεῖσθαι. Vet.

Δέξαι δέ οἱ στεφάνων] ἀπόδεξαι δὲ τὸν νόμον τὸν ἐγκώμιον, ἀντὶ τοῦ τὸν ἐγκωμιαστικὸν τῶν στεφάνων αὐτοῦ, ὃν ἐπάγεται ἀπὸ τῶν χωρίων τῆς Πίσης νικῶν, ἀντὶ τοῦ νικήσας δύο, τὸν δρόμον τοῦ σταδίου, ἤγουν τὸ στάδιον, ἅμα τῷ πεντάθλῳ. ἐλέγετο δὲ στάδιον μὲν ὁ τόπος, ἐν ᾧ ἔτρεχον, ἦν δὲ, φασὶ, πήχεων τριακοσίων [4]) διάστημα· πένταθλον δὲ, ὃ εἶχεν ἐν ἑνὶ χρόνῳ τὰ πέντε ταῦτα, πυγμὴν, πάλην, δίαλμα, δίσκον καὶ δρόμον. οὐκ ἐπέτυχεν οὐδαμῶς πρότερόν τις ἀνὴρ θνητὸς τούτων, ἀντὶ τοῦ τούτου τοῦ πράγματος, τουτέστι τοῦ νικῆσαι ἐν μιᾷ ἡμέρᾳ ταύτας τὰς δύο νίκας. Rec.

Ἐγκώμιον τεθμόν] τὸν ἐγκωμιαστικὸν λόγον, ὅς ἐστιν ὕμνος τῶν νικηφόρων.

1) Vrat. D. δῖα θεοῖσιν Ἀφρ. Scribendum videtur δῖα θεάων. Vrat. D. ἐγχεμάχων. Sed vide scripturam ap. Athen. XIII, p. 573. D. et Plutarch. de malign. Herod. 2) An Cygn. habeat, non liquet. 3) Hoc e Vrat. D. 4) Sic plures libri. Gott. διακοσίων.

Digitized by Google

τὸν ἄγει· ὅντινα ὕμνον ἐκτήσατο καὶ ἄγει, φησὶν, ἑαυτῷ, νικῶν καὶ στάδιον ὁμοῦ καὶ πένταθλον, ἐν τῷ σταδίῳ τῆς νίκης. Vet.

43. Τῶν ἀνὴρ θνατός] ὧν εὐτυχημάτων τῶν τῆς διπλῆς νίκης οὐδέπω πρότερον εὐτύχησεν ἀνήρ. § Ἄλλως. οὐδεὶς πώποτε τῶν ἀνθρώπων τὰς δύο ταύτας νίκας ἐν μιᾷ ἡμέρᾳ ἔλαβεν, εἰ μὴ μόνος αὐτος. [1]) § Ἄλλως. πρῶτον καὶ μόνον φησὶ τὸν Ξενοφῶντα κατὰ τὴν αὐτὴν ἡμέραν στάδιον καὶ πένταθλον νικῆσαι Ὀλυμπίοις. λέγει δὲ καὶ ἄλλας νίκας αὐτοῦ. Vet.

45. Δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων] νῦν στέφανοι· ἐκ σελίνων γὰρ οἱ στέφανοι· πλόκοι δὲ παρὰ τὸ πλέκεσθαι τοῖς τὰ Ἴσθμια νικῶσιν. § Ἄλλως. σημειωτέον ὅτι ἤδη ἀπεδέδεικτο Ἰσθμοῖ ὁ ἀπὸ σελίνων στέφανος ὡς ἐν Νεμέοις· ἀμφότερος γὰρ ἐπιτάφιος· ἱερὸν δὲ τὸ σέλινον τῶν καταχθονίων θεῶν. τὸ δὲ Οὐκ ἀντιξοεῖ ἀντὶ τοῦ οὐκ ἐναντιοῦται· [2]) ἐνίκησε γὰρ καὶ τὰ Νέμεα. οἱ δὲ ὅτι ἀντίκειται, ἀπὸ μεταφορᾶς τῶν ξύλων τῶν ξεομένων καὶ ἀλλήλοις ἁρμοζομένων· τὰ γὰρ συναρμοζόμενα συγξέεται· ἀλλ' ἀντιξοεῖ καὶ ἀντιβαίνει πρὸς τὴν ξέσιν ἁρμοστὰ ὄντα. [3]) Vet.

Δύο δ' αὐτὸν ἔρεψαν] δύο δὲ στέφανοι ἀπὸ σελίνων πεπλεγμένοι ἐστεφάνωσαν αὐτὸν φανέντα, ἤγουν παῤῥησιασάμενον, ἀγωνισάμενον ἐν Ἰσθμιάδεσσιν, ἀντὶ τοῦ ἐν τῷ ἀγῶνι τῷ Ἰσθμοῖ. § σημείωσαι ὅτι οὐ μόνον πίτυς ἐδίδοτο ἐν τῷ Ἰσθμῷ, ἀλλὰ καὶ σελίνου στέφανος, ὥσπερ ἐν τῇ Νεμέᾳ· πλὴν ἐν μὲν τῷ Ἰσθμῷ ἀπὸ ξηρῶν σελίνων, φασὶν, ἐπλέκετο ὁ στέφανος, ἐν δὲ τῇ Νεμέᾳ ἀπὸ χλωρῶν. καὶ τὰ Νέμεα οὐκ ἀντιξοεῖ, ἤγουν οὐκ ἀντίκειται τούτῳ τῷ Ξενοφῶντι. νενίκηκε γὰρ ἐν αὐτοῖς. Rec.

48. Πατρὸς δὲ Θεσσαλοῦ] καὶ τοῦ πατρὸς αὐτοῦ τοῦ Θεσσαλοῦ· κύριον δὲ ὄνομα αὐτοῦ, ὁ τούτου γὰρ παῖς ὁ Ξενοφῶν· [4]) ἀνάκειται ἐν τῇ Ὀλυμπίᾳ ἡ δόξα ἡ ἐκ τοῦ δρόμου, ἀντὶ τοῦ ἐνίκησεν. Vet.

Τοῦ πατρὸς δὲ αὐτοῦ τοῦ Ξενοφῶντος τοῦ Θεσσαλοῦ φήμη λαμπρὰ τῆς ἀρετῆς τῶν ποδῶν ἀνάκειται, ἀντὶ τοῦ ἐπικρατεῖ, παραμένει ἐπὶ τοῖς ῥεύμασι τοῦ Ἀλφειοῦ, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ. [5]) § Θεσσαλὸς ὁ ἀπὸ Θεσσαλίας· ἐνταῦθα δὲ ὄνομα κύριον ὁ Θεσσαλός. ἐν τῇ Πυθοῖ τε ἔσχεν ὁ Θεσσαλὸς δηλονότι κλέος νίκης σταδίου καὶ διαύλου ἡλίῳ ἀμφὶ ἑνὶ, ἀντὶ τοῦ ἐπὶ μιᾷ ἡμέρᾳ, καὶ ἐν τῇ Ἀττικῇ τῇ τραχείᾳ ἐπὶ τοῦ αὐτοῦ μηνὸς ἡμέρα ἡ τοῖς δρόμοις διαρκοῦσα, ἤγουν ἡ ἱκανῶς τοῖς δρόμοις ἀνατεθειμένη, τρία ἔργα κάλλιστα, ἀντὶ τοῦ τριῶν ἔργων καλλίστων στεφάνους ἔθηκεν ἐπὶ τῇ κεφαλῇ αὐτοῦ· τὰ Ἑλλώτια δὲ, ἑορτὴ δὲ ἦν αὕτη τῆς Ἀθηνᾶς ἐν τῇ Κορίνθῳ, ἑπτάκις ἔθηκαν δηλονότι στέφανον ἐπὶ ταῖς κόμαις αὐτοῦ. [6]) Rec.

50. Πυθοῖ τ' ἔχει] ὡς καὶ τὰ Πύθια τοῦ Θεσσαλοῦ νενικηκότος. ὁ δὲ λόγος· [7]) κατὰ τὴν Πυθίαν δὲ διαύλου καὶ σταδίου τιμὴν ἔλαβε. § λέγει δὲ Θεσσαλὸν τὸν τοῦ Ξενοφῶντος πατέρα. Vet.

51. Ἁλίῳ ἀμφ' ἑνί] ἀντὶ τοῦ ἐν μιᾷ ἡμέρᾳ. Vet.

Μηνός τέ οἱ τωὐτοῦ] κατὰ δὲ τὸν αὐτὸν μῆνα τρία ἔργα καὶ ἐν ταῖς Ἀθήναις

1) Vrat. D. 2) Rom. ἀντίκειται. 3) Perversa sane explicatio, ex qua Pindarus dicere debuisset ἀντιξοεῖ, non οὐκ ἀντιξοεῖ; quum tamen poeta contra τὰ ἁρμοστὰ statuat μὴ ἀντιξοιῖν, et τὰ ἀνάρμοστα ἀντιξοεῖν. 4) Vrat. D. 5) Est in Cygn. 6) Omittit Cygn. 7) Ex Vrat. D.

Digitized by Google

ταῖς τραχείαις καὶ τρεῖς ἄθλους περιεποίησεν αὐτῷ ἡ ὀξύτης τῶν ποδῶν καὶ ἡ ὀξύδρομος ἡμέρα, ἔργα καὶ ἀγωνίσματα κάλλιστα, ἀφ' ὧν ἐστέφθη τὰς κόμας καὶ τὴν κεφαλήν. τρία δὲ ἔργα εἶπε δίαυλον καὶ ὁπλιτικὸν δρόμον καὶ στάδιον. Vet.

54. Ποδαρκὴς ἡμέρα θῆκε] ἤτοι ἡ πρὸς τὸν δρόμον τότε ἀποκληρωθεῖσα καὶ ἐπαρκοῦσα, ἢ ἡ παρασχοῦσα αὐτῷ τὸ τάχος διαρκὲς, ἢ ἡ αὐτὴ οὖσα ὀξύπορος καὶ ὀξύπους. Vet.

56. Ἑλλώτια δ' ἑπτάκις] τὴν προσηγορίαν ταύτην ἐσχηκέναι φασὶ τὴν Ἀθηνᾶν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἕλους, ἔνθα ἵδρυται. § Ἄλλως. Τιμάνδρου θυγατέρες Κορινθία, [1]) Ἑλλωτὶς, Εὐρυτιώνη, Χρυσῆ, Κωτυτώ. ἁλούσης τῆς πόλεως τὴν νέαν τὴν Χρυσῆν ἡ Ἑλλωτὶς ἁρπάσασα εἰσῆλθεν εἰς τὸν ναὸν τῆς Ἀθηνᾶς, ἔνθα περικατάληπτος γενομένη ἔῤῥιψεν ἑαυτὴν εἰς τὸ πῦρ. καθαρσίᾳ οὖν ἄγεται τῇ θεῷ, ἅτινα οἱ μετὰ Ἀλήτου ἐπικρατήσαντες Δωριεῖς Ἑλλώτια ἐκάλεσαν. [2]) § Ἄλλως. Ἑλλώτια δ' ἑπτάκις] ἑορτὴ τῆς Ἀθηνᾶς ἐν Κορίνθῳ, ἐν ᾗ καὶ ὁ ἀγὼν τελεῖται ὁ καλούμενος λαμπαδοδρομικὸς, ἐν ᾧ ἔτρεχον νεανίαι λαμπάδας κρατοῦντες. αὕτη δὲ ἡ πανήγυρις εὑρέθη κατὰ μέν τινας, ἐπειδὴ τὸν ἵππον τοῦ Βελλεροφόντου ὑπέταξεν ἡ θεὸς τὸν Πήγασον καὶ περιέθηκεν αὐτῷ τὰ χαλινὰ, καὶ οὕτως εἷλεν αὐτόν· ἢ διὰ τοῦτο, ἐπειδὴ Δωριεῖς σὺν τοῖς Ἡρακλείδαις ἐπιθέμενοι Πελοποννησίοις Κόρινθον χειρωσάμενοι ταύτην τῇ φλογὶ συνέφλεγον· τῶν τοίνυν γυναικῶν ἐν τῇ πορθήσει φευγουσῶν τινες ἐξ αὐτῶν ἅμα Εὐρυτιώνῃ καὶ Ἑλλωτίδι εἰς τὸν τῆς Ἀθηνᾶς εἰσελθοῦσαι νεὼν οὕτω διαφεύξασθαι τὸν κίνδυνον προσεδόκησαν. ὡς δὲ ᾔσθοντο Δωριεῖς, κατὰ τούτων τὸ πῦρ ἔπεμψαν. αἱ μὲν οὖν ἄλλαι ἔφυγον, ἡ δὲ Εὐρυτιώνη καὶ ἡ Ἑλλωτὶς ἀδελφαὶ τυγχάνουσαι μετὰ παιδίου [3]) συγκατεφλέχθησαν. λοιμοῦ δὲ συμπεσόντος οὐ πρότερον τὸ νόσημα παύσεσθαι ἔφη ἡ θεὸς, πρὶν ἐξιλεώσασθαι τῶν παρθένων τὰς ψυχὰς καὶ Ἑλλωτίδος Ἀθηνᾶς ἱερὸν ἱδρύσασθαι καὶ πανήγυριν Ἑλλώτια καλουμένην· καθ' ἣν φησιν ἑπτάκις νενικηκέναι τὸν Ξενοφῶντα. § Ἄλλως. ἐν Κορίνθῳ τὰ Ἑλλώτια ἄγεται τῇ Ἑλλωτίᾳ Ἀθηνᾷ. τυχεῖν δὲ αὐτὴν ταύτης τῆς προσηγορίας Κορίνθιοι [4]) μὲν λέγουσιν ἑλοῦσαν καὶ χαλινώσασαν παρ' αὐτοῖς τὸν Πήγασον· οἱ δὲ ἀπὸ τοῦ ἕλους τοῦ περὶ τὸν Μαραθῶνα, ἐν ᾧ ἵδρυται, οἱ δὲ ἀπὸ τῆς Ἑλλωτίδος παρθένου. [5]) Vet.

Ἱστορία. Ἑλλώτια ἑορτὴ Ἀθηνᾶς ἐν Κορίνθῳ. Δωριεῖς μετὰ Ἡρακλειδῶν ἐπιθέμενοι Κορινθίοις καὶ Κόρινθον χειρωσάμενοι ταύτην φλογὶ ἔκαιον. φυγοῦσαι οὖν αἱ Κορίνθιαι παρθένοι εἰς τὸν τῆς Ἀθηνᾶς ναὸν, [6]) ὅπως σωθεῖεν, αἰσθομένων Δωριέων καὶ πῦρ ἐμβαλόντων εἰς τὸν ναὸν, αἱ μὲν ἄλλαι τῶν παρθένων ἔφυγον, Ἑλλωτία δὲ μετὰ τῆς ἀδελφῆς Εὐρυτιώνης κατεφλέχθη. λοιμοῦ δὲ ὕστερον γενομένου ἔχρησεν Ἀθηνᾶ μὴ πρότερον παύσεσθαι τὸν λοιμὸν, πρὶν τὰς τῶν κατακαεισῶν παρθένων ψυχὰς ἐξιλάσωνται καὶ ἱερὸν Ἀθηνᾶς Ἑλλωτίας ἱδρύσωνται· ὃ δὴ καὶ γεγένηται. ἕτεροι δέ φασι διὰ τὸ ἑλεῖν τὸν Πήγασον ἐν χαλινῷ ὑπ' Ἀθηνᾶς δοθέντι τῷ Βελλεροφόντῃ πανήγυριν καὶ

1) An *Κορίνθιαι*? Deinde codex *Ἑλλωτία*, quod mutavi, quia statim post in eodem scholio *Ἑλλωτὶς* dicitur. 2) E Vrat. D. Sed ultima paullo liberius correxi; codex: *ἅτινα οἱ μετὰ ταῦτα Ἀλήτου Ἑλλώτια καλοῦσιν.* 3) Sic Vrat. D. Gott. *παιδός*: vulgo *πεδίου*. 4) Cod. *Κορίνθον* et mox *ἔχουσαν* p. *ἑλοῦσαν*. 5) Vrat. D. 6) Vrat. A. cum Rom. *βωμόν*.

Digitized by Google

ἱερὸν Ἑλλωτίας Ἀθηνᾶς ὑπ' αὐτοῦ γεγενῆσθαι, ἢ τοῦτο τὸ ὄνομα ἐσχηκέναι τὴν πανήγυριν καὶ τὸν ναὸν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἕλους. ἔστι γὰρ ἐκεῖ ἄγαλμα Ἀθηνᾶς Ἑλλωτίας. [1]) Rec.

57. Ἐν δ' ἀμφιάλοισιν] ἐν δὲ τοῖς ἀγῶσι τοῖς κατὰ νόμους τελουμένοις τοῖς ἀμφιάλοις, ἤγουν τοῖς ἐν τῷ τόπῳ τῷ ἀμφοτέρωθεν θάλασσαν ἔχοντι, τουτέστι τοῖς ἐν τῷ Ἰσθμῷ, ὧν ἔφορος ὁ Ποσειδῶν, μακρότεραι, ἀντὶ τοῦ μείζονες τέρψεις καὶ καταπολὺ τίμιοι ὕμνοι ἕψονται, ἀντὶ τοῦ ἕπονται, ἤγουν ἀκολουθοῦσιν αὐτῷ δηλονότι σὺν τῷ πατρὶ αὐτοῦ τῷ Πτοιοδώρῳ. εἶτα ἀποτείνων τὸν λόγον πρὸς αὐτούς φησι· καὶ ἐν τοῖς Δελφοῖς βαβαὶ τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε· καὶ ἐν τοῖς χόρτοις τοῦ λέοντος, ἤγουν καὶ ἐν τῷ περιορίσματι, τῷ τόπῳ ἔνθα ὁ λέων ἐτράφη ὁ ὑπὸ τοῦ Ἡρακλέους ἀναιρεθεὶς, τουτέστι καὶ ἐν τῇ Νεμέᾳ· ἐν αὐτῇ γὰρ ἐτράφη οὗτος ὁ λέων· βαβαὶ δηλονότι τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε. Rec.

Ποτειδᾶνος τεθμοῖσιν] ἐν τοῖς Ἰσθμιακοῖς ἀγῶσιν· οὗτοι γὰρ τῷ Ποσειδῶνι νόμιμοι ἀγῶνες. Vet.

58. Πτοιοδώρῳ σὺν πατρί] Τερψίου ἀδελφὸς Πτοιόδωρος, καὶ Τερψίου [2]) μὲν παῖδες Ἐρίτιμος καὶ Ναμερτίδας, Πτοιοδώρου δὲ Θεσσαλὸς, οὗ Ξενοφῶν. τινὲς δὲ τοῦ Ναμερτίδα [3]) Ἐρίτιμόν φασιν, Ἐριτίμου δὲ Αὐτόλυκον. Vet.

Μακρότεραι τέρψιες] μακρότεραι τέρψιες καὶ πλείους ἀκολουθοῦσι νῖκαι ἐπιτερπεῖς καὶ ὕμνοι μέγιστοι. καὶ ἥδε μὲν ἡ ἐξήγησις οὕτως, εἰ τὰ [4]) τῆς γραφῆς, ὡς ἔν τισιν, ἔχει τὸν τρόπον τοῦτον· μακρότεραι τέρψιες ἕψονται ἐρίτιμοί τ' ἀοιδαί. εἰ δὲ ὀνόματα λαμβάνομεν τὸ Τερψίας καὶ τὸ Ἐρίτιμος, ἔσται τὰ τῆς διανοίας ὡς εἴπομεν. Vet.

59. Ἕψονται] ἤγουν ἠκολούθησαν αὐτῷ, τῷ Θεσσαλῷ. ἔστι δὲ τὸ ἕψονται ἀντιχρονισμὸς, ἢ τὸ μέλλον μαντευόμενος λέγει. τούτου δὲ ὄντος ζῶντα νοήσεις τὸν Πτοιόδωρον. Rec.

60. Ὅσσα τ' ἐν Δελφοῖσι] θαυμαστικὸν τὸ ὅσσα· ἀντὶ τοῦ πολλάκις ἐν Δελφοῖς ἐνίκησαν, ἀντὶ τοῦ τὰ Πύθια. Vet.

62. Ἠδὲ χόρτοις ἐν λέοντος] ἀντὶ τοῦ πόσα δὲ καὶ ἐν τῇ Νεμέᾳ, ἥτις ἐστὶ περιορισμὸς τοῦ λέοντος, ἐν ᾧ ἐτράφη ὁ λέων ὁ ὑπὸ τοῦ Ἡρακλέους ἀναιρεθείς. § Ἄλλως. χόρτοις, ἀντὶ τοῦ περιορίσμασι. τὸ γὰρ παλαιὸν χόρτους φυτεύοντες ἀντὶ φραγμῶν περιώριζον τοὺς τόπους. Ὅμηρος· [5])

Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον. Vet.

63. Δηρίομαι πολέσιν] ἀντὶ τοῦ διαφιλονεικήσω πλείστοις περὶ τῶν ὑμετέρων καλῶν, καὶ τοῖς ἄλλοις ἀξιοπρεπέσι τὰ κατορθώματα ὑμῶν ἀντιπαραθεὶς φιλονεικήσω οὐκ ἐλάττονα ὄντα ταῦτα ἀποδεικνύς. § ἢ οὕτω· διαμαχεθήσομαι εἰς ὧν περὶ πλειόνων κατορθωμάτων. § ἢ οὕτω· πλεῖστα μὲν οὖν περὶ ὑμῶν πρὸς πάντας καταλέγειν ἔχων σαφῶς μέντοι καὶ ἀκριβῶς οὐκ ἂν δυνηθείην πάντα εἰπεῖν, ὥσπερ οὐδὲ θαλασ-

1) Omittit Cygn. 2) Sic Vrat. D. Romana Τερψίονος. 3) Vulgo τὸν Ναμερτίδαν. Correxi in nott. critt. p. 422. Vrat. D. τὸν Ἀμερτίδαν, vestigium veri. 4) Correxit Heynius: vulgo εἶτα. 5) Iliad. ω, 640.

Digitized by Google

σίας ψηφῖδος τὸν ἀριθμόν. § ἢ οὕτω· περὶ πλήθει καλῶν, τῶν ἀνδραγαθημάτων, οὕτω τὰ καλὰ πλεονάζειν ἐν ὑμῖν, ὥστε μήτε ἀριθμῆσαι σαφῶς, καθάπερ οὐδὲ τὰς παραθαλασσίους ψήφους. [1]) Vet.

Δηρίομαι, ἤγουν μάχομαι, φορτικὸς γίνομαι πολλοῖς ἀνθρώποις δηλονότι περὶ τοῦ πλήθους τῶν ἀνδραγαθημάτων τῶν ὑμετέρων· καταπολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων, ἤγουν τῆς ψάμμου, ἀντὶ τοῦ καταπολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην τὸν ἀριθμὸν αὐτῶν λέγειν, ἤγουν τῶν ὑμετέρων ἀνδραγαθημάτων, ὥσπερ οὐδὲ τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων. ἕπεται δὲ, ἀντὶ τοῦ προσήκει ἐπάγεσθαι ἑκάστῳ πράγματι μέτρον, ἤγουν συμμετρίαν. τὸ νοῆσαι δὲ αὐτὸ, ἤγουν τὸ μέτρον, καιρός ἐστιν ἄριστος, τουτέστιν εὐκαιρία, εὐστοχία ἐστὶν ἀρίστη. § Τὸ δηρίομαι πολίσι τοῦτο λέγει, ἀντὶ τοῦ ἐρίσω πρὸς τοὺς πολλοὺς περὶ τοῦ πλήθους τῶν ὑμετέρων ἀνδραγαθημάτων, καὶ οὐδένα τῶν πάντων τοσαῦτα κατωρθωκότα εὑρήσω. ἐπεὶ δὲ πλήθει ἀορίστως εἶπε, διὰ τοῦτό φησιν, Ὡς μὴν σαφὲς, τουτέστι πόσα ἐστὶ ταῦτα τῇ ἀληθείᾳ, οὐ δύναμαι λέγειν τὸν ἀριθμὸν τῆς ἄμμου· ὥστε ὥσπερ τοῦτο ἀδύνατον, οὕτω καὶ τὸ ταῦτα ἀπαριθμήσασθαι. διὸ τὸ ἄμετρον πλῆθος παραιτούμενος ὡς ἀδύνατον, τὴν συμμετρίαν αἱρεῖται καί φησιν· ἕπεται δὲ ἐν ἑκάστῳ μέτρον, τουτέστι πᾶν πρᾶγμα συμμετρίαν ἔχει, ὃ δὴ καὶ ποιήσω σύμμετρα ἐκλεξάμενος. Rec.

67. Ἕπεται δ' ἐν ἑκάστῳ μέτρον] τὸ μέτρον καιροῦ δεῖ· κἀγὼ οὖν, φησὶ, παύσομαι ὑπὲρ μέτρον ἐπαινῶν ὑμᾶς. ἐπεὶ μετρίως ἐκτὸς τῆς ᾠδῆς ἐγένετο, θέλει ἀναλαβεῖν. [2]) § Ἄλλως. οὐδὲν οὖν πλεῖον δύναμαι λέγειν, ἵνα μὴ τῷ ἀμετρῳ λυπήσω τινάς. ἑκάστῳ γὰρ πράγματι μέτρον ἀκολουθεῖ καὶ συμμετρία· τοῦτο δὲ αὐτὸ νοῆσαι τὸ τῆς συμμετρίας, εὔκαιρόν τέ ἐστι καὶ ἄριστον. [3]) Vet.

69. Ἐγὼ δ' ἴδιος ἐν κοινῷ σταλείς] ὁ νοῦς· ἐγὼ δὴ οὖν οὐχ ὡς ἀλλότριός τις ἀλλ' ὡς ἴδιος καὶ κοινὸς ἐν ὑμῖν, παρ' οἷς καὶ τὴν σύνεσιν τῶν προγόνων ὑμῶν λέγων, καὶ τὰ ἀνδραγαθήματα τῶν παρ' ὑμῖν ἡρώων τὰ κατὰ πόλεμον καὶ αὐτὰ λεγων, οὐδὲν ἀλλότριον διαψεύσομαι τῆς Κορίνθου. § Ἄλλως. οὐκ ἀλλότριός τις ὑμνῶ, ἀλλ' οἰκεῖος, οὐκ ἴδιος δὲ κατὰ γένος. [4]) § Ἄλλως. ὡς ἴδιος, τουτέστιν ὡς εἷς ἐξ ὑμῶν ἀποσταλεὶς καὶ προκριθεὶς τὴν βούλησιν τῶν ὑμετέρων προγόνων καὶ τὸν ἡρωϊκὸν πόλεμον οὐ καταψεύσομαι περὶ τῆς Κορίνθου γαρύων, τουτέστι φωνῶν καὶ λέγων. μῆτιν δὲ παλαιγόνων ἔφη τὴν Σισύφου· ἱστορεῖται γὰρ γεγονέναι συνετός. Ὅμηρος· [5])

Ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κερδιστος γένετ' ἀνδρῶν.

§ Ἄλλως. ἐν κοινῷ, ἐν ὑμῖν. ἢ οὕτως· ἐν κοινῷ ὄντος τοῦ ἐγκωμιάζειν οὐκ ἐχρησάμην τῇ κοινότητι. [6]) Vet.

Ἐγὼ δὲ ἴδιος] ἐγὼ δὲ ὡς ἴδιος καὶ οὐκ ἀλλότριος ὢν ἐν τῇ κοινότητι ὑμῶν παραγενόμενος τὴν φρόνησίν τε ὑμνήσων τῶν πάλαι γεγενημένων ὑμετέρων ἀνδρῶν καὶ τὸν πόλεμον τὸν ἐν ταῖς ἀρεταῖς, ταῖς ἀνδραγαθίαις ταῖς ἥρωσι προσηκούσαις, οὐ ψεύσομαι περὶ τῆς Κορίνθου, τὸν Σισυφον μὲν ὑμνῶν δηλονότι πυκνότατον παλάμαις, ἀντὶ τοῦ

1) Vrat. D. 2) Hoc comma est e Vrat. D. 3) Supplevi ex eodem. 4) Vrat. D. 5) Iliad. ζ, 153. 6) Vrat. D.

Digitized by Google

βουλαῖς, πράξεσι, τουτέστι συνετώτατον ὡς θεὸν, καὶ τὴν Μήδειαν ὑμνῶν ὡς συνετωτάτην τὴν ποιήσασαν ἑαυτῇ τὸν γάμον κατ' ἐναντιότητα τῆς γνώμης τοῦ πατρὸς αὐτῆς, τὴν γενομένην σώτειραν τῆς νηὸς τῆς Ἀργοῦς καὶ τῶν προπόλων, ἀντὶ τοῦ τῶν ἐπιμελουμένων αὐτῆς. κυρίως δὲ πρόπολος ὁ νεωκόρος. Rec.

70. Μῆτίν τε] αὐτή ἐστιν ἡ μῆτις ἡ προκειμένη τῶν προγόνων, ἧς ὑπόδειγμα Σίσυφος. τὸν μὲν Σίσυφον οὕτω, φησὶ, λέγω συνετώτατον ἐν ταῖς ἐπινοίαις γεγενῆσθαι ὡς ἂν θεόν. Vet.

73. Πυκνότατον παλάμαις] συνετώτατον βουλαῖς ἢ γνώμαις. Vet.

Πυκνότατον] φρονιμώτατον. Gl. γ.

74. Καὶ τὰν πατρὸς ἀντία Μήδειαν] καὶ τὴν Μήδειαν ὑμνῶ τὴν παρὰ γνώμην τοῦ πατρὸς αὐτῆς γαμηθεῖσαν· ἐγαμήθη δὲ τῷ Ἰάσονι σοφὴ οὖσα· τὴν γενομένην σώτειραν καὶ βοηθὸν τῇ Ἀργοῖ· ἐβούλετο γὰρ ὁ Αἰήτης ἀνελεῖν τοὺς Ἀργοναύτας. § Ἄλλως. Πατρὸς ἀντία] ἐπεὶ ἠναντιώθη κατὰ τὸν γάμον τῷ πατρὶ ἡ Μήδεια· ὃν γὰρ ἐκεῖνος οὐκ ἐβούλετο Ἰάσονα, τούτῳ ἐγαμήθη καὶ συναπῆρεν αὐτῷ. ζητεῖται δὲ, τί δήποτε τὴν Μήδειαν Κολχίδα οὖσαν εἰς τοὺς περὶ Κορινθίων λόγους προσάγεται; φασὶ δὲ τὴν Κόρινθον πρῶτον κτῆμα εἶναι Μηδείας· Αἰήτη γὰρ τῷ Ἡλίου καὶ Ἀντιόπης χρησμὸν δοθῆναι πόλιν οἰκίζειν ἐν Κόλχοις ἀπ' αὐτοῦ τὴν ἐπωνυμίαν ἔχουσαν, τὴν δὲ τῶν Κορινθίων τυραννίδα παρακαταθέσθαι Βούνῳ [1]) τῷ Ἑρμοῦ ἐντειλάμενον, εἰ μὲν ἐπαναχθείη, ἀποδοῦναι αὐτῷ, εἰ δὲ μὴ, αὐτὸν ἔχειν. τὴν δὲ Μήδειαν ἐρασθῆναι Σισύφου φησὶ Θεόπομπος. § Ἄλλως. διὰ τί Μηδείας ἐμνημόνευσεν; ὅτι ἡ Κόρινθος πατρῷον αὐτῆς κτῆμα γέγονε, τούτῳ τῷ λόγῳ· Ἀλωεὺς γὰρ καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαχεν Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, ὁ δὲ Αἰήτης τὴν Κόρινθον. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βούνῳ μέν τινι Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πόλιν, εἰπὼν φυλάττειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ· αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος ᾤκησε βασιλεύων. διδάσκει δὲ τοῦτο Εὔμηλός τις ποιητὴς ἱστορικὸς εἰπών·

Ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγέιοντο
Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην
Δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός·
Ἣν μὲν ἔχ' Ἀσωπὸς, ταύτην πόρε δίῳ Ἀλωεῖ·
Ἣν δ' Ἐφύρη [2]) κτεάτισσ', Αἰήτῃ δῶκεν ἅπασαν.
Αἰήτης δ' ἄρ' ἑκὼν Βούνῳ παρέδωκε φυλάσσειν,
Εἰςόκεν αὐτὸς ἵκοιτ' ἢ ἐξ αὐτοῖό τις ἄλλος,
Ἢ παῖς ἢ [3]) υἱωνός· ὁ δ' ᾤχετο Κολχίδα γαῖαν.

Βοῦνος δὲ Ἑρμοῦ καὶ νύμφης τινὸς παῖς. § Ἄλλως. Μηδείας μέμνηται, ὅτι ἐν Κορίνθῳ κατῴκει καὶ ἔπαυσε Κορινθίους λιμῷ κατεχομένους θύσασα Δήμητρι καὶ νύμφαις Λημνίαις. ἐκεῖ δὲ αὐτῆς ὁ Ζεὺς ἠράσθη, οὐκ ἐπείθετο δὲ ἡ Μήδεια τὸν τῆς Ἥρας

1) Gott. Vrat. D. Βοινόμῳ, et similiter in seqq. etiam in versu Eumeli. De Buno cf. Pausan. II, 3. Tzetz. ad Lycophr. 174. 2) Vulgo Ἐφύρην. Correxit auditor doctus. 3) Vulgo ἠδὲ sive ἠδ': Vrat. D. ἢ δή. Correxi ἢ. Mox Vrat. D. et Rom. ἵκετο Κολχ.

Digitized by Google

ἐκκλίνουσα χόλον· διὸ καὶ ἡ Ἥρα ὑπέσχετο αὐτῇ ἀθανάτους ποιῆσαι τοὺς παῖδας. ἀποθανόντας δὲ τούτους τιμῶσι Κορίνθιοι, καλοῦντες μιξοβαρβάρους. Vet.

Διατί ἐμνημόνευσε τῆς Μηδείας Κολχίδος οὔσης; καί φαμεν, ὅτι ἡ Κόρινθος πρῶτον αὐτῆς ἦν κτῆμα, οὕτως· Ἁλωεὺς καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν Ἁλωεὺς μὲν τὴν Ἀρκαδίαν, τὴν δὲ Κόρινθον Αἰήτης. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βούνῳ μέν τινι Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πόλιν, εἰπὼν φυλάσσειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ, αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος καὶ κατασχὼν ἐκεῖ χώραν τινὰ ἐβασίλευεν. Ἰάσων οὖν ἐλθὼν εἰς αὐτον διὰ τὸ χρυσόμαλλον δέρας ἠράσθη παρὰ Μηδείας, ἣ παρασκευάσασα αὐτὸν λαβεῖν τὸ χρυσόμαλλον δέρας συναπῆρεν αὐτῷ πρὸς τὴν Ἑλλάδα ἄκοντος Αἰήτου. εἰρήκαμεν δὲ τὴν ἱστορίαν πλατύτερον ἐν τῇ τοῦ Λυκόφρονος παραφράσει. [1]) Rec.

75. Μήδειαν] ἰστέον δὲ ὅτι τὸ χρυσόμαλλον δέρας ἦν τοῦ κριοῦ, ὃς τὸν Φρίξον εἰς Κολχίδα διεπέρασεν. ἐκεῖ δὲ τοῦτο, ὡς φασι, Φυξίῳ Διΐ ἔθυσαν καὶ ἐπεκρέμασαν ἐν Ἄρεος ἄλσει, καὶ ἐφύλασσε τοῦτο δράκων ὅσον πεντηκόντορος ναῦς μήκει τε πάχει τε, ὡς φησι Πίνδαρος. [2]) Schol. Bodl. β. γ.

77. Προπόλοις] τοῖς ἐμπορεύουσιν. λέγει δὲ τοὺς Ἀργοναύτας. Vet.

Προπόλοις] ναύταις. Gl. β. γ.

Ἰστέον ὅτι τέκτων ὁ κατασκευάσας τὴν τοῦ Ἰάσονος ναῦν ὠνομάζετο Ἀργός, ὅθεν καὶ ἡ ναῦς ἐκαλεῖτο Ἀργώ, καὶ κλίνεται τῆς Ἀργόος καὶ Ἀργοῦς, τῇ Ἀργόϊ καὶ Ἀργοῖ. ἀπὸ τούτου καὶ Ἀργοναυτικὰ Ἀπολλωνίου. Schol. Bodl. β. γ.

78. Τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ] καὶ τά ποτε δὲ, λείπει γένη, διὰ ἰδίας ἀνδρείας δόξαντα διατεμεῖν καὶ πέρας ἐπιτιθέναι τῇ μάχῃ ἐξ ἀμφοτέρων τῶν μερῶν, τουτέστιν Ἑλλήνων τε καὶ Τρώων. ἀπὸ κοινοῦ τὸ γαρύων τε καὶ ὑμνῶν. [3]) § Ἄλλως. λείπει τὰ γένη. οἱ Κορίνθιοι, φησὶν, ἐπ' ἀμφότερα τὰ μέρη ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι, Τρωσὶ μὲν Γλαῦκος το γένος εἰς Βελλεροφόντην ἀνάγων τὸν Γλαύκου τοῦ Σισύφου, τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ Πολυΐδου τοῦ μάντεως. τοῦτο δὲ καὶ Σιμωνίδης εἶπε· Κορινθίοισιν οὐ μανίει τὸ Ἴλιον, οὐδὲ Δαναοί· ἀμφοτέροις γὰρ σύμμαχοι ἐγένοντο. [4]) Vet.

Τὸ ποτὲ πρὸς τὸ ἐδόκησαν συναπτέον, τὸ δὲ τὰ δὲ πρὸς τὸ ἀλκὰν, οὕτω· τὰ δὲ ἐν ἀλκῇ ἐδόκησάν ποτε. οἱ Κορίνθιοι ἐπ' ἀμφότερα ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι· Τρωσὶ μὲν Γλαῦκος τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων τὸν Γλαύκου τοῦ Σισύφου, τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ ὁ Πολυείδου τοῦ μάντεως. ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρος [5]) μαρτυρεῖ λέγων·

1) In Cygn. Lips. deest. Exponitur quidem haec res ap. Tzetz. ad Lycophr. 174. 175. neque tamen ideo scholia recentiorum Tzetzae tribuenda sunt. 2) Pyth IV, 245. 3) Vrat. D. 4) Haec inde a τοῦτο δὲ e Vrat. D. Codex μανεῖ. Praeterea addidi τὸ Ἴλιον, et scripsi Δαναοί, quum in codice sit Δαναοῖς. Aristot. Rhet. I, 6. διὸ λελοιδορῆσθαι ὑπέλαβον Κορίνθιοι ὑπὸ Σιμωνίδου ποιησαντος· Κορινθίοις δ' οὐ μέμφεται τὸ Ἴλιον, unde scribe Κορινθίοισι δ'. Plutarch. Dion. 1. ὥςπερ Σιμωνίδης φησὶ — τοῖς Κορινθίοις οὐ μηνίειν τὸ Ἴλιον ἐπιστρατεύσασι μετὰ τῶν Ἀχαιῶν etc. Cf. Plutarch. Themistocl. 5. 5) Iliad. ν, 663.

Digitized by Google

Ἦν δέ τις Εὐχήνωρ Πολυείδου μάντιος υἱός,
Ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων. [1])

§ Τὰ δὲ καί ποτε] τὰ δὲ ἀντὶ τοῦ κατὰ τὸ δὲ, τουτέστι καὶ κατὰ τὸ ἕτερον μέρος, ἤγουν καὶ κατὰ τὸν πόλεμον δὲ πρὸ τῶν τειχῶν τοῦ Ἰλίου ποτὲ, ἤτοι πάλαι ἔδοξαν οἱ Κορίνθιοι ἐπ' ἀμφότερα τὰ μέρη τῶν πολεμίων ἐν ἰσχύϊ τέμνειν τέλος, ἀντὶ τοῦ ἔχειν τὸ ἔξοχον· οἱ μὲν, οἱ περὶ τὸν Εὐχήνορα δηλονότι σὺν τῷ γένει τοῦ Ἀτρέως τῷ προσφιλεῖ αὐτῷ, δηλονότι τῷ Ἀτρεῖ, τουτέστι σὺν τοῖς παισὶ τοῦ Ἀτρέως τῷ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ, τὴν Ἑλένην κομίζοντες, ἀντὶ τοῦ ζητοῦντες κομίσασθαι· οἱ δὲ, ἤγουν οἱ περὶ τὸν Γλαῦκον, ἀπείργοντες, τουτέστι κωλύοντες πάμπαν. ἐκ τῆς Λυκίας γὰρ τὸν Γλαῦκον ἐλθόντα σύμμαχον τοῖς Τρωσὶν ἔτρεμον οἱ Ἕλληνες. τούτοις μὲν, ἤγουν τοῖς Λυκίοις, ηὔχετο, τουτέστι διηγεῖτο φιλοτιμούμενος ἐν τῇ πόλει τῆς Πειρήνης τῆς πηγῆς, ἤτοι ἐν τῇ Κορίνθῳ εἶναι τὴν βασιλείαν τοῦ σφετέρου πατρὸς, ἀντὶ τοῦ τοῦ ἑοῦ, ἤγουν τοῦ ἑαυτοῦ πάππου, τουτέστι τοῦ Βελλεροφόντου, καὶ μεγάλην κληρονομίαν καὶ μέγαρον, ἤτοι οἰκίαν, καθέδραν. § Ἄστυ Πειρήνης λέγει τὴν Κόρινθον ἀπό τινος γυναικὸς οὕτω καλουμένης. ἡ τοῦ Προίτου γυνὴ ἐρασθεῖσα Βελλεροφόντου ὡς οὐκ ἔσχεν αὐτὸν πειθόμενον, κατεψεύσατο αὐτοῦ πρὸς τὸν ἴδιον ἄνδρα Προῖτον. καὶ ὃς πρὸς τὸν τῆς Λυκίας βασιλέα κηδεστὴν ὄντα αὐτοῦ Ἰόβατον ἀποστέλλει ὑπ' αὐτοῦ τεθνηξόμενον. Ἰόβατος οὖν ἐκπέμπει αὐτὸν κατὰ τῆς Χιμαίρας, ὑπ' αὐτῆς νομίζων αὐτὸν διαφθαρήσεσθαι. Βελλεροφόντης δὲ θέλων μετὰ τοῦ Πηγάσου ἵππου τὸν πρὸς τὴν Χίμαιραν ἐργάσασθαι πόλεμον, ἐπεὶ πολλὰ παθὼν οὐχ οἷός τ' ἦν αὐτὸν ὑποτάξαι, καθ' ὕπνους εἶδε τὴν Ἀθηνᾶν ἐγχειρίζουσαν αὐτῷ χαλινὸν, καὶ ἀναστὰς ὕπαρ εὗρε τὸ ὄναρ. ὅθεν χαλινώσας τὸν Πήγασον καὶ καταπολεμήσας Χίμαιραν ἔλαβεν ἆθλον τὴν θυγατέρα τοῦ Ἰοβάτου, ἀφ' ἧς ἔσχεν Ἱππόλοχον τὸν τοῦ Γλαύκου πατέρα. Rec.

81. Τοὶ μὲν γένει φίλῳ] οἱ μὲν γὰρ περὶ τὸν Εὐχήνορα, Κορίνθιος δὲ ὁ ἀνὴρ, ἅμα τοῖς Ἀτρείδαις ἐβούλοντο τὴν Ἑλένην ἀνακομίσασθαι ἁρπασθεῖσαν ὑπὸ Ἀλεξάνδρου τοῦ Πριώτου. ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρός φησιν·

Ἦν δέ τις Εὐχήνωρ Πολυείδου μάντιος υἱός,
Ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων. [2]) Vet.

82. Οἱ δ' ἀπὸ πάμπαν εἴργοντες] οἱ δὲ ἀπεκώλυον καὶ ἀνθίσταντο παντελῶς οἱ περὶ τὸν Γλαῦκον· λέγεται δὲ καὶ οὗτος Κορίνθιος. πῶς δὲ Κορίνθιος; ὅτι τὸ γένος ἐξ ἀρχῆς Ἑλληνικὸν ἔσχε καὶ ἐκ τῆς Κορίνθου ὁ Γλαῦκος. πῶς δέ; ὁ γὰρ Γλαῦκος γίνεται τοῦ Ἱππολόχου τοῦ Βελλεροφόντου τοῦ Γλαύκου τοῦ Σισύφου τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός. βούλεται οὖν δεῖξαι, ὅτι οἱ παρ' Ἕλλησιν ἄριστοι καὶ οἱ παρὰ Τρωσὶν ἔξοχοι κατὰ τὸ ἀληθὲς Κορίνθιοι ἐτύγχανον. πῶς δὲ ὁ Γλαῦκος γέγονε Λύκιος; ὅτι ὁ Βελλεροφόντης πεμφθεὶς εἰς Λυκίαν Κορίνθιος ὢν ἀπὸ τοῦ Προίτου, ὡς ὀφείλων ἐπιβουλευθῆναι διὰ τὴν ἐπεψευσμένην [3]) μοιχείαν παρὰ τῆς γυναικὸς, ἠρίστευσέ τε τὰ μέγιστα καὶ τὸν προσδοκώμενον αὐτῷ ἔσεσθαι φονέα τὸν βασιλέα τῶν Λυκίων, τὸν πενθερὸν τοῦ Προίτου, καὶ αὐτὸς πενθερὸν ἔσχε γαμήσας τὴν αὐτοῦ θυγατέρα Ἀντίκλειαν·

[1]) Hoc scholium deest in Cygn. Κορινθόθι distincte Vrat. D. [2]) Iliad. ν, 665. [3]) Sic de meo dedi. Vulgo ἐπιψευσαμένην.

Digitized by Google

ἐξ οὗ Λυκίαν οἰκοῦντος ὡς βασιλέως υἱὸς γέγονεν Ἱππόλοχος, οὗ Γλαῦκος. οὗτος ἄρα Κορίνθιος γέγονε Γλαῦκος τὸ γένος. ὄνομα δὲ τῷ Λυκίων βασιλεῖ Ἰόβατος. καὶ Ὅμηρος [1]) τούτοις μαρτυρεῖ·

Ἀλλ' ὅτε δὴ γίγνωσκε θεοῦ γόνον ἠΰν ἐόντα.

§ οὐ μόνον ἡ τοῦ Εὐχήνορος ἀνδρεία τοῦ συστρατεύσαντος τοῖς Ἀτρείδαις διὰ τὴν Ἑλένην, ἀλλὰ καὶ ἡ τοῦ Γλαύκου, ὃς ἀντεστράτευε καὶ ἀνθίστατο αὐτοῖς. [2]) Vet.

83. Ἐκ Λυκίας δέ] ὁ δὲ σύνδεσμος ἀντὶ τοῦ γὰρ κεῖται, καὶ ἔστιν· ἐτρόμεον γὰρ οἱ Ἕλληνες τὸν Λύκιον Γλαῦκον. Vet.

85. Τοῖσι μὲν ἐξεύχετο] παρὰ τοῖς Τρωσὶ, φησὶν, ηὔχει καὶ διηγεῖτο, ὅτι ἐν τῷ τῆς Πειρήνης ἄστει τῇ Κορίνθῳ τοῦ πατρὸς αὐτοῦ ἔχει τὴν ἀρχὴν καὶ τὸ γένος καὶ τὴν βασιλείαν καὶ τὴν περιουσίαν. § καὶ ἤτοι τοῖς Λυκίοις ηὔχει καὶ διηγεῖτο ἢ τοῖς Τρωσίν· ἀπὸ Λυκίων δὲ τοὺς Τρῶας δεῖ νοεῖν. Vet.

86. Πειράνας] Πειρήνη κρήνη ἐν Κορίνθῳ. Vet.

Σφετέρου [3]) πατρός] ἀντὶ τοῦ προγόνου. οὐ γὰρ ὁ πατὴρ αὐτοῦ Ἱππόλοχος ἡγεμονίαν εἶχεν εἰς Κόρινθον, ἀλλ' ὁ πρόγονος αὐτοῦ Σίσυφος. Vet.

89. Ὅς τᾶς ὀφιώδεος] ὅστις τῆς Γοργόνος τῆς ὀφιώδους λεγομένης εἶναι τὸν υἱὸν Πήγασον, ἵππον ὄντα πτερωτὸν, θέλων ὑποζεῦξαι τῷ χαλινῷ, ἀληθῶς πλεῖστα ἔπαθε καὶ ὑπέστη παρὰ τοῖς κρουνοῖς καὶ ῥεύμασι τῆς Πειρήνης, λέγει δὲ ἐν Κορίνθῳ, πρὸ τοῦ κομίσαι αὐτῷ τὴν Ἀθηνᾶν χρυσόδετον χαλινὸν παραστᾶσαν καθεύδοντι. ὃ οὖν εἶδεν ὄναρ, τοῦτο διαναστὰς ἐκ τοῦ ὕπνου δι' ἔργων εὗρεν. § Ἄλλως. ὅστις πρόγονος αὐτοῦ καὶ πρὸς πατρὸς ὢν πάππος· λέγει δὲ τὸν Βελλεροφόντην. ὅτι δὲ τῆς Γοργόνος ἀποτμηθείσης τὴν κεφαλὴν ὑπὸ τοῦ Περσέως ἀνεδόθη ὁ Πήγασος ἵππος, καὶ Ἡσίοδος [4]) μαρτυρεῖ·

Τῆς ὅτε δὴ κεφαλὴν Περσεὺς ἀπεδειροτόμησεν
Ἐξέθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος. Vet.

Ὅς τᾶς ὀφιώδεος] ὅς, ἤγουν ὁ Βελλεροφόντης, πάλαι τὸν Πήγασον ἵππον τὸν υἱὸν τῆς Γοργόνος τῆς ὀφιώδους, τουτέστι τῆς ὁμοίωσίν τινα ὄφεως ἐχούσης, ποθῶν ζεῦξαι, ἀντὶ τοῦ ὑπαγαγεῖν, τῷ χαλινῷ ὑποτάξαι, οὕτω πολλὰ ἔπαθεν ἐπὶ τοῖς ῥεύμασι τῆς Πειρήνης, δηλονότι τῆς ἐν Κορίνθῳ πηγῆς, ἕως ἐνεγκοῦσα ἔδωκεν αὐτῷ ἡ παρθένος ἡ Ἀθηνᾶ χαλινὸν χρυσάμπυκα, ἀντὶ τοῦ χρυσᾶ φάλαρα ἔχοντα, ἐν ὕπνῳ δηλονότι. ἐπάγεται γάρ· ἐξ ὀνείρου δ' αὐτίκα ἦν ὕπαρ, τουτέστιν ἦν δὲ ἡ δόσις αὐτίκα ἐκ τοῦ ὀνείρου ἐν τῷ φανερῷ. ἐφώνησε δὲ ἡ Ἀθηνᾶ τῷ Βελλεροφόντῃ ἐν τῷ ὕπνῳ δηλονότι· καθεύδεις, ἤγουν ὑπνώττεις, ὦ Αἰολίδη βασιλεῦ; τουτέστιν ἀπόγονε τοῦ Αἰόλου· ἄγε δέχου τόδε τὸ φίλτρον τὸ τῶν ἵππων, ἤγουν τὸ φάρμακον τὸ πραϋντικὸν τῶν ἵππων, καὶ τῷ πατρὶ τῷ σῷ τῷ Ποσειδῶνι τῷ δαμαστικῷ τῶν ἵππων, ἤγουν τῷ ἱππικῷ, δεῖξον αὐτὸ, θύων αὐτῷ ταῦρον περιφανῆ, εὐτραφῆ. Rec.

91. Ζεῦξαι ποθέων ἔπαθεν] ὃς πολλὰ ἔπαθε χαλινῶσαι καὶ ζεῦξαι τὸν Πή-

1) Iliad. ζ, 191. 2) Haec vulgo male intrusa erant priori scholio post verba πῶς δὲ Κορίνθιος. 3) Delevi δὲ ex Vrat. D. 4) Theog. 280. Vrat. D. Περσεὺς κεφαλήν.

Digitized by Google

γασον βουλόμενος παρὰ τοῖς κρουνοῖς τῆς Πειρήνης, ὅ ἐστι τῇ Πειρήνῃ. υἱὸς δὲ τῆς Μεδούσης ὁ Πήγασος. Vet.

93. Ἤνεγκ'] ἔφερεν αὐτῷ τῷ κοιμωμένῳ. Gl. γ.

94. Ἐξ ὀνείρου δ' αὐτίκα] τοῦτο εἶπεν ὡς καθεύδοντι αὐτῷ τῆς Ἀθηνᾶς ἐνηνοχυίας τὸν χαλινὸν, ᾧ ἔμελλε χαλινῶσαι τὸν Πήγασον. § εἶπε δὲ, φησὶ, παραστᾶσα κατ' ὄναρ αὐτῷ ἡ θεός· κοιμᾷ σὺ, [1]) ὦ βασιλεῦ, ὃς κατάγεις τὸ γένος ἀπὸ Αἰόλου; μὴ πρότερον δὲ καταζεῦξαι, πρὶν μαντεύσασθαι αὐτῷ Πολύϊδον τὸ δύνασθαι τόνδε τὸν χαλινὸν αὐτῷ Ποσειδῶνι παρασχεῖν. Vet.

97. Ἄγε φίλτρον τόδε] ἵππειον φίλτρον τὸν χαλινόν φησιν, ὅτι τούτῳ οἱ ἵπποι πείθονται. πικρότερον δὲ τῇ μεταφορᾷ. ὁ δὲ νοῦς· ἄγε δὴ οὖν δέχου τοῦτον τὸν χαλινὸν, ὃς ἐστι πεῖσμα καὶ φίλτρου αἴτιος τοῖς ἵπποις, καὶ τῷ δαμάζοντι Ποσειδῶνι τῷ πατρί σου θύων ταῦρον εὐθαλῆ καὶ μέγαν οὕτως ἐπίδειξον αὐτόν. Vet.

Φίλτρον ἵππειον λέγει τὸν χαλινὸν τὸν διὰ μακρὸν ἔθος ὡςανεὶ προσφιλῆ τοῖς ἵπποις ὄντα, ἢ τὸν ποθούμενον ὑπὸ σοῦ καὶ φιλούμενον· ζητεῖς γὰρ εὑρεῖν ἱππικὸν δεσμὸν τὸν κατὰ τοῦ Πηγάσου. Rec.

98. Καὶ Δαμαίῳ] τῷ δαμαστικῷ· ἵππειος γὰρ ὁ θεός. ἢ Δαμαῖος λέγεται Ποσειδῶν ἐν Κορίνθῳ ἀπὸ τῆς τῶν ἵππων δαμάσεως. ἀργᾶντα δὲ νῦν, τὸν ἔκδηλον τῷ μεγέθει. πατρὶ δὲ, τῷ Ποσειδῶνι. τῷ μὲν γὰρ λόγῳ ὁ Βελλεροφόντης Γλαύκου ἐστὶ τοῦ Σισύφου, τῇ δὲ ἀληθείᾳ Ποσειδῶνος, ὥςπερ Ἡρακλῆς Ἀμφιτρύωνος. § Ἄλλως. ἐπιλαμβάνονταί τινες τοῦ ἐπιθέτου, ἐπειδὴ ταῦρον εἶπε θύειν Ποσειδῶνι ἀργήεντα, ὅπερ δηλοῖ λευκὸν, τοῦ Ὁμήρου [2]) εἰπόντος, ὅτι χρὴ θύειν Ταύρους παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ· ἀλλὰ βοηθεῖται τὸ ἀργᾶντα. οὐ γὰρ λευκὸν τῇ χροιᾷ βούλεται λέγειν, ἀλλὰ τὸν ἐκλάμποντα τῷ μεγέθει καὶ ἐπιφανῆ ἐν τῇ ἀγέλῃ. Vet.

99. Πατρὶ δεῖξον] ὅτι τῇ ἀληθείᾳ Βελλεροφόντης Ποσειδῶνος ἦν υἱὸς, δοκῶν εἶναι Γλαύκου. Rec.

Ἀργόν] λιπαρόν. Gl. γ.

100. Κυαναιγὶς ἐν ὄρφνᾳ] ἀντὶ τοῦ μέλαιναν καὶ φοβερὰν αἰγίδα ἔχουσα. αἰγὶς δὲ τὸ ὅπλον. κνώσσοντι δὲ, καθεύδοντι. ὁ δὲ νοῦς· τοσαῦτα ἔδοξεν ἐν τῷ ὀνείρατι διαλέγεσθαι αὐτῷ τὴν Ἀθηνᾶν. δύναιτο δ' ἄν τις ταῦτα ἡγεῖσθαι τῶν παρ' αὐτῆς αὐτῷ ῥηθέντων κατ' ὄναρ· οὐκ ἔστι δὲ, ἀλλ' ἐκείνη βελτίων ἡ ἐκδοχὴ λαμβανομένη ἀπὸ τοῦ ποιητικοῦ προσώπου. [3]) Vet.

Κυαναιγὶς ἐν ὄρφνᾳ] τοσαῦτα ἔδοξεν εἰπεῖν αὐτῷ ἐν νυκτὶ ὑπνώττοντι ἡ παρθένος, τουτέστιν ἡ Ἀθηνᾶ, ἡ κυαναιγὶς, ἤγουν ἡ μέλαιναν ἔχουσα αἰγίδα. ἀνεπήδησε δὲ ὁ Βελλεροφόντης γενόμενος δηλοιότι ἐν ὀρθῷ ποδί· παρ' ἑαυτῷ δὲ κείμενον εὑρὼν τέρας, ἤτοι θαῦμα, τουτέστι τὸν χαλινὸν οὕτω θαυμασίως φανέντα, τὸν ἐπιχώριον μάντιν τὸν Πολύϊδον τὸν υἱὸν τοῦ Κοιράνου ζητήσας εὗρεν ἀσμένως, ἤγουν μετὰ περιχαρείας, καὶ ἔδειξεν, ἀντὶ τοῦ ἐδήλωσεν αὐτῷ πᾶσαν τὴν τελευτὴν, ἤγουν τὴν ἀπόβασιν τοῦ πρά-

[1]) Ita scripsi: vulgo κοιμᾶσαι. [2]) Odyss. γ, 6. [3]) E Vrat. D. inde a κνώσσοντι. Post vocem νοῦς delevi verba κυαναιγὶς παρθένος, ut lemma incommode interpositum. Deinde ad sensum complendum addidi illa: δύναιτο δ' ἄν τις ταῦτα.

Digitized by Google

γματος, ὅπως τε ἐν τῷ ναῷ τῆς θεᾶς, ἤτοι τῆς Ἀθηνᾶς, ὕπνωσε κατὰ τὴν νύκτα μετὰ τὴν μαντείαν ἐκείνου· ἐκεῖνος γὰρ, ὡς ἔοικεν, ἔχρησεν αὐτῷ ἀμηχανοῦντι περὶ τῆς κατασχέσεως τοῦ Πηγάσου ἀπελθεῖν καὶ καθευδῆσαι ἐκεῖ· ὅπως τε παρέσχεν αὐτῷ τὸν χαλινὸν τὸν δαμάζοντα τὰ φρονήματα τῶν ἵππων αὐτὴ ἡ παῖς τοῦ Διὸς τοῦ τῷ κεραυνῷ ὡς ἔγχει χρωμένου, ἤγουν ἡ Ἀθηνᾶ. ἐκέλευσε γὰρ αὐτὸν ὁ μάντις πεισθῆναι τῷ ἐνυπνίῳ ὅτι τάχιστα. Rec.

102. Ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί] λοιπὸν ὁ ποιητὴς ταῦτά φησιν· ἀνήλατο δὲ ἐκ τῆς κοίτης καὶ ἔστη ἄσμενος, περιχαρὴς ὤν. τέρας δὲ τὸν χαλινὸν εἶπεν, ὅτι ὄναρ φανεὶς ὕπαρ ὤφθη. παρακείμενον δὲ εὑρὼν τὸν χαλινὸν καὶ ἀναρπάσας αὐτὸν πρὸς τὸν μάντιν ἦλθεν εὐθέως τὸν ἐπιχώριον. Vet.

104. Ἄσμενος] χαίρων. Gl. γ.

105. Σύναπτε τὸ Κοιρανίδᾳ πρὸς τὸ μάντιν. ὁ γὰρ Πολύειδος οὗτος μάντις Κοιράνου υἱὸς ἦν, ὃς καὶ προϋπέθετο Βελλεροφόντῃ καταδαρθεῖν παρὰ τῷ τῆς Ἀθηνᾶς βωμῷ, ὡς ἐκεῖθεν ἐσομένης αὐτῷ τῆς τοῦ ζητουμένου λύσεως. Rec.

106. Ὥς τ' ἀνὰ βωμῷ] ὅπως, εἶπεν, ἐπὶ τῷ βωμῷ τῆς Ἀθηνᾶς ἐκαθεύδησεν ἐκ τῆς τοῦ Πολυΐδου προμαντείας καὶ συμβουλῆς, ὡς αὐτοῦ συμβουλεύσαντος αὐτῷ διὰ μαντείας ἀγωνιῶντι περὶ τῆς κατοχῆς τοῦ ἵππου, καὶ ὅπως αὐτὴ ἡ θεὸς αὐτῷ παρέσχε τὸν χαλινὸν, ἡ θυγάτηρ τοῦ ἐγχειρεραύνου Διός. [1]) δαμασίφρονα δὲ εἶπε χρυσὸν, ἵν' ᾖ τὸν τίμιον, ἢ ὅτι διάχρυσος ἦν τῇ κατασκευῇ ὁ χαλινὸς, δαμάζοντα δὲ τὸ φρόνημα τὸ ἄγριον τῶν ἵππων καὶ ἥμερα φρονεῖν ἀναγκάζοντα. καὶ αὐτὸς δὲ ὁ χρυσὸς δαμασίφρων, ἐπεὶ ἱκανὸς ἀπατῆσαι. Κοιρανίδαν, τὸν Κοιράνου παῖδα Πολύϊδον. ἐλθὼν οὖν πρὸς τὸν μάντιν ἔδειξε καὶ διεσαφήνισεν αὐτῷ τὴν ὅλην ὑπόθεσιν τοῦ πράγματος καὶ κατάστασιν. Vet.

107. Κοιτάξατο] ἐκοιμήθη. Gl. γ.

110. Ἔπορε] ἐχάρισεν. Gl. γ.

111. Δαμασίφρονα λέγει ὃν πρόσθεν εἶπε χρυσάμπυκα χαλινὸν, ὡς τὰς φρένας τῶν ἵππων δαμάζοντα καὶ εὐπειθεῖς ἐργαζόμενον. Rec.

Ἐνυπνίῳ δὲ τάχιστα] τοῦ Βελλεροφόντου δὲ τὸ ὄναρ διηγησαμένου εἶπεν ὁ Πολύϊδος ὡς τάχιστα καὶ ἀνυπερθέτως πείθεσθαι τῷ ἐνυπνίῳ. καὶ ταῦτα αὐτῷ εἰπόντος τοῦ μάντεως, ὡς ἡνίκα ἂν τὸν ταῦρον θύῃ τῷ Ποσειδῶνι, τότε δὴ τῇ ἱππικωτάτῃ Ἀθηνᾷ ἱδρύσασθαι βωμὸν, ἤτοι ἄγαλμα. κραταίποδα δὲ τὸν ταῦρόν φησιν· οὕτω δὲ Δελφοὶ ἰδίως ἐκάλουν. αὐερύῃ δὲ, ἀντὶ τοῦ σφάζῃ, θύῃ, ἀπὸ τοῦ παρακολουθοῦντος, ὡς Ὅμηρος· [2]) Αὖ ἔρυσαν μὲν πρῶτα. Vet.

113. Ὅταν δ' εὐρυσθενεῖ] ὅταν δὲ ἀνρύῃ, ἀντὶ τοῦ ἀνερύῃ, ἤγουν ἀνατρέπῃ, ἀντὶ τοῦ σφάζῃ, θύῃ, ἀπὸ τοῦ παρακολουθοῦντος, τὸν κραταιὸν τοὺς πόδας ταῦρον τῷ Ποσειδῶνι τῷ συνέχοντι τὴν γῆν, τῷ καταπολὺ ἰσχυρῷ, ἐκέλευσεν αὐτίκα ποιῆσαι τῇ Ἀθηνᾷ τῇ ἱππικῇ, ἤγουν τῇ πολεμικῇ, ναόν. πληροῖ δὲ ἡ δύναμις τῶν θεῶν κούφως, τουτέστιν εὐχερῶς τὴν κτίσιν, ἀντὶ τοῦ τὴν πρᾶξιν καὶ τὴν παρ' ὅρκον, ἤγουν τὴν

1) Supplevi e Vrat. D. 2) Iliad. α, 459.

Digitized by Google

μὴ δεομένην βεβαιώσεως ὅρκων εἰς τὸ μὴ πραχθῆναι, ὡς ἀνέλπιστον δηλονότι οὖσαν καὶ ἀδύνατον, καὶ τὴν παρὰ ἐλπίδα, τουτέστι καὶ ἣν οὐκ ἄν τις ἐλπίσαι ποτὲ πρᾶξιν. θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα ῥᾷστα ποιοῦσι, περὶ ὧν ἄν τις καὶ δι' ὅρκου ἀπαγορεύσειεν ὡς οὐχ οἵά τε γενέσθαι. ἔστι δὲ τὸ παρ' ἐλπίδα καὶ τὸ παρ' ὅρκον ταυτόν· τὰ γὰρ ἀδύνατα καὶ ἀνέλπιστα. Rec.

116. Τελεῖ [1]) δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον] ἐπιτελοῦσι δὲ καὶ παρέχουσιν οἱ θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα, περὶ ὧν ἄν τις καὶ τὴν ἐλπίδα ἀπαγορεύσῃ. § Ἄλλως. οὐχὶ τὴν ἐξ ἐπιορκίας, ἀλλὰ καὶ εὐόρκως ἀπελπισθεῖσαν. ἢ οὕτω· δύναται δὲ θεὸς τελέσαι καὶ τὸ μεθ' ὅρκου ἀδύνατον νομιζόμενον εἰς περίκτησιν οἷον εὐχερές. τοῦτο δὲ γνωμολογεῖ, ὅτι δὴ καὶ Βελλεροφόντης ὁ μέγας μηδέποτε ζευχθήσεσθαι τὸν Πήγασον δι' ἐπιορκίας θέμενος δι' Ἀθηνᾶς ὑπὸ ζυγὸν ἐποίησεν. § ὁ δὲ νοῦς· καὶ δὴ ἐκ τούτων ὁ γενναῖος Βελλεροφόντης μετὰ σπουδῆς ἔλαβε τὸν χαλινὸν, καὶ τὸν πτεροῦτὸν ἵππον Πήγασον ἐχαλίνωσε· τοῦτο γάρ ἐστι τὸ Τείνων ἀμφὶ γένυσιν. φάρμακον πραῦ τείνων ἀμφὶ γένυι· πραΰνοντα καὶ ἡμεροῦντα, ὡς ἀντιφάρμακον ἰατρικόν. λέγει δὲ τὸν χαλινόν. Vet.

Διὰ τὸ μέτρον πληροῖ γράφε, οὐ τελεῖ. Mosc. B.

118. Ἤτοι καὶ ὁ καρτερός] τὸ ἤτοι ἀντὶ τοῦ δὴ, ἤγουν καὶ δὴ καὶ ὁ ἰσχυρὸς Βελλεροφόντης ὁρμαίνων, ἤτοι προθυμούμενος, ἔλαβεν ἵππον ὑπόπτερον, τουτέστι τὸν Πήγασον, φάρμακον πραΰ, ἀντὶ τοῦ πραΰντικὸν, ἤγουν τὸν παρὰ τῆς Ἀθηνᾶς χαλινὸν, τείνων, ἀντὶ τοῦ ἐφαπλώσας, ἐπενεγκὼν ἀμφὶ τῇ γένυϊ, ἀντὶ τοῦ περὶ τῇ γένυϊ, τουτέστιν ἐπὶ τῷ στόματι αὐτοῦ δηλονότι. ἀναβὰς δ' εὐθὺς ἐπ' αὐτὸν ἔπαιζεν ἐνόπλιον παιδιὰν χαλκωθεὶς, ἤτοι ὁπλισάμενος. Κραταιὸς κοινὸν, κρατερὸς ποιητικὸν τὸ αὐτὸ, καὶ κατὰ μετάθεσιν τοῦ ρ καρτερός. Σὺν ἐκείνῳ δὲ, ἤτοι τῷ Πηγάσῳ ποτὲ ἐφόνευσε καὶ τὸν στρατὸν τὸν γυναικεῖον τῶν Ἀμαζόνων τὸν τοξότην, βάλλων αὐτὸν, τουτέστι βολαῖς ἐπιτιθέμενος αὐτῷ ἄνωθεν ἀπὸ τῶν κοιλωμάτων τῆς αἰθέρος τῆς ψυχρᾶς, ἀντὶ τοῦ τοῦ ἀέρος τοῦ ψυχροῦ, τοῦ ἐρήμου, ἤγουν ἐφ' ᾧ οὐ διατρίβει πτηνὰ διὰ τὴν ψυχρότητα, καὶ τὴν Χίμαιραν τὴν πνέουσαν πῦρ καὶ τοὺς Σολύμους. ἔθνος δὲ ἦσαν οἱ Σόλυμοι μεταξὺ Λυκίας καὶ Παμφυλίας πολεμικώτατον. Rec.

119. Ὁρμαίνων] προθυμούμενος. Vet.

123. Χαλκωθείς] ἤτοι χαλκοῦν περιθέμενος θώρακα, ἢ ὅπλα ἐνδὺς χαλκᾶ. Vet.

Ἔπαιξεν] ἤτοι ἐπειρᾶτο, ἐγυμνάζετο εὐκόλως, ὡςπερ παιδιᾶς τρόπον· ἢ ἐπετέρπετο· ἢ ἐνόπλιον ὄρχησιν ἐποιεῖτο· ἢ σὺν τοῖς ὅπλοις εὐχερῶς ἐμάχετο. Vet.

124. Σὺν δ' ἐκείνῳ] μετὰ δὲ τοῦ ἵππου ὢν ἢ σὺν αὐτῷ ποτε καὶ τὸν στρατὸν τῶν Ἀμαζόνων τὸν ἐκ τοῦ ἀέρος τοῦ ἐρήμου καὶ τῶν ψυχροτάτων τόπων τῶν Ὑπερβορέων ἐνίκησεν. § ἤτοι τῶν ἐν Σκυθίᾳ. Vet.

125. Αἰθέρος ψυχρᾶς] τῆς ἐν Σκυθίᾳ· κρυώδης γὰρ καὶ δυςχείμερος. μετέωρος γὰρ ὢν ἀνήρει καὶ ἐνίκα. Vet.

Αἰθέρος εἶπε θηλυκῶς ὁ ποιητής· ψυχρᾶς δὲ ἐπεὶ καὶ ὁ ἀὴρ αἰθὴρ λέγεται, ψυχρότερον δὲ τὸ βόρειον μέρος, ἔνθα οἰκοῦσιν αἱ Ἀμαζόνες. ἐρήμου δὲ διὰ τὸ τοῦ ἀέρος

[1]) Sic Vrat. D. Vulgo πληροῖ.

Digitized by Google

κενόν. λέγει δὲ, ὡς σὺν τῷ Πηγάσῳ τὰς ἀπὸ τοῦ ὑπερβορέου κλίματος Ἀμαζόνας καὶ τοὺς Σολύμους ἔθνος ἀπώλεσεν. Rec.

128. Καὶ Χίμαιραν πῦρ πνέοισαν] ἐνίκησε δὲ σὺν αὐτῷ καὶ τὴν πυρίπνουν Χίμαιραν καὶ τοὺς Σολύμους ἀνεῖλε. Σόλυμοι δὲ ἔθνος πρὸς τῇ Λυκίᾳ, μεταξὺ Λυκίας καὶ Παμφυλίας, πολεμικώτατον. [1]) εἶπε δὲ ταῦτα καὶ Ὅμηρος [2]) περὶ τοῦ Βελλεροφόντου. Vet.

130. Διασωπάσομαί οἱ μόρον ἐγώ. [3])] τουτέστι τὸν θάνατον αὐτοῦ σιγήσομαι. ὑποστέλλεται γὰρ τὸ κατὰ τὴν τελευτὴν ἐκβεβηκὸς αὐτῷ εἰπεῖν, ὅτι πεσὼν ἐκ τοῦ Πηγάσου χωλὸς ἐγένετο. § Ἄλλως. τὸν θάνατον αὐτοῦ ἐγὼ σιωπήσω. ὑποστέλλεται τὸ κατὰ τὴν τελευτὴν ἐκβεβηκὸς αὐτῷ κακόν· λέγεται γὰρ, ὅτι ἀναπτῆναι βουληθεὶς, τῷ Πηγάσῳ κούφως παρακινδυνεύσας, κατὰ βούλησιν τοῦ Διὸς οἰστρωθέντος τοῦ Πηγάσου ἐκπίπτει καὶ χωλοῦται, καὶ πλανᾶται κατὰ τὸ Ἀλήϊον χωλὸς, ὡς Ὅμηρός φησιν· [4])

Ἦτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο
Ὃν θυμὸν κατέδων.

§ Ἄλλως. καταβαλὼν γὰρ τὸν Βελλεροφόντην ὁ Πήγασος ἀπενόστησεν εἰς τὸν οὐρανὸν, τοῦτον δὲ αἱ οὐράνιαι φάτναι τοῦ Διὸς ὑπεδέξαντο· κατηστερίσθη [5]) γάρ. καὶ Ἄρατος [6]) μέμνηται, ὅτι εἰσὶ φάτναι ἐν οὐρανῷ καὶ ὄνοι καλούμενοι ἀστέρες. Vet.

Τὸ διασιγάσομαι εἶπε διὰ τὸ συμβὰν αὐτῷ ἐν τῇ τελευτῇ κακόν. οὐ γὰρ ἄξιον πολλοὺς καὶ μεγάλους ἐπαίνους ὑπὲρ αὐτοῦ διϊόντα καὶ τῶν συμβάντων αὐτῷ μνησθῆναι κακῶν. φασὶ γὰρ, ὡς βουληθεὶς πρὸς οὐρανὸν ἀναπτῆναι σὺν τῷ Πηγάσῳ ἐξοιστρωθέντος τοῦ ἵππου παρὰ τοῦ Διὸς πίπτει καὶ χωλοῦται, κατὰ δέ τινας καὶ τυφλοῦται, καὶ ἐκπλανᾶται κατὰ τὸ Ἀλήϊον χωλός. φησὶ δὲ καὶ Ὅμηρος [7]) περὶ αὐτοῦ·

Ἦτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο
Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων.

§ Διασιγάσομαι, ἤγουν σιγήσω τὸν θάνατον αὐτοῦ, τοῦ Βελλεροφόντου δηλονότι. τοῦτο δέ φησιν, ἐπεὶ δυστυχὲς αὐτῷ τὸ τέλος ἐγένετο πεσόντι ἀπὸ τοῦ ἵππου καὶ χωλωθέντι. τόνδε, ἤγουν τὸν ἵππον, αἱ φάτναι τοῦ Διὸς αἱ ἀρχαῖαι ἐδέξαντο ἐν οὐρανῷ. ἄστρα γὰρ λέγουσιν εἶναι ἐν οὐρανῷ ἀρχῆθεν φάτναι καλούμενα καὶ ὄνοι. ἐμὲ δὲ χρὴ ἱέντα, ἤγουν βάλλοντα ῥόμβον, ἀντὶ τοῦ βολὴν ἀκόντων εὐθεῖαν, οὐκ ἔξω τοῦ σκοποῦ ἐρείδειν τὰ πλείω βέλη διὰ τῶν χειρῶν. συμβολικὸς ὁ λόγος ἀντὶ τοῦ ἐμὲ δὲ χρὴ προσήκουσαν ποιούμενον τὴν ὁρμὴν τῶν λόγων, τουτέστι διὰ τὸ κατὰ τὸ προσῆκον ποιεῖσθαι τὴν ὁρμὴν τῶν λόγων οὐκ ἔξω τῆς προσηκούσης ὑποθέσεως ποιεῖσθαι τοὺς πλείστους λόγους. Rec.

133. Ἐμὲ δ' εὐθὺν ἀκόντων ἱέντα ῥόμβον] ἀλλ' ὁ μέν φησιν οὕτως· ἐμὲ δὲ οὐ χρὴ παρὰ σκοπὸν τὰ βέλη μου τὰ πολλὰ ταῖς χερσὶν ἰσχυρῶς ἔχειν, ἀλλ' ὀξύν τινα τὸν ἀκοντισμὸν αὐτῶν ποιεῖσθαι. τὸ δὲ ἑξῆς· ἐμὲ δὲ ἱέντα πολλὰ παρὰ σκοπὸν βέλη οὐ χρὴ ῥόμβον, τουτέστι ῥίψιν καὶ ὁρμὴν ποιεῖσθαι. λέγει δὲ, ὅτι οὐ χρὴ περιττολογεῖν περὶ ἄλλων καὶ ἐκτραπῆναι τοῦ προκειμένου. § τὸ δὲ ἀκόντων ῥόμβον τὴν δίνησιν καὶ

[1]) Vrat. D. μηχανικώτατον, ὅπερ καλοῦσιν . . . Lacuna est septem litterarum. [2]) Iliad. ζ, 155. [3]) Sic Vrat. D. in lemmate, vulgo διασιγάσομαι αὐτῷ μόρον. [4]) Iliad. ζ, 201. [5]) Sic Vrat. D. Vulgo κατηστερήθη. [6]) Diosem. 160. 166. [7]) Iliad. ζ, 201.

Digitized by Google

τὴν βολὴν τῶν ἀκοντίων λέγει, τροπικῶς δὲ τῶν ἐγκωμιαστικῶν λόγων, ὡς καὶ ἐν ἄλλοις· [1]) Πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη ἔνδον ἐντὶ φαρέτρας. ἀλληγορικῶς οὖν φησιν, ὅτι οὐ χρή με περὶ ἄλλων σκοπεῖν καὶ πολυλογεῖν ἐάσαντα τὸν προκείμενον ἔπαινον. ἀφέμενος γὰρ τοῦ νικηφόρου εἰς τὰ πάτρια ἀναδραμὼν, πλείονι τῇ παρεκβάσει κέχρηται· διὸ καὶ ἐπιστρέφει ἑαυτόν. Vet.

Ἐμὲ δ' εὐθύν] τὰ μὲν τοῦ Βελλεροφόντου καὶ τοῦ Πηγάσου οὕτως ἔσχεν· ἐμὲ δὲ ἱέντα εὐθὺν ῥόμβον ἀκόντων, ἤγουν σκοπὸν θέμενον ἐπαινεῖν Ξενοφῶντα, οὐ χρὴ κρατύνειν τὰ πολλὰ βέλη ἐν ταῖν χεροῖν παρὰ σκοπὸν, ἤγουν οὐ δεῖ παρεκβάσει πολλῇ χρῆσθαι καὶ τοὺς πλείους τῶν ἐπαίνων εἰς ἑτέρους ἀναλίσκειν. Rec.

Εὐθύν] εὔκολον. Ἀκόντων] κονταρίων. Ἱέντα] τοξεύοντα. Ῥόμβον] πέμψιν. Gl. γ.

Ῥόμβος ἢ κοινῶς στροῦμβα, ἥτις καὶ βέμβιξ [2]) λέγεται καὶ στρόμβος, ἀφ' οὗ καὶ τὸ στρομβηδόν. ἐνταῦθα δὲ ῥόμβον λέγει ἀντὶ τοῦ στρόμβησιν, λέγει δὲ οὕτω τὴν βολὴν τῶν ἀκόντων διὰ τὸ μετὰ δινήσεως αὐτὴν γίνεσθαι. Rec.

135. Κρατύνειν] πέμπειν, ἐρείδειν. Gl. γ.

136. Μοίσαισι γὰρ ἀγλαοθρόνοις ἔκων] οὐ γὰρ ἦλθον, φησὶ, δι' ἄλλο τι, ἀλλὰ ταῖς Μούσαις ἐπίκουρος καὶ ὑπηρέτης, ἵνα τοὺς Κορινθίους τούτους τοὺς ἀπὸ τῆς φατρίας τῆς Ὀλιγαιθίδος καλουμένης ὄντας ἐπαινέσω καὶ τὰ πραχθέντα ὑπ' αὐτῶν ἐν τῷ Ἰσθμῷ καὶ ἐν τῇ Νεμέᾳ. οἱ γὰρ περὶ τὸν Ξενοφῶντα τοῦτον τὸν ἐπαινούμενον Ὀλιγαιθίδαι καλοῦνται κατὰ φατρίαν, ὡς τὸ ἀνέκαθεν ὄντες ἀπὸ Ὀλιγαίθου τινὸς ἀρχαίου. Vet.

Μοίσαις γὰρ ἀγλαοθρόνοις] ταῖς Μούσαις γὰρ ταῖς ἐπὶ λαμπρῶν θρόνων ἱδρυμέναις, ἤγουν ταῖς τιμίαις καὶ ἐνδόξῳ τάξει τεταγμέναις εἴκων, ἤτοι ὑπείκων, ὑπηρετῶν, ἦλθον ἐπίκουρος, ἀντὶ τοῦ ὑμνητὴς τοῖς Ὀλιγαιθίδαις, τουτέστι τῇ φατρίᾳ τοῦ Ξενοφῶντος, ἀντὶ τοῦ τοῖς Κορινθίοις, διὰ τὰ ἐν Ἰσθμῷ αὐτῶν ἔργα καὶ διὰ τὰ ἐν Νεμέᾳ. ἐν βραχεῖ δὲ λόγῳ ποιήσω φανερὰ ὁμοῦ πολλὰ, καὶ ὅρκος ἔσται ἐμοὶ ἐπὶ τούτοις ἀληθής. ἑξηκοντάκις γὰρ ἀμφοτέρωθεν, ἤγουν ἀπὸ τῆς Ἰσθμοῦ καὶ τῆς Νεμέας, βοὴ κήρυκος ἀγαθοῦ, κατὰ τὸ κηρύττειν δηλονότι, ἠδύφωνος ἀνεκήρυξεν, αὐτοὺς δηλονότι. ἡδύγλωσσον δὲ λέγει τὴν βοὴν οὐ διὰ τὸ ἐμμελὲς αὐτῆς, ἀλλὰ διὰ τὸ τερπνὴν παρέχειν τὴν ἀνακήρυξιν τοῖς ἀνακηρυττομένοις. τὰ δὲ ἔργα αὐτῶν τὰ ἐν Ὀλυμπίᾳ, τουτέστιν αἱ νῖκαι δὲ αὐτῶν αἱ ἐν Ὀλυμπίᾳ δοκοῦσιν ἤδη πρότερον εἰρῆσθαι· ἔφη γὰρ αὐτοὺς ἐν τῇ ἀρχῇ τρὶς νενικηκέναι ἐν τῇ Ὀλυμπίᾳ· καὶ τὰ ἐσόμενα, ἤγουν καὶ τὰς ἐσομένας αὐτοῖς νίκας τότε ἂν, ὅτε ἔσονται δηλονότι, φαίην σαφῶς· νῦν δ' ἐν ἐλπίσιν ἔχω τὸ τέλος τῆς νίκης αὐτῶν ὅμως ἐν τῷ θεῷ. Rec.

Ἔκων] ὑποτασσόμενος. Gl. γ.

137. Ὀλιγαιθίδαισιν] τοῖς παισὶ τοῦ Ὀλιγαίθου. Gl. γ.

Ὀλιγαιθίδαι φατρία ἐν Κορίνθῳ ἀπό τινος Ὀλιγαίθου, ἧς ἦν Ξενοφῶν. [3]) Rec.

[1]) Olymp. II, 89. [2]) Rom. βόμβιξ, Cygn. βέβριξ, Vrat. A. βίμβιξ. Verum est βέμβιξ: v. Albert. ad Hesych. T. I, p. 719. [3]) Abest a Cygn.

Digitized by Google

Ἐπίκουρος] ἤγουν βοηθός· βοήθεια γὰρ τῶν ἀγαθῶν ἔργων τὰ ἔπη οὐκ ἐῶντα τοῦ λοιποῦ λήθην αὐτῶν κατακαυχήσασθαι. [1]) Rec.

138. Παύρῳ δ' ἔπει θήσω] ἀντὶ τοῦ ἐν ὀλίγῳ καὶ συντόμῳ λόγῳ διάδηλα καὶ φανερὰ πλεῖστα πράγματα καὶ ἀθρόα ποιήσω. § Ἄλλως. ἀντὶ τοῦ ἐν ὀλίγῳ τὰ πολλὰ φανερὰ ποιήσω, ἀληθὴς δὲ περὶ τούτων καὶ ἐξαίρετος ὅρκος ἔσται. ὀμνύειν δὲ βούλεται ὡς ἀληθεύων ἐν τοῖς ἐπαίνοις. § Ἄλλως. ἰδίως ἔφη ἔξορκος, ἢ ἀντίορκος. ὀμόσω οὖν αὐτὸς, φησὶ, τοὺς ἀπὸ τῆς φατρίας Ὀλιγαιθίδος ἑξηκοντάκις νενικηκέναι ἀμφοτέρωθεν, τουτέστιν ἔν τε Ἰσθμῷ καὶ Νεμέᾳ κεκηρῦχθαι αὐτούς. Vet.

140. Ἀλαθής τέ μοι ἔξορκος] ἤγουν εἰ ὅρκῳ χρήσομαι ὡς κατὰ ἀλήθειαν καὶ οὐ πρὸς χάριν ἐπαινῶ αὐτὸν, ἀληθεύσω. [2]) Rec.

143. Βοὰ κάρυκος ἐσλοῦ] λείπει τὸ Ἀνεκήρυξεν αὐτοὺς, ἡ τοῦ κήρυκος γλῶσσα ἑξηκοστὸν νικήσαντας. ἑξηκοντάκις γὰρ ἀμφοτέροις τοῖς ἀγῶσιν, Ἰσθμίοις καὶ Νεμέοις, ἀνεκηρύχθησαν οἱ Ὀλιγαιθίδαι, ἐν ἑκάστῳ ἀγῶνι τριάκοντα. Vet.

144. Τὰ δ' Ὀλυμπίᾳ αὐτῶν ἔοικεν ἤδη πάροιθε λελέχθαι] εἶπε γὰρ ἐν ἀρχῇ τοῦ ὕμνου οὕτω, τρὶς Ὀλυμπιονίκαν. ὁ δὲ νοῦς· τὰ δὲ ἐν τῇ Ὀλυμπίᾳ αὐτῶν νικητήρια ἤδη, ὡς ἔοικε, προείρηται ἐν τοῖς ἔμπροσθεν λόγοις, τὰ δὲ μέλλοντα, φησὶ, τουτέστιν ἐὰν δὲ πάλιν νικήσῃ Ὀλύμπια, αὖθις σαφέστερον ἐπαινέσω αὐτόν. νῦν δὲ ἐγὼ ἐλπίζω καὶ προσδοκῶ νικῆσαι αὐτόν· ἐν δὲ τῷ κρείττονι τὸ τοιοῦτον τὴν προσδοκίαν δοῦναι. Vet.

148. Εἰ δὲ δαίμων ὁ γενέθλιος ἔρποι] εἰ δὲ τὸ συγκληρωθὲν δαιμόνιον καὶ ἡ τύχη ἐπὶ τὸ πλεῖστον προΐοι νικητὰς αὐτοὺς μηνύον, ἀναθήσομαι τὸ τοιοῦτον εὐεργέτημα τῷ τε Διΐ καὶ τῷ Ἄρεϊ. διατί δέ φησι τῷ τε Διΐ καὶ τῷ Ἐνυαλίῳ ἐπιτρέψειν; ὅτι ὁ μὲν Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε καὶ Ὀλύμπια τοῦ Διὸς ἱερὰ, τὸν δὲ Ξενοφῶντα οὐ μόνον ἀθλητὴν γεγενῆσθαί φασιν ἀλλὰ καὶ τὰ πολεμικὰ ἀγαθὸν, ἢ ὅτι τοῦ Οἰνομάου πατήρ ἐστιν ὁ Ἄρης καὶ μετέχει τῆς Ὀλυμπίας. § Ἄλλως. τῷ μὲν Διΐ, ὅτι ὁ ἀγὼν αὐτῷ ἀνάκειται καὶ τελεῖται· τῷ δὲ Ἄρεϊ, ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης. μιχθεὶς γὰρ Ἁρπίνῃ θυγατρὶ Ἀσωποῦ τοῦ Θηβαίου ποταμοῦ ἐτέκνωσε τὸν Οἰνόμαον ὁ Ἄρης, ὃς ἦν βασιλεὺς τῶν τόπων. εἰς χάριν οὖν τοῦ παιδὸς προΐσταται ἴσως τῆς χώρας τῶν Ἠλείων. Vet.

Ἔρποι] ἐξαπλοῖ τὴν χάριν αὐτοῦ. Gl. γ.

Εἰ δὲ δαίμων γενέθλιος] εἰ δὲ ὁ δαίμων ὁ γενέθλιος, ἤγουν ὁ θεὸς ὁ διοικῶν τοῦ Ξενοφῶντος τὸν βίον ἀπὸ γενέσεως, ἔρποι, τουτέστι προκόπτοι, ἐπιδοίη, τῷ Διΐ καὶ τῷ Ἐνυαλίῳ, ἤγουν τῷ Ἄρει, δώσομεν πράττειν τοῦτο· τῷ μὲν Διΐ ὅτι ὁ ἀγὼν ἦν αὐτῷ ἀνατεθειμένος, τῷ δὲ Ἄρει ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης. τὰ δὲ ἐπὶ τῇ ὀφρύϊ, ἀντὶ τοῦ τῇ ἐξοχῇ τοῦ Παρνασσοῦ, τουτέστιν ἐν τοῖς Πυθίοις ἔργα αὐτοῦ, καὶ τὰ ἐπὶ τῷ Ἄργει, ἔνθα ἐτελεῖτο τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια· ἐδίδοτο δὲ τῷ νικήσαντι ἀσπὶς χαλκῆ· καὶ τὰ ἐν ταῖς Θήβαις, ἔνθα ἤγετο τὰ Ἡράκλεια τὰ καὶ Ἰολάϊα, βαβαὶ τοῦ πλήθους ὅσα ἐστί. καὶ ἐν τοῖς Ἀρκάσιν ἀνάσσων, ἤγουν νικῶν, φεῦ

1) Abesse dicuntur a Cygn. 2) Haec quoque in Cygn. deesse refertur.

Digitized by Google

τοῦ πλήθους ὕσα ἐστὶν ἔργα αὐτοῦ. Μαρτυρήσει Λυκαίου] μαρτυρήσει τὰ ἔργα αὐτοῦ ὁ βωμὸς τοῦ Λυκαίου Διὸς ὁ ἄναξ ὁ ἐν Ἀρκαδίᾳ, καὶ ἡ Πελλήνη· πόλις δὲ ἦν αὕτη Ἀργοῦς ἢ τῆς Ἀχαΐας, [1]) ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα· καὶ ἡ Σικυών, ἔνθα ἤγετο τὰ Πύθια· τῆς Βοιωτίας δὲ ἦν αὕτη πόλις· καὶ τὰ Μέγαρα, ἐν οἷς ἐτελεῖτο τὰ Διόκλεια, καὶ τὸ ἄλσος, ἀντὶ τοῦ καὶ ἡ καθέδρα τῶν Αἰακιδῶν ἡ καλῶς τῇ θαλάττῃ περιειλημμένη, ἤγουν ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο τὰ Αἰάκια. μαρτυρήσει καὶ ἡ Ἐλευσὶς τὰ ἔργα αὐτοῦ, ἔνθα ἤγετο τὰ Δημήτρια τὰ καὶ Ἐλευσίνια, καὶ ἡ πλουσία Μαραθών, ἔνθα ἐτελεῖτο τὰ Ἡράκλεια· ἦν δὲ τὸ ἆθλον ἀργυρᾶ φιάλη· [2]) καὶ αἱ πόλεις αἱ καλλίπλουτοι, ἤγουν αἱ πλούτῳ κομῶσαι αἱ ὑποκάτω τῆς Αἴτνης τῆς ὑψηλὴν ἐχούσης κορυφὴν, τουτέστιν αἱ Συράκουσαι, ἔνθα ἐτελεῖτο ἀγὼν Ἴσθμια καλούμενος. καὶ ἡ Εὔβοια μαρτυρήσει αὐτοῦ τὰ κατορθώματα, καὶ κατὰ πᾶσαν τὴν Ἑλλάδα ἐρευνῶν εὑρήσεις αὐτῶν ἔργα μείζονα ἢ ὡς ἰδεῖν, ἀντὶ τοῦ νοῆσαι. ἀλλὰ ὦ Ζεῦ τέλει, ἤγουν ποίει ἐκνεῦσαί με, ἤτοι ἐξελθεῖν ἀνύσαντα ἤδη τὸν ὕμνον ἐλαφροῖς ποσὶ, τουτέστιν ἀνεπαχθῶς, ἐλαφρῶς, ὑπ' οὐδενὸς βαρούμενον, αἰδῶ διδοὺς, ἀντὶ τοῦ δύναμιν αἰδέσιμον, καὶ εὐτυχίαν ἡδέων γλυκεῖαν. Rec.

150. Τὰ δ' ἐπ' ὀφρύϊ Παρνασίᾳ] ἀντὶ τοῦ τὰ δὲ ἐν Δελφοῖς Πύθια. § ἐκ τοῦ παρακειμένου ὄρους λέγει· ὅ ἐστι Πύθια. ὅσα τ' ἐν Ἄργει δὲ καὶ ἐν Θήβαις ἄλλα. καὶ ἐν Ἀρκαδίᾳ δὲ ὅπως δεσπότης γέγονε τοῦ στεφάνου, ὁ βωμός ἐστι μάρτυς ὁ τοῦ Λυκαίου Διὸς καὶ ἡ ἐκεῖ ἀγομένη πανήγυρις· ἐκεῖ γὰρ νικήσας ἐστέφθη. Vet.

155. Πελλάνα τε καὶ Σικυών] ἐν Σικυῶνι Πύθια ἄγεται· ἡ δὲ Πελλήνη τῆς Ἀχαΐας πόλις, ὅπου τὰ Φιλοξένια, καὶ αἱ χλαῖναι δίδονται. [3]) καὶ ἐν Αἰγίνῃ τὰ Δελφίνια καὶ Αἰάκεια, ἐν δὲ Μεγάροις τὰ Διόκλεια καὶ Πύθια, καὶ ἐν Ἐλευσῖνι τὰ Δημήτρια ἢ Ἐλευσίνια. § εὐερκὲς δὲ ἄλσος φησὶ διὰ τὸ κύκλῳ ὑπὸ θαλάσσης ὥσπερ ὑπὸ ἕρκους καὶ τείχους περιβεβλῆσθαι. § ἢ διὰ τὴν φιλοξενίαν. [4]) Vet.

156. Εὐερκὲς ἄλσος] χωρίον τὸ ἔχον καλὸν ἕρκος. Gl. γ.

158. Ταί θ' ὑπ' Αἴτνας ὑψιλόφου] καὶ αἱ ὑπὸ τὴν Αἴτναν τὸ Σικελικὸν ὄρος πόλεις, πόλεις δὲ λέγει τὰς Συρακούσας, μαρτυροῦσιν αὐτοῦ τῇ ἀνδρείᾳ. Ἴσθμια γὰρ καὶ ἐν αὐταῖς τελεῖται, ἃ καὶ ἐνίκησε Ξενοφῶν. § Ἄλλως. Ὑπ' Αἴτνας] τῆς Σικελίας πόλις· [5]) ἐκεῖ γὰρ ἄγεται ἀγὼν Νέμεα καλούμενος. § ἢ οὕτως· ἐν Συρακούσαις ἄγεται, φασὶν, [6]) Ἴσθμια ὡς καὶ ἐν Κορίνθῳ· ἄποικοι γὰρ Κορινθίων Συρακούσιοι. Vet.

159. Ἅτ' Εὔβοια] καὶ ἐν τῇ Εὐβοίᾳ δὲ πάσῃ, φησὶ, καὶ τῇ Ἑλλάδι ζητῶν εὑρήσεις τινὰ μείζονα λόγου παντὸς καὶ πάσης γνώσεως νικητήρια. ὑπερβολικῶς δὲ εἶπεν. § Ἄλλως. ἐν Εὐβοίᾳ Γεραίστια ὑπὸ πάντων Γεραιστίων [7]) ἄγεται Ποσειδῶνι διὰ τὸν συμ-

1) Ita Cygn. 2) Cygn. ἀργυραῖ φιάλαι. 3) Post haec erant verba: ἡ δὲ Σικυὼν Βοιωτίας, ἐν ᾗ τὰ Πύθια ἄγεται. Posteriora ἐν ᾗ τὰ Π. ἄ. absunt a Vrat. D. Delevi etiam cetera nimis imperita et solo recentiore scholiasta digna. Sed initio scholii addidi e Vrat. D. ἐν Σ. Π. ἄγ. et δὲ ante Πελλ. 4) Quippe Aeginetarum: scholium absurdum, in Gott. omissum. 5) Πόλις omissum in Vrat. D. 6) Ita correxi pro vulgato φησὶν, licet hoc ut Latinorum *inquit* passim idem sit quod *dicitur*. 7) An Εὐβοέων?

Digitized by Google

βάντα χειμῶνα ἐν Γεραιστῷ, καὶ ἐν Ἀμαρύνθῳ τῆς Εὐβοίας Ἀμαρύνθια νενικήκασιν. § ὁ δὲ νοῦς· καὶ πᾶσαν τὴν Ἑλλάδα ἐπιπορευόμενος εὑρήσεις μείζονα ἔργα πεποιηκότα αὐτὸν, ἢ ὡς δύνασαι ἰδεῖν. § ἢ οὕτω· τὸ πλῆθος τῶν στεφάνων, φησὶν, ἐκπέφευγε τὴν τῆς ὁράσεως μετάληψιν. Vet.

163. Ἀλλὰ κούφοισιν ἐκνεῦσαι ποσίν] εἶπε τοῦτο πρὸς ἑαυτὸν παρακελευόμενος ἐκδραμεῖν ἀπὸ τούτων καὶ καταπαῦσαι τὸν ὕμνον. § ἢ οὕτως· ἐπαύσατο τῶν ἐπαίνων, καὶ περὶ ἑαυτοῦ λέγει, ὅτι χρὴ ἀποστῆναι κούφοισι ποσὶν ἀνεπαχθῆ φαιέντα. δίδου οὖν μοι, φησὶν, ὦ Ζεῦ, τελεστικωτάτην [1]) τὴν παρὰ σοῦ αἰδῶ τε καὶ εὐτυχίαν, ἐξ ἧς ἐστι τέρπεσθαι καὶ ἥδεσθαι· ἀντὶ τοῦ αἰδέσιμόν με ποίει καὶ τιμῆς ἄξιον. § ἢ οὕτως· αἰδεστικούς τε καὶ αἰδεσίμους αὐτοὺς ποίει ἐπιμελῶς προαρξάμενος. [2]) Vet.

164. Μὴ δίδοι γράφε, ἀλλὰ διδούς· οὕτω γὰρ κάλλιον. Mosc. B.

ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ ΙΔ'.

Περὶ τῶν κώλων τοῦ τεσσαρεσκαιδεκάτου τῶν Ὀλυμπίων εἴδους.

Τὸ τεσσαρεσκαιδέκατον εἶδος μονοστροφικόν ἐστι κώλων ιη' καὶ ιζ'. Τὸ α' Σαπφικὸν ἐννεασύλλαβον. Τὸ β' Φαλαίκειον. Τὸ γ' ἐκ χοριάμβου, διϊάμβου [3]) καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, τρίμετρον ἀκατάληκτον. Τὸ δ' Φερεκράτειον ἀτελές. [4]) Τὸ ε' ἐπιωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. Τὸ ς' δακτυλικὴ διποδία, ἑξασύλλαβον. Τὸ ζ' ἐκ παιωνικῆς διποδίας καὶ ἀντισπαστικοῦ πενθημιμεροῦς. Τὸ η' τροχαϊκὸν ἑφθημιμερές. Τὸ θ' ἐκ δακτυλικῆς διποδίας καὶ τροχαϊκοῦ [5]) πενθημιμεροῦς. Τὸ ι' ἐξ ἀντισπάστου ἑξασήμου [6]) καὶ τροχαϊκῆς κατακλεῖδος. Τὸ ια' Ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές. Τὸ ιβ' δακτυλικὸν πενθημιμερές. Τὸ ιγ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιδ' ἐξ Ἰωνικῆς βάσεως ἀπ' ἐλάττονος καὶ τροχαίου πενθημιμεροῦς. Τὸ ιε'

1) In nott. critt. p. 427. conieci ὦ Ζεῦ τελεστικώτατε, sed nolui in textum recipere. Vrat. D. τελείαν αἰδῶ, omissis intermediis. 2) Wakefield. Silv. critt. P. II, p. 97. corrigit προαρξαμένους. 3) Διϊάμβου addidi cum Pauwio et Beckio. 4) In quattuor his versibus metricorum scholiorum libri magnopere turbati sunt. Codex Trichae ἐκ παλαιοῦ βιβλίου vulgata quidem metrici notata refert, sed pro editis supra verbis haec praebet: τὸ α' Σαπφικὸν ἐννεασύλλαβον Φερεκράτειον. Τὸ β' ἐκ χοριαμβικοῦ καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. Τὸ γ' διπλοῦν Φερεκράτειον· τὸ β' ἀτελές. Τὸ δ' παιωνικὸν δίμετρον καταληκτικόν. Vrat. D. eodem modo, nisi quod omittit Φερεκράτειον, deinde habet ἐκ χοριάμβου κ. Ἰ. ἀπ' ἐλ. δίμετρον κατ. et τὸ γ' Φερεκράτειον ἀτελές, omissis ceteris, quae de quarto dicuntur: etenim ubi vulgo est ε', habet δ'; ubi ς', praestat ε', et de sexto tacet. 5) Sic Vrat. D. et cod. Trich. 6) Sic iidem.

Digitized by Google

Ἰωνικὸν ἀπ' ἐλάττονος ἑφθημιμερές. Τὸ ις' ἐξ Ἰωνικῆς βάσεως ἀπ' ἐλάττονος καὶ ἰαμβικοῦ ἡμιολίου ἀτάκτου. Τὸ ιζ' ἐκ χοριάμβου καὶ ἰαμβικοῦ πενθημιμεροῦς. [1]) Τὸ ιη' ἰαμβικὸν ἑφθημιμερές.

Τὰ δὲ λοιπὰ ἑπτακαίδεκα οὕτω. Τὸ α' Φαλαίκειον. Τὸ β' ἐκ χοριάμβου καὶ ἰάμβου ἑφθημιμεροῦς. Τὸ γ' Ἀλκμαιώνειον δεκασύλλαβον. Τὸ δ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. [2]) Τὸ ε' ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς βάσεως. Τὸ ς' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. [3]) Τὸ ζ' ἐξ ἀντισπαστικοῦ καὶ τροχαϊκῆς [4]) κατακλεῖδος. Τὸ η' ἐκ χοριαμβικοῦ εἰς ἀντισπαστικόν. Τὸ θ' ἐξ ἀναπαιστικοῦ ἡμιολίου καὶ ἰαμβικοῦ ἡμιολίου. [5]) Τὸ ι' Ἀσκληπιάδειον. Τὸ ια' δακτυλικὴ τριποδία. Τὸ ιβ' ἰαμβικὸν ἑφθημιμερές. [6]) Τὸ ιγ' ἐξ ἀντισπάστου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. Τὸ ιδ' Γλυκώνειον. Τὸ ιε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ις' ἐκ χοριάμβου καὶ ἰαμβικοῦ ἑφθημιμεροῦς. Τὸ ιζ' ἰαμβικὸν πενθημιμερές.

Aliud e Vrat. A. Mosc. B.

Περὶ τῶν κώλων τῆς πρώτης μονοστρόφου στροφῆς τοῦ ιδ' εἴδους τῶν Ὀλυμπίων. Παλαιόν.

Τὸ τεσσαρακαιδέκατον εἶδος τῶν Ὀλυμπίων οὐκ ἔστιν ἐπῳδικὸν ὡς τὰ λοιπὰ, ἀλλὰ δύο ἐστὶ στροφῶν μονοστρόφων· οὔτε ἀντιστροφὰς γὰρ ἔχουσιν οὔτε ἐπῳδοὺς, ἀλλὰ μονόστροφοί εἰσιν ὡς εἴρηται. ἔστι δὲ τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ιη'. Τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ πρώτου ποδὸς ἐπιτρίτου τρίτου, [7]) τοῦ δευτέρου παίωνος τρίτου καὶ συλλαβῆς. καλεῖται δὲ Σαπφικὸν ἢ Ἱππωνάκτειον· εὕρημα γάρ ἐστι Σαπφοῦς, ὁ δὲ Ἱππώναξ πολλάκις ἐχρήσατο. ἔστι δὲ ἐννεασύλλαβον. Τὸ δεύτερον ἐπιωνικὸν τρίμετρον καταληκτικὸν, τοῦ πρώτου ποδὸς ἐπιτρίτου τρίτου, τοῦ δευτέρου παίωνος τρίτου ἀντὶ Ἰωνικοῦ, τοῦ δὲ τρίτου χοριάμβου καταληκτικοῦ, ὃς γίνεται δάκτυλος. Τὸ τρίτον ἀντισπαστικὸν διπλοῦν Φερεκράτειον· σύγκειται γὰρ ἐκ δύο κώλων Φερεκρατείων, ὧν τὸ δεύτερον ἀτελές. τὸ μὲν γάρ ἐστι δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερὲς, τὸ δὲ δίμετρον βραχυκατάληκτον ἀντὶ ἀντισπάστου παίωνα δεύτερον ἔχον. Τὸ δ' παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος τετάρτου καὶ ἀναπαίστου. Τὸ ε' ἐπιωνικὸν τρίμετρον καταληκτικὸν, τῆς πρώτης συζυγίας ἰαμβικῆς, τῆς δευτέρας Ἰωνικῆς ἀπ' ἐλάσσονος ἤτοι παίωνος τρίτου ἀντὶ Ἰωνικοῦ, τῆς δὲ τρίτης τροχαϊκῆς καταληκτικῆς. Τὸ ς' ἑξασύλλαβον, δακτυλικὴ διποδία ἤτοι δακτυλικὸν [8]) δίμετρον. ὡς δ' ἐμοὶ δοκεῖ,

1) Cod. Trich. ἑφθημιμεροῦς. 2) Cod. Trich. addit μεμιγμένον ἰάμβοις. 3) Sic Cod. Trich. et Vrat. D. hic tamen omisso δίμετρ. 4) Sic Vrat. D. et similiter fere cod. Trich. 5) Sic Vrat. D. Vulgo ineptissime: τὸ θ' ἐξ Ἰωνικῆς βάσεως καὶ τοῦ πεντασήμου καὶ χοριαμβικοῦ καὶ Ἰωνικοῦ ἀπὸ μείζονος. 6) E Vrat. D. et cod. Trich. Vulgo δακτυλικὸν ἑφθ. Ceterum in hac metri descriptione quae a Pauwio et Beckio novata recepimus non monito lectore, ea firmat Vrat. D. exceptis terminationibus πενθημιμεροῦς pro πενθημιμερὲς et similibus. 7) Addidi τρίτου. 8) Hoc loco aliena multa inserta sunt in Vrat. partim ab ipso librario posthac deleta. Igitur omisi.

Digitized by Google

παιωνικόν ἐστι Κρητικὸν λεγόμενον δίμετρον ἀκατάληκτον ἐκ δύο Κρητικῶν. Τὸ ζ', ὡς ἐμοὶ δοκεῖ, ἀσυνάρτητόν ἐστιν ἐκ παιωνικοῦ Κρητικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἀντισπαστικοῦ διμέτρου βραχυκαταλήκτου, ἢ κατὰ συνίζησιν τῆς τελευταίας πενθημιμεροῦς, ὃ καλεῖται δοχμιακὸν, τὸ ἀντισπαστικὸν δηλονότι. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἔστω τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δευτέρου, διϊάμβου καὶ παίωνος πρώτου διὰ τὴν ἀδιάφορον. Τὸ η' τροχαϊκὸν ἑφθημιμερὲς, ἤτοι Εὐριπίδειον ἢ ληκύθιον. Τὸ θ' ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας ἤτοι διμέτρου ἀκαταλήκτου καὶ τροχαϊκοῦ πενθημιμεροῦς. Τὸ ι' ἀντισπαστικὸν ἑφθημιμερὲς Φερεκράτειον ἐξ ἀντισπάστου ἑξασήμου ἢ ἑπτασήμου καὶ τροχαϊκῆς κατακλεῖδος. Τὸ ια' Ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές. Τὸ ιβ' δακτυλικὸν πενθημιμερές. Τὸ ιγ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιδ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἀπ' ἐλάσσονος ἐξ Ἰωνικῆς καὶ τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. ἃ δὲ καὶ περὶ τούτου καὶ τῶν ἄνω κώλων φασὶν, οὐκ ὀρθῶς ἔχει. Τὸ ιε' Ἰωνικὸν ἀπ' ἐλάσσονος ἑφθημιμερὲς, τῆς πρώτης συζυγίας τροχαϊκῆς ἤτοι ἐπιτρίτου δευτέρου, τῆς δὲ δευτέρας Ἰωνικῆς καταληκτικῆς. Τὸ ις', ὡς ἐμοὶ δοκεῖ, ἀναπαιστικόν ἐστι δίμετρον ἀκατάληκτον· εὕρηται γὰρ τοῦ Ἀπόλλωνος τὸ ᾱ καὶ μακρόν. εἰ δὲ βούλει, ἔστω ὁ δεύτερος ποὺς τρίβραχυς· οἰκεῖος γὰρ τῷ μέτρῳ. τοῦτο καὶ Ἰωνικὸν γένοιτ' ἂν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικὸν, παίωνος τρίτου ἀρχομένου ἀντὶ Ἰωνικοῦ. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὐ καλά. Τὸ ιζ' ἐκ χοριάμβου καὶ ἰαμβικῆς συζυγίας ἤτοι ἑφθημιμερὲς χοριαμβικόν. ἐμοὶ δὲ δοκεῖ καὶ τροχαϊκὸν εἶναι δίμετρον ἀκατάληκτον, τοῦ πρώτου ποδὸς δακτύλου· τὸ γὰρ ἀέναον μακρὸν ἔχει τὸ ᾱ, ὡς καὶ τὸ Ἀέναοι Νεφέλαι παρ' Ἀριστοφάνει.[1]) Τὸ ιη' ἰαμβικὸν ἑφθημιμερές. Ἐπὶ τῷ τέλει παράγραφος.

Περὶ τῶν κώλων τῆς δευτέρας μονοστρόφου στροφῆς.

Ἡ δευτέρα τοῦ αὐτοῦ ἐπινικίου μονόστροφος στροφὴ κώλων ιζ'. Τὸ πρῶτον ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Φαλαίκειον, τῆς πρώτης συζυγίας τροχαϊκῆς, τῶν ἄλλων δὲ ἰαμβικῶν. Τὸ β' χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ δύο [2]) ἰαμβικῶν συζυγιῶν. Τὸ τρίτον Ἀλκμαιώνειον δεκασύλλαβον· σύγκειται δὲ ἐξ ἰάμβων δύο καὶ δακτύλων δύο, καὶ ἔστι τοῦ Ἀλκμαίωνος εὕρημα. Τὸ δ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας μεμιγμένον. Τὸ ε' χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ς' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ζ' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ τροχαϊκῆς κατακλεῖδος. Τὸ η' προσοδιακὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, ὡς ἐμοὶ δοκεῖ. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὐ καλά. Τὸ θ' ἐκ δύο σύγκειται ἡμιολίων, τοῦ πρώτου ἀναπαιστικοῦ, τοῦ δευτέρου δὲ ἰαμβικοῦ· τρεῖς γάρ εἰσιν ἀνάπαιστοι καὶ τρεῖς ἴαμβοι. τὸ γὰρ ἡμιόλιον, ὡς οἶσθα, ἥμισύ ἐστι καὶ ὅλον. Τὸ ι' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον Ἀσκληπιάδειον, ἐκ τροχαϊκῆς καὶ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ια' δακτυλικὴ τριποδία ἤτοι δακτυλικὸν τρίμετρον. ὡς δὲ ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον ἐκ

1) Nub. 276. 2) Addidi καὶ δύο.

Digitized by Google

χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ιβ' ἰαμβικὸν ἐφθημιμερὲς, ἐμοὶ δὲ χοριαμβικὸν δοκεῖ ἐφθημιμερές. Τὸ ιγ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, τῆς πρώτης συζυγίας τροχαϊκῆς ἤτοι παίωνος τρίτου, τῶν δὲ ἑξῆς ἰαμβικῶν. ἐμοὶ δὲ δοκεῖ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. [1]) Τὸ ιδ' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον Γλυκώνειον ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ιε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ σπονδείων καὶ δακτύλων. ἐμοὶ δὲ καὶ Ἰωνικὸν δοκεῖ ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον, τῆς πρώτης συζυγίας Ἰωνικῆς, τῆς δευτέρας δὲ τροχαϊκῆς ἤτοι ἐπιτρίτου, καὶ δύο συλλαβῶν. Τὸ ις' χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας καὶ βακχείου. Τὸ ιζ' ἰαμβικὸν πενθημιμερές. Ἐπὶ τῷ τέλει τῆς δευτέρας ταύτης στροφῆς κορωνὶς μόνη.

Ἀσωπίχῳ Ὀρχομενίῳ.] Οὗτος ἐνίκησε τὴν ος' Ὀλυμπιάδα σταδίῳ. Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται· ταύταις γὰρ Ἐτέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ υἱὸς πρῶτος ἔθυσεν, ὡς φησιν Ἡσίοδος. διὰ δὲ τοῦ Ὀρχομενοῦ ὁ Κηφισὸς ῥεῖ. δύο δὲ Ὀρχομενοὶ, ὁ μὲν Μινύειος ἐν Βοιωτίᾳ, ὁ δὲ πολύμηλος ἐν Ἀρκαδίᾳ· τοῦ δὲ Μινυείου νῦν μέμνηται. Vet.

Γέγραπται ὁ ὕμνος Ἀσωπίχῳ τῷ ἀπὸ Ὀρχομενοῦ νικήσαντι τὴν ἑβδομηκοστὴν καὶ [2]) ἕκτην Ὀλυμπιάδα. ὁ λόγος πρὸς τὰς Χάριτας. ἐπειδὴ δὲ ὁ μὲν Ἀσώπιχος Ὀρχομένιός ἐστιν, ὁ δὴ Κηφισὸς ποταμὸς περὶ τὴν Ὀρχομενὸν, ἐν ᾧ ποταμῷ τιμῶνται αἱ Χάριτες, εἰκότως ἄρα ὁ ποιητὴς προσφωνεῖ πρῶτον ταῖς Χάρισι. δύο δὲ Ὀρχομενοί εἰσιν· ἡ μὲν ἐν Ἀρκαδίᾳ πολύμηλος καλουμένη, ἡ δὲ ἐν Βοιωτίᾳ Μινύειος, ἀπὸ Μινυοῦ τοῦ Θεσσαλοῦ Καλλιρόης καὶ Ποσειδῶνος υἱοῦ, ἀφ' οὗ καὶ τὸ γένος τῶν Ἀργοναυτῶν· Μινύειοι γὰρ οὗτοι λέγονται. Ὀρχομενὸς καὶ ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ εὕρηται. [3]) Rec.

1. Καφισίων ὑδάτων λαχοῖσαι] ἐπειδὴ χαριέντως ἀπέβη τοῦ ἀγῶνος τὸ ἐπιχείρημα, προσφωνεῖ ταῖς Χάρισι τιμωμέναις κατὰ τὸν Βοιωτικὸν Ὀρχομενὸν, αἷς λέγεται πρῶτος Ἐτέοκλος ὁ Κηφισοῦ παῖς τεθυκέναι. ὁ δὲ Κηφισὸς τοῦ Ὀρχομενοῦ ποταμός. § ὁ δὲ νοῦς· ὦ ἀοίδιμοι βασίλειαι Χάριτες, αἳ τὰ τοῦ Κηφισοῦ ὕδατα ἐκληρώσασθε καὶ κατοικεῖτε τὴν εὔγειον Ὀρχομενὸν, τυγχάνουσαι καὶ τοῦ τῶν Μινυῶν γένους ἐπίσκοποι, ἐπακούσατέ μου νῦν εὐχομένου. Vet.

Καφισίων ὑδάτων] ὦ Χάριτες ἀοίδιμοι, ἤγουν περιβόητοι βασίλισσαι τῆς πλουσίας Ὀρχομενοῦ, ἔφοροι τῶν Μινυῶν τῶν ἀρχαίων τὴν γένεσιν, αἵτινες οἰκεῖτε ἕδραν, ἤτοι καθέδραν, τόπον καλλίπωλον, τουτέστιν ἵπποις κομῶντα, ἢ καλλίβωλον, ἤτοι εὔγειον, τῶν τοῦ Κηφισοῦ τοῦ ποταμοῦ ὑδάτων τὸν κλῆρον ἐσχηκυῖαι· τοῦτο γὰρ δύναται τὸ λαχοῦσαι· κλῦτε, ἀντὶ τοῦ ἐπακούσατε ἐμοῦ δηλονότι· ἐπεὶ εὔχομαι ὑμῖν, ἤγουν ἐπικαλοῦμαι ὑμᾶς. σὺν ὑμῖν γὰρ, ἀντὶ τοῦ δι' ὑμῶν γίνεται τοῖς ἀνθρώποις πάντα τὰ τερπνὰ καὶ τὰ γλυκέα, λέγω εἴτις ἀνήρ ἐστι σοφὸς, ἤγουν φρόνιμος καὶ ψυχικὴν ἀρετὴν

[1]) Post verba παίωνος τρίτου in Vrat. est: τοῦ τρίτου ποδὸς τριβράχεος. His omissis Mosc. B. praebet ea quae dedi: τῶν δὲ ἑξῆς usque ad ἀκατάληκτον, nisi quod in hoc libro est τῷ δὲ ἑξῆς ἰαμβικῷ. [2]) Addidi de meo ἑβδ. καί. [3]) Ex Vrat. A. C. Mosc. B.

Digitized by Google

ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς φρονήσεως· εἴτις ἐστὶ καλὸς ἢ εὔμορφος καὶ σωματικῇ ἀρετῇ χρῆται, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τοῦ κάλλους· εἴτις ἐστὶν ἀγλαὸς, τουτέστι λαμπρὸς, περιφανὴς τὰ ἐκτὸς καὶ εὐδοξίαν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς λαμπρότητος. καὶ γὰρ καὶ οἱ θεοὶ χωρὶς τῶν σεβασμίων Χαρίτων οὔτε χοροὺς κοιρανοῦσιν, ἀντὶ τοῦ δεσπόζοντες διατάττουσι· χοροὺς δὲ λέγει οὓς οἱ ἄνθρωποι αὐτοῖς τελοῦσιν· οὔτε δαῖτας, ἤγουν ἑορτὰς, θυσίας, ἀνθρώπων δηλονότι ἐπ' αὐτοὺς, δεσπόζοντες διατάττουσιν. Rec.

Λαχοῖσαι] εἰς κληρονομίαν λαβοῦσαι. Gl. γ.

2. Αἴτε ναίετε] ἱππικοὶ λέγονται οἱ Ὀρχομένιοι· Ἐργῖνος γὰρ ἵππῳ νικήσας Θηβαίους φόρου ὑποτελεῖς ἔσχεν, ἄχρις οὗ Ἡρακλῆς αὐτοὺς ἠλευθέρωσεν. Vet.

5. Παλαιγόνων Μινυᾶν] τὸ τῶν Μινυῶν γένος ἀρχαῖον ἀπὸ Μινύου τοῦ Θετταλοῦ, Μινύας δὲ ἐκ Καλλιρόης τῆς Ὠκεανοῦ καὶ Ποσειδῶνος, καὶ τοῦ γένους τῶν Ἀργοναυτῶν. πλησιόχωροι δὲ καὶ γείτονες οὗτοι οἱ Μινυΐδαι [1]). Ὀρχομενίων. ὁ δὲ Μινύας πρῶτος ἦρξεν Ὀρχομενίων. Vet.

7. Σὺν γὰρ ὑμῖν τὰ τερπνά] μεθ' ὑμῶν γὰρ, ὦ Χάριτες, τὰ ἐπιτερπῆ καὶ ἡδέα γίνεται καὶ συμβαίνει τοῖς ἀνδράσι, καὶ εἴτε σοφὸς, ὡς Ὅμηρος, δι' ὑμᾶς· οἱ γὰρ ἐπιχαρεῖς δι' ὑμᾶς πᾶσι μόνιμοι [2]) διὰ παντός· εἴτε ἀγλαὸς ἢ ἀνδρεῖος. αἱ γὰρ τρεῖς ἀρεταὶ δι' ὑμᾶς, ἡ σοφία, τὸ κάλλος καὶ ἡ ἀνδρεία. Vet.

Σὺν γὰρ ὑμῖν] δι' ὑμῶν ἔστιν αὐτοῖς τὰ προτερήματα πάντα. Schol. Bodl. γ.

12. Κοιρανέοντι χορούς] ἤτοι ὑπὸ τὴν ἐξουσίαν ἔχουσι τοὺς χορὸς, ἢ βασιλεύουσι τῶν χορῶν· ἵνα πτῶσις ἀντὶ πτώσεως, αἰτιατικὴ ἀντὶ γενικῆς. § τὸ δὲ Οὔτε δαῖτας ἀντὶ τοῦ οὔτε τῶν εὐωχιῶν καὶ θυσιῶν· ἀλλὰ καὶ τῶν ἐν οὐρανῷ πάντων προστατοῦσι [3]) καὶ κρατοῦσιν αἱ Χάριτες. Vet.

Κοιρανέοντι] διακοσμοῦσιν. Gl. γ.

13. Ἀλλὰ πάντων ταμίαι ἔργων] ἀλλὰ πάντων τῶν ἔργων ταμίαι, ἤγουν διεξαγωγεῖς, αἱ Χάριτες οὖσαι δηλονότι, τὴν ἀΐδιον τιμὴν τοῦ πατρὸς αὐτῶν τοῦ οὐρανίου, ἤγουν τοῦ Διὸς σέβουσιν, ἀντὶ τοῦ δοξάζουσιν ἐν οὐρανῷ, θέμεναι, ἤγουν θεῖσαι τοὺς ἑαυτῶν θρόνους πλησίον τοῦ Ἀπόλλωνος τοῦ χρυσοτόξου τοῦ ἐν τῷ Πυθῶνι τιμωμένου. ἐκεῖ γὰρ, φασὶν, ἦσαν αὗται ἱδρυμέναι ἐν τοῖς δεξιοῖς τοῦ Ἀπόλλωνος. § ταῦτά εἰσι τῶν τριῶν Χαρίτων τὰ ὀνόματα· Ἀγλαΐα, Εὐφροσύνη καὶ Θαλία. ποιεῖται δὲ πρῶτον τὸν λόγον πρὸς τὰς δύο, ἔπειτα πρὸς τὴν Θαλίαν. [4]) Rec.

14. Ταμίαι] κυβερνῆται. Gl. γ. βασίλειαι. Gl. β.

16. Παρὰ Πύθιον Ἀπόλλωνα] παρὰ τῷ Ἀπόλλωνί φησι καθέζεσθαι τὰς Χάριτας διὰ τὴν πρὸς αὐτὸν οἰκειότητα· ἐν γοῦν Δελφοῖς ἐπὶ τῆς δεξιᾶς εἰσιν ἱδρυμέναι τοῦ Ἀπόλλωνος. § ὁ δὲ νοῦς· πλησίον γὰρ τοῦ χρυσοτόξου Ἀπόλλωνος ἀποθέμεναι τοὺς ἑαυτῶν θρόνους καὶ ἐγγὺς αὐτοῦ ἱδρυμέναι ἀένναον καὶ ἄφθαρτον οὖσαν τὴν τοῦ πατρὸς αὐτῶν τιμὴν Διὸς σέβουσιν. § ἀένναον δὲ, κυρίως μὲν τὸ ἀεὶ ἐν τῷ ῥεῖν

[1]) Heynius recte vult Μινυάδαι. [2]) Mira lectio. Faehsius Syllog. p. 404. coniicit λόγιμοι; quod nihilo melius. [3]) Correxit Heynius: vulgo προστάττουσι. [4]) Haec inde a ταῦτα omittit Cygn.

Digitized by Google

καὶ νάειν ὄν, νῦν δὲ τὸ αἰώνιον. § ἢ ἀντὶ τοῦ ἀνελλιπῶς καὶ αἰωνίως παρὰ τῷ πατρὶ Διΐ τιμῶνται τῷ ἐν οὐρανῷ ὄντι. Vet.

19. Πότνι' Ἀγλαΐα] ἀπὸ τοῦ περὶ αὐτῶν λόγου μετῆλθεν ἐπὶ τὸν πρὸς αὐτάς. ὁ δὲ λόγος· ὦ σεμνὴ καὶ τιμία Ἀγλαΐα καὶ Εὐφροσύνη ἡ τοῖς ὕμνοις χαίρουσα, τοῦ τῶν θεῶν κρατίστου παῖδες Διός. Vet.

Πότνι' Ἀγλαΐα] ὦ σεβασμία Ἀγλαΐα καὶ ὦ Εὐφροσύνη ἡ φίλη τῶν μολπῶν, θυγατέρες τοῦ κρατίστου τῶν θεῶν, ἤγουν τοῦ Διός, ἐπήκοοι νῦν γένεσθε δηλονότι· καὶ ὦ Θαλία ἐρασίμολπε, ἤγουν τῶν μολπῶν ἐρῶσα, ἐπήκοος γενοῦ ἰδοῦσα τόνδε τὸν κῶμον, ἀντιστρόφως ἀντὶ τοῦ ἐπήκοος γενομένη ἐπίσκεψαι τοῦτον τὸν σὺν ὕμνῳ χορὸν τὸν μετεώρως στρεφόμενον ἐπὶ μοίρᾳ εὐμενεῖ, ἤγουν ἀγαθὰ φρονούσῃ· τὸν Ἀσώπιχον γὰρ ἦλθον ἀείδων, ἀντὶ τοῦ ᾄσων, ἤγουν ὑμνήσων, ἐν τρόπῳ Λυδίῳ, τουτέστι ῥυθμῷ Λυδίῳ, καὶ ἐν μελέταις, ἀντὶ τοῦ συνθήκαις ἐπῶν, διότι Ὀλυμπιόνικος ἐγένετο δηλονότι ἡ τῶν Μινυῶν πόλις, τουτέστιν ἡ Ὀρχομενὸς ἡ πατρὶς τοῦ Ἀσωπίχου, σοῦ χάριν, ὦ Θαλία. § Ἁ Μινύεια, Ὀλυμπιόνικος γέγονε δηλονότι. δέον δὲ Καὶ ἡ Μινύεια εἰπεῖν, ἀσυνδέτως εἶπεν. [1]) Rec.

20. Κρατίστου παῖδες] οὐχ ὅτι κρατίστους ἔχουσι παῖδας, ἀλλ' ὅτι αὗται κράτισται παῖδές εἰσι· νέαι γάρ· αἱ κράτισται τῶν παίδων τῶν θεῶν. ἢ τῶν κρατίστων θεῶν. ἐπήκοοι, γίνεσθε δηλονότι· τοῦτο γὰρ λείπει· ἐπὶ εὐμοιρίᾳ καὶ εὐδαιμονίᾳ. Θάλεια δὲ ἡ Χάρις παρὰ τὸ τεθηλέναι τὴν μνήμην τῶν εὖ πεπονθότων. τὸ δὲ ἰδοῖσα κοινὸν ἐπὶ ὅλων· ἰδοῦσα ὦ Εὐφροσύνη, ἰδοῦσα ὦ Θάλεια, ἰδοῦσα ὦ Ἀγλαΐα, θεασάμεναι τοῦτον τὸν χορὸν σὺν εὐμενεῖ τύχῃ εὐκόλως χορεύοντα, ἀπὸ κοινοῦ ἐπήκοοι γίνεσθε. § ἔνιοι δέ φασι πρὸς τὴν τρίτην Θάλειαν τοῦτο λέγεσθαι. ὅτι δὲ τρεῖς εἰσι, καὶ Ἡσίοδος ἐν Θεογονίᾳ λέγει. § τὰ δὲ ὀνόματα τῶν τριῶν καταλέγει Ἡσίοδος· [2])

Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρήους,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ' ἐρατεινήν. Vet.

26. Ἐν μελέταισί τ' ἀείδων] ἤτοι ἐπιμελείαις· ἔνθεν καὶ ἡ μέλισσα, τὸ ζῶον ἐπιμελέστατον. ἦλθον οὖν, φησὶν, ὑμνήσων τὸν Ἀσώπιχον εὐμελῶς καὶ ἡδέως. ὁ δὲ Ἀρίσταρχος, ἰδίως, φησὶ, προτάξας τὰ ὀνόματα τῶν Χαρίτων ἐνικῶς ἐφώνησε· σεῦ ἕκατι, ὦ Χάρι· προσφωνοῦσι δὲ οἱ ποιηταὶ τοὺς χοροὺς τοὺς ἐκ πλήθους συνεστῶτας ἐνικῶς· βεβιασμένον οὖν νυνὶ προτάξαντα τὰ ὀνόματα λέγειν Ἕκατι σοῦ ἐνικῶς· ἢ ὅτι πρὸς αὐτὸν λέγει τὸν νικηφόρον. § ὁ δὲ νοῦς· διότι τούτου δραμόντος ἔδοξεν Ὀλυμπιόνικος ἀναγορεύεσθαι ἡ τῶν Μινυῶν πόλις. τὸ δὲ Σοῦ ἕνεκεν, ὡς πρὸς ἑκάστην ἰδίᾳ, καὶ τοῦτο οὖν κοινὸν ὅλων. § ἔνιοι δὲ τὸ σεῦ ἕκατι ἀντὶ τοῦ σοῦ ἕνεκεν, ὦ νικηφόρε. ἢ πρὸς μίαν τῶν Χαρίτων ἀπὸ τοῦ πλήθους μετέβη. Vet.

28. Μελαντειχέα νῦν δόμον Φερσεφόνας ἴθι Ἀχοῖ] παραγενοῦ νῦν, φησὶ, πρὸς τὸν σκοτεινὸν τῆς Περσεφόνης οἶκον, ὦ Φήμη καὶ Ἠχὼ, διηγησομένη καὶ ἀγγελοῦσα τὴν καλλίστην ἀγγελίαν τῷ πατρὶ Ἀσωπίχου Κλεοδάμῳ περὶ τοῦ υἱοῦ αὐτοῦ, ὅτι ὁ υἱὸς αὐτοῦ ἐστεφάνωσε τὴν χαίτην, τουτέστιν ἵν' εἴπῃς αὐτῷ τὸν υἱὸν αὐτοῦ νενικηκέναι, καὶ νεώτερον ὄντα δὲ ἐν τῇ ἐνδοξοτάτῃ Ὀλυμπίᾳ ἐστέφθαι τοῖς τῆς ἀθλήσεως

1) Haec inde ab ἁ Μιν. omittit Cygn. 2) Theog. 906. 908.

Digitized by Google

στέμμασι τὰς κόμας τὰς νεωτέρας αὐτοῦ· ἀπὸ μέρους δὲ τὸ τῆς ἡλικίας νέον λέγει. § οἰκείως τὸν δόμον τῆς Περσεφόνης μελαντειχέα εἶπεν. [1]) Vet.

Μελαντειχέα νῦν δόμον] νῦν, ὦ Ἠχοῖ, τουτέστι φήμη, ἄπιθι εἰς τὴν καθέδραν τῆς Περσεφόνης τὴν μέλανα τείχη ἔχουσαν, ἤγουν εἰς τὸν Ἅιδην, φέρουσα ἀγγελίαν περιαδομένην τῷ τοῦ Ἀσωπίχου πατρὶ τῷ Κλεοδήμῳ, ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον εἴπῃς τὸν υἱὸν αὐτοῦ ὅτι ἐστεφάνωσε τὴν χαίτην, ἀντὶ τοῦ τὴν κόμην αὐτοῦ παρὰ ταῖς κοιλάσι τῆς ἐνδόξου Πίσης, ἤγουν ἐν τῇ ἐνδόξῳ Ὀλυμπίᾳ, πτεροῖς ἐνδόξων ἀγώνων, ἀντὶ τοῦ στεφάνοις ἐπαίρουσι καὶ οἷον πτεροῦσι τοὺς στεφανουμένους. ἐπὶ τοῦ πράγματος δὲ ὀφείλων θεῖναι τὸ εἴπῃς, ἵν' ᾖ ὁ λόγος οὕτως· ὅπως ἰδοῦσα τὸν Κλεόδημον εἴπῃς, ὅτι ὁ υἱὸς αὐτοῦ τὴν νέαν κόμην αὐτοῦ ἐν τῇ Ὀλυμπίᾳ ἐστεφάνωσεν· ὁ δὲ ἐπὶ τοῦ ὀνόματος αὐτὸ τίθησιν, εἶτα ἐπάγει τὸ πρᾶγμα, καὶ ποιεῖ τὸν λόγον ὅμοιον τῷ· [2]) Εἰπέ μοι τὸν Πολύδωρον, εἰ ζῇ. κατ' αἰτιατικὴν δὲ λέγεται ἐν τούτοις τὸ ὄνομα· τὸ γὰρ λέγειν αἰτιατικὴν ἀεὶ λαμβάνει, ὅτε πρὸς τὸ λεγόμενον ἀποτείνει. Rec.

29. Ἴθι] πορεύου. Gl. β. γ.

31. Τὸ Κλεόδαμον πρὸς τὸ ἰδοῦσα; τὸ δὲ υἱὸν πρὸς τὸ εἴπῃς, οὕτως· ἵνα ἰδοῦσα Κλεόδημον εἴπῃς αὐτῷ τὸν υἱὸν ὅτι ἐστεφάνωσεν οὗτος ὁ Ἀσώπιχος τὴν νέαν αὐτοῦ χαίτην, ἤτοι τὴν κεφαλὴν ἐν τοῖς κόλποις τῆς Πίσης, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ, ἐν τοῖς πτεροῖς τῶν κυδίμων ἀέθλων, τοῖς δίκην πτερῶν αἴρουσι τὸν νικήσαντα. τοιαύτη δὲ καὶ ἡ παρὰ Ἀριστοφάνει [3]) σύνταξις·

Οἱ τὸν οὐρανόν
Λίγοντες ἀναπείθουσιν, ὥς ἐστι πνιγεύς,
Κἄστι περὶ ἡμᾶς.

καὶ πάλιν· [4])

Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης
Ψύλλαν, ὁπόσους ἄλλοιτο τοὺς αὐτῆς πόδας. [5])

§ ἄλλοι δέ τινες οὕτω συντάσσουσιν· ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον εἴπῃς διὰ τὸν υἱὸν αὐτοῦ τὸν Ἀσώπιχον, ὅτι ἐστεφάνωσεν αὐτὸς τὴν αὐτοῦ χαίτην τὴν νέαν παρὰ τοῖς κόλποις τῆς ἐνδόξου Πίσης πτεροῖς, ἤτοι στεφάνοις ἐπαίρουσι τοὺς στεφανουμένους, οἷα πτεροῖς κυδίμων ἀέθλων. [6]) Rec.

[1]) Ex Vrat. D. [2]) Eurip. Hecub. 986. [3]) Nub. 95. [4]) Nub. 145. [5]) Hoc scholium abest a Cygn. [6]) E Bodl. β. γ.

Digitized by Google

GLOSSAE INTERLINEARES AD OLYMP. XIV.

Ex Leid. A. [1])

1. Τῶν. κληρωσάμεναι. 2. οἰκεῖτε. τουτέστι τοῖς ἵπποις κομῶντα. 3. τῆς πλουσίας περιβόητοι βασίλειαι. 4. ὦ Χάριτες ἀοίδιμοι τοῦ. 5. τῶν ἀρχαίων τὴν γένεσιν. ἔφοροι. 6. ἐπακούσατε ἐμοῦ δή. 7. ἀντὶ δι' ὑμῶν γὰρ γίνεται τὰ γλυκέα. 9. εἴτις ἀνὴρ γίνεται σοφὸς ἢ φρόνιμος ἤτοι εὔμορφος. 10. καὶ γὰρ οἱ. 11. τῶν σεβασμίων Χαρίτων χωρίς. 12. ἀντὶ δεσπόζοντες. ἢ ἑορτὰς, θυσίας. 13. εὐωχίας. τῶν ἔργων. 14. οἰκονόμοι. ἐν τῷ. 15. τοῦ χρυσοτόξου. ἢ θεῖσαι τοὺς ἑαυτοῦ θρόνους. 16. πλησίον τοῦ τιμωμένου Πυθῶνι τοῦ Ἀπόλλωνος. 17. τὴν ἀΐδιον. ἀντὶ δοξάζουσι. αὐτοῦ. 18. τοῦ οὐρανίου τιμήν. ἐκεῖ γὰρ, φασὶν, αὗται ἱδρυμέναι ἐν τοῖς δεξιοῖς τοῦ Ἀπόλλωνος. 19. ὦ σεβασμία. ὦ εὐφροσύνης καὶ μόλπου φίλη. 20. τῶν. Διὸς θυγατέρες. 21. ἐπήκοοι γένεσθε δὴ, καὶ ὦ Θαλία. 22. ἡ τῶν μολπῶν ἐρῶσα. ἀντιστρόφως· ἀντὶ ἐπήκοος γενομένη. 23. τὸν ὕμνον, τὸν σὺν ὕμνῳ χορὸν ἐπὶ μοίρᾳ ἀγαθῇ. 24. τὸν μετεώρως στρεφόμενον. 25. τόν. γὰρ ἦλθον. τουτέστι ῥυθμῷ Λυδίῳ. 26. ἀντὶ συνθήκαις ἐπῶν. ἢ ὑμνήσων. 27. ἦλθον, διότι Ὀλυμπιόνικος ἐγένετο δὴ ἡ τῶν Μινυῶν πόλις, τουτέστι ἡ Ὀρχομενὸς ἡ πατρὶς τοῦ Ἀσωπίχου. 28. σοῦ χάριν, ὦ Θαλία. τὴν μέλαιναν τύχην ἔχουσαν. 29. ἄπιθι, ὦ Ἠχοῖ, τουτέστι φήμη. 30. τῷ πατρὶ τοῦ Ἀσωπίχου περιαδομένην. 31. τόν. ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον. 32. εἴπης ὅτι ἐστεφάνωσε τὸν υἱὸν αὐτοῦ τὴν νέαν χαίτην ἀντὶ τὴν κόμην. 33. παρὰ ταῖς κοιλάσι τῆς εὐδόξου. τῇ εὐδόξῳ Ὀλυμπίᾳ. 34. εὐδόξων ἀγώνων. 35. πτεροῖς ἀντὶ στεφάνοις.

Specimen glossarum codicis Pal. C. vs. 1—10.

1. Ἐπὶ τῶν. ἤγουν εἰς τὴν Ὀρχομενόν, οἰκεῖν. 2. οἰκεῖτε. 3. πόλιν. πλουσίας. 4. ὦ. τῆς. 5. ἀρχαίων. ὡς ἀπὸ Μινύου. αἱ. 6. ἀκούσατε. 7. ἐν ᾗ δι' ὑμῶν. 8. ἔρχεται, ὑπάρχει. ἐν. 9. 10. καὶ ἀνὴρ ὑπάρχει σοφὸς, εἴτις καλὸς, εἴτις λαμπρὸς, δι' ὑμῶν γίνεται.

[1]) Plurima desumpta sunt e paraphrasi, quae scholiis recentiorum inserta est.

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΠΥΘΙΑ.

ΥΠΟΘΕΣΙΣ ΠΥΘΙΩΝ.

Ὁ τῶν Πυθίων ἀγὼν ἐτέθη μὲν πρότερος τῶν Ἰσθμίων πολλοῖς ἔτεσιν, ἡ δὲ αἰτία τοιαύτη μυθολογεῖται περὶ αὐτῶν. Λητὼ γὰρ ἡ Κοίου τοῦ Οὐρανοῦ καὶ Γῆς, καὶ Φοίβης τῆς Κρόνου, ἣ ὁ Ζεὺς ἐμίγη ὄρτυγι εἰκασθεὶς, ἔγκυος γενομένη ὤδινεν ἐπὶ τοῦ Ζωστῆρος τῆς Ἀττικῆς· τίκτει τε Ἄρτεμιν καὶ Φοῖβον ἐν Δήλῳ νήσῳ τῇ πρότερον Ὀρτυγίᾳ καλουμένῃ. ἡ μὲν οὖν Ἄρτεμις αὐξηθεῖσα ἦλθεν εἰς Κρήτην, καὶ τὸ Δικτύνιον ὄρος κατέσχεν· Ἀπόλλων δὲ ἐν Λυκίᾳ· τῇ δὲ μητρὶ τὴν Δῆλον ἀπένειμαν. ἔρχεται τοίνυν εἰς Δελφοὺς ὁ Ἀπόλλων, Πυθῶνι τὰς βοῦς νέμων. Ἑρμῆς δὲ χέλυν εὑρὼν τετράχορδον λίνα ἀντὶ χορδῶν ἐνημμένην, ἐπειδὴ οὔπω τῶν νεύρων ἡ χρῆσις εὕρητο, καὶ ἁλοὺς τὰς τοῦ Ἀπόλλωνος βοῦς κλέπτων, ἀντὶ τῆς κλοπῆς τὴν χέλυν δίδωσι τῷ Ἀπόλλωνι, λαβὼν παρ' αὐτοῦ τὸ κηρύκειον. ἑπτάφθογγον δὲ αὐτὴν ἐποίησεν, ἁρμοσάμενος πρὸς τὴν τοῦ Πανὸς σύριγγα, οὐ τοῦ Ἑρμοῦ καὶ Πηνελόπης, ἀλλὰ τοῦ Διὸς καὶ Θύμβρεως· [1]) ἢ τάχα ἑπτὰ φθόγγοις αὐτὴν ἐκέρασε διὰ τὸ αὐτὸν ἑπταμηνιαῖον γεγενῆσθαι. δοκεῖ δὲ οὗτος τὰ λίνα ἐξελὼν τοῖς νεύροις ἐντεῖναι τὴν λύραν· ὅθεν καὶ λέγεται Λίνον ἠρηκέναι. ἔμαθε δὲ καὶ τὴν μαντικὴν τέχνην ὑπὸ τοῦ Πανός· οὗτος γὰρ τοῖς Ἀρκάσι θεμιστεύει πᾶσιν ἐπιμελῶς. εἶτα ἔρχεται ἐπὶ τὸ μαντεῖον, ἐν ᾧ πρώτη Νὺξ ἐχρησμῴδησεν, εἶτα Θέμις. Πυθῶνος δὲ τότε κυριεύσαντος τοῦ προφητικοῦ τρίποδος, ἐν ᾧ πρῶτος Διόνυσος ἐθεμίστευσε, καὶ ἀποκτείνας τὸν ὄφιν τὸν Πυθῶνα ἀγωνίζεται τὸν Πυθικὸν ἀγῶνα κατὰ ἑβδόμην ἡμέραν· πεῖραν μὲν, ὅτι ἀπεπειράθη τῆς κατὰ τὸ θηρίον μάχης. ἴαμβον δὲ διὰ τὴν λοιδορίαν τὴν γενομένην αὐτῷ πρὸ τῆς μάχης· λέγεται γὰρ ἰαμβίζειν τὸ λοιδορεῖν· δάκτυλον δὲ ἀπὸ Διονύσου, ὅτι πρῶτος οὗτος δοκεῖ ἀπὸ τοῦ τρίποδος θεμιστεῦσαι· Κρητικὸν δὲ ἀπὸ Διός· μητρῷον δὲ, ὅτι Γῆς ἐστι τὸ μαντεῖον· σύριγμα δὲ διὰ τὸν τοῦ ὄφεως συριγμόν. [2]) οὕτω μὲν οὖν κατέστη πρῶτον ὁ τῶν Πυθίων ἀγών. μετὰ δὲ ταῦτα Κρίσσης κτισθείσης ἐπὶ τὸ στενὸν τῆς εἰς Δελφοὺς ἀγούσης ὁδοῦ, καὶ πολλὰ τῶν Κρισσαίων ἐργαζομένων ἐπὶ τοὺς Ἕλληνας καὶ ἀποσυλούντων τοὺς ἐπὶ τὸ χρηστήριον βαδίζοντας, οἱ Ἀμφικτύονες ἐλθόντες εἰς τὴν Κρίσσαν μετὰ τῶν ἄλλων συμμάχων καὶ κύριοι αὐτῶν γενόμενοι διέθηκαν ἕτερον ἀγῶνα, ἐν ᾧ καὶ αὐληταὶ ἠγωνίσαντο. οἱ δὲ τὸν γυμνικὸν ἀγῶνα νικήσαντές εἰσιν οἵδε, ὅτε Ἀπόλλων ἔθηκε Πύθια, ἐν τῷ τοῦ Πυθῶνος ἀγῶνι· Κάστωρ στάδιον, πὺξ Πολυδεύκης, δολιχὸν Κάλαϊς, ὁπλίτην Ζήτης, δίσκον Πηλεὺς, πάλην Τελαμὼν, παγκράτιον Ἡρακλῆς· οὗς τῷ φυτῷ τῆς δάφνης ἐστεφάνωσεν.

1) An Θύμβριδος? 2) Cf. nos de metr. Pind. III, 4. p. 182.

Digitized by Google

§ Ἄλλως. Εὐρύλοχος ὁ Θεσσαλὸς καταπολεμήσας Κιρραίους ἀνεκτήσατο τὸν ἀγῶνα τοῦ θεοῦ· οἱ δὲ Κιρραῖοι ληστρικῇ ἐφόδῳ χρώμενοι ἐφόνευον τοὺς παραβάλλοντας εἰς τὰ τοῦ θεοῦ ἄλση. περιεγένετο δὲ αὐτῶν ἐπὶ ἄρχοντος Ἀθήνησι μὲν Σιμωνίδου, Δελφοῖς δὲ Γυλίδα. [1]) οἱ μὲν οὖν Κιρραῖοι εἰς τὴν παρακειμένην τῷ Παρνασῷ Κίρφιν, ὄρος οὕτω καλούμενον ἀπέφυγον, ὅσοι δὴ καὶ περιλειφθέντες ἐτύγχανον. καταλιπὼν δὲ ὁ Εὐρύλοχος ἐνίους τῶν Θεσσαλῶν μετὰ Ἱππίου τοῦ στρατηγοῦ, ὥστε τοὺς ὑπολοίπους χειρώσασθαι, ᾤχετο ἀνακτησόμενος τὸν ἀγῶνα, καὶ δὴ τοῦτον χρηματίτην μόνον ἔθετο. μετὰ δὲ χρόνον ἑξαετῆ καταγωνισαμένων τῶν μετὰ τοῦ Ἱππίου τοὺς ὑπολελειμμένους τῶν Κιρραίων, ἐπὶ μὲν Ἀθήνησιν ἄρχοντος Δαμασίου, ἐν δὲ Δελφοῖς Διοδώρου, [2]) ὕστερον καὶ στεφανίτην ἔθεντο κατορθώσαντες. τὸν δὲ Εὐρύλοχον νέον ἐκάλουν Ἀχιλλέα, ὡς Εὐφορίων ἱστορεῖ·

Ὁπλοτέρου τ' Ἀχιλῆος ἀκούομεν Εὐρυλόχοιο,
Δελφίδες ᾧ ὕπο καλὸν Ἰήϊον ἀντεβόησαν
Κρῖσαν πορθήσαντι, Λυκωρέος οἰκία Φοίβου. [3])

μόνων δὲ κιθαρῳδῶν ἀγωνιζομένων τοπαλαιὸν ἐποίησεν ὁ Εὐρύλοχος καὶ τὰ ἕτερα ὑπάρχειν ἀγωνίσματα.

§ Ἄλλως. Τὰ Πύθια ἐτέθη, ὡς μέν τινες ἐπὶ τῷ δράκοντι, ὃν φύλακα ὄντα τοῦ ἐν Δελφοῖς μαντείου ὁ Ἀπόλλων ἔκτεινεν· ἐκλήθη δὲ ὁ ἀγὼν ἀπὸ τοῦ τόπου· τῷ δὲ τόπῳ ἦν τὸ ὄνομα Πυθὼ ἤτοι ἀπὸ τοῦ τοὺς ποιτῶντας ἐπὶ τὸ μαντεῖον τοῦ θεοῦ πυνθάνεσθαι ἢ διὰ τὸ σαπῆναι τὸ θηρίον αὐτόθι ἀναιρεθέν. πύθεσθαι γάρ ἐστι τὸ σήπεσθαι, ὡς παρ' Ὁμήρῳ· [4]) Λεύκ' ὀστέα πύθεται ὄμβρῳ. καθαρθεὶς δὲ ὁ Ἀπόλλων τὸν τῆς δρακοντοκτονίας φόνον ἐν Κρήτῃ παρὰ Χρυσοθέμιδι ἐκεῖθεν ἦλθεν ἐπὶ τὰ Θεσσαλικὰ τέμπη, ἔνθεν μετεκομίσατο τὴν δάφνην. μέχρι δὲ πολλοῦ ἡ εἰς τοὺς τῶν νικώντων στεφάνους χωροῦσα δάφνη ἐντεῦθεν ἐκομίζετο ὑπὸ παιδὸς ἀμφιθαλοῦς. ἐτελεῖτο δὲ ὁ ἀγὼν καταρχὰς μὲν διὰ ἐνναετηρίδος, μετέστη δὲ εἰς πενταετηρίδα διὰ τὸ τὰς Παρνασίδας νύμφας Ἀπόλλωνι κτείναντι τὸ θηρίον τὰς ἐν ταῖς χερσὶν ὀπώρας προσενεγκεῖν δῶρα. ἔκτισαν δὲ τὸν ἀγῶνα οἱ Ἀμφικτύονες Εὐρυλόχου τοῦ Θεσσαλοῦ θέντος αὐτόν.

§ Ἄλλως. Τὸν Πυθικὸν ἀγῶνα διέθηκεν Εὐρύλοχος ὁ Θεσσαλὸς σὺν τοῖς Ἀμφικτύοσι τοὺς Κιρραίους καταπολεμήσας ὠμούς τινας ὄντας καὶ βιαζομένους τοὺς περιοίκους, ἐπὶ ἄρχοντος Δελφοῖς μὲν Γυλίδα, Ἀθήνησι δὲ Σίμωνος. [5]) καὶ νικήσας ἔθετο χρηματικὸν [6]) ἀγῶνα· χρήμασι γὰρ μόνοις τοὺς νικήσαντας ἐτίμων, οὔπω στεφάνου ὄντος. ἔθετο δὲ ἀγῶνα κιθαρῳδικὸν ὥσπερ καὶ πρότερον, προσέθηκε δὲ αὐλητὴν καὶ αὐλῳδόν· καὶ τοῦ τῶν Ἀμφικτυόνων στρατεύματος ἀναχωρήσαντος ὀλίγοι περιελείφθησαν, ὥστε τὴν Κίρφιν διαπορθῆσαι· ἡγεῖτο δὲ τῶν περιλειφθέντων Ἱππίας ὁ Θεσσαλός. καὶ ἔτει ἕκτῳ μετὰ τὴν τῆς Κίρρας ἅλωσιν ἀνεκήρυξαν τῷ θεῷ τὰν στεφανίτην, ἐπὶ Διοδώρου μὲν ἄρχοντος Δελφοῖς, Ἀθήνησι δὲ Δαμάσιδος. [7]) ἀντίκειται δὲ ἐκ μεσημβρίας

1) Olymp. 47, 3. In fastis Simon solet scribi, ut infra. 2) Olymp. 48, 3. Ceterum hic et supra pro *Δελφοῖς* in libris est *Δήλῳ*. 3) Ultima adieci e Gott. ubi tamen est *πορθήσαν*. . et correxi *ἀντεβόησαν* pro vulgato *ἀνεβόησαν*. Gott. *ἀνιηγώνισαν*. In ultimo argumento eadem vulgo erant, et legebatur *πορθήσαντι*: ibi delevi cum Gott. *Κρῖσαν* ipse addidi. 4) Odyss. *α*, 161. 5) Qui supra Simonides. 6) Hoc est *χρηματίτην*. 7) Qui supra et vulgo Damasias.

Digitized by Google

τῷ ὄρει τοῦ Παρνασοῦ Κιρρᾶιον πεδίον καὶ ὄρος, ὃ Κίρφιν καλοῦσιν, ἐν ᾧ μέσος ὁ Πλεῖστος ὀνομαζόμενος φέρεται ποταμός. καὶ ὅτι Εὐρύλοχος ὁ Θεσσαλὸς τοὺς Κιρραίους ἐπόρθησε, μαρτυρεῖ καὶ Εὐφορίων·

Ὁπλοτέρου τ' Ἀχιλῆος ἀκούομεν Εὐρυλόχοιο.

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Α'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πρώτου τῶν Πυθίων εἴδους.

Ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ ιβ'. Τὸ α' σύγκειται ἐκ διμέτρου τροχαίου [1]) ἀκατάληκτον. Τὸ β' πενθημιμερὲς, δακτυλικὸν καταληκτικὸν, [2]) ὅμοιον τῷ, Μῆνιν ἄειδε θεά. Τὸ γ' ὀκτασύλλαβον Σαπφικὸν, ᾧ τὸ πρῶτον ὅλον ἐκ Σαπφοῦς γέγραπται. ἔστι δὲ μονόμετρον τροχαϊκὸν ἀκατάληκτον καὶ χοριαμβικόν. [3]) Τὸ δ' Πινδαρικὸν ἐκ Σαπφικοῦ· σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας καὶ χοριαμβικῆς καὶ Ἰωνικῆς ἀπ' ἐλάσσοτος καὶ συλλαβῆς. Τὸ ε' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ πρώτου ποδὸς τῆς πρώτης συζυγίας διαφερούσης. Τὸ ς' σύνθετον ἐκ τοῦ λεγομένου προσοδιακοῦ καὶ ἰαμβικῆς συζυγίας. Τὸ ζ' Πινδαρικὸν ἐκ Σαπφικοῦ, διαφέρον [4]) τοῦ τετάρτου, ὅτι ἐκεῖνο μὲν ὑπερκατάληκτον, τοῦτο δὲ καταληκτικόν. Τὸ η' τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ θ' πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ, Μῆνιν ἄειδε θεά. Τὸ ι' ὅμοιον τῷ ζ'. Τὸ ια' προσοδιακὸν παρὰ τὴν ἰαμβικὴν συζυγίαν. Τὸ ιβ' τροχαϊκὴ διποδία, ὅ ἐστι μονόμετρον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιε'. Τὸ α' δακτυλικὸν τρίμετρον καταληκτικόν. [5]) Τὸ β' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ γ' προσοδιακὸν δίμετρον ἀκατάληκτον, τῆς τελευταίας ἀδιαφόρου οὔσης. Τὸ δ' κατὰ τὸ Πινδαρικὸν ἐκ Σαπφικοῦ, διαφέρον τοῦ τετάρτου, [6]) ὅτι ἐκεῖνο μὲν ὑπερκατάληκτον, τοῦτο δὲ καταληκτικὸν, ὅμοιον τῷ ζ' καὶ τῷ ι' τῆς στροφῆς. Τὸ ε' δίμετρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῷ α' τῆς στροφῆς. Τὸ ς' δίμετρον Ἰωνικὸν [7]) καταληκτικόν. [8]) Τὸ ζ' προσοδιακὸν, ὅμοιον τῷ ς'

1) Cod. Trich. ἐκ παλαιοῦ βιβλίου praebet διμοίρου τροχαῖον. 2) Hanc vocem addidi ex cod. Trich. qui omittit reliqua: ὅμοιον usque ad θεά. Rom. πενθ. ὑπερκατάληκτον. 3) Cod. Trich. δίμετρον τροχ. ἀκατ. ἐπιχορ. 4) Sic cod. Trich. 5) Cod. Trich. ἀκατάληκτον. 6) Strophae nempe. 7) Ita Gott. et cod. Trich. Vulgo τροχαϊκόν. 8) Vulgo ἀκατάληκτον, et ex coniectura βραχυκατάληκτον; Gott. ἀκατάληκτον. Ionicum hoc visum esse nonnullis, noli mirari. Nam haec mensura ⏑ ex doctrina metricorum potest Ionica esse. Tamen et alterum τροχαϊκὸν διμ. βραχυκ. illorum hominum disciplinae accommodatum est.

Digitized by Google

τῆς στροφῆς. Τὸ η' ὅμοιον τῷ γ' τῆς στροφῆς. Τὸ θ' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος καταληκτικόν. Τὸ ι' ὅμοιον τῷ δ' τῆς στροφῆς, πλὴν ἐκείνου ὑπερκαταλήκτου ὄντος. Τὸ ια' δίμετρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῷ α' τῆς στροφῆς. Τὸ ιβ' ὁμοίως. Τὸ ιγ' πενθημιμερὲς δακτυλικὸν, ὅμοιον τῷ, Μῆνιν ἄειδε θεά. Τὸ ιδ' προσοδιακὸν, ὃ σύγκειται ἐξ Ἰωνικῆς ἀπ' ἐλάσσονος καὶ χοριαμβικῆς συζυγίας. Τὸ ιε' δίμετρον τροχαϊκὸν ἀκατάληκτον, ὅμοιον τῷ α' τῆς στροφῆς.

Πινδάρου Πύθια.] Πύθια μὲν οὖν ἐκλήθη ὁ ἀγὼν ἀπὸ τοῦ τόπου, τῷ δὲ τόπῳ ἦν τὸ ὄνομα Πυθὼ ἤτοι παρὰ τὸ πυνθάνεσθαι τοὺς ἀφικνουμένους, ἢ παρὰ τὸ σήπεσθαι τὸν Πυθῶνα ἐν αὐτῇ. ἐκαλεῖτο δὲ τὸ πρότερον Νάπη, εἶτα Πετρήεσσα, εἶτα Κρίσσα, εἶτα Πυθώ.

Ἱέρωνι Αἰτναίῳ.] Γέγραπται μὲν ὁ ἐπίνικος Ἱέρωνι, λέγεται δὲ ὁ Πίνδαρος οὕτως ἐπιβεβλῆσθαι κατὰ Ἀρτέμονα τὸν ἱστορικὸν, ὅτι δὴ αὐτῷ ὁ Ἱέρων χρυσῆν ὑπέσχετο κιθάραν. τὰ δὲ τοιαῦτα περιεργίας πεπλήρωται. οἰκειότατα γὰρ Πυθίου ὄντος τοῦ ἀγῶνος τὸν θεὸν προστάτην ὄντα ἀνυμνεῖ. § Ἄλλως. Ἱέρων ἄνωθεν Συρακούσιός ἐστι, τὴν δὲ Κατάνην ἀνακτίσας ὁμωνύμως τῷ παρακειμένῳ ὄρει Αἴτναν προσηγόρευσε, καὶ Αἰτναῖον ἑαυτὸν κατὰ τοὺς ἀγῶνας νικῶν ἀνεκήρυξεν. ἐνίκησε δὲ ὁ Ἱέρων τὴν μὲν εἰκοστὴν ἕκτην Πυθιάδα καὶ τὴν ἑξῆς κέλητι, τὴν δὲ εἰκοστὴν ἐννάτην ἅρματι, εἰς ἣν ὁ ὑποκείμενος ἐπίνικος τέτακται. ἔσχε δὲ ὁ Ἱέρων τὴν τῶν Συρακουσίων ἀρχὴν μετὰ τὴν Γέλωνος τοῦ ἀδελφοῦ τελευτὴν τῇ ἑβδομηκοστῇ [1]) πέμπτῃ Ὀλυμπιάδι. στέφονται δὲ δάφνῃ οἱ νικῶντες.

1. Χρυσέα φόρμιγξ] τινὲς χρυσῆν ὑποσχέσθαι φασὶ κιθάραν τὸν Ἱέρωνα τῷ Πινδάρῳ. διὸ καὶ ὁ ποιητὴς ὑπομιμνήσκων αὐτὸν τῆς ἐπαγγελίας ἀπὸ τῆς κιθάρας ἤρξατο τοῦ προοιμίου. § ἢ χρυσέα φόρμιγξ ἀντὶ τοῦ τιμία κιθάρα, ὡς [2]) Χρυσῆ Ἀφροδίτη.

Ἀπόλλωνος] οὐ μάτην αὐτῷ παρέῤῥιπται τὸ Ἀπόλλωνος κτῆμα εἰπεῖν τὴν κιθάραν· ἀντὶ γὰρ τῆς τῶν βοῶν κλοπῆς παρ' Ἑρμοῦ πρῶτος ἐκτήσατο τὸ ὄργανον. § ἢ Ἀπόλλωνος, διὰ τὸ τὸν Ἀπόλλωνα προκατάρχειν τοῦ χοροῦ τῶν Μουσῶν.

3. Σύνδικον] συνῳδὸν, οἱονεὶ οὐκ ἐναντίον. ὁ δὲ Ἀπολλώνιος σύντροπον ἤκουσε τὸ σύνδικον· δίκη γὰρ ὁ τρόπος. ὡς καὶ Ὅμηρος· [3])

Αὕτη τοι δίκη ἐστὶ θεῶν, οἳ Ὄλυμπον ἔχουσιν.

§ ὁ δὲ νοῦς· ὦ χρυσῆ κιθάρα, καὶ τοῦ Ἀπόλλωνος κτῆμα καὶ τῶν μελανοπλοκάμων Μουσῶν συνῳδὸν καὶ σύντροπον, παρόσον ὁ μὲν Ἀπόλλων τῇ κιθάρᾳ τῶν ᾠδῶν προκαθηγεῖται τῶν Μουσῶν, αὗται δὲ χορεύουσιν.

4. Τᾶς ἀκούει μὲν βάσις] βάσιν ἔνιοι τὸν ῥυθμόν φασι· πρὸς γὰρ τὸν ῥυθμὸν ἡ ἁρμονία τῶν μελῶν διατυποῦται· οἱ δὲ τὴν τῶν χορδῶν κροῦσιν· προκατάρχον-

[1]) Vulgo ὀγδοηκοστῇ: Gott. numeros exhibet 'πε'. Retinui ἑβδομηκοστῇ ab editoribus repositum Wesselingio obsecutis ad Diod. XI, 38. etsi hic ipse huic coniecturae non confidebat. [2]) Iliad. χ, 470. [3]) Odyss. τ, 43.

Digitized by Google

ται γὰρ αἱ ᾠδαὶ παρὰ τῆς κιθάρας, εἶθ' οὕτως ἕπεται ὁ τῶν χορευτῶν ῥυθμός. § ἢ βάσις ὁ ῥυθμὸς, παρὰ τὸ βαίνειν εἰς τὸν ῥυθμὸν τοῖς κρούουσι τὴν γῆν τοῖς ποσίν.

Ἀγλαΐας ἀρχά] ἀμφίβολον πότερον ἡ βάσις ἀγλαΐας ἀρχὴ οὖσα, ἢ σὺ ὦ κιθάρα ἀγλαΐας τυγχάνεις ἀρχή. κἀντεῦθεν δὲ ἄδηλον· ἤτοι ἀγλαΐαν τὴν κατὰ τὰς πανηγύρεις φησὶ, καθ' ἣν πάντες γαννύμενοι τερπόμεθα, ἢ τὴν διάχυσιν καὶ εὐφροσύνην, ἢ ἀγλαΐας ἀρχὰν τὴν ἀρχὴν καὶ τὰς προανακρούσεις.

5. Πείθονται δ' ἀοιδοί] ἀοιδοὶ ἤτοι ἐν τῷ καθόλου οἱ χορευταὶ ἢ οἱ κιθαρῳδοὶ ἢ οἱ ποιηταὶ, ἢ ἐπὶ τῶν Μουσῶν ὁ λόγος. ὡς γὰρ ἔφην, Ἀπόλλων μὲν προκατάρχει τῶν Μουσῶν· [1]) πρὸς δὲ τὰ κρούματα εὐρύθμως αἱ Μοῦσαι χορεύουσι. σάμασι δὲ, τοῖς σημείοις, τοῖς συνθήμασιν, ἢ τοῖς κελεύσμασιν, ἀπὸ τοῦ σημῆναι διὰ τῆς προανακρούσεως.

7. Ἀμβολὰς τεύχης] τὰς προαναφωνήσεις κατασκευάζης. ὡς καὶ Ὅμηρος· [2])

Ἤτοι ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.

ἑλελιζομένα δὲ, διακινουμένη ἢ διακρουομένη. § ὁ δὲ νοῦς· ἧς, σοῦ ὦ κιθάρα, κατακούει μὲν ἡ τῶν ποδῶν κροῦσις, τῆς εὐφροσύνης καὶ τῆς διαχύσεως ἀρχὴ οὖσα· πείθονται δὲ καὶ οἱ ἀοιδοὶ τοῖς σοῖς συνθήμασιν, ὅταν τῶν προοιμίων τῶν ἡγουμένων τῶν χορῶν τὰς προαναφωνήσεις καὶ κρούσεις διακινουμένη κατασκευάζῃς.

8. Καὶ τὸν αἰχματὰν κεραυνόν] κατὰ τὸ ἐναντίον προήγαγεν. ἔδει γὰρ εἰπεῖν, αἰχμητοῦ κεραυνοῦ πῦρ. τὸ δὲ τοιοῦτον σχῆμα τοῦ λόγου καὶ παρ' Ὁμήρῳ· [3]) Ὁ δὲ χασσάμενος πελεμίχθη. πελεμιχθεὶς γὰρ ἀνεχώρησεν.

9. Ἀενάου πυρός] τὸ ἀένναον κυρίως ἐπὶ τῶν ὑδάτων τίθεται, καταχρηστικῶς δὲ ὁ Πίνδαρος νῦν καὶ ἐπὶ τῷ κεραυνῷ τάττει ἀντὶ τοῦ ἄσβεστον. § σκάπτῳ δὲ Δωρικῶς τῷ σκήπτρῳ.

10. Διὸς αἰετός] πάνυ γὰρ διετύπωσεν, ὅτι δὴ ὁ ἀετὸς ἐπικαθήμενος τῷ τοῦ Διὸς σκήπτρῳ καὶ κατακηλούμενος ταῖς μουσικαῖς ᾠδαῖς εἰς ὕπνον κατάγεται, ἀμφοτέρας χαλάσας τὰς πτέρυγας καὶ ταλαντευόμενος καὶ ζυγοστατούμενος ὥσπερ διὰ τὴν τοῦ σκήπτρου στενότητα, ὥστε αὐτὸν μὴ ἐξολισθαίνειν τῇ ᾠδῇ, ἀλλ' ἀσφαλῆ τὴν βάσιν ὑπάρχειν. ἡ δὲ Σαπφὼ ἐπὶ τοῦ ἐναντίου ἐπὶ τῶν περιστερῶν·

... ταῖς ψυχρὸς μὲν ἔγεντο θυμός,
Πὰρ δ' ἰεῖσι τὰ πτερά.... [4])

ὁ δὲ νοῦς· καὶ τὸν ἰσχυρότατον καὶ πολεμικώτατον κεραυνὸν σβεννύεις τοῦ διαπαντὸς ὄντος πυρός. ἀφυπνοῖ δὲ τῇ ἡδονῇ συσχεθεὶς ἐπὶ τοῦ σκήπτρου τοῦ Διὸς ὁ ἀετὸς τὴν ταχεῖαν ἑαυτοῦ πτέρυγα ἐξ ἀμφοτέρων τῶν μερῶν χαλάσας, ὁ τῶν ὀρνέων βασιλεύς.

13. Κελαινῶπιν δ' ἐπὶ οἱ νεφέλαν] ἤτοι κατ' αὐτῆς τῆς νεφέλης τὸ ἐπίθετον, ἵνα σωματικώτερον ἀναπλάσῃ τὴν νεφέλην τὴν μέλανας ἔχουσαν ὀφθαλμοὺς, ἢ τὴν μελαίνουσαν τοὺς ὀφθαλμοὺς νεφέλην. § Ἄλλως. κελαινῶπιν νεφέλαν τὴν ἐπίχυσιν τοῦ

[1]) Gott. τῶν κρουμάτων. [2]) Odyss. α, 155. [3]) Iliad. δ, 535. [4]) Inepte hoc fragmentum constituit Volger. p. 113. Vulgo erat ταῖσι et ἐγένετο, quae correxi. Priorem versum sic explere possis: Ἀλλὰ ταῖς ψυχρὸς μὲν ἔγεντο θυμός. Doctus in Mus. crit. Cantabr. T. I, p. 28. coniicit ταῖσί τις ψ. μ. ἔγεντο θ.

Digitized by Google

ὕπνου φησὶν, ἀντὶ τοῦ ὕπνον, παρόσον ἀφεγγής ἐστι· κατέχευας, φησὶν, ὦ κιθάρα, ἁπαλὸν καὶ ἡδὺ κλεῖθρον κατὰ τῶν βλεφάρων. § ἀντὶ τοῦ εἰς ὕπνον καταφερόμενος ὑπὸ σοῦ, ὦ κιθάρα, ὁ ἀετὸς αἰωρεῖται τὸν νῶτον ἐπὶ θάτερα ῥέπων.

15. Ἀγκύλῳ κρατεῖ] τῇ ἐπικεκαμμένῃ κεφαλῇ τοῦ ἀετοῦ. οὕτω δὲ εἶπε διὰ τὸ ἐπικαμπὲς τῆς ῥινὸς αὐτοῦ· ἀπὸ μέρους τὸ πᾶν. καὶ Ὅμηρος [1]) ἀγκυλοχείλην τὸν ἀετόν φησι. τὸ δὲ κλαῖστρον ἀντὶ τοῦ κλεῖθρον.

17. Ὑγρὸν νῶτον αἰωρεῖ] ἀντὶ τοῦ εἰς ὕπνον καταφερόμενος ὑπὸ σοῦ, ὦ κιθάρα, αἰωρεῖται τὸν νῶτον ἐπὶ θάτερα ῥέπων. § Ἄλλως. ὑγρὸν νῶτον· τὸν εὐδιάχυτον ὑπὸ τῆς ἡδονῆς. γραφικώτατα δὲ συνδιατιθέμενον τῇ ἡδονῇ [2]) καὶ θελγόμενον τὸν ἀετὸν ὑπετύπωσεν.

18. Ῥιπαῖσι] ταῖς βολαῖς. λέγει δὲ τοῖς μέλεσιν. ὁ δὲ νοῦς· ὁ ἀετὸς εἰς ὕπνον τῇ ἡδονῇ καθελκόμενος τὸν εὐδιάχυτον αὐτοῦ νῶτον ἐπαίρει, τοῖς σοῖς μέλεσι θελχθείς.

19. Βιατὰς Ἄρης] ὁ γὰρ ἰσχυρότατος Ἄρης τὴν τραχυτάτην τῶν δοράτων ἀκμὴν καταλιπὼν, τουτέστι τὸν πόλεμον, εὐφραίνει τὴν καρδίαν τῷ τῆς κιθάρας κηλήματι. § κώματι τῷ κοιμήματι, τῷ θέλγματι. [3])

21. Κῆλα δέ] κατὰ συναίρεσιν τὰ κηλήματα. Ὅμηρος δὲ τὰ τοξικὰ βέλη· Τὰ δ' ἐπῴχετο κῆλα θεοῖο. [4]) δυνατὸν δὲ ἀκούειν καὶ νῦν τροπικώτερον βέλη τὰ θελκτικὰ τῆς μουσικῆς πάθη. § Ἄλλως. κῆλα τὰ ὑπὸ τῆς μουσικῆς θέλγματα. ὁ δὲ νοῦς· τὰ δὲ τῆς μουσικῆς κηλήματα καὶ τῶν θεῶν θέλγει τὰς φρένας παρὰ τῇ σοφίᾳ τοῦ Ἀπόλλωνος καὶ τῶν ἰοπλοκάμων Μουσῶν.

25. Ὅσσα δὲ μὴ πεφίληκε] τοῦτο εἶπεν, ἵνα ἕτοιμοι ὦσιν οἱ ἀκροαταὶ πρὸς τὴν ἀκρόασιν. ὁ δὲ νοῦς· ὅσα δὲ μήτε κατὰ τὴν γῆν, μήτε κατὰ τὴν ἄπειρον θάλασσαν φιλεῖ ὁ Ζεὺς, ἀποστρέφονταί τὴν ᾠδὴν τῶν Μουσῶν.

29. Ἐν αἰνᾷ Ταρτάρῳ] πάλιν κατὰ τὸ ἴδιον ἔθος θηλυκῶς τὴν Τάρταρον προήγαγεν, ὡς καὶ τὴν Ἰσθμὸν, καὶ τὸ Τυφώς· ἔδει γὰρ Τυφών. Ὅμηρος [5]) δὲ ἑτέραν εὐθεῖαν οἶδεν, ὁ Τυφωεύς· Τυφωεὶ γαῖαν ἱμάσσῃ. § ἀπὸ κοινοῦ τὸ ἀτύζεται. ἀποστρέφεται, φησὶ, καὶ ὁ Τυφὼν οὗτος τὴν μουσικὴν, ὁ ἐν τῷ Ταρτάρῳ κείμενος, ὁ πολέμιος τῶν θεῶν.

31. Ἑκατοντακάρανος] οὐκ ἀριθμητικῶς, ἀλλ' ἀντὶ τοῦ πολυκέφαλος.

Τόν ποτε Κιλίκιον θρέψεν] ὅν ποτε τὸν Τυφῶνα, φησὶν, ἔθρεψε μὲν τὸ ἐν Κιλικίᾳ πολυθρύλλητον σπήλαιον, νῦν δὲ αἱ τῆς Κύμης ὄχθαι καὶ ἡ Σικελία τὰ δασέα αὐτοῦ στήθη πιέζει. § Ἄλλως. στασιάζεται ἡ περὶ τοῦ Τυφῶνος ἱστορία. οἱ μὲν γὰρ αὐτὸν ὄρει τῆς Βοιωτίας ὑποκεῖσθαι ἔφασαν, καὶ ὡς εἰσὶν αὐτόθι πυρὸς ἀναδόσεις· οἱ δὲ ἐν Φρυγίᾳ· ἕτεροι δὲ ἐν Λυδίᾳ. Ἀρτέμων δέ τις ἱστορικὸς πιθανώτερον λογοποιεῖ. καθάπαξ γὰρ, φησὶ, πᾶν ὄρος ἔχον πυρὸς ἀναδόσεις ἐπὶ Τυφῶνι καίεται. ἔστι δὲ τὸ πιθανὸν ἐξ αὐτῆς τῆς τοῦ ὀνόματος ἱστορίας· τύφειν γὰρ τὸ καίειν. ὁ δὲ Πίνδαρός φησι τὸν Τυφῶνα ἐν Κιλικίᾳ τεθράφθαι, ὡς καὶ Ὅμηρος· [6])

Εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.

1) Odyss. τ, 538. 2) Gott. ᾠδῇ. 3) Sic Gott. 4) Iliad. α, 53. 5) Iliad. β, 782. 6) Ibidem.

Digitized by Google

ὑποκεῖσθαι δὲ τῷ ὄρει καὶ αὐτόθι πυρὸς κρατῆρας καὶ τοὺς ἀναδιδομένους πρηστῆρας. πολυώνυμον δὲ, ἀντὶ τοῦ πολυθρύλλητον διὰ τὸ ἀνατραφῆναι ἐν αὐτῷ τὸν Τυφῶνα.

34. Ταί θ' ὑπὲρ Κύμας] Κύμη νῆσος παρακειμένη τῇ Σικελίᾳ. ἔστι δὲ καὶ ἑτέρα τῶν Αἰολέων. φαίνεται δὲ οὐχ ἡ Κύμη πῦρ ἀναδιδοῦσα, ἀλλ' ἡ καλουμένη Προχύτη, [1]) ἣν καὶ Πιθηκούσας ὀνομάζουσι. συμβαίνουσι γὰρ αὐτόθι κυμάτων ἐξαισίων κινήσεις καὶ ἀνέμων σφοδροτάτων ἐπίπνοιαι καὶ πρηστήρων ἐπιφάνειαι καὶ πυρὸς καταφλέξεις, ὡς μυθολογεῖσθαι ὑποκεῖσθαι τὸν Τυφῶνα.

Ἁλιερκέες ὄχθαι] ἤτοι αἱ τὴν ἅλα ἕρκος ἔχουσαι, ἢ τῆς ἁλὸς αὐτῆς ἕρκος οὖσαι, διὰ τὸ μὴ συγχωρεῖν ἐπίπροσθεν φέρεσθαι τὰ κύματα.

36. Κίων δ' οὐρανία] ἡ Αἴτνη τὸ ὄρος, ἣν οὕτως ὠνόμασε διὰ τὸ ὕψος ὑποστηρίζουσαν τὸν οὐρανόν. ὁ δὲ νοῦς· ἡ δὲ οὐρανία κίων συνέχει τὸν Τυφῶνα, ἡ κατὰ πᾶσαν ὥραν ἔτους χιονιζομένη καὶ τῆς ὀξείας χιόνος τροφὸς οὖσα, ἤγουν ἡ Αἴτνη.

38. Πάνετες] τὸ πάνετες ἀμφίβολον· ἤτοι γὰρ διαπαντὸς συνέχει τὸν Τυφῶνα ἡ Αἴτνα καὶ δι' αἰῶνος, ἢ τῷ ἑξῆς συναπτέον Ὀξείας χιόνος τιθήνα, ἵν' ᾖ, δι' ἔτους ἀεὶ τιθηνουμένη καὶ τρέφουσα τὴν χιόνα. § Ἄλλως. οὐ καταπαντὸς, ἀλλὰ κατὰ πᾶσαν ὥραν ἔτους, ἵνα εἰς ὑπερβολὴν ἄρῃ τὸν λόγον, λέγων καὶ χειμῶνι καὶ θέρει χιονίζεσθαι τὴν Αἴτνην. § Ἄλλως. ὀξεῖαν τὴν χιόνα φησὶν ἤτοι παρὰ τὴν πυκνότητα τῆς καταφορᾶς, ἢ παρὰ τὴν ψυχρότητα, ὅτι οἱ ἐφαπτόμενοι ὅμοιόν τι πάσχουσι τοῖς κεντουμένοις. ἁπλάτου δὲ πυρὸς, ἢ ἀπροσπελάστου ἢ πολλοῦ.

41. Ἁγνόταται ἐκ μυχῶν] ἁγνότατον τὸ πῦρ φησιν, ὅτι ἁγνιστικόν ἐστιν, ἢ καὶ παρὰ τὸ θεῖον τὸ αὐτόθι γιγνόμενον, ᾧ καθαίρομεν, ὡς καὶ Ὅμηρος· [2]) Ὄφρα θεειώσω μέγαρον. τῇ δὲ τροπῇ ἐπιμένει διόλου πυρὸς ποταμοὺς καὶ πηγὰς λέγων διὰ τὴν ἄγαν τοῦ πυρὸς ἀνάδοσιν. § ὁ δὲ νοῦς· ἀφ' ἧς τινος Αἴτνης ἀναφυσῶνται καὶ ἀναδίδονται ἐκ τῶν μυχῶν ἀπροσπελάστου πυρὸς πηγαί· οἱ δὲ ποταμοὶ τοῦ πυρὸς ἐν μὲν ἡμέρᾳ ῥοῦν καὶ φθορὰν προχέουσι καπνοῦ αἴθωνα, ἤτοι μέλανα ἢ καυστικόν· ἐν δὲ νυκτὶ ἡ ξανθὴ τοῦ πυρὸς φλὸξ ἐκρήγνυσι τοῦ ὄρους τὰς πέτρας, καὶ εἰςκυλίει τῇ παρακειμένῃ θαλάσσῃ.

47. Ἀφαίστοιο ἕρπετόν] ὁ Τυφῶν, παρόσον ἐξ αὐτοῦ ἢ δι' αὐτὸν οἱ τοῦ πυρὸς ἀναδίδονται πρηστῆρες. κρουνοὺς δὲ τροπικῶς μὲν φησὶν ὡς ἐπὶ ποταμοῦ, ἐμφαίνει δὲ τὰς τοῦ πυρὸς ἀναφυσήσεις. ὁ δὲ νοῦς· ἐκεῖνο δὲ τὸ τοῦ Ἡφαίστου ἕρπετὸν κρουνοὺς πυρὸς δεινοτάτους ἀναδίδωσι, θαυμαστὸν μὲν ἰδεῖν, θαυμαστὸν δὲ καὶ τῶν παριόντων καὶ ἑωρακότων ἀκοῦσαι.

52. Ἐν μελαμφύλλοις] τοῖς πολυδένδροις. ἡ γὰρ τῶν δένδρων πυκνότης βαθεῖαν [3]) ἀπεργάζεται τὴν ὕλην. ζητητέον δὲ, πῶς φησι τὸν Τυφῶνα ἐνδεδέσθαι ταῖς τῆς Αἴτνης κορυφαῖς, ὃν φησιν ὑπ' αὐτῇ κεῖσθαι; ῥητέον δὲ, ὅτι ὑπόκειται μὲν αὐτῷ τὸ ἔδαφος ὑπὸ τὸν νῶτον, ἐπίκειται δὲ τῷ στήθει ἡ Αἴτνη ὥςπερ δεσμὸς καὶ σχοινίον ἐν μέσῳ αὐτὸν συνέχουσα.

1) Vulgo Προστύλη. Reposui haud dubiam emendationem Holstenii ad Steph. Byz. p. 264. Pithecusae, Prochyte, Aenaria, Inarime partim habentur pro iisdem, partim coniunguntur. Cf. Cellar. Geogr. ant. T. I, p. 762. sq. 2) Odyss. χ, 482. 3) Doederlinus noster Act. phil. Mon. T. I, p. 46. coniicit σκοτεινήν.

Digitized by Google

54. Χαράσσεισα] ἐπιξύουσα, ἐπινύσσουσα. ὁ δὲ νοῦς· τὸ ὑπεστρωμένον ἔδαφος κεντρῶδες κεντεῖ καὶ ἐπιξύει τὸ τοῦ Τυφῶνος νῶτον· τῆς δὲ κεντρώσεως αἴτιόν ἐστι τὸ τῇ Αἴτνῃ ἐπικείμενον βάρος. § τὸ μὲν κεκλιμένον νῶτον κεντεῖ ἐπιξύουσα ἡ ὑποκειμένη τοῦ ἐδάφους κεντρώδης στρωμνή.

56. Εἴη Ζεῦ] ἐπειδὴ τὸν περὶ τοῦ Τυφῶνος λόγον ἐκίνησε καὶ τὰς τιμωρίας αὐτοῦ διεξῆλθεν, ὥςπερ φόβῳ διατεθεὶς πρὸς τὰ διηγήματα κατεύχεται τὸν Δία ἔχειν εὐμενῆ. ὁ δὲ νοῦς· εἴη σοι, φησὶν, ὦ Ζεῦ, ἀρέσκειν, ὅςτις τοῦτο τὸ ὄρος περιέπεις τὴν Αἴτνην, ἥ ἐστι τῆς εὐκάρπου Σικελίας πρόςωπον, ἤτοι διὰ τὸ ἐπιφανὲς ἢ διὰ τὸ ὕψος. τιμᾶται δὲ κατὰ τὸ ὄρος τῆς Αἴτνης ὁ Ζεύς. § γαίας δὲ μέτωπον τὴν Αἴτνην μεταφορικῶς φησιν ἀπὸ τῶν ζώων, ἤτοι διὰ τὸ ἐπίσημον αὐτὴν εἶναι ἢ διὰ τὸ ὕψος καὶ τὴν ἀνάβασιν.

58. Τοῦ μὲν ἐπωνυμίαν] τούτου οὖν τοῦ ὄρους τὴν ὁμώνυμον πόλιν Αἴτνην ὁ ἔνδοξος οἰκιστὴς Ἱέρων ἐδόξασεν ἀνακηρύξας κατὰ τὰ Πύθια· ἀνεκήρυξε γὰρ ὑπὲρ τὸ καλλίνικον ἅρμα τοῦ Ἱέρωνος ὁ κήρυξ οὖσαν αὐτοῦ πατρίδα.

64. Ναυσιφορήτοις] ὡς τοῖς διὰ νηὸς φερομένοις ἀνδράσι χάρις καὶ ἡδονὴ, πρώτοις φερομένοις διὰ θαλάσσης πόμπιμον καὶ οὔριον ἐπιπνεῦσαι ἄνεμον· οὕτω καὶ τῇ Αἴτνῃ ἀνακτισθείσῃ, πρῶτον ἐν ἀγῶσιν ἐπιφανεστάτην γενέσθαι φησίν.

67. Ἐοικότα γάρ] ἐοικὸς γὰρ καὶ πρέπον ἐστὶ τὸν ἐξ ἀρχῆς ἀγαθῆς ἀρξάμενον, τοῦτον καὶ τέλους εὐδόξου τεύξεσθαι. οὕτως οὖν καὶ τὴν Αἴτνην ἐκ πρώτης [1]) ἀρξαμένην ἐν τοῖς ἀγῶσιν ἐπίδοξον εἶναι ὑπολαμβάνω καὶ διηνεκῶς εὐπραγήσειν.

69. Ὁ δὲ λόγος] ὁ δὲ ἐμὸς ἐγκωμιαστικὸς λόγος, φησὶ, κοσμεῖ καὶ δοξάζει τὴν Αἴτνην ταῖς συντυχίαις ταύταις τῆς νίκης, καὶ εἰς τὸ λοιπὸν αὐτὴν ἵπποις τε καὶ στεφάνοις ἔνδοξον καὶ σὺν θαλίαις καὶ κώμοις ἡδέσιν ὀνομαστὴν ἀποδείκνυσιν, ὥςτε τὴν μνήμην αὐτῆς διαμένειν ἄσβεστον.

74. Λύκιε καὶ Δάλοιο ἄνασσων] ὦ Λύκιε Ἄπολλον καὶ τῆς Δήλου βασιλεύων καὶ τοῦ Παρνασοῦ τοῦ ἐν Φωκίδι ὄρους, τὴν Κασταλίαν κρήνην φιλῶν, ἐθελήσαις ταῦτα, ἃ εὔχομαι, τῷ σῷ νόῳ πράττειν καὶ συμπεραίνειν καὶ εὔανδρον ἀποτελεῖν τὴν χώραν.

79. Ἐκ θεῶν γὰρ μαχαναί] ἐκ θεῶν γὰρ, φησὶ, ταῖς ἀνθρωπίναις ἀρεταῖς πᾶσαι μηχαναὶ δωροῦνται. κατὰ δαίμονα γάρ τινα σοφοὶ καὶ ταῖς χερσὶν ἀνδρεῖοι, καὶ ἄγαν εὔγλωσσοι καὶ δυνατοὶ κατὰ τὸ λέγειν ἐγένοντο.

82. Ἄνδρα δ' ἐγὼ κεῖνον] τὸν δὲ Ἱέρωνα ἐγκωμιάσαι προθυμούμενος ἐλπίζω παρὰ σκοπὸν μὴ ῥίψειν τὸν ὕμνον, ἀντὶ τοῦ κατὰ σκοπὸν προσδοκῶ βαλεῖν τοὺς ὕμνους καὶ ἄξιον ὄντα τὸν Ἱέρωνα ἀνυμνεῖν.

84. Μὴ χαλκοπάραον] τὸ ὑπέρβατον οὕτω· μὴ ὥςπερ χαλκοπάραον ἄκοντα παλάμᾳ δονέων ἀγῶνος ἔξω βαλεῖν.

86. Μακρὰ δὲ ῥίψαις] ἐλπίζω δὲ μακρῶς καὶ δυνατῶς ἀκοντίσας παρελθεῖν καὶ νικῆσαι τοὺς ἐναντίους.

1) Heynius vult ἐκ νίκης, bene.

Digitized by Google

87. Εἰ γὰρ ὁ πᾶς χρόνος] τὸ Εἰ τοῦτο νῦν εὐκτικόν ἐστιν, ἀντὶ τοῦ εἴθε. εἴθε γὰρ, φησίν, ὁ πᾶς χρόνος αὐτῷ τήν τε εὐδαιμονίαν καὶ τὸν πλοῦτον ἐπ' εὐθείας ἀγάγοι καὶ τῶν καμάτων τῶν τῆς λιθουρίας ἐπίλησιν ἀγάγοι, ὡς ἐγὼ τοὺς ἐναντίους νικῆσαι προσδοκῶ.

89. Καμάτων δ' ἐπίλασιν παράσχοι] καμάτων φησὶ τῶν συνεχόντων τὸν Ἱέρωνα ἐκ τοῦ νοσήματος τῆς λιθουρίας. φησὶ γάρ που καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Γελώων πολιτείᾳ, Γέλωνα τὸν τοῦ Ἱέρωνος ἀδελφὸν ὑδέρῳ νοσήματι τὸν βίον τελευτῆσαι, αὐτὸν δὲ τὸν Ἱέρωνα, ἐν τῇ τῶν Συρακουσίων πολιτείᾳ, δυσουρίᾳ δυστυχῆσαι.

91. Ἦ κεν ἂν μνάσειεν] καὶ τάχα ἂν εἰς ὑπόμνησιν ἀγάγοι, ὁποίας ὁ Ἱέρων ἐν τοῖς πολέμοις τῇ πολεμικῇ ἑαυτοῦ καὶ ὑπομονητικῇ ψυχῇ ὑπέμεινε μάχας, ἡνίκα ἐκτῶντο τὴν Σικελικὴν τυραννίδα, ἣν αὐτοῖς οἱ θεοὶ ταῖς ἑαυτῶν μηχαναῖς ἐδωρήσαντο, ὁποίαν οὐδεὶς τῶν ἄλλων Ἑλλήνων δρέπεται, τοῦ πλούτου οὖσαν στεφάνωμα τίμιον. φασὶ δὲ τὸν Ἱέρωνα καὶ πρὸς Γέλωνα τὸν ἀδελφὸν ἐστασιακέναι τῆς ἀρχῆς ἕνεκα. § Ἄλλως. Ἦ κεν ἂν μνάσειεν] ἀναμνήσειεν ἂν ὁ χρόνος, εἰ ἐπίλησις γένοιτο τῶν καμάτων, ὥστε φανερὰν αὐτοῦ γενέσθαι τὴν ἀρετὴν, ἣν εἶχεν ἐν πολέμοις.

94. Ἀνίχ' εὑρίσκοντο θεῶν] ὁ μὲν λόγος ἐστὶ περὶ Ἱέρωνος καὶ Γέλωνος, τῶν τυραννησάντων ἐν Συρακούσαις. τὸ δὲ σημαινόμενον· ὅτε σὺν τῇ τῶν θεῶν μηχανῇ ἀνεκτῶντο τὴν βασιλείαν. τιμὴν γὰρ εἴωθε τὴν βασιλείαν ὀνομάζειν.

96. Νῦν γε μὰν τὰν Φιλοκτήταο δίκαν] ἐπὶ δὲ τοῦ παρόντος τὸν Φιλοκτήτου τρόπον ὁ Ἱέρων μετερχόμενος ἐστρατεύθη καὶ τὴν μάχην ἐνίκησε. φορείῳ δὲ φερόμενος ὁ Ἱέρων διὰ τὴν λιθουρίαν κατηγωνίζετο τοὺς ἐναντίους. παραβάλλων δὲ αὐτὸν τῷ Ποίαντος Φιλοκτήτῃ παρείκασεν.

98. Σὺν δ' ἀναγκαίᾳ φίλον] σὺν δὲ τῇ ἀνάγκῃ τῆς νόσου καί τις ὑπερήφανος ἔσανε καὶ ἐκολάκευσεν αὐτὸν, τὸν Ἱέρωνα δηλονότι. βούλεται δὲ λέγειν, ὅτι καὶ νοσοῦντα αὐτὸν πολλοὶ τῶν ὑπερηφάνων ἐκολάκευσαν. § Ἄλλως. αἰνίττεται δὲ τοῦτο εἰς Ἀναξίλαον τὸν τῶν Ῥηγίνων βασιλέα βουληθέντα Λοκροὺς καταπολεμῆσαι τοὺς ἐν Ἰταλίᾳ καὶ ἐμποδισθέντα τῇ τοῦ Ἱέρωνος ἀπειλῇ. ὅτι δὲ Ἀναξίλαος Λοκροὺς ἠθέλησεν ἄρδην ἀπολέσαι καὶ ἐκωλύθη πρὸς Ἱέρωνος, ἱστορεῖ καὶ Ἐπίχαρμος ἐν Νάσοις. § ἕτεροι δὲ τὸν Θήρωνα λέγειν ἔφασαν, ὡς τοῦ Θήρωνος μεγάλα μὲν δυναμένου, κολακεύοντος δὲ τὸν Ἱέρωνα.

100. Φαντὶ δὲ Λαμνόθεν] ταύτῃ τῇ ἱστορίᾳ καὶ Βακχυλίδης συμφωνεῖ ἐν τοῖς Διθυράμβοις, ὅτι δὴ οἱ Ἕλληνες ἐκ Λήμνου μετεστέλλαντο τὸν Φιλοκτήτην Ἑλένου μαντευσαμένου. εἵμαρτο γὰρ ἄνευ τῶν Ἡρακλείων τόξων μὴ πορθηθῆναι τὴν Ἴλιον.

101. Μεταλλάσσοντας] ἐπιζητήσοντας· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τὰ μέταλλα ἐπιζητούντων. ἐπειδὴ δὲ διὰ τὸ πάθος τῷ Φιλοκτήτῃ τὸν Ἱέρωνα εἴκασε, τῇ ἐπεξεργασίᾳ χρώμενος ἐπιπλέον αἴρει τὰ ἐγκώμια. ὁ δὲ νοῦς· φασὶ δὲ ἐκ Λήμνου τῷ ἕλκει καταπονούμενον τὸν τοῦ Ποίαντος υἱὸν τοξότην ἐπιζητήσοντας ἔλθεῖν τοὺς ἰσοθέους ἥρωας.

105. Ὅς Πριάμοιο πόλιν πέρσεν] ὅστις Φιλοκτήτης τὴν Ἴλιον ἐπόρθησε καὶ ἐπὶ τέλος ἤγαγε τοῖς Ἕλλησι τοὺς πόνους· ἀνεῖλε γὰρ τὸν Πάριν· ἀσθενεῖ μὲν καὶ ἀδυνάτῳ σώματι βαδίζων, ἀλλὰ μεμοιραμένον ἦν τὸ τὴν Ἴλιον ἁλῶναι τοῖς Ἡρακλείοις τόξοις.

Digitized by Google

109. Οὕτω δ' Ἱέρωνι θεός] οὕτω δὲ, φησὶ, τῷ Ἱέρωνι ὁ θεὸς ὀρθωτὴρ καὶ ἰατὴρ γένοιτο, ὡς καὶ τῷ Φιλοκτήτῃ. φησὶ γὰρ Διονύσιος χρησμοῖς Ἀπόλλωνος ἀπολουσάμενον τὸν Φιλοκτήτην ἀφυπνῶσαι, τὸν δὲ Μαχάονα ἀφελόντα τοῦ ἕλκους τὰς διασαπείσας σάρκας καὶ ἐπικλύσαντα οἴνῳ τὸ τραῦμα ἐπιπάσαι βοτάνην, ἣν Ἀσκληπιὸς εἰλήφει παρὰ Χείρωνος, καὶ οὕτως ὑγιασθῆναι τὸν ἥρωα. § Ἄλλως. Οὕτω δ' Ἱέρωνι θεός] οὕτως οὖν καὶ τῷ Ἱέρωνι ὡς τῷ Φιλοκτήτῃ ὁ θεὸς ὀρθωτὴρ καὶ ὑγείας αἴτιος γένοιτο εἰς τὸν ἐσόμενον χρόνον, ὧν ἐπιθυμεῖ εὐχέρειαν παρεχόμενος. § Ἄλλως. οὕτω δὲ τῷ Ἱέρωνι ὀρθωτὴρ καὶ θεραπευτὴς καὶ ἰατὴρ ὁ θεὸς γένοιτο ὡς καὶ τῷ Φιλοκτήτῃ.

112. Μοῖσα καὶ πὰρ Δεινομένει] ὦ Μοῦσα, πείθου μοι χορεῦσαι καὶ παρὰ τῷ Ἱέρωνος υἱῷ Δεινομένει, ποινὴν καὶ ἀντέκτισιν τῷ νικηφόρῳ ἅρματι παρεχομένη τὸ ἐγκώμιον. οὐ γὰρ ἀλλοτρία ἡδονὴ τῷ παιδὶ ἢ τοῦ πατρὸς νίκη. Δεινομένης δὲ υἱὸς Ἱέρωνος ἐκ τῆς Νικοκλέους τοῦ Συρακουσίου θυγατρὸς κατὰ Φίλιστον καὶ Τίμαιον· ἐκ γὰρ τῆς Ἀναξιλάου θυγατρὸς καὶ τῆς Θήρωνος ἀνεψιᾶς οὐκ ἐπαιδοποίησεν ὁ Ἱέρων προγήμας ταύτην· ὅθεν ἐστὶ καὶ ὁ παῖς ὁμώνυμος τῷ πάππῳ· Δεινομένης γὰρ ὁ πατὴρ Ἱέρωνος.

116. Ἄγ' ἔπειτ' Αἴτνας] ἄγε τοίνυν, ὦ Μοῦσα, ἐπὶ τῷ τῆς Αἴτνης βασιλεῖ Δεινομένει προσφιλέστατον ἀνεύρωμεν ὕμνον.

118. Τῷ πόλιν κείναν] ᾧτινι Δεινομένει, ὁ Ἱέρων δηλονότι, τὴν Αἴτνην ἔκτισε καὶ διοικεῖν ἔδωκε σὺν θείᾳ ἐλευθερίᾳ, καὶ τοῖς νόμοις τῆς Δωρίου δικαιοσύνης, ἀπὸ κοινοῦ τὸ, διοικεῖν ἔδωκεν. § Ἄλλως. ἀνακτίσας τὴν Κατάνην ὁ Ἱέρων καὶ Αἴτνην μετονομάσας διοικεῖν Δεινομένει τῷ υἱῷ ταύτην δέδωκεν. § Ἄλλως. τῷ Δεινομένει Ἱέρων Αἴτναν παραδέδωκεν ἐν νόμοις τῆς Δωρίδος στάθμης. τοῦτο δὲ λέγει, ἐπεὶ στρατηγὸν αὐτῆς κατέστησεν αὐτὸν, ἐλευθέρους ἀφεὶς τοὺς Αἰτναίους καὶ τοῖς Λακωνικοῖς τρόποις ἢ νόμοις χρωμένους.

120. Ὑλλίδος στάθμας] νόμῳ τῆς Δωρίδος δικαιοσύνης ἀπὸ Ὕλλου τοῦ ἐπιφανεστάτου τῶν Δωριέων, ὃς ἐβασίλευσε τῶν περὶ Ἰταλίαν οἰκησάντων. ἔνιοι δὲ τὸ Ὑλλίδος στάθμας τῆς Λυκούργου φασὶ νομοθεσίας. οὗτος γὰρ ἑνδέκατός ἐστιν ἀπὸ Ἡρακλέους, ὡς Ἔφορος ἱστορεῖ. ὁ οὖν Ἱέρων Γελώους καὶ Μεγαρεῖς καὶ Συρακουσίους ὄντας τῶν Δωριέων ἀποίκους ἐνῴκισε τῇ Αἴτνῃ. καὶ οὕτως ἂν ὁ λόγος ἀκολούθως ἔχοι, ὡς Δωριεῦσιν οὖσιν Αἰτναίοις καὶ Λακωνικοὺς νόμους θέσθαι τὸν Ἱέρωνα.

121. Θέλοντι δὲ Παμφύλου] Πάμφυλος καὶ Δύμας καὶ Δῶρος υἱοὶ Αἰγιμιοῦ, ἀφ' ὧν Παμφυλὶς καὶ Δυμανὶς φυλαὶ ἐν Λακεδαίμονι. ὁ δὲ νοῦς· θέλουσι δὲ οἱ Ὑλλίδαι, τουτέστιν οἱ Λακεδαιμόνιοι, ἀπὸ Ἡρακλέους καὶ Παμφύλου κατάγεσθαι. § Ἄλλως. οἱ Δωριεῖς οἰκοῦντες πρότερον τὴν Πίνδον μίαν οὖσαν τῆς τετραπόλεως τῆς ἐν Περραιβίᾳ ἀφικνοῦνται εἰς τὴν μεταξὺ Οἴτης καὶ Παρνασσοῦ Δωρίδα ἑξάπολιν οὖσαν· ἐστὶ δὲ Ἐρινεὸν, Κύτινον, [1]) Βοιὸν, Λίλαιον, Κάρφαια, Δρυόπη· ἐκ δὲ τούτων σὺν τοῖς Ἡρακλείδαις εἰς Λακεδαίμονα κατέρχονται. ὁ δὲ νοῦς ἐπαμφοτερίζει. θέλουσι δὲ οἱ ἀπὸ Παμφύλου Ἡρακλέους ἀπόγονοι Δωριεῖς οἱ παρὰ ταῖς ὄχθαις τοῦ Ταϋγέτου ὄρους μένοντες ἐμμένειν τοῖς Αἰγιμιοῦ νόμοις.

[1]) Heynius monet legendum Ἐρινεὸς, Κυτίνιον.

Digitized by Google

123. Ὄχθαις ὕπο Ταϋγέτου] Ταΰγετον ὄρος Λακωνικὸν, οὗ καὶ Ὅμηρος [1]) μέμνηται· Ἢ κατὰ Τηΰγετον περιμήκετον.

125. Ἔσχον δ' Ἀμύκλας] κατέσχον τὴν Σπάρτην· ἀπὸ μιᾶς γὰρ πόλεως τὴν πᾶσαν ἐμφαίνει Λακωνικήν.

126. Πινδόθεν λέγει, ὅτι οἱ Δωριεῖς διὰ Πίνδου τὴν κάθοδον ποιησάμενοι εὐχερῶς τῆς Πελοποννήσου ἐγένοντο ἐγκρατεῖς. Πίνδος δὲ Περῥαιβίας ὄρος. § Ἄλλως. Πινδόθεν τοὺς Ἡρακλείδας θέλει λέγειν ὁρμῆσαι, καθ' ὃν χρόνον ἀνεκτήσαντο τὴν Πελοπόννησον καὶ Λακωνικήν.

127. Βαθύδοξοι γείτονες] ἔδει σύνοικοι εἰπεῖν. ἀλλὰ ῥητέον, ὅτι ἱστοροῦσί τινες τοὺς Διοσκούρους μετῳκηκέναι εἰς Ἄργος· γειτνιᾷ δὲ τὸ Ἄργος τῇ Λακεδαίμονι. καὶ οὕτως ὁ Πίνδαρος κατὰ λόγον γείτονάς φησι τοὺς Λακεδαιμονίους τῶν Διοσκούρων.

130. Ζεῦ τέλει] ὦ Ζεῦ τέλειε, διαπαντὸς τοῖς Αἰτναίοις τοῖς περιοικοῦσι τὸν Ἀμένη [2]) ποταμὸν τοιαύτην μερίδα βασιλεῦσί τε καὶ δημόταις παράσχου, ὥστε τὸν τῶν ἀνθρώπων λόγον διακρίνειν τοῦτο καὶ ἀληθὲς ἀποφαίνειν, ὅτι ἐν ἐλευθερίᾳ εἰσίν. οἱ δέ· τοιαύτην μοῖραν τοῖς Αἰτναίοις ἀνδρείας, οἵαν καὶ Λακεδαιμόνιοι κατὰ πόλεμον ἔχουσιν. [3]) § ἀστοῖς] τουτέστι τοῖς βασιλεῦσι καὶ τοῖς ἀστοῖς μερίδα εὐτυχίας.

134. Σύν τοι τίν κεν ἁγητήρ] σὺν σοὶ, ὦ Ζεῦ, ὁ βασιλεὺς τῆς Σικελίας ὁ Ἱέρων τῷ ἑαυτοῦ υἱῷ Δεινομένει ἐντελλόμενος τὸν τῶν Αἰτναίων δῆμον ἐπιτρέπει διαπαντὸς εἰς σύμφωνον καὶ εἰρηναίαν ἡσυχίαν.

137. Λίσσομαι, νεῦσον Κρονίων] καθικετεύω σε, ὦ Κρόνου παῖ Ζεῦ, ἐπίνευσον, ὅπως ὅ τε τῶν Φοινίκων καὶ ὁ τῶν Καρχηδονίων καὶ Τυρσηνῶν θόρυβος ἥσυχον καὶ εἰρηναῖον ἔχῃ τὸν οἶκον· ἐπίνευσον θεασάμενος τὴν πρὸ τῆς Κύμης ναυμαχίαν, ἃ καταπολεμηθέντες ὑπὸ τῷ Ἱέρωνι πεπόνθασιν. § Ἄλλως. χαριέστατα ἐκ τοῦ θορύβου τὴν τῶν βαρβάρων ἀκοσμίαν ὑπεστήσατο, ὡς καὶ Ὅμηρος· [4])

Ὡς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει.

§ Ἄλλως. Τυρσηνοὶ καὶ Καρχηδόνιοι, οἵ εἰσι Φοινίκων ἄποικοι, διεμάχοντο πρὸς Κυμαίους· μελλόντων οὖν ἄρδην ἀπόλλυσθαι τῶν Κυμαίων, Ἱέρων συμμαχήσας τοὺς μὲν Κυμαίους διέσωσε, τῶν δὲ Τυρσηνῶν τοὺς πλείστους ἀπώλεσε. κατεύχεται οὖν ὁ Πίνδαρος εἰρηνικὰ καὶ ἀστασίαστα μένειν λοιπὸν τὰ πράγματα Καρχηδονίοις καὶ Σικελιώταις.

142. Οἷα Συρακοσίων] ὁποῖα γὰρ ὑπὸ τῷ ἄρχοντι καὶ βασιλεῖ τῶν Συρακουσίων Ἱέρωνι ἀναιρεθέντες πεπόνθασιν οἱ Καρχηδόνιοι καὶ Τυρσηνοί.

145. Ὅς σφιν ἐν πόντῳ] ὅστις ὁ Ἱέρων ἀπὸ τῶν ταχειῶν νεῶν ἐνέβαλε τῇ θαλάσσῃ πᾶσαν τὴν ἡλικίαν.

146. Ἑλλάδ' ἐξέλκων] ἔνιοι μὲν Ἑλλάδα τὴν ἐν Σικελίᾳ ἤκουσαν, ἔνιοι δὲ Ἑλλάδα τὴν Ἀττικήν. ἱστορεῖται γάρ τι τοιοῦτον, ὅτι Ξέρξου μέλλοντος στρατεύειν ἐπὶ

1) Odyss. ζ, 103. 2) Ἀμέναν dicendum fuit. Monuit Heynius. 3) Haec vulgo corruptissima leni mutatione restitui, mutato θεῖαν (ita Gott.) in οἵαν et dativo Λακεδαιμονίοις in nominativum. Cetera δίδου τοῖς βασιλεῦσι καὶ ἀστοῖς μοῖραν εὐτυχίας, quae olim prioribus annexa erant, cum Gott. separavi, ex quo paullo aliter edidi. 4) Iliad. δ, 436.

Digitized by Google

τὴν Ἑλλάδα πρέσβεις ἦλθον πρὸς Καρχηδονίους κελεύοντες πλεῖν ἐπὶ Σικελίαν καὶ τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας καταστρέφεσθαι, καὶ οὕτως ὁρμᾶν ἐπὶ τὴν Πελοπόννησον. οἱ μὲν οὖν Καρχηδόνιοι ὑπήκουσαν. κατὰ δὲ τὸν αὐτὸν χρόνον πρὸς Ἱέρωνα πρέσβεις ἦλθον παρ' Ἀθηναίων ἀξιοῦντες συμμαχεῖν τοῖς Ἕλλησιν· οἷς ὑπήκουσαν οἱ περὶ τὸν Γέλωνα, καὶ κατασκευασάμενοι διακοσίας ναῦς καὶ δισχιλίους ἱππέας καὶ μυρίους πεζοὺς τὸν τῶν Καρχηδονίων στόλον κατεναυμάχησαν κατὰ τῆς Σικελίας ὁρμῶντα, ὥστε καὶ τοὺς Σικελιώτας καὶ τοὺς ἄλλους Ἕλληνας ἐλευθερῶσαι. § Ἄλλως. ἔνιοι μὲν Ἑλλάδα τὴν Σικελίαν ἤκουσαν, τινὲς δὲ Ἑλλάδα τὴν Ἀττικήν. εἰκὸς δὲ ταῖς Ἐφόρου ἱστορίαις ἐντυχόντα [1]) τὸν Πίνδαρον ἐξηκολουθηκέναι αὐτὸν αὐτῷ. ἱστορεῖ γὰρ Ἔφορος τοιοῦτον, ὅτι παρασκευαζομένου Ξέρξου τὸν ἐπὶ τῇ Ἑλλάδι στόλον, πρέσβεις παραγενέσθαι πρὸς Γέλωνα τὸν τύραννον ἱκετεύοντας εἰς τὸν τῶν Ἑλλήνων σύλλογον ἐλθεῖν· ἐκ δὲ Περσῶν καὶ Φοινίκων πρέσβεις πρὸς Καρχηδονίους, προστάσσοντας ὡς πλεῖστον δέοι στόλον· εἰς Σικελίαν τε βαδίζειν καὶ [2]) καταστρεψαμένους τοὺς τὰ τῶν Ἑλλήνων φρονοῦντας πλεῖν ἐπὶ Πελοπόννησον. ἀμφοτέρων δὲ τὸν λόγον ὑποδεξαμένων, καὶ τοῦ μὲν Ἱέρωνος συμμαχῆσαι τοῖς Ἕλλησι προθυμουμένου, τῶν δὲ Καρχηδονίων ἑτοίμων ὄντων συμπρᾶξαι τῷ Ξέρξῃ, Γέλωνα διακοσίας ναῦς εὐτρεπίσαντα καὶ δισχιλίους ἱππεῖς καὶ πεζοὺς μυρίους κατακοῦσαι στόλον Καρχηδονίων πλέοντα ἐπὶ Σικελίαν καὶ διαμαχησάμενον μὴ μόνον τοὺς Σικελιώτας ἐλευθερῶσαι, ἀλλὰ καὶ τὴν Ἑλλάδα σύμπασαν. εἰκὸς οὖν ταύτῃ τῇ ἱστορίᾳ ἐντετυχηκέναι τὸν Πίνδαρον.

147. Αἱρέομαι πάρ μὲν Σαλαμῖνος] αἱροῦμαι καὶ ἀποδέχομαι, φησὶ, τὴν παρὰ Σαλαμῖνος καὶ Ἀθηναίων χάριν καὶ μισθὸν, ὅτι ἐκινδύνευσαν ὑπὲρ πάσης τῆς Ἑλλάδος. § Ἄλλως. λαμβάνω καὶ λογίζομαι σωτηρίαν τῆς Ἑλλάδος τὴν τῶν Ἀθηναίων νίκην. § Ἄλλως. αἱροῦμαι, φησὶ, τὴν τῆς Ἑλλάδος σωτηρίαν τὸν παρ' Ἀθηναίων μισθόν· τουτέστιν ἡ παρὰ Σαλαμῖνος χάρις. λαμβάνω τὴν χάριν, τουτέστι τῆς Σαλαμῖνος τὴν μάχην, εἰς μισθὸν καὶ εἰς σωτηρίαν τῆς Ἑλλάδος παρὰ τῶν Ἀθηναίων. οἱ γὰρ Ἀθηναῖοι εἰς Σαλαμῖνα ναυμαχήσαντες πρὸς τοὺς Πέρσας ἔσωσαν τὴν Ἑλλάδα.

149. Ἐν Σπάρτᾳ δ' ἐρέω] αἱροῦμαι καὶ ἀποδέχομαι, φησὶ, τὴν πρὸ Κιθαιρῶνος μάχην τῶν Σπαρτιατῶν, καθ' ἣν οἱ τοξόται τῶν πεζικῶν ἡγούμενοι περὶ Πλαταιὰς τὴν πεζικὴν ἀνετρέψαντο δύναμιν.

152. Πὰρ δὲ τὰν εὔυδρον ἀκτὰν Ἱμέρα] Ἱμέρας ποταμὸς Σικελίας, περὶ οὗ καὶ Αἰσχύλος φησὶν ἐν Γλαύκῳ·

Καλοῖσι λουτροῖς ἐκλέλουμαι [3]) δέμας
Εἰς ὑψίκρημνον Ἱμέραν δ' ἀφικόμην.

§ παρὰ δὲ τὴν εὔυδρον ἀκτὴν τοῦ Ἱμέρα ποταμοῦ τὸν ὕμνον τοῖς τοῦ Δεινομένους παισὶ τελέσας, ἀπὸ κοινοῦ τὸ αἱρέομαι, ὅ ἐστιν ἐπιθυμῶ.

155. Τὸν ἐδέξαντο] ὅντινα ὕμνον ἐδέξαντο παρὰ τῇ ἑαυτῶν ἀρετῇ τῶν πολεμίων ἀναιρεθέντων. § Ἄλλως. ὅντινα ὕμνον ἐδέξαντο νικήσαντες τοὺς Καρχηδονίους.

1) Quale hoc portentum est et quam indocti ingenii suboles! 2) Addidi καὶ de coniectura. 3) Corrigitur ἐκλέλουμαι μὲν et ἐκλελουμένος, hoc deleta particula δὲ post Ἱμέραν.

Digitized by Google

φασὶ δὲ τὸν Γέλωνα τοὺς ἀδελφοὺς φιλοφρονούμενον ἀναθεῖναι τῷ θεῷ χρυσοῦς τρίποδας ἐπιγράψαντα ταῦτα· [1])

Φημὶ Γέλων', Ἱέρωνα, Πολύζηλον, Θρασύβουλον,
Παῖδας Δεινομένευς τοὺς τρίποδας θέμεναι,
Βάρβαρα νικήσαντας ἔθνη, πολλὴν δὲ παρασχεῖν
Σύμμαχον Ἕλλησιν χεῖρ' ἐς ἐλευθερίην.

157. Καιρὸν εἰ φθέγξαιο] οἱ μέν φασι τὴν κατὰ πρόθεσιν λείπειν, ἵν' ᾖ· κατὰ καιρὸν εἰ φθέγξαιο, ἢ καιρίως λέγων, τῆς πολυλογίας τὰ πέρατα εἰς ἓν συντείνας καὶ συμπλέξας, ἐκφύγοις ἂν τὸν φθόνον. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν δικτύων. τὸ δὲ ἑξῆς· εἰ ἐν βραχεῖ φθέγξαιο κατὰ καιρὸν, πολλῶν πείρατα συντανύσας, μείων ἕπεται μῶμος ἀνθρώπων. § Ἄλλως. αἰσθάνεται ἑαυτοῦ ἐκπεπτωκότος. ὁ δὲ νοῦς οὕτως· εἰ τὰ καίρια λέγεις τῶν πολλῶν τὰ πέρατα εἰς ἓν συντεμὼν καὶ συμπλέξας, οὐκ ἀκολουθήσει σοι μέμψις οὐδὲ φθόνος. ὁ γὰρ διηνεκὴς κόρος καὶ ἡ μακρολογία τὰς τῶν ἀνθρώπων ταχείας καὶ μικροψύχους διανοίας ἀμβλύνει. § Ἄλλως. ὁ γὰρ κόρος καὶ ἡ μακρολογία ἀμβλύνει τὰς τῶν ἀκουόντων διανοίας.

162. Ἀστῶν δ' ἀκοά] ἡ δὲ τῶν πολιτῶν, φησὶν, ἀκοὴ κρυφίως λυπεῖ τὴν ψυχὴν ἐπὶ τοῖς ἀλλοτρίοις τῶν πολιτῶν κατορθώμασιν. ἀλλήλοις γὰρ ὡς ἔπιτο πλεῖστον φθονοῦσιν. § Ἄλλως. ἀντὶ τοῦ λυποῦνται οἱ πολῖται ἐπὶ τοῖς τῶν ἀλλοτρίων καλοῖς· καὶ ἐπὶ τοῖς σοῖς, Ἱέρων, καλοῖς φθονοῦσί τινες.

164. Ἀλλ' ὅμως, κρέσσων γάρ] ἀλλ' ὅμως βέλτιον φθονεῖσθαι ἤπερ οἰκτείρεσθαι.

165. Μὴ παρίει καλά] μὴ οὖν παρέλκου μηδὲ παρόρα τὰ καλὰ, ὦ Ἱέρων, διὰ τὸν φθόνον, ἀλλὰ τὸν νῦν τεταγμένον σοι δῆμον δικαίῳ καὶ ἀγαθῷ κυβέρνα πηδαλίῳ. τὸ νώμα γὰρ ἀντὶ τοῦ κυβέρνα.

167. Ἀψευδεῖ δὲ πρὸς ἄκμονι] σκληρῶς ἄκμονα τὸ στόμα ἀπὸ μεταφορᾶς τῶν χαλκευόντων ἔφη· πρὸς ἄκμονα δὲ ἀψευδῆ χάλκευε τὴν γλῶσσαν· ὅ ἐστι, φιλαλήθης ἔσο. § Ἄλλως. ἀντὶ τοῦ ἀλήθευε. ἴσως δέ τι ἐπηγγείλατο τῷ Πινδάρῳ ὁ Ἱέρων.

169. Εἴ τι καὶ φλαῦρον] λείπει ὁ γάρ· ἐὰν γάρ τι καὶ εὐτελὲς παρὰ σοῦ λεχθῇ καὶ ὁρμήσῃ, τοῦτο μέγα καὶ δι' πάντων φέρεται. φησὶ δὲ μεγάλα εἶναι τὰ τῶν ἀρχόντων ἁμαρτήματα, κἂν εὐτελῆ τυγχάνῃ. εἰ καί τι οὖν εὐτελὲς ἁμάρτῃς, καὶ τοῦτο μέγιστον ἔσται.

171. Πολλῶν ταμίας] πολλῶν γὰρ βασιλεὺς τυγχάνεις καὶ δεσπότης καὶ διοικητής. βασιλεὺς γὰρ ἦν.

172. Πολλοὶ μάρτυρες ἀμφοτέροισι] τῷ τε ἀληθεῖ καὶ τῷ ψευδεῖ· ἢ σοὶ καὶ τῷ υἱῷ. ὁ δὲ Σιδώνιος, [2]) σοὶ καὶ τοῖς ὑποτεταγμένοις.

173. Εὐανθεῖ δ' ἐν ὀργᾷ] εὐγενεῖ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν εὐγενῶν φυτῶν.

[1]) Brunck. Anal. T. I, p. 134. Simon. Fragm. 45. [2]) In Indice Heyniano coniicitur Διονύσιος. Sed *Dionysius Sidonius* significatur, quem vulgo simpliciter Sidonium vocari monui in Praefatione.

Digitized by Google

εὐγενεῖ δὲ, φησὶ, τρόπῳ περιμένων, εἰ δή τι φιλεῖς τὴν ἡδεῖαν τῶν ἐγκωμίων ἀκοὴν, μὴ ἀπόκαμνε πρὸς τὰς δαπάνας. ἐκ δὲ τούτου προτρέπεται τὸν Ἱέρωνα μισθὸν αὐτῷ παρασχεῖν τοῦ ἐπινίκου χάριν.

176. Ἑξίει δ' ὥστε κυβερνάτας ἀνήρ] ὥσπερ δὲ κυβερνήτης ἄριστος, ἔα πρὸς πνεῦμα τὸ ἱστίον. τροπικῶς δὲ οὕτω φησὶν, ἵνα ἱστίον μὲν τὸν μισθὸν, πνεῦμα δὲ τὰ ἐγκώμια ἀκούσωμεν.

178. Μὴ δολωθῇς] μὴ δολωθῇς, φησὶν, ὦ προσφιλέστατε Ἱέρων, τῇ ἐχθροτάτῃ φιλοκερδείᾳ.

179. Ὀπισθόμβροτον] τὸ φροντίδος ἀξιούμενον ὑπὸ τῶν μετὰ ταῦτα ἀνθρώπων, τὸ μετὰ ταῦτα καὶ μετὰ θάνατον λεγόμενον ἐγκώμιον. § Ἄλλως. τὸ μετὰ ταῦτα ἐσόμενον ἐκ τῆς δόξης καύχημα, ὅπερ μόνον τῶν τεθνηκότων ἀνδρῶν τὸν βίον καταμηνύει.

181. Οἷον ἀποιχομένων] ὅπερ μόνον τῶν τεθνηκότων ἀνθρώπων τὸν βίον καταμηνύει τοῖς τε λογίοις καὶ ποιηταῖς. οἱ δὲ οὕτω· τὸ μετὰ ταῦτα ἐσόμενον τῆς δόξης καύχημα μόνον τῶν τεθνηκότων ἀνθρώπων τὸν βίον καταμηνύει τοῖς τε λογίοις καὶ ἀοιδοῖς, λογίοις μὲν τοῖς πεζογράφοις, ἀοιδοῖς δὲ τοῖς ποιηταῖς.

184. Οὐ φθίνει Κροίσου] οὐδαμῶς φθείρεται, φησὶ, καὶ λήθην λαμβάνει ἡ τοῦ Κροίσου φιλοφρονητικὴ ἀρετή. ὅτι δὲ πλούσιος καὶ φιλόφρων ὁ Κροῖσος ἦν, δῆλος ὁ λόγος.

185. Τὸν δὲ ταύρῳ] κατὰ δὲ τοὐναντίον, φησὶ, Φάλαριν τὸν ἐν τῷ χαλκῷ βοῖ κατακαύσαντα τοὺς ἀνθρώπους αἰσχρὰ φάτις ἔχει. τὸν δὲ τοῦ Φαλάριδος ταῦρον οἱ Ἀκραγαντῖνοι κατεπόντωσαν, ὥς φησι Τίμαιος· τὸν γὰρ ἐν τῇ πόλει δεικνύμενον μὴ εἶναι τοῦ Φαλάριδος, καθάπερ ἡ πολλῶν κατέχει δόξα, ἀλλ' εἰκόνα Γέλα [1]) τοῦ ποταμοῦ. κατασκευάσαι δὲ αὐτόν φασι Περίλαον καὶ πρῶτον ἐν αὐτῷ κατακαῆναι. καὶ Καλλίμαχος· [2])

Πρῶτος ἐπεὶ τὸν ταῦρον ἐκαίνισεν, ὃς τὸν ὄλεθρον
Εὗρε τὸν ἐν χαλκῷ καὶ πυρὶ γιγνόμενον.

§ ὁ δὲ νοῦς· τοῦ μὲν Κροίσου οὐδαμῶς φθείρεται ἡ φιλοφρονητικὴ ἀρετὴ, τὸν δὲ χαλκῷ ταύρῳ τῶν ξένων καυστῆρα· καὶ ἀνηλεῆ τὸν νοῦν Φάλαριν αἰσχρὰ πανταχοῦ κατέχει φήμη.

1) Sic diserte Gott. vulgo εἰκών ἐστι Γέλωνος. Conf. Bentl. Diss. Phalar. p. 438. Lips. Wessel. ad Diod. XIII, 90. Goeller. Hist. Syrac. p. 272 sqq. Eckhel. D. N. T. I, p. 134. Neque tamen his scriptoribus in omnibus assentior. Nempe Timaeus dixerat Phalaridis taurum fuisse quidem olim, sed neque Carthaginem translatum esse neque Agrigenti conspici, sed ab Agrigentinis esse submersum. Postremum omittit Polybius XII, 25. qui ipse passim scriptores veteres falsis argumentis refutat, qua de re apertum exemplum protuli de Oecon. Athen. T. II, p. 21 sqq. Mox Polybium compilans negligens Diodorus XIII, 90. negatum a Timaeo dicit, fuisse unquam Phalaridis taurum, cuius rei Polybius Timaeum disertis quidem verbis insimulare non ausus erat, quamquam hoc per ambages verborum significat. Tamen erravit Timaeus: nam posterior aetas docuit, Phalaridis taurum non submersum, sed Carthaginem translatum fuisse (v. Polyb. Diod. Cic. Verr. IV, 33.): id tamen recte dixerat Timaeus, quem taurum tum Agrigentini ostentabant, non Phalarideum esse, sed Gelae fluvii simulacrum. 2) Fragm. 119.

Digitized by Google

188. Οὐδέ μιν φόρμιγγες] οὐδὲ αὐτὸν, φησὶ, τὸν Φάλαριν αἱ ἐποικίδιαι κιθάραι παρὰ συμποσίοις καὶ δείπνοις εἰς κοινωνίαν ἡδεῖαν δέχονται· λείπει γὰρ τῷ λόγῳ ἡ εἰς πρόθεσις· ταῖς τῶν παίδων ὁμιλίαις καὶ τοῖς ὕμνοις. τουτέστιν οὐδέποτε τὸν Φάλαριν ἐν συμποσίοις παῖδες ὑμνοῦσιν.

191. Τὸ δὲ παθεῖν εὖ] τὸ δὲ ἐπιτυχεῖν ἄθλων καὶ ἀγῶνος καὶ εὖ πρᾶξαι πρωτεύει· ἀνυμνεῖσθαι δὲ νικήσαντα δευτέρα μοῖρα. ἀμφοτέροις δὲ τούτοις ὃς ἂν ἐπιτύχῃ καὶ κρατήσῃ, στέφανον ὑψηλότατον δέχεται.

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Β'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δευτέρου τῶν Πυθίων εἴδους.

Τῆς δευτέρας ᾠδῆς ἡ μὲν στροφὴ καὶ ἀντίστροφος κώλων ιε'. Τὸ α' δίμετρον τροχαϊκὸν καταληκτικὸν λελυμένους ἔχον τοὺς δύο πόδας. Τὸ β' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ γ' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ε' χοριαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ς' ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ζ' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν, τῆς πρώτης συλλαβῆς διαφόρου οὔσης. Τὸ η' χοριαμβικὸν τρίμετρον ἀκατάληκτον. Τὸ θ' τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ ι' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' μονόμετρον ἀναπαιστικόν. Τὸ ιβ' δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ιγ' τρίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ ιδ' δίμετρον τροχαϊκὸν καταληκτικὸν Εὐριπίδειον. Τὸ ιε' πενθημιμερὲς ἰαμβικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιδ'. Τὸ α' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ β' δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ γ' δίμετρον χοριαμβικὸν καταληκτικόν. Τὸ δ' τρίμετρον ἀντισπαστικὸν ἀκατάληκτον, ἀπὸ ἰαμβικῆς ἀρχόμενον καὶ κατακλειόμενον ἰαμβικῇ. Τὸ ε' παιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ς' Γλυκώνειον, τοῦ πρώτου ποδὸς ἀδιαφόρου, εἶτα τροχαίου, εἶτα διϊάμβου. Τὸ ζ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Πινδαρικὸν, ἀπὸ τροχαίου εἰς τροχαῖον. Τὸ η' σύνθετον ἀπὸ παίωνος καὶ διμέτρου Ἰωνικοῦ ἀκαταλήκτου, τοῦ δὲ ἀνακλωμένου καὶ τοῦ ἀπὸ μείζονος. Τὸ θ' πενθημιμερὲς ἰαμβικόν. Τὸ ι' Ἰωνικὸν δίμετρον κατακλειόμενον, ἐκ τροχαϊκῆς διποδίας. Τὸ ια' χοριαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ ιβ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ'

Digitized by Google

Πινδαρικὸν, διὰ τὸ πολλάκις τὸν Πίνδαρον αὐτῷ κεχρῆσθαι. σύγκειται δὲ ἐξ ἀντισπάστου καὶ χοριάμβου καὶ ἰάμβου καὶ συλλαβῆς. Τὸ ιδ' Ἰωνικὸν ἀπὸ μείζονος ἀκατάληκτον.

Τῷ αὐτῷ Ἱέρωνι ἅρματι.] Καὶ οὗτος ὁ ἐπίνικος γέγραπται μὲν Ἱέρωνι νικήσαντι ἅρματι, ἄδηλον δὲ εἰς ποῖον ἀγῶνα· διεστασίασται γὰρ οὐ μετρίως τοῖς πρὸ ἡμῶν. οἱ μὲν γὰρ οὐδὲ ὅλως ἐπίνικον αὐτὸν εἶναί φασι, Τίμαιος δὲ θυσιατήριον, [1]) Καλλίμαχος δὲ Νεμεακὸν, Ἀμμώνιος δὲ καὶ Καλλίστρατος Ὀλυμπιακὸν, ἔνιοι Πυθικὸν, [2]) ὡς Ἀπολλώνιος ὁ εἰδογράφος, [3]) ἔνιοι δὲ Παναθηναϊκόν. αὐτίκα γοῦν Διονύσιος ὁ Φασηλίτης οὐκ οἴεται δεῖν γράφεσθαι Τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν, [4]) ἀλλὰ Τᾶν λιπαρᾶν ἀπ' Ἀθηνᾶν διὰ τὸ Παναθηναϊκὸν εἶναι τὸν ἐπίνικον· καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ τὰς μὲν Ἀθήνας λιπαρὰς προσαγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους καὶ εὐαρμάτους καὶ λευκίππους καὶ κυανάμπυκας· τέλεον εὐχερής τις ὤν. καὶ γὰρ καὶ ἄλλας πλείους λιπαρὰς καλεῖ, ὥσπερ τὴν Σμύρναν· Καὶ λιπαρῷ Σμυρναίῳ ἄστει· καὶ τὴν Αἴγυπτον ἐν Διθυράμβοις· Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον. [5]) καὶ τὰς Θήβας δέ που εἶπε λιπαράς· Λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον. ἄλλως τε εὔηθες ἀπὸ τῶν Ἀθηνῶν φάναι τῷ Ἱέρωνι τὸ μέλος φέρεσθαι. οὐ γὰρ τὸ μέλος, ἀλλ' ἡ νίκη αὐτῷ Ἀθήνηθεν ἀφικνεῖται· ὁ δὲ Πίνδαρος οὐκ Ἀθηναῖος, ἀλλὰ Θηβαῖος, ὥστε ἀπὸ Θηβᾶν δεῖ γράφεσθαι, ὅθεν ἦν ὁ Πίνδαρος ὁ τὸ ποίημα συνθείς.

1. Μεγαλοπόλιες] μεγαλοπόλιας εἶπε τὰς Συρακούσας, ἐπειδὴ Ἀρχίας τέσσαρας πόλεις καταστρεψάμενος εἰς μίαν συνήγαγεν. εἰσὶ δὲ αὗται· Ἀχραδίνη, Νεάπολις, Ἐπιπολαὶ, Τύχη. οὐκ ἐκ τοῦ παρατυχόντος οὖν μεγαλοπόλιας εἶπε τὰς Συρακούσας. § Ἄλλως. ὦ μεγαλοπόλιες Συράκουσαι τοῦ μεγαλοπολέμου Ἄρεος τέμενος οὖσαι, ἀντὶ τοῦ ἀνδρεῖοι ὄντες.

3. Ἀνδρῶν ἵππων τε] ἀνδρῶν σιδήρῳ καὶ ἵπποις χαιρόντων καὶ πολεμικῶν τροφοὶ οὖσαι δαιμόνιαι. τοῦτο δὲ εἴρηκε διὰ τὸ νεωστὶ Καρχηδονίους καὶ Λίβυας καὶ Τυρσηνοὺς ὑπὸ τῶν περὶ Γέλωνα καὶ Ἱέρωνα μὴ μόνον τῇ νήσῳ ἐπιπλεύσαντας καθηρῆσθαι, ἀλλὰ καὶ ὑπ' αὐτοῖς τὴν Καρχηδόνα γενέσθαι, ὥστε καὶ ὑπακούειν· τὸ γοῦν ἀνθρωποθυτεῖν φησιν ὁ Θεόφραστος ἐν τῷ περὶ Τυρσηνῶν παύσασθαι αὐτοὺς Γέλωνος προστάξαντος. ὅτι δὲ καὶ ἐκέλευσεν αὐτοὺς χρήματα εἰσφέρειν, Τίμαιος διὰ τῆς τεσσαρεσκαιδεκάτης ἀναγέγραφεν.

6. Τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν] λιπαράς φησι τὰς Θήβας διὰ τὸν Διόνυσον καὶ τὸν Ἡρακλῆ καὶ αὐτόν. § οὐκ αὐτὸς ὁ Πίνδαρος εἰς τὰς Συρακούσας ἥκων ταῦ-

1) Gott. θυσιατήριον, vett. edd. θυσιαστήριον. Illud reduxi pro pristino χαριστήριον. 2) Sic Gott. 3) Apollonius cur nomen εἰδογράφου traxerit, eximie docet Etym. M. p. 295, 51. Εἰδογράφος Ἀπολλώνιος (correxit Schneiderus: vulgo Ἀπόλλων), ἐπειδὴ εὐφυὴς ὢν ἐν τῇ βιβλιοθήκῃ τὰ εἴδη τοῖς εἴδεσιν ἐπένειμεν· τὰς γὰρ δοκούσας τῶν ᾠδῶν Δώριον μέλος ἔχειν ἐπὶ τὸ αὐτὸ συνῆγε, καὶ Φρυγίας καὶ Λυδίας, Μιξολυδιστὶ καὶ Ἰαστί. Unde planissime intelligas veteres etiam varia lyricorum carminum pro modorum diversitate genera probe novisse. 4) Vs. 6. vulg. 5) Sic Gott. indeque Heynius: vulgo ἄγει κνήμων.

Digitized by Google

τά φησιν· οὐ γὰρ ἀφῖκται πρὸς τὸν Ἱέρωνα, ἀλλ' ἡ ᾠδὴ ἐπιστολιμαία [1]) ἐστίν. ἤτοι οὖν ἐκ τοῦ διακομίσαντος τὴν ᾠδὴν πρὸς τὸν τύραννόν ἐστιν ὁ λόγος ἢ ἐκ τοῦ χοροῦ· διὰ γὰρ χοροῦ ἔπεμπε τοὺς ἐπινίκους. ὁ δὲ νοῦς· ἀπὸ τῶν εὐδαιμόνων Θηβῶν παραγίνομαι τὸ μέλος φέρων.

8. Ἀγγελίαν τετραορίας] καὶ ἀνακήρυξιν τοῦ ἅρματος τοῦ κατὰ τὴν χθόνα ἐλελίζοντος καὶ ἀνακινοῦντος.

9. Εὐάρματος Ἱέρων ἐν ᾧ] ἐν ᾗ ὁ εὐάρματος Ἱέρων νικῶν εὐσυνόπτοις καὶ διαυγεστάτοις στεφάνοις ἀνέδησε τὴν Ὀρτυγίαν. § ἐν τῇ Ὀρτυγίᾳ ἦν τὰ ἱπποτροφεῖα Ἱέρωνος. Ὀρτυγίαν δὲ τὴν ἐπὶ τῆς Σικελίας χερρόνησόν φασιν· αὕτη γὰρ νῆσος οὖσα προτέρον συνήφθη ταῖς Συρακούσαις.

12. Ποταμίας ἔδος] τῆς Ἀλφειώας. [2]) φασὶ γάρ τινες τὸν Ἀλφειὸν ἐρασθῆναι τῆς Ἀρτέμιδος καὶ διώξαντα ἄχρι τῆς Ὀρτυγίας παύσασθαι· ὅθεν Ἀλφειώας Ἀρτέμιδος ἐκεῖ φασιν εἶναι ἱερόν, ἣν νῦν ποταμίαν εἶπεν. § Ἄλλως. ἵδρυται γὰρ ἄγαλμα Ἀρτέμιδος ἐπὶ τῇ Ἀρεθούσῃ, ἡ δὲ Ἀρέθουσα ἐξ Ἀλφειοῦ τοῦ ποταμοῦ δέχεται τὰ ῥεύματα· διὰ τοῦτο οὖν ποταμίαν Ἄρτεμιν αὐτὴν εἴρηκεν.

13. Τᾶς οὐκ ἄτερ] ἥστινος τῆς Ἀρτέμιδος οὐ χωρὶς ἐκείνας [3]) τὰς πεποικιλμένας ἡνίας ἐχούσας πώλους ταῖς ἀγαναῖς ἑαυτοῦ χερσὶν ἐδάμασε καὶ ὑπέζευξε· τὸ δὲ κείνας τῷ πώλους συναπτέον· ἐπεὶ ἱππικὴ καὶ ἡ Ἄρτεμις. καὶ Ὅμηρος· [4])

Τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα.

16. Ἐπὶ γὰρ ἰοχέαιρα] τὸ ἐπὶ τῷ τίθησι συναπτέον. διδύμα δὲ ἡ Ἄρτεμις καλεῖται. § ὁ δὲ νοῦς· ἡ δὲ παρθένος Ἄρτεμις ἀμφοτέραις αὐτῆς ταῖς χερσὶ καὶ ὁ ἐναγώνιος Ἑρμῆς τὸν λαμπρὸν ἐπιτίθησι κόσμον τῷ ἅρματι.

18. Ὅ τ' ἐναγώνιος] ἐναγώνιος δὲ ὁ Ἑρμῆς ὡς τῶν ἀγώνων προστάτης, ὡς καὶ Αἰσχύλος φησίν· Ἐναγώνιε Μαῖαν καὶ Διὸς Ἑρμᾶ. κόσμον δὲ στέφανόν φησιν.

20. Ξεστὸν ὅταν δίφρον] ὅταν τὸν δίφρον καταζευγνύῃ, φησί, καὶ τὰ πεισιχάλινα ἅρματα, τὰς σειρὰς δηλονότι καὶ τὰ ζυγά. πεισιχάλινα δὲ πῶς τὰ ἅρματα; χαλινοῖς γὰρ οὐ χρῶνται πρὸς τὴν κατάζευξιν. ἤτοι οὖν τὰς ἡνίας δεκτέον χαλινοὺς εἰρῆσθαι διὰ τὸ χαλᾶσθαι αὐτὰς καὶ πάλιν ἀνέλκεσθαι, ἢ ἐπὶ τῶν κελήτων δεκτέον· ἠγώνισται γὰρ καὶ κέλησιν. ὅταν οὖν ὁ Ἱέρων εἰς τὸν ἀγῶνα παρασκευάζῃ τὰ ἅρματα, ἡ Ἄρτεμις προσάπτεται αὐτοῦ τῶν χαλινῶν καὶ τῶν ὀχημάτων, κατὰ τὸ Ὁμηρικόν· [5])

Ἱππείου δὲ θεὰ ζυγοῦ ἥψατο φώνησέν τε.

§ ἢ οὕτως· ἐπιτίθησι, φησί, τὰς χεῖρας ἡ Ἄρτεμις καὶ ὁ Ἑρμῆς τῷ Ἱέρωνι, ὅταν εἰς τὸν εὔξεστον δίφρον καὶ τὰ πεισιχάλινα ἅρματα, ὅ ἐστι τὰς ἡνίας, καταζευγνύῃ τὸ ἵππειον σθένος, ἀντὶ τοῦ ὅτε τοὺς ἵππους ζεύγνυσιν ὁ Ἱέρων, καλῶν τὸν Ποσειδῶνα ὡς ἵππειον θεόν.

1) Gott. ἀποστολική. 2) Gott. bis Ἀλφειώας, ut Rom. et ceterae vett. edd. Recentiores dederunt Ἀλφειαίας, ut est ap. Pausan. VI, 22, 5. ego reduxi veterem formam, quae recurrit ad Nem. I, 3. 3) Hoc et alia multa, de quibus nihil moneo, dedi e Gott. 4) Iliad. ζ, 205. 5) Iliad. ε, 799.

Digitized by Google

21. Ἔν θ' ἅρματα] ἡ ἐν ἀντὶ τῆς εἰς, ἵν' ᾖ· ὅταν εἰς τοὺς δίφρους καὶ χαλινοὺς ζευγνύῃ τὸ ἵππειον σθένος, τουτέστι τοὺς ἵππους.

24. Ἄλλοις δέ τις ἐτέλεσεν] ἄλλοις βασιλεῦσιν ἄλλος ποιητὴς ὕμνον εὐηχῆ καὶ εὔρυθμον κατασκευάζει, ὅιτα τὸν ὕμνον ἀμοιβὴν καὶ λύτρα τῆς ἀρετῆς. εἶτα ἡ ἀνταπόδοσις τοῦ νοῦ· ἐγὼ δὲ σέ, ὦ Ἱέρων· καὶ ἐπισυνάπτει ἐργασίαν. § ἢ ἐφ' ᾧ ἐστιν αὐχεῖν. [1])

27. Κελαδέοντι μὲν ἀμφὶ Κινύραν] περὶ μὲν τὸν Κινύραν οἱ ὕμνοι τῶν Κυπρίων [2]) γίνονται, ἐγὼ δὲ περὶ σέ. ἦν δὲ οὗτος Ἀπόλλωνος υἱὸς καὶ Πάφου, κατ' ἐνίους Εὐρυμέδοντος καὶ Παφίας νύμφης. ἐγένετο δὲ βασιλεὺς τῶν Κυπρίων καὶ ἱερεὺς τῆς Κυπρίας Ἀφροδίτης. § ὁ δὲ νοῦς· χορεύουσι μὲν περὶ τὸν Κινύραν πολλάκις οἱ τῶν Κυπρίων ὕμνοι, ὄντινα ὁ χρυσοκόμης ἠγάπησεν Ἀπόλλων ἱερέα καὶ σύντροφον καὶ συνήθη τῆς Ἀφροδίτης ὄντα. ἡ δὲ ἀνταπόδοσις τοῦ λόγου αὕτη· περὶ μὲν τὸν Κινύραν οἱ τῶν Κυπρίων ὕμνοι, περὶ δὲ σὲ ὁ ἐμὸς καὶ τῶν Συρακουσίων. § Διαπορεῖται δὲ, τί δή ποτε εἰς τοὺς τοῦ Ἱέρωνος ἐπαίνους τὸν Κινύραν προσῆκται, εἰ μὴ ὅτε ταῖν θεοῖν ἱεροφάντης ἀπεδέδεικτο· [3]) Δεινομένους γὰρ υἱεῖς εἶσιν οἱ περὶ τὸν Ἱέρωνα τοῦ τὰ ἱερὰ ἐκ Τριόπου [4]) τῆς Καρίας εἰς Σικελίαν κομίσαντος. ὁ δὲ Κινύρας οὗτός ἐστιν, ἀφ'

1) Haec vulgo erant ante κατασκευάζει, ubi omittit Gott. Itaque ut diversum scholium in fine posui. 2) Correxi e Gott. 3) Sic edidi e Gott. Vulgo: τί ποτε ἐν τῷ τοῦ Ἱέρωνος ὕμνῳ τοῦ Κινύρα ἐμνημόνευσε; καί φασί τινες, ὅτι ὁ Κινύρας οὗτος ἱεροφ. ταῖν θεαῖν ἀπ. Sed sequentia docent, non Cinyrae, sed Hieronis Dinomenis F. sacerdotium nunc commemorari; et Cinyras Veneris, Hiero Cereris et Liberae sacerdos fuit, de quo vide Schol. Olymp. VI, 158. 160. et Pindarum ipsum, ac testem locupletissimum Herodotum VII, 153. Ceterum verba ὁ Κινύρας οὗτος manifeste ex sequentibus irrepserant. 4) Vulgo ἐκ Τριόπου τῆς Κύπρου εἰς Σικ. Pro forma Τριόπου Gott. praebet Τριοπίας, non Τριοπίου, ut Heynius refert; ac sane usitatiores formae sunt Τριοπία et Τριόπιον, ut praeter scriptores docet Steph. Byz. h. v. sed etiam Τριόπῳ loco nomen fuisse docet Callimach. in Cerer. 32. et Schol. Theocr. XVII, 69. Τῆς Κύπρου autem nullo modo ferendum fuit: Cariae enim Triopium, non Cypri est, quod scholiasten doctum latere non potuit; quem vehementer lapsum putabat Wessel. ad Herod. VII, 153. Itaque τῆς Κύπρου eieci, utpote natum e sequenti Cypri commemoratione. Verum, ais, si iam Cyprus eiecta est, cur scholiastes hoc loco de sacris Triopiis dicit, ut Cinyrae iniectam mentionem explicet? Nimirum res ita habet. Alii Cinyram commemoratum dicebant, quod Dinomenes a maioribus Cyprius esset, ἀνέκαθεν Κύπριος: neque tamen ipsum putabant e Cypro in Siciliam profectum esse, sed gentem tantum antiquitus esse Cypriam, ut Thaletis Milesii familiam e Phoenice in Ioniam devenisse perhibent. Alii Cinyrae mentionem fieri ideo arbitrabantur, quod Hiero sacerdos esset Cereris et Liberae, ut Cinyras Veneris sacerdos et Apollinis deliciae: hi argumentum afferebant sacra ex Triopio Cariae per Dinomenem in Siciliam translata, a quibus Hieroni ipsi nomen inditum videtur, unde in Pindarico fragmento audit ζαθέων ἱερῶν ἐπώνυμος sive ὁμώνυμος. Patria sane Siculis Cerealia sacra fuerunt: sed diversa ab iis ea sunt, quae Hieronis maiores attulerant, non Dinomenes quidem, sed Telines auctore Herodoto l. c. apud quem χθόνιοι θεοὶ pro Cerere et Proserpina. Quae sacra unde Telines habuerit, ignorat Herodotus: sed a Triopiis non multum diversa fuisse, pluribus indiciis ut credam adducor. Etenim Triopia sacra Doriensium in ea plaga ex Argolide profectorum communia fuere: Cereris autem mysteria in Peloponneso et maxime in Argolide olim fuisse tum Herodotus II, 171. tradit, qui Danai filias Pelasgicis ea mulieribus monstrasse perhibet, tum Cereris Pelasgiae templum Argis exstructum docet, quod

Digitized by Google

οὗ οἱ ἐν Κύπρῳ Κινυράδαι [1]) τῇ θεῷ ἀνιέρωντο. § ἢ οὕτως· εἰσὶν οἱ λέγοντες τὸν Δεινομένην τὸν πατέρα Ἱέρωνος ἀνέκαθεν τυγχάνειν Κύπριον· διὸ νῦν εὐλόγως γράφων εἰς τὸν Ἱέρωνα μέμνηται Κινύρου, οὗ καὶ Ὅμηρος [2]) μέμνηται·

Τόν ποτέ οἱ Κινύρης δῶκε ξεινήϊον εἶναι.

31. Ἱερέα κτίλον] Ὅμηρος μὲν τὸν προηγούμενον τῆς ποίμνης κριὸν κτίλον ὀνομάζει, [3]) ἡ δὲ τοῦ ὀνόματος ἐτυμολογία οὐχ οὕτως ἔχει. [4]) ἔστι γὰρ παρὰ τὸ κτίσαι, ὅ ἐστι θρέψαι· καθάπερ φησὶ καὶ ἐν ἄλλοις ὁ Πίνδαρος· Ὀρικτίτου συὸς, τοῦ ἐν ὄρεσι τεθραμμένου. νῦν οὖν κτίλον οἱονεὶ τὸν συντεθραμμένον καὶ συνήθη λέγει καὶ εἰθισμένον τῇ χειρί. καὶ αὐτὸς γὰρ ὁ Πίνδαρος τὸ τιθασσεύεσθαι καὶ κτιλεύεσθαι λέγει· Ἔνθα ποῖμναι [5]) κτιλεύονται κάπρων λεόντων τε. ἀγαπᾶσθαι δὲ τὸν Κινύραν φησὶν ὑπὸ Ἀπόλλωνος, οὐχ ὅτι ἐρώμενος αὐτοῦ ἦν, ἀλλ' ὅτι ὑπὸ τῶν μουσικῶν ἐγκωμιαζόμενος.

32. Ἄγει δὲ χάρις] ἄγει δὲ ἑαυτὴν ἡ χάρις πρὸς ἀμοιβήν τινος ὑποστρεφομένη τῶν προϋπαρξάντων ἀσφαλεστάτων [6]) ἔργων. ὁ δὲ λόγος αὐτῷ, ὅτι προευεργετηθεὶς ὑπὸ Ἱέρωνος νῦν ἀμείβεται αὐτὸν τοῖς ὕμνοις καὶ ἐγκωμίοις· ἀντὶ γὰρ ἔργων ἡ χάρις ἄγει τὸν ποιητὴν εἰς τὸ λέγειν καὶ ὑμνεῖν, ἤτοι ὁ μισθός. ποίτινος δὲ ἀμειπτική. § Ἄλλως. ἔξωθεν προσληπτέον τὸ χάριν, ὥστε εἶναι τὸν λόγον τοιοῦτον· ἡ δὲ χάρις χάριν ἄγει ἀντὶ φίλων ἔργων σεβομένη τὸν εὐεργετήσαντα. ὀπιζομένη δὲ ἀντὶ τοῦ ἀμειβομένη, ἀνταποδιδοῦσα, ἐντρεπομένη· μετ' αἰδοῦς γὰρ χαρίζονται, ἀλλ' οὐ μετὰ θράσους. ἢ τὸ ὀπιζομένη ἀντὶ τοῦ ὕστερον ἐπακολουθοῦσα· ἡ γὰρ ἀμειπτικὴ χάρις ὑστέρα τῆς προκαταρκτικῆς. τοῦτο δὲ εἶπε διὰ τὸ τοὺς Λοκροὺς χάριν ὁμολογεῖν τῷ Ἱέρωνι, προευεργετήσαντι αὐτούς. § οὗτοί εἰσιν Ἐπιζεφύριοι Λοκροὶ πρὸς τὴν Ἰταλίαν οἰκοῦντες. [7])

a Pelasgo Triopae filio nomen traxisse dicitur. V. Pausan. II, 22, 2. Iam Triopas Erysichthonis pater conditor Triopii fertur, idemque ut Heliades Rhodiorum fabulis intexitur: aliis Phorbantis filius Triopas Argivus condidisse Triopium traditur. V. Prideaux ad Marm. Oxon. p. 373. Maitt. et maxime Steph. Byz. v. *Τριόπιον*, Diodor. V, 57. 61. Callim. in Cer. 25. At idem ille Triopas Heliades, qui Thessaliae Dotium dicitur occupasse, in Cererem piaculum commiserat, quod vulgo Erysichthoni imputatur: v. Iacobs. Anthol. comm. Vol. II. P. II. p 369. unde iam intelligis Cerealibus sacris implicitum esse Triopium: et Callimachus in Cerer. 32. *Τρίοπον* inter locos Cereri sacros recenset. His accedit, quod Triopas in consecratione Triopii ab Herode Attico conditi vs. 5. diserte *Δηῶος* appellatur: et confer omnino totum illud carmen et insequens cui suprascriptum *Μαρκέλλου*, Anthol. T. III, p. 14. sqq. ed. Iacobs. prior. Postremo ipsum Herodis Attici Triopium columnas habuit, quibus inscriptum: *καὶ οἱ κίονες Δήμητρος καὶ Κόρης ἀνάθημα καὶ χθονίων θεῶν*, v. Gruter. p. XXVII, 1. et ceteros horum titulorum editores. In quo memorabile est *χθονίους θεοὺς*, quos in Teline solos memorat Herodotus, in sacris Triopiis, ut in aliis Cerealibus, Cereri et Liberae coniunctos fuisse. Sed in Triopiis sacris praeterea non solum Nymphas et Neptunum, verum etiam Apollinem cultum esse, patet ex Herodoto I, 144. et Schol. Theocr. XVII, 69. nec dubito Apollinis quoque sacra cum ceteris Triopiis in Hieronem cessisse: unde nescio an lucem accipiant verba Pindari: *Κινύρα, τὸν ὁ χρυσοχαῖτα προφρόνως ἐφίλασ' Ἀπόλλων*. Quin poterant maiores Hieronis re vera ex Cypro in Telum delati, ob Cinyrae gentis auctoris cum Apolline familiaritatem ad Apollinea Triopii sacra admissi esse. 1) Vulgo *Κινυρίδαι*. Genuina forma est *Κινυράδαι*: vide Hesych. v. Tac. Hist. II, 3. et ibi intpp. 2) Iliad. *λ*, 20. 3) Iliad. *γ*, 196. *ν*, 492. 4) Correxi e Gott. Idem mox *ὄρει* p. *ὄρεσι*. 5) Vulgo: *Ἔνθα ποιμένες*: Gott. *ἔνθα αἱ ποίμναι*, ex quo scholia correxi. 6) Faehsius Syllog. p. 405. corrigit *σαφηνεστάτων*: quo arbitror opus non esse. 7) Sic Gott. in margine, unde scholium hoc irrepsit.

Digitized by Google

34. Σὲ δ', ὦ Δεινομένειε παῖ] Ἀναξίλα τοῦ Μεσσήνης καὶ Ῥηγίου τυράννου Λοκροῖς πολεμοῦντος Ἱέρων πέμψας Χρόμιον τὸν κηδεστὴν διηπείλησεν αὐτῷ, εἰ μὴ καταλύσαιτο τὸν πρὸς αὐτοὺς πόλεμον, αὐτὸν πρὸς τὸ Ῥήγιον στρατεύειν· οὗπερ δὴ πρὸς τὴν ἀπειλὴν ἐνδόντος ἐν εἰρήνῃ διῆγον οἱ Λοκροί. ἐφ' οἷς οὖν ἔπαθον αἱ Λοκρίδες, ᾖδον καὶ καθύμνουν τὸν Ἱέρωνα. § ὁ δὲ νοῦς· ἀνυμνοῦσι μὲν τὸν Κινύραν οἱ Κύπριοι· σὲ δὲ, ὦ Δεινομένειε παῖ Ἱέρων, αἱ Ἐπιζεφύριαι παρθένοι προελθοῦσαι τῶν οἴκων, τῶν πολεμικῶν καμάτων ἐξ ἀπροσδοκήτου ἀπαλλαγεῖσαι καὶ διὰ τὴν σὴν δύναμιν ἐλεύθερον βλέπουσαι. § δρακεῖσ' ἀσφαλές] ἐλεύθερον βλέπουσα. Ἀναξίλας γὰρ καὶ Κλεόφρων ὁ τούτου παῖς Ἰταλίας ὄντες τύραννοι, ὁ μὲν ἐν Μεσσήνῃ τῇ Σικελικῇ, ὁ δὲ ἐν Ῥηγίῳ τῷ περὶ Ἰταλίαν, πόλεμον ἠπείλουν Λοκροῖς· διαπρεσβευσάμενος δὲ πρὸς αὐτοὺς ὁ Ἱέρων ἔπαυσε τοὺς Λοκροὺς τοῦ πολέμου. § Ἡ Ἐπιζεφυρία Λοκρὶς ἐπολιορκεῖτο ὑπὸ τῶν ἐχθρῶν· ὧν ἀπελασθέντων τῇ δυνάμει Ἱέρωνος προσεγένετο ταῖς Λοκρίσι παρθένοις βλέπειν στερεῶς, ἀσφαλῶς, ἤγουν ἀφόβως, προτοῦ [1]) τῷ φόβῳ τῶν ἐχθρῶν ἔνθα κἀκεῖσε συχνῶς τοὺς ὀφθαλμοὺς περιφερούσαις. [2])

39. Θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντί] ταῖς τῶν θεῶν δὲ ἐντολαῖς καὶ βουλήσεσι τὸν Ἰξίονά φασι [3]) ταῦτα τοῖς ἀνθρώποις βοᾶν, τῷ ταχεῖ τροχῷ πανταχοῦ δινούμενον, ὥστε τὸν εὐεργέτην προσηνέσιν ἀμοιβαῖς μετερχομένους ἀμείβεσθαι. § Τίνος ἕνεκα τοὺς περὶ τὸν Ἰξίονα παρεμβέβληκε λόγους ὁ Πίνδαρος; εἰ γὰρ οἱ Λοκροὶ, ἀνθ' ὧν εὐηργετήθησαν ὑφ' Ἱέρωνος, ᾄδουσιν αὐτὸν, εἰς οὐδὲν ὁ Ἰξίων αὐτῷ προσῆκται· τότε γὰρ ἐχρῆν εἰς παράδειγμα αὐτὸν ἄγεσθαι, εἰ μή γε χάριτος οἱ Λοκροὶ, ὥσπερ ὁ Ἰξίων, ἐμνήσθησαν. εἰ μὴ ἄρα καθόλου προελήλυθεν ὁ Ἰξίων, ὅτι [4]) τὸν εὐεργέτην προσήκει τοῖς αὐτοῖς ἀεὶ ἀμείβεσθαι. τὸν δὲ Ἰξίονα οἱ μὲν Ἀντίονος [5]) γενεαλογοῦσιν, ὡς Αἰσχύλος· Φερεκύδης δὲ Πεισίωνος, ἔνιοι δὲ Ἄρεος, οἱ δὲ Φλεγύα. Ἀσκληπιάδης δὲ ἐν τρίτῳ Τραγῳδουμένων οὕτω γράφει. προσιστοροῦσι δὲ ἔνιοι, ὡς καὶ μανείη ὁ Ἰξίων, ὡς Φερεκύδης· καὶ τὴν ἐπὶ τοῦ τροχοῦ δὲ κόλασιν αὐτῷ παρεγκεχειρήκασιν· ὑπὸ γὰρ δίνης καὶ θυέλλης αὐτὸν ἁρπασθέντα φθαρῆναί φασιν. οὗτος ἔγημε Δίαν τὴν Δηϊονέως θυγατέρα. ἔθος δὲ τοῖς παλαιοῖς τῶν νυμφῶν τοῖς πατράσι δῶρά τινα προσάγειν, ὡς καὶ Ὅμηρος· [6])

Πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη.
Αἶγας ὁμοῦ καὶ ὄϊς.

ὁ γοῦν Δηϊονεὺς κατὰ τὸ σύνηθες, γήμαντα Ἰξίονα τὴν αὐτοῦ θυγατέρα τὴν τῶν δώρων εἰσεπράττετο δόσιν· ὁ Ἰξίων δὲ βιαζόμενος παρ' αὐτοῦ καὶ ἀναγκασθεὶς, διορύξας βόθρον καὶ πληρώσας πυρὸς ἐκάλεσε τὸν πενθερὸν ὡς ἐπὶ εὐωχίαν. ὁ δὲ ἀπρονόητος ὢν τοῦ μηχανήματος καὶ εἰσελθὼν εἰς τὴν πυρὰν ἔνδον ἔπεσε καὶ κατεκαύθη. τοῦ δὲ μύσους μηδενὸς καθαρίζοντος τὸν Ἰξίονα, ἀποστραφέντων δὲ αὐτὸν καὶ τῶν ἄλλων θεῶν,

1) Codex πρώτον. 2) Scholium hoc addidi e Pal. C. quamquam recens videtur, aut certe interpolatum. Saltem ἤγουν recentibus grammaticis debetur: quam vocem plerisque locis codicum ope sustuli; ubi reliqui, ideo feci, ne a librorum fide discederem. 3) Φασὶ pro vulgato φησὶ de meo dedi, et inepta ista ἡ Λοκρὶς παρθένος delevi cum Gott. 4) Sic Gott. Vulgo absurde: ἐμν. φαμὲν οὖν, ὅτι καθόλου παρακελεύονται αἱ Λοκρίδες τῷ Ἰξίονι λέγειν τοῖς ἀνθρώποις, ὡς. 5) Sic dedi e Gott. Vulgo Ἀντίωνος. De re v. Diod. IV, 69. 6) Iliad. λ, 244.

Digitized by Google

ὁ Ζεὺς οἰκτείρας ἐκάθηρε μὲν αὐτὸν τοῦ φόνου, ἀνήγαγε δὲ καὶ εἰς οὐρανὸν καὶ συνέστιον ἑαυτῷ ἐποιήσατο. [1]) τὸν δὲ δευτέρῳ ἐπιχειροῦντα ἁμαρτήματι εἰς ἔρωτα τῆς Ἥρας κινηθῆναί φασι· μαθόντα δὲ τὸν Δία νεφέλην τῇ Ἥρᾳ ὁμοίαν ἀναπλάσσειν καὶ ἐκτυποῦν, τὸν δὲ Ἰξίονα θεασάμενον ἐφορμῆσαι καὶ παρακλιθῆναι. γενέσθαι δὲ ἐξ αὐτῶν ἄγριόν τινα καὶ τερατώδη ἄνδρα, ὃν Κένταυρον ὠνόμασαν. ὕστερον δὲ τροχῷ τοὺς πόδας καὶ τὰς χεῖρας τοῦ Ἰξίονος προσδεσμευθῆναι καὶ τὸν τροχὸν ἀειδίνητον παρασκευασθῆναι, [2]) καὶ κελεῦσαι τὸν Δία πρὸς τὴν κίνησιν τοῦ τροχοῦ τὸ τοιοῦτον· ὡς προσήκει τοὺς εὐεργετήσαντας βελτίοσιν ἀμείβεσθαι καὶ μὴ τοῖς ἐναντίοις καταβλάπτειν, § δεδεμένος, φησί, τῷ τροχῷ ὁ Ἰξίων τοῦτο βοᾷ, ὅτι δεῖ τοὺς εὐεργετήσαντας ἀντευεργετεῖν.

45. Ἔμαθε δὲ σαφές] ἔμαθε δὲ σαφῶς ὁ Ἰξίων, ὅτι δεῖ τὸν εὐεργέτην ἀνταμείβεσθαι. παρὰ γὰρ τοῖς Κρόνου παισὶν εὐμενῶς διατεθεῖσιν αὐτῷ ἡδὺν δεξάμενος βίον τὴν ἐν θεοῖς διαγωγήν, τὸν μακρὸν καὶ ὑπεραίροντα τὴν αὐτοῦ φύσιν ὄλβον ἐνεγκεῖν οὐκ ἴσχυσεν, ὅτε τῆς Ἥρας ταῖς μαινομέναις φρεσὶν ἐπεθύμησεν, ἥντινα Ἥραν μόναι αἱ τοῦ Διὸς κοῖται ἔλαχον.

52. Ἐς αὐάταν] εἰς ἄτην καὶ βλάβην. Αἰολικῶς δὲ τὸ αὐάταν προήγαγεν· ἐκεῖνοι γὰρ, ἐὰν ὦσι δύο φωνήεντα, μεταξὺ ἐντιθέασι τὸ ῡ, ὡς ἐπὶ τοῦ ἀὴρ αὔηρ, καὶ ἀὼς αὔως. ὅτε δὲ σύμφωνόν ἐστι μεταξὺ, οὐκέτι. καὶ τάχα ἄν τις ἡμῖν ἀπορήσειε λέγων· πῶς τὸ ἄτη τοῦ ᾱ ὄντος μεταξὺ τὸ ῡ ἀνεδέξατο, εἴπερ τοῦτο οὐ γίγνοιτο, ὁπηνίκα σύμφωνόν ἐστι μεταξύ. καί φαμεν, ὅτι ἀπὸ συναιρέσεως γέγονεν· ἦν γὰρ ἀάτη· καὶ Ὅμηρος· [3])

Πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται.

ἀναλόγως οὖν, εἰ καὶ κατ' ἔκθλιψιν γέγονεν, ἀλλ' οὖν διὰ τὸ ὑπάρχειν δυνάμει τὸ ἕτερον ᾱ, τὸ ῡ ἀνεδέξατο. § ὁ δὲ νοῦς· ἀλλὰ αὐτὸν τὸν Ἰξίονα ἡ ὕβρις εἰς ἄτην μεγίστην ἐνέβαλεν.

53. Τάχα δὲ παθών] Ὅμηρος τὸ τάχα ἀντὶ τοῦ ταχέως. ταχίως δὲ παθὼν καὶ τιμωρηθεὶς τὸν πρέποντα αὐτῷ καὶ ἁρμόζοντα μισθὸν ἀνεδέξατο. § ἐξαίρετον δέ φησι τὸν ἐξηλλαγμένον, ἤτοι δὲ, ὅτι μέγας, ἢ ὃν οὐδεὶς ἄλλος ἔσχεν. οὐδεὶς γὰρ ἄλλος παραδίδοται οὕτως ἐπὶ τροχῷ κολαζόμενος.

54. Αἱ δύο δ' ἀμπλακίαι] τόν τε ἐμφύλιον φόνον καὶ τὴν τῆς Ἥρας ἐπιθυμίαν φησί. λέγει δὲ τοῦτο, ὅτι τὸ μὲν τοῦ φόνου ἁμάρτημα συνέγνωσαν οἱ θεοὶ, τὸ δὲ δεύτερον οὐκέτι. φησὶν οὖν, ὅτι αἱ δύο ἁμαρτίαι φερέπονοί εἰσιν, οἱονεὶ πόνον καὶ τιμωρίαν τοῖς ἁμαρτάνουσιν ἐπιφέρουσαι. § τῶν δύο ἁμαρτημάτων διαίρεσιν ποιεῖται, καί φησιν· Ἰξίων ἐμφύλιον φόνον ἐνέμιξεν ἀνθρώποις· οἷον πρῶτος τὸν ἐμφύλιον φόνον ἐν ἀνθρώποις κατειργάσατο· δεύτερον δὲ, ὅτι τοῖς μεγάλοις καὶ εὐκατασκευάστοις θαλάμοις τοῦ Διὸς τὴν γαμετὴν Ἥραν ἐπείρα τε καὶ ἐνήδρευε. τὸ γὰρ ἐπειρᾶτο παθη-

1) Cf. Aeschyl. Eumen. 430. et Schol. Eurip. Phoen. 1192. cum nott. Valck. ac Schol. Apollon. III, 62. 2) Hoc scholium totum e Gott. refinxi, qui magis genuina verba repraesentare videtur: sed vulgatis καὶ τὸν τροχὸν ἀειδίνητον παρεσκεύασε mutata structura sententiam auxi. 3) Iliad. τ, 91.

Digitized by Google

τικὸν ὂν ἀντὶ τοῦ ἐνεργητικοῦ ἐστι, σημαίνει δὲ τὸ ἐνήδρευεν. οὕτω γὰρ καὶ πειρατὰς τοὺς κατὰ πέλαγος λῃστὰς λέγομεν, κυρίως δὲ τοὺς ἐν ὁδῷ κακουργοῦντας, παρ' ὃ δὴ καὶ ὁδουροὺς αὐτοὺς λέγουσιν. Εὐριπίδης ἐν Ἀρχελάῳ· [1]) Ἔπαυσ' ὁδουροὺς λυμεῶνας. καὶ Σοφοκλῆς ἐν Αἰγεῖ· [2]) Πῶς δῆθ' ὁδουρὸν [3]) οἷος ἐξέβης λαθών;

58. Οὐκ ἄτερ τέχνας] οὐ χωρὶς δόλου. τοῦτο δὲ λέγει διὰ τὸν βόθρον. σημειωτέον δὲ, ὅτι καὶ τοὺς δόλους καὶ τὰς πανουργίας τέχνας τινὲς ἐκάλουν.

63. Χρὴ δὲ καθ' αὑτόν] προσῆκον δέ ἐστι, φησὶ, τῶν κατὰ τὴν ἑαυτοῦ δύναμιν τὸ μέτρον σκοπεῖν καὶ τούτων ἐπιθυμεῖν, καὶ μὴ τῶν ὑπὲρ δύναμιν ὀρέγεσθαι. ὅμοιον δὲ τοῦτο τῷ ὑπὸ Χίλωνος ἐν Δελφοῖς γεγραμμένῳ, ὅπερ τινὲς φασι Σωδάμου [4]) εἶναι.

65. Εὐναὶ δὲ παράτροποι] παρατρόπους εὐνάς φησι τὰς μοιχιδίους καὶ τοῦ δέοντος παρατετραμμένας, αἳ καὶ εἰς κακότητα ἐνέβαλον τὸν Ἰξίονα. ἔνιοι δὲ γράφουσιν, εἰς κακότητα ὀρθὴν, καὶ οὐχὶ ἀθρόαν, ἵν' ᾖ εὐθεῖαν, ἀπὸ μεταφορᾶς τῶν ὁδῶν.

69. Εἶδος γάρ] τὸ γὰρ εἶδος ἡ νεφέλη ὁμοία ἦν τῇ ὑπερεχούσῃ τοῦ οὐρανίου Κρόνου θυγατρί.

71. Ἄν τε δόλον] ἥντινα νεφέλην δόλον Ἰξίονι κατεσκεύασαν αἱ τοῦ Διὸς τέχναι.

72. Καλὸν πῆμα] καὶ ἄξιον βλάβος, ὡς καὶ Ἡσίοδος· [5]) Καλὸν κακόν. πῆμα δὲ καλόν φησι τὴν νεφέλην, καλὸν μὲν διὰ τὸ ὡμοιῶσθαι τῇ Ἥρᾳ, πῆμα δὲ ὡς πρὸς τὸ ἀποτέλεσμα, τὸ ἐξ αὐτῆς βλάβος.

73. Τὸν δὲ τετράκναμον] κνήμη ἐστὶν ἡ τοῦ τροχοῦ ῥάβδος ἡ διήκουσα ἀπὸ τῆς χοινικίδος ἐπὶ τὸν κύκλον. οἱ δὲ ἁρμάτειοι τροχοὶ τῶν ἀνθρώπων ἑξάκνημοί εἰσιν, οἱ δὲ τῶν θεῶν δι' ὑπερβολὴν τοῦ κόσμου παρὰ τῷ Ὁμήρῳ [6]) ὀκτάκνημοι εἶναι λέγονται. οἰκείως δὲ ὁ Πίνδαρος τὸν τοῦ Ἰξίονος τροχὸν τετράκνημόν φησιν, ἵνα τοῖς μὲν δυσὶ ποσὶ τὰς δύο, ταῖς δὲ δυσὶ χερσὶ τὰς δύο προσάψῃ κνήμας, ἴσον ταῖς χερσὶ καὶ τοῖς ποσὶν, ὡς εἰς τὴν δέσιν τῶν χειρῶν καὶ τῶν ποδῶν ἐξαρκεῖν. § ὁ δὲ νοῦς· τὸν δὲ τετράραβδον δεσμὸν ἤνυσε καὶ κατειργάσατο ὁ Ἰξίων ἐὸν ὄντα δεσμὸν καὶ ὄλεθρον.

75. Ἐν δ' ἀφύκτοισι γυιοπέδαις] ἐν δεσμοῖς τοῖς τὰ γυῖα πεδῶσι πεσὼν τὴν πᾶσιν ἐγνωσμένην, κοινὰ γὰρ τὰ τοῦ Ἰξίονος, ἣ τὴν ὠφέλιμον ἀνεδέξατο ἀγγελίαν καὶ φήμην, ἣν δεδεμένος ἐν τῷ τροχῷ ἔλεγεν. ἔστι δὲ αὕτη, ὅτι χρὴ τοὺς εὐεργέτας καλοῖς ἀμείβεσθαι. τὸ δὲ Ἄνευ οἱ χαρίτων, ἀντὶ τοῦ ἔξω συνουσίας. χαρίζεσθαι γὰρ κυρίως τὸ συνουσιάζειν λέγεται, ὥσπερ Θεόπομπος ἐν Μήδῳ εἰσάγει τὸν Λυκαβηττὸν λέγοντα·

Παρ' ἐμοὶ τὰ λίαν μειράκια χαρίζεται
Τοῖς ἡλικιώταις.

καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσιν [7]) ἐκ μεταφορᾶς·

Πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι.

καὶ Σαπφώ· [8]) Σμικρά μοι πάϊς ἔμμεναι φαίνεαι κἄχαρις, ἢ μήπω δυναμένη διὰ τὴν

1) Fragm. 28. 2) Fragm. 5. 3) Gott. ὁδουρῶν et, quod annotatu vix dignum, ὅμοιος, ut editt. vett. 4) Non opus Heynii coniectura Σόλωνος. 5) Opp. et D. 57. Vulgo κακῷ: Gott. κακόν. 6) Iliad. ε, 723. 7) Vs. 521. Iriv. 8) Fragm. Volger. p. 95 sqq. Mus. crit. Cantabr.

Digitized by Google

ἡλικίαν χαρίσασθαι. § Ἄλλως. Ἀρίσταρχος ἀφ' ἑτέρας ἀρχῆς νῦν ἐπὶ τῆς νεφέλης ὑφίστησι τὸν λόγον τῆς τῷ Ἰξίονι συνευνασθείσης.

78. Ἄνευ δ' οἱ Χαρίτων] οἷον τὸν ἄχαριν γόνον. ἄχαρις γὰρ ἦν τις καὶ ἄγριος ὁ Νεφέλης καὶ Ἰξίονος Κένταυρος. ἰστέον δὲ ὅτι ἐκ Νεφέλης καὶ Ἰξίονος συνίστησιν ὁ Πίνδαρος τοὺς δισωμάτους Κενταύρους· ἐκείνους μὲν γάρ φησι τεκεῖν τὸν τοιοῦτον γόνον, ὃς οὔτε ἐν ἀνθρώποις οὔτε ἐν θεοῖς τιμὴν εἶχεν· ὄνομα δὲ αὐτῷ φησιν εἶναι Κένταυρον. τοῦτον δὲ ἐν Μαγνησίᾳ τῇ Θεσσαλικῇ [1]) ἵπποις μιγνύμενον τοὺς διφυεῖς γεννῆσαι Κενταύρους, ὥστε καὶ ἐκείνους κατὰ τὸ γενικὸν ὄνομα ὀνομασθῆναι Κενταύρους ἀπὸ τῆς τοῦ πατρὸς ὀνομασίας. εἰσί γε μὴν οἱ τὸν ὅλον μῦθον παρεγκεχειρήκασιν ὡς οὐ διφυῶν γεγονότων. Λέλεγας γάρ φασι πρότερον αὐτοὺς προσαγορευομένους διὰ τὸ ἀποκεντῆσαι τοὺς ταύρους [2]): προσαχορευθῆναι Ἱπποκενταύρους· οἱ δὲ ὅτι ἵπποις κέλησιν ἐποχηθέντες πρῶτοι πάντων τοῦτο διεπράξαντο.

80. Μόνα καὶ μόνον] ἀντὶ τοῦ μονόμετρον καὶ ξένον τὴν φύσιν. οἱ δὲ ἀντὶ τοῦ μόνον καὶ οὐκέτι ἕτερον· οὐδεὶς γὰρ ἄλλος υἱὸς νεφέλης ἐγένετο. § ἢ καὶ παρὰ τὰς ἄλλας νεφέλας μόνη ἔτεκε Κένταυρον. § ἐγέννησε, φησί, παῖδα ἡ νεφέλη τῷ Ἰξίονι οὔτ' ἐν ἀνθρώποις γέρας ἀποφερόμενον, ὅ ἐστι τῆς τῶν ἀνθρώπων φύσεως ξένον ὄντα, οὔτ' ἐν τοῖς τῶν θεῶν νόμοις τεμώμενον. ἐκ δὲ τούτου πάλιν οὐδὲ θεοῖς ὅμοιον. [3]) § ἢ τὸν οὔτε τῆς τῶν ἀνθρώπων μετέχοντα φύσεως οὔτε τῆς τῶν θεῶν.

82. Κένταυρον, ὃς ἵπποισιν] ὁ ἐξ Ἰξίονος καὶ νεφέλης Κένταυρος ταῖς Θεσσαλικαῖς ἵπποις ἐμίγνυτο κατὰ τὰς ὑπωρείας τοῦ Πηλίου ὄρους. [4]) § Ἄλλως. Κένταυρον ἄνδρα φησὶ γεννηθῆναι ἐκ τῆς νεφέλης καὶ τοῦ Ἰξίονος· ὃν μιγνύμενον ταῖς ἐν τῷ Πηλίῳ ἵπποις γεννῆσαι τοὺς διφυεῖς Κενταύρους, τὰ μὲν κάτω ἐμφερεῖς τῇ μητρὶ, τὰ δ' ἄνω τῷ πατρί.

T. I, p. 27. Vett. edd. et Gott. μικρά: omisso φαίνεται vett. edd. λιθόχαρις, Gott. φηλιεόχαρις littera φ in media inferiori linea verticali aliam habente horizontalem. Retinui receptam lectionem ex Plutarcho ductam. 1) Vulgo Θρακικῇ: correxit Heynius. Paullo post delevi verba ἔστι δὲ καὶ ἐν τῇ Ἀσίᾳ ἑτέρα Μαγνησία alieno loco intrusa, quae absunt a Gott. 2) Ita Gott. vulgo ἵππους. Centauri quippe sive Hippocentauri non ab equis solis denominati putabantur, ut fere tradit Diodorus IV, 70. sed ἀπὸ τοῦ ἐν ἵπποις κέλησι ἀποκεντῆσαι τοὺς ταύρους, ut constat ex Palaephato I, 1. qui non indocte Larissaeos Centauros cum Ixione statuit, et ex Servio ad Virg. Ge. III, 108. Patet igitur ταύρους huic loco prorsus necessarios esse, sed melior fiet deleto οἱ δὲ, quia quod insequitur, non diversa explicatio est, sed prioris supplementum. Illa vero taurorum venatio ab equitibus instituta, primum stimulis adhibitis, posthac sine stimulis, videtur sane Thessalorum sive Aeolum propria fuisse; quam Larissaei maxime exercebant, ut tradit Artemidorus, et in Thessalia retentam esse usque ad aetatem Theodosii Magni docet Heliodorus Triccae episcopus in historia Aethiopica. Conf. epigr. Philippi Anal. T. II, p. 229, 62. et ibi Iacobs. Animadv. Vol. II. P. II. p. 191. et e veteribus maxime Plin. H. N. VIII, 45. Sueton. Claud. 21. Inde devenit ad Smyrnaeos Aeolum e Thessalia profectorum colonos, apud quos ludi Ταυροκαθαψίων: vide marmor celebre inter Oxoniensia XXXVII. Maitt. II, 58. Chandl. item Chishull. Ant. Asiat. p. 95. Iac. Gronov. Thes. A. Gr. T. VII, p. 854. et p. 870. Iam a Smyrnaeis accepere Ephesii, a Thessalis Romani et haud dubie Athenienses. Rem omnem explicuit Prideaux Marm. Oxon. ed. Maitt. p. 485 sqq. nisi quod eum Scholiastes noster latuit: nec recte is ab Ephesiis ad Smyrnaeos translata Ταυροκαθάψια censet. 3) Postrema addidi e Gott. 4) Ex eodem.

Digitized by Google

85. Ἐκ δ' ἐγένοντο στρατὸς θαυμαστός] ἡ φράσις κατὰ σχῆμα· ἀπὸ πληθυντικοῦ γὰρ ἑνικὸν ἐπήγαγεν εἰπών· Ἐκ δ' ἐγένοντο στρατός. καὶ ἔστι τοῦτο ἐναντίον τῷ παρ' Ὁμήρῳ· [1])

Ἦ πληθὺς ἐπὶ νῆας ἀπὸ στρατοῦ ἀπενέοντο.

καὶ πάλιν· [2])

Αἱ δὲ γυναῖκες
Ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.

§ Ζητεῖται διατί, εἰ ἐν Μαγνησίᾳ τῆς Θεσσαλίας οἱ Κένταυροι ἐτράφησαν, πῶς ἐν Φολόῃ τῇ Ἀρκαδικῇ Ἡρακλεῖ ἀντιτάσσονται. καὶ ῥητέον, ὅτι Πειρίθους ὁ Ἰξίονος παῖς καὶ Δίας τῆς Δηϊονέως ὡς ἂν οἰκειότητα ἔχων πρὸς τοὺς Κενταύρους τὴν τῶν γάμων ἑστίασιν ἐπιτελῶν κέκληκεν αὐτούς, ἐπιλαθόμενος δὲ τῷ Ἄρεϊ θῦσαι ἔσχε μηνίοντα τὸν θεόν· καὶ οὕτως οἱ Κένταυροι τῆς τῶν κρατήρων ἀποπνοίας αἰσθόμενοι κατὰ τὴν εὐωχίαν ἑαυτοὺς οὐδαμῶς ἠδυνήθησαν τῆς ἐμφύτου μανίας κατασχεῖν. ἀκράτου γὰρ οἴνου ἐμφορησάμενοι ταῖς τῶν Λαπιθῶν γυναιξὶν ἀκολάστως ἐφώρμησαν, πολλῶν δὲ ἀναιρεθέντων ἐκ τῶν Κενταύρων εἰς τὴν Φολόην οἱ περιλειφθέντες ἀπέφυγον τὴν οὕτω κληθεῖσαν ἀφ' ἑνὸς τῶν Κενταύρων. [3])

89. Θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσιν] ἐλπίδας νῦν τὰς φρένας φησὶ καὶ τὰς διανοίας. λέγει δὲ, ὅτι θεὸς ὅ, τι ἂν διανοηθείη, τοῦτο καὶ ἀνύει. τοῦτο δὲ γνωμολογεῖ διὰ τὸν Ἰξίονα, ἐπεὶ ὁ Ζεὺς τὴν νεφέλην τῇ Ἥρᾳ ἴσχυσεν ἀπεικάσαι.

91. Θεὸς ὃ καὶ πτερόεντ'] ἐπεὶ τῶν ζώων τὰ μέν ἐστι χερσαῖα, τὰ δὲ θαλάσσια, τὰ δὲ μετάρσια, ἀφ' ἑκάστου εἴδους τῶν τριῶν ἓν παρέλαβε τὸ κρατιστεῦον. τὸν ἀετὸν οὖν, φησὶ, τὸν βασιλέα τῶν πτηνῶν ὁ θεὸς καταλαμβάνει καὶ παραλλάσσει, ὁ δελφὶς δὲ δοκεῖ τῶν ἐναλίων προέχειν καὶ ταχύτατος εἶναι· καὶ τοῦτον δὲ παραμείβεται· καὶ ὁ ἄνθρωπος προέχει τῶν ἐπιγείων· καὶ τοῦτον δὲ ὑψηλοφρονοῦντα καὶ καυχώμενον κατακάμπτει ὁ θεὸς καὶ καταπαλαίει. τοῖς δὲ ἀγαθοῖς τῶν ἀνθρώπων ἀγήραον καὶ ἄφθαρτον εὐδοξίαν ἀπένειμεν.

97. Δάκος ἀδινόν] ἰδίως τὸ δάκος ἀδινὸν εἶπεν, ἀντὶ τοῦ κακόν. βούλεται δὲ λέγειν· ἐμὲ δὲ φεύγειν δεῖ τὰς κακηγορίας, τουτέστι τὸ κατηγορεῖν τινων. αἰνίττεται δὲ εἰς Βακχυλίδην· ἀεὶ γὰρ αὐτὸν τῷ Ἱέρωνι διέσυρεν. [4])

98. Εἶδον γὰρ ἑκὰς ἐών] εἶδον γὰρ, φησὶν, ἐν ἀπορίᾳ βίου τὸν Ἀρχίλοχον καθεστῶτα διὰ τὴν λοιδορίαν, πάντων αὐτὸν ἀποστρεφομένων τῶν ἀνθρώπων. § ἔχθεσι πιαινόμενον· τὸν τοιούτοις ἔχθεσι πιαινόμενον, βαρὺν ἐπιφέρουσιν αὐτῷ λόγον. [5]) δύναται δὲ καὶ ἑτέρως διαιρεῖσθαι, ἵνα διὰ μὲν τοῦ Πόλλ' ἐν ἀμαχανίᾳ ψυγερὸν Ἀρχίλοχον, νοήσωμεν παρὰ τοῖς ἀνθρώποις ψεγόμενον τὸν Ἀρχίλοχον, ἐπεὶ βαρυλόγοις ἔχθεσιν ἐπιαίνετο καὶ ἔχαιρεν, εἰς λοιδορίαν ἀνθρώπων καὶ εἰς κακομηχανίαν καταχρώμενος τῇ ποιήσει. § ἢ οὕτως· εἶδον τὸν Ἀρχίλοχον πιαινόμενον λόγοις ψυγεροῖς ἐν ἀπορίᾳ· ψυγερὸς γὰρ ἦν. § οἷον, καὶ τὸν Ἀρχίλοχον ἐν πενίᾳ εἶδον.

1) Iliad. ο, 305. 2) Iliad. σ, 496. 3) Male Gott. τῶν Τιτάνων. 4) Restitui vulgatam, pro qua Heynius e Gott. receperat αὐτὸς τὸν Ἱέρωνα. 5) Restitui e Gott. qui praeterea αὐτῷ β. ἐ. λόγον.

Digitized by Google

101. Τὸ πλουτεῖν δέ] τὸ δὲ ἐπιτυγχάνειν πλούτου μετὰ σοφίας, ἄριστόν ἐστιν. § ἢ οὕτω· τὸ εὐτυχεῖν καὶ εὐπορεῖν σοφίας σὺν εὐτυχίᾳ ἄριστον. τοῦτο δὲ ἐπὶ Ἱέρωνος ἀκουστέον. ἀπέστρεψε γὰρ εἰς τοῦτον τὸν λόγον καί φησιν· ὃ σὺ ἔχεις σὺν εὐτυχεῖ πότμῳ, σοφίας ἄριστόν ἐστι. ζητεῖται δὲ, πῶς τὸ πλουτεῖν σοφίας λέγει ἄριστον· σοφία γὰρ πλούτου κρείττων. μήποτε οὖν οὐχὶ συγκριτικῶς εἴρηται τοῦ πλούτου τοῦ πρὸς τὴν σοφίαν συγκρινομένου· ἐχρήσατο γὰρ ἂν οὐχ ὑπερθετικῇ τῇ λέξει τῇ ἄριστον, ἀλλὰ συγκριτικῇ τῇ ἄρειον. ἄρειον μὲν γὰρ τόδε τοῦδε, ἄριστον δὲ ἐπὶ πολλῶν. δῆλον οὖν, ὅτι τὸ πλουτεῖν τέταχεν οὐ κυρίως ἐπὶ τοῦ νοουμένου κατὰ τὸν βίον πλούτου, οἷον περιουσιάζειν χρήμασιν, ἀλλὰ μεταφορικῶς, τὸ πληθύνειν καὶ περιουσιάζειν ἐν πότμῳ σοφίας ἄριστόν ἐστιν, οἷον, τὸ τῇ σοφίᾳ πλουτεῖν ἄριστον. Ἀρίσταρχος δὲ οὕτως· οἷον εἴ τις λέγει, εὐποτμότατός ἐστιν ὁ πλουτῶν καὶ σοφίας ἅμα τυγχάνων.

104. Τὺ δέ] τοῦτο πρὸς τὸν Ἱέρωνα εἶπε· σὺ δὲ ἐλεύθερος ὤν, ὦ Ἱέρων, ἐν ἐλευθέρᾳ τῇ φρενὶ τὴν ἀρετὴν ἔχων καὶ τὴν σοφίαν ἣν προεῖπε, καὶ πλουτῶν δύνασαι καὶ ἑτέροις πεπαρεῖν ἤγουν πορίσαι καὶ παρασκευάσαι, ἢ περιποιῆσαι, [1]) ἢ παρασχεῖν ἢ πλουσίους ἀποδεῖξαι.

106. Πρύτανι κύριε] κυριωτικὲ καὶ τελεστικὲ, τουτέστι πάντων ἔχων τὴν κυριότητα. § ἢ ὅτι κυριεύεις πάντων. § Ἄλλως. Εὐστεφάνων ἀγυιῶν· ἤγουν ὑψηλῶν, ἢ εὖ τετειχισμένων. στέφανος γὰρ πόλεώς ἐστι τὸ τεῖχος.

108. Εἰ δέ τις ἤδη] εἰ δέ τις πλούτῳ καὶ τιμῇ, φησὶν, ἕτερόν τινα τῶν κατὰ τὴν Ἑλλάδα τῶν πρὸ τούτου μείζονα καὶ ἀξιολογώτερον λέγει γεγενῆσθαι, κούφῃ [2]) καὶ ματαίᾳ φρενὶ διαπαλαίει καὶ μάχεται, ἤτοι ἀνόητός ἐστι καὶ ἀναίσθητος. § παλαιμονεῖ· οἷον ματαιολογεῖ, καὶ οἷον ἐλπίδι καὶ ἐλαφρᾷ καὶ κούφῃ παλαίει φρενὶ, ἀσύνετός ἐστιν. [3])

113. Εὐανθέα δ' ἀναβάσομαι] ἤδη δὲ ὁρμήσω ἀνθηρῶς ἀνυμνήσων τὴν ἀρετὴν τοῦ Ἱέρωνος. § ἢ οὕτως· ἐπὶ τὸν ἀνθηρὸν στόλον ὁρμήσω τῆς ἀρετῆς τοῦ Ἱέρωνος, διὰ τοὺς στεφάνους· ἢ διὰ τὸ περὶ Ἰξίονος προειπεῖν. μεταβὰς τοίνυν ἐπὶ τὴν εὐανθῆ ὁδὸν ἀναβήσομαι. § Ἄλλως. ἐπειδὴ γὰρ περὶ λοιδοριῶν διεξῆλθε καὶ τῆς ἐξ ἀρχῆς δυσφημίας, φησὶν, ὅτι ἐπ' εὐανθεστέραν ὁδὸν λόγων ἀναβήσομαι καὶ ὑμνήσω σε, Ἱέρων, περὶ τῆς ἀρετῆς σου λέγων. ἡ δὲ μεταφορὰ τοῦ Εὐανθῆ στόλον ἀπὸ τῶν πλεόντων ἡδέως.

115. Νεότατι μέν] τῇ νεότητι μὲν βοηθεῖ ἡ περὶ τὸ πολεμεῖν θρασύτης. τοῦτο δὲ ἐν τῷ καθόλου γνωμικῶς ἀναπεφώνηκεν· ὅθεν φημὶ καὶ σὲ τὴν ἄπειρον δόξαν εὑρηκέναι, ἐκ τῶν πολέμων δηλαδὴ τῶν σοὶ κατωρθωμένων διὰ τὴν νεότητα. τοῦτο δέ φησι, παρόσον νέος ὢν ὁ Ἱέρων σὺν Γέλωνι τῷ ἀδελφῷ τοὺς ἐπὶ Σικελίας πολέμους διήνεγκε. τὸ δὲ ὅθεν ἀντὶ τοῦ ἀπὸ τῆς θρασύτητος τῆς περὶ τοὺς πολέμους.

121. Βουλαὶ δὲ πρεσβύτεραι ἀκίνδυνον ἐμοὶ ἔπος] οἷον, ὑπὲρ τὴν νεότητα βουλεύη. καὶ Σοφοκλῆς ἐπὶ τοῦ Τρωΐλου·

Τὺν ἀνδρόπαιδα δεσπότης ἀπώλεσα,

1) Ἢ περιποιῆσαι addidi e Gott. 2) Ita correxi. Vulgo κωφῇ. 3) Haec Gott. in quo ἀσύνθετος.

Digitized by Google

παῖδα μὲν τῇ ἡλικίᾳ, ἄνδρα δὲ τῷ φρονήματι. τοῦτο δὲ εἶπεν ὁ Πίνδαρος, ὅτι ἐν τῇ νεότητι μὲν πολεμικὸς ἦν ὁ Ἱέρων, ἐν ἡλικίᾳ δὲ εὔβουλος. § ὁ δὲ νοῦς· αἱ δὲ σαὶ γνῶμαι καίτοι ἀκμαίου ὄντος πρεσβύτεραί εἰσι καὶ συνεταί· διὸ ἀκίνδυνόν μοι παρέχουσιν αἱ σαὶ γνῶμαι τὸ κατὰ πάντων ἐγκωμιάζειν σε. § ἢ οὕτως· ἀκίνδυνον ἐμοὶ τῷ τοὺς ἐπαίνους παρέχοντι, πρὸς πάντα λόγον σε ἐπαινεῖν, οἷον οὐκ ἐλεγχθήσομαι ὑπό τινος ὡς ψευδῶς σε ἐπαινῶ. ἃ γὰρ ἔχεις, ταῦτα καὶ λέγω.

125. Τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολάν] οἷον ἐπὶ κέρδει καὶ πράσει· οἱ γὰρ Φοίνικες παλιγκάπηλοι. καὶ Σοφοκλῆς· [1])

Ὠνὴν ἔθου καὶ πρᾶσιν, ὡς Φοῖνιξ ἀνήρ,
Σιδώνιος κάπηλος.

καὶ ὁ Κωμικός· [2])

εὐθὺς δὲ Φοῖνιξ γίγνομαι·
Τῇ μὲν δίδωμι χειρὶ, τῇ δὲ λαμβάνω.

τοῦτο δὲ εἶπεν ὁ Πίνδαρος, παρόσον διὰ μισθοῦ συντέταχε τὸ ἐγκώμιον τῷ Ἱέρωνι. ἔστι δὲ ὃ λέγει τοιοῦτον· τοῦτο μὲν τὸ μέλος καὶ τοῦτον τὸν ἐπίνικον κατὰ τὴν τῶν Φοινίκων ἐμπορίαν, ἀντὶ τοῦ λαβὼν παρὰ σοῦ μισθὸν, [3]) διὰ τῆς λευκῆς θαλάσσης παραπέμπομαί σοι.

127. Τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς] τὸ δὲ Καστόρειον μέλος ὑπορχηματικὸν, Αἰολικῷ ῥυθμῷ συντεταγμένον, ὅπερ ὡς χάριν καὶ προῖκά σοι διεπεμψάμην, ἀπαντήσας τῷ μέλει, φησὶ δὲ τῷ Καστορείῳ, καὶ ὑποδεξάμενος αὐτὸ διὰ τῆς ἑπταμίτου κιθάρας, φησὶ δὲ τῇ λύρας, ἑκὼν ἐπιθεώρησον, ἀντὶ τοῦ κροῦσον καὶ δοκίμασον τὸ μέλος, εἰ εὐρύθμως γέγραπται. § Ἄλλως. Αἰολίδεσσι· Βοιωτίαις· ἐκεῖθεν γὰρ ὁ Πίνδαρος. § Ἐν Αἰολίδεσσι· ἐπεὶ οἱ Αἰολεῖς κιθαρῳδοί. τὸ δὲ μέλος Αἰολικῷ ῥυθμῷ συνέταξε. τοιοῦτόν ἐστι καὶ τὸ ἑτέρωθι λεγόμενον· [4])

Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.

§ Ἄλλως. τὸν ἐπίνικον ἐπὶ μισθῷ συντάξας ὁ Πίνδαρος ἐκ περιττοῦ συνέγραψεν αὐτῷ προῖκα ὑπόρχημα, οὗ ἡ ἀρχή, [5])

Σύνες ὅ, τι [6]) λέγω ζαθέων ἱερῶν ἐπώνυμε·

ὃ δὴ Καστόρειον εἶπε διὰ τὸ τὴν ἔνοπλον ὄρχησιν κατ' ἐνίους τοὺς Διοσκούρους εὑρεῖν· ὀρχηστικοὶ γάρ τινες οἱ Διόσκουροι. ὁ δὲ Ἐπίχαρμος [7]) τὴν Ἀθηνᾶν φησι τοῖς Διοσκούροις τὸν ἐνόπλιον νόμον ἐπαυλῆσαι, ἐξ ἐκείνου δὲ τοὺς Λάκωνας μετ' αὐλοῦ τοῖς πολεμίοις προϊέναι. τινὲς δὲ ῥυθμόν τινά φασι τὸ Καστόρειον, χρῆσθαι δὲ αὐτῷ τοὺς Λάκωνας ἐν τῇ πρὸς τοὺς πολεμίους συμβολῇ. διέλκεται δὲ ἡ τῆς πυῤῥίχης ὄρχησις, πρὸς ἣν τὰ ὑπορχήματα ἐγράφησαν. ἔνιοι μὲν οὖν φασι πρῶτον Κούρητας τὴν ἔνοπλον ὀρχήσασθαι ὄρχησιν, αὖθις δὲ Πύῤῥιχον Κρῆτα συντάξασθαι, Θαλήταν [8]) δὲ πρῶτον τὰ εἰς αὐτὴν ὑπορχήματα· Σωσίβιος δὲ, τὰ ὑπορχηματικὰ μέλη πάντα Κρητικὰ λέγε-

1) Fragm. inc. 82. 2) Vulgo abest δὲ, quod addidit Hemsterh. ad Aristoph. Plut. p. 447. Praeterea fuit γένωμαι: sed γίνομαι Heynius dedit e Gott. 3) Contraxi cum Gott. 4) Nempe a Pindaro. 5) Vide fragmenta. 6) Gott. ὅ τοι. 7) In Musis ap. Athen. IV, p. 184. F. 8) Libri Θάλητα: non dubitavi Θαλήταν reponere, etsi in hoc nomine passim variatur. De Thaletae in musica constituenda meritis dixi paucula de metr. Pind. II, 7. p. 143.

Digitized by Google

σθαι· ἔνιοι δὲ οὐκ ἀπὸ Πυῤῥίχου τοῦ Κρητὸς τὴν πυῤῥίχην ὠνομάσθαι, ἀλλ' ἀπὸ Πύῤῥου τοῦ Ἀχιλλέως παιδὸς ἐν τοῖς ὅπλοις ὀρχησαμένου ἐν τῇ κατὰ Εὐρυπύλου τοῦ Τηλέφου νίκῃ· Ἀριστοτέλης δὲ πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυῤῥίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κυπρίοις φησὶ πρύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυῤῥίχης τὸ ὄνομα θέσθαι. [1]) § Καστόρειον] ὡς ἀπό τινος Κάστορος τοῦτο ἐφευρόντος. [2]) § ὅπερ ποτὲ μὲν ἀπεστάλη τῷ Ἱέρωνι μετὰ τοῦ παρόντος εἴδους, νῦν δὲ οὐχ εὑρίσκεται. [3])

131. Γένοιο δ' οἷος ἐσσὶ μαθών] ἐπισκεψάμενος, φησί, τὸν ἀποσταλέντα σοι ὕμνον διάμεινον ἴσος τῷ ἐξ ἀρχῆς τρόπῳ, καὶ μὴ μεταβληθῇς τὴν προαίρεσιν ὑπὸ τῶν κολακευόντων σε. § μαθὼν δὲ, φησὶ, τὸ γεγραμμένον γενοῦ οἷος εἶ, σοφὸς, καὶ σύνες τὸ λεγόμενον, ὃ οἱ παῖδες εἰώθασι λέγειν, πίθων καλὸς, πρὸς τὸν πίθηκον οὐκ ὄντα καλὸν ἀλλ' εἰδεχθῆ. μαθὼν οὖν τοῦτο, φησὶ, γενήθητι οἷος εἶ. ἀνοίκειον γάρ ἐστι τὸν μὲν πίθηκον παισὶν ἀεὶ εἶναι καλὸν, τοὺς δὲ συνετοὺς ἄνδρας ἐξ ἀρετῆς εἰς κακίαν μεταπίπτειν. § ἢ οὕτω· μὴ πείθου ταῖς τῶν κολάκων ἀπάταις, μηδὲ λέγεσθαι μὲν σοφὸς βούλου, τῷ δὲ πράγματι εἶναι ἄσοφος, ὥσπερ ὁ πίθων. ὡς γὰρ παρὰ τοῖς παισὶ καλός ἐστιν ὁ πίθηκος, οὕτω παρὰ τοῖς ἄφροσι καὶ κόλαξιν οἱ ὑπερέχοντες λέγονται σοφοὶ, καὶ πάντα ἔχειν τὰ ἀγαθά· δεῖ δὲ αὐτοῖς μὴ πιστεύειν, ἀλλὰ τοῖς βελτίοσι καὶ σοφοῖς. § Ἄλλως. μαθὼν οἷος ἐσσὶ, οἷος εἶ ἐξ ὧν ἔγραψα, γένοιο τοιοῦτος. § ἢ οὕτως· οἷος εἶ, μὴ ἀπατηθῇς. ταῦτα δὲ ἔνιοι τείνειν αὐτὸν εἰς Βακχυλίδην· [4]) εὐδοκιμῆσαι γὰρ αὐτὸν παρὰ τῷ Ἱέρωνι. § Ἄλλως. αἰνίττεται εἰς τὸν Βακχυλίδην· οἷον, παρὰ τοῖς παισὶ μὲν δοκεῖ καλὸς εἶναι ὁ πίθηκος, παρὰ δὲ τοῖς ἀνδράσιν οὐκέτι· γινώσκεται γὰρ ἀκριβῶς τὸ ζῶον. ἔνιοι δὲ οὕτως· ὥσπερ ὁ πίθηκος σπουδάζεται παρὰ τοῖς παισὶν, ἤτοι δοκεῖ καλὸς εἶναι καὶ γελοῖος, φαῦλος ὤν, οὕτω καὶ ὁ Βακχυλίδης. δύναται δὲ καὶ οὕτω νοεῖσθαι· ὁ Βακχυλίδης παρὰ παισὶ δοκεῖ εἶναι σοφὸς, παρὰ τελείοις δὲ οὐκέτι. καὶ ὁ Βακχυλίδης παρὰ παισὶ μὲν [5]) ἄφροσιν εὐδοκιμείτω, παρὰ δὲ σοὶ σοφῷ ὄντι πίθηκος ἔστω. § ἢ οὕτως· ὡς ὁ πίθηκος ἀκούων παρὰ τῶν παίδων, ὅτι καλός ἐστιν, ἐπαίρεται, οὕτω καὶ οἱ μάταιοι τῶν ἀνθρώπων ἐπαίρονται καὶ καυχῶνται, ὅπερ τοῖς φρονοῦσιν οὐχ ἁρμόζει εἰδόσιν ὅτι κατὰ κολακείαν καὶ ἐνέδραν ἐπαινοῦνται, οὐκ ἐξ ἀληθείας. μήποτε οὖν χαριέστερόν ἐστιν οὕτως ἀκούειν· Θρασυδαῖος ἑταῖρος ἦν Πινδάρου, Ἱέρων δὲ ἐπεπολεμήκει Θήρωνι τῷ Θρασυδαίου πατρί. εἰκὸς οὖν διαβεβλῆσθαι τὸν Πίνδαρον τῷ Ἱέρωνι, ὅθεν ἀπολογούμενος εἰς τοῦτο πᾶσαν ἀναφέρει παραίνεσιν. § ἤγουν, καλοὶ μὲν δοκοῦσιν εἶναι οἱ ἐμὲ ψέγοντες Βακχυλίδης καὶ οἱ ἕτεροι τοῖς μὴ συνετοῖς, ὡς πίθηκες τοῖς παισίν. ἀλλ' οὐχὶ καὶ παρὰ τοῖς συνετοῖς. οὓς μὴ δέχοιο, εἰ θέλεις συνετὸς εἶναι κατ' ἐμοῦ λέγοντος. [6])

133. Ὁ δὲ Ῥαδάμανθυς, φησὶ, διὰ τὸ μὴ εὐεξαπάτητος εἶναι σοφὸς ὑπείληπται· καὶ σὺ οὖν, ὦ Ἱέρων, διαβολῇ μὴ πείθου σοφὸς ὤν, μηδὲ μὴν πιθηκισμοῖς, ὅ ἐστιν ἀπάταις. § Ἄλλως. ὁ λόγος παραινετικός ἐστιν Ἱέρωνι, ὅτι οὐ προσήκει σε κο-

1) Post haec delevi verba ὁ δὲ νοῦς, et quae sequuntur, quae primo scholio continentur. 2) Inepta nota, ex Pal. C. 3) Ex Pal. C. 4) Dedi e Gott. 5) Supplevi e Gott. 6) Addidi e Pal. C,

Digitized by Google

λακεύουσιν ἥδεσθαι. οἱ γὰρ τοιοῦτοι φιληδεῖς εἰσι παισὶ, τελείοις γε μὴν οὐκέτι. ὁ γάρ τοι Ῥαδάμανθυς ἐπίδοξος γέγονεν ὅτι ἄψεκτον τῶν φρενῶν εἶχε τὸν καρπὸν, τουτέστι τὸν λογισμὸν, καὶ οὐδαμῶς ταῖς ἀπάταις ἐτέρπετο τὴν ψυχὴν, οἷα μάλιστα ταῖς τῶν κολάκων καὶ ἀπατεώνων μηχαναῖς εἴωθε παρακολουθεῖν.

138. Οἷα ψιθύρων] ψιθύρους τοὺς κόλακας λέγει καὶ ἀπατεῶνας παρὰ τὸ ἠρέμα ὑποψιθυρίζειν. ὁ δὲ λόγος γνωμικός· ἀκαταμάχητον κακὸν τὸ τῶν κολάκων φῦλον. τὸ δὲ ἄμαχον κακὸν δύναται συνάπτεσθαι τῷ ἀμφοτέροις, ἵν' ᾖ· οἱ ψίθυροι ἄμαχον κακόν εἰσιν ἀμφοτέροις, καὶ τῷ διαβαλλομένῳ καὶ τῷ πρὸς ὃν διαβάλλουσιν. ὑποφάτιες δὲ, ἀντὶ τοῦ ἑρμηνευταὶ καὶ διάβολοι, παρὰ τὸ φατίζειν καὶ λέγειν. § τὸ δὲ ἀμφοτέροις, ὅτι τόνδε μὲν τῷδε διαβάλλουσι, τόνδε δὲ τῷδε· ὅπερ Ὅμηρος ἀλλοπρόσαλλόν φησι. διαβολιᾶν δὲ ἀντὶ τοῦ διαβολῶν Δωρικῶς, ἤτοι κατηγοριῶν. [1])

141. Ὀργαῖς ἀτενές] τὸ ὀργαῖς ἀντὶ τοῦ τρόποις· καὶ ἀτενές ἐστιν εὐθύτατα καὶ ὀρθότατα. [2]) διὰ δὲ τούτου τὸ ὁμοιότατον δηλοῖ. καθόλου δὲ τοῖς τῶν ἀλωπέκων τρόποις εἰσὶν ὅμοιοι.

142. Κέρδει δὲ τί μάλα τοῦτο;] ἐρωτηματικὸς ὁ λόγος· ἀλλὰ καὶ κέρδει τοῦτο ποιοῦσιν, εἶτα ἡ ἐπαγωγή· τί δὲ αὐτοῖς τοῦτο τὸ κατηγορεῖν ἐπικερδὲς τυγχάνει; ὁ αὐτὸς καὶ ἐν ἄλλοις· [3]) Ἀκέρδεια λέλογχε θαμινὰ κακηγόρους. § Ἄλλως. τὸ δὲ διαβάλλειν οὐδὲν ἐπικερδὲς ἔχει. § Ἄλλως. τί αὐτοῖς κέρδος ἐστὶ τὸ διαβάλλειν ἐμέ;

144. Ἅτε γὰρ ἐνάλιον] ἐγὼ γὰρ ὡς φελλὸς ἁλιευτικοῦ δικτύου, αὐτοῦ ὄντος ἐν βάθει, ἐπιπλέω καὶ οὐ βαπτίζομαι. ὡς ὑπὸ τοῦ [4]) ἄλλου σκεύους βαρύνεται ὁ φελλὸς καὶ οὐ δύνει, οὕτω κἀγὼ ἀβάπτιστός εἰμι ὡς ὁ φελλός. § ἐκεῖνοι μὲν οὖν, φησὶ, κατηγοροῦσί μου, ἐγὼ δὲ ὥσπερ φελλὸς [5]) σαγήνης πονούσης καὶ βάθος λοιπὸν ἐχούσης κατὰ τοῦ πελάγους, ἀβάπτιστός εἰμι. § ἢ ὡς ὁ φελλὸς ἐπινήχεται ὑπὲρ τὴν τῆς θαλάσσης ἐπιφάνειαν ἀβαπτίστου φύσεως ὤν, οὕτω κἀγὼ ταῖς τῶν ἄλλων κατηγορίαις ἀβάπτιστός εἰμι, ἑτέρας σκευῆς ὤν, ὡς πρὸς τὴν σαγήνην ὁ φελλός. ὁ φελλὸς δὲ καὶ ἀρσενικῶς καὶ θηλυκῶς κλίνεται. § τὸ δὲ βαθὺ συναπτέον τῷ ἕρκος. [6])

147. Ὑπὲρ ἕρκος ἅλμας] τῆς θαλασσίας ἐπιφανείας, ὅτι τῇ ἑαυτῆς ἐπιφανείᾳ περιτειχίζεται.

148. Ἀδύνατον δ' ἔπος] ἀδύνατον δέ ἐστι τὸν διαβάλλοντα ἐν ἀγαθοῖς ὄντα ἀνθρώποις εἰπεῖν τι κραταιόν· κραταιὸν δὲ, ἤγουν κρατυνθῆναι καὶ πιστευθῆναι δυνάμενον. § ἢ οὕτως· ἀδύνατον δέ ἐστι τὸν δόλιον ἄνδρα, φαῦλα λέγοντα καὶ ψευδῆ, πεῖσαι συνετὸν ἄνδρα καὶ φρόνιμον. § Ἄλλως. ἀδύνατον δέ ἐστι δόλιόν ποτε λέγειν τινὰ ἐν ἀγαθοῖς καὶ φρονίμοις ἀνδράσι λόγον ἰσχυρὸν πρὸς ἀπάτην καὶ πιστόν· ἀσθενὲς γὰρ λέγει. [7])

150. Ὅμως μάν] ὅμως πάντας κολακεύων ὁ δόλιος ἀνὴρ ἐπιπολὺ καλῶς διανύει τὸν βίον, πλοκήν τινα ποιῶν.

[1]) E Gott. Homerus Iliad. ε, 831. 889. [2]) E Gott. deleto ὅτι post prius καὶ. [3]) Olymp. I, 53. [4]) Articulum de meo addidi. [5]) Hanc vocem de meo adieci. [6]) E Gott. [7]) Dedi haec scholia e Gott. nisi quod e vulgatis in fine adieci ἀσθ. γ. λ. et mutavi verba codicis confusa ἰσχυρὸν, καὶ πρὸς ἀπάτην ἰσχυρὸν καὶ πρὸς ἀπατῶν πιστόν.

Digitized by Google

152. Πάγχυ διαπλέκει] πλοκήν τινα ποιεῖ. ἐὰν διάπλεκε γέγραπται, πρὸς ἑαυτὸν λέγει ὁ Πίνδαρος. [1])

153. Φίλον εἴη φιλεῖν] εἴη μοι τοὺς μὲν φίλους τῶν ἀνθρώπων φιλεῖν, πρὸς δὲ τὸν ἐχθρὸν λύκου τρόπον ὑποδραμοῦμαι καὶ τὰ ἴχνη αὐτοῦ ὡς λύκος φυλάξω, ἐπ' ἄλλο καὶ ἄλλο βαίνων, τοῦ ἐχθροῦ ἄλλοτε ἄλλα πράγματα διαψηλαφῶν, ὥστε τοῦτον βλάψαι. οἱονεὶ ἐπιπατῶν αὐτοῦ τοῖς ἴχνεσι καὶ βλάπτων αὐτὸν οὐκ ἐκ τοῦ φανεροῦ ἀλλὰ λεληθότως. § Ἄλλως. μὴ πρὸς πάντας εἴη μοι σαίνειν, φησί, καὶ φίλους καὶ ἐχθρούς, ἀλλὰ πρὸς μὲν φίλον σανῶ, τὸν δὲ ἐχθρὸν ἐπιτηρήσω, ἵνα μετέλθω καθάπερ λύκος ἐνεδρεύων, οὐκ εὐθείαις ἀλλὰ σκολιαῖς ὁδοῖς, τουτέστιν οὐχ ἑνὶ τρόπῳ ἀλλὰ παντοῖος ἔσομαι.

157. Ἓν πάντα δὲ νόμον] κατὰ πᾶσαν ἀρχήν· ἐπεὶ τρεῖς φησι πολιτείας εἶναι, δημοκρατίαν, ἀριστοκρατίαν, βασιλείαν. [2]) ὁ δὲ νοῦς· ὁ εὐθυῤῥήμων καὶ παῤῥησιαστικὸς, ὁ μὴ ἕτερα μὲν λέγων ἕτερα δὲ νοῶν, κρείττων ἐστὶν, ἔν τε βασιλείᾳ καὶ ἐν δημοκρατίᾳ καὶ ὅταν τὴν πόλιν οἱ σοφοὶ καὶ ἄριστοι διοικῶσι. προφέρει γὰρ οὐχ ὑποκρινόμενος.

161. Χρὴ δὲ πρὸς θεόν] προσήκει δὲ μὴ φιλονεικεῖν πρὸς τὸ δαιμόνιον, ἀλλ' οἷα ἂν διδῷ, ταῦτα καὶ φρονεῖν. πολλάκις γὰρ τὰ τούτων ὕψοῖ, ἄλλοτε δὲ τὰ τῶν ἑτέρων ἄλλοις ἔδωκεν. § Ἄλλως. οἱ διαβάλλοντες, φησὶ, τοῖς θεοῖς ἐρίζουσιν. οὐ δεῖ γοῦν θεοῖς ἀντιβαίνειν. ὃς ἀνέχῃ· οἱονεὶ μετεωρίζει, ὥστε εἶναι περὶ αὐτὸν μεγάλην δόξαν. [3]) § Ἄλλως. κἀγὼ οὖν, φησὶ, τὰ νῦν εἴξω τῷ Βακχυλίδῃ παρὰ θεῶν εὖ πράττοντι, καὶ οὐκ ἀντιβήσομαι τῇ προαιρέσει ἐπιπλεῖστον.

165. Ἀλλ' οὐδὲ ταῦτα] ἐπεὶ προείρηκεν, ὅτι τὸν μὲν ὁ θεὸς ὕψοῖ, τὸν δὲ καταῤῥιπτεῖ, [4]) καὶ οὐκ ἐν τῇ αὐτῇ τάξει τὰ πράγματα μένει, φησὶν, ὅτι οὐδὲ ταῦτα τοὺς φθονεροὺς καὶ διαβόλους πινεῖ εἰς τὸ ἀπέχεσθαι τοῦ πρὸς τοὺς πέλας φθόνου καὶ λογίζεσθαι, ὡς οὐ παραμενεῖ αὐτοῖς ἡ νῦν δοκοῦσα παρεῖναι εὐτυχία. § Ἄλλως. οὐκ ἰαίνει οὖν, φησὶ, ταῦτα οὐδὲ προσπαθῆ ποιεῖ τὸν νοῦν αὐτῶν, ἵνα παύσωνται διαβάλλοντες. [5])

166. Στάθμας δέ τινος] οἱ σταθμώμενοι δὲ πολλὰ καὶ περιγράφοντες μεγάλα τινὰ μέλλοντα αὐτοῖς ἔσεσθαι, προωδυνήθησαν πρὶν τυχεῖν, ὧν ἐπιζητοῦσι καὶ ἐλπίζουσιν. § ἡ ἀναφορὰ πάλιν εἰς Βακχυλίδην. εἴληπται δὲ οὕτως ἡ διάνοια, διὰ τὸ παρὰ Ἱέρωνι τὰ Βακχυλίδου ποιήματα προκρίνεσθαι, καί φησιν ὅτι φέρειν δεῖ τὰ τῆς τύχης συμπτώματα.

168. Ἐνέπαξαν ἕλκος] οἷον, ἥλκωσαν αὐτῶν τὴν καρδίαν, πρὶν κακῶσαί τινα καὶ κατορθῶσαι, ἃ κατ' ἀλλήλων μηχανῶνται· ὅ ἐστιν, ἄδικα φρονοῦντες πρότερον ἑαυτοὺς ὀδυνῶσι πρὶν ἄλλους κακῶσαι.

171. Φέρειν δ' ἐλαφρῶς] τὰ δὲ προσπίπτοντα παρὰ τῆς τύχης ὑποβάλλοντα

1) E Gott. Nolui mutare soloecum γέγραπται in scholiis passim obvium. 2) Simile scholium est in Pal. C. sed nullius pretii. Pro voce ἀριστοκρατίαν non male Gott. ὀλιγαρχίαν, et pro βασιλ. idem τυραννίδα. Versus finem cum Gott. delevi verba ἔν τε ἀριστοκρατίᾳ, sed de meo addidi καὶ ante ὅταν. Quippe ἀριστοκρατία est, ὅταν τὴν πόλιν οἱ σοφοὶ καὶ ἄριστοι διοικῶσιν. 3) E Gott. qui μεγάλων. 4) Sic Gott. et praestat haec lectio ob oppositum ὑψοῖ, quamquam κατακρύπτει defendi poterat. V. Doederl. Spec. Sophocl. p. 105. 5) Scholium Pal. C. ad hunc locum omitto, quod pars tineis comesa est.

Digitized by Google

τὸν αὐχένα ὑπομένειν συμφέρει. § Ἄλλως. φέρειν δὲ ἐλαφρῶς καὶ ἄνευ φιλονεικίας τὸν παρὰ τῆς τύχης ζυγὸν συμβάλλεται, ὥςπερ βοῦν ὑποδύντα τὸν ζυγόν. [1]) πάλιν δὲ αὐτῷ πρὸς τὸ τοῦ Βακχυλίδου μέρος ἀναφέρεται ὁ λόγος. ἕλξω γάρ, φησὶ, τὸν ζυγὸν, ὡς ἡ τύχη ἠβουλήθη, διὰ τὸ τιμᾶσθαι παρὰ σοὶ, ὦ Ἱέρων, μᾶλλον ἐμοῦ τὸν Βακχυλίδην. § Ἄλλως. ἐπικουρητικόν ἐστι καὶ ἀρκτικὸν τὸ μὴ ἀνατείνειν ταῖς τῶν θεῶν βουλήσεσιν. [2]) § Ἄλλως. βούλονται ὑποδύντα τὸν ζυγὸν καὶ κατακύψαντα ἕλκειν καὶ προκόπτειν τὸ ἔργον τοῦ βίου. ἐπεὶ οὖν Βακχυλίδης ἐστί σου φίλος, ἕλξω ὑποδὺς τὴν τῆς τύχης ζεύγλην ὡς βοῦς. [3])

173. Ποτὶ κέντρον] λακτίζειν δὲ πρὸς κέντρον οὐκ ἀσφαλὲς, οὐδὲ ἀβλαβὴς ὁδὸς τυγχάνει· τουτέστιν, οὐ συμφέρει τῇ τύχῃ ἄνθρωπον ὄντα διαμάχεσθαι. ἡ δὲ τροπὴ ἀπὸ τῶν βοῶν· τῶν γὰρ βοῶν οἱ ἄτακτοι κατὰ τὴν γεωργίαν κεντριζόμενοι ὑπὸ τοῦ ἀροῦντος λακτίζουσι τὸ κέντρον καὶ μᾶλλον πλήττονται. § Ἄλλως. οὐ βούλομαι, φησὶ, βίᾳ φίλος σου εἶναι, ἀλλὰ αἱρετός. § Ἄλλως. ἐγὼ, φησὶ, πρὸς κέντρον οὐ λακτίζω, ἀλλ' εἴξας ἕλξω τὸν ζυγὸν, ὅπερ ἐστὶ τὸ ἔργον τοῦ βίου. Αἰσχύλος Ἀγαμέμνονι· [4])

Πρὸς κέντρα μὴ λάκτιζε, μὴ παίσας μογῇς.

καὶ Εὐριπίδης· [5])

Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου.

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Γ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρίτου τῶν Πυθίων εἴδους.

Τῆς τρίτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ιγ'. Τὸ α' ὅμοιον τῷ· Ἀμβολὰς τεύχης ἐλελιζομένα. [6]) Τὸ β' τὸ αὐτὸ τῷ πρώτῳ. Τὸ γ' δίμετρον ἰαμβικὸν ἀκατάληκτον, ὅμοιον τῷ· Τίς σὰς παρήειρε φρένας. [7]) Τὸ δ' προσοδικόν. Τὸ ε' δακτυλικὸν πενθημιμερές. Τὸ ς' ἀναπαιστικὸν μονόμετρον. Τὸ ζ' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ η' Ἰωνικὸν ἀπὸ μείζονος μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ θ' προσοδικόν. Τὸ ι' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος καταληκτικόν. Τὸ ια' πενθημιμερὲς δακτυλικόν. Τὸ ιβ' χοριαμβικὸν [8]) τρίμετρον καταληκτικόν. Τὸ ιγ' ἐγκωμιολογικόν.

1) Refinxi e Gott. 2) E Gott. deleto μου post θεῶν. 3) Ex eodem. 4) Vs. 1616. Codex παίσας: textus Aeschyli πήσας. 5) Fragm. Peliad. 4. Scholium hoc Heynius e Gott. male transcripserat. 6) Pyth. I, 7. vulg. 7) Est colon Archilochium. 8) Constitutum ex prima stropha, ubi vulgo in secunda sede choriambus -αρκέος Ἀσκλ.

Digitized by Google

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ιε'. Τὸ α' ὅμοιον τῷ α' τῆς στροφῆς. Τὸ β' τροχαϊκὸν τρίμετρον καταληκτικὸν, Πινδαρικόν. Τὸ γ' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος. Τὸ ε' ὅμοιον τῷ· Ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι. [1]) Τὸ ς' πενθημιμερὲς δακτυλικόν. Τὸ ζ' ὅμοιον τῷ· Τίς σὰς παρήειρε φρένας. Τὸ η' ὅμοιον τῷ ς'. Τὸ θ' ὅμοιον τῷ ζ'. Τὸ ι' ὅμοιον τῷ ς' ἢ τῷ η'. Τὸ ια' προσοδικόν. Τὸ ιβ' δίμετρον τροχαϊκὸν ἐπιχοριαμβικόν. Τὸ ιγ' Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ιδ' μονόμετρον ἀναπαιστικὸν, ὅμοιον τῷ ἕκτῳ τῆς στροφῆς. Τὸ ιε' ὅμοιον τῷ· Τίς σὰς παρήειρε φρένας.

Τῷ αὐτῷ Ἱέρωνι κέλητι.] Γράφει τὸν ἐπίνικον Ἱέρωνι νικήσαντι κέλητι τὴν εἰκοστὴν ἕκτην καὶ τὴν εἰκοστὴν ἑβδόμην Πυθιάδα. καὶ φανερὸν, ὅτι εἰς ἀμφοτέρας τὰς νίκας τὸν ἐπίνικον συντάττει, δι' ὧν ὀνομάζει στεφάνους καὶ κώμους ἀέθλων. [2]) τὸ δὲ προοίμιον πρὸς τὴν τοῦ Ἱέρωνος νόσον ἐστίν· κατεύχεται γὰρ ἀναβιῶσαι τὸν Χείρωνα καὶ ὑγιάσαι τῆς νόσου τῆς λιθουρίας τὸν Ἱέρωνα. [3]) § Ἄλλως. Χείρων ὁ Κένταυρος γίνεται παῖς Κρόνου καὶ Φιλλύρας τῆς Ὠκεανοῦ, καὶ ἔστιν ὁ νοῦς οὗτος· ἐβουλόμην τὸν Χείρωνα, εἰ προσῆκον τοῦτο εὔξασθαι, ἀναβιῶναι τὸν ἤδη τεθνηκότα. [4]) § Ἄλλως. Ἱέρωνι Πύθια νικήσαντι τὴν κζ' [5]) Πυθιάδα γέγραπται· μέμνηται δὲ καὶ τῆς πρὸ ταύτης Πυθιάδος, ὥστε ἐπὶ ταῖς δύο νίκαις τὴν ᾠδὴν συντετάχθαι. συνᾴδει δὲ καὶ τὰ ἀπὸ τῶν χρόνων. ὡς γὰρ ἤδη βασιλεύοντός φησιν· Ὅς Συρακόσσαισι νέμει βασιλεὺς πραὺς ἀστοῖς. [6]) καθίσταται δὲ ὁ Ἱέρων βασιλεὺς κατὰ τὴν ἑβδομηκοστὴν ἕκτην Ὀλυμπιάδα, τῆς εἰκοστῆς ὀγδόης Πυθιάδος τῇ προκειμένῃ Ὀλυμπιάδι συγχρόνου οὔσης, ὥστε πάντη τε καὶ πάντως μετὰ τὴν ὕστερον Πυθιάδα, ἥτις γέγονε περὶ τὴν ἑβδομηκοστὴν ἕκτην Ὀλυμπιάδα, συντετάχθαι τόνδε τὸν ἐπίνικον. πρὸς δὲ τὴν παροῦσαν τύχην τοῦ Ἱέρωνος ἁρμοσάμενος εὔχεται ἐν ταῖς πτυχαῖς τοῦ Πηλίου διάγειν τὸν Χείρωνα ὑπὲρ τοῦ δύνασθαι τὸν Ἱέρωνα θεραπείας τυχεῖν ὑπ' αὐτοῦ· λιθιάσει γὰρ νόσῳ κατείχετο ὁ Ἱέρων. τὸν δὲ Χείρωνα Φιλλύρας μιᾶς τῶν Ὠκεανίδων καὶ Κρόνου γενεαλογοῦσιν. § τὸ δὲ ἑξῆς· ἤθελον δὴ τὸν ἀποιχόμενον Οὐρανίδου Κρόνου γόνον εὐρυμέδοντα [7]) Φιλλυρίδην Χείρωνα, εἰ χρεὼν ἔπος κοινὸν τοῦτ' εὔξασθαι ἡμετέρας ἀπὸ γλώσσης. κοινὸν δὲ, ἤτοι κοινῶς λεγόμενον ἐν τῷ βίῳ· οἷον, εἰ ἔζη ὁ δεῖνα, ἐποίησεν ἂν τάδε. ἢ κοινὸν, τὸ ἐσόμενον κοινὸν ἀγαθόν· εἰ γὰρ ἀνέζησε, πολλοὺς ἂν ὑγίασεν. ἢ κοινὸν ἀγαθὸν, ἐμοί τε καὶ τῷ Ἱέρωνι· εἰ γὰρ ὑγίανεν ὁ Ἱέρων, ἐμὸν ἦν ἀγαθὸν καὶ τοῦ Ἱέρωνος. ἢ κοινὸν, τὸ ἐσόμενον κοινὸν διὰ τὴν ἐμὴν δύναμιν· τὸ γὰρ ποίημα κοινὸν εἴωθε λέγειν διὰ

1) Pyth. I, 34. vulg. 2) Vs. 130. vulg. Legebatur στεφάνους δὲ θαλῶν καὶ κ. ἀ. Istud θαλῶν etiam Heynius deletum volebat. 3) Haec inde a κατεύχεται cum Gott. hoc loco posui, atque infra delevi post ἁρμοσάμενος. 4) Haec hoc loco posui cum Gott. 5) Vulgo κς', quod correxi e Gott. 6) Vs. 124. vulg. 7) Rom. εὐρυμέδοντος.

Digitized by Google

τὸ πανταχόσε διϊκνεῖσθαι. ἢ ὡς κοινῆς οὔσης πᾶσι τῆς εὐτυχίας τοῦ τὸν Ἰίρωνα ἀπαλλαγῆναι τῆς νόσου.

7. Βάσαισί τ' ἄρχειν] ἐν τοῖς βασίμοις τόποις καθηγεῖσθαι τοῦ Πηλίου φησὶ τὸν Χείρωνα τὸν ὄντα μὲν θῆρα ἄγριον κατὰ τὸ σῶμα· Κένταυρος γάρ· τὸν δὲ νοῦν ἔχοντα προσφιλέστατον τοῖς ἀνθρώποις.

9. Οἷος ἐών] ὁ νοῦς· ὁποῖος ὢν τήν τε φύσιν καὶ τὸν νοῦν ὁ Χείρων ἀνέθρεψε τὸν τῆς ἀνωδυνίας καὶ ὑγείας πρᾳότατον κατασκευαστὴν Ἀσκληπιὸν, ἥρωα ὄντα παντοίας νόσου θεραπευτήν. τέκτονα νωδυνίας· τὸν κατασκευαστὴν τῆς νωδυνίας· ἰατὴρ γάρ. ἡ δὲ ἀνωδυνία γυιαρκής· τότε γὰρ τοῖς μέλεσιν ἐπαρκοῦμεν τοῦ σώματος, ὅταν ὦμεν ἀνώδυνοι.

14. Τὸν μὲν εὔϊππου] τὸν Ἀσκληπιόν. οἱ μὲν Ἀρσινόης, οἱ δὲ Κορωνίδος φασὶν αὐτὸν εἶναι. Ἀσκληπιάδης δέ φησι τὴν Ἀρσινόην Λευκίππου εἶναι τοῦ Περιήρους, ἧς καὶ Ἀπόλλωνος Ἀσκληπιὸς καὶ θυγάτηρ Ἐριῶπις· [1])

Ἡ δ' ἔτεκ' ἐν μεγάροις Ἀσκληπιὸν ὄρχαμον ἀνδρῶν,
Φοίβῳ ὑποδμηθεῖσα, ἐϋπλόκαμόν τ' Ἐριῶπιν.

καὶ Ἀρσινόης [2]) ὁμοίως·

Ἀρσινόη δὲ μιγεῖσα Διὸς καὶ Λητοῦς υἱῷ
Τίκτ' Ἀσκληπιὸν υἱὸν ἀμύμονά τε κρατερόν τε.

καὶ Σωκράτης [3]) γόνον Ἀρσινόης τὸν Ἀσκληπιὸν ἀποφαίνει, παῖδα δὲ Κορωνίδος εἰς-ποιητόν. ἐν δὲ τοῖς εἰς Ἡσίοδον ἀναφερομένοις ἔπεσι φέρεται ταῦτα περὶ τῆς Κορωνίδος· [4])

Τῷ μὲν ἄρ' ἦλθε κόραξ, φράσσεν δ' ἄρα ἔργ' ἀϊδηλα,
Φοίβῳ ἀκερσεκόμῃ, ὅτ' ἄρ' Ἴσχυς ἔγημε Κορωνίν
Εἰλατίδης Φλεγύαο Διογνήτοιο θύγατρα.

ἐν δὲ τοῖς Ὁμηρικοῖς ὕμνοις· [5])

Ἰητῆρα νόσων Ἀσκληπιὸν ἄρχομ' ἀείδειν,
Υἱὸν Ἀπόλλωνος, τὸν ἐγείνατο δῖα Κορωνίς
Δωτίῳ ἐν πεδίῳ, κούρη Φλεγύα βασιλῆος.

Ἀριστείδης δὲ ἐν τῷ περὶ Κνίδου συγγράμματί φησιν οὕτως· Ἀσκληπιὸς Ἀπόλλωνος παῖς καὶ Ἀρσινόης. αὕτη δὲ παρθένος οὖσα ὠνομάζετο Κορωνὶς, Λευκίππου δὲ θυγάτηρ ἦν τοῦ Ἀμύκλα τοῦ Λακεδαίμονος· Ἀσκληπιοῦ δὲ καὶ Ἠπιόνης [6]) Ποδαλείριος καὶ Μαχάων.

15. Πρὶν τελέσαι] ἤτοι πρὶν ἐκτελέσαι τὰ κατὰ τὰς ὠδῖνας, πρὶν τεκεῖν. μητροπόλον δὲ τὴν Εἰλείθυιαν, διὰ τὸ περὶ τὰς μητέρας εἱλεῖσθαι ἢ πολεῖσθαι τῶν γεννωμένων.

1) Hoc loco periit nomen poetae. Fuit credo: καὶ Ἡσίοδος, quem citare solet Asclepiades, ut ad Pyth. IV, 35. 2) In nomine Ἀρσινόης videtur nomen poetae latere. 3) Est Socrates Argivus, memoratus etiam infra ad vs. 102. ad Nem. III, 92. et Isthm. IV, 104. Conf. Voss. H. Gr. III, p. 414. Valck. ad Schol. Phoeniss. 45. 4) Fragm. p. 443. Loesn. Legebatur τῇ μέν. 5) XV. 6) Sic Gott.

Digitized by Google

18. Εἰς Ἀΐδαο δόμον ἐν θαλάμῳ] σημειοῦνται οἱ ὑπομνηματισάμενοι τὰ δύο κῶλα τόδε τὸ σημεῖον ⨯ παρατιθέντες, ὅτι ἀσυνάρτητά εἰσι. πῶς γὰρ Εἰς Ἀΐδαο δόμον εἶπε, καὶ πάλιν Ἐν θαλάμῳ κατέβα; καὶ ἐξηγούμενοι περιττεῦον λαμβάνουσι τὸ ἐν θαλάμῳ. ἔστι δὲ τὸ ἑξῆς οὕτως· ὑπὸ χρυσέοις τόξοις ἐν θαλάμῳ δαμεῖσα εἰς Ἀΐδαο δόμον κατέβα τέχναις Ἀπόλλωνος. § τὸ σημεῖον, ὅτι τὸ ἐν θαλάμῳ πλεονάζει· ἱκανὸν γὰρ ἦν εἰπεῖν, Εἰς Ἀΐδαο δόμον κατέβα. καὶ πρόσθες τὸν καὶ σύνδεσμον, ἵν' ᾖ· εἰς δόμον καὶ εἰς θάλαμον κατέβη. § Ἄλλως. πρὶν γεννήσῃ ἐν τῷ θαλάμῳ. § ἐχαριεντίσατο δὲ εἰπὼν θάλαμον τὸν ᾅδην.

20. Χόλος δ' οὐκ ἀλίθιος] οὐκ ἄπρακτος. ἡ δὲ ὀργή, φησί, τῶν τοῦ Διὸς παίδων οὐκ ἔστι ματαία, ἀλλὰ δυνατὴ τελειῶσαι.

22. Ἁ δ' ἀποφλαυρίξασα] ἐξευτελίσασα, ἐκφαυλίσασα τὸν Ἀπόλλωνα. αἰτίαν ὑποτίθησι, δι' ἣν ἀνῃρέθη ὑπὸ τῆς Ἀρτέμιδος κατὰ τὰς Ἀπόλλωνος τέχνας, ὥστε τὸν δὲ αἰτιατικὸν παρειλῆφθαι ἀντὶ τοῦ γάρ. ἀποσκυβαλίσασα γὰρ αὐτὸν ταῖς ἁμαρτίαις τῶν φρενῶν ἄλλον γάμον ἐπήνεσεν· Ἴσχυϊ γὰρ συνεμίγη· διὸ καὶ χαλεπήνας ὁ θεὸς Ἀρτέμιδι συνέταξεν αὐτὴν ἀνελεῖν.

25. Κρύβδαν πατρός] τοῦτο πρὸς τὸ προκείμενον συναπτέον, οὐ πρὸς τὸ ἑξῆς. § Ἄλλως. ἤτοι κρύβδην πατρὸς καὶ πρότερον μιγεῖσα τῷ Ἀπόλλωνι, ἢ στικτέον εἰς τὸ πατρὸς, ἵν' ᾖ τὸ κρύβδαν ἐπὶ τοῦ δευτέρου γάμου. § Ἄλλως. εἰ γὰρ ὁ πατὴρ αὐτὴν ἐβιάσατο συγγενέσθαι τῷ Ἴσχυϊ, συνέγνω ἂν αὐτῇ ὁ Ἀπόλλων. διατί δὲ προὐτίμησε τὸν Ἴσχυν τοῦ Ἀπόλλωνος; Ἀκουσίλαός φησιν, [1]) ὡς κατὰ δέος ὑπεροψίας θνητῷ βουληθεῖσα συνεῖναι. § Ἄλλως. ἐπανάληψις τοῦ διηγήματος. ἡ γὰρ δὴ Κορωνὶς, φησὶν, ἐκφαυλίσασα τὸν Ἀπόλλωνος γάμον ταῖς τῶν φρενῶν ἁμαρτίαις, ξένον ἐπήνεσε γάμον λάθρα τοῦ πατρὸς, πρότερον τῷ τὰς κόμας ἀτμήτῳ συνελθοῦσα Ἀπόλλωνι καὶ φέρουσα τοῦ θεοῦ τὸ καθαρὸν σπέρμα.

27. Καὶ φέροισα σπέρμα θεοῦ] ἐπειδὴ γὰρ ὑπ' Ἀπόλλωνος φθαρεῖσα ἐξ αὐτοῦ εἶχε καθαρὸν τὸν Ἀσκληπιὸν ἀνεπίμικτον θνητοῦ σπορᾶς, ἐμοιχεύθη, φησὶ, τὸ τοῦ θεοῦ καθαρὸν σπέρμα· ἢ ἐπεὶ παρθένον οὖσαν ἔτι καὶ καθαρὰν διεπαρθένευσεν. οὐκ ἔμεινεν οὖν φέρουσα τὸ τοῦ θεοῦ σπέρμα καθαρὸν οὐδὲ τοὺς ἐσομένους ὑμεναίους τοῦ γάμου. § ὁ νοῦς· οὐχ ὑπέμεινε, φησὶν, ἡ Κορωνὶς ἔλθεῖν τὴν νυμφιδίαν τράπεζαν, ἀντὶ τοῦ νόμῳ γαμηθῆναι, οὐδὲ τῶν ὑμεναίων τὴν ἠχὴν, ὁποῖα μάλιστα αἱ ὁμήλικες παρὰ ταῖς ἑαυτῶν φίλαις φιληδοῦσι ταῖς ἑσπεριναῖς ᾠδαῖς μετεωρίζεσθαι τὴν ψυχὴν καὶ παίζειν. ἔνιοι δὲ τὸ ὑποκουρίζεσθαι ἀοιδαῖς ἀντὶ τοῦ παίζειν καὶ χορεύειν ἢ ἀμφοτέρους τοὺς κόρους ὑμνεῖν, τὸν νυμφίον καὶ τὴν νύμφην. § Ἄλλως. τὸ ὑποκουρίζεσθαι

1) Erat vulgo Ἀγησίλαός φ. Sed Agesilaum, qui hoc loco significatus esse possit, nullum novi: neque enim huc pertinere potest Agesilaus rerum Italicarum auctor, de quo v. Voss. H. Gr. I, p. 12. III, p. 318. Itaque e Gott. edidi Ἀκουσίλαον, cuius nomen cum Agesilao sive Hegesilao ter apud Suidam, v. Ἑκαταῖος, ἱστορῆσαι et συγγράφω, semel apud Tatianum c. Graec. cap. 24. confusum est. V. Voss. Hist. Gr. I, p. 12. Ions. de script. philos. I, 3. Acusilaus fuit Argivus, et Coronidis videtur nescio qua de causa in Argivorum rebus mentionem fecisse, ut Socrates in Argolidis periegesi. Ceterum Gott. habet ὡς δέους ὑποψίας.

Digitized by Google

ἀοιδαῖς εἶπε διὰ τὸ τοὺς ὑμνοῦντας ἐπευφημιζομένους λέγειν σὺν κούροις τε καὶ κόραις. Αἰσχύλος Δαναΐσι·

Κἄπειτ' ἄνεισι λαμπρὸν ἡλίου φάος,
Ἕως τ' ἐγείρει πρευμενὴς τοὺς νυμφίους,
Νόμοισι θέντων σὺν κόροις τε καὶ κόραις [1]) . . .

κἀν τῷ βίῳ προτρέποντες ἔνιοί φασιν· Ἐκκόρει, κόρει κορώνας. [2])

[1]) Mss. et edd. κἄπειτα δ' εἶσι, deinde ἕως ἐγείρω πρευμενεῖς. Cf. Toup. Em. in Suid. P. III, p. 510. Lips. In fine deest aliquid ad sententiam, quod sequenti versu expressum erat. Nam verba κἀν τῷ βίῳ etc. ad verba Aeschyli non pertinere, pridem monuere Caussinus et Pauw. ad Horapoll. Hieroglyph. I, 8. [2]) Erat vulgo: κἀν τῷ βίῳ ἀκορεῖ. ἀντὶ τοῦ, κόρας κορώνας. παροτρύνοντες δ' ἔνιοί φασιν, ἐκκορεῖ κόρους κορώνας αἰσχύνην ἐξευτελίζων. Pro ultimo verbo Heynius volebat ἐξευτελίζοντες: sed haec αἰσχ. ἐξευτ. plane absunt a Gott. una cum seqq. ὅ ς τ ι ς] usque ad ἀνθρώπων; idemque codex continuo praebet illa: ἐπιχώρια usque ad διώκει, quae vulgo omissa addidi. Hinc patet verba αἰσχ. ἐξευτ. novum esse scholium ita corrigendum: αἰσχύνων· ἐξευτελίζων, quod suo loco posui. Idem fere censuerat Hoeschel. ad Horapoll. l. c. nisi quod volebat τὸ εὐτελίζων: sed ἐξευτελίζειν invenitur etiam ap. schol. vs. 22. ut a nobis e Gott. suppletus est. Iam vero verba ἀκορεῖ, ἀντὶ τοῦ, κόρας κορώνας nullum plane sensum praebent orationisque tenorem impediunt, neque ea imperita Pauwii ad Horapoll. l. c. explicatio tuetur. Gott. habet εὐκορεῖ et κούρους κορώνας: iam credo liquet εὐκορεῖ esse variam lectionem verbi ἐκκορεῖ e margine, cui passim in scholiorum libris varietates eiusmodi allitae sunt, in textum illatam, ista vero ἀντὶ τοῦ κόρας κορώνας repetita esse ex iis, quae proxime sequuntur, sive haec varia lectio sit vocum κούρους κορώνας, sive explicatio vocis κορώνας, qua glossatori κόραι significari visae sint. His igitur deletis supersunt illa κἀν τῷ βίῳ et cantilena ipsa, de qua dicitur. Ac primum quidem ἐν τῷ βίῳ non videtur aliud significare posse quam quod Pauwius l. c. voluit: denotat vitam communem sive quotidianam oppositam poesi, ex qua scholiastes modo argumentum petiverat; ut in Aristophanis Byzantii dicto ap. Schol. Hermog. p. 38. Ὦ Μένανδρε καὶ βίε, πότερος ἄρ' ὑμῶν πότερον ἐμιμήσατο; Iam omisso δέ, quod Gott. non habet, rite continuatur oratio: ex eodem libro vero usitatiorem vocem προτρέποντες reposui. Sed canticum ipsum quodnam est? Ex Pauwii sententia est hoc: ἐκκόρει, κόρε, κορώνην: v. ad Horapoll. l. c. ex quo hausit editor Hesych. T. I, p. 1137. adstipulante Schneidero nostro in Lex. L. Gr. et vertunt fere: *Devirgina puer cornicem*, allato etiam Aristophanis versu Thesmoph. 767. et schol. Sed ut taceam sordes has non convenire pueris puellisque ὑποκοριζομέναις, quum tamen Noster ex hac acclamatione verbum illud ὑποκορίζεσθαι derivari velit: illud quidem κόρε nullo modo ferri potest, quod cantilena eiusmodi versu comprehendi debet. Nisi quis igitur cum Coelio Rhodigino Animadv. I, 1. et Caussino l. c. malit κόρη, quod omni auctoritate caret, mecum probabit lectionem codicis Gott. ἐκκόρει, κόρει κορώνας: vel potius κορώνην, ut est apud Horapollinem. Eoque ducit ipse Horapollo, apud quem libri habent ἐκκορί, κορί κορ. Postremo si ex me quaeris, quaenam mihi horum verborum sententia videatur: non nego vocibus ἐκκορεῖν, quae est *devirginare*, et κορώνη, quae temonis in aratro partem quandam designans ab oraculo ad virginem significandam usurpata est (vide Schneiderum v. κορώνη), quandam subesse lascivam ambiguitatem: sed cornicem certum est apud Graecos concordiae coniugalis signum fuisse, ideoque a puellis et maxime in nuptiarum ritibus cultam esse: qua de re praeter Horapollinem l. c. qui dicit, τῆς δὲ τοιαύτης αὐτῶν ὁμονοίας χάριν μέχρι νῦν οἱ Ἕλληνες ἐν τοῖς γάμοις Ἐκκορ. κορ. κορών. λέγουσιν ἀγνοοῦντες, consule Aelian. H. A. III, 9. et Hoeschel. ad Horapoll. l. c. ac Phoenicem ap. Athen. VIII, p. 359. F. p. 360. A. Quibus consideratis cantici illius sententia haec videtur: *Exorna, orna cornicem;* quod ipsum voluit Io. Mercerus ad Horapoll.

Digitized by Google

38. Ὅστις] ἔδει εἰπεῖν ὅπερ, φῦλον. νῦν δὲ ὃς εἶπεν, ἵνα ᾖ, ὃς ἀνθρώπων. αἰσχύνων· ἐξευτελίζων. ἐπιχώρια νῦν λέγει τὰ παρόντα· ἔστι δὲ ὅμοιον τῷ·

Νήπιος, ὃς τὰ ἑτοῖμα λιπὼν ἀνέτοιμα διώκει. [1])

42. Ἔσχε τοιαύταν] τοιαύτην, φησίν, ἔσχεν ἄτην καὶ βλάβην τὸ λῆμα [2]) τῆς Κορωνίδος, περιφραστικῶς ἡ Κορωνίς. ὡς παρ' Ὁμήρῳ· [3]) Ἱερὴ ἷς Τηλεμάχοιο. τὰ γὰρ ἐπιχώρια ἐάσασα ἐσπούδασε ξένῳ γαμηθῆναι, τῷ Ἴσχυϊ δηλονότι ἐλθόντι ἐξ Ἀρκαδίας.

46. Οὐδ' ἔλαθε σκοπόν] σκοπὸν τὸν νοῦν λέγει τοῦ Ἀπόλλωνος. Ἡσίοδος δὲ τὸν κόρακα, ὅπερ ἐστὶν ἀπίθανον. μηλοδόκῳ δὲ, τῇ πολλὰ ὑποδεχομένῃ θύματα.

48. Πυθῶνι] τόσσας [4]) ἀντὶ τοῦ τυχὼν ὁ Ἀπόλλων. τὸ δὲ ἄϊεν, ἀντὶ τοῦ ἤσθετο. Ὅμηρος· [5]) Οἱ δὲ πληγῆς ἀΐοντες. τὸ δὲ ναοῦ πρὸς τὸ Πυθῶνι, ἵν' ᾖ· τοῦ ἐν Πυθῶνι ναοῦ. § ὁ νοῦς· ἐν δὲ τῷ Πυθῶνι ὢν ὁ Ἀπόλλων ἐπήσθετο τῷ ἱερῷ νόῳ τὸ ἁμάρτημα, ὄντινα νοῦν αὐτοῦ φησιν εἶναι κοινῶνα ὁ Πίνδαρος διὰ τὴν μαντικήν. § Ἄλλως. κοινᾶνι] κοινωνὸς τοῦ Ἀπόλλωνος ὁ νοῦς ἐστι. διατί; ὅτι οὐχ ὥσπερ ἡμεῖς παρ' ἑτέρου πυθόμενοι παρακολουθοῦμεν τοῖς οὖσιν, οὕτω καὶ ὁ Ἀπόλλων, ἀλλὰ δι' ἑαυτοῦ οἶδεν. ἡνίκα γοῦν ἡ Κορωνὶς τῷ Ἴσχυϊ συνῆλθεν, ἐν Πυθῶνι τυχὼν ὁ Ἀπόλλων ἤσθετο. καλῶς δὲ ὁ Πίνδαρος τὴν περὶ τὸν κόρακα παρακρουσάμενος ἱστορίαν δι' ἑαυτοῦ φησι τὸν Ἀπόλλωνα κατειληφέναι τὴν Κορωνίδα. § Ἄλλως. ἐπαινεῖ τὸν Πίνδαρον ὁ Ἀρτέμων, ὅτι παρακρουσάμενος τὴν περὶ τὸν κόρακα ἱστορίαν αὐτὸν δι' ἑαυτοῦ ἐγνωκέναι φησὶ τὸν Ἀπόλλωνα. ἱστορεῖται γὰρ, ὅτι τὴν Ἴσχυος μίξιν ἐδήλωσεν αὐτῷ ὁ κόραξ· παρὸ καὶ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ τὸν Ἀπόλλωνα ἀντὶ λευκοῦ μέλανα αὐτὸν ποιῆσαι. τοῦτον οὖν τὸν μῦθον διωσάμενόν φησι τὸν Πίνδαρον τῷ ἑαυτοῦ νῷ καταλαβεῖν τὰ πεπραγμένα τῇ Κορωνίδι· παράλογον γὰρ τὸν ἄλλοις μαντευόμενον αὐτὸν μὴ συμβαλεῖν [6]) τὰ κατ' αὐτοῦ δρώμενα. χαίρειν οὖν φράσας τῷ τοιούτῳ μύθῳ τέλεον ὄντι ληρώδει αὐτόν φησι τὸν Ἀπόλλωνα παρὰ τοῦ νοῦ πυθόμενον ἐπιπέμψαι τῇ Κορωνίδι τὴν Ἄρτεμιν. τὸν δὲ περὶ τὸν κόρακα μῦθόν φησι καὶ Ἡσίοδον μνημονεύοντα λέγειν οὕτω· [7])

Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτός
Πυθὼ ἐς ἠγαθέην, καί ῥ' ἔφρασεν ἔργ' ἀΐδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅτ' ἄρ' [8]) Ἴσχυς γῆμε Κορωνίν
Εἰλατίδης, Φλεγύαο Διογνήτοιο θύγατρα.

51. Γνώμαν πεπιθών] τὴν πρόγνωσίν φησι τὴν περὶ τῆς Κορωνίδος. τὸ δὲ πεπιθὼν ἀντὶ τοῦ πεισθεὶς ὑπὸ τοῦ κοινωνοῦ αὐτοῦ νοῦ. τούτῳ γὰρ ἀνακοινοῦται καὶ συνδιακρίνει τὰ ὄντα πάντα. πάντα ἴσαντι νόῳ· ὅτι οὐ παρ' ἑτέρου ἤκουσεν, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ ἔγνω.

53. Ψευδέων δ' οὐχ ἅπτεται] ὁ τοῦ Ἀπόλλωνος, φησὶ, νοῦς οὐδέποτε ψεύδεται. Κλέπτει τέ μιν] τὸν νοῦν τοῦ Ἀπόλλωνος, ὃν οὐδεὶς παραλογίζεται οὔτε θεὸς

[1]) Hesiodus ap. Schol. Theocr. XI, 75. Scribe τά γ' ἑτοῖμα λιπών. [2]) Vulgo λῆμμα, quod correxi. [3]) Odyss. β, 409. [4]) Sic Gott. [5]) Iliad. λ, 532. [6]) Gott. συλλαβεῖν. [7]) Fragm. 1 c. [8]) Libri omisso ἄρ' aut ὅτ' habent aut ὅτ'.

Digitized by Google

οὔτε ἄνθρωπος οὔτε ἔργοις οὔτε βουλαῖς. οὐκ ἄρα κόραξ εἶπεν ἀλλ' ὁ νοῦς, καθὸ μαντικὸς καὶ ἀπαραλόγιστος.

55. Καὶ τότε γνοὺς Ἴσχυος] τότε μαθὼν ὁ Ἀπόλλων τοῦ Ἴσχυος τοῦ Ἐλάτου παιδὸς τὴν ξένην κοίτην καὶ τὴν ἄδικον κακουργίαν, ἔπεμψε τὴν ἀδελφὴν Ἄρτεμιν τὴν ἀκαταμαχήτῳ δυνάμει ὁρμῶσαν, εἰς τὴν Λακέρειαν. ἡ δὲ Λακίρεια πόλις Θεσσαλίας. § ξενίαν κοίταν· ἢ τὴν μετὰ φιλίας γενομένην, ἢ τὴν λαθραίαν ἀπὸ τοῦ ξένου.

59. Ἐπεὶ παρὰ Βοιβιάδος] ἐπειδὴ ἡ παρθένος Κορωνὶς ᾤκει παρὰ ταῖς ὄχθαις τῆς Βοιβιάδος λίμνης· ἡ δὲ Βοιβιὰς λίμνη παρακειμένη τῇ Λακερείᾳ. ὅτι δὲ ἡ Κορωνὶς ἐν Λακερείᾳ ᾤκει πρὸς ταῖς πηγαῖς τοῦ Ἀμύρου, Φερεκύδης ἐν πρώτῃ [1]) ἱστορεῖ, ἔνθα καὶ περὶ τοῦ κόρακος διηγεῖται, καὶ ὅτι Ἄρτεμιν ἔπεμψεν ὁ Ἀπόλλων, ἣ πολλὰς ἅμα γυναῖκας ἀπέκτεινε, καὶ ὡς τὸν Ἴσχυν ὁ Ἀπόλλων κτείνει, τὸν δὲ Ἀσκληπιὸν δίδωσι Χείρωνι. ἡ δὲ Βοιβιὰς καὶ Νεσωνὶς [2]) ἐλέγετο, ὥσπερ Ἀρχῖνος ἐν Θεσσαλικοῖς· Βοιβιὰς δὲ ἐκλήθη ἀπὸ μιᾶς τῶν νυμφῶν Βοιβηΐδος.

62. Δαίμων δ' ἕτερος] ὁ κακοποιός, ὡς πρὸς τὸν ἀγαθοποιόν. ὁ δὲ νοῦς· ὁ δὲ κακοποιὸς δαίμων εἰς τὴν τῆς μοιχείας κακουργίαν τρέψας τὴν Κορωνίδα, καὶ ἀναιρεθῆναι αὐτὴν κατεσκεύασεν.

64. Καὶ γειτόνων πολλοί] καὶ τῶν γειτόνων, φησί, πολλοὶ ἀπήλαυσαν τοῦ κακοῦ τοῦ περὶ τὴν Κορωνίδα· λοιμὸς γὰρ ἐγένετο, αἴτιοι δὲ τοῦ λοιμοῦ Ἀπόλλων καὶ Ἄρτεμις. λοιμοῦ οὖν γενομένου συναπήλαυσαν καὶ οἱ μηδὲν αἴτιοι. Ἡσίοδος· [3])

Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα.

Καλλίμαχος δέ φησιν· Οὐ πάντες, ἀλλ' οὓς ἔσχεν ἄτερος δαίμων. [4])

65. Ἁμᾶ] τὸ ἁμᾶ, ὡς Ἡρωδιανός φησιν ἐν τῇ ιθ', οἱ Δωριεῖς περισπῶσι καὶ τὸ παντᾶ, ὥσπερ καὶ τὸ κρυφᾶ παρὰ Πινδάρῳ. τοιοῦτον δέ ἐστι καὶ τὸ ἁμᾶ περισπώμενον, ἀπὸ τοῦ ἁμῆ γινόμενον. ζητεῖται δὲ ἐν τῷ περισπωμένῳ ἁμᾶ εἰ προστεθήσεται τὸ ῑ.

66. Πολλάν τ' ὄρει] λείπει τὸ ὡς, καὶ περιττεύει ὁ τε. ἔστι γάρ· ὥσπερ δὲ πῦρ ἐμπεσὸν ὄρει πολλὴν ὕλην φλέγει, οὕτω τὸ ἁμάρτημα τῆς Κορωνίδος πολλοὺς ἔφθειρεν. § Ἄλλως. ὥσπερ ἐάν τις εἰς ὕλην πολλὴν σπινθῆρα βάλῃ, οὐ μόνον ἐκεῖνο τὸ μέρος, εἰς ὃ βέβληται, κατακαίεται, ἀλλὰ καὶ πᾶσα ἡ ὕλη συγκατακαίεται, οὕτω θανάτου βληθέντος εἰς τὴν Κορωνίδα ὑπὸ Ἀρτέμιδος καὶ λοιμικοῦ πάθους ἐνσκήψαντος, πολλοὶ τῶν γειτόνων ἀπώλοντο. καὶ Εὐριπίδης· [5])

Μικροῦ γὰρ ἐκ λαμπτῆρος Ἰδαῖον λέπας
Πρήσειεν ἄν τις.

68. Ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ] τῇ πυρκαϊᾷ, ἐφ' ἧς ἐτέθη τὸ σῶμα τῆς Κορωνίδος εἰς ἀφανισμόν.

1) Sturz. Fragm. p. 86. 2) Ante hanc vocem cum Gott. delevi verba Κορωνὶς ἡ κατ' ἐνίους, ex varia lectione haud dubie orta. De Nesonide palude, quam alii rectius distinguunt a Boebeide, conf. Snid. v. Νέσσων, Strab. IX, p. 296. 304. 305. Eustath. ad Iliad. β, 711. et correcta a Berkelio scholia Eurip. Alcest. 590. 3) Opp. et D. 238. 4) Fragm. 91. Ἄτερος dedi postulante Heynio. Gott. ὥτερος. 5) Inus fragm. VI, 2. Codd. et edd. σέλας, non λέπας.

Digitized by Google

69. Σέλας δ' ἀμφέδραμεν] ἐπεὶ δὲ ἐξήφθη ἡ πυρὰ, εἶπεν ὁ Ἀπόλλων· οὐκέτι ὑπομενῶ τὸ ἐμὸν σπέρμα ἰδεῖν συναπολλύμενον τῇ Κορωνίδι.

75. Βάματι δ' ἐν πρώτῳ] ἐὰν μὲν γράφηται Ἐν πρώτῳ, ὡς νῦν γέγραπται, ἔσται ἐν ἑνὶ βήματι ὁ Ἀπόλλων ἀπὸ τῆς Πυθῶνος ἐληλυθὼς εἰς τὴν Θεσσαλίαν· ἐὰν δὲ, ὡς ἔν τισι, βάματι δ' ἐν τριτάτῳ, ἔσται παραφράζων τὸ Τρὶς μὲν ὀρέξατ' ἰών. [1]) ἔστι δὲ σεμνότερον καὶ πρέπον τῷ θεῷ τὸ ἅμα τῷ πρώτῳ βήματι ῥύσασθαι τὸν παῖδα, ἔστι δὲ καὶ πρὸς τὴν ἀντίστροφον σύμφωνον. ὁ μέντοι Ἀρίσταρχος γράφει, τριτάτῳ.

78. Διέφηνε πυρά] οὐ λέγει, ὅτι διαφανὴς ἐγένετο καὶ λαμπρὰ, ἀλλ' ὅτι ἡ φύσις τοῦ πυρὸς οἷον διεσχίσθη καὶ διάστημα τοῦ πυρὸς ἐγενήθη, ἕως ἂν ἐπιβὰς ὁ Ἀπόλλων ἀνέληται τὸν παῖδα.

79. Καί ῥά μιν] καὶ δὴ τὸν ἑαυτοῦ παῖδα ἐνεχείρισεν ὁ Ἀπόλλων τῷ Κενταύρῳ τῷ Θεσσαλῷ ἀναδιδάσκειν τὰς πολλῶν πημάτων αἰτίας τοῖς ἀνθρώποις νόσους θεραπεύειν.

83. Τοὺς μὲν ὧν] τούτους μὲν οὖν, ὅσοι παρεγένοντο αὐτοφύτων ἑλκῶν κοινωνοὶ, τῶν φυμάτων· ταῦτα γὰρ αὐτόφυτα ἕλκη, ὡς ἂν οὐχ ὑπ' ἄλλων ἐπακτὰ ὄντα, ἀλλ' αὐτόματα γινόμενα· ἢ τῷ πολιῷ καὶ λαμπρῷ σιδήρῳ τὰ μέλη τετρωμένοι ἢ τραύματα εἰληφότες· ἢ χειροπληθεῖ λίθῳ μακρόθεν βεβλημένοι· ἀπὸ κοινοῦ δὲ τὸ, τὰ μέλη τετρωμένοι· ἢ τῷ θερμαντικῷ πυρὶ, ἤτοι τῷ πυρετῷ, πορθούμενοι καὶ κατακαιόμενοι τὸ σῶμα, ἢ φρίκῃ ἢ ῥίγει, ἤτοι ῥιγοπυρέτῳ, ἀπολύσας ἄλλον ἀλλοίων λυπῶν καὶ θλίψεων ἐξήγαγεν, ὅ ἐστι τῶν νόσων.

91. Τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς] καὶ τοὺς μὲν προσηνέσιν ᾠδαῖς θεραπεύων, τοὺς δὲ προσηνῆ φάρμακα πίνοντας, ἢ τοῖς μέλεσιν αὐτῶν περιάπτων τινὰ πρὸς θεραπείαν, τοὺς δὲ τομαῖς καὶ χειρουργίαις ταῖς διὰ σιδήρου ἀνέστησεν ὀρθοὺς καὶ ὑγιεῖς ἀπέδειξεν. ὅτι δὲ ἀρχαία ἦν καὶ ἡ δι' ἐπῳδῆς ἰατρικὴ, καὶ οὐ μόνον ἡ διὰ φαρμάκων καὶ διαίτης, φησὶ καὶ Ὅμηρος· Ἐπαοιδῇ δ' αἷμα κελαινὸν Ἔσχεθον. [2])

96. Ἀλλὰ κέρδει] ἀλλὰ καὶ ἡ σοφία, φησὶ, κέρδει δέδεται καὶ ἥττηται. μετέστρεψε γὰρ, φησὶ, καὶ τὸν θεὸν τὸν Ἀσκληπιὸν τῷ πλείονι μισθῷ ὁ χρυσὸς ἐν ταῖς χερσὶ φανεὶς, ὥστε ἄνδρα ἐκ θανάτου ἀναγαγεῖν ἤδη τῷ μοιριδίῳ ληφθέντα. λέγεται δὲ ὁ Ἀσκληπιὸς χρυσῷ δελεασθεὶς ἀναστῆσαι Ἱππόλυτον τεθνηκότα· οἱ δὲ Τυνδάρεων, ἕτεροι Καπανέα, οἱ δὲ Γλαῦκον, οἱ δὲ Ὀρφικοὶ Τμέναιον, Στησίχορος δὲ ἐπὶ Καπανεῖ καὶ Λυκούργῳ· οἱ δὲ διὰ τὸ τὰς Προιτίδας ἰάσασθαι, οἱ δὲ διὰ τὸν Ὠρίωνα, Φύλαρχος ὅτι τοὺς Φινείδας ἰάσατο, Φερεκύδης [3]) δὲ ὅτι τοὺς ἐν Δελφοῖς θνήσκοντας ἀναβιοῦν ἐποίησεν.

100. Χερσὶ δ' ἄρα Κρονίων] προσυπακουστέον δὲ τῷ ῥίψας τὸν κεραυνόν. τοῦτον, φησὶ, ῥίψας δι' ἀμφοτέρων, τοῦ τε Ἀσκληπιοῦ καὶ τοῦ ἀνισταμένου ἀπὸ τοῦ θανάτου, ἀνεῖλεν αὐτούς.

102. Ῥίψας δι' ἀμφοῖν] οἷον, οὕτω περίθυμος ἐγένετο ὁ Ζεὺς, ὥστε ἐνσκῆψαι βέλος διαμπὰξ δι' ἀμφοτέρων τῶν μαστῶν ἢ τῶν πλευρῶν, ἢ [4]) δι' αὐτοῦ τε τοῦ Ἀσκλη-

[1]) Iliad. ν, 20. [2]) Odyss. ε, 457. [3]) Sturz. Fragm. p. 88. [4]) Ἢ cum Heynio de coniectura addidi.

Digitized by Google

πιοῦ καὶ τοῦ ἰατρευθέντος, ὥςτε καὶ τὸν Ἀσκληπιὸν ἀναιρεῖσθαι καὶ τὸν ἀναβεβιωκότα. ὁ δὲ Σωκράτης [1]) τὸν Ἀσκληπιόν φησι καὶ τὸν διδάξαντα αὐτὸν Χείρωνα. οὐδεὶς δὲ τούτῳ συμμαρτυρεῖ.

Δι' ἀμφοῖν] τοῦ Ἀσκληπιοῦ καὶ τοῦ ἀναβιώσαντος. ἐφθόνησε γὰρ τούτῳ τῆς δόξης ὁ Ζεὺς ἀναστήσαντι τὸν νεκρόν. [2])

104. Λίθων κεραυνός] ὁ δὲ ἄπυρος κεραυνὸς ἐνεστήριξεν ἀμφοτέροις τὸν θάνατον. [3])

106. Χρὴ τὰ ἐοικότα] πρέπει τὰ ἀρέσκοντα τοῖς θεοῖς καὶ τὰ πρέποντα, ἢ τὰ ἁρμόζοντα τοῖς ἀνθρώποις, παρὰ θεῶν ζητεῖν γινώσκοντας τὰς παρὰ πόδας ὁποίας ἔχομεν μοίρας· οἷον τὸ ἐνεστὼς, τὰ καθεστῶτα, οἵαν μοῖραν εἰλήχαμεν. [4]) ὅμοιον τῷ Χίλωνος ἀποφθέγματι τῷ Γνῶθι σαυτόν. τὸ δὲ ὅλον, ὅτι θνητοὶ πεφύκαμεν. § ἤγουν, ἐκεῖνα πράττειν, ἃ ἀνήκει τοῖς θνητοῖς, καὶ μὴ ἁρπάζειν τὰ τῶν θεῶν ἐν τῷ ἀνιστᾶν τοὺς νεκροὺς, ἀλλὰ γινώσκειν ἑαυτοὺς, ὁποίας ἐσμὲν φύσεως, ὅτι θνητοί. πρὸς ἑαυτόν· ὦ ψυχὴ, μὴ ζήτει τοιοῦτον βίον, κατ' εἰρωνείαν, ἀθάνατον, ἤγουν τὸ ἐξομοιοῦσθαι τοῖς θεοῖς ἐν τῷ ἀνιστᾶν τοὺς νεκρούς. [5])

109. Μὴ φίλα ψυχά] ὁ λόγος πρὸς ἑαυτόν· μηδαμῶς δὲ, ὦ προσφιλεστάτη ψυχὴ, θνητὴ τυγχάνουσα ἐπ' ἀθάνατον σπεῦδε βίον, ἀλλὰ μᾶλλον ἐπιζήτει μηχανὴν, ἣν καὶ καταπράξασθαι δύνασαι· οἷον, τοιούτοις ἐπιχείρει ἃ δύναται πραχθῆναι. τοῦτο γὰρ σημαίνει τὸ ἔμπρακτον. § ἣν δέον ἐστὶ πρᾶξιν ἀνύειν, ταύτην διαπράττου. πρὸς δὲ τὸ ἄντλει καὶ τὴν μηχανὴν ἐπήγαγεν.

111. Εἰ δὲ σώφρων ἄντρον] ἀνέδραμε πάλιν ἐπὶ τὴν ἀρχὴν τοῦ ἐπινίκου. τοῦτο γὰρ ἐκείνῳ προσαπτέον τῷ, Ἤθελον Χείρωνά κε Φιλλυρίδαν· καὶ μετὰ τὴν διάνοιαν ἐκείνην τὴν εὐκτικὴν εἰκότως προσάψομεν. § Ἄλλως. ἐπανέλαβε τὰ ἐν ἀρχῇ ῥηθέντα, Ἤθελον Χείρωνά κε Φιλλυρίδαν, ἐπεὶ πολλά ἐστι τὰ διὰ μέσου ῥηθέντα. εἰ οὖν ὁ σώφρων Χείρων ἐκεῖνος ἄντρον ἔναιεν ἔτι, καί τι αὐτῷ φίλτρον καὶ ἡδονὴν ἐν τῇ ψυχῇ ἐποίουν οἱ ἐμοὶ ὕμνοι, ἐκήλησα ἂν αὐτὸν καὶ ἐφιλοτιμησάμην ταῖς ἐμαῖς ᾠδαῖς, καὶ ἔπεισα ἂν αὐτὸν [6]) ἰατρὸν ὄντα παρασχεῖν τῷ Ἱέρωνι τῶν καυστικῶν νόσων ἀπόλυσίν τινα. διάπυροι γὰρ αἱ νόσοι. § τοῦτο δέ φησιν, ἢ ὅτι ἐπύρεττεν ὁ Ἱέρων, ὡς ἔνιοι τῶν ἱστορικῶν ἠβουλήθησαν, ἢ ὅτι ἐποδαλγία· τὸ δὲ νόσημα τοῦτο τῶν διαπύρων φασίν· οἱ δὲ τὴν λιθουρίαν ἀποδεδώκασιν. § ὁ δὲ νοῦς οὕτως· εἰ δὲ ὁ σώφρων καὶ ὁ συνετώτατος κατὰ τὸ Πήλιον ἔτι ᾤκει ἄντρον Χείρων, καί τι αὐτῷ φίλτρον καὶ ἡδονὴν οἱ ἐμοὶ ἡδύφωνοι ὕμνοι ἐτίθεσαν, ἰατρὸν ἂν αὐτὸν καὶ ἐπὶ τοῦ παρόντος τοῖς ἀγαθοῖς ἀνδράσιν ἔπεισα παρασχεῖν.

118. Ἤ τινα Λατοῖδα] μητρωνυμικῶς τοῦ Ἀπόλλωνος. φησὶ δὲ τὸν Ἀσκληπιόν. § Ἄλλως. ἤ τινα τοῦ τῆς Λητοῦς παιδὸς Ἀπόλλωνος κεκλημένον υἱόν· φησὶ δὲ τὸν Ἀσκληπιόν· ἢ πατέρος τοῦ Διὸς, παρὰ τὸ Ὁμηρικὸν Πατὴρ ἀνδρῶν τε θεῶν τε, ἀπὸ κοινοῦ κεκλημένον υἱὸν, αὐτὸν τὸν Ἀπόλλωνα. [7])

1) Vulgo Κράτης. Correxit Valck. ad Phoeniss. Schol. 45. Cf. supra ad vs. 15. 2) Pal. C. 3) Gott. 4) Gott. εἰλήφαμεν. 5) Pal. C. 6) Supplevi e Gott. 7) Concinnavi hoc scholium e vulgatis et lectione libri Gottingensis.

Digitized by Google

120. Ἰονίαν τέμνων] Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν, τὸ παρὰ τὸ Ἀδριατικὸν πέλαγος, ὡς καὶ Θουκυδίδης· [1]) Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ εἰςπλέοντι τὸν Ἰόνιον πόντον. παράκειται δὲ καὶ ἡ Σικελία· ἀπὸ τῶν γειτνιώντων οὖν τὴν νῆσον ἐδήλωσεν. § Ἄλλως. τὸ Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν τὸ ὄνομα ἔλαβεν, ὡς μὲν ἔνιοι ἀπὸ Ἰοῦς· Θεόπομπος δὲ ἀπὸ Ἰονίου ἀνδρὸς Ἰλλυριοῦ· Ἀρχέμαχος [2]) δὲ ἀπὸ τῶν ἀπολλυμένων ἐν αὐτῷ Ἰαόνων. ἡ δὲ Ἀρέθουσα κρήνη ἐν Ὀρτυγίᾳ τῇ Σικελιωτικῇ, ἣν διὰ πολλῶν οὖσαν ἱερὰν Ἀπόλλων ἀπέδωκεν. [3]) νέμει βασιλεύς· ὃς ὢν βασιλεὺς Συρακουσῶν νέμει καὶ διοικεῖ τὰ δέοντα. [4]) § ὁ δὲ νοῦς· καὶ δὴ ἐν ναυσὶ διαπλεύσας καὶ διατεμὼν τὸ Ἰόνιον πέλαγος παρεγενόμην ἐπὶ τὴν Ἀρέθουσαν τὴν ἐν τῇ Σικελιωτικῇ Ὀρτυγίᾳ κρήνην, παρὰ τὸν Αἰτναῖον φίλον Ἱέρωνα, ὃς τῶν Συρακουσῶν βασιλεύει τοῖς πολίταις πρᾴοτατος ὢν καὶ ἀνεπαχθὴς καὶ τοῖς ἀγαθοῖς οὐ διαφθονῶν, τοῖς τε ξένοις ἀξιάγαστος ὑπάρχων πατὴρ διὰ τὴν φιλοξενίαν καὶ φιλοφροσύνην.

127. Τῷ μὲν διδύμας χάριτας] τήν τε τοῦ ἰατρεύοντος Χείρωνος, εἰ ἀνεβίωσε, καὶ τὴν τῶν ὕμνων, ὧν εἰς αὐτὸν γράφω. τὸ δὲ κατέβαν ἀντὶ τοῦ ἦλθον. Ὅμηρος· [5])

Πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον,

ἀντὶ τοῦ ἐλθεῖν. § ὁ νοῦς· τῷ δὲ Ἱέρωνι διπλασίας χάριτας ἔξωθεν παρέσχον ἄν, εἰ παρεγενόμην ὑγίειαν ἅμα κομίζων τιμίαν καὶ τὸν ὕμνον τῶν Πυθικῶν ἄθλων αἴγλην ὄντα καὶ λαμπηδόνα.

132. Τοὺς ἀριστεύων] οὕστινας, τοὺς στεφάνους ἀριστεύων τῷ τάχει ἔλαβεν ὁ Φερένικός ποτε ἐν τῇ Κίρρᾳ. εἶτα ἡ ἀνταπόδοσις πρὸς τὸ πρῶτον· εἰ κατῆλθον εἰς Σικελίαν, παρεγενόμην ἂν τὸ βαθὺ πέλαγος διαπεράσας ἀστέρος λαμπρότερον καὶ ἐπιφανέστερον ἄγων ἐκείνῳ φῶς τήν τε θεραπείαν καὶ τὸν ὕμνον.

134. Ἀστέρος οὐρανίου] τὸν ἥλιόν φησιν. εἰ οὖν εὐξάμενος παρεστησάμην, φησί, τὸν Χείρωνα ἀπαλλάξειν αὐτὸν τῆς νόσου, καὶ τὸ ἐπὶ τῇ νίκῃ ποίημα κατεσκευασάμην, τότε ἂν ἐφάνην αὐτῷ τοῦ ἡλίου λαμπρότερος, διαβὰς τὸ πέλαγος καὶ ἐλθὼν εἰς τὴν Σικελίαν.

137. Ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω-ματρί] Ἀριστόδημός φησιν Ὀλύμπιχον αὐλητὴν διδασκόμενον ὑπὸ Πινδάρου γενέσθαι κατὰ τὸ ὄρος, ὅπου τὴν μελέτην συνετίθει, καὶ ψόφον ἱκανὸν καὶ φλόγα ἰδεῖν καταφερομένην· τὸν δὲ Πίνδαρον ἐπαισθόμενον συνιδεῖν Μητρὸς θεῶν ἄγαλμα λίθινον τοῖς ποσὶν ἐπερχόμενον, ὅθεν αὐτὸν συνιδρύσασθαι πρὸς τῇ οἰκίᾳ Μητρὸς θεῶν καὶ Πανὸς ἄγαλμα. τοὺς δὲ πολίτας πέμψαντας ἐς θεοῦ πυνθάνεσθαι περὶ τῶν ἐκβησομένων· τὸν δὲ ἀνειπεῖν, ἱερὸν Μητρὸς θεῶν ἱδρύσασθαι. τοὺς δὲ ἐκπλαγέντας τὸν Πίνδαρον διὰ τὸ προειληφέναι [6]) τὸν χρησμὸν, ὁμοίως τῷ Πινδάρῳ ἐκεῖσε τιμᾶν τὴν θεὸν τελεταῖς. § ὁ δὲ νοῦς· ἀλλ' ἐπεύξασθαι μὲν καὶ καθικετεῦσαι ἐγὼ βούλομαι τὴν Ῥέαν, ἥντινα αἱ κόραι πλησίον τῶν ἐμῶν οἴκων σὺν τῷ Πανὶ ἀνυμνοῦσι κατὰ τὴν νύκτα, τὴν σεμνὴν θεόν. λέγεται δὲ Ῥέας ἱερὸν

1) I, 24. 2) Vulgo Ἀρχίδαμος, qui mihi quidem ignotus est. Archemachum reposui e Gott. Tradiderat hoc Archemachus ἐν ταῖς μετωνυμίαις, de quibus vide Voss. H. Gr. III, p. 330. 3) Locus corruptus. Gott. sic: ἣν δὴ Ἀπόλλωνι οὖσαν etc. 4) Haec inde a verbo νέμει e Gott. 5) Iliad. ξ, 19. 6) Vulgo προςειλ. et paullo ante πέμψας ἐς θ. πυνθάνεται.

Digitized by Google

πλησίον τῶν Πινδάρου οἴκων εἶναι. φησὶν οὖν ὅτι κατεύξομαι τὴν Ῥέαν εὐμενῆ εἶναι τῷ Ἱέρωνι. § παρόσον δοκεῖ τῶν νόσων αὐξητικὴ καὶ μειωτικὴ εἶναι. [1])

138. Παρ' ἐμὸν πρόθυρον] ὅτι ἐγειτνία τῇ Πινδάρου οἰκίᾳ Μητρὸς θεῶν ἱερὸν καὶ Πανὸς, ὅπερ αὐτὸς ἱδρύσατο.

139. Σὺν Πανί] οὐχ ὅτι αἱ κόραι σὺν τῷ Πανὶ χορεύουσι καὶ ἀνυμνοῦσι τὴν Ῥέαν, ἀλλὰ τὴν Ῥέαν καὶ τὸν Πᾶνα ἀνυμνοῦσι. πάρεδρος γὰρ ὁ Πὰν τῇ Ῥέᾳ, ὡς αὐτὸς ὁ Πίνδαρος ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενίων φησίν· Ὦ Πὰν Ἀρκαδίας μεδέων, ἕως τοῦ Ματρὸς μεγάλας ὀπαδὲ, σεμνῶν Χαρίτων μέλημα [2]) τερπνόν. § Ἄλλως. πρὸς τῇ οἰκίᾳ τοῦ Πινδάρου Μητρὸς θεῶν ἵδρυτο ἱερὸν καὶ Πανὸς, ὅπερ αὐτὸς ἱδρύσατο. [3]) οἱ δὲ, ὅτι καθάρτριά ἐστι τῆς μανίας ἡ θεός· καὶ τὸν Διόνυσον δὲ καθᾶραι τῆς [4]) μανίας φασί· τὸν δὲ Πᾶνα παρείληφεν, ὡς μὲν ἔνιοί φασιν, ὅτι καὶ ὁ Πὰν πλησίον καθίδρυτο Πινδάρου, ἢ ὅτι σύνεστι τῇ θεῷ ὡς ὄρειος ὤν. καὶ ἡ Ῥέα δὲ ὄρειος λέγεται διὰ τὸ ἐν Ἴδῃ οἰκεῖν. ἐννύχιαι δὲ, ἐπεὶ νυκτὸς αὐτῇ τὰ μυστήρια τελεῖται. κοῦραι δὲ, αἱ τοῦ Πινδάρου θυγατέρες Πρωτομάχη καὶ Εὔμητις, ἢ αἱ νύμφαι.

141. Εἰ δὲ λόγων συνέμεν] εἰ δὲ συνιέναι δύνασαι τὴν τῶν λόγων ὀρθὴν κορυφὴν, γινώσκεις ἀσφαλῶς μανθάνων τὰ τῶν παλαιῶν. λέγει δὲ τὰ παρὰ τοῦ ποιητοῦ, ὅτι παρὰ ἓν ἀγαθὸν δύο πήματα ἀπονέμουσιν οἱ θεοί. φησὶ γάρ που· [5])

Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
Δώρων οἷα διδοῦσι, κακῶν, ἕτερος δὲ ἑάων.
Ὧι μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
Ἄλλοτε μέν τε κακῷ ἐπιμίσγεται, ἄλλοτε δ' ἐσθλῷ.

δοκοῦσι γὰρ οἱ εὐδαίμονες συγκεκραμένον ἔχειν τοῖς ἀγαθοῖς καὶ φαῦλον· οἱ δὲ δυστυχεῖς ἄκρατον τὴν δυστυχίαν. διὸ καὶ περὶ τοῦ Δημοδόκου τοῦ κιθαρῳδοῦ φησιν· [6])

Τὸν πέρι Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε,
Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.

διὸ εἴτις λέγει, διατί θεοφιλὴς ὢν πήρωσιν ἐδυστύχησεν, ἔχομεν λέγειν, ὅτι ἀδύνατόν ἐστιν ἄνθρωπον ὄντα τελέως ἐν πᾶσιν εὐτυχεῖν καὶ ἀπαθῆ εἶναι. ὁ μέντοι Πίνδαρος οὕτως ἐδέξατο, δύο πίθους εἶναι φαύλων καὶ ἕνα ἀγαθῶν. διὸ καὶ αὐτός φησιν· Ἓν παρ' ἐσλὸν πήματα σύνδυο. οὐκ ἔστι δὲ τοῦτο. δύο γὰρ οἱ πίθοι εἰσὶ, καὶ ὁ μὲν εἷς ἀγαθῶν, ὁ δὲ ἕτερος φαύλων. τὸ γὰρ Ἕτερος ἐλέγχει παρακείμενον, ὅπερ ἐπὶ δυϊκοῦ μόνου ἀριθμοῦ λέγεται, οἷον τῶν δύο τὸ ἕτερον. ὁ λόγος οὖν πρὸς τὴν Ἱέρωνος νόσον καὶ πρὸς τὸ τῆς βασιλείας ἀξίωμα. μηδαμῶς, φησὶν, ὦ Ἱέρων, ἀλγύνου· ἀδύνατον γάρ ἐστιν ἄνθρωπόν σε ὄντα καὶ εὐδαιμονοῦντα μὴ μετέχειν ποσῶς καὶ βλάβης. ἀνασηκοῦσι γὰρ ὥςπερ τὰ ἀγαθὰ τῇ τῶν φαύλων μερίδι. § Ἄλλως. ἔνιοι ἀπεκδοχὴν φασιν εἶναι ταῦτα τῶν Ὁμηρείων, ὡς εἰπόντος αὐτοῦ ὅτι τριῶν ὄντων πίθων, ἑνὸς μὲν τῶν ἀγαθῶν, δυεῖν δὲ τῶν κακῶν, ὁ Ζεὺς δίδωσιν ἐξ ἑκάστου μοῖραν. ἐλέγχεται δὲ, ὅτι τὸ Ἕτερος

1) Heynius in novissima editione ablegat ad Zoegam Bassiril. p. 87. 2) Gott. ἄγαλμα. 3) Ultima inde a verbis καὶ Πανὸς omittit Gott. quippe assuta e sequenti scholio. 4) Ita Gott. Vulgo καθαρτικὸν μανίας. De re v. Apollod. III, 5, 1. et ibi Heyn. 5) Iliad. ω, 527. 6) Odyss. ϑ, 63.

Digitized by Google

ἐπὶ δύο μόνων λέγεται· εἰ γὰρ ἤδει τρεῖς ὄντας τοὺς πίθους, Ἄλλος ἂν εἶπε καὶ οὐχ Ἕτερος. ἔστι δὲ ὑποστίξαντα εἰς τὸ Δώρων οἷα δίδωσι, [1]) διαστεῖλαι εἰς τὸ Κακῶν, ἵν' ᾖ· κακῶν, ἕτερος δὲ ἐάων. δύο οὖν λέγει πίθους Ὅμηρος, κακῶν τε καὶ ἀγαθῶν, καὶ ᾧ μὲν ἀνθρώπων ἐν παρ' ἐν ἀγαθὸν καὶ κακὸν δῷ, εὐδαίμων ἐστὶν, ᾧ δ' ἂν ἐκ θατέρου δῷ δύο μοίρας τῶν κακῶν, τοῦτον οὖν εἶναι κακοδαίμονα. ταῦτα δὲ λέγει παραμυθούμενος τὸν Ἱέρωνα, ὑπὲρ τοῦ πράως φέρειν τὴν λιθουρίαν.

145. Ἓν παρ' ἐσλόν] ὡς δὲ λεγόμενον προφέρεται τὸ τοιοῦτον, ὅτι τοῖς ἀνθρώποις οἱ θεοὶ τὴν τρίτην τῶν ἀγαθῶν μοῖραν, τῶν δὲ κακῶν τὰς δύο ἀπομερίζουσιν. § πλείω λύπην τῆς χαρᾶς μερίζουσι τοῖς βροτοῖς. ἐὰν γάρ τις εὑρεθήσεται ἔχων ἓν ἀγαθὸν, δύο προσγίνονται αὐτῷ ἐκ τούτου κακά. ἅτινα οἱ μωροὶ, οἱ ἀσύνετοι οὐ δύνανται φέρειν, οἱ δὲ ἀγαθοὶ φέρουσιν ὡς ἀπὸ τῶν θεῶν πεμπόμενα, τρέψαντες ἔξω τὰ καλά· ἤγουν ὅσω μὲν κρύπτοντες, φέροντες τὰ ἀπὸ τῶν θεῶν ἀτυχήματα, θλιβερὰ, ἔξωθεν δὲ ὡραῖοι φαινόμενοι, ὡς μή τι κακὸν ἔχοντες, ἵνα μὴ φανῶσι κατὰ τοῦτο βαρούμενοι κατὰ τῶν θεῶν ἐπὶ τοῖς ἀτυχήμασιν· ὅπερ καὶ αὐτὸς ποιεῖ, Ἱέρων, μὴ βαρούμενος ἐπὶ τῇ ἀσθενείᾳ σου. [2])

147. Τὰ μὲν ὧν] ταῦτα μὲν οὖν τὰ φαῦλα ἀδυνάτως ἔχουσιν οἱ ἄφρονες κοσμίως καὶ ἀνθρωπίνως φέρειν, ἀλλ' οἱ συνετοὶ φέρουσι, τὰ καλὰ περιβάλλοντες [3]) ἔξω, καὶ λογιζόμενοι ῥᾷον φέρουσι τὰ φαῦλα. § τὴν μεταφορὰν εἴληφεν, οἷον ἄν τις νοήσειεν, ἐπὶ τῶν ἱματίων. ὅταν γὰρ ἔχῃ κηλίδας, οὐ δυνάμενός τις εὐκόσμως χρῆσθαι, τὸ μὲν κηλιδωθὲν ἔνδον ἔστρεψε, τὸ δὲ καλὸν ἔξω· τοὐναντίον δὲ ἐὰν ἄφρων ᾖ, τὰς κηλίδας ἔξω ἐᾷ. καὶ τὸν βίον οὖν τῶν ἀνθρώπων φησὶ κοινῇ μὲν πάντων ἔχειν πήματα, ταῦτα δὲ τοὺς μὲν ἄφρονας ἐν φανερῷ παρέχειν, τοὺς δὲ σώφρονας μετὰ κόσμου φέρειν ἀποκρυπτομένους καὶ τὰ καλὰ τοῦ βίου ἔξω τρέποντας.

150. Τὶν δὲ μοῖρα] τοῦτο ἔχεις, φησὶν, ἀγαθόν. μοῖρα γάρ σοι τῆς εὐδαιμονίας σύνεστιν. § Ἄλλως. σοὶ δὲ ἡ τῆς εὐδαιμονίας μοῖρα ἀκολουθεῖ· ἀποκεκλήρωσαι γὰρ τὰ ἀγαθά... § ὁ νοῦς· σοὶ δὲ, ὦ Ἱέρων, μερὶς ἀγαθῶν ἀκολουθεῖ· τὸν γὰρ δὴ τῶν λαῶν ἡγούμενον πλοῦτον καὶ τύραννον ἡ ἐξ ἀρχῆς ἐδωρήσατό σοι καταβολὴ, καὶ ὁρᾷ σε, εἴπερ τινὰ ἄλλον, εὐδαίμονα.

151. Λαγέταν γὰρ τύραννον] τὸν γὰρ λαγέτην τύραννον ἔχεις πλοῦτον. λαγέτας δὲ ὁ πλοῦτος, ἐπεὶ πάντας ἄγει τοὺς λαούς· ὑποτάσσονται γὰρ αὐτῷ πάντες. ἀλλὰ μὴν καὶ [4]) τύραννός ἐστι. τοῦτο πρὸς τὸ Ἓν παρ' ἐσλὸν πήματα σύνδυο· καὶ τῷ Ἱέρωνι μὲν γὰρ ἡ τῆς τυραννίδος εὐδαιμονία ὥσπερ τι μέγιστον ἕπεται, παρεπλάκη γε μέντοι αὐτῇ ὥσπερ τι κακὸν ἡ νόσος.

153. Αἰὼν δ' ἀσφαλής] βίος δὲ ἀσφαλὴς καὶ ἄπταιστος οὐδαμοῦ ἐγένετο, οὐδὲ παρὰ τῷ Αἰακίδῃ Πηλεῖ, οὐδὲ παρὰ τῷ ἰσοθέῳ Κάδμῳ· καίτοι λέγονται τῶν ἀνθρώπων εὐδαιμονίαν ἐξοχωτάτην ἐσχηκέναι. § Ἄλλως. βίος δὲ ἄνευ σφάλματος καὶ βλάβης

1) Sic Gott. quamquam supra in Homericis est διδοῦσι, quod mutare nolui. 2) Barbarum hoc scholium praestat Pal. C. Id praecedit grammatica nota de imperativo ἴσθι et variis formis verborum ἴσημι et εἶμι, sed ea nullius pretii neque ad hunc Pindari locum ullo modo pertinens. 3) Gott. προσβάλλοντες. 4) Non male Heynius post particulam καὶ inseri vult nomen Ἱέρων.

Digitized by Google

οὐκ ἐγένετο οὔτε Πηλεῖ οὔτε Κάδμῳ. ταῦτα δὲ διὰ τὴν νόσον αὐτῷ παραινεῖ. τὸν δὲ Κάδμον παρέλαβε· διὰ τὸ καὶ τοῦτον εὐδαιμονήσαντα ἐκπεσεῖν εἰς Ἰλλυριούς· ὅλως δὲ αὐτὸν ἀποσεμνύνουσι διαπεφυκότα [1]) τὸ γένος εἰς θεούς. πρόπαππος γὰρ ὁ Ζεὺς καὶ πάππος ὁ Ποσειδῶν, ὁ δὲ Ἄρης κηδεστής, ἡ δὲ Ἀφροδίτη πενθερά, ἡ δὲ Θυώνη καὶ ἡ Λευκοθέα θυγατέρες, ὁ δὲ Διόνυσος καὶ ὁ Παλαίμων θυγατριδοῦ· τὸ δὲ ὅλον καὶ ὑπὸ θεῶν καὶ ὑπ' ἀνθρώπων αὐτὸν μάλιστα πάντων κατὰ τὴν Ἑλλάδα τετιμῆσθαι· διόπερ καὶ αὐτὸς ἀπεθεώθη μετὰ τῆς γυναικὸς αὐτοῦ Ἁρμονίας καὶ ἀπελθὼν ἐπὶ δρακόντων ἅρματος κατῴκησεν ἐν τῷ Ἠλυσίῳ πεδίῳ, ὡς οἱ ποιηταὶ καὶ οἱ μυθογράφοι ἡμῖν παραδεδώκασιν.

158. Οἵ τε καὶ χρυσαμπύκων] οἵ, οὗτοι· συλληπτικὸς ὁ τρόπος. οἵτινες καὶ τῶν Μουσῶν ἀδουσῶν καὶ ἐν τῷ Πηλίῳ ὄρει καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις κατήκουσαν. καὶ ταῦτα διὰ τὴν νόσον αὐτῷ παραινεῖ· καὶ γὰρ ὁ Πηλεὺς καὶ ὁ Κάδμος, φησίν, εὐδαιμονέστατοι γενόμενοι τῶν ἀνθρώπων εἴς τινα καὶ ἐδυστύχησαν· διό, ὦ Ἱέρων, μὴ καταπονοῦ διὰ τὸ πάθος τῆς λιθιάσεως· τὰ γὰρ ἄλλα πάντα εὐτυχὴς πέφυκας.

160. Καὶ ἐν ἑπταπύλοις] καὶ ἐνταῦθα τὸ χωρὶς ἑκάστῳ [2]) συμβεβηκὸς συλληπτικῶς ἐπ' ἀμφοτέρων τίθησι, καὶ λίαν πυκνός ἐστιν ἐν τοῖς τοιούτοις· ὁ μὲν γὰρ Πηλεὺς ἐν Πηλίῳ τῷ ὄρει παρὰ Χείρωνι τὴν Θέτιν ἔγημεν, ὁ δὲ Κάδμος ἐν Θήβαις τὴν Ἁρμονίαν. λέγει δέ, ὅτι τῶν Μουσῶν ἀδουσῶν καὶ ἐν τῷ Πηλίῳ [3]) ὄρει καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις κατήκουσαν· ὁ δὲ τρόπος συλληπτικός, πρὸς ὃν καὶ τὸ σημεῖον.

165. Καὶ θεοὶ δαίσαντο] καὶ οἱ θεοὶ παρ' ἀμφοτέροις εὐωχήθησαν, [4]) τουτέστιν ἐν τοῖς ἀμφοτέρων γάμοις. καὶ Ὅμηρος, [5]) Πάντες δ' ἀντιάασθε γάμου θεοί, ἐπὶ τοῦ Πηλέως φησίν.

166. Καὶ Κρόνου παῖδας] καὶ τοὺς Κρόνου παῖδας βασιλεῖς ἐθεάσαντο ἐν ταῖς χρυσαῖς καθέδραις.

167. Ἕδνα τε] ἀκύρως τὰ δῶρα ἕδνα εἶπε. τῷ μὲν γὰρ Πηλεῖ γαμοῦντι τὴν Θέτιν ὁ Ποσειδῶν διὰ τὴν σωφροσύνην ἐδωρήσατο ἵππους, Ἡφαίστοῦ δὲ μάχαιραν· τῷ δὲ Κάδμῳ γαμοῦντι τὴν Ἁρμονίαν ἡ Ἀφροδίτη χρυσοῦν ὅρμον ἐδωρήσατο, ὃν κτησάμενος Πολυνείκης κατὰ διαδοχὴν τοῦ γένους παρέσχεν Ἐριφύλῃ, ἵνα πείσῃ Ἀμφιάραον εἰς τὸν πόλεμον ἐξελθεῖν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· καὶ δῶρα παρ' αὐτῶν ἔλαβον; ἀλλ' ὅμως, φησί, καὶ οὗτοι ἄπταιστον οὐκ ηὐτύχησαν βίον. ὁ μὲν γὰρ Κάδμος εἰς ὄφιν μεταβληθεὶς ἀπέθανεν, ὁ δὲ Πηλεὺς ἐν Κῷ τῇ νήσῳ ἀτυχήσας τὸν βίον οἰκτρῶς καὶ ἐπωδύνως ἀπέθανεν, ὡς καὶ Καλλίμαχος μαρτυρεῖ.

168. Διὸς δὲ χάριν] κατὰ δὲ τὴν Διὸς γνώμην μεταβαλόντες ἐκ τῶν προτέρων ἀγαθῶν, διὰ τῶν δευτέρων καμάτων ἔστησαν ὀρθὴν τὴν καρδίαν, τουτέστι διὰ τὰς ὑπερβαλούσας ἀτυχίας ἔμπληκτοι ὥσπερ καὶ τὴν καρδίαν πληγέντες γεγόνασιν. οἱ δὲ οὕτως· ἐκ τῶν προτέρων ἀγαθῶν μεταβαλλόμενοι τὴν ὀρθὴν καὶ εὐδαίμονα καρδίαν διὰ καμάτων καὶ συμφορῶν ἰσχυρῶν ἦλθον. § ἐπεὶ ἐξέφυγον ἐκ τῶν πατρίδων, οἷον ἐκ τῶν

1) Gott. διαπεφοιτηκότα. 2) Sic Gott. Vulgo καὶ ἐν τούτῳ τῷ χωρίῳ τὸ ἑκάστῳ. Cf. Schol. Pyth. IV, 303. Isthm. I, 23. V, 87. 3) Hanc vocem addidi e Gott. 4) Vulgo εὐωχήσθησαν. 5) Iliad. ω, 62. Vulgo ἀντιόωντο: quod edidi, est in Gott.

Digitized by Google

προτέρων κακῶν μεταβαλόντες ηὐφράνθησαν· θεῶν γὰρ ἔτυχον γάμων. § οὗτοι γὰρ, Κάδμος καὶ Πηλεὺς, πολλὰ παρὰ τῶν θεῶν εὐπραγήσαντες, φησὶ, καὶ τιμηθέντες, ποτὲ ἐδυσπράγησαν, εἰ καὶ πάλιν ἔστησαν ὀρθὴν τὴν καρδίαν, ἤγουν ἐξ ὁλοκλήρου, ἤγουν ηὐφράνθησαν τῶν θλίψεων ἀπαλλαγέντες. εἰ γοῦν ἐκεῖνοι τοιοῦτοι ὄντες ὑπέμενον, πόσῳ μᾶλλον ὑπομένειν χρὴ καὶ σέ; [1])

173. Τὸν μὲν ὀξείαισι] τὸν μὲν Κάδμον αἱ τρεῖς θυγατέρες ἀπολλύμεναι ταῖς ὀξείαις συμφοραῖς τὸ τῆς εὐφροσύνης μέρος ἠρήμωσαν καὶ ἀφείλοντο· ἐν σχήματι δὲ εἶπεν, ἀντὶ τοῦ εὐφροσύνης ἔρημον ἐποίησαν· εἰς δὲ τὸ τῆς ἐπεράστου Σεμέλης λέχος ὁ Ζεὺς παρεγένετο. ὅτι δὲ αἱ θυγατέρες τοῦ Κάδμου ἐδυστύχησαν, δῆλος ὁ λόγος. ἡ μὲν γὰρ Σεμέλη ἐκεραυνώθη παρὰ Διός· ἡ δὲ Ἀγαυὴ καὶ Ἰνὼ εἰς μανίαν τραπεῖσαι τοὺς παῖδας διέσπασαν· καὶ ἡ μὲν Ἀγαυὴ τὸν Πενθέα, ἡ δὲ Ἰνὼ κατά τινας τὸν Μελικέρτην εἰς λέβητα κατέθηκε· πολλοὶ γὰρ τὸν Ἀθάμαντα παραδιδόασιν ἐμβεβληκέναι [2]) τῷ λέβητι.

177. Ἵμερτὸν Θυώνᾳ] Θυώνην τὴν Σεμέλην λέγει. οὕτω δὲ ὀνομάζεται ἀπὸ τοῦ περὶ τὸν Διόνυσον πάθους, ὅτι θύει καὶ ἐνθουσιᾷ κατὰ τοὺς χορούς. οὕτω καὶ Θυάδες αἱ Βάκχαι, καὶ θύσθλα οἱ θύρσοι. § Ἄλλως. Θυώνη τῇ Σεμέλῃ φησί· διωνυμία γὰρ ἐκέχρητο. εἰσὶ δὲ οἱ καὶ τὴν αὐτὴν Διώνην λέγουσιν, ὥσπερ Εὐριπίδης ἐν Ἀντιγόνῃ· [3])

Ὦ παῖ Διώνης, ὡς ἔφυς μέγας θεός,
Διόνυσε, θνητοῖς τ' οὐδαμῶς ὑπόστατος.

ἔνιοι δὲ τὴν Θυώνην ἑτέραν τῆς Σεμέλης φασὶν εἶναι, τροφὸν τοῦ Διονύσου, ὥσπερ Πανύασις ἐν τρίτῳ Ἡρακλείας·

Καί ῥ' ὁ μὲν ἐκ [4]) κόλποιο τροφοῦ θόρε ποσσὶ Θυώνης.

ἐτυμολογοῦσι δὲ τὴν Θυώνην ἀπὸ τῆς θυηλῆς· Σεμέλη δὲ ἢ κατὰ τὸ μυθικὸν ἡ τὰ μέλη τοῦ σώματος ὑπὸ τῶν βροντῶν διασαλεύσασα, ἢ κατὰ τὸ φυσικὸν ὅτι σείει τὰ μέλη τῶν οἰνουργούντων [5]) ὁ Διόνυσος, ἐν ᾧ τοὺς βότρυς ἁλλόμενοι πατοῦσιν· ἡ δὲ Θυώνη κατὰ τὸ μυθικὸν, διὰ τὸ κεραυνοῖς τεθραῦσθαι, [6]) κατὰ δὲ τὸ φυσικὸν, ὅτι πυρώδης ἡ οὐσία τοῦ οἴνου.

178. Τοῦ δὲ παῖς ὅνπερ μόνον ἀθανάτα τίκτε] τοῦ δὲ Πηλέως παῖς ὁ Ἀχιλλεὺς, ὅνπερ μόνον ἡ ἄφθαρτος Θέτις ἐγέννησεν, ἐν τῷ Ἰλιακῷ πολέμῳ τοῖς Ἀπόλλω-

1) Ultimum scholium est ex Pal. C. Verba ἤγουν ἐξ ὁλοκλήρου supra adscripta sunt: tota vero annotatio Byzantinam aetatem sapit. 2) Gott. ἐμβεβηκέναι. 3) Fragm. 17. Cf. Valck. Diatr. Eurip. p. 154 sqq. ubi scholiastam imperitiae insimulans negat Dionysum esse Diones filium, et vocem Διόνυσε falsam esse scripturam, quam scholiastes in codice invenerit, docet. Sane in Antigona haec putes de Amore esse, non de Libero: sed non audeo disertam scholiastae narrationem istiusmodi argumentis refutare, praesertim quum Dione non unius deae nomen fuerit, de quo vide Buttmannum nostrum ad Dem. Mid. Spalding. p. 120 sqq. Bacchus autem ab Antigona ut patrius Thebarum deus invocari potuit; et scholiasten satis tuetur Hesychii locus v. Βάκχου Διώνης quamvis obscurus: neque enim Bacchi et Dionysi distinctionem adeo premendam in poetis arbitror. 4) Vulgo ἐν: ἐκ notavit Heynius e Gott. Confer de hoc loco Valck. ad Ammon. p. 208. 5) Delevi post hanc vocem pronomen αὐτὸν, pro quo Gott. αὐτὴν. 6) Sic Gott. Vulgo τεθάφθαι.

Digitized by Google

νος τόξοις ἀπολιπὼν τὴν ψυχὴν τῷ πυρὶ καιόμενος ἐκίνησεν ἐπ' αὐτῷ γόον ἐκ τῶν Ἑλλήνων. μετὰ γὰρ τὸ τελευτῆσαι ἐκάη. § Ἄλλως. οὐ μόνον αὐτὸν ἐγέννησεν, ἀλλὰ καὶ ἄλλους, οὓς βουλομένη ἀπαθανατίζειν ἔκτεινε. φασὶ δὲ ὅτι καὶ τὸν Ἀχιλλέα μέλλουσα καίειν καὶ καταληφθεῖσα ὑπὸ τοῦ Πηλέως εἰς τὴν θάλασσαν ἔφυγεν. § τὸ ἑξῆς· ὤρσεν ἐκ Δαναῶν πυρὶ καιόμενος· ὤρσε δὲ, διορμῆσαι ἐποίησεν.

182. Εἰ δὲ νόῳ τις ἔχει] εἰ δέ τις τὴν ἀλήθειαν τῶν πραγμάτων προϊδεῖν δύναται, δεῖ πρὸς τῶν θεῶν εὖ πάσχοντα ἑαυτὸν μὴ λυπεῖν, ἀλλὰ συνεπιδιδόναι τὴν ψυχὴν ταῖς ἀπὸ τῶν θεῶν εὐπραγίαις. τὸ δὲ Εὖ κοινὸν πρός τε τὸ πασχέμεν καὶ πρὸς τὸ μακάρων τυγχάνοντα. § Ἄλλως. εἰ δέ τις τῶν ἀνθρώπων οἶδε τῆς ἀληθείας τὴν ὁδὸν, τουτέστιν ὀρθῶς λογίζεται καὶ φρόνιμός ἐστι, προσήκει αὐτὸν παρὰ θεῶν εὐεργετούμενον ὑφίστασθαι καὶ τῆς εὐπραγίας ἀπολαύειν. [1]) καὶ Ὅμηρος· [2])

Οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα,
Ὅσσα κεν αὐτοὶ δῶσιν· ἑκὼν δ' οὐκ ἄν τις ἕλοιτο.

187. Ἄλλοτε δ' ἀλλοῖαι πνοαί] ὥσπερ οὐχ οἱ αὐτοὶ ἄνεμοι, φησὶ, διαπαντὸς πνέουσιν, ἀλλ' ἄλλοτε ἄλλοι, οὕτω καὶ αἱ τύχαι τῶν ἀνθρώπων οὐχ αἱ αὐταὶ παραμένουσιν, ἀλλ' ἄλλοτε μὲν εἰς κακὸν μεταβάλλουσιν, ἄλλοτε δὲ εἰς ἀγαθόν. καὶ Εὐριπίδης· [3])

Κάμνουσι γάρ τοι καὶ βροτοῖς αἱ συμφοραί,
Καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει.

189. Ὄλβος δ' οὐκ ἐς μακρόν] ἡ δὲ τῶν ἀνθρώπων εὐδαιμονία οὐκ ἐς μακρὰν παραγίνεται, ἀντὶ τοῦ οὐκ ἐπιπολὺ παραμένει, ἐπειδὰν μάλιστα ἐπακολουθήσας πολὺς ἐπιβαρήσῃ καὶ παραγίνηται. § ἡνίκα ἐπιβαρύνας αὐτὸν καὶ ἀθροίσας ἔπηται. ἐξ οὗ καὶ Εὐριπίδης· [4])

Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς.

191. Σμικρὸς ἐν σμικροῖς] τινὲς οὕτως· ἐὰν σμικρὰ ᾖ τὰ περὶ ἐμὲ, καὶ αὐτὸς ἐκ τῆς ἀνάγκης ἔσομαι σμικρός· ἐὰν δὲ μεγάλα, εἰκότως ἐπαρθήσομαι καὶ μεγάλα φρονήσω. ἄτοπον δὲ καὶ οὕτω κατὰ Πίνδαρον τὴν ἀλαζονείαν δοκεῖν ταῖς τύχαις συσχηματίζεσθαι. ἔστιν οὖν ὃ λέγει τοιοῦτον· μικροῖς συνὼν καὶ καταδεεστέροις ἐμοῦ μικρὸν ἐμαυτὸν ποιήσω συμμετρήσας ἐκείνοις, ἐν δὲ τοῖς μείζοσι πάλιν ὁ αὐτὸς τυγχάνων ἐκείνοις ἐξισωθήσομαι.

192. Τὸν δ' ἀμφέποντ' ἀεὶ δαίμονα] τὸν δὲ περιέχοντά με δαίμονα καὶ τὴν τύχην οἴσω τῇ διανοίᾳ, καὶ θεραπεύσω αὐτὸν κατὰ τὴν ἐμαυτοῦ γνώμην. § ἢ οὕτως· ἀεὶ τὸν περιέχοντά με δαίμονα ἀσκήσω καὶ θεραπεύσῳ ἐν ταῖς φρεσὶ, σμικρὰ μὲν πράσσων ἐν σμικροῖς, ἐν δὲ μεγάλοις μεγάλας ἐπιβολὰς [5]) λαμβάνων.

195. Εἰ δέ μοι πλοῦτον] αἰνίττεται εἰς τὸν Ἱέρωνα προτρεπόμενος αὐτὸν ἀφειδῶς τοῖς ποιηταῖς χορηγεῖσθαι τὸν μισθὸν, ὥστε ἀνυμνεῖσθαι αὐτόν. § ὁ δὲ νοῦς· ἐὰν δέ μοι ὁ θεὸς πλοῦτον ἀνθηρὸν καὶ εὐδαίμονα παρόσχῃ, ἐλπίζω δόξαν εὑρεῖν ὑψηλοτάτην καὶ τὸν μετὰ ταῦτα χρόνον. § εἰ δέ μοι δώκῃ ὁ θεὸς πλοῦτον, ἐλπίζω διὰ

1) Heynius volebat ἀπόλαυσιν. 2) Iliad. γ, 65. 3) Herc. fur. 101. 4) Orest. 330.
5) Gott. ἐπιβουλάς.

Digitized by Google

τούτου δοξασθῆναι ἐν τῷ πάντας διὰ τούτου δεξιοῦσθαι. τοῦτο λέγει παρακινῶν τὸν Ἱέρωνα ἀσχοληθῆναι αὐτῷ. [1])

198. Νέστορα καὶ Λύκιον Σαρπηδόνα] καὶ τὸν Νέστορα καὶ τὸν Σαρπηδόνα διὰ τοὺς ὕμνους τῶν ποιητῶν γινώσκομεν. § Ἄλλως. Νέστορα καὶ Λύκιον Σαρπηδόνα γινώσκομεν ἐξ ἐπέων κελαδεινῶν, οἷα σοφοὶ τέκτονες ἥρμοσαν. [2]) ἀνθρώπων φάτις περιφραστικῶς, ἡμεῖς οἱ ἄνθρωποι. ἢ προστίθεμεν τὸ ἴσασι, καὶ ἕξει τὴν ἀκολουθίαν οὐκέτι δι' ὑπερβατοῦ, ἀλλ' ἀκολούθως. § Ἄλλως. λείπει τῷ λόγῳ τὸ ἔχει, ἵνα ᾖ, Νέστορα καὶ Λύκιον Σαρπηδόνα ἀνθρώπων φάτις ἔχει, καὶ ἐξ ἐπέων κελαδεινῶν αὐτοὺς γινώσκομεν, οἷα σοφοὶ τέκτονες ἥρμοσαν ποιηταί.

202. Γινωσκομένα δ' ἀρετά] ἡ δὲ ἀρετὴ ταῖς ἐπιδόξοις ᾠδαῖς [3]) χρονία καὶ διηνεκὴς παραμένει. § ἢ οὕτως· ἡ δὲ ἀρετὴ τῶν ἀνθρώπων ἐπὶ χρόνον παραμένει ὕμνων τυχοῦσα. τὸ δὲ τοιοῦτον διαπράξασθαι ὀλίγοις ῥᾴδιόν ἐστι καὶ εὐκατόρθωτον, τὸ καὶ πλουτεῖν καὶ ἐπαινεῖσθαι. προτρέπεται δὲ αὐτὸν δωρεῖσθαι τοῖς ποιηταῖς, ἵνα ὑμνηθῇ. § ἤγουν, ἐκεῖνος ὑπάρχει ἀείμνηστος, ὅστις δώσει χρήματα καὶ ποιήσει ἐγκώμια ἑαυτῷ. πράξασθαι δὲ καὶ ποιῆσαι τοῦτο ὀλίγοις ὑπάρχει εὔκολον. [4])

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Δ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τέταρτου τῶν Πυθίων εἴδους.

Τῆς τετάρτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ιδ'. Τὸ α' ὅμοιον τῷ [5]) Ἤθελον Χείρωνά κε Φιλλυρίδαν. Τὸ β' ὅμοιον τῷ α'. Τὸ γ' ἰαμβέλεγος. Τὸ δ' ὅμοιον τῷ α' καὶ β'. Τὸ ε' δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον. Τὸ ς' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος ἀνακλώμενον. Τὸ η' δακτυλικὸν πενθημιμερές. Τὸ θ' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ ι' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ια' δακτυλικὸν ἑφθημιμερές. Τὸ ιβ' Εὐριπίδειον. Τὸ ιγ' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιδ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον.

1) Barbara nota ex Pal. C. 2) Hic locus vulgo corruptissimus legitur. Pro verbis τὸ δὲ ἑξῆς dedi Ἄλλως e Gott. quamquam non multum interest; sed Ἄλλως monstrat alium iam interpretem dicere. Deinde post Σαρπηδόνα legebatur: ἀνθρώπων φάτις ἔχει ἐξ ἐπ. κελ. sed aptius est quod Gott. habet γινώσκομεν. Mox fuit οἷα σοφοί τε καθήρμοσαν ἀνθρώπων. De coniectura correxi σοφοὶ τέκτονες ἥρμοσαν, et delevi ἀνθρώπων natum ex repetitione sequentis vocis. 3) Sic Gott. Vulgo ἀρεταῖς γινωσκομένη. 4) Nota recentior ex Pal. C. 5) Pyth. III, init.

Digitized by Google

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κῶλων ιγ'. Τὸ α' ὅμοιον τῷ Ἤθελον Χείρωνά κε Φιλλυρίδαν. Τὸ β' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ γ' δακτυλικὸν πενθημιμερές. Τὸ δ' ἰαμβέλεγος. Τὸ ε' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ς' προσοδικὸν τρίμετρον καταληκτικόν. Τὸ ζ' ὅμοιον τῷ Τις σὰς παρήειρε φρένας. Τὸ η' προσοδικόν. Τὸ θ' ἰαμβέλεγος, τοῦ πρώτου πενθημιμεροῦς λείποντος μιᾷ συλλαβῇ. Τὸ ι' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ ια' τὸ αὐτό. Τὸ ιβ' ὅμοιον τῷ α'. Τὸ ιγ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον.

Ἀρκεσιλάῳ Κυρηναίῳ ἅρματι.] Γέγραπται ἡ ᾠδὴ Ἀρκεσιλάῳ Πολυμνήστου [1]) παιδὶ, Κυρηναίῳ τὸ γένος τῆς Λιβύης, νικήσαντι τὴν τριακοστὴν πρώτην Πυθιάδα· ἔνιοι δὲ καὶ τὴν ὀγδοηκοστὴν [2]) Ὀλυμπιάδα· ἀλλ' οὐκ ἔγραψεν εἰς τὴν Ὀλυμπιακὴν αὐτοῦ νίκην, καίτοι μετὰ τὴν Πυθικὴν γενομένην, ἀλλ' εἰς τὰ Πύθια μόνον. γράφει δὲ εἰς ταύτην καὶ ἑτέραν αὐτῷ ᾠδὴν τὴν [3]) ἐφεξῆς, ἥτις καὶ οἰκειοτέρα ἐστὶ κατὰ τὰ νοήματα καὶ κατὰ τὴν οἰκονομίαν· ἡ γὰρ δὴ προκειμένη ᾠδὴ ἱστορικὴν ἔχει παρέκβασιν. τὰ γὰρ ἐπὶ Κυρήνης κτίσεως καὶ τῶν ἐν αὐτῇ ταραχῶν περιέχει, καὶ ὡς Ἀρκεσίλαος τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ ἐφυγάδευσεν, ἐν οἷς τις ἦν καὶ Δαμόφιλος, ὃς ἐκπεσὼν τῆς πατρίδος ἦλθεν εἰς Θήβας, ὑπὲρ οὗ φαίνεται ὁ Πίνδαρος παρακαλῶν καὶ βουλόμενος αὐτὸν διαλλάξαι καὶ ἀξιῶν τὴν Μοῦσαν παραστῆναι τῷ Ἀρκεσιλάῳ, καθ' ἣν ἡμέραν διαπέμπεται τὸν ἐπίνικον. οὐ γὰρ προσκαλεῖται αὐτῷ γράφων παραστῆναι τὴν Μοῦσαν· οὐ γὰρ ἂν διωρίσατο ἐν μιᾷ ἡμέρᾳ γράψαι τὸν ὕμνον. § Ἄλλως. ταύτην ἔγραψεν Ἀρκεσιλάῳ τῷ Κυρηναίων βασιλεῖ νικήσαντι τὴν τριακοστὴν πρώτην Πυθιάδα, ὃς γέγονεν ἀπὸ τοῦ πρώτου Βάττου. Κυρήνης γὰρ πρῶτος ἐβασίλευσε Βάττος ὁ Πολυμνήστου, ὁ καὶ τὴν ἀποικίαν ἐκ Θήρας εἰς Λιβύην ἀπαγαγὼν καὶ Κυρήνην οἰκίσας, ὃς διάδοχον τῆς ἀρχῆς κατέλιπεν υἱὸν Ἀρκεσίλαον. παρὰ δὲ τούτου παρέλαβε τὴν βασιλείαν Βάττος ὁ ἐπικληθεὶς εὐδαίμων· τοῦ δὲ Βάττου ἄλλος γίνεται Ἀρκεσίλαος, καὶ οὕτω παῖς παρὰ πατρὸς τὴν δυναστείαν παρέλαβε, καὶ τέσσαρες μὲν Βάττοι, τέσσαρες δὲ Ἀρκεσίλαοι ἐγένοντο. πέμπτος δέ ἐστιν Ἀρκεσίλαος Φερετίμης υἱὸς, ὡς Ἡρόδοτος μνημονεύει. [4]) ὁ δὲ τελευταῖος οὗτος Ἀρκεσίλαος δολοφονηθεὶς ὑπὸ Κυρηναίων ἀπέβαλε τῶν Βαττιαδῶν τὴν ἀρχὴν ἔτη διακόσια διαμείνασαν. Ἡρόδοτος [5]) μὲν οὖν φησιν, ὅτι ἡ Πυθία τὸν πρῶτον Βάττον οὕτω προσηγόρευσεν Ἀριστοτέλην πρότερον λεγόμενον, τῇ Λιβύων φωνῇ· Λίβυες γὰρ Βάττους τοὺς βασιλέας λέγουσιν· οἱ δὲ ὅτι ἰσχνόφωνος ἦν καὶ περὶ τῆς φωνῆς πυνθανόμενον ἡ Πυθία Βάττον προσηγόρευσεν, ἐπεὶ καὶ τὸ ἐπέχεσθαι τὴν γλῶτταν βατταρίζειν φαμέν. ἔνιοι δὲ Κόκκυγα αὐτὸν καλεῖσθαι, διὰ τὸ μὴ γεγω-

1) Non: sed Batti. Decepit scholiasten vs. 59. nostr. ed. 2) Τὴν ὀγδ. omittit Gott. 3) Vulgo αὐτοῦ νίκην ἐφ. quod ex prioribus natum de coniectura correxi. Post οἰκονομίαν cum Gott. delevi vocem ἐπίνικος. 4) Hoc falsum. V. Wessel. ad Herod. IV, 162. qui correxit Ἡρόδοτος: vulgo Ἡσίοδος. 5) IV, 155.

Digitized by Google

νὸς φθέγγεσθαι. ὁ δὲ Ἀκέσανδρος μὴ ἐκ γενετῆς αὐτόν φησιν ἰσχνόφωνον γεγενῆσθαι, ἀλλ' ἀπὸ ταὐτομάτου δεθῆναι τὴν γλῶτταν. ἦν δὲ ὁ ἀνὴρ ῥητορικὸς, φησὶ, καὶ συμβουλεύσασθαι δυνάμενος. § Ἄλλως. τάττεται ἡ ᾠδὴ εἰς τοὺς ἐπινίκους, μεῖζόν τι ἢ κατὰ ἐπίνικον οὖσα διὰ τὸ μεμηκύνθαι καὶ πραγμάτων ἔχειν ἀφήγησιν ἐντοπίων, τὸ δὲ ἀνωτάτω καταλλαγὴν φυγάδος Δαμοφίλου τινός.

1. Σάμερον μὲν χρή σε] διαλέγεται δὲ ὁ Πίνδαρος πρὸς τὴν Μοῦσαν, καὶ παραινεῖ αὐτῇ σήμερον παραστῆναι τῷ Ἀρκεσιλάῳ, εἰς ἐκείνην τὴν ἡμέραν ἀναφέρων τὸν λόγον, ἐν ᾗ ἔμελλε δέξασθαι τὸν ἐπίνικον ὁ Ἀρκεσίλαος. οὐ γὰρ εἰ ἐν νουμηνίᾳ, λόγου χάριν, ἐγράφη, ἐκείνῃ ὑπεστήσατο τῇ ἡμέρᾳ καὶ παρὰ τῷ Ἀρκεσιλάῳ ἔσεσθαι, ἀλλ' ὃ ἔμελλεν ἔσεσθαι, τοῦτο ὡς ἐπὶ τοῦ καιροῦ καὶ ἐνεστηκότος εἶπε. τὴν δὲ Κυρήνην εὔιππον εἶπεν οὐκ ἐκ τοῦ παρατυχόντος, ἀλλ' ὅτι Ποσειδῶν τοὺς Λίβυας διδάξειε τὴν τῶν ἁρμάτων κατάζευξιν· καὶ τὴν ἱππείαν δὲ Ἀθηνᾶν ἐν Λιβύῃ γενέσθαι φασί. τινὲς δὲ ὡς ὅτι ἡ ἱππικὴ ἐν τῇ Λιβύῃ εὑρέθη. § Ἄλλως. ὁ νοῦς· σήμερον μὲν προσήκει σε παραστῆναι καὶ τῷ προσφιλεστάτῳ ἀνδρὶ καὶ βασιλεῖ τῆς εὐίππου Κυρήνης, ὅπως ἄν, ὦ Μοῦσα, σὺν τῷ Ἀρκεσιλάῳ κώμους ἄγοντι καὶ χορεύοντι ἐπὶ τῇ νίκῃ, τοῖς τε Λητοῦς παισὶ καὶ τῇ Πυθῶνι τὸν ὀφειλόμενον ὕμνον αὔξῃς καὶ ἀποδῷς τὸν τῶν ὕμνων οὖρον. § τὸ σὺν πρὸς τὸ αὔξῃς, ἵν' ᾖ συναύξῃς. κωμάζοντι δὲ, κώμους ἄγοντι· κώμους δὲ ἄγουσιν οἱ νικῶντες κατὰ τὴν ἑαυτῶν πατρίδα. [1])

4. Λατοΐδαισιν ὀφειλόμενον] ἤτοι τοῖς Ἀπόλλωνος ἢ τῷ Ἀπόλλωνι μόνῳ, ὥστε τὸ πληθυντικὸν ἀπὸ τοῦ ἑνικοῦ ἐξενεχθῆναι, ὅπερ καὶ βέλτιον, τῷ αἰτίῳ τῆς νίκης ὀφείλεσθαι τὸν ὕμνον καὶ τῷ τόπῳ, οὗπερ ὁ ἀγὼν ἐπώνυμος. δύναται δὲ καὶ τοὺς Κυρηναίους νοεῖσθαι διὰ τὸ Ἀπόλλωνος καὶ Κυρήνης τὸν Ἀρισταῖον γενέσθαι, ὃν παρὰ Κυρηναίοις ὡς οἰκιστὴν διὰ τιμῆς ἄγεσθαι. δύναται δὲ καὶ τοὺς Δέλφους λέγειν. ἑτέρωθι γὰρ Ἀπολλωνίδας αὐτοὺς προσηγόρευσε· Δελφοὶ θεμιστῶν ὕμνων μάντιες Ἀπολλωνίδαι. [2])

6. Ἔνθα ποτὲ χρυσέων Διὸς αἰετῶν πάρεδρος] λόγος τις τοιοῦτος περιηχεῖ, ὅτι ὁ Ζεὺς τὸ μεσαίτατον τῆς οἰκουμένης καταμετρήσασθαι βουληθεὶς ἴσους κατὰ τὸ τάχος ἀετοὺς ἐκ δύσεως καὶ ἀνατολῆς ἀφῆκεν· οἱ δὲ διϊπτάμενοι συνέπεσον ἀλλήλοις κατὰ τὴν Πυθῶνα, ὥστε τὴν σύμπτωσιν ὁρίζειν αὐτόθι τῆς ὅλης οἰκουμένης τὸ μεσαίτατον. ὕστερον δὲ σημεῖον τοῦ γεγονότος καὶ χρυσοῦς ἀετοὺς κατασκευάσας ἀνέθηκε τῷ τοῦ θεοῦ τεμένει. § Ἄλλως. ὅτι ὑπὸ Διὸς ἀφεθέντες ἐκ τῶν περάτων τῆς γῆς συνέπεσον ἐνταῦθα, καὶ οὕτως ἐγνώσθη τὸ μέσον τῆς γῆς. ὧν εἰκόνες οἱ χρυσοῖ ἀνέκειντο παρὰ τὸν ὀμφαλὸν ἀετοὶ, ἤρθησαν δὲ ἐν τῷ Φωκικῷ πολέμῳ, ὃν Φιλόμηλος [3]) συνεστήσατο. § ὁ δὲ νοῦς· ὅπου ποτὲ ἡ τῶν χρυσῶν τοῦ Διὸς ἀετῶν πάρεδρος καὶ ἱέρεια τοῦ Ἀπόλλωνος Πυθία οὐκ ἀποδημοῦντος τοῦ θεοῦ ἀλλὰ παρόντος ἐχρησμῴδησε συνοικιστὴν γενέσθαι τῆς Λιβύης τὸν Βάττον, ὅπως ἂν τὴν ἱερὰν νῆσον Θήραν καταλιπὼν ὁ Βάττος κτίσῃ τὴν εὐάρματον καὶ ἱππικωτάτην πόλιν ἐν τῷ τροφιμωτάτῳ καὶ ἄκρῳ μέρει τῆς Λιβύης, καὶ τὸ τῆς Μηδείας ἔπος ἀνασώσῃ τὸ περὶ τῆς Θήρας, ὅτι δὴ ἑπτακαιδε-

1) Ex Gott. 2) Recte Heynius vult θεμίστων deleto ὕμνων. 3) Vulgo Εὔμηλος. Sed Φιλόμηλος, quod postulabat Wessel. ad Diod. XVI, 23. praestatur a Gott. ex quo nonnulla addidi.

Digitized by Google

κάτῃ γενεᾷ ἀποικία ἔσται ἐκ Θήρας εἰς Λιβύην, ὅπερ δὴ ἔπος ἡ τοῦ Ἀλήτου παῖς ἡ ὀργίλος Μήδεια ἐκ τοῦ ἀθανάτου ἀπεφθέγξατο στόματος, ἡ τῶν Κόλχων βασιλίς.

8. Οὐκ ἀποδάμου Ἀπόλλωνος] διὰ τούτων ἐμφαίνει τῶν ῥηθέντων τὸ ἀσφαλές. τότε γὰρ ἡ Πυθία μάλιστα ἀκριβέστερον χρησμῳδεῖ, ὅτε πάρεστι τῷ μαντείῳ ὁ θεός.

9. Ἱέρεα] μὴ ἱέρεια· καὶ τὸ ἱέρεα προπαροξυτόνως τονιστέον· ἔστι γὰρ κατὰ ἀποβολὴν τοῦ ι. οὐ γὰρ κατὰ Ἀττικοὺς ἱερία ἢ ἱερεία [1]) λέγεται. Ὅμηρος [2]) γοῦν φησι·

Τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν,

συστείλας τὴν τελευταίαν.

10. Οἰκιστῆρα Βάττον] λείπει τὸ ἔσεσθαι. περὶ δὲ τῆς τοῦ Βάττου εἰς τὸ μαντεῖον ἀφίξεως οὐχ ὁμολογοῦσιν ἀλλήλοις οἱ συγγραφεῖς. οἱ μὲν γὰρ ἕνεκεν τῆς φωνῆς φασιν αὐτὸν ἐλθεῖν, καὶ τὸν χρησμὸν ἄνω καὶ κάτω θρυλλοῦσι τόν, [3])

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
Ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.

οἱ δὲ στάσεως περιπεσούσης πολιτικῆς· ὁ Μενεκλῆς γοῦν πιθανωτέραν δοκεῖν φησι τὴν στάσεως αἰτίαν, μυθικωτέραν δὲ τὴν περὶ τῆς φωνῆς. φησὶ δέ, ὅτι οἱ πολῖται ἐν τῇ Θήρᾳ ἐστασίασαν καὶ διέστησαν ἀλλήλων, ἡγεῖτο δὲ τῆς ἑτέρας τῶν στάσεων ὁ Βάττος· διαγωνισαμένων δὲ τῶν στάσεων τοὺς τοῦ Βάττου συνέβη ἐκπεσεῖν τῆς πόλεως καὶ φυγεῖν τὴν χώραν, ἀπογινώσκοντας δὲ τὴν εἰς πατρίδα κάθοδον περὶ ἀποικίας βουλεύεσθαι· ἀποδημήσας δὲ εἰς Δελφοὺς Βάττος ἠρώτα περὶ τῆς στάσεως, πότερον διαγωνίσονται περὶ τῆς εἰς τὴν πατρίδα ἐπαναστροφῆς ἢ ἑτέρωσέ ποι ἀποικίαν στείλωνται. τὸν δὲ θεὸν χρῆσαι· [4])

Βάττε, τὸ πρόσθε κακὸν, τὸ δὲ δεύτερον ἐσθλὸν ἐρευνᾷς;
Ἔρχεο, λεῖφ' ἄλλαν χώραν· ἤπειρος ἀμείνων.
Ἠῶος πρότερον δόλον ἔκβαλε, πείθεϊ πείθων.
Στερρὴν γῆν ὁσίως, ἣν μισεῖ πολλὴν ἀθεμίστως.
Οἷά τ' ἀνὴρ ἔρξει, τοῖον τέλος αὐτὸν ἱκάνει.

11. Ἱερὰν νᾶσον] ἱερὰν εἶπε τὴν Θήραν ἤτοι διὰ τὸ περὶ τὴν γῆν ἰδίωμα· κισσηρώδης γὰρ οὖσα πολύφορός ἐστι καὶ πολύκαρπος· ἢ ὅτι Κάδμος ἐπιβαλὼν καὶ τὴν νῆσον οἰκίσας βωμοὺς ἱδρύσατο Ποσειδῶνος καὶ Ἀθηνᾶς. Ἡροκλῆς δέ φησι τοὺς ἐκ Λακεδαίμονος ἀποικίσαντας Ἀπόλλωνι αὐτὴν ἀνιερῶσαι. ἐγχωρεῖ δὲ καὶ κόσμου χάριν κεῖσθαι τὸ ἐπίθετον. § ἱερὰν νῆσον τὴν Θήραν οὐχ ἁπλῶς ὀνομάζει, ἀλλ' ὅτι Κάδμος κατὰ ζήτησιν Εὐρώπης τῆς ἀδελφῆς στελλόμενος προορμισθεὶς τῇ νήσῳ ἀνέκτισε Ποσειδῶνος καὶ Ἀθηνᾶς ἱερὸν αὐτόθι, ὡς ἱστορεῖ Θεόφραστος.

14. Ἀργινόεντι μαστῷ] Ἀρίσταρχος μὲν τὸ Ὁμηρικὸν [5]) Οὔθαρ ἀρούρης πα-

1) Erat ἱέρεα ἢ ἱέρεια. Ἱερία est in Rom. cetera ipse mutavi, quia ἱερεία ultima longa Atticum est. V. Moer. 2) Iliad. ζ, 300. Ultimam corripi in hoc loco scholiastes dicit, quia acutus est in antepenultima. 3) Herodot. IV, 155. 4) Confer ab Heynio citatum Buherium de Herodot. p. 136. Versu primo post Βάττε addidi τὸ cum Heynio, et scripsi cum eodem ἐρευνᾷς pro vulgato ἐρεύνα. Versu tertio idem coniecit πρότερον δόμον et πείθεο μύθῳ. Versu quarto libri στερρόν: deinde ἣν μισεῖ corruptum est. Ultimo versu Gott. ἕρξεις. Pleraque, ut solet in oraculis, obscurissima sunt. 5) Iliad. ι, 141.

Digitized by Google

ράγειν αὐτόν φησι πιθανῶς, ὑπαλλαξάμενον τὸν μαστόν· Ἱεροκλῆς δέ φησι κεῖσθαι τὴν πόλιν ἐπὶ λόφου μαστοειδοῦς λευκογείου. μᾶλλον δὲ ἀπὸ τῆς εὐτροφίας, ὡς Ἀρίσταρχος· καὶ γὰρ ὁ ἀργινόεις συνᾴδει τούτῳ μᾶλλον, ἀπὸ τοῦ γάλακτος.

15. Καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι] τουτέστιν ἀνασώσειεν, ἐπὶ τέλος ἀγάγοι. ἔστι δὲ ὁ Ἀριστοτέλης ιζ' ἀπὸ Εὐφήμου τοῦ Ποσειδῶνος καὶ Εὐρώπης τοῦ λαβόντος τὴν βῶλον παρὰ Τριτωνος. § ἀγκομίσαιτο, ἀνακομίσειεν, ἐπιμελείας ἀξιώσειεν. ἔχει δὲ ἡ ἱστορία οὕτως· ἡνίκα εἰς τὴν Σύρτιν ἐμπεσόντες οἱ Ἀργοναῦται ἔφερον δεὰ τῆς Λιβύης ἐπ' ὤμων τὴν Ἀργώ, εἶτα καθῆκαν εἰς τὴν θάλασσαν, συντυχόντες Εὐρυπύλῳ τῷ τοῦ Ποσειδῶνος παιδὶ καὶ ἐπειγόμενοι πρὸς τὸν πλοῦν ἐδέξαντο ξένια τὰ παρατυχόντα. ἐκεῖνος γὰρ βῶλον ἀπὸ τῆς γῆς λαβὼν ἔδωκεν· ὁ δὲ Εὔφημος ἐδέξατο· εἶτα πρὸς τῇ Θήρᾳ ὑπερκλύσαντος τοῦ κύματος καὶ διαλυθείσης τῆς βώλου ἐμαντεύσατο ἡ Μήδεια ἐν τῇ Θήρᾳ ὄντων αὐτῶν, τοὺς ἀπ' Εὐφήμου ἑπτακαιδεκάτῃ γενεᾷ ἀποικίαν στείλασθαι ἐκ Θήρας εἰς Λιβύην. ὁ δὲ Εὔφημος παῖς Ποσειδῶνος ἦν καὶ Μηκιονίκης τῆς Εὐρώτα θυγατρὸς, ὃς ἔγημε θυγατέρα Ἀλκμήνης Λαονόμην, ἀφ' οὗ ἑπτακαιδέκατος ὢν ὁ Βάττος ὁ καὶ Ἀριστοτέλης ἀποικίαν ἐς Λιβύην ἐστείλατο. κατὰ τὴν μαντείαν οὖν τῆς Μηδείας ἑπτακαιδέκατος γεγονὼς ὁ Βάττος ἐδυστύχησε τὴν φωνὴν, καὶ ἐκ θεοῦ, τίς λύσις εἴη, ἀνερωτῶντι αὐτῷ, ἀνείλετο οὕτω·

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
Εἰς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.

τὸ δὲ σημεῖον, ὅτι ἑπτακαιδεκάτην γενεὰν ἀπὸ τῶν Ἀργοναυτῶν φησι γενομένην [1]) ἐκ τῶν Αημνιάδων οἰκίσαι τὴν πρότερον Καλλίστην, ὕστερον δὲ Θήραν. Θήραιον δὲ, τὸ περὶ τῆς Θήρας λεχθὲν, ἢ τὸ ἐν Θήρᾳ εἰρημένον· ἐκεῖ γὰρ ὁ λόγος τῆς Μηδείας καὶ τὸ μάντευμα ἐῤῥήθη.

17. Ζαμενής] ζαμενὴς, ἢ ἄγαν ὀργίλος καὶ πικρά. τὸ δὲ ἐπίθετον ἐκ τῆς ἱστορίας, ὅτι ὑπέμεινε τοὺς ἑαυτῆς παῖδας ἀποσφάξαι καὶ τὸν ἀδελφὸν Ἄψυρτον.

18. Ἀθανάτου στόματος] ἀθάνατον στόμα τὸ Μηδείας εἶπεν, ὡς μὲν Χαῖρις, ἐκ μέρους τὴν ἀθάνατον, ἐπεὶ καὶ Ἡσίοδος ἐν τῇ Θεογονίᾳ [2]) ἀθάνατον αὐτήν φησιν· ὡς δὲ Ἀσκληπιάδης, ὅτι οὐδὲν τῶν ῥηθέντων ὑπ' αὐτῆς ἀτελὲς γέγονεν οὐδὲ ἐφθάρη.

22. Κέκλυτε] ἐπακούσατε, ὦ μεγαλοψύχων τε ἀνδρῶν καὶ θεῶν παῖδες.

24. Φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλάγκτου] τῆς Θήρας· ἤτοι ὅτι ἐνάλιος οὖσα πλήττεται ὑπὸ τῶν κυμάτων, ἢ τῆς βώλου τῆς διαλυθείσης ὑπερκλύσαντος τοῦ κύματος τὴν ναῦν. § ὁ δὲ νοῦς· φημὶ γὰρ ἐκ ταύτης τῆς ἁλιπλάγκτου γῆς τὴν Ἐπάφου κόρην Λιβύην τῶν πολιτῶν τὴν ῥίζαν καὶ καταβολὴν φυτεῦσαι καὶ σπεῖραι τὴν τοῖς ἀνθρώποις ἐν ἐπιμελείᾳ οὖσαν, ἐν τοῖς τοῦ Διὸς Ἄμμωνος θεμελίοις, τουτέστιν ἐν τῇ Λιβύῃ.

25. Ἐπάφοιο κόραν] τὴν Λιβύην τὴν ἡρῳδα, ἀφ' ἧς καὶ ἡ χώρα ὁμώνυμος. Ἐπάφου γὰρ τοῦ Διὸς καὶ Ἰοῦς τῆς Ἰνάχου Λιβύη, ἧς καὶ Ποσειδῶνος Βῆλος.

[1]) Heynius volebat γενόμενον, quippe Βάττον: ego scripsi ἑπτακαιδεκάτην γενεὰν, quum vulgo dativus legeretur. Sic ad vs. 83. μετὰ τὴν δ' γενεὰν Εὐφήμου τὴν ἐλθοῦσαν εἰς Θήραν. Malim tamen τὴν ἑπταικ. Ceterum scholiastes nugatur. Nam aetate XVII. Euphemi progenies Cyrenas condidit, non Theram: neque aliud Pindarus vult. [2]) Vs. 960.

Digitized by Google

§ Ἐπάφοιο κόραν, τὴν Λιβύην· ὅτι ἡ χώρα Λιβύης τῆς Ἐπάφου τοῦ Διὸς καὶ Ἰοῦς τῆς Ἰνάχου ὁμώνυμος. [1]) εἰώθασι δὲ οὗτοι συμπλέκειν τὰ τῶν χωρῶν ἢ τῶν πόλεων καὶ τὰ τῶν ἡρωΐδων ὀνόματα διακοινοποιοῦντες, οἷον· Εὐάρματε χρυσοχίτων, ἱερώτατον ἄγαλμα, Θήβα. [2]) τὸ μὲν γὰρ εὐάρματε τῆς πόλεως, τὸ δὲ χρυσοχίτων τῆς ἡρωΐδος.

26. Ἀστέων ῥίζαν] τὴν Κυρήνην. ἐξ αὐτῆς γὰρ καὶ Ἀπολλωνία καὶ Τεύχειρα ἐκτίσθησαν. μελησίμβροτον δέ φησι τὴν διὰ φροντίδος οὖσαν πολλοῖς. βούλεται δὲ λέγειν, ὅτι ἐκ τῆς Θήρας ἡ Λιβύη μεταφυτευθήσεται πόλεων ῥίζα.

28. Διὸς ἐν Ἄμμωνος] Ἄμμωνα Λίβυες τὸν Δία προσαγορεύουσι καὶ οὕτω τιμῶσι, καὶ ἔστιν αὐτοῦ μαντεῖον ἐν Λιβύῃ· καὶ γὰρ καὶ Φαῖστος ἐν τοῖς Λακεδαιμονικοῖς ἐπιβάλλων φησί·

Ζεὺς Λιβύης Ἄμμων κερατηφόρε κέκλυθι μάντι.

ἐνταῦθα δὲ πῶς τὴν Κυρήνην τοῦ μαντείου πλησίον εἶναί φησιν; ἀπέχει γὰρ ἱκανοῖς σταδίοις· ἀλλὰ ῥητέον, ὅτι πᾶσα ἡ χώρα ἀφιέρωται τῷ θεῷ.

29. Ἐλαχυπτερύγων] ὅτι αἱ παραπλεύριοι ἄκανθαι αὐτῶν πτερύγια καλοῦνται. [3]) § τὸ ἐλαχὺ πρὸς σύγκρισιν τῶν ὀρνέων· ἀντὶ δὲ νησιωτικῶν καὶ θαλασσίων ἔργων ἠπειρωτικὰ καὶ ἱππικὰ μεταλήψονται. ὁ δὲ λόγος, ὅτι νησιῶται ὄντες οἱ Θηραῖοι ἠπειρῶται γενήσονται. § ὁ δὲ νοῦς· ἀντὶ δὲ τῶν μικροπτερύγων δελφίνων ἵππους μεταλήψονται καὶ ἡνία ἀντὶ κωπῶν, καὶ δίφρους κινήσουσι κατὰ τὸν δρόμον. πτέρυγας δὲ τῶν δελφίνων τὰς ἀκάνθας φησὶ τὰς ἑκατέρωθεν τῶν βραγχίων, αἷς καὶ διανήχονται καὶ διΐπτανται ὥσπερ οἱ ἰχθύες. ἀελλόποδας δὲ ἀπὸ τῶν ἑλκόντων τοὺς δίφρους εἴρηκεν.

33. Κεῖνος ὄρνις] ἐκεῖνος ὁ σύμβολος, ἐκεῖνος ὁ οἰωνός, τουτέστιν ἡ βῶλος παρασκευάσει τῶν μεγίστων πόλεων μητρόπολιν γενέσθαι τὴν Θήραν. ἀπὸ γὰρ ταύτης ἡ Κυρήνη ἀνακτίζεται. § Ἄλλως. κεῖνος ὄρνις· ἡ βῶλος, κεῖνο ὄρνεον· τὸ γὰρ ὄρνεον ἐπὶ τῆς βώλου λαμβάνουσιν.

35. Τόν ποτε Τριτωνίδος] Τρίτων ποταμὸς Λιβύης, ἐν ᾧ ἡ Ἀθηνᾶ ἐγεννήθη, ἀφ' οὗ καὶ Τριτογένεια ὀνομάζεται. § Ἄλλως. Τριτωνίδος λίμνης οὕτω καλουμένης περὶ τὴν Λιβύην, καθ' ἣν συντρέχοντες τῷ Εὐρυπύλῳ οἱ Ἀργοναῦται τὴν βῶλον ἐδέξαντο. § ὁ δὲ νοῦς· ὅνπερ ὄρνιν, λέγει δὲ τὴν βῶλον, ἐν ταῖς προχοαῖς τῆς Τριτωνίδος λίμνης, θεῷ ἀνδρὶ ὁμοιωθέντι καὶ ξένια παρεχομένῳ ἐκ τῆς πρώρας καταβὰς ὁ Εὔφημος ἐδέξατο. § ζητεῖται δὲ, δι' ἣν αἰτίαν ὑπεδέξατο τὴν βῶλον ὁ Εὔφημος· καὶ οἱ μέν φασιν, ὅτι πρωρεὺς ἦν· φαίνεται γὰρ καὶ ὁ Εὐρύπυλος ἐπιστὰς τῇ πρώρᾳ καὶ ἐπιδοὺς τὸ ξένιον· οἱ δὲ διὰ τὴν συγγένειαν. ἀμφότεροι γὰρ Ποσειδῶνος, ὅ τε δοὺς καὶ ὁ λαβών. ὁ δὲ Ἀσκληπιάδης τὰ ἐν ταῖς μεγάλαις Ἠοίαις παρατίθεται·

Ἦ οἴη Τρίη [4]) πυκινόφρων Μηκιονίκη;
Ἦ τέκεν Εὔφημον Γαιηόχῳ [5]) Ἐννοσιγαίῳ
Μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης.

37. Θεῷ ἀνέρι εἰδομένῳ] τοῦτο καινοτέρως ὁ Πίνδαρος ἱστορεῖ, ὅτι θεὸς Εὐρυπύλῳ παρεικασθεὶς παρέστη τοῖς Ἀργοναύταις.

[1]) Ex Gott. [2]) Fragmentum Pindaricum. [3]) Ex Gott. [4]) Vulgo ἠοίη Τρίη. Cf. Ruhnk. Ep. crit. p. 109. [5]) Sic Gott.

Digitized by Google

40. *Αἴσιον δ' ἐπί οἱ Κρονίων*] αἴσιον δὲ ἐπὶ τῇ δόσει βροντήσας ἐπεκτύπησεν ὁ Ζεύς.

42. *Ἀνίκ' ἄγκυραν*] τὸν Τρίτωνά φησιν αὐτοῖς συντετυχηκέναι ἀναγομένοις ἤδη. τότε γὰρ τὰς ἀγκύρας τοῦ βυθοῦ ἀνασπάσαντες ἐκκρεμῶσι τῆς νεώς. Ἀργοῦς δὲ χαλινὸν τὴν ἄγκυραν λέγει ἀπὸ μεταφορᾶς τῶν ἵππων, διὰ τὸ ἐπέχειν τὰς ναῦς δίκην χαλινοῦ· πρὸς τῇ νηῒ γὰρ κρημνάντων ἐπεκύρησε, τουτέστιν ἀναγομένων. τίς δὲ ἐπεκύρησεν; ὁ ἀνδρὶ εἰκασμένος Τρίτων. § ὅτε τὴν ἄγκυραν τὴν χαλκᾶς ἔχουσαν γένυς πρὸς τῇ νηῒ ἀνελκυσάντων τῶν Ἀργοναυτῶν καὶ ἀποκρημνάντων ἐπέτυχεν ὁ Εὐρύπυλος. σημαίνει δὲ διὰ τούτων τὸν ἀπόπλουν· ὅτε γὰρ πλεῖν μέλλουσιν, ἀνάγουσι τὰς ἀγκύρας. ἐπέτοσσε δὲ ἀντὶ τοῦ ἐπέτυχε.

44. *Δώδεκα δὲ πρότερον ἁμέρας*] τοῦτο προσειληφέναι φησὶ Δίδυμος Πίνδαρον τερατείας χάριν τῆς πρὸς ἡμᾶς, ἐπεὶ οὐδὲ πρέπον τὸ πρὸς εἰδότας λέγειν. ὁ δὲ Ἀμμώνιος περὶ τούτων οὕτω γράφει· Καὶ ἑαυτὴν συμπεριλαμβάνει διὰ τὸ ταῖς αὐτῆς βουλαῖς τὴν ἔξω φυγὴν ποιήσασθαι· ἐκβιβάσαι γὰρ συνεβούλευσε καὶ διὰ τοῦ Ἀδρίου ποιῆσαι τὸν πλοῦν· τοῦτο δὲ ἐναντίον τῷ ἐκ τοῦ Ὠκεανοῦ ὑπὲρ τὴν Λιβύην κομίσαι τὴν ναῦν εἰς τὴν Τριτωνίδα· ἀλλὰ μᾶλλον ὡς διὰ τοῦ Φάσιδος εἰς τὸν Ὠκεανὸν ἐκπεπτωκότων. § οἱ λόγοι παρὰ τῆς Μηδείας· ἐν δώδεκα ἡμέραις τοπρότερον ἔξω τοῦ Ὠκεανοῦ ἐφέρομεν κατὰ τὸν νωτον τῆς ἐρήμου καὶ ὁμαλῆς γῆς τὸ θαλάττιον δόρυ, τουτέστι τὴν ναῦν, τοῖς ἡμετέροις βουλεύμασιν ἀνασπάσαντες. § τὸ πρόσωπον τῆς Μηδείας μιμεῖται ὁ ποιητής· τοῖς ἡμετέροις, φησί, βουλεύμασιν ἀνασπάσαιτες. § παρὰ τὸν Λιβυκὸν Ὠκεανὸν ἐλθόντες, καὶ μὴ δυνάμενοι διεξελθεῖν διὰ τὸ εἶναι τεναγώδη, συμβουλαῖς τῆς Μηδείας τὴν ναῦν βαστάσαντες διεκόμισαν εἰς τὴν Τριτωνίδα λίμνην.

49. *Τουτάκι δ' οἰοπόλος*] τὸ τηνικαῦτα δὲ ὁ μόνος ἀναστρεφόμενος θεὸς παρεγένετο ἀνδρὸς αἰδεσίμου καὶ ἀξιοπρεποῦς φαιδρὰν καὶ εὐπρεπῆ ὄψιν ἑαυτῷ περιθεὶς, ὃ ἐστιν ὁ Τρίτων Εὐρυπύλῳ ὁμοιούμενος Κυρήνης βασιλεῖ.

52. *Φιλίων δ' ἐπέων*] λόγων δὲ προσφιλῶν καὶ φιλοφρονητικῶν κατήρχετο, ὥσπερ τοῖς ξένοις παραγεγονόσιν οἱ ξενισταὶ τὰ δεῖπνα καὶ τὴν φιλοφροσύνην πρῶτον ἐπαγγέλλονται, οὕτω καὶ αὐτὸς ταῦτα ἐπηγγείλατο. τοῦτο γὰρ δεῖ συνυπακοῦσαι.

56. *Ἀλλὰ γὰρ νόστου πρόφασις*] ἀλλὰ γὰρ ἡ τῆς γλυκείας ἀνακομιδῆς πρόφασις ἐκώλυσεν αὐτοὺς παραμένειν καὶ τῆς θεοῦ δεξιώσεως ἀπολαύειν.

57. *Φάτο δ' Εὐρύπυλος*] ἔλεγε δὲ ὁ Εὐρύπυλος τοῦ ἀφθάρτου Ποσειδῶνος εἶναι παῖς. τοῦτον δὲ Ἀπολλώνιος ποτὲ μὲν Εὐρύπυλον προσαγορεύει, ποτὲ δὲ Τρίτωνα. Ἀκέσανδρος δέ φησιν ἀδελφὸν εἶναι τὸν Εὐρύπυλον Τρίτωνος, γράφων οὕτως· Εὐρύπυλος Ποσειδῶνος καὶ Κελαινοῦς τῆς Ἄτλαντος, Τρίτωνος ἀδελφός. οὗτος γαμεῖ Στερόπην τὴν Ἡλίου, Πασιφάης ἀδελφήν, καὶ γεννᾷ παῖδας δύο Λυκάονα καὶ Λεύκιππον.

59. *Γίγνωσκε δ' ἐπειγομένους*] συνεώρα δὲ καὶ αὐτὸς, φησὶν, ἡμᾶς ἐπειγομένους.

61. *Δεξιτερᾷ προτυχόν*] Χαῖρίς φησι δεῖν γράφειν παρατυχὸν, [1]) ἵν' ᾖ· ἀναρπάσας δὲ εὐθὺς ἐκ τῆς γῆς τῇ δεξιᾷ χειρὶ τὸ παρατυχὸν ξένιον ἐζήτει παρασχεῖν, ὅπερ

1) Gott. Rom. προτυχὸν, omisso lemmate.

Digitized by Google

ἦν ἡ βῶλος. διατί δὲ Εὔφημος ἐδέξατο, πολλῶν ὄντων, ζητεῖται. καὶ οἱ μέν φασι διὰ τὸ ἐγγύς· πρωρεὺς γὰρ ἦν· διό φησι Πίνδαρος πρώρηθεν· οἱ δὲ διὰ συγγένειαν· οἱ δὲ ὅτι ὁ δοὺς τὴν βῶλον, εἴτε Τρίτων ἦν εἰκασμένος Εὐρυπύλῳ εἴτε Εὐρύπυλος οὗτος, ἦν Ποσειδῶνος υἱός· ἄλλως τε καὶ ὅλη ἡ Λιβύη ἱερὰ Ποσειδῶνος διὰ τὸ μεμίχθαι Λιβύῃ τὸν Ποσειδῶνα· ταύτῃ οὖν καὶ ὁ Εὔφημος διὰ τὴν οἰκειότητα ἐδέξατο. προσθείη δ' ἄν τις, ὅτι καὶ Ταινάρου ἐβασίλευεν, αὕτη δὲ Ποσειδῶνος ἱερά. Ἀσκληπιάδης δέ φησιν ὅτι καὶ Περικλύμενος καὶ Ἐργῖνος καὶ Ἀγκαῖος υἱοὶ Ποσειδῶνος· τί οὖν οὐδεὶς εἰλήφει τούτων; φησὶ γοῦν αὐτὸς δῶρον ἔχειν τὸν Εὔφημον παρὰ Ποσειδῶνος τὴν θάλασσαν ἀπημάντως διαπορεύεσθαι ὡς διὰ γῆς. πρὸς δὲ τοὺς λέγοντας ὅτι κυβερνήτης ὁ Εὔφημος ἦν καὶ πρωρεύς, τοῦτο γὰρ ἱστορεῖν ἴσμεν Θεότιμον, λεκτέον ὅτι καὶ πανυ λόγον ἔχει τὸν κυβερνήτην ὡς ἡγούμενον τῆς νεὼς τὴν βῶλον παρὰ τοῦ Τρίτωνος λαβεῖν.

63. Οὐδ' ἀπίθησέ νιν] παθητικῶς· οὐδ' ἀπιθῆ αὐτὸν πεποίηκε πρὸς τὴν ὑποδοχήν.

64. Ἀλλ' ἥρως ἐπ' ἀκταῖσι θορών] ὁ δὲ ἥρως Εὔφημος ἐπιθορὼν ταῖς ἀκταῖς τῇ αὐτοῦ χειρὶ τὴν αὐτοῦ ἀντερείσας, ἤγουν ἀνθαρμόσας, ἢ συνάψας καὶ ἐπεκτείνας χεῖρα, ἐδέξατο τὴν θείαν βῶλον. [1])

66. Βώλακα δαιμονίαν] τὴν θείαν, ἤτοι ὅτι ἐξ αὐτῆς ἀποικίαι καὶ χρησμοὶ Ἀπόλλωνος, ἢ ὅτι θεὸς ὁ δωρησάμενος.

67. Πεύθομαι δ' αὐτάν] ἔτι περὶ τῆς βώλου τὸν λόγον ποιεῖται ἡ Μήδεια, ὅτι πέπυσται χθὲς αὐτὴν διατετηκυῖαν, καίπερ παρακελευομένη φυλάξαι. § Ἄλλως. μετέπεσεν ἐπὶ τὸ ποιητικὸν πρόσωπον, καὶ οὐκέτι τὸ τῆς Μηδείας ἐφύλαξε διαπαντός. φησὶν οὖν· κατακούω δὲ αὐτὴν τὴν βῶλον κατακλυσθεῖσαν ἐκ τῆς νεὼς σὺν τῇ θαλάσσῃ τῆς δύσεως διεννηέχθαι καὶ διαλυθῆναι συμφερομένην τοῖς κύμασι. τὴν σὺν οὖν πρόθεσιν συντακτέον τῷ βᾶμεν, ἵν' ᾖ συμβῆναι, ἤτοι συμβεβηκέναι καὶ συνελθεῖν εἰς ταυτό. § ἐναλίᾳ βᾶμεν· συμβεβηκέναι καὶ εἰς ταυτὸ γεγενῆσθαι τῇ θαλασσίᾳ ἅλμῃ, ὅ ἐστι κατὰ περίφρασιν τῇ θαλάσσῃ. ἐκ δούρατος δὲ, ἐκ τῆς νηός.

70. Ἑσπέρας ὑγρῷ πελάγει] ἤτοι κατὰ τὸν καιρὸν τῆς ἑσπέρας, ἢ τῷ πελάγει τῆς δυτικῆς θαλάττης ἀκολουθήσασαν.

71. Ἦ μάν νιν] ναὶ μὴν αὐτὴν, τὴν βῶλον, συνεχῶς τοῖς λυσιπόνοις οἰκέταις φυλάξαι, φησὶν, ὥτρυνον, τούτων δὲ εἰς λήθην ἦλθον αἱ φρένες. ἐπειδὴ δὲ οἱ οἰκέται τῶν δεσποτῶν τοὺς πόνους διαλύουσι τῇ θεραπείᾳ, λυσιπόνους αὐτοὺς ἐκάλεσεν, ὡς Εὐριπίδης· [2])

Δούλοισι γάρ τε ζῶμεν οἱ ἐλεύθεροι.

74. Καὶ νῦν ἐν τᾷδε] ὁ λόγος περὶ τῆς Μηδείας, ὡς προσορμισθείσης κατὰ τὸ τηνικαῦτα καὶ διαλεγομένης περὶ τῆς βώλου. § ὁ δὲ νοῦς· καὶ νῦν ἐν τῇδε τῇ ἀφθάρτῳ νήσῳ πρὸ τοῦ δέοντος καιροῦ διεχύθη τῆς εὐρυχώρου Λιβύης τὸ σπέρμα, τουτέστιν ἡ βῶλος.

1) Duo haec scholia ad vss. 63. 64. omittit Gott. et sunt recentioris. Hinc istud ἤγουν.
2) Fragm. inc. 203. Οἵ γ' ἐλ. scribendum esse monuit Heath.

Digitized by Google

76. Σπέρμα] διχῶς τὸ σπέρμα δύναται νοεῖσθαι, καὶ ὅτι Λιβυκὴ ἡ βῶλος, καὶ ὅτι οἷον ἀρχὴ τῆς εἰς Λιβύην ἀποικίας.

Εἰ γὰρ οἴκοι νεν βάλεν] εἰ γὰρ τὴν βῶλον ἔσωσεν εἰς Ταίναρον, ἥτις ᾅδου ἐστὶ στόμα, μετὰ τέσσαρας ἂν γενεὰς ἐγένετο ἡ ἀποικία καὶ ἔλαβε σὺν τοῖς ἄλλοις τὴν εὐρεῖαν ἤπειρον τὴν Λιβύην· ἐπειδὴ δὲ οὐ διεσώθη, ἀλλ' ἐτάκη ἐν τῇ νήσῳ Θήρᾳ, οὐκέτι φησὶν ἐλεύσεσθαι ἐκ τῆς Λακωνικῆς τὴν ἀποικίαν μετὰ τέσσαρας γενεὰς, ἀλλὰ μετὰ ἑπτακαίδεκα ἐξ ἀλλοδαπῶν γυναικῶν γεννηθέντας τινὰς καθέξειν τὴν Λιβύην. ἔσχε δὲ γυναῖκα ὁ Εὔφημος Λασονόμην Ἡρακλέους ἀδελφὴν, Ἀμφιτρύωνος δὲ θυγατέρα καὶ Ἀλκμήνης. Ταίναρον δὲ πόλις Λακωνικὴ, ἐν ᾗ πύλη ἐστὶν εἰς Ἅιδου κατάγουσα. καὶ Μένανδρος·

Πυλή τίς ἐστι Ταινάρου πρὸς ἐσχάτοις. [1])

§ Ἄλλως. εἰ γὰρ δὴ αὐτὴν τὴν βῶλον ἐν τοῖς ἑαυτοῦ οἴκοις ἤγαγε παρὰ τὸ χθόνιον τοῦ ᾅδου στόμα εἰς τὴν ἱερὰν Ταίναρον παραγεγονὼς, ἐκ δὲ τούτου εἰς Λακεδαίμονα ἐλθὼν ὁ τοῦ ἱππικοῦ Ποσειδῶνος υἱὸς, ὅντινά ποτε ἡ Εὐρώπη ἡ τοῦ Τιτυοῦ θυγάτηρ ἐγέννησε παρὰ ταῖς ὄχθαις τοῦ Κηφισοῦ τοῦ Βοιωτικοῦ ποταμοῦ.

83. Τετράτων παίδων] οἱ γὰρ ἐξ Εὐφήμου τέταρτοι ἔμελλον ἀποικίαν στέλλεσθαι ἀπὸ Λακεδαίμονος εἰς Λιβύην· νῦν δὲ διὰ τὸ διαλελύσθαι τὴν βῶλον εἰς Θήραν ἐκ Λακεδαίμονος οἱ τέταρτοι ἀπὸ Εὐφήμου ἔρχονται καὶ ἀπὸ Θήρας οἱ ἑπτακαιδέκατοι, ὡς μετὰ τὴν δ' γενεὰν Εὐφήμου τὴν ἐλθοῦσαν εἰς Θήραν ἄλλας τρισκαίδεκα γενέσθαι. [2]) § τετάρτων ἐξ Εὐφήμου παίδων γεγονότων γένος αὐτῷ ἐκείνην ἔλαβε καὶ κατέσχε σὺν τοῖς Ἕλλησι τὴν μεγάλην καὶ πλατεῖαν ἤπειρον τῆς Λιβύης.

85. Εὐρεῖαν ἄπειρον] γῆν, ἤγουν τὴν Λιβύην, ὅθεν ὁ [3]) βῶλος· καὶ εἰ τοῦτο οὕτως ἐγένετο, ἤγουν τὸ μὴ λυθῆναι τὴν βῶλον ἔξω τῆς πατρίδος τοῦ Εὐφήμου, ἐξανίσταντο, ἐξηχέρθησαν ἂν ἀπὸ τῶν τόπων τούτων, καὶ ἀπῆλθον ἐκεῖσε εἰς τὴν Λιβύην. ἐπεὶ δ' οὕτως ἐγένετο, οὐ τοῦτο τὸ γένος ἀπελεύσεται ἐκεῖσε, ἀλλὰ τὸ ἀπὸ τῶν Λημνιάδων γυναικῶν. [4])

Τότε γὰρ μεγάλας] τότε γὰρ οἱ Ἡρακλεῖδαι κατελθόντες μετὰ τέσσαρας γενεὰς ἐξανέστησαν τοὺς προκατέχοντας ἀπὸ Εὐφήμου Μυκηνῶν καὶ Ἄργους καὶ Λακεδαίμονος. ἤλλακται δὲ ὁ χρόνος· ἐξανίστανται γὰρ, φησὶν, ἀντὶ τοῦ ἐξαναστήσονται. ταῦτα γὰρ ἡ Μήδεια προλέγει ὡς ἐσόμενα ὕστερον. § τότε γὰρ τῆς μεγάλης Λακεδαίμονος ἀνάστατοι γίνονται καὶ τοῦ Ἀργείου κόλπου καὶ τῶν Μυκηνῶν.

88. Νῦν γε μάν] ἐπὶ δὲ τοῦ παρόντος τῶν ξένων γυναικῶν τὸ ἔκκριτον γένος εὑρήσει τὴν ἀποικίαν. § ἡ ἱστορία τοιαύτη· ταῖς Λημνίαις γυναιξὶν ἀσεβῶς διακειμέναις περὶ τὰς τῆς Ἀφροδίτης τιμὰς ἡ θεὸς δυσοσμίαν προσέπεμψε, καὶ οὕτως αὐτὰς οἱ ἄνδρες ἀπεστράφησαν· αἱ δὲ συνθέμεναι πρὸς ἑαυτὰς ἐξ ἐπιβουλῆς τοὺς ἄνδρας ἀνεῖλον. τηνικαῦτα δὲ οἱ Ἀργοναῦται τὸν εἰς Σκυθίαν στελλόμενοι πλοῦν προσωρμίσθησαν τῇ Λήμνῳ, καὶ εὑρόντες ἔρημον ἀρσένων τὴν νῆσον συνελθόντες ταῖς γυναιξὶν ἀπηλλάγησαν. οἱ δὲ φύντες ἐξ αὐτῶν ἦλθον εἰς Λακεδαίμονα κατὰ ζήτησιν τῶν πατέρων, καὶ

1) Ex Gott. Fragmentum Menandri est etiam ap. Tzetz. ad Lycophr. 90. 2) Post hoc verbum cum Heynio delevi voces εἰς Θήραν. 3) Sic codex. 4) Scholium recentius inter glossas libri Pal. C.

Digitized by Google

προςδεχθέντες παρὰ τοῖς Λάκωσι καὶ πολιτευσάμενοι συνέθεντο ἐπιθέσθαι τῇ Σπάρτῃ. γνωσθέντες δὲ συνελήφθησαν καὶ καθείρχθησαν ἐν εἱρκτῇ· κατὰ δέ τινας αἱ μητέρες συνελθοῦσαι πρὸς αὐτοὺς τὰς μὲν αὐτῶν ἐσθῆτας ἐκείνοις περιέθεσαν καὶ αὐτόθι ἔμειναν, ἐκείνους δὲ ὡς γυναῖκας ἀποπέμψασαι κατακεκαλυμμένους διέσωσαν, οἱ δὲ παῖδες τῷ μηχανήματι λαθραίως ἀπέφυγον. τῶν δὲ Λακώνων βουλομένων αὐτοὺς ἀνελεῖν, Θήρας ὁ Αὐτεσίωνος κατὰ συντυχίαν τότε ἀποικίαν στέλλων καθικέτευσε τοὺς Λάκωνας εἰς τὴν ἀποικίαν αὐτῷ τοὺς ἄνδρας παρασχεῖν, καὶ δεξάμενος εἰς τὴν Θήραν ἐκτοπίζει. συνῆν δὲ αὐτῷ καὶ Σάμος, οὗ ἀπόγονος Βάττος ὃς πρῶτος ἀποικίαν εἰς Κυρήνην ἔστειλεν. § Ἄλλως. ζητεῖται τίνες εἰσὶν αἱ ἀλλοδαπαὶ γυναῖκες, ἐξ ὧν φησι τοὺς φύντας καθέξειν τὴν Κυρήνην. πότερον αἱ ἐν Θήρᾳ ᾤκησαν συνεξορμήσασαι μετὰ Κάδμου, ὅτε ἐπὶ τὴν τῆς Εὐρώπης ζήτησιν ἀπῆρεν ἐκ Φοινίκης; ὑπέμειναν γὰρ ἐν Θήρᾳ μετὰ Μεμβλιάρεω τοῦ Κάδμῳ συνεξορμήσαντος Φοίνισσαί τινες γυναῖκες. ἢ ἀλλοδαπὰς γυναῖκας τὰς Λημνίας λέγει, περὶ ὧν ἡ ἱστορία προείρηται.

89. Κριτὸν εὑρήσει γυναικῶν ἐν λέχεσι γένος] τίς εὑρήσει; ἡ προκειμένη ἤπειρος ἡ Λιβύη. § ἐπὶ δὲ τοῦ παρόντος τῶν ἀλλοδαπῶν καὶ ξένων γυναικῶν τὸ ἐν ταῖς κοίταις ἔκκριτον καὶ διαπρεπὲς γένος εὑρήσει τὴν ἀποικίαν· οἵτινες σὺν τιμῇ θεῶν εἰς ταύτην τὴν νῆσον παραγενόμενοι τέκνωσι τὸν Βάττον τὸν τῶν τῆς Λιβύης πεδίων δεσπότην. κελαινεφέων δὲ πεδίων, τῶν τῆς Λιβύης· καὶ οἱ μὲν διὰ τὸν αὐτόθι συνεχῆ ὄμβρον καὶ τοὺς χειμῶνας, διὸ καὶ εὔκαρπος ἡ Κυρήνη διὰ τὸ συνεχῶς δεύεσθαι· τινὲς δὲ διὰ τὸ τῶν πεδίων μέγεθος. § Ἄλλως. Ἀμμώνιός φησι διὰ τὸ περὶ τὴν Κυρήνην μόνην ἵστασθαι νέφος παρὰ τὴν ἄλλην Λιβύην. ἢ μᾶλλον μεγέθους τις ἔμφασις δηλοῦται διὰ τὸ ἀποσκοτοῦσθαι τὰς ὄψεις τοῦ πέρατος μὴ ὁρωμένου.

90. Οἵ κεν] ἔδει εἰπεῖν, ὅπερ γένος.

91. Τάνδε σὺν τιμᾷ] εἰς ταύτην τὴν νῆσον τὴν Θήραν· ἐν αὐτῇ γὰρ διελέγετο ἡ Μήδεια. τέκνωνται δὲ, ἀντὶ τοῦ τέξονται.

94. Τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι] ὅντινά ποτε τὸν Βάττον ἐν τῷ πολυχρύσῳ οἴκῳ ὁ Ἀπόλλων ἀναμνήσει τοῖς ἑαυτοῦ χρησμοῖς εἰς τὸν Πυθικὸν ναὸν παραγενόμενον οἰκιστὴν τῆς Κυρήνης γενέσθαι.

96. Θέμισσι] τοῖς χρησμοῖς. τί δὲ ἀναμνήσει; οἰκιστὴν τῆς Κυρήνης γενέσθαι.

97. Χρόνῳ δ' ὑστέρῳ] ὁ δὲ ἀντὶ τοῦ δὴ, ἵν' ᾖ· χρόνῳ δὴ ὑστέρῳ διὰ νεῶν πολλοὺς ἄνδρας ἀγαγεῖν πρὸς τὸ τοῦ Κρονίδου Νείλου λιπαρὸν τέμενος· φησὶ δὲ τὴν Λιβύην· τουτέστιν ἀπὸ Θήρας εἰς τὴν Λιβύην. τέμενος γὰρ Νείλου Διὸς τὴν Λιβύην φησὶν, τὸν δὲ Νεῖλον ἀντὶ τοῦ Διός φησιν, ἐπειδὴ παρὰ τοῖς Αἰγυπτίοις τιμᾶται ὡς θεός. καὶ παρὰ τὸ Ὁμηρικόν· [1])

Ἄψ δ' εἰς Αἰγύπτοιο Διϊπετέος ποταμοῖο.

§ Κρονίδην τὸν Νεῖλόν φησιν, ὡς καὶ Παρμένων· [2]) Αἰγύπτιε Ζεῦ Νεῖλε. ἀναλογεῖ γὰρ τοῖς τοῦ Διὸς ὄμβροις τὸ τοῦ Νείλου ὕδωρ· καὶ ὥςπερ ἀντίστροφόν τινα τοῦτον τῷ Διὶ εἶναι.

1) Odyss. δ, 581. 2) Ap. Athen. V, p. 203. C. De hoc cf. Meinek. Cur. crit. in Com. fragm. p. 23.

Digitized by Google

100. Ἦ ῥα Μηδείας ἐπέων στίχες] ἔφη ἡ τῆς Μηδείας στιχομυθία. συνήθως δὲ ὁ Πίνδαρος πληθυντικοῖς ἑνικὰ ἐπήγαγεν. § ὁ δὲ νοῦς· οὕτως εἰρήκασιν οἱ τῆς Μηδείας λόγοι, οἱ δὲ ἰσόθεοι ἄνδρες ἥρωες κατεπλάγησαν σιωπῇ τὴν πυκνὴν καὶ συνετὴν συμβουλὴν τῆς Μηδείας κατακούσαντες.

104. Ὦ μάκαρ υἱὲ Πολυμνάστου] ὦ Ἀριστότελες. ὁ γὰρ αὐτὸς Βάττος καὶ Ἀριστοτέλης. ὁ δὲ νοῦς· ὦ μακάριε υἱὲ τοῦ Πολυμνήστου Ἀριστότελες, σὲ δ' ἐν τῷ Μηδείας λόγῳ ὁ χρησμὸς ὤρθωσε καὶ ἀπέδειξε τῆς Δελφικῆς ἱερείας αὐτομάτῳ φθόγγῳ, λέγει δὲ τῆς Πυθῶνος. [1]) μελίσσας δὲ κυρίως μὲν τὰς τῆς Δήμητρος ἱερείας φασὶ, καταχρηστικῶς δὲ καὶ τὰς πάσας, διὰ τὸ τοῦ ζώου καθαρόν. § ὅτι τὰς περὶ τὰ θεῖα μύστιδας καὶ μελίσσας φασὶν, ἑτέρωθι ὁ αὐτός φησι· Ταῖς ἱεραῖς μελίσσαις τέρπεται. ὅτι δὲ καὶ τὰς περὶ τὰ ἱερὰ διατελούσας νύμφας Μελίσσας ἔλεγον, Μνασέας ὁ Πατρεὺς ἀφηγεῖται λέγων, ὡς αὐταὶ κατέπαυσαν σαρκοφαγοῦντας τοὺς ἀνθρώπους πείσασαι τῇ ἀπὸ τῶν δένδρων χρῆσθαι τροφῇ, καθ' ὃν καιρὸν καὶ μία τις αὐτῶν Μέλισσα κηρία μελισσῶν εὑροῦσα πρώτη ἔφαγε καὶ ὕδατι μίξασα ἔπιε, καὶ τὰς ἄλλας δὲ ἐδίδαξε, καὶ τὰ ζῶα μελίσσας ἐξ ἑαυτῆς ἐκάλεσε, καὶ φυλακὴν πλείστην ἐποιήσατο· ταῦτα δέ φησιν ἐν Πελοποννήσῳ γενέσθαι. ἄνευ γὰρ Νυμφῶν οὔτε Δήμητρος ἱερὸν τιμᾶται διὰ τὸ ταύτας πρώτας καρπὸν ἀποδεῖξαι καὶ τὴν ἀλληλοφαγίαν παῦσαι καὶ περιβλήματα χάριν αἰδοῦς ἐξ ὕλης ἐπινοῆσαι, οὔτε γάμος οὐδεὶς ἄνευ Νυμφῶν συντελεῖται, ἀλλὰ ταύτας πρῶτον τιμῶμεν [2]) μνήμης χάριν, ὅτι εὐσεβείας τε καὶ ὁσιότητος ἀρχηγοὶ ἐγένοντο. αὐτομάτῳ δὲ κελάδῳ φησὶν, ἤτοι αὐτοκελεύστῳ· οὐ γὰρ κατὰ ἐπίταγμα τῶν χρησμῳδουμένων ἡ προφῆτις τοὺς χρησμοὺς ἐκφέρει, ἀλλ' ἐπιπνοίᾳ· ἢ τῷ μὴ ἐκ συντάξεως φερομένῳ, ἀλλ' ἀπαυτοματιζομένῳ καὶ ἰδίῳ· [3]) οὐκ ἠρωτήθη γαρ παρὰ τοῦ Βάττου περὶ τῆς ἀποικίας, ἀλλὰ περὶ τῆς φωνῆς· ἔνθεν δὴ καὶ αὐτώρης ὁ τρίπους, ὡς Καλλιμαχος· [4]) Αὐτώρης ὅτε τοῖσιν ἐπέφραδε. καὶ τότε αὐτώρης ἡ μάντις λέγεται, ὅταν μὴ βουλευομένου τινὸς, περὶ ὅτου ἥκει μαντευσόμενος, ἀπαυτοματίσῃ. τοιοῦτον οὖν ἐστι καὶ τὸ Αὐτομάτῳ κελάδῳ, ὃν προήκατο οὐδενὸς πυθομένου. § Ἄλλως. αὐτομάτῳ κελάδῳ· παρόσον ἐκ ταὐτομάτου ἔχρησεν ἡ Πυθία περὶ τῆς ἀποικίας, τοῦ Βάττου περὶ φωνῆς ἐρωτῶντος. [5]) § Αὐτομάτῳ· οἴκοθεν λεγομένῳ· ἐνθουσιῶσα γὰρ ἔλεγε τὰς μαντείας. [6])

108. Ἅ σε χαίρειν εἰς τρίς] ἥτις σε περὶ τῆς κακοφώνου καὶ τραχείας φωνῆς ἀνερωτῶντα τίς παρὰ θεῶν λύσις γένοιτο, χαίρειν τρὶς προσειποῦσα εἱμαρμένον βασιλέα διὰ τῶν χρησμῶν ἀπέφηνε τῇ Κυρήνῃ. § ἀνακρινόμενον· ἀνερευνώντα, τίς ἔσται τῆς φωνῆς ποινὴ, τουτέστιν ἀπόλυσις· ἐπεὶ ἡ ποινὴ ἀπολύσεως ἕνεκεν γίνεται. [7])

112. Ποιὰ τίς] ἀμοιβὴ ἢ λύσις.

113. Ἦ μάλα δή] ὁ νοῦς· ναὶ δὴ λίαν καὶ ἐπὶ τοῦ παρόντος ὥσπερ ἐν τῇ τοῦ φοινικοῦ καὶ ἀνθηροῦ ἔαρος ἀκμῇ καὶ ὥρᾳ, ἀπὸ κοινοῦ θάλλει τὸ μέρος καὶ τὸ ἄνθος, οὕτω καὶ ἐν τούτοις τοῖς παισὶν ὄγδοον μέρος ὧν θάλλει καὶ βλαστᾷ ὁ Ἀρκεσίλαος.

1) Heynius recte vult Πυθίας. 2) Sic Gott. Vulgo τιμῶσι, quae Christiani hominis correctio erat. 3) Ita de meo dedi: vulgo ἰδίως. 4) Fragm. 264. 5) Correxi haec e Gott. 6) Ex Pal. C. 7) Haec melius digessi cum Gott.

Digitized by Google

Μετὰ καὶ νῦν] τὸ μετὰ συντακτέον τῷ παισί. § Ἄλλως. μετὰ τοὺς ἀπὸ Εὐφήμου ἑπτακαίδεκα καὶ νῦν ὁ Ἀρκεσίλαος ἔσται ὄγδοος.

Ἡ μάλα δὴ μετά] τὰ ῥηθέντα ὑπὸ τῆς Πυθίας νῦν θάλλει ὡς ἐν ἔαρι ἐπὶ τοῦ ὀγδόου γένους. ὄγδοος γὰρ Ἀρκεσίλαος ἀπὸ Βάττου τοῦ πρώτου, ᾧ γράφει νῦν ὁ Πίνδαρος.

115. Παισὶ τούτοις] ἐν τοῖς Κυρηναίοις.

116. Τῷ μὲν Ἀπόλλων] τῷ Ἀρκεσιλάῳ. τούτῳ μὲν τῷ Ἀρκεσιλάῳ ὅ τε Ἀπόλλων καὶ ἡ Πυθὼ ἐκ τῆς ἱπποδρομίας δόξαν καὶ μνήμην ἐκ πάντων τῶν περιοίκων δεδώκασιν. Ἀμφικτύονες δὲ καλοῦνται οἱ τῶν Πυθίων ἀγωνοθέται ἐκ δώδεκα ἐθνῶν τῆς Ἑλλάδος ὄντες.

119. Ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω] ἀποδώσω δὲ αὐτὸν ἐγὼ ταῖς Μούσαις, ἀντὶ τοῦ ὑπομνήσω καὶ νενικηκότα ἀνυμνήσω καὶ τὸ χρυσοῦν δέρας. ζητεῖται δὲ, δι' ἣν αἰτίαν τοῦ Ἰάσονος ἐμνήσθη καὶ τοῦ εἰς Σκυθίαν ἀπόπλου· καί φαμεν ὅτι Ἀρκεσίλαος εἰς Εὔφημον ἀνάγει τὸ γένος τὸν τὴν βῶλον ὑποδεξάμενον καὶ συσταλέντα τοῖς Ἀργοναύταις.

120. Καὶ τὸ πάγχρυσον νάκος] τὸ χρύσεον δέρας τοῦ κριοῦ. ἐπὶ γὰρ τοῦτο τὸ δέρας τῶν Ἀργοναυτῶν πλευσάντων θεῖαι τιμαὶ τοῖς Κυρηναίοις ἐφυτεύθησαν. § Ἄλλως. κατὰ κοινοῦ τὸ, Μοίσαισι δώσω. Μινυᾶν δὲ τῶν Ἀργοναυτῶν φησιν, ὅτι οἱ πλείους αὐτῶν εἰς Μινύαν τὸν Ποσειδῶνος καὶ Τριτογενείας τῆς Αἰόλου τὸ γένος ἀνῆγον, ὡς καὶ Ἀπολλώνιός φησιν· [1])

Ἐπεὶ Μινύαο θυγατρῶν
Οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο.

122. Θεόπομποί σφισιν] αὐτοῖς τοῖς Κυρηναίοις τοῖς ἐς Θήραν τὴν ἀποικίαν στειλαμένοις.

124. Τίς γὰρ ἀρχὰ ἐδέξατο] ὁ λόγος ἐρωτηματικὸς πρὸς τὴν Μοῦσαν· τίς γὰρ ἀρχὴ τοῦ πλοῦ; ποῖος δὲ κίνδυνος ἐν τοῖς ἰσχυροτάτοις τοῦ ἀδάμαντος ἔδησεν ἥλοις; τουτέστι ποία ἰσχυρὰ καὶ κινδυνώδης ἀνάγκη παρώρμησε τοὺς Ἀργοναύτας; εἶτα Ὁμηρικῷ ζήλῳ μετὰ τὴν ἐρώτησιν ἐπάγει τὸ αἴτιον. μεμοιραμένον, χρησμῳδηθὲν ἦν, τὸν Πελίαν ἐκ τῶν ἄγαν διαφανῶν Αἰολιδῶν τελευτῆσαι τὸν βίον, ἢ καὶ γνώμαις ἢ καὶ πράξεσιν ἀκαταμαχήτοις καὶ σκληραῖς. ἄρχεται δὲ τῆς ἱστορίας, δι' ἣν ἔπλευσαν οἱ Ἀργοναῦται. Αἰολίδης ὁ Ἰάσων· Αἴσονος γὰρ τοῦ Κρηθέως γίνεται τοῦ Αἰόλου υἱός.

Ἔνθ' ἤτοι πρώτην Τυρὼ ἴδον εὐπατέρειαν,
Ἣ φάτο Σαλμωνῆος ἀμύμονος ἔκγονος εἶναι·
Φῆ δὲ Κρηθῆος γυνὴ ἔμμεναι Αἰολίδαο. [2])

εἶτα τὸ ἑξῆς·

Τοὺς δ' ἑτέρους Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν
Αἴσονά τ' ἠδὲ Φέρητα, [3])

καὶ τὰ ἑξῆς.

129. Ἦλθε δέ οἱ κρυόεν] ἦλθε δὲ καὶ ἀνεδόθη τὸ φρικτὸν τοῦτο μάντευμα τῷ

1) Argon. I, 230. 2) Odyss. λ, 234. 3) Ibid. 237.

Digitized by Google

συνετῷ αὐτοῦ θυμῷ, τὸ κατὰ τὸν μέσον ὀμφαλὸν ῥηθὲν, τουτέστι κατὰ τὸ Δελφικὸν χρηστήριον τὸ ἐν μέσῳ τῆς οἰκουμένης τῆς εὐδένδρου γῆς· λέγει δὲ τῆς Πυθῶνος.

133. Τὸν μονοκρήπιδα] τὸν μονοσάνδαλον· κρηπὶς γὰρ τὸ βῆμα, καὶ εἴρηται παρὰ τὴν βάσιν. § ἡ ἱστορία παρὰ Φερεκύδει. [1]) ἔθυε, φησὶν, ὁ Πελίας τῷ Ποσειδῶνι, καὶ προεῖπε πᾶσι παρεῖναι· οἱ δὲ ἦσαν οἵ τε ἄλλοι πολῖται καὶ ὁ Ἰήσων· [2]) ἔτυχε δὲ ἀροτρεύων ἐγγὺς τοῦ Ἀναύρου ποταμοῦ, ἀσάνδαλος [3]) δὲ διέβαινε τὸν ποταμὸν, διαβὰς δὲ τὸν μὲν δεξιὸν ὑποδεῖται πόδα, τὸν δὲ ἀριστερὸν ἐπιλήθεται, καὶ ἔρχεται οὕτως ἐπὶ δεῖπνον. ἰδὼν δὲ ὁ Πελίας συμβάλλει τὸ μαντήϊον, καὶ τότε μὲν ἡσύχασε, τῇ δ' ὑστεραίᾳ μεταπεμψάμενος αὐτὸν ἤρετο ὅ,τι ποιοίη εἰ αὐτῷ χρησθείη ὑπό του τῶν πολιτῶν ἀποθανεῖν· ὁ δὲ Ἰήσων, πέμψαι ἂν εἰς Αἶαν αὐτὸν ἐπὶ τὸ κῶας τὸ χρυσόμαλλον, ἄξοντα ἂν ἀπὸ Αἰήτεω. [4]) ταῦτα δὲ τῷ Ἰήσονι Ἥρη ἐς νόον βάλλει, ὡς ἔλθοι ἡ Μήδεια τῷ Πελίᾳ κακόν. § Ἄλλως. ὅτι ἐκ τοῦ Ἀναύρου ποταμοῦ μόγις τὸ δεξιὸν πέδιλον ἔσωσεν, ἱστορεῖ καὶ Ἀπολλώνιος [5]) λέγων·

Ἄλλο μὲν ἐξεσάωσεν ὑπ' ἰλύος, ἄλλο δ' ἔνερθε
Κάλλιπεν αὖθι πέδιλον ἐνισχόμενον προχοῇσιν.

εἰσὶ δὲ καὶ Αἰτωλοὶ πάντες μονοκρήπιδες διὰ τὸ πολεμικώτατοι εἶναι. ἦν δὲ τὸ μάντευμα τοιοῦτον· τὸν μονοκρήπιδα πάντως ἐν φυλακῇ σχεθέμεν, καὶ τὰ ἑξῆς. σχεθέμεν, φυλάσσεσθαι.

135. Εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν] ἀπὸ τῶν ὑψηλοτάτων ἐπαύλεων, λέγει δὲ τοῦ Χείρωνος· παρὰ γὰρ αὐτῷ ἐπαιδεύθη. ἐς εὐδείελον, ἤγουν τὴν εὖ πρὸς ἑσπέραν κειμένην. § ὁ δὲ νοῦς· ὅταν ἀπὸ τῶν ὑψηλῶν ἐπαύλεων τοῦ Χείρωνος εἰς τὴν πρὸς τῇ ἑσπέρᾳ γῆν τῆς εὐδόξου Ἰωλκοῦ παραγένηται ξένος ὢν καὶ πολίτης. § τὸ δὲ σημεῖον χ', ὅτι σταθμοὺς τὰς κατ' ἀγροὺς ἐπαύλεις ἔλεγε, καὶ ὅτι εὐδείελον τὸ εὔδηλον προσονομάζεται. [6])

Ἦ πού τις νήσων εὐδείελος ἠέ τις ἀκτή.

ἢ τὴν διαφανῆ καὶ ἐπίσημον. § ξεῖνος αἴτ' ὢν ἀστός· καὶ ξένος ὢν καὶ πολίτης ὁ Ἰάσων, πολίτης μὲν ὅτι Ἰωλκίους εἶχε τοὺς γονεῖς, ξένος δὲ ὅτι τεχθεὶς παρὰ τῷ Χείρωνι ἀνετράφη.

138. Ὁ δ' ἄρα χρόνῳ] ὁ δὲ Ἰάσων χρόνῳ παρεγένετο, δύο δόρασι θαυμαστὸς καὶ ἐκπληκτικός. ἐσθὴς δὲ διπλῆ συνεῖχεν αὐτὸν, ἥ τε τῶν Μαγνήτων ἐπιχώριος, ἁρμοζομένη τοῖς θαυμαστοῖς μέλεσι, καὶ ἡ παρὰ Χείρωνι παρδαλέα, ἣ ἔσκεπε καὶ ἀπήλαυνε [7]) τοὺς φρίσσειν παρασκευάζοντας ὄμβρους. § Ἄλλως. ἠμφίεστο γὰρ δύο σχήματα, τό τε παρὰ Χείρωνι καὶ τὸ Μαγνήτων, καὶ ἡ μὲν ἦν στολὴ, ἡ δὲ παρὰ Χείρωνι δορὰ παρδάλεως. φρίσσοντας ὄμβρους· [8]) οὐκ αὐτοὺς φρίσσοντας, ἀλλὰ φρίσσειν ποιοῦντας, ὡς καὶ Ὅμηρος· [9])

Ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας,

[1]) Fragm. Sturz. p. 180. [2]) Sic Gott. [3]) Gott. hic et supra ἀσάμβαλ. [4]) Sic Gott. [5]) Arg. I, 10. [6]) Sic Gott. nisi quod habet: ὅτι εὐδείελον τὸ εὐδείελον προσονομάζεται. Versus Homeri est Odyss. ν, 234. [7]) Vulgo ἀπήλυγε: quod dedi, coniecit Schneiderus. Faehsius Syll. p. 405. ἀπήλασε. Fortasse fuit ἀπήλαλκε vel ἀπήλεξε. [8]) Supplevi e Gott. [9]) Iliad. ζ, 132.

Digitized by Google

οὐκ αὐτοῦ μαινομένου, ἀλλὰ μανιοποιοῦ. καὶ Χλωρὸν δέος, [1]) τὸ χλωροποιόν. διὸ καὶ τὸ σημεῖον.

145. Οὐδὲ κόμαν πλόκαμοι] οὐδὲ τὴν πρώτην κόμην εἰς ἀπαρχὴν τοῖς θεοῖς ἐκείρατο, ἀλλ', ὡς Ἀχιλλεὺς νέος ἦν πρωτοκόμης. Ὅμηρος· [2])

Σπερχεῖ', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς.

καὶ παρ' Αἰσχύλῳ, [3])

Πλόκαμον Ἰνάχῳ θρεπτήριον,
Τὸν δεύτερον δὲ τόνδε πενθητήριον,

Ὀρέστης φησὶ τῷ Ἀγαμέμνονι. τὰς γὰρ πρώτας κόμας τοῖς ποταμοῖς οἱ ἀρχαῖοι ἀπεκείραντο, σύμβολον τοῦ ἐξ ὕδατος εἶναι πάντων τὴν αὔξησιν.

148. Τάχα δ' εὐθὺς ἰών] ταχέως δὲ εὐθὺ πορευόμενος τῆς ἑαυτοῦ γνώμης τῆς ἀφόβου καὶ ἀταράχου ἔστη διάπειραν λαμβάνων. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι καὶ πολλοῦ ὄχλου ὄντος ἐν τῇ πόλει πρὸς παῤῥησίαν ὅλον ἑαυτὸν παρεσκεύαζεν. τὸ δὲ σημεῖον χ', ὅτι ἀταρβήκτοιο εἶπεν ἀντὶ τοῦ ἀκαταπλήκτου, καὶ ὅτι γνώμας ἀντὶ τοῦ διανοίας. τὸ δὲ ἑξῆς· ἐστάθη ἐν ἀγορᾷ πλήθοντος ὄχλου. § Ἄλλως. εὐθὺς, ἐπ' εὐθείας πορευθείς. τὸ δὲ σφετέρας οὐχ ὑγιῶς· ἔδει γὰρ ἑᾶς· περὶ ἑνὸς γὰρ ὁ λόγος. § εὐθὺς ἀντὶ τοῦ εὐθέως.

152. Τὸν μὲν οὐ γίγνωσκον] τοῦτον μὲν οὖν νεωστὶ τῇ Μαγνησίᾳ ἐπιδημήσαντα οἱ ἐνοικοῦντες οὐκ ἐγίνωσκον. ὀπιζομένων, ἐπιστρεφομένων πρὸς αὐτὸν καὶ τοὺς ὤπας ἐπιβαλλόντων. § ἢ οὕτως· ἐπεὶ ὄπις ἐστὶν ἡ τοῦ μέλλοντος ἐπιστροφὴ, τὸ ἐσόμενον ὕστερον προλαβών τις εἶπεν. § ἢ ὀπιζομένων, τῶν τοὺς θεοὺς πρὸ ὀφθαλμῶν ἐχόντων καὶ εὐσεβῶν.

154. Οὔτι που οὗτος Ἀπόλλων] ἐχρήσατο τῷ λόγῳ πάνυ κεκολασμένως τὸ Οὔτι προσθεὶς, καὶ ἔδωκε διὰ μὲν τὸ κάλλος ὅμοιον εἶναι τρῖς θεοῖς τὸν Ἰάσονα, διά γε μὴν τὸ τῆς φύσεως φθαρτὸν ἀμφιβάλλον ἀπαρνεῖται. § ὁ δὲ ἰοῦς· οὐδαμῶς οὗτός ἐστιν ὁ Ἀπόλλων, οὐδὲ μὴν ὁ ἱππικώτατος Ἄρης ὁ πόσις τῆς Ἀφροδίτης. τοῦτο δέ φησι διὰ τὸ ἄγαν ἀνθηρὸν καὶ ὡραῖον τοῦ Ἰάσονος. χαριέστατα δὲ παρέλαβεν Ἄρεα καὶ Ἀπόλλωνα. § τοῦτο ἔλεγον, εἰ καὶ διστάζοντες, ἐπειδὴ συνήθειαν εἶχον κατέρχεσθαι οἱ θεοὶ ἐν ταῖς ἑορταῖς αὐτῶν. [4])

156. Ἐν δὲ Νάξῳ φαντὶ θανεῖν] ἐν δὲ τῇ εὐδαίμονι Νάξῳ φασὶ τεθνηκέναι τὸν τῆς Ἰφιμεδείας παῖδα Ὦτον καὶ σὲ, ὦ τολμηρότατε Ἐφιάλτα. Ἰφιμεδείας δὲ καὶ Ἀλωέως γεγόνασι παῖδες Ὦτος καὶ Ἐφιάλτης. οὗτοι δὲ ἀσεβῶς διετέθησαν περὶ τὴν Ἄρτεμιν, καί ποτε εἰς ἔλαφον ἡ θεὸς ἑαυτὴν μεταποιήσασα θηρεύουσιν αὐτοῖς κατὰ τὴν Νάξον ἐν μέσῳ ὤφθη. οἱ δὲ κατατοξεύσειν τὴν ἔλαφον ὑπολαμβάνοντες ἔλαθον ἀλλήλους τιτρώσκοντες. τούτους οὖν ἐπὶ τοῦ ἐκτραπέλου [5]) τοῦ Ἰάσονος σώματος παρείληφεν. § Ἄλλως. ἐν τῇ Νάξῳ τεθνήκασιν οἱ Ἀλωεῖδαι, οἱ καλοὶ ἐκεῖνοι. μέμφεται δὲ Χαῖρις ἐπὶ τῇ παραλήψει τῶν Ἀλωειδῶν· ἀρκεῖ γὰρ ὁ Ἀπόλλων καὶ ὁ Ἄρης. θεοῖς μὲν γὰρ εἰκάζο-

1) Iliad. η, 479. 2) Iliad. ψ, 144. 3) Choeph. 6. 4) Ex Pal. C. Ante hoc tria alia scholia sunt in Pal. C. sed haec et cetera minora, quorum nullum plane pretium est, omittam. 5) Gott. εὐτραπέλου.

Digitized by Google

μέν τινας, ἀνθρώποις δὲ ὑπερφυέσι καὶ τερατώδεσιν οὐκέτι. ὅτι δὲ εὐπρεπὴς ἦν ὁ Ἰάσων, δῆλον ἐκ τοῦ καὶ τὴν Ἥραν κατά τινας αὐτῷ ἐπιμανῆναι.

160. Καὶ μὰν Τιτυόν] ἀλλὰ μὴν καὶ τὸν Τιτυὸν τὸ τῆς Ἀρτέμιδος βέλος ἐθήρευσε καὶ ἀνεῖλεν ἐκ τῆς ἀνικήτου βελοθήκης ὁρμώμενον. ἀκύρως δὲ τὸν Τιτυὸν ἐνταῦθα παρατίθησι τερατώδη ὄντα τὸ σῶμα καὶ ἄλλως ἀσεβῆ. § Ἄλλως. ὁ μὲν Τιτυὸς μέγας ἦν, καλὸς δὲ οὔ. ὅτι δὲ ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος ἐτελεύτησε τοξευθεὶς, καὶ Φερεκύδης [1]) φησίν· ἐπάγει δὲ καὶ αὐτὸς, ὅτι τοξευθεὶς ὁ Τιτυὸς ὑπὸ τῆς Ἀρτέμιδος καὶ ἀναιρεθεὶς παράδειγμα τοῖς μετὰ ταῦτα γέγονεν, ὅπως ἄν τις τῶν δυνατῶν ἐπιθυμιῶν ὀρέγηται.

165. Τοὶ μὲν ἀλλάλοισιν] τοιαῦτα μὲν οἱ κατὰ τὴν ἀγορὰν Μάγνητες ὄντες ἀλλήλοις διαλεγόμενοι ἔλεγον. προτροπάδην ἀντὶ τοῦ ἐπτοημένως. ὁ δὲ νοῦς· ἐν δὲ τοῖς ἡμιόνοις καὶ τῇ εὐδόξῳ ἁπήνῃ ἐπτοημένως παρεγένετο σπεύδων ὁ Πελίας. § ἢ προτροπάδην τὸ προτετραμμένος ἐπ' εὐθείας. τάφε δ' αὐτίκα· [2]) εὐθέως δὲ κατεπλάγη θεασάμενος τὸ ἄγαν αὐτῷ διὰ τὸν χρησμὸν εὔγνωστον ὑπόδημα τοῦ Ἰάσονος τῷ δεξιῷ αὐτοῦ περικείμενον ποδί. πέδιλον δὲ νῦν εἶπε τὴν κρηπῖδα. πάντα γὰρ τὰ τοῖς ποσὶ περιειλούμενα πέδιλα καλεῖται. § Ἄλλως. ἐξεπλάγη δὲ ἰδὼν τὸν μονοκρήπιδα, ὡς κατ' αὐτοῦ τι δράσοντος τοῦ Ἰάσονος, καὶ τοῦ χρησμοῦ νῦν ἐπιτελουμένου. [3])

171. Κλέπτων δὲ θυμῷ] ὑποκλέπτων δὲ τῇ ψυχῇ τὸν φόβον τὸν περὶ τὸν χρησμὸν προσεῖπεν. § ἀντὶ τοῦ οὐκ ἀπογυμνῶν αὐτοῦ τὴν εὐλάβειαν. [4])

172. Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι] ποίαν γῆν, ὦ ξένε, καυχᾷ ἔχειν πατρίδα, καὶ τίς σε τῶν χαμαιγενέων ἀνθρώπων ἐκ τιμίας ἀνῆκε γαστρός; εἰπὲ, μὴ τοῖς ἐχθίστοις ψεύδεσι τὴν γένναν [5]) καταμιάνῃς.

174. Ἀνθρώπων χαμαιγενέων] τὸ ἀνθρώπων ἁρμοζε τῷ ἔτεκεν, ὃ καὶ ἐπ' ἀρσένων τίθεμεν· τὸ δὲ γυναικῶν τῷ νῦν κειμένῳ Ἐξανῆκε γαστρός· ἴδιον γὰρ τῶν γυναικῶν τοῦτο. πολιας δὲ νῦν λέγει τῆς τιμίας, παρὰ τὸ τοῦ γήρως ἔντιμον.

177. Μὴ ψεύδεσι καταμιάναις] λείπει ἤτοι τὸ εἶδος ἢ τὸν λόγον. οἷον, μὴ μολύνῃς τοῖς ψεύδεσι τὴν μορφὴν καὶ τὸ εἶδος, εἰπὲ πόθεν γεγένησαι· ἤτοι πρὸς τὸ εἶδος καὶ ἐλευθερίως φθέγγου.

180. Φαμὶ διδασκαλίαν] φημὶ καὶ διαβεβαιοῦμαι τὴν Χείρωνος διδασκαλίαν κομίζειν, ἀντὶ τοῦ γνώσῃ διὰ τῶν λόγων οὐ ψευδόμενόν με, ὡς τοῦ Χείρωνος αὐτὸν ἐλευθερίως ἀναθρέψαντος καὶ διδάξαντος μὴ ψεύδεσθαι. § Ἄλλως. διδασκαλία τοῦ Χείρωνος, ἡ ἀλήθεια· οἷον, οὐ ψεύσομαι ἀλλὰ τὴν ἀλήθειαν ἐρῶ, ἣν ἔμαθον παρὰ Χείρωνος δικαίου τυγχάνοντος.

181. Ἄντροθε γὰρ νέομαι] ἔθος αὐτῷ τῶν τοπικῶν τὸ ν ἀφαιρεῖν. ὁ δὲ νοῦς· ἐκ γὰρ τοῦ Χειρωνίου σπηλαίου παραγίνομαι ἀπὸ τῆς Χαρικλοῦς καὶ Φιλύρας, ἔνθα με αἱ τοῦ Κενταύρου ἄγναι κόραι ἀνέθρεψαν. καὶ Φιλύρα μὲν μήτηρ Χείρωνος ἦν, ἡ

1) Fragm. Sturz. p. 163 sq. ubi corrigitur ὅπως ἂν μή τις. Sed tam oscitanter dicta soleo praetermittere. 2) Ex Gott. 3) Sic Gott. 4) Ex Gott. 5) Vulgo τὴν τιμίαν, quod natum est ex superioribus. Heynius τὴν τιμ. κατ. γένναν, e Gott. quem hoc loco sequi nolui.

Digitized by Google

δὲ Χαρικλὼ γυνὴ, θυγάτηρ Ἀπόλλωνος ἢ ὥς τινες Πέρσου ἢ Ὠκεανοῦ, ἐξ ἧς καὶ Χείρωνος Κάρυστος. ὁ δὲ Ἡσίοδος Ναΐδα φησὶ τὸν Χείρωνα γῆμαι.

184. Εἴκοσι δ' ἐκτελέσαις] εἴκοσι δὲ ἐκπληρώσας ἐνιαυτοὺς παρὰ Χείρωνι οὔτε ἔργον οὔτε λόγον ἐκείνοις ἀπαίδευτον εἰπὼν παρεγενόμην εἰς τὰ οἰκεῖα, τὴν ἀρχὴν καὶ βασιλείαν σπεύδων ἀναλαβεῖν τοῦ πατρὸς Αἴσονος ὑπ' ἄλλῳ νῦν οὐ κατὰ τὸ δίκαιον οὖσαν. ἐκτράπελον [1]) δὲ, ἀπαίδευτον, αἰσχρὸν, ὃ ἐκτρέψαιτο ἄν τις· ἢ ἐντράπελον καὶ αἰσχρὸν, ὃ ἄν τις ἐντραπείη.

188. Οἴκαδ' ἀρχαίαν κομίζων] παραγώγως ἐξήγαγε τὴν ἀρχὴν, ὡς καὶ Ὅμηρος [2]) τὴν ἀνάγκην. Ἀναγκαίη γὰρ, φησὶν, ἐπείγει. § Ἄλλως. Χαῖρις γράφει, ἀρχὰν ἀγκομίζων πατρὸς ἐμοῦ, ἵν' ᾖ, τὴν ἀρχὴν ἀνακομιούμενος τοῦ ἐμοῦ πατρὸς, ἥτις βασιλεύεται παρὰ πάντα τὰ δίκαια. ὁ γὰρ Πελίας ἀφείλετο τὸν Αἴσονα τὴν ἀρχήν.

190. Τάν ποτε Ζεὺς ὤπασεν] ἡντινά ποτε βασιλείαν ὁ Ζεὺς ἐχαρίσατο τῷ Αἰόλῳ καὶ τοῖς αὐτοῦ [3]) παισίν. ἡ δὲ γενεαλογία οὕτω· Προμηθέως Δευκαλίων, οὗ Ἕλλην, οὗ Αἴολος, οὗ Κρηθεὺς καὶ Ἀθάμας καὶ Σαλμωνεύς· καὶ Κρηθέως μὲν παῖς Αἴσων, Αἴσονος δὲ Ἰάσων· Σαλμωνέως δὲ Τυρὼ, ἧς καὶ Ποσειδῶνος Πελίας καὶ Νηλεύς. [4])

193. Πεύθομαι γάρ μιν] κατακούω δὲ τὸν ἄδικον Πελίαν ταῖς ἀνοήτοις πεισθέντα φρεσὶ τῶν ἡμετέρων γονέων ἀποσυλῆσαι τὴν βασιλείαν.

194. Λευκαῖς πιθήσαντα φρεσί] λευκὰς εἶπε φρένας κατὰ τὸ ἐναντίον ταῖς παρ' Ὁμήρῳ μελαίναις, ἃς ἐκεῖνος ἀπὸ τῶν ἐν βάθει διαφαινομένων ὑδάτων κατὰ μεταφορὰν ὠνόμασε. τὰ μὲν γὰρ ἐπιπόλαια τῶν ὑδάτων διαυγῆ καὶ λευκὰ, τὰ δὲ ἐν βάθει μέλανα· διόπερ τὰς μὲν ἐπιπολαίους λευκὰς φρένας εἶπε Πίνδαρος, τὰς δὲ ἐν βάθει μελαίνας ὁ θειότατος Ὅμηρος. § σημειωτέον ὅτι τὰς κενὰς οὕτως εἶπεν.

195. Ἀμετέρων ἀποσυλᾶσαι] Χαῖρις γράφει Ἀμετέρων, καὶ περισπᾷ τὸ Ἀρχεδικᾶν, ἵν' ᾖ, τῶν ἡμετέρων πατέρων τῶν ἀρχεδικῶν ἀποσυλῆσαι αὐτὸν πεύθομαι. ἐὰν δὲ Ἀρχεδίκαν, τὴν ἀρχὴν, ἣν κατὰ δίκην, τουτέστι κατὰ τὸ δίκαιον εἶχον οἱ ἐμοὶ γονεῖς. βιάζεται δὲ μεταγράφων. προτέταχε γὰρ τὴν ἀρχήν· Ἰκόμαν οἴκαδ' ἀρχαίαν κομίζων· διόπερ ἀκολούθως ἐπήγαγεν Ἀμετέραν ἀποσυλῆσαι αὐτὴν πεύθομαι. § εἰ δὲ περισπωμένως ἀναγινώσκομεν Ἀρχεδικᾶν, οὐκ ἐκκόπτει ἡ γραφή· ἔσται γὰρ ὁ λόγος τοιοῦτος· τὴν ἡμετέραν ἀρχὴν τῶν ἀρχεδικῶν μου γονέων πεύθομαι τὸν Πελίαν ἀποσυλῆσαι. § Ἄλλως. ἀρχεδικᾶν ἐὰν περισπωμένως, τῶν δικαίων βασιλέων· ἐὰν δὲ βαρυτόνως Ἀρχεδίκαν, ἀρχεδίκην, ἵν' ᾖ· τὴν ἐξ ἀρχῆς βασιλείαν, ἣν εἶχον δικαίως. [5])

197. Τοί μ' ἐπεὶ πάμπρωτον] οἵτινές με οἱ γονεῖς, ἐπειδὴ τεχθεὶς τὸ πρῶτον φῶς ἐθεασάμην, τοῦ ἀδικωτάτου βασιλέως δεδοικότες τὴν ὕβριν, φροντίδα καὶ λύπην πένθιμον ὥσπερ τετελευτηκότος μου ἐν τοῖς οἴκοις θέμενοι σὺν θρήνῳ γυναικείῳ λαθραίως ἔπεμπον, ἐνδήσαντες σπαργάνοις πορφυροῖς, κοινωνὸν τὸ τῆς νυκτὸς σκότος τοῦ μηχανήματος ἐσχηκότες, καὶ δεδώκασί με ἀνατρέφειν τῷ Χείρωνι. § Ἄλλως. οἱ γονεῖς οἱ ἐμοὶ, ὅτε ἐγεννήθην, δείσαντες τὴν ὕβριν τοῦ ἡγεμόνος Πελίου, ὑποθέντες τεθνη-

1) Vulgo εὐτράπελον: deinde ubi nunc est ἐντράπελον, fuit ἐναντίον. Utrumque correxit Schneiderus; cf. nos in nott. critt. p. 464. 2) Odyss. τ, 73. 3) Vulgo ἑαυτοῦ. 4) Hoc scholium est etiam in Pal. C. 5) Ex Gott. in quo δικαίων βασιλείων, et omissum ἦν.

Digitized by Google

κέναι με καὶ κηδεύειν, μετὰ γυναικῶν κωκυτοῦ ὡς ἐκφορὰν τελοῦντες κρύφα καὶ νύκτωρ ἐξέπεμψαν πρὸς τὸν Χείρωνα, ἵνα μηδὲν πάθω ὑπὸ τοῦ Πελίου.

204. Νυκτὶ κοινάσαντες ὁδὸν, Κρονίδᾳ] τῇ νυκτὶ κοινωνήσαντες κατὰ τὴν ὁδὸν, ἀντὶ τοῦ νυκτός με κατακρύψαντες. Κρονίδᾳ δὲ, τῷ Χείρωνι· ἐκ γὰρ Κρόνου καὶ Φιλύρας ἐστί. τὸ δὲ τράφεν κατὰ Δωριέων ἔθος ἀποβολῇ τοῦ ῑ. [1])

206. Ἀλλὰ τούτων μὲν κεφάλαια λόγων] ἀλλὰ τούτων μὲν τῶν λόγων τὰ κεφάλαια καὶ τὸ πέρας γινώσκετε, τῶν δὲ ἱππικῶν μοι πατέρων τοὺς οἴκους μηνύσατε, ὧ ἔντιμοι πολῖται. Αἴσονος γὰρ παῖς ὑπάρχων ἐπιχώριος οὐκ εἰς ξένην ἥκω γῆν. εὐεπιφόρως δὲ ὁ Πίνδαρος λευκίππους καλεῖ αὐτούς· Λευκίππων Μυκηναίων προφᾶται. [2]) § κεφάλαια λόγων· τὰ μείζονα καὶ τὰ καίρια.

211. Φὴρ δέ με θεῖος] παρὸ ἰατρὸς ἦν, τὸν ἐκτραφέντα ὑπ' αὐτοῦ φερωνύμως Ἰάσονα ἐκάλεσε παρὰ τὴν ἴασιν. ὁ δὲ νοῦς· ὁ Κένταυρος δέ με Ἰάσονα ἐκάλει, καὶ θῆρα μὲν διὰ τὴν τοῦ σώματος συμβολὴν καὶ τὴν φύσιν, θεῖον δὲ ἤτοι παρὰ τὴν δικαιοσύνην ἢ παρὰ τὸν τεκόντα Κρόνον.

213. Ὡς φάτο] οὕτως εἶπε· τοῦτον δὲ τὸν Ἰάσονα εἰσελθόντα ἐγνώρισαν οἱ τοῦ πατρὸς ὀφθαλμοὶ, καὶ ἅμα τῇ γνώσει ἀπὸ τῶν γεγηρακότων βλεφάρων ἀνεβράσθησαν δάκρυα, ἐπειδὴ κατὰ τὴν ἑαυτοῦ ψυχὴν ἐξαιρέτως καὶ ὑπερβεβλημένως ἥσθη. τὸ δὲ ἀνεβράσθησαν ὡς ἐπὶ τῶν ζεστῶν ὑδάτων ἔφη κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἀναζεόντων ὑδάτων· τοιοῦτος γὰρ ἦχος γίνεται ἀπὸ ἀναβρασμοῦ. τὸ δὲ σημεῖον χ', ὅτι ἐκ τοῦ παρεπομένου ἀντὶ τοῦ ἐδάκρυσεν. § γίνεται τοῦτο, ἐπειδὰν ὑπέρμετρος χαρὰ ἐπιπέσῃ, ὥστε ἀκουσίως δακρύειν. Σοφοκλῆς· [3])

Χῶρος γὰρ οὗτός ἐστιν ἀνθρώπου φρενῶν,
Ὅπου τὸ τερπνὸν καὶ τὸ πημαῖνον φύει·
Δακρυῤῥοεῖ γοῦν καὶ τὰ καὶ τὰ τυγχάνων.

§ Ἄλλως. εἰσελθόντα δὲ αὐτὸν ἔγνω ὁ πατήρ. πῶς δὲ δυνατὸν, τὸν ὑπὸ τὴν γένεσιν ἐν σπαργάνοις ἐκτεθέντα, νῦν δὲ τετελειωμένον κατὰ τὴν ἡλικίαν ἐπιγινώσκεσθαι παρὰ τοῦ πατρός; δεῖ οὖν ὑπονοῆσαι, ὅτι διὰ χρόνου τινὸς ὁ Αἴσων ἐπισκεψόμενος τὸν υἱὸν λεληθότως ἐπορεύετο πρὸς τὸν Κένταυρον· αὐτὸς γὰρ ἐξέθετο, ὅπως ἐκτραφῇ· διὸ καὶ ἐγνώρισεν αὐτὸν εἰς τὴν ἰδίαν κατελθόντα. κατὰ κλέος δὲ, κατὰ τὴν Ἰάσονος ἐπάνοδον.

221. Ἔγγυς μὲν Φέρης] ἐγγὺς ἀντὶ τοῦ ἐγγύθεν, ἐκ τοῦ σύνεγγυς τόπου, τῶν Φερῶν πλησίον κειμένων τοῦ Ἰωλκοῦ. Ὑπέρεια δὲ κρήνη ἐν ταῖς Φεραῖς, ὡς Σοφοκλῆς· [4])

Ὦ γῆ Φεραία χαῖρε· σύγγονόν θ' ὕδωρ
Ὑπέρεια κρήνη, νᾶμα θεοφιλέστατον.

φασὶ δέ τινες, ἀπὸ Ὑπίρητος λαβεῖν αὐτὴν τοὔνομα, ὡς Φερεκύδης. φησὶ γὰρ οὕτω· [5]) Μέλας ὁ Φρίξου γαμεῖ Εὐρύκλειαν· τῶν δὲ γίνεται Ὑπέρης, ὃς ᾤκει ἐπὶ τῇ κρήνῃ τῇ ἀπ' αὐτοῦ κληθείσῃ Ὑπερείῃ. [6]) κατ' ἔνίους δὲ καὶ ἔκδοσις παρ' Ὁμήρῳ οὕτως ἔχει· [7])

1) Ultima ex Gott. 2) Fragmentum Pindari. 3) Fragm. 82. 4) Fragm. 83. 5) Fragm. p. 175. Sturz. 6) Sic Gott. 7) Iliad. β, 711.

Digitized by Google

Οἳ δὲ Φερὰς ἐνέμοντο, ἰδὲ κρήνην Ὑπέρειαν.

εἶναι δέ φασι καὶ ἐν Λακωνικῇ Ὑπίρειαν κρήνην.

223. Ἐκ δὲ Μεσσάνας Ἀμυθάν] ἐκ δὲ τῆς Μεσσήνης τῆς Λακωνικῆς πόλεως ὁ Ἀμυθὰν παραγίνεται. καὶ ὅτι οὗτοι Αἴσονος ἀδελφοί, καὶ Ὅμηρός πού φησι· [1])

Τοὺς δ' ἑτέρους Κρηθῆϊ τέκεν βασίλεια γυναικῶν,
Αἴσονά τ' ἠδὲ Φέρητ' Ἀμυθάονά θ' ἱππιοχάρμην.

Ταχέως δ' Ἄδματος ἶκεν καὶ Μέλαμπος] οὗτοι ἐκείνων ἦσαν υἱοί, καὶ σὺν τοῖς πατράσιν αὐτῶν ἦλθον. Ἀμυθάονος γὰρ Μελάμπους, Φέρητος δὲ Ἄδμητος, ἀνεψιοὶ Ἰάσονος.

226. Ἐν δαιτὸς δὲ μοίρᾳ] ἐν δὲ τῷ συμποσιακῷ καιρῷ καὶ τῇ μερίδι τῆς εὐωχίας προσηνέσι λόγοις αὐτοὺς ὁ Ἰάσων δεξιούμενος, ξένια ἁρμόζοντα κατασκευάζων, πᾶσαν εὐφροσύνην καὶ ἡδονὴν αὐτοῖς ἐξέτεινεν.

228. Ἰάσων δέγμενος] οὐχ ὡς πάντας ὑποδεδεγμένου τοῦ Ἰάσονος τοὺς περὶ Φέρητα δεῖ νοεῖν, ἀλλ' ἐπειδὴ διὰ τὴν παρουσίαν αὐτοῦ ἐγένετο ὑπὸ Αἴσονος τοῦ πατρὸς ἡ ξενία τοῖς ἀδελφοῖς, διὰ τοῦτο εἶπεν αὐτὸν ὑποδέχεσθαι. ἡ γὰρ ἀναφορὰ τῆς ξενίας εἰς αὐτὸν ἀνήγετο.

231. Ἀθρόαις πέντε δραπών] ἀδιαλείπτως διὰ νυκτὸς καὶ ἡμέρας τὸ ἄνθος τῆς ζωῆς ἀποδρέπων αὐτοῖς, τὰ πρὸς εὐωχίαν παρεχόμενος. ὁ δὲ νοῦς· ἐν πέντε ὅλαις νυξὶ καὶ ἡμέραις δρεπόμενος τὸ ἱερὸν τῆς ζωῆς ἀπάνθισμα, τὴν εὐφροσύνην, ἐξένιζε τοὺς συγγενεῖς. § Ἄλλως. τουτέστιν ἐν θυμηδίᾳ διάγων καὶ εὐφροσύνῃ. [2])

234. Ἀλλ' ἐν ἕκτᾳ] ἀλλ' ἐν τῇ ἕκτῃ ἡμέρᾳ ὅλον τὸν λόγον τὸν σπουδαῖον ἐξ ἀρχῆς ὁ Ἰάσων τοῖς συγγενέσιν ἑαυτοῦ ἐκοινώσατο· οἱ δὲ ἀκούσαντες ἐπέσποντο καὶ ἠκολούθησαν. § ἀντὶ τοῦ συνήεσαν αὐτῷ καὶ τὴν αὐτὴν γνώμην ἀνέλαβον. § Ἄλλως. οἷον, ἐπηκολούθησαν αὐτοῦ τῇ προαιρέσει εὐωχηθέντες.

237. Αἶψα δ' ἀπὸ κλισιᾶν] ταχέως δὲ ἀπὸ τῶν σκηνῶν σὺν τοῖς προῤῥηθεῖσιν ὥρμησεν ὁ Ἰάσων, καὶ δὴ παρεγένοντο εἰς τὸν τοῦ Πελίου οἶκον, σπουδαίως δὲ ἔσω τοῦ οἴκου κατέστησαν.

242. Τυροῦς γενεά] ὁ Πελίας. καὶ Ὅμηρος· [3])

Ἡ δ' ὑποκυσσαμένη Πελίαν τέκε καὶ Νηλῆα.

§ ὁ δὲ νοῦς· ἡ δὲ Τυροῦς γενεά, τουτέστιν ὁ Πελίας, τούτων ἀκούσας καὶ αἰσθόμενος τὴν εἴσοδον, ἀπήντησεν αὐτοῖς.

243. Πραῦν δ' Ἰάσων] μαλθακῇ δὲ καὶ οὐ τραχείᾳ φωνῇ ἀπὸ τοῦ στόματος λόγον στάζων κατεβάλετο βάσιν καὶ ἀρχὴν τῶν σοφῶν λόγων. § ὄαρον δὲ, τὴν ὁμιλίαν, ἐξ οὗ καὶ ὀαρίζω τὸ ὁμιλῶ, καὶ ὀαριστὺς ἡ ὁμιλία.

246. Παῖ Ποσειδῶνος Πετραίου] Πετραῖος τιμᾶται Ποσειδῶν παρὰ Θετταλοῖς, ὅτι διατεμὼν τὰ ὄρη τὰ Θετταλικὰ, λέγω δὴ τὰ Τέμπη, πεποίηκε δι' αὐτῶν ἐπιτρέχειν τὸν ποταμὸν Πηνειὸν, πρότερον διὰ μέσης τῆς πόλεως [4]) ῥέοντα καὶ πολλὰ τῶν χωρίων διαφθείροντα. καὶ Καλλίμαχος· [5])

1) Odyss. λ, 258. 2) Gott. 3) Odyss. λ, 253. 4) Haec absurda sunt: sed parum probabiliter Larcher. ad Herodot. VII, 129. corrigit διὰ μέσου τοῦ ἕλους. 5) In Del. 105.

Digitized by Google

Φεῦγε δὲ καὶ Πηνειὸς ἑλισσόμενος διὰ Τεμπέων.

οἱ δὲ, ὅτι ἐπί τινος πέτρας κοιμηθεὶς ἀπεσπερμάτισε, καὶ τὸν θορὸν δεξαμένη ἡ γῆ ἀνέδωκεν ἵππον πρῶτον, ὃν ἐπωνόμασε [1]) Σκύφιον. § Ἄλλως. ἐπίθετον Ποσειδῶνος ὁ Πετραῖος. φασὶ δὲ καὶ ἀγῶνα διατίθεσθαι τῷ Πετραίῳ Ποσειδῶνι, ὅπου ἀπὸ τῆς πέτρας ἐξεπήδησεν ὁ πρῶτος ἵππος· διὸ καὶ Ἵππιος ὁ Ποσειδῶν.

249. Πρὸς ἐπίβδαν] τὸ δὲ ἐπίβδας τὰς μεθεόρτους φασὶν, οἱονεὶ τὰς ἐπιβαινούσας ἡμέρας τῇ πανηγύρει. νῦν δὲ τὸν μετὰ ταῦτα χρόνον δηλοῖ. [2]) § ἐπίβδαι κυρίως καλοῦνται αἱ ἐχόμεναι τῶν ἑορτῶν ἡμέραι, αἱ μεθέορτοι, ἐπιβάδες τινὲς οὖσαι, οἷον ἐπαγόμεναι τῇ ἑορτῇ. τινὲς δέ φασι παρεμβεβλῆσθαι τὸ βῆτα· τὰς γὰρ ἐπὶ δαιτὶ λέγουσιν ἐπίβδας, ὡς τὴν σίδην σίβδην, καὶ ἔασον ἔβασον. οἱ δὲ, μετῆχθαι ἀπὸ τῶν ἐπιβδαλλομένων προβάτων· βδάλλοντες γὰρ οἱ ποιμένες ἅπαξ αὖθις ἐπιβδάλλουσι. νῦν δὲ σημαίνει τὸ μέλλον καὶ τὸ μετὰ ταῦτα. ὁ δὲ λόγος· αἱ τῶν ἀνθρώπων φρένες πρὸς τραχεῖαν ἑρπόντων ἐπίβδαν, ὡς ἄν τις εἴπῃ, καίπερ τοῖς τοιούτοις μετὰ τὴν παροῦσαν εὐφροσύνην τοῦ κέρδους, τραχείας ἐπιούσης ἐπίβδης, ἢ καίπερ τοῦ τοιούτου πράγματος τοῦ ἀδίκου ἢ ἐπικερδοῦς τραχεῖαν ἔχοντος τὴν ἐπίβδαν, τουτέστι τὴν μετὰ ταῦτα ἀπόλαυσιν οὐ τερπνὴν ἔχοντος. § Ἄλλως. ὦ τοῦ Πετραίου Ποσειδῶνος παῖ Πελία, αἱ μὲν τῶν ἀνθρώπων φρένες ταχύτεραι ἐπαινέσαι καὶ ἀνελέσθαι τὸ παρὰ τὸ δίκαιον κέρδος· καίτοι ἑρπόντων ἐκ τῆς ἀδικίας πρὸς τὴν ἑξῆς τραχεῖαν ὁδὸν, ὅμως τὸ κέρδος τοῦ δικαίου προκρίνουσιν.

250. Ἀλλ' ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους] ἀλλ' ἐμὲ προσήκει καὶ σὲ ἀφεμένους τῶν ἀγανακτήσεων συντιθέναι εἰς τὸ λοιπὸν τοῦ βίου τὴν εὐδαιμονίαν. § δικαίως διακρίναντας τοὺς τρόπους ἐκτελεῖν τὴν λοιπὴν εὐδαιμονίαν.

253. Μία βοῦς] βοῦν καταχρηστικώτερον τὴν τοκάδα φησὶ, τουτέστι τὴν μητέρα. λέγεται δὲ μήτηρ Κρηθεῖ καὶ Σαλμωνεῖ Ἐναρέα. § Ἄλλως. μία βοῦς μεταφορικῶς μία γυνή. ἰδίως δὲ οὐκ ἀπὸ ἀνδρογενείας εἴληφεν ἀπὸ τοῦ Αἰόλου, ἀλλ' ἀπὸ τῆς γυναικός· εἰ μὴ ἄρα οὗτοι οἱ πάπποι ἀλλήλοις ὁμογάστριοι, ὅ τε Κρηθεὺς καὶ Σαλμωνεὺς, ὁ μὲν Αἴσονος, ὁ δὲ Πελίου. φησὶ τοίνυν· ἓν ἔχομεν γένος. καὶ Ἡσίοδος· [3])

Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες,
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολομήτης,
Σαλμωνεὺς ἄδικος καὶ ὑπέρθυμος Περιήρης.

§ γινώσκοντί σοι λέγω· μία μήτηρ ἡ Ἐναρέα τῷ τε Κρηθεῖ καὶ τῷ Σαλμωνεῖ· ἐν δὲ τρίταις γοναῖς ἐξ ἐκείνων φυτευθέντες ἡμεῖς τὴν χρυσῆν δύναμιν τοῦ ἡλίου ὁρῶμεν, τουτέστιν ἐν τοῖς ζῶσι διάγομεν.

255. Τρίταισι δ' ἐν γοναῖς] ἡ γενεαλογία οὕτω· Σαλμωνέως Τυρὼ, Τυροῦς Πελίας. τρίτος οὖν ἀπὸ Σαλμωνέως ὁ Πελίας. ὁ δὲ Ἰάσων καὶ αὐτὸς οὕτω τρίτος· Κρηθεύς ἐστι Σαλμωνέως ἀδελφὸς, Κρηθέως δὲ Αἴσων, Αἴσονος δὲ Ἰάσων· τρίτος οὖν ἀπὸ Κρηθέως. ὁ μὲν οὖν Πελίας ἀπὸ Σαλμωνέως κατὰ μητέρα ἀριθμούμενος, ὁ δὲ Ἰάσων κατὰ πατέρα ἀπὸ Κρηθέως. [4])

1) Sic Gott. 2) Gott. 3) Fragm. p. 443. 4) Hoc scholium etiam Pal. C. habet, sed vitiosum.

Digitized by Google

259. Εἴ τις ἔχθρα] ἐὰν δέ τις ἔχθρα ὁμογόνοις γεννηθῇ, ὥστε καλύπτειν τὴν αἰδῶ καὶ ἀποκρύπτειν, τουτέστι μὴ αἰδεῖσθαι, τοῦ τοιούτου πράγματος ἀφίστανται αἱ Μοῖραι· ὡς ἄν τις εἴποι, οὐκ εὐμοιροῦσιν, οὐκ ἀγαθῇ μοίρᾳ χρῶνται. ὁ δὲ Χαῖρις προστιθεὶς τὸ ῑ γράφει Ἀφίσταιντο, ἵν' ᾖ εὐκτικὸς ὁ λόγος· ἀφίσταιντο αἱ Μοῖραι, εἰ μέλλοι ἐν τῷ γένει ἡμῶν διαφορὰ γενέσθαι, ὥστε πρὸς ἀναίδειαν τραπῆναι. καὶ οὐκ ἀπιθάνως ὁ Χαῖρις.

261. Οὐ πρέπει νῶϊν] οὐ προσῆκον οὐδὲ δίκαιον ἡμῖν ἀμφοτέροις, χαλκοτόροις ξίφεσιν, ἤγουν τοῖς τῷ χαλκῷ τιτρώσκουσι ξίφεσιν, οὔτε μὴν ἀκοντίοις τὴν μεγάλην καὶ περίφημον τῶν προγόνων βασιλείαν διαμοιράσασθαι.

263. Μῆλά τε γάρ τοι] τὰ μὲν γὰρ πρόβατα καὶ τὰς τῶν βοῶν ἀγέλας ἀφίημι καὶ συγχωρῶ, καὶ πάντας τοὺς ἀγροὺς οὕστινας ἀφελόμενος τῶν ἐμῶν γονέων νέμῃ, τὸν σὸν οἶκον καὶ πλοῦτον ἐκ τῆς ἐπικαρπίας αὔξων. μῆλα δὲ νῦν καταχρηστικώτερον πᾶσαν τὴν τῶν τετραπόδων κτῆσιν ἀρχαΐζων φησί. καὶ Ὅμηρος· [1])

Ἀνθρώπους ἀπέπαυσεν ἐπὶ χθονὶ, μῆλα δὲ κήδει.

266. Ἀμετέρων τοκέων] ἀντὶ τοῦ τοκέως, τοῦ πατρός. ὁ γὰρ Αἴσων τοῦ Πελίου κατὰ μητέρα ἀδελφός.

268. Κοὔ με πονεῖ] οὐκ ἀλγύνει δέ με ταῦτα τὸν σὸν οἶκον αὔξοντα, ἀλλὰ τὸ σκῆπτρον τὸ τῆς μοναρχίας καὶ ὁ θρόνος τῆς μοναρχίας, ἔξωθεν τὸ λυπεῖ με. § ἀπὸ κοινοῦ τὸ πονεῖ με. καὶ ὁ ἀλλὰ ἀντὶ τοῦ δὲ, ἵν' ᾖ· πονεῖ δέ με τὸ σκῆπτρον καὶ ὁ θρόνος. [2])

271. Ὥι ποτε] ᾧτινί ποτε τῷ θρόνῳ ὁ τοῦ Κρηθέως παῖς Αἴσων ἐπικαθεζόμενος ἐπ' εὐθείας ἦγε τοῖς ὑπηκόοις τὰς δίκας.

274. Τὰ μὲν ἄνευ] ταῦτα μὲν οὖν καὶ χωρίς τινος ἀνίας καὶ λύπης διάλυσον τῷ δικαίῳ, μή τι νεώτερον ἡμῖν καὶ ἐπιβλαβὲς ἐξ αὐτῆς ἀνασταίη κακόν. ἐὰν δὲ ᾖ Ἀναστήσῃ, ἔσται ὁ νοῦς τοιοῦτος· μὴ ὁ νεωτερισμὸς ἡμῖν κακὸν ἀναστήσῃ. § Ἄλλως. τινὲς κατὰ συναλοιφὴν θέλουσι τοῦτο ἐξενηνέχθαι, ὡς παρ' Ὁμήρῳ· [3]) Ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρείδαο, ἀντὶ τοῦ ἴδηαι. οὕτως οὖν ἀναστήσῃ ἀντὶ τοῦ ἀναστήσηαι.

277. Ὡς ἄρ' ἔειπεν] οὕτως εἶπεν ὁ Ἰάσων· ὁ δὲ Πελίας ἠρέμα καὶ ἡσύχως ἀνταπεκρίθη αὐτῷ.

278. Ἔσσομαι τοιοῦτος] γενήσομαι τοιοῦτος, οἷος μηδὲν ἀναστῆσαι ἄδικον καὶ νεώτερον, φησίν. ἀλλὰ ἤδη με τὸ γηραιὸν μέρος τῆς ἡλικίας περικυκλεῖ καὶ περιέχει.

281. Σὸν δ' ἄνθος ἥβας ἄρτι κυμαίνει] μετεωρίζεται· ἡ μεταφορὰ ἀπὸ τῶν κυμάτων. πρὸς τί δὲ ταῦτα λέγει; ἐγὼ μὲν εἰς ἐπανόρθωσιν τοῦ γένους οὐκέτι ἰσχύω τι δρᾶν γέρων ὤν· σὺ δὲ νέος ὢν δύνασαι ἀπολῦσαι τὸν ἐκ τῶν χθονίων γεγονότα κότον τῷ γένει ἡμῶν. ἴδιος δέ ἐστι καὶ ἐνταῦθα ὁ Πίνδαρος μετὰ τοῦ δέρους καὶ τὴν ψυχὴν τοῦ Φρίξου κελεύων τῷ Ἰάσονι ἐκ τῆς Αἴας ἀνακομίσασθαι· ἐπὶ γὰρ τούτῳ μηνίειν τοὺς χθονίους δαίμονας· τῶν ἄλλων ἐπὶ μόνην τὴν κομιδὴν τοῦ δέρους αὐτὸν ἐκπεμφθῆναι λεγόντων. ὅτι δὲ τὰς ψυχὰς ἀνεκαλοῦντο τῶν ἐπὶ ταῖς ἀλλοδαπαῖς ἀποιχομένων, καὶ Ὅμηρος δηλοῖ· [4])

1) Iliad. ρ, 550. 2) E Gott. 3) Iliad. α, 203. 4) Odyss. ι, 64.

Digitized by Google

Οὐδ' ἄρα μοι προτέρω νῆες κίον ἀμφιέλισσαι,
Πρίν τινα τῶν δειλῶν ἑτάρων τρὶς ἕκαστον ἀΰσαι.

§ Ἄλλως. ἐπειδὴ γὰρ ἐν Κόλχοις τέθνηκεν ὁ Φρίξος, κελεύει με δι' ὀνείρων ἀνακαλέσασθαι τὴν ψυχὴν αὐτοῦ εἰς Θεσσαλίαν παραγενόμενον εἰς τοὺς τοῦ Αἰήτου οἴκους, κελεύει δέ με καὶ τὸ δέρμα τοῦ κριοῦ ἀγαγεῖν, ᾧτινί ποτε ἐκ τοῦ πόντου διεσώθη καὶ ἐκ τῶν τῆς μητρυιᾶς ἀθέων βελῶν, τῶν ἐπιβουλῶν. ἔθος δὲ ἦν τῶν τελευτησάντων ἐπ' ἀλλοδαπῆς, εἰ καὶ μὴ τὰ σώματα εἴη παρ' αὐτοῖς, τὰς γοῦν ψυχὰς διά τινων μυστηρίων ἀνακαλεῖσθαι καὶ ὥσπερ συμπλεούσας εἰς τὴν πατρίδα διαπεραιοῦν. τοῦτο καὶ Ὅμηρος οἶδεν.

284. Κομίξαι] ἤτοι ἀνακομίσαι ἢ ἀνακαλέσασθαι, ἢ ἐπιμελείας ἀξιῶσαι· ἡρωϊκώτερον δὲ τὸ πρότερον καὶ ἄξιον τοῦ πλοῦ.

288. Ἔκ τε ματρυιᾶς ἀθέων βελέων] ἐκακώθη γὰρ διὰ τὴν μητρυιὰν ἐρασθεῖσαν αὐτοῦ καὶ ἐπεβουλεύθη, ὥστε φυγεῖν. [1]) ταύτην δὲ ὁ μὲν Πίνδαρος ἐν Ὕμνοις Δημοδίκην [2]) φησίν, Ἱππίας δὲ Γοργῶπιν, Σοφοκλῆς δὲ ἐν Ἀθάμαντι Νεφέλην, Φερεκύδης Θεμιστώ· [3]) ὃς καί φησι τῶν καρπῶν φθειρομένων ἐκ ταὐτομάτου ἐθελούσιον δοῦναι ἑαυτὸν εἰς σφαγήν. τὸ δὲ ἰθέων βελέων ἀλληγορικῶς ἀντὶ τοῦ βουλευμάτων ἢ λόγων [4]) ἢ πραγμάτων· οὐ γὰρ ἐνδόντος αὐτοῦ πρὸς ἃ ἡ μητρυιὰ παρεκάλει, ἐπεβουλεύθη εἰς τὰ τεθρυλλημένα. § Ἄλλως. βελέων τῶν ἐπιβουλῶν φησι, καὶ τὴν κατ' Ἰνὼ ἱστορίαν ἐκτίθεται.

289. Ταῦτά μοι θαυμαστὸς ὄνειρος] ταῦτά μοι ὁ θαυμαστὸς ὄνειρος παραγενόμενος ἔλεγεν.

290. Μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ] ἐμαντευσάμην δὲ εἰς Δελφοὺς ἐλθών, εἰ ἐρευνητέον τι τούτων καὶ φροντιστέον, ὧν ὁ ὄνειρος καθ' ὕπνους ὑπέθετο, τουτέστιν εἰ πρακτέον· καὶ ὡς τάχιστα κελεύει ναῦν παρασκευάσασθαι καὶ καθέλκειν εἰς τὸν ἐπὶ Σκυθίαν ἀπόπλουν.

293. Τοῦτον ἄεθλον] τοῦτον τὸν ἆθλον ἑκὼν ἐκτέλεσον, καί σοι προῖημι ἄρχειν καὶ βασιλεύειν τῆς Θεσσαλίας· περὶ δὲ τῶν λεγομένων καὶ τῆς ἀποδόσεως τῆς βασιλείας ὅρκος ἰσχυρὸς καὶ βέβαιος ὁ γενέθλιος ἡμῖν Ζεὺς γενέσθω. γενέθλιος δὲ ἀμφοτέροις, Πελίᾳ τε καὶ Ἰάσονι· Σαλμωνεὺς γὰρ καὶ Κρηθεὺς εἰς Δία τὸ γένος ἀνῆγον.

299. Σύνθεσιν ταύταν] ταύτην τὴν συνθήκην τῶν ὅρκων καὶ τῆς βασιλείας πρὸς ἑαυτοὺς ἐπαινέσαντες διεχωρίσθησαν.

301. Αὐτὰρ Ἰάσων] ὁ δὲ Ἰάσων αὐτὸς παρώξυνε τὸν ὄντα καὶ δόξαντα πλοῦν εἰς Σκυθίαν ἀναφανεροῦν πανταχοῦ.

303. Τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ τρεῖς] πάντας Σοφοκλῆς ἐν ταῖς Λημνιάσι τῷ δράματι καταλέγει τοὺς εἰς τὸ Ἀργῶον εἰσελθόντας σκάφος, καὶ Αἰσχύλος ἐν Καβείροις. [5]) ὁ δὲ Πίνδαρος συσταλῆναι τὸν Ἡρακλέα τοῖς Ἀργοναύταις φησίν, ὡς δὲ ἐν Μυσίᾳ ἐξῆλθεν ἐφ' ὕδρευμα, κατελείφθη παρὰ τῶν Ἀργοναυτῶν· οἱ δὲ νεώτεροι,

1) Heynius in novissima editione ablegat ad Clavier. ad Apollod. p. 118. 2) Vulgo Δημοτικήν, Gott. Δημοτικήν. Verum nomen constat aliunde. 3) Fragm. Sturz. p. 170. 4) Gott. λόγων. 5) Ita coniecit Heynius; vulgo Κιβήρας.

Digitized by Google

διὰ τὸ κατὰ τὴν εἰρεσίαν ἄπειρον αὐτὸν εἶναι καὶ συντρίβειν τὰς κώπας, ὡς καὶ Ἀπολλώνιός φησι· [1])

Δὴ τότ' ἀνοχλίζων τετρηχότος οἴδματος ὁλκούς
Μεσσόθεν ἄξεν ἐρετμόν.

οἱ δὲ, ὅτι ἐφ' οὗ ἂν ἐκαθέσθη τόπου τῆς νηὸς, ἐκεῖ ἡ ναῦς ἔκλινεν. § ταχέως δὲ οἱ τοῦ Κρόνου παιδὸς Διὸς τρεῖς παῖδες τὸν ἀριθμὸν, οἱ ἀκοπίαστοι κατὰ τὴν μάχην παρεγένοντο. καὶ ἐκ μὲν Ἀλκμήνης ὁ Ἡρακλῆς, ἐκ δὲ Λήδας οἱ Διόσκουροι. πάλιν δὲ συλληπτικῷ [2]) τρόπῳ ἐχρήσατο. φαίνεται γὰρ Ἡρακλῆς Ἀλκμήνης καὶ Λήδας υἱὸς ὢν κατὰ τὸ ἀδιαχώριστον τοῦ λόγου· ἀλλὰ προσήκει ὑποδιαιροῦντας ἑκάστῳ τὸ οἰκεῖον τῆς γενέσεως προσάπτειν. τὸ χ', ὅτι τὸ χωρὶς συμβεβηκὸς τῷ Ἡρακλεῖ τῷ τῆς Ἀλκμήνης καὶ ἐπὶ τῶν Διοσκούρων κοινῶς εἴρηκεν· οἱ μὲν γὰρ Διὸς καὶ Λήδας, ὁ δὲ Ἀλκμήνης μόνος.

306. Δοιοὶ δ' ἀνέρες, Ἐννοσίδα γένος] δύο δὲ ἄνδρες παρεγένοντο ἐκ Ποσειδῶνος ἔχοντες τὸ γένος, τὴν ἑαυτῶν αἰδεσθέντες δύναμιν, τουτέστιν οὐκ ἀνάξια τῆς ἑαυτῶν ἀνδρίας λογισάμενοι· καὶ ὁ μὲν Περικλύμενος ἐκ Πύλου, ὁ δὲ Εὔφημος ἐκ Ταινάρου, ὅ ἐστιν ἀκρωτήριον τῆς Λακωνικῆς, παρεγένοντο· πάλιν συλληπτικώτερον. οὐ γὰρ ἀμφότεροι ἀπὸ Ταινάρου καὶ Πύλου, ἀλλ' ὁ μὲν Περικλύμενος ἐκ Χλωρίδος καὶ Νηλέως ἐκ Πύλου στέλλεται, ὁ δὲ ἐκ Ταινάρου ὁ Εὔφημος, ὡς αὐτὸς προεῖπε. πῶς δὲ Ἐννοσίδα εἶπε τοὺς δύο; Νηλέως γὰρ ὁ Περικλύμενος, ὁ δὲ Νηλεὺς Ποσειδῶνος υἱός· ὁ δὲ Εὔφημος Ποσειδῶνος ἐκ Ταινάρου, υἱωνὸς δὲ ὁ Περικλύμενος ἐκ Πύλου.

308. Αἰδεσθέντες ἀλκάν] ἐντραπέντες ἣν εἶχον ἀλκὴν καταισχῦναι, εἰ μὴ ὑπακούσειαν τοῖς καλοῦσι, διὰ τοῦτο ὑπέμειναν πλεῦσαι, ἵνα μὴ καταιδεσθῶσιν ὡς ἄνανδροι.

310. Τῶν μὲν κλέος ἐσλόν] τούτων μὲν οὖν ἐξ ἀμφοτέρων τῶν Ποσειδῶνος παίδων δόξα τις ἀγαθὴ συνεπεράνθη κατὰ τὸν ἀπόπλουν τῶν Ἀργοναυτῶν.

313. Ἐξ Ἀπόλλωνος δὲ φορμικτάς] παρεγένετο δὲ καὶ ὁ τῶν ἀοιδῶν πατὴρ ἐξ Ἀπόλλωνος ὢν καὶ κιθαριστὴς ὁ εὐαίνητος Ὀρφεὺς, τουτέστιν ὁ ὑπὸ πάντων ἐπαινούμενος. § Ἀπόλλωνος τὸν Ὀρφέα φησὶν εἶναι, ὃν καὶ αὐτὸς ὁ Πίνδαρος καὶ ἄλλοι Οἰάγρου λέγουσιν. Ἀμμώνιος δὲ σύμφωνον τὴν ἱστορίαν θέλων εἶναι, οὕτως ἀποδίδωσιν· ὁ δὲ τοῦ Ἀπόλλωνος μουσικός.

Ἐκ γάρ τοι Μουσέων καὶ ἑκηβόλου Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθονὶ καὶ κιθαρισταί. [3])

ὥσπερ οὖν ἐκ Διὸς λέγουσιν εἶναι τοὺς βασιλεῖς, οὐχ ὅτι γόνος εἰσὶ τοῦ Διὸς, ἀλλ' ὅτι τὸ βασιλεύειν ἐκ Διὸς ἔχουσιν, οὕτως ἐξ Ἀπόλλωνος φορμικτὴν αὐτὸν εἶπεν· ἡγεμὼν γὰρ ὁ θεὸς τῆς κιθαρῳδίας. ὁ μέντοι Χαῖρις οὐκ ἀπιθάνως τούτους φησὶν ὠνομάσθαι τοὺς ἐκ θεῶν γεγονότας, οἷον Διοσκούρους καὶ Ἡρακλέα, οὕτω δὴ καὶ Ὀρφέα, διὰ τὸ Ἀπόλλωνος εἶναι υἱὸν γόνῳ. παρατίθεται δὲ καὶ χρησμόν τινα, ὃν φησι Μέναιχμον ἀναγράψαι ἐν τῷ Πυθικῷ. ἔχει δὲ οὕτω·

1) Argon. I, 1167. 2) Erat συλληπτικῶς; delevi etiam τῷ ante τρόπῳ, et verba cum Gott. transposui. 3) Hymn. Homer. 24, 2. Vulgo ἐκ γὰρ Μουσάων: ego lectionem cod. Gott. dedi. Conf. Schol. ad Nem. III, 1. Paullo ante dedi φησὶν pro vulgato φασίν.

Digitized by Google

Πιέρες αἰνοπαθεῖς, στυγνὴν ἀποτίσετε λώβην
Ὀρφέ' ἀποκτείναντες Ἀπόλλωνος φίλον υἱόν.

καὶ Ἀσκληπιάδης ἐν ἕκτῳ Τραγῳδουμένων ἱστορεῖ Ἀπόλλωνος καὶ Καλλιόπης Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα.

316. Πέμπε δ' Ἑρμᾶς] συνέστειλε δὲ τοῖς ἥρωσιν ὁ χρυσῆν μεταχειριζόμενος ῥάβδον Ἑρμῆς τοὺς διδύμους ἑαυτοῦ παῖδας ἐπὶ τὸν δεινότατον ἄθλον, Ἐχίονα καὶ Εὔρυτον, τῷ τῆς ἀκμῆς ὑπεραίροντας θερμῷ. τὸ δὲ σχῆμα τῆς φράσεως Ἀλκμανικόν· πρὶν γὰρ εἰπεῖν τὰ δύο ὀνόματα, μέσην ἔταξε τὴν μετοχήν.

317. Ἐπ' ἄτρυτον πόνον] τὸν ἀκαταπόνητον· ἐκ δὲ τούτου τὸν ὑπερβεβλημένον ὡς δεινὸν ἐμφαίνει. § ἢ τὸν οὐκ ἐνδιδόντα οὐδὲ ὑπείκοντα. [1])

318. Κεχλάδοντας ἥβᾳ] πληθύοντας τῇ ἥβῃ· πρὸς ὃ καὶ τὸ χ'. § Ἄλλως. πλήθοντας. κυρίως δὲ χλῆδος ἡ μετὰ ἤχου τῶν ὑδάτων ῥύσις μιμητικῶς εἰρημένη, ὡς καὶ βρόμος πυρός. τῷ δὲ σχήματι τῆς ἑρμηνείας πλειστάκις Ἀλκμὰν κέχρηται. ἐπὰν γὰρ περὶ δυοῖν ποιῆται τὸν λόγον, τὸ ἕτερον ὄνομα προθεὶς περὶ ἀμφοῖν ποιεῖται τὸν λόγον, εἶτα οὕτω τὸ ἕτερον προσαποδίδωσιν, οἷον· Κάστωρ τε, πώλων ταχέων δμητῆρες ἱππόται σοφοί, καὶ Πολυδεύκης κυδρός. [2]) καὶ Ὅμηρος· [3])

Ἦχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος. [4])

οἱ δὲ περὶ τὸν Εὔρυτον, Ἀντιανείρας τῆς Μενέτου.

319. Ταχέως δ' ἀμφὶ Παγγαίου] ὁ νοῦς· ταχύτατα δὲ πρὸς τὴν ἐξόρμησιν οἱ περὶ τὸ Πάγγαιον ὄρος οἰκοῦντες Βορεάδαι τοῖς ἥρωσι συνεστέλλοντο.

321. Καὶ γὰρ ἑκών] καὶ γὰρ αὐτοὺς ἑκὼν ψυχῇ προσηνεστάτῃ ταχέως ἐκέλευσεν ὁ τῶν ἀνέμων βασιλεὺς Βορέας.

324. Ζήταν Κάλαΐν τε] ἴσως δὲ τὰ ὀνόματα πεποιημένα ἀπὸ τοῦ πατρὸς, οἷον Ζαήτην τὸν ἄγαν ἄοντα καὶ πνέοντα, καὶ Κάλαϊν οἷον καλῶς ἄοντα. τινὲς δὲ ἀναιροῦσι τὸν τῶν Βορεαδῶν μῦθον οὐ βουλόμενοι αὐτοὺς εἶναι πτερωτοὺς, ταχυτάτους δὲ εἶναι καὶ ὠκύτητι τῶν ποδῶν διαφέροντας, καὶ τὴν Ὠρείθυιαν οὐχ ὅτι Βορέας ἥρπασεν, ἀλλ' ὅτι ἀνὴρ τῶν ἐν Θρᾴκῃ ἐνοίκων. Βορείους δὲ ἐκάλουν οἱ Ἕλληνες τοὺς τὴν Θρᾴκην οἰκοῦντας διὰ τὰ τοῦ Βορέου πνεύματα. ἐπεμίγνυντο δὲ τοῖς Ἕλλησιν οἱ περὶ Ζήτην καὶ Κάλαϊν καὶ ἠγωνίζοντο διὰ τὴν πρὸς Ἀθηναίους συγγένειαν, καὶ ἐκαλοῦντο ἀπὸ τῶν τόπων Βορεάδαι. τὸ δὲ πεφρίκοντας ἀντὶ τοῦ διακινοῦντας· φρὶξ γὰρ κυρίως ἡ ἠρεμαία τῶν κυμάτων κίνησις. μυθικῶς δέ τι ἀνέπλασσεν ἐπτερῶσθαι φήσας τοὺς Βορεάδας, καὶ ἴσως ἀλληγορικώτερον ὁ μῦθος ἔχει διὰ τὰς ταχείας τοῦ πατρὸς πνοάς.

328. Πόθον ἔνδαιεν Ἥρα] ἐπέκαιε δὲ καὶ ἐνέβαλλεν ἐπιθυμίαν τοῖς ἥρωσιν ἡ Ἥρα τοῦ Ἀργώου σκάφους, ὥστε μή τινα ἀπολειπόμενον ἀκινδύνως καὶ ἀδόξως τὸν αἰῶνα παρὰ μητρὶ μένοντα διαιτᾶσθαι. § ἰέναι δὲ ἐν ἐπιθυμίᾳ ἐποίει ἡ Ἥρα, μὴ ἔξωθεν κινδύνου ἕκαστον παρὰ τῇ μητρὶ διαιτᾶσθαι. § ἢ οὕτως· ἤγουν ἐνέκαιεν ἐπιθυμίαν τοῦ ἐμβῆναι. § Ἄλλως. μὴ μένειν ἀδόξως παρὰ τῇ μητρὶ, ἀλλὰ καὶ ἐπὶ τῷ

1) Ex Gott. unde etiam proxima. 2) Fragm. 3. ed. Welck. Κυδρὸς est e Gott. olim κυδνός. 3) Iliad. ε, 774. 4) Rom. Κάμανδρος.

Digitized by Google

θανάτῳ τῆς ἰδίας ἀρετῆς κάλλιστον φάρμακον τὴν μετὰ ταῦτα εὐδοξίαν σὺν τοῖς ἄλλοις ὁμήλιξιν εὑρέσθαι. § Ἄλλως. θηλυκῶς ὁ Πίνδαρος τὴν αἰῶνα κατὰ τὸ ἴδιον ἔθος ἐξήνεγκε. φάρμακον θανάτου τὴν ἀρετὴν καὶ τὴν εὔκλειαν, ἀντὶ τοῦ παραμυθίαν τοῦ θανάτου ταύτην εὑρεῖν, τὴν ἀπὸ τοῦ διαπλεῦσαι ἀρετήν.

334. Ἐς δ' Ἰωλκὸν ἐπεὶ κατέβα] ἐπειδὴ δὲ κατέβη εἰς τὴν Ἰωλκὸν τὸ τῶν ναυτῶν ἀπάνθισμα, τουτέστιν οἱ Ἀργοναῦται. τὸ δὲ κατέβα ἀντὶ τοῦ κατῆλθε, καὶ πυκνῶς τούτῳ χρῆται τῷ καταβῆναι ἀντὶ τοῦ παραγενέσθαι. λέξατο ἤτοι κατέλεξε καὶ κατελόχισεν ἢ ἠρίθμησεν· Ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν. [1]) καὶ τὸ ὡρολόγιον ὡράριθμόν ἐστιν, ἐν ᾧ τὰς ὥρας ἀριθμοῦμεν.

337. Καί ῥά οἱ μάντις] καὶ δὴ τῷ Ἰάσονι ὁ μαντικώτατος Μόψος ὄρνισί τε καὶ κλήροις μαντευόμενος προθύμως ἐνεβίβασε τῷ σκάφει τοὺς Ἀργοναύτας, αἴσιον γενέσθαι δηλονότι φήσας τὸν ἀπόπλουν. § Ἄλλως. ταῖς μαντείαις χρησάμενος ὁ Μόψος ἐνεβίβασε τὸν στρατὸν προθύμως. εἰώθασι δὲ διὰ κλήρων μαντεύεσθαι· οἷον, ἐὰν βάλλοντός μου τόδε ἀναβῇ, ἀποτελεσθήσεται τόδε· ἐὰν δὲ μὴ, οὐκ ἀποτελεσθήσεται. καὶ ἐν τοῖς ἱεροῖς ἀστράγαλοι κεῖνται, οἷς διαμαντεύονται βάλλοντες δι' αὐτῶν. [2]) κατ' ἐνίους δὲ τρισὶν ἐχρήσαντο μάντεσιν οἱ Ἀργοναῦται, Μόψῳ τῷ Ἄμπυκος, Ἴδμονι τῷ Ἄβαντος καὶ Ἀμφιαράῳ τῷ Οἰκλέους. § Ἰστέον ὅτι κλήροις τοπρὶν ἐμαντεύοντο, καὶ ἦσαν ἐπὶ τῶν ἱερῶν τραπεζῶν ἀστράγαλοι, οὓς ῥίπτοντες ἐμαντεύοντο.

341. Ἐπεὶ δ' ἐμβόλου] ἰδίως τοῦτό φησιν ὁ Πίνδαρος· οὐ γὰρ ταῖς ἀγκύραις ἐκέχρηντο τότε, ἀλλὰ λίθοις, ὡς φησι καὶ Ἀπολλώνιος. § Ἄλλως. ἐμβόλου· τοῦ ξύλου, εἰς ὃ ἀναδεσμοῦσι τὴν ἄγκυραν. οὐκ ἦν δὲ κατὰ τοὺς ἥρωας τοῦτο· διό φαμεν ἰδίως τεθεικέναι τὸν Πίνδαρον. κοινότατον δέ ἐστιν, ὅτι ἀποπλεῖν μέλλοντες ἀνέλκουσι τὰς ἀγκύρας καὶ τῆς νεὼς ἐξαρτῶσιν. § ἐπειδὴ δὲ τοῦ ἐμβόλου ἄνωθεν τὰς ἀγκύρας ἐκρέμασαν ἀποπλεῖν λοιπὸν μέλλοντες, χρυσῆν φιάλην ἐν χερσὶν ἔχων ὁ τῆς νεὼς ἡγεμὼν Ἰάσων κατὰ τὴν πρύμναν ἐπισπένδων τὸν τῶν θεῶν πατέρα Δία καὶ τὰς τῆς θαλάσσης ὁδοὺς καὶ τὰς τῆς εὐφροσύνης αἰτίας ἡμέρας ἐκάλει, καὶ τὴν προσφιλεστάτην μοῖραν τῆς ἐπανόδου, τουτέστιν ἐπαναστρέψασθαι ἠξίου.

344. Πατέρ' Οὐρανιδᾶν] τὸν Δία. διατί δὲ πρῶτον ἐπισπένδων τῇ θαλάσσῃ Διὶ καὶ οὐ Ποσειδῶνι ἔθυσεν ὁ Ἰάσων; καί φαμεν εἰκότως παρὰ τὸ Ἀράτειον: [3])

Μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί,
Πᾶσαι δ' ἀνθρώπων ἀγοραί, μεσταὶ δὲ θάλασσαι
Καὶ λιμένες.

ἐγχειρέραυνον δὲ Ζῆνα, τὸν τῷ κεραυνῷ ἀντὶ ἔγχους χρώμενον· βέλος γὰρ τοῦτο τοῦ Διὸς διδόασιν, ὡς τοῦ Ποσειδῶνος τὴν τρίαιναν καὶ Διονύσου τὸν θύρσον.

350. Ἐκ νεφέων δέ οἱ] ἐκ τῶν νεφῶν δὲ βροντήσας ὁ Ζεὺς αἴσιον σύμβολον αὐτῷ ἐδίδου τῆς ὁδοῦ· ἐκ δὲ τῆς βροντῆς ἀντιλάμψεις καὶ λαμπηδόνες ἐγένοντο. ὅταν γὰρ βροντήσῃ, ἀστράπτει. Ὅμηρος· [4])

1) Odyss. δ, 452. Ἐν recte addidit Heynius. 2) Vulgo ex recentioris hominis recensione locus aliter legebatur, quem correxi e Gott. qui omnibus fere locis veterem scholiasten refert. Recentior ille dedit, quae ex eodem codice in fine posui. Pro vocibus δι' αὐτῶν codex δὲ αὐτόν. 3) Phaenom. init. 4) Iliad. β, 353.

Digitized by Google

Ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων.

354. Ἀμπνοὰν δ' ἥρωες] ἀναπνεύσαντες [1]) δὲ οἱ ἥρωες ἔστησαν τοῖς τοῦ Διὸς δηλονότι σημείοις πειθόμενοι, ὡς πρὸ τούτου ἀγωνιώντων αὐτῶν. Ἀμπνοὰν δὲ ἔστησαν, περιφραστικῶς Ἀνέπνευσαν.

356. Κάρυξε δ' αὐτοῖς] ἀνεκήρυξε δὲ αὐτοῖς ὁ μάντις Μόψος σπουδαιότερον ἐμβαλεῖν ναῦς κώπαις καὶ ἐρέττειν, ἡδείας ὑπεμφαίνων ἐλπίδας· ἡ δὲ κωπηλασία ἐχώρει ἐκ τῶν ταχειῶν χειρῶν τῶν Ἀργοναυτῶν, ἄκορος οὖσα. ἐκ δὲ τούτου τὸ ἄγαν αὐτῶν κατὰ τὴν εἱρεσίαν πρόθυμον ἐμφαίνει.

358. Ἐνίπτων] λέγει καὶ Ὅμηρος· Ἐνίψω, φήσω. § ἐνίψαι δὲ ἀντὶ τοῦ εἰπεῖν· Ὡς οὐ τοῦτον ἐγώ ποτε μῦθον ἐνίψω. [2])

359. Εἰρεσία] ἡ εἰρεσία ἐχώρησεν αὐτοῖς, τουτέστι προέβη αὐτοῖς ἡ εἰρεσία ἄκορος, ἤγουν οὐκ ἐλάμβανον κόρον ἐλαύνοντες, ἀλλ' ἦσαν ἀκόρεστοι, ἤγουν πρόθυμοι. [3])

361. Σὺν Νότου δ' αὔραις] σὺν δὲ ταῖς τοῦ νότου πνοαῖς εἰς τὸ ἄξεινον τοῦ πόντου στόμα παρεγένοντο, ἔνθα καὶ προκαθιερωμένον εὑρόντες βωμὸν ἔκτισαν καὶ αὐτοὶ Ποσειδῶνος τέμενος, καὶ δεξάμενοι Θρακικοὺς ταύρους πυῤῥοὺς τὴν χροιὰν ἱερούργησαν τῷ θεῷ. φοίνισσα δὲ, πυῤῥὰ ἀπὸ τοῦ χρώματος. τὸ δὲ σημεῖον, ὅτι φοίνισσαν εἶπεν ἀπὸ τοῦ φοινικέου σχηματίσας. [4]) § Ὅμηρος [5]) μέντοι οἰκείως τῇ τοῦ ὕδατος φύσει καὶ τῷ Ποσειδῶνι ἀπονέμει τὰ θύματα,

Ταύρους παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ.

μεταφορικῶς δὲ λέγει βωμοῖο θέναρ τὸ πλάτος αὐτοῦ· τῶν γὰρ χειρῶν θέναρ καλοῦσι τὸ πλάτος, ἤτοι τὸ πλατύ. τοῦτο δὲ ἢ ἀπὸ τοῦ θεῖναι πεποίηται τὸ ὄνομα ἢ ἀπὸ τοῦ θείνειν ἐν αὐτῷ. § Ἄλλως. βωμοῖο θέναρ, τὸ τοῦ βωμοῦ κοίλωμα, τὸ ὑποδεχόμενον τὰ θύματα. ἀπὸ κοινοῦ δὲ τὸ ὑπῆρχεν ἀκουστέον· ὑπῆρχε βωμοῖο θέναρ, κατὰ περίφρασιν ὁ βωμὸς, καὶ ὑπῆρχεν ἀγέλη Θρακικῶν ταύρων.

368. Ἐς δὲ κίνδυνον βαθύν] εἰς δὲ τὸν ὑψηλότατον κίνδυνον προθυμίαν ἔχοντες καὶ σπουδὴν τὸν τῶν νεῶν ἔφορον καὶ δεσπότην καθικέτευον, τῶν συνδρομάδων πετρῶν ἐκφυγεῖν τὴν ἀκαταμάχητον δύναμιν καὶ κίνησιν καὶ μὴ καταληφθῆναι ὑπ' αὐτῶν. φασὶ δὲ τὰς Κυανέας πέτρας πάλαι ἐπικινεῖσθαι τῷ πελάγει καὶ συμπίπτειν ἀλλήλαις.

370. Συνδρόμων κινηθμόν] Ὅμηρος μὲν ἐκτοπίζει τὸν Ἰάσονος πλοῦν· [6])

Οἴη δὴ κείνη γε παρέπλω ποντοπόρος νηῦς,

καὶ τὰ ἑξῆς· οἱ δὲ νεώτεροι πόντον ὑφίστανται δύο νησίδια σκοπελοειδῆ ἀλλήλοις συῤῥηγνύμενα. καὶ ἴσως Ὅμηρος οὐδὲ αὐτὰς τὰς πέτρας ἐπικυλίεσθαί φησιν, ἀλλὰ τὰ κύματα ἐγειρόμενα μεταξὺ ταῖς πέτραις προσρήσσειν τὰς ναῦς. φησὶ γοῦν· [7])

Καί νύ κε τὴν ἔνθ' ὦκα βάλεν μεγάλας ποτὶ πέτρας,

ὅτι τὴν ναῦν προσέῤῥηξεν ἂν τῇ πέτρᾳ τὸ κῦμα, καὶ οὐκ αὐτὴ ἡ πέτρα συνεκρότησε τῇ ἑτέρᾳ· οἱ δὲ νεώτεροι συντρέχειν φασίν. ὁ δὲ Πίνδαρος προστερατεύεταί τι λέγων ὅτι δίδυμοι ἦσαν ζῶαι· ζώσας δὲ αὐτὰς εἶπε διὰ τὴν κίνησιν. ἔστι δὲ διθυραμβικὸν τὸ

1) Fortasse legendum ἀναπνοήν. 2) Odyss. β, 137. Ex Gott. 3) Gott. 4) Ex Gott. 5) Odyss. γ, 6. 6) Odyss. μ, 69. Mox ante πόντον deesse videtur κατὰ τόν. 7) Ibid. 71.

Digitized by Google

τῆς τοιαύτης ἑρμηνείας· πολλάκις γὰρ ἐπὶ τὸ κοῦφον ἀνάγονται. ἐπεκυλίοντο δὲ, φησὶν, ἀλλήλαις αἱ πέτραι ταχύτερον ἤπερ αἱ τῶν ἠχητικῶν ἀνέμων πνοαί.

373. Στίχες] στίξεις καὶ ὁρμαί. ἴσως δὲ ἀπὸ τοῦ στίζειν τὴν θάλασσαν· στιγμῇ γὰρ ἔοικε τὸ φρικάζον. καὶ Ὅμηρος·

Ὡς δ' ὅτε πορφύρει πέλαγος μέγα. [1])

Ἀλλ' ἤδη τελευτάν] ἀλλὰ λοιπὸν τελευτὴν καὶ θάνατον αὐταῖς ταῖς πέτραις ὁ τῶν Ἀργοναυτῶν πλοῦς ἐπήγαγεν. οἰκείως δὲ τελευτὴν ἐπήγαγεν ὡς πρὸς τὸ ζωάς· καὶ γὰρ εἵμαρτο διαπλευσάσης νεὼς ῥιζωθῆναι τὰς πέτρας τῷ πελάγει. § ὥσπερ γὰρ διὰ τὴν κίνησιν ζωὰς αὐτὰς εἶπεν, οὕτω διὰ τὴν στάσιν τὴν ἀπὸ τῆς κινήσεως τελευτὰν ἐπήγαγεν.

376. Ἐς Φᾶσιν] ἔπειτα εἰς τὸν Φᾶσιν ποταμὸν, φησὶν, ἦλθον παρ' αὐτῷ τῷ Αἰήτῃ, [2]) ἔνθα τοῖς καταπληκτικοῖς Κόλχοις τὴν ἑαυτῶν ἰσχὺν προσήγαγον καὶ προσέμιξαν, περιφραστικῶς παρεγένοντο. § τὸ κελαινώπεσσιν οἱ μὲν τοῖς καταπληκτικοῖς τὴν ὄψιν φασί· τὸ γὰρ κελαινὸν ἐπὶ τῆς καταπλήξεως λαμβάνειν εἰώθασιν· οἱ δὲ ὅτι Αἰγυπτίων ἄποικοί εἰσιν οἱ Σκύθαι, διὰ τοῦτο καὶ μελανόχροας αὐτοὺς εἶναι λέγουσιν. ἔχουσι δὲ καὶ λινουργοῦσι τὴν καλάμην, ὥσπερ Αἰγύπτιοι. [3]) καὶ Καλλίμαχος· [4]) Κολχίδος ἐκ καλάμης. Φᾶσις δὲ ποταμὸς Σκυθίας τῆς κατὰ τὴν Ἀσίαν· ἔστι γὰρ καὶ ἑτέρα [5]) Εὐρώπης· πλησίον τῆς Μαιώτιδος λίμνης καὶ τοῦ Τανάϊδος ποταμοῦ. τούτου καὶ Ἀπολλώνιος μνημονεύει· [6])

Φᾶσις δινήεις εὐρὺν ῥόον εἰς ἅλα βάλλει.

379. Μίξαν Αἰήτᾳ] ἀντὶ τοῦ συνῆλθον, ἐπιμιχθῆναι ἐποίησαν τὴν ἑαυτῶν βίαν ἐκείνοις, τουτέστιν ἐμίγησαν αὐτοῖς. [7])

380. Πότνια δ' ὠκυτάτων] ἴυγξ, ὄρνεον πεποικιλμένον τῇ τριχώσει, μακροτράχηλον, γλῶσσαν ἔχον ἐπιπολὺ ἐκτεταμένην, πυκνῶς περιστρεφόμενον καὶ περιδινοῦν τὸν τράχηλον. τοῦτο τὸ ὄρνεον δοκοῦσιν αἱ φαρμακίδες εὐθετεῖν αὐταῖς εἰς τὰς ἐρωτικὰς ἐπῳδάς· λαμβάνουσαι γὰρ αὐτὸ δεσμεύουσιν ἐκ τροχοῦ τινος, ὃν περιῤῥομβοῦσιν ἅμα ἐπᾴδουσαι. οἱ δέ φασιν, ὅτι τὰ ἔντερα αὐτοῦ ἐξελκύσασαι καθάπτουσι τῷ τροχῷ· ταύτην οὖν, φησὶ, τὴν ἴυγγα πρῶτον Ἀφροδίτη ἐκ τοῦ Ὀλύμπου ἤνεγκεν εἰς ἀνθρώπους καὶ ἔδωκεν Ἰάσονι, καὶ ἐδίδαξεν αὐτὸν τὰς ἐπῳδὰς τὰς ἐρωτικὰς, ἵν' ἐκμήνας τὴν Μήδειαν ποιήσῃ συμμαχεῖν αὐτῷ. κινῆται δὲ τὰ μέσα τῶν τροχῶν ξύλα. ἔστι δὲ καὶ μεταφορικῶς ἀκοῦσαι τὰς πτέρυγας καὶ τοὺς πόδας κνήμας εἰρημένας, κατὰ τὸ ἀνάλογον δηλονότι. οὐ γὰρ ἁπλῶς ἐκδεσμεύεται ἐκ τοῦ τροχοῦ τετρακνήμου ὄντος, ἀλλ' ἄνωθεν μὲν ἐκ [8]) τῶν δύο πτερύγων, κάτωθεν δὲ ἐκ τῶν δυοῖν ποδῶν. τινὲς δὲ τετρακνήμον' ἀνέγνωσαν, ἵν' ᾖ, ἐν τῷ τετρακνήμονι κύκλῳ. § ἡ δέσποινα δὲ τῶν ὀξυτάτων βελῶν, τουτέστι τῶν ἐρώτων, τὴν ποικίλην τῇ τριχώσει ἴυγγα τὴν τετράκνημον ἐξαγαγοῦσα τοῦ οὐρανοῦ καὶ καταγαγοῦσα, ἐν τῷ ἀλύτῳ ὑποζεύξασα τροχῷ, συνέπραττε τῷ Ἰάσονι.

[1]) Iliad. ξ, 16. Ex Gott. [2]) Delevi ταχεῖ ante Αἰήτῃ, quod nihil eiusmodi in Pindaricis est. Fortasse id natum ex adverbio ἐκεῖ. Faehsius scribens ταγῷ rem acu tetigisse sibi videtur Syllog. p. 405. [3]) Cf. Herodot. II, 104 sq. [4]) Fragm. 265. [5]) Vulgo ἕτερος. Ἑτέρα Gott. [6]) Arg. II, 403. [7]) Gott. [8]) Addidi voculam de coniectura.

Digitized by Google

§ Ἄλλως. ζητεῖται, πῶς τετράκνημον τὴν ἴυγγά φησιν· οὐδὲ γὰρ λόγου ἔχεται κατὰ τοῦ τροχοῦ ἀκούειν· οὐδὲ γὰρ τετρακνήμῳ κύκλῳ φησί. ῥητέον οὖν, ὅτι κατά τινας ὁμωνύμως ὁ τροχὸς τῷ ζώῳ ἴυγξ λέγεται, ὃν φασιν ἔχειν τέσσαρας κνήμας. ἔστι δὲ καὶ μεταφορικῶς νοῆσαι, ὡς εἴπομεν.

385. Λιτάς τ' ἐπαοιδάς] τὰς δὲ φαρμακευτικὰς ἐπαοιδὰς ἐξεδίδαξεν ἡ Ἀφροδίτη τὸν σοφὸν Ἰάσονα. § Ἄλλως. λιτὰς τὰς λιτανευτικὰς, καθὸ οἱ ταῖς ἐπαοιδαῖς χρώμενοι λιτανεύουσι τοὺς θεοὺς καὶ εὔχονταί τινα γενέσθαι αὐτοῖς. πρὸς τί οὖν ἐδίδαξε τὰς ἐπαοιδάς; ἵνα ἡ Μήδεια, ἣν προσεφέρετο αἰδῶ πρὸς τοὺς γονεῖς, ταύτην μὴ κατέχῃ, ἀλλ' ἀναιδὴς γενομένη καταλίπῃ μὲν αὐτοὺς, προτιμήσῃ δὲ τὰ τοῦ ξένου.

388. Ποθεινὰ δ' Ἑλλάς] ἡ ποθεινὴ δὲ Ἑλλὰς αὐτὴν τῇ τῆς Πειθοῦς μάστιγι κατὰ τὴν φρένα καιομένην διακινοίη καὶ παρασκευάσαι συναπᾶραι τοῖς Ἀργοναύταις.

391. Καὶ τάχα πείρατ' ἀέθλων] καὶ ταχέως τῷ Ἰάσονι ἡ Μήδεια ὑπετίθετο τὰ πέρατα καὶ τὰ τέλη τῶν ἄθλων, ὧν ἔμελλεν αὐτῷ ἐπιτάττειν ὁ πατὴρ αὐτῆς Αἰήτης.

393. Σὺν δ' ἐλαίῳ] ἡ Μήδεια κατέχρισε τὸν Ἰάσονα διὰ τοὺς πυρπνόους ταύρους. πρῶτον γὰρ ὁ Αἰήτης ζεύξας αὐτοὺς καὶ καταγωνισάμενος προέθηκε τῷ Ἰάσονι· ἵν' οὖν μηδὲν ὑπὸ τοῦ πυρὸς πάσχῃ, φάρμακα ἐλαίῳ μίξασα ἔδωκεν Ἰάσονι ἡ Μήδεια. ἀντίτομα δὲ εἶπε τὰ ἀλεξιφάρμακα κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ῥιζοτόμων· ἁπλούστερον γὰρ τῇ ἰατρικῇ χρώμενοι τὰ πολλὰ τῶν παθημάτων ῥίζαις ἀπεθεράπευον, ἃς τέμνοντες ἐπετίθεσαν, ὡς Πάτροκλος· [1])

Ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν
Χερσὶ διατρίψας.

395. Καταίνησάν τε] κατήνεσαν δὲ καὶ συνέθεντο κοινὸν ποιῆσαι τὸν γάμον τὸν γλυκὺν καὶ ἀλλήλοις μιγῆναι.

398. Ἀλλ' ὅτ' Αἰήτας ἀδαμάντινον] οἱ μὲν ὡς ἐκ τῆς τοῦ ἀδάμαντος φύσεως τὸ ἰσχυρὸν ἤκουσαν, οἱ δὲ ὅτι ἀληθῶς ἐξ ἀδάμαντος ἦν· εἶχε γὰρ ὁ Αἰήτης χαλκόποδας ταύρους, οἳ τοὺς προσπελάζοντας κατέκαιον προχέοντες πῦρ ἐκ τῶν μυκτήρων, οὓς ὁ Αἰήτης καταζεύξας εἰς μέσον ἤγαγε καὶ ἠροτρίασε τὴν γῆν, εἶτα λύσας ἐκέλευσε τὸν Ἰάσονα ζευγνύειν. § Ἄλλως. τοὺς πυρίπνους ταύρους Ἀντίμαχος ἐν Λύδῃ [2]) Ἡφαιστοτεύκτους λέγει. καὶ Σοφοκλῆς δὲ χαλκοῦς βοῦς ἀδερμάτους φησίν· [3])

Χαλκοσκελεῖς γὰρ . . . . .
. . . ἐκπνέουσι πνευμάτων ἄπο·
Φλέγει δὲ μυκτὴρ, ὡς . . . .

καὶ Ἀπολλώνιος· [4])

Δύω πεδίον τὸ Ἀρήϊον ἀμφινέμονται
Ταῦροι χαλκόποδες, στόματι φλόγα φυσιόωντες.

§ ὅτε δὲ ὁ Αἰήτης ἐν μέσοις τὸ ἀδαμάντινον κατέθηκεν ἄροτρον καὶ τὰς βοῦς, αἵτινες τῶν ξανθῶν γενύων φλόγα ἀπέπνεον καιομένου πυρὸς, καὶ ταῖς χαλκαῖς ὁπλαῖς ἑαυτῶν

[1]) Iliad. λ, 845. [2]) Fragm. Antimach. Schellenb. p. 87. [3]) Rom. Σοφο . . . . et deinde φ . . . quae cum Heynio supplevi. In Gott. desunt omnia inde a verbis εἶχε γὰρ ὁ Αἰήτης usque ad φλόγα φυσιόωντες. [4]) Arg. III, 409.

Digitized by Google

ἐπέξεον καὶ ἐπεχάραττον τὴν γῆν ἐπιστρεφόμενοι κατὰ τὴν πορείαν. § σκίμψατο· ἤρεισεν, ἐπὶ τῆς γῆς κατέθηκεν. ὁπλαῖς ἀμειβόμενοι· οἱ ταῦροι προβαίνοντες. [1]) τὸ γὰρ ἀμειβόμενοι οὕτως ἀκουστέον· τοὺς πόδας ἐναλλάσσοντες κατὰ τὴν πορείαν.

404. Ὀρθὰς δ' αὔλακας ἐνταναύσαις] ἐντείνας δὲ ἤλαυνε, καὶ ἐπ' εὐθείας ἔτεμνε τὰς αὔλακας, τουτέστι τὰς εὐθείας τοῦ ἀρότρου τομάς. αὔλακες δὲ εἴρηνται παρὰ τὸν αὐλόν· πᾶν γὰρ ἐπίμηκες οὕτως εἴρηται. καθ' ἃς αὔλακας ὀργυιᾶς μέτρον ἔσχισε τὴν γῆν εἰς βάθος κάτω τῷ ἀρότρῳ. § μέτρον τι ἡ ὀργυιά. φησὶν οὖν, ὅτι διέτεμνε τὰς αὔλακας ὀργυιᾶς μέτρον ἐχούσας κατὰ τὸ βάθος. § ὁ δὲ λόγος· τῆς δὲ ἀναβωλακίας γῆς τὸν νῶτον ἔσχιζεν ἐπ' ὀργυιάν. ἀναβωλακίας δὲ, τῆς ἐν τῇ τμήσει τοὺς βώλους ἄνω πεμπούσης.

407. Εἶπε δ' ὧδε] οὕτω δὲ ἔλεγεν ὁ Αἰήτης· τοῦτο τὸ τῆς γεωργίας ἔργον ἐμοὶ τελειώσας ὃς τῆς νεὼς προηγεῖται, τὴν ἄφθαρτον στρωμνὴν τὸ κῶας ἀφαιρείσθω, τὸ κάλλιστον ὂν τῇ χρυσῇ μαλλώσει. ἄφθιτον στρωμνὴν, τὸ κῶας, ὅτι τοπαλαιὸν ἐπ' αὐτῷ ἐκοιμῶντο. § Ἄλλως. ἄφθιτον στρωμνὴν, τὸ δέρος τοῦ κριοῦ, τὸ κώδιον· οἱ γὰρ ἀρχαῖοι ὑπεστρώννυντο τὰ κώδια, ἀφ' οὗ καὶ κῶμα ὁ ὕπνος, διὰ τὸ ἐπὶ κωδίων αὐτοὺς κοιμᾶσθαι. Ἀριστοφάνης· [2])

Ἢν σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κώδιον.

ἄφθιτον δὲ αὐτὸ εἶπε, καθὸ χρυσοῦν ἦν· ὁ δὲ χρυσὸς ἄφθαρτος. καὶ ἡ Σαπφὼ . . . . . ὅτι

Διὸς παῖς ὁ χρυσός,
Κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει,
Βροτέων φρένα κράτιστον φρενῶν. [3])

1) Ex Gott. 2) Eqq. 400. 3) Hic locus a Plutarcho apud Proclum ad Hesiod. Opp. et D. 435. haud obscure Pindaro tribuitur: ubi vitiose legitur κεῖνο σὴς, οὐ κὶς δάμναται, sed in libris Parisinis κείνου σὴς οὐ κ. δ. nec quidquam praeterea. Si auctoritatem spectes, quamquam Pindari scholia maximam partem Plutarcho antiquiora sunt, tamen quia nimis mutila ad nos pervenere, Plutarcho et Proclo plus tribuerim cum Schneidero nostro Fragm. Pind. p. 92. ed. Argent. et docto viro in Mus. crit. Cantabr. p. 31. licet aliter iudicantibus Valck. ad Ammon. p. 102. qui tamen ambiguus haesisse videtur, Brunck. Anal. T. I, p. 57. Toup. Emend. in Suid. P. II, p. 277. Lips. Volger. Fragm. Sapph. p. 116 sqq. Ipsa carminis lex Pindaricam, non Lesbiam refert formam: et aliud dixisse Sapphonem patet ex Pausan. VIII, 18, 2. καίτοι γε καθαρεύειν γε τὸν χρυσὸν ἀπὸ (vulgo ὑπὸ) τοῦ ἰοῦ ἥ τε ποιήτρια μάρτυς ἐστὶν ἡ Λεσβία etc. unde arbitror apud scholiasten olim tale quid fuisse: καὶ ἡ Σαπφὼ [τὸν χρυσὸν ἄφθιτον καὶ οὐ δεκτικὸν ἰοῦ εἶπεν, καὶ αὐτὸς ὁ Πίνδαρός φησιν,] ὅτι Διὸς παῖς etc. Quibus confisus argumentis lacunam signavi post nomen Sapphonis. Iam ut ad ipsum fragmentum accedamus, ὅτι esse scholiastae non dubitamus: in fine autem quum scholiastes vulgo haberet βροτέαν φρένα κράτιστον φρενῶν, Toup. l. c. quia apud Ursinum repererat κάλλιστον, correxit βρ. φρ. κάλλιστ' εὐφραίνων, in quo ne structura quidem apte institui potest, numerus vero plane nullus inest; Valckenarius autem partim Procli lectione innixus partim Scaligero obsecutus scripsit: δάπτει, δάμναται δὲ βροτέαν φρένα κράτιστον ἀφένων; ex quo Volgerus trochaicum metrum exsculpsit verbis ad hunc modum transpositis: βροτέαν δὲ δάμναται φρ. et reposita in fine forma ἀπφένων. Addidissent vellem exemplum huius pluralis πλοῦτοι vel ἄφενοι, cuius ne singularem quidem in Pindaricis invenio. Igitur corrigo potius: Δέμναται δὲ βροτέων φρένα κάρτιστον κτεάνων, ut Olymp. III, extr. κτεάνων δὲ χρυσὸς αἰδοιέστατον.

Digitized by Google

θυσάνῳ δὲ τῷ μαλλῷ φησι. θύσανοι γὰρ οἱ κρόσσοι ἀπὸ τοῦ θύσσεσθαι καὶ παραιωρεῖσθαι· νῦν δὲ ἐπὶ τῶν μαλλῶν τέταχε· καὶ γὰρ οὗτοι θύσσονται διὰ τὸ εὐτραφές.

412. Ὡς ἄρ' αὐδάσαντος ἀπὸ κρόκεον] ἢ τὸ κροκοβαφὲς ἢ τὸ ὑφαντὸν παρὰ τὴν κρόκην. § ὁ δὲ νοῦς· ἀπορρίψας δὲ ὁ Ἰάσων τὸ κροκωτὸν ἱμάτιον, πειθόμενος δὲ καὶ πεποιθὼς τῇ Ἀφροδίτῃ εἴχετο τοῦ ἔργου τοῦ ἀροτριᾶν. ἦν δὲ θεῷ πίσυνος, τῷ Ἔρωτί φησιν ἢ τῇ Ἀφροδίτῃ ἢ τῷ Διΐ· τὸ δὲ πῦρ αὐτὸν οὐκ ἐτάρασσε ταῖς ἐντολαῖς τῆς Μηδείας πεισθέντα. αἰόλλειν δὲ, τὸ ταράσσειν, καὶ αἰόλησις ἡ κίνησις. ὡς καὶ Ὅμηρος· [1])

Αἰόλλει, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι.

§ πῶς τὸ πῦρ οὐκ ἐτάρασσε τὸν Ἰάσονα; ὁ μὲν Πίνδαρος οὐκ ἐξέθετο, ἡ δὲ ἱστορία οὕτως· ἐκέλευσεν ἡ Μήδεια τῷ Ἰάσονι μὴ ἐλαύνειν πρὸς τὸν ἀντιπνέοντα ἄνεμον τοὺς βόας, ἵνα μὴ τὸ πῦρ ἀντικειμένης τῆς πνοῆς βλάψῃ τοῦτον, ἀλλ' ὄπισθεν φερομένης, ὥσπερ συντρεχούσης καὶ ὀξυνούσης εἰς τοὔμπροσθεν τὴν τῆς φλογὸς ἀποφύσησιν· ἐκέλευσε δὲ καὶ συμπεράναντα τὴν αὖλακα ἀπὸ τοῦ ἐκείνης τέλους μὴ ἄρχεσθαι, ὅπερ ἔθος τοῖς ἀροτριῶσιν, ἀλλ' ἀναποδίσαντα οὕτω πάλιν ἄρχεσθαι διὰ τὰ πνεύματα τὰ ἀντικείμενα, ὡς ἔφαμεν. ἐφετμαῖς δὲ, ταῖς μαγείαις, ἃς ἐπετείλατο τῷ πυρὶ, ἢ ὅτι ἐνετείλατο αὐτῷ τούτοις τοῖς φαρμάκοις ἀλειψάμενον οὕτως ἔρχεσθαι, καὶ ἐσώζετο αὐτῆς ταῖς ἐντολαῖς.

416. Σπασάμενος δ' ἄροτρον βοείοις δήσας] [2]) τοῖς ἐκ βοείων δερμάτων λώροις· ἤτοι ἀνάγκας ἔντεσιν, ἵν' ᾖ περιφραστικῶς τῇ ἀνάγκῃ· ἢ ἀνάγκῃ, ἵνα λέγῃ τῇ ἑαυτοῦ, τῇ ἐκ τῆς ἑαυτοῦ ἰσχύος ἀνάγκῃ. ὀρθῶς δὲ τὸ ἀνάγκας· οὐ γὰρ ἑκουσίως ταῦτα τὰ ζῶα ἀροῖ καὶ πονεῖ, ἀλλὰ μετὰ τῆς ἐξ ἡμῶν ἀνάγκης ἐπιτιθεμένης αὐτοῖς. § ὁ νοῦς· σπασάμενος δὲ ὁ Ἰάσων τὸ ἄροτρον καὶ δήσας τοῖς βοείοις λώροις καὶ ταῖς τοῦ ζυγοῦ ἀνάγκαις τοὺς αὐχένας αὐτῶν ἐμβαλὼν ἤλαυνεν.

419. Ἐριπλεύρῳ φυᾷ] τῇ μεγαλοπλεύρῳ φύσει τῶν ταύρων. [3])

420. Κέντρον αἰανές] ἤγουν ὀδυνηρὸν παρὰ τὸν αἰαγμόν· αἰάζειν γὰρ τὸ θρηνεῖν· ἢ παρὰ τὸ αἰὰν τὸ μέγα· τὰ γὰρ μεγάλα τῇ γῇ εἰκάζομεν. [4])

422. Ἤυξε δ' ἀφωνήτῳ] καίπερ τοιούτῳ ἄχει, φησὶ, πληγεὶς ἀφώνῳ, καθ' ὃ οὐκ ἄν τις φωνὴν ἀφείη, ἀλλ' ἐκσταίη, ὅμως ἀνεβόησε θαυμάσας. § ὁ δὲ νοῦς· ἐστέναξε δὲ λαθραίως κατὰ τὴν ψυχὴν ὁ Αἰήτης τὴν τοῦ Ἰάσονος δύναμιν θαυμάσας.

426. Στεφάνοισίν τέ μιν] ἰστέον ὅτι τοπαλαιὸν ἐφυλλοβόλουν τοὺς νικηφόρους τοῖς τῆς γῆς χλωροῖς. κυρίως δὲ τὸ ἐρέπτειν ἐπὶ τῶν ἀλόγων ζώων τάττεται, ὅτι ἐπὶ τῇ ἔρᾳ, τουτέστι τῇ γῇ ἐσθίουσιν. ὡς Ὅμηρος· [5])

Ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας.

νῦν δὲ καὶ ἀντὶ τοῦ ἔρεφον ἔλαβε, τουτέστιν ἐστέγουν, ἐστεφάνουν.

428. Αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱός] εὐθέως δὲ ὁ τοῦ Ἡλίου, φησὶ, παῖς

1) Odyss. v, 27. 2) Sic lemma scribitur in Gott. Resecui vocem ἀνάγκας, quae in libro non est; pro ea Hermannus ad h. l. volebat ἀνάγκαις, ad quam sane lectionem prima interpretis verba pertinent: nam in fine scholiorum ad hunc versum haec lectio cum eadem interpretatione recurrit. 3) Gott. 4) Gott. 5) Iliad. θ, 560.

Digitized by Google

Αἰήτης τὸ χρυσόμαλλον κῶας ὑπεδείκνυε τῷ Ἰάσονι, ἔνθα αὐτὸ ἐξέτειναν αἱ τοῦ Φρίξου μάχαιραι. § τουτέστιν ἡ περὶ τὸ ἐκδέρειν τοῦ Φρίξου ἐνέργεια· Φυξίῳ γὰρ Διὶ τὸ δέρος ἀνιέρωσεν. ἔνιοι δέ φασιν ὑπὸ τοῦ Φρίξου ἀνατεθῆναι τῷ Ἄρει τὸ τοῦ χρυσομάλλου κριοῦ δέρος.

434. Κεῖτο γὰρ λόχμᾳ] τῷ δασεῖ τῆς ὕλης· λόχμη γὰρ τὸ δάσος. καὶ παρ' Ὁμήρῳ· [1])

Ἔνθα δ' ἄρ' ἐν λόχμῃ πυκινῇ κατέκειτο μέγας σῦς.

λείπει δὲ ἡ ὑπό. ὑπερεῖχε δὲ, φησὶν, ὁ δράκων πεντηκόντορον ναῦν καὶ ἑνίκα τῷ μεγέθει, τουτέστι μείζων ἦν αὐτῆς. § ἢ οὕτως· εἰ ἐνέβαλες αὐτὸν εἰς τὴν πεντηκόντορον ναῦν, πλήρωμα ἂν αὐτῆς ἐγένετο, ὥστε περιττεύειν τινὰ μέρη αὐτοῦ καὶ ὑποκεῖσθαι. § κατείχετο δὲ, φησὶ, τὸ κῶας ὑπὸ τῶν δεινοτάτων τοῦ δράκοντος γενύων, ὃς καὶ τῷ πάχει καὶ τῷ μήκει τοῦ σώματος πεντηκόντορον ναῦν κατεῖχεν, ἤ, ὡς ἔνιοι, ἐμβληθεὶς ἐπλήρου ναῦν πεντηκόντορον.

438. Ἂν πληγαὶ σιδάρου] ἤντινα ναῦν συνεπέρανον αἱ τοῦ σιδήρου πληγαί. πάλιν τῷ συνήθει σχήματι καὶ τρόπῳ κίχρηται τὸ ἑνικὸν τῷ πληθυντικῷ συζεύξας, καίτοι παρὸν εἰπεῖν καὶ τέλεσσαν. γράφεται δὲ καὶ τέλεσσαν.

439. Κατ' ἀμαξιτόν] ἀντὶ τοῦ μακρῶς λέγω τὰ ποιήματα καὶ ἐπεκτείνω. κατ' ἀμαξιτόν· κατὰ τὴν ὁδὸν ταύτην τὴν τῶν ἐγκωμίων τοῦ Ἰάσονος πορεύεσθαι καὶ λέγειν. καιρὸς γάρ με ἐπείγει, ὥστε πρὸς τὸν Ἀρκεσίλαον ἀναδραμεῖν, καί τινα οἶδα ὁδὸν βραχεῖαν, τουτέστιν οἶδα κατὰ τὰς ἐξηγήσεις καὶ βραχέα λέγειν.

442. Σοφίας ἑτέροις] ἤτοι ταύτης τῆς σοφίας, τῆς περὶ τὸ συντόμως λέγειν, καὶ ἄλλων γέγονα καθηγητὴς, ὅ ἐστι διδάσκαλος· ἢ πολλοῖς προσέσχον ἄλλοις, ὡς ἐν συντομίᾳ, ὥστε ταχέως αὐτὰ ἐξειπεῖν.

443. Κτεῖνε μὲν γλαυκῶπα] ἐπισυνάπτει τῆς ἱστορίας τὸ συμπέρασμα καί φησιν· ὁ μὲν Ἰάσων ἀνεῖλε ταῖς τῆς Μηδείας τέχναις τὸν γλαυκόφθαλμον καὶ πεποικιλμένον ἔχοντα νῶτον ὄφιν, ὦ Ἀρκεσίλαε.

445. Κλέψεν τε Μήδειαν] ἔκλεψε δὲ καὶ τὴν Μήδειαν ἑκοῦσαν, τὴν τὸν Πελίαν φονεύσασαν. ὁ δὲ νοῦς· κατεργασάμενος μὲν γὰρ τὸν ἆθλον ὁ Ἰάσων λάθρα τοῦ Αἰήτου καὶ τῶν Κόλχων ἀπέκλεψε τὴν Μήδειαν ἑκοῦσαν καὶ αὐτὴν τὴν τῷ Πελίᾳ φόνον γενομένην· εἶτα ναυτιλλόμενοι ἐνεμίγησαν τῷ τε τοῦ Ὠκεανοῦ πελάγει καὶ τῇ Ἐρυθρᾷ θαλάσσῃ καὶ τῶν Λημνίων γυναικῶν τῶν ἀνδροφόνων τῷ ἔθνει· ἀπὸ κοινοῦ τὸ ἐμίγησαν. § σὺν αὐτῇ, σὺν τῇ Μηδείᾳ θελούσῃ καὶ ἐνεργούσῃ· ὅπερ ἔνιοι μὴ νοοῦντες μεταγράφουσι σὺν αὐτῷ, τῷ δέρει. [2]) § γίγνεται δὲ παρέλκον. δεῖ οὖν· σὺν αὐτῇ βουλομένῃ ἔκλεψε, καὶ τὸν ἀδελφὸν Ἄψυρτον ὑπέμεινε διασπάσαι διὰ τὸν ἀπὸ τῆς ἴυγγος ἔρωτα Ἰάσονος. [3])

446. Πελίαο φόνον] ὁ Χαῖρις οὐ βούλεται συνθέτως ἀναγινώσκειν τὸ Πελίαο φόνον· ἐκ γὰρ δύο τελείων ἐστὶ τοῦ Πελίαο καὶ τοῦ φόνον. γίνεται δὲ τοιαύτη σύνθε-

[1]) Odyss. τ, 439. [2]) E Gott. [3]) Ex eodem, nota absurda.

Digitized by Google

σις, ὡς μεταβάλλεσθαι τὸν τόνον· ἤτοι οὖν, φησὶν ὁ Δίδυμος, προσενεκτέον τὰν Πελιαοφονὸν ὀξυτόνως, ἵν' ᾖ φονευτικήν· ἢ παροξυτόνως, ἥτις ἦν τοῦ Πελίου φόνος. [1])

447. Ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν] προσεπέλασαν δὲ καὶ τῷ Ὠκεανῷ καὶ τῇ Ἐρυθρᾷ θαλάσσῃ. καινῶς δὲ ὁ Πίνδαρος εἰς ταῦτα τὰ πελάγη ἱστορεῖ πεπλανῆσθαι τοὺς Ἀργοναύτας. § Ἄλλως. Ἔν τ' Ὠκεανοῦ πελάγεσσιν] ἡ πρόθεσις περιττεύει τοῦ λόγου. εἴληφε δὲ ὁ Πίνδαρος τὸ πρῶτον πάντων γενόμενον, καὶ ἀντεστραμμένως ἔσχατον τέθεικεν. εἰς μὲν γὰρ τὸν Ὠκεανὸν καὶ τὴν Ἐρυθρὰν εἰςέβαλον φεύγοντες ἐκ Κόλχων· ταῖς δὲ Λημνιάσιν ἐμίγησαν, πρὶν εἰς τὸν πόντον ἐπιπλεῦσαι, ἀλλ' ἵνα ἐπὶ τὴν τοῦ γένους ἀρχὴν ἐπανέλθῃ, τὸ πρότερον ἀντεστραμμένως ὕστερον ἔθηκεν. § Λημνιᾶν· οὐκ ἀκολούθως. οὐ γὰρ ὑποστρέφοντες προσέβαλον τῇ Λήμνῳ, ἀλλ' ἀπιόντες.

449. Ἀνδροφόνων] ἐκ τῆς προτεθείσης ἱστορίας. αἱ τῶν Λημνίων γυναῖκες ἀσεβήσασαι εἰς τὴν Ἀφροδίτην διηνεκῶς ἔσχον μηνιῶσαν τὴν θεόν· μῖσος γὰρ αὐταῖς πρὸς τοὺς ἄνδρας ἐπετρίψατο, καὶ οὕτως ἐκεῖνοι πρὸς τοὺς Θρᾷκας πολεμοῦντες κἀκ τοῦ πολέμου τὰς αἰχμαλωτίδας λαβόντες παρεκοιμῶντο· ἐφ' ᾧ ζηλοτυπήσασαι αἱ γυναῖκες ἐψηφίσαντο ἐκ Θρᾴκης ὑποστρέφοντας τοὺς ἄνδρας ἀνελεῖν, ὅπερ καὶ πεποιήκασιν.

450. Ἔνθα καὶ γυίων ἀέθλοις] οἱ μὲν τῶν ἱστορικῶν βούλοιται τοὺς Ἀργοναύτας ἀγωνίσασθαι ἐπὶ τοῖς ἀναιρεθεῖσιν ἀνδράσιν, οἱ δὲ ἐπὶ τῷ Θόαντος φόνῳ. τὸ ἔνθα δὲ ἐν τῇ Λήμνῳ· ἐν τοῖς ἀγῶσιν ἐπεδείξαντο τῶν μελῶν τὴν ἀνδρείαν καὶ τὴν κρίσιν, ἀγωνιζόμενοι περὶ ἐσθῆτος. τὸ δὲ ἐσθᾶτος ἀμφὶς ἀμφίβολον πότερον τῆς ἐσθῆτος χωρὶς ἠγωνίσαντο, τουτέστι γυμνοί, ἢ τὸ ἀμφὶς ἀντὶ τῆς περὶ δεκτέον· χρῶνται γὰρ τῇ λέξει καὶ ἐπὶ τούτου· ἵν' ἢ τὸ ἔπαθλον ἐσθὴς, ὥστε περὶ ἐσθῆτος αὐτοὺς ἠγωνίσθαι, ὃ καὶ ὑγιές ἐστι. καὶ γὰρ καὶ παρὰ Σιμωνίδῃ ἐστὶν ἡ ἱστορία, ὅτι περὶ ἐσθῆτος ἠγωνίσαντο. καὶ Πίνδαρος ἐν Ὀλυμπιονίκαις. [2])

453. Τουτάκις ὑμετέρας ἄκτῖνας] τὸ σπέρμα. λείπει δὲ ἡ σὺν ἢ ἡ ἐν, ἵν' ᾖ σὺν ὄλβῳ ἢ ἐν ὄλβῳ. [3]) τηνικαῦτα δὲ τοῦ σοῦ γένους τὰς λαμπηδόνας καὶ καταβολὰς σὺν εὐδαιμονίᾳ διεδέξατο μεμοιραμένον ἦμαρ ἢ νύκτες. § ὁ δὲ νοῦς· τὸ τηνικαῦτα τοῦ σοῦ γένους ἡ καταβολὴ γέγονεν ἐν ἡμέρᾳ ἢ ἐν νυκτί. § Ἄλλως. τοῦτο λέγει ὅτι ἢ νυκτὸς ἢ ἡμέρας συνελθόντες ταῖς Λημνιάσι γυναιξὶν οἱ ἥρωες ἔσχον ὑμᾶς.

455. Τόθι γὰρ γένος Εὐφάμου] ἀποστρέφει τὸν λόγον πρὸς τὸν Ἀρκεσίλαον, ἐπεὶ Ἀριστοτέλης ὁ πρόγονος αὐτοῦ ἀπὸ τῶν Λημνίων γυναικῶν ἦν. οἱ γὰρ Ἀργοναῦται ἐν τῇ Λήμνῳ ταῖς Λημνιάσιν ἐπλησίασαν, ἐν οἷς καὶ Εὔφημος Μαλάχῃ [4]) συνελθὼν Λευκοφάνη ἐποίησεν, ἀφ' οὗ Ἀριστοτέλης ὁ πρόγονος Ἀρκεσιλάου. § Ἄλλως. Τόθι γὰρ γένος Εὐφάμου φυτευθέν] διὰ τούτων τὴν ἐν ἀρχῇ πρόθεσιν συγκεφαλαιοῖ, καθ' ἣν εἶπε τὸν Ἀρκεσίλαον ταῖς Μούσαις ἀποδώσειν καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γὰρ κεῖνο πλευσάντων Μινυᾶν θεόπομποί σφισι τιμαὶ φύτευθεν· [5]) τοῦ Εὐφήμου γεννήσαντος ἐκ τῆς Λημνίας τὸν τούτων ἀρχηγὸν τοῦ γένους. οἱ γὰρ ἀπὸ τούτων ἐκπε-

1) Sic Gott. Vulgo hoc scholium desinebat in vocibus ἀναγιν. τὸ Πελ. φόνον: Heynius nihil addiderat nisi verba ὡς Δίδυμος. 2) Nescio utrum Olymp. IV, 25. an IX, 104. significetur, quorum locorum tamen neuter quadrat. 3) Haec Gott. 4) Gott. Δαμάχῃ. 5) Vs. 119 sqq. vulg.

Digitized by Google

σόντες ἐκ Λήμνου εἰς Λακεδαίμονα παρεγένοντο, ἐκεῖθεν δὲ ἀπῴκησαν εἰς τὴν πρῶτον καλουμένην Καλλίστην νῆσον, Θήρα τὴν ἀποικίαν ἀγαγόντος, ἀφ' οὗ Θήρα μετωνομάσθη. διαποροῦσι δὲ, διατί μόνου Εὐφήμου μνημονεύει, πολλῶν ταῖς Λημνίαις πλησιασάντων· ἐπιλύεται δὲ ὁ Δίδυμος φάσκων, ὅτι ἀπὸ Εὐφήμου τούτου ἐγένετό τις καὶ ἕτερος Εὔφημος ὁ σὺν Βάττῳ τὴν Κυρήνην κτίσας, ὃν [1]) διὰ τὴν ὁμωνυμίαν ἀπ' ἐκείνου τις ὑποτοπάσειεν εἶναι. ἐγένοντο δὲ καὶ πλείους Εὔφημοι· πρῶτος ὁ Μηκιονίκης καὶ Ποσειδῶνος, δεύτερος ὁ Σάμου παῖς ἀπόγονος τοῦ πρώτου Εὐφήμου, τρίτος ὁ σὺν Βάττῳ, τέταρτος ὁ κατὰ τὸν Ἀρκεσίλαον, ὃν ξενολογήσαντα [2]) ἔπεμψεν ὁ βασιλεὺς καὶ τὸν Πυθικὸν ἀγῶνα ἀγωνιούμενον.

459. Ἄν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ νᾶσον] Χαῖρις βούλεται γράφειν ἔν ποτε ἀντὶ τοῦ ἄν ποτε, κατὰ τὴν Πινδάρου συνήθειαν. τὸ δὲ ἑξῆς· οἱ δὲ ἀπὸ τῶν ἡρώων γεγενημένοι παῖδες καὶ τοῖς Λακεδαιμονίοις μιχθέντες κατὰ τὴν ζήτησιν τῶν πατέρων παρέβαλον εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὴν Καλλίστην ποτὲ χρόνῳ ἀπῴκησαν. Καλλίστην δὲ τὴν Θήραν φησὶ Καλλίμαχος· [3])

Καλλίστη τοπάροιθε, τὸ δ' ὕστερον οὔνομα Θήρη.

461. Ἔνθεν δ' ὕμμι] ἐντεῦθεν δὲ, ἐκ τῆς Θήρας τῷ σῷ γένει, Ἀρκεσίλα, ὁ Ἀπόλλων χρησμοῖς καὶ μαντείαις δέδωκε σὺν θεῷ τὸ τῆς Λιβύης πεδίον τιμαῖς αὔξειν καὶ τὸ θεῖον πόλισμα [4]) διοικεῖν τῆς τίμιον ἐχούσης θρόνον Κυρήνης· ἵνα ἐπὶ τὴν Νύμφην τὸν λόγον ἀνάγωμεν. § ἐλλείπει ὁ τὲ, ἵν' ᾖ· ἄστυ τε χρυσοθρόνου. τὸ ἑξῆς· διανέμειν δέδωκεν ὑμῖν τὴν Κυρήνην καὶ διοικεῖν [5]) συνετὴν γνῶσιν εὑροῦσιν.

467. Γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν] προτρέπεται τὸν Ἀρκεσίλαον ὁ Πίνδαρος συνορᾶν αὐτοῦ τὸ αἴνιγμα. τὸ γὰρ τὰν Οἰδιπόδα σοφίαν τοῦτο βούλεται, ὅτι κἀκεῖνος τὸ τῆς Σφιγγὸς αἴνιγμα ἔλυσεν. ὃ δὲ αἰνίττεται, τοιοῦτόν ἐστιν. ἐστασίασάν τινες ἐν τῇ Κυρήνῃ κατὰ τοῦ Ἀρκεσιλάου, βουλόμενοι αὐτὸν μεταστῆσαι τῆς ἀρχῆς· ὁ δὲ ἐπικρατέστερος αὐτῶν γενόμενος ἐφυγάδευσεν αὐτοὺς τῆς πατρίδος. ἐν τοῖς οὖν στασιώταις ἦν καὶ Δημόφιλος, ὃς καὶ αὐτὸς ἀνάστατος γέγονε τῆς πατρίδος, καὶ φυγαδευθεὶς ἔρχεται εἰς Θήβας καὶ ἀξιοῖ τὸν Πίνδαρον· τινὲς δὲ, ὅτι καὶ τὸν μισθὸν τοῦ ἐπινίκου δίδωσι τῷ Πινδάρῳ αὐτός· ὥστε τῇ τοῦ ἐπινίκου γραφῇ διαλλάξαι αὐτὸν πρὸς τὸν Ἀρκεσίλαον. [6]) ἦν δὲ αὐτῷ καὶ πρὸς γένους.

468. Εἰ γάρ τις ὄζους] περὶ Δημοφίλου ἀπολογεῖται τὸ αἴνιγμα. εἰ γάρ τις, φησὶ, περικόψει δρῦν, ὅμως δὲ καὶ τὸν καρπὸν ἀποβεβληκυῖα φέρει περὶ ἑαυτῆς ψῆφον γενομένη ἢ οὐδὸς ἤ τι ἄλλο τοιοῦτον. ὡς καὶ Ὅμηρος· [7]) Οὐδόν τε δρύϊνον προσεβήσατο. ἢ τὸ πανέσχατον, εἴ ποτε πυρὸς χειμερίου χρεία γένηται, πρὸς ἁλίαν χρήσιμός ἐστιν. § Ἄλλως. ὁ δὲ νοῦς· εἰ γάρ τις μεγάλης δρυὸς ἐκκόψει κλάδους καὶ καταισχύνει αὐτῆς τὸ θαυμαστὸν εἶδος τῇ τῶν ἀκρεμόνων περικοπῇ, ὅμως καὶ φθινόκαρπος [8]) οὖσα ψῆφον περὶ αὐτῆς δίδωσιν, ὅτι δύναται εἴς τι χρησιμεύειν καὶ ἄκαρπος οὖσα, ὅταν αὐτὴ κατὰ τὸν χειμῶνα πῦρ λοίσθιον ἐπιγένηται.

1) Adde ἄν. 2) Scribe ξενολογήσοντα. 3) Fragm. 112. 4) Gott. πολίτευμα. 5) E Gott. in quo ἄστυ δέ: deinde addidi καὶ post Κυρήνην. 6) Scholium hoc inde a verbis ὁ δὲ αἰνίττεται habet etiam Pal. C. 7) Odyss. φ, 45. 8) Vulgo φθινόπωρος. Quod recepi, coniecerat Schneiderus et praestat Gott.

Digitized by Google

477. Μόχθον ἄλλοις] τοῖς βαστάζουσιν ἢ τοῖς ληστεύειν βουλομένοις, διὰ τὸ μηκέτι δύνασθαι ἐστεγασμένης τῆς οἰκίας. [1])

480. Ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος] οὐχ ὅτι ἰατὴρ, ἤτοι ἰατρὸς, ἦν ὁ Ἀρκεσίλαος, ἀλλ' ὅτι ἐνόσει τὴν φυγὴν ὁ Δημόφιλος. φησὶ γοῦν· δεῖ αὐτὸν πρὸς σοῦ θεραπεύεσθαι. § Ἄλλως. θεραπευτικὸς εἶ τῆς παρούσης καταστάσεως· τοῦτο γὰρ δηλοῖ τὸ ἐπικαιρότατος.

481. Παιάν τέ σοι τιμᾷ] ὁ δὲ Ἀπόλλων σοι τετίμηκε τὴν ζωήν. τῇ μὲν τροπῇ ἐπιμένει διόλου· ἰατρικῆς γὰρ προστάτης ὁ θεός. § Ἄλλως. Παιάν τέ σοι· καὶ αὐτός σοι ὁ Παιὰν τὴν εἰς τοῦτο δύναμιν παρέχεται. ποιεῖται δὲ τὸν λόγον ὑποψίας ἐνεστώσης τοῖς Κυρηναίοις πρὸς τὸν Ἀρκεσίλαν καὶ ταραττομένων αὐτῶν ὑπ' ἐκείνου ἢ ἐλαττουμένων παραιτούμενος καταστῆσαι τὴν πόλιν ἐπὶ τὸ ἀρχαῖον.

482. Χρὴ μαλακάν] προσήκει σε πραεῖαν ἐπιφέροντα τὴν χεῖρα θεραπεύειν τὴν τοῦ ἕλκους τρῶσιν, καὶ μὴ τὰς ἀλγηδόνας τρίβειν. § καὶ ταῦτα μεταφορικῶς ἀκουστέον. δεῖ, φησὶν, μαλακὴν προσφέροντα τὴν χεῖρα τὴν τοῦ ἕλκους τρῶσιν θεραπεύειν.

484. Ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι] τὸ μὲν γὰρ διασεῖσαι πόλιν καὶ τοῖς ἀσθενεστέροις ῥᾴδιόν ἐστι, μή τοί γε δὴ τοῖς ἐν δυνάμει κειμένοις· οἷον εἰώθαμεν λέγειν, τὸ κακὸν ῥᾴδιον ποιῆσαι· ἀλλὰ διασεισθεῖσαν πόλιν ἐπὶ χώρας καταστῆσαι δυσχερές ἐστιν, ἐὰν μὴ θεὸς ἡγῆται τοῖς δυναστεύουσιν εἰς τὸ αὐτὸ πειρωμένοις ἀγαγεῖν κατάστημα.

489. Τὶν δὲ τούτων] διπλῆ ἐστιν ἡ διάνοια. καὶ οἱ μὲν οὕτως ἀποδεδώκασι· σοὶ δὲ τούτων αἱ χάριτες καταπράττονται, ἐὰν τῆς Δημοφίλου φυγῆς φροντίσῃς. οἱ δὲ οὕτως· ὅτι μάλιστα παρὰ σοῦ αἱ τοιαῦται χάριτες γίνονται καὶ πράξεις περὶ τῶν διοικουμένων [2]) ἐν τῇ βασιλείᾳ. § Ἄλλως. σοὶ δὲ τοῦ κυβερνᾶσθαι ὑπὸ θεῶν ἐκτελοῦνται χάριτες. ἢ οὕτω: σοὶ δὲ καὶ τοῦ κατορθῶσαι ὑπὸ θεῶν αἱ χάριτες ὑπόκεινται. ἢ καὶ οὕτω· σοὶ δὲ καὶ τοῦ κατορθῶσαι τὴν πόλιν αἱ χάριτες ἐξυφαίνονται ὑπὸ θεῶν ἢ παρὰ θεῶν κατασκευάζονται, τουτέστιν ἔχεις παρὰ θεῶν δεδωρημένον τὸ δύνασθαι τὴν πόλιν εἰς τὸ ἀρχαῖον ἀποδοῦναι κατάστημα.

491. Τλᾶθι] ἰδίως τῷ τλᾶθι κέχρηται ἀντὶ τοῦ ὑπόμενε καὶ πρᾴως φέρε τὰ ἡμαρτημένα. § ὑπόμεινον περὶ τῆς εὐδαίμονος Κυρήνης πᾶσαν ἔχειν σπουδὴν, ὡς καὶ τῆς πόλεως λυπουμένης καὶ ζητούσης τοὺς φυγαδευθέντας πολίτας, καὶ ὀφείλοντος αὐτοῦ τιμῆσαι τὸ δαιμόνιον.

493. Τῶν δ' Ὁμήρου καὶ τόδε] τῶν δὲ Ὁμήρου καὶ τόδε σύνες τὸ ῥῆμα, οἷον κατὰ μνήμην ἔχε καὶ τίμα. διὰ γὰρ τοῦ πόρσυνε καὶ τόδε ἀκουστέον. ἐκείνου δὲ τοῦ ἔπους μέμνηται τοῦ [3])

Ἐσθλὸν καὶ [4]) τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.

τοῦτο δὲ πρὸς ἑαυτὸν ὁ Πίνδαρος ἀνάγει, ὅτι ὀφείλεις μοι πεισθῆναι πρεσβεύοντι ὡς ἀγαθῷ ἀγγέλῳ.

496. Αὔξεται καὶ Μοῖσα] ἀντιστρόφως εἶπε· θέλει γὰρ εἰπεῖν· αὔξεται δ' ἡ

1) Inepta sane nota e Gott. qui ἐν ἄλλοις] ἀλλᾶ τοῖς β. 2) Gott. ἀδικουμένων. 3) Iliad. o, 207. 4) Sic Gott.

Digitized by Google

ἀγγελία, διὰ μουσικῆς τῆς ἑαυτοῦ. § αὔξεται καὶ ὀρθὴ γίνεται ἡ ἀγγελία, τουτέστι διὰ τῆς ποιήσεως· αὕτη γὰρ ἡ ἀγγέλλουσα καὶ συμβουλεύουσα τῷ Ἀρκεσίλᾳ διαλύσασθαι πρὸς τοὺς πολίτας. § ὁ δὲ λόγος· αὔξεται καὶ ἡ ποίησις δι' ὀρθῆς ἀγγελίας καὶ παιδείας. § ἐμοὶ δὲ μετὰ τοῦ εἶναι ἄγγελον ἀγαθὸν μεσιτεύοντα καλῶς ἔνεστι καὶ ἡ Μοῦσα. ἤγουν, ἐγκωμιαστής εἰμι σός. καὶ ἐὰν τῷ ἁπλῶς ἀγαθῷ ἀγγέλῳ, ὡς ὁ Ὅμηρος, τιμὴν ἀπονέμομεν, ἐκείνῳ μεσιτεύοντι ὑπακούοντες, πόσῳ μᾶλλον ἐμοὶ δέον σοι πείθεσθαι, τῷ καὶ ἐγκωμιαστῇ τυγχάνοντι σῷ καὶ καλῶς ὑπὲρ τοῦ Δημοφίλου ἱκετεύοντι; [1])

497. Ἐπέγνω μέν] ἀντὶ τοῦ ἐπειράθη, οἷον γνῶσιν ἔσχεν. § Ἄλλως. ἐπέγνω μὲν καὶ ἡ Κυρήνη καὶ ὁ τοῦ Βάττου οἶκος, τουτέστι τὸ σὸν ὦ Ἀρκεσίλαε οἴκημα, [2]) τὴν δικαιοσύνην τῶν Δημοφίλου φρενῶν. ἤτοι δὲ δικαίαν παροξυτόνως, ἵν' ᾖ τὴν δίκην, ὡς καὶ τὴν ἀρχὴν ἀρχαίαν παραγώγως· ἢ περισπωμένως, ἵν' ᾖ δικαίων Δημοφίλου πραπίδων.

501. Κεῖνος γὰρ ἐν παισὶ νέος] ἐκεῖνος γὰρ ὁ Δημόφιλος ἐν μὲν παισὶ τὴν ἡλικίαν νεώτερός ἐστιν, ἐν δὲ φρεσὶ πρεσβύτερος τὸ φρόνημα, ὥσπερ ἂν ἑκατονταετεῖ χρόνῳ ἐπιτυχών· οἱονεὶ οὕτω φρόνιμός ἐστιν ὥσπερεὶ ἑκατονταετὴς ἀνήρ. § Ἄλλως. οὕτως ἐστὶ φρόνιμος ὡς πολυετὴς ἀνήρ. ἐὰν δὲ κυρίως ἀκούηται, ἀπεμφαίνει· ὁ γὰρ ἑκατονταετὴς παραφρονεῖ. δεῖ οὖν μεταλαμβάνειν εἰς τὸ πολυετής. ὡς τὸ [3]) Οὐδ' ἂν νηῦς ἑκατόνζυγος, ἡ πολύζυγος.

504. Ὀρφανίζει μέν] ἐρημοῖ, ἀποχωρίζει, τουτέστιν ἥκιστα κακολογεῖ· οἷον, τῆς ἐλευθερίου φωνῆς τὴν κακὴν καὶ λοίδορον γλῶσσαν χωρίζει, ἤτοι οὐκ ἔστιν ὑβριστής. § ὁ δὲ νοῦς· ἀποχωρίζει μὲν τῆς ἐλευθερίου αὐτοῦ φωνῆς τὴν κακογλωσσίαν, ἔμαθε δὲ βδελύττεσθαι τοὺς ὑβριστὰς, οὔτε μὴν τοῖς ἀγαθοῖς ἐξεναντίας φιλονεικεῖ, οὐδὲ τὸ τῶν πραγμάτων τέλος πρὸς ἄνυσιν μηκύνει· ὁ γὰρ ἐν ἀνθρώποις καιρὸς, οἱονεὶ βίος, βραχὺ ἔχει τὸ μέτρον. οἱονεὶ, ἡ τῶν πραγμάτων εὐκαιρία ῥᾳδίαν ἔχει τὴν παραδρομήν. § Ἄλλως. τῆς ἑαυτοῦ φανερᾶς καὶ ἐκλάμπρου φωνῆς ὀρφανίζει τὴν κακὴν γλῶτταν, ὅ ἐστι τὴν κακολογίαν. § ἢ οὕτω· τὴν κακὴν γλῶσσαν τῆς φανερᾶς φωνῆς ὀρφανὴν ποιεῖ· οἷον οὐδὲν φθέγγεται κακόν. [4])

507. Οὐκ ἐρίζων ἀντία] τὸ χ', ὅτι ἐκ τῶν Ἡσιόδου Ἔργων [5]) εἴληπται· ἐκεῖνος γὰρ παραινεῖ μὴ ὁμιλεῖν τοῖς κακοῖς μηδὲ ἐπιπλήττειν μηδὲ ψέγειν τοὺς ἀγαθούς·

Μηδὲ κακῶν ἕταρον, μήδ' ἐσθλῶν νεικητῆρα.

Ὅμηρος δὲ τὸν Θερσίτην εἰσήγαγε φιλόκακον καὶ μισάγαθον· ὅσους γὰρ ὁ ποιητὴς ἐγκεκωμίακε κατ' ἀρετὴν, τούτους ἔψεγε. διὸ καὶ ἔλεγεν· [6])

Ἔχθιστος δ' Ἀχιλῆϊ μάλιστ' ἦν ἠδ' Ὀδυσῆϊ.

508. Ὁ γὰρ καιρός] ἡ εὐκαιρία βραχὺ μέτρον ἔχει, οὐκ ἐπιπολὺ τοῖς ἀνθρώποις παρατεῖνον ἔχει τὸ μέτρον, ἀλλὰ σπάνιόν ἐστι, καὶ βραχὺς ὁ χρόνος· διὸ καὶ δεῖ, ὅτε ἔξεστιν, αὐτὸν λαμβάνειν. [7])

510. Εὖ νιν ἔγνωκε] πολλαὶ κατὰ τοῦτο τὸ ῥητὸν ἐξηγήσεις προεχώρησαν. τῷ

1) Ex Pal. C. 2) Sic Heynius e Gott. Vulgo ὄνομα. 3) Iliad. υ, 247. 4) Post haec cum Gott. omisi verba aliquot inepta. 5) Opp. et D. 714. 6) Iliad. β, 220. 7) Quae sequebantur ab hoc loco aliena, omisi cum Gott.

Digitized by Google

καιρῷ ἕπεται, φησὶν, ὁ Δημόφιλος οὐχ ὡς δράστας, ὅ ἐστι δραπέτης, οὐ πανουργῶν· οὐδὲ τὰ παρ' αὐτοῦ προστασσόμενα ὑπερτιθέμενος καὶ ἀναβαλλόμενος τὰ προσπίπτοντα. § Ἄλλως. οὐκ ἀποδιδράσκει τὸν καιρὸν ὁ Δημόφιλος, ἀκολουθεῖ δὲ, φησὶν, αὐτῷ ὁ καιρὸς [1]) θεράπων, οὐ δράστης, ἀλλὰ παράμονος, τουτέστιν οὐ παρέρχεται αὐτὸν, ἀλλὰ πάντα τὰ καίρια οἶδεν. § εὖ καὶ καλῶς καὶ ἐγκαίρως πράττοντα ἔγνω αὐτὸν ὁ καιρὸς, ὀπηδεῖ δὲ καὶ ἀκολουθεῖ αὐτῷ ὡς θεράπων, οὐχὶ δράστης καὶ φυγὰς, ἀλλὰ θεράπων εὔνους καὶ ἀγαθός. ἤγουν συνεργὸν κέκτηται καὶ αὐτὸν τὸν καιρὸν ἐν παντὶ πράγματι. [2])

511. Φαντὶ δ' ἔμμεν] φασὶ δὲ τοῦτ' ἀνιαρότατον εἶναι τὸ γινώσκοντά τινα τὰ καλὰ τῇ ἀνάγκῃ ἤτοι δι' ἀνάγκην τούτων ἐκτὸς εἶναι, καὶ μηδὲν ἀπολαύειν αὐτῶν δύνασθαι, ἐφόσον βούλεται. ὅτι καὶ ὁ Δημόφιλος εἰδὼς τὰ τῆς πατρίδος καλὰ, ἀνάγκῃ τῆς φυγῆς οὐκ ἐχρήσατο αὐτοῖς. § Ἄλλως. χαλεπόν ἐστι, φησὶ, τὸ γινώσκειν ὅ,τι καλὸν μὲν, μὴ πράσσειν δὲ αὐτό. τὸ γὰρ ἔξω πόδας ἔχειν τοιοῦτόν ἐστι, μήτε ἐν αὐτῷ εἶναι τῷ εὖ πράττειν, ἀλλ' ἐξ ἀνάγκης αὐτὸ προΐεσθαι. [3]) § ἢ οὕτω· λυπηρὸν, τὸν καλῶς ποιοῦντα κακῶς ἀκούειν.

514. Καὶ μὰν κεῖνος Ἄτλας] τοῦτό φησιν ἀντὶ τοῦ, καὶ παρὰ θεοῖς τὰ πράγματα ποικίλας ἔχει τὰς μεταβολάς· ὁ γοῦν Ἄτλας κακῶς πάσχει τὸν οὐρανὸν βαστάζων, πρότερον εὐτυχῶν. § Ἄλλως. λείπει τὸ ὡς. διὰ δὲ τούτου βούλεται σημαίνειν, ὅτι οὐκ ἀεὶ τὰ αὐτὰ μένει τῶν πραγμάτων, οὐχ ὅτι παρὰ ἀνθρώποις, ἀλλ' οὐδὲ παρὰ θεοῖς. § Ἄλλως. καὶ μὴν καὶ ὁ Δημόφιλος τοσοῦτον ἔχει τὸ τῆς φυγῆς ἄχθος, ὅσον καὶ ὁ Ἄτλας τῷ βάρει πιεζόμενος διηνεκῶς προσπαλαίει τῷ οὐρανῷ. φέρει δὲ τῷ Ἄτλαντι ὅμοιον ἄχθος Δημόφιλος τῆς πατρίδος καὶ τῶν κτημάτων μακρὰν χωρισθείς.

518. Λῦσε δὲ Ζεὺς ἄφθιτος] τοῦτο πρὸς τὴν παράκλησιν ἁρμόζει, ὅτι καὶ τοὺς Τιτᾶνας Ζεὺς ἔλυσεν ὑπὸ τοῦ Κρόνου δεθέντας. § Ἄλλως. ταῦτα εἴρηκε πρὸς τὸ μὴ δεῖν ἐν ταῖς τιμωρίαις ἀδιάλλακτον ἔχειν τὸ ἔχθος, μηδὲ ἀθανάτους ἔχειν τὰς λύπας. ἀπέλυσε δέ ποτε, φησὶ, καὶ ὁ Ζεὺς τοὺς Τιτᾶνας τῆς τιμωρίας, καίτοι ἐπιθεμένους αὐτοῦ τῇ ἀρχῇ καὶ μεταστῆσαι βουληθέντας. ἐγκαλοῦσι δέ τινες τῷ Πινδάρῳ, ὅτι οὐκ οἰκείως ἐπὶ τῆς διαλλαγῆς τὸν Ἄτλαντα παρείληφε· διηνεκῶς γὰρ μοχθεῖ.

519. Ἐν δὲ χρόνῳ μεταβολαί] μεταβολαὶ δὲ γίνονται ἀνέμων ἐν χρόνῳ, ἐν χρόνῳ δὲ καὶ τὸ ἱστίον τῆς νεὼς εὐδιεινὴν ἔχει μεταβολὴν τοῦ χειμερινοῦ λωφήσαντος ἀνέμου.

521. Ἀλλ' εὔχεται οὐλομέναν νοῦσον] ἀλλὰ κατεύχεται ὁ Δημόφιλος ταύτην τὴν ἐνεστῶσαν ὀλεθριωτάτην νόσον τῆς φυγῆς διαντλήσας καὶ ἀποφυγὼν τὸν κατὰ τὴν Κυρήνην οἶκον θεάσασθαι, καὶ ἐπὶ τῇ τοῦ Ἀπόλλωνος κρήνῃ πάλιν συνήθως συμποσιάσαι καὶ τὴν ψυχὴν ἐκδοῦναι πρὸς φιλοφροσύνην καὶ συμπόσια.

523. Ἐπ' Ἀπόλλωνος] Ἀπόλλωνος κρήνην φησὶν, ἧς καὶ Καλλίμαχος μνημονεύει·

Οἱ δ' οὔπω πηγαῖσι Κυρῆς ἐδύναντο πελάσσαι
Δωριέες. [4])

1) Legendum videtur τῷ καιρῷ. 2) Ex Pal. C. 3) Recepi coniecturas Heynii. Vulgo τὸ εὖ πράττειν et προεῖσθαι. 4) E Gott. in quo φασὶν, deinde Κυρήνης et πελάσσαι. Locus est Hymn. in Apoll. 88.

Digitized by Google

526. Πολλάκις ἔν τε σοφοῖς] διόλου ἀπὸ κοινοῦ ληπτέον τὸ εὔχεται. εὔχεται, φησὶ, πολλάκις τὴν πεποικιλμένην κιθάραν ἐν σοφοῖς βαστάζων καὶ μουσικευόμενος ἐν τοῖς πολίταις λοιπὸν ἐν ἡσυχίᾳ εἶναι, μήτε τινὶ κακὸν προστριψάμενος καὶ αὐτὸς δὲ ἀβλαβὴς ὢν τὸ λοιπὸν πρὸς τοὺς πολίτας. § Ἄλλως. δαιδαλίαν φόρμιγγα, φησὶ, βαστάζων, ὥστε ἀπαγγεῖλαι τὰ ὑπὸ Πινδάρου αὐτῷ δεδομένα ποιήματα. θέλει δὲ εἰπεῖν, ὅτι καὶ μουσικός ἐστιν.

528. Ἡσυχίᾳ θιγέμεν] ἀντὶ τοῦ ἡσυχίας. σύνηθες δὲ τὸ σχῆμα τῷ Πινδάρῳ. [1])

530. Καί κε μυθήσαιτο] καὶ δὴ εἴποι ἄν σοι, ὁποίαν εὗρε πηγὴν θείων ἐπῶν. τοῦτο δὲ ὡς πρὸς ἑαυτὸν, ὅτι θαυμαστῶς γράφει.

533. Πρόσφατον Θήβᾳ] ἀρτίως ἐπιξενωθεὶς καὶ ἐπιδημήσας ταῖς Θήβαις. παραγέγονε γὰρ πρὸς τὸν Πίνδαρον ὁ Δημόφιλος, ἵνα αὐτὸν ἀξιώσῃ διὰ τοῦ ὕμνου διαλλάξαι αὐτὸν πρὸς τὸν Ἀρκεσίλαον.

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Ε'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πέμπτου τῶν Πυθίων εἴδους.

Τῆς πέμπτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιδ'. [2]) Τὸ α' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β' περιοδικόν· ἢ λέγεται διπλοῦς ἴαμβος. Τὸ γ' [3]) δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον. Τὸ δ' ὅμοιον τῷ αὐτῷ. Τὸ ε' τροχαϊκὸν μονόμετρον [4])

1) E Gott. 2) Vulgo ιγ': sed Triclinium cola XIV fecisse apparet ex iis, quae in sequenti nota observo. Errorem animadvertit etiam Calliergus, cuius haud dubie ea sunt, quae in fine scholiorum ad hoc carmen adscripta leguntur: Εἰ τὸ περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ παρόντος εἴδους ἐν ἀρχῇ γεγραμμένον διωρίσατο τὰ κῶλα αὐτῶν εἶναι τριακαίδεκα, ἡμεῖς δὲ εἰκότως ταῦτα ιδ' ἐποιήσαμεν, μὴ θαυμάσητε περὶ τούτου, ἀλλὰ τὴν μετὰ πολλοῦ πόνου ἐπιμέλειαν, ἣν εἰς τὴν τοῦ Πινδάρου ἐπιδιόρθωσιν ἔχων διατελῶ· δι' ἧς τὰ κῶλα τοσαῦτα εὑρὼν, ὀρθῶς διεχώρισα, μὴ πεισθεὶς τῷ παλαιῷ ἀντιγράφῳ, καὶ ἀγαθῷ ὄντι. ἔλεγε γὰρ ἐν τῷ τέλει τῆς ἐξηγήσεως· Γέρας ἐπὶ Βάττου γένει· Ἰστέον ὅτι οὐκ ἔχει τὴν ποσότητα τῶν κώλων. ἐγὼ δὲ οὐχ οὕτως, ἀλλ' οὐδὲν ἐκλείπει, ὡς δέδεικται ἐν τῇ ὑφ' ἡμῶν γενομένῃ ἀψευδεῖ τῶν κώλων διαιρέσει τοῦ αὐτοῦ εἴδους. Ultimorum verborum sensus est, in fine scholiorum non metricorum, sed textum Pindari explicantium, hoc est ad versum Pindari Γέρας ἐπὶ Βάττου γένει, in libro annotatum esse: Ἰστέον ὅτι οὐκ ἔχει τὴν ποσότητα τῶν κώλων, nempe universum carmen; quae librarius adscripserat, strophas et antistrophas metricis notatis, ut vulgo legebantur, non convenire intelligens. Ego erroris fonte detecto bono Triclinio opem tuli. 3) Vulgo ἔστι δὲ, pro quo versuum ipsorum ratio postulabat τὸ γ'. Iam in seqq. ubi γ' fuit, dedi δ' etc. quae mutata erant, postquam in vss. 3. 4. turbatum fuit. Nunc sequentia mutatis ad hunc modum numeris versuum optime conveniunt, nec quidquam in iis mutandum est. 4) Sic vett. edd. et Pal. D. Novitiae editiones ex coniectura dedere δίμετρον, quo nihil perversius.

Digitized by Google

ὑπερκατάληκτον. Τὸ ς' παιωνικὸν [1]) δίμετρον ἀκατάληκτον. Τὸ ζ' ἀντισπαστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ η' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ θ' χοριαμβικὸν δίμετρον καταληκτικόν, ὅμοιον τῷ α'. [2]) Τὸ ι' ..... Τὸ ια' παιωνικὸν δίμετρον ἀκατάληκτον διὰ Κρητικοῦ, ὅ ἐστι παίων τέταρτος. Τὸ ιβ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιγ' ἰαμβικὸν δίμετρον καταληκτικόν, ὅ ἐστιν ἐφθημιμερές. Τὸ ιδ' τροχαϊκὸν δίμετρον καταληκτικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἐστὶ ιδ'. Τὸ α' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον. [3]) Τὸ β' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ γ' ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ δ' περιοδικόν, διπλοῦς τροχαῖος, ἀκατάληκτον. Τὸ ε' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ς' περιοδικόν· ἢ λέγεται διπλοῦς ἴαμβος. ἔστι δὲ τρίμετρον καταληκτικόν. Τὸ ζ' Γλυκώνειον. Τὸ η' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ θ' ἀντισπαστικὸν τρίμετρον [4]) βραχυκατάληκτον. ἰδίως δὲ ἐπήνεγκεν αὐτῷ τοὺς τροχαίους. Τὸ ι' ἀντισπαστικὸν δίμετρον [5]) βραχυκατάληκτον. Τὸ ια' παιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ' ὅμοιον τῷ αὐτῷ. Τὸ ιδ' χοριαμβικὸν δίμετρον καταληκτικόν, ὅμοιον τῷ α' τῆς στροφῆς.

Ἀρκεσιλάῳ Κυρηναίῳ.] Γέγραπται καὶ αὕτη ἡ ᾠδὴ νικήσαντι τῷ αὐτῷ Ἀρκεσιλάῳ ἅρματι τὴν τριακοστὴν πρώτην Πυθιάδα. ἐπειδὴ δὲ διήγημα μᾶλλον ἐν τῷ πρώτῳ ἐπινίκῳ ἤπερ ἐγκώμιον πεποίηται τῷ Πινδάρῳ καὶ παρέκβασις διηγηματικὴ τῶν κατὰ Ἰάσονα, ἐδέησεν αὐτῷ καὶ δεύτερον γράψαι ἐπίνικον.

1. Ὁ πλοῦτος εὐρυσθενής] τὸν μετὰ ἀρετῆς πλοῦτόν φησιν εὐρυσθενῆ εἶναι. τὸ γὰρ ἕτερον ἄνευ τοῦ ἑτέρου οὐκ ἀσφαλές ἐστιν, ὡς καὶ Καλλίμαχος· [6])

Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
Οὔτ' ἀρετὴ ἀφένοιο.

καὶ ἡ Σαπφώ· Ὁ πλοῦτος ἄνευ ἀρετᾶς οὐκ ἀσινὴς πάροικος. [7]) § Ἄλλως. μόνον οὕτως ὁ πλοῦτος εὐρυσθενής ἐστιν ὄντως καὶ μέγα ἰσχύει, ἐὰν κεκραμένος ἀρετῇ ὑπάρχῃ. πολύφιλον δέ φησιν αὐτὸν ἑπέταν, ἐπειδὴ τῷ πλουτοῦντι πολλοὶ ἕπονται. οὕτω δὲ Ἀρίσταρχος. ἔστι μὲν χωρὶς τὸ πολύφιλον λέγειν, χωρὶς δὲ τὸ ἑπέταν. τοιοῦτός ἐστι τῷ ἔχοντι ὀπαδὸς, ὥστε πολλοὺς φίλους ποιεῖν. ἔστι δὲ καὶ συναμφότερα ἀκούειν· ᾧ πολλοὶ φίλοι ἕπονται. § πολύφιλον ἑπέταν, ᾧ πολλοὶ φίλοι ἕπονται· τὸ δὲ ἀνάγῃ τὸ αὐτὸ τῷ αὔξει.

1) Vett. edd. Ἰωνικὸν, male. 2) Vulgo τὸ θ' (hoc est ι') ὅμοιον τῷ α': sed manifestum est delendum esse illud τὸ θ' sive ι', et verba ὅμοιον τῷ α', quae Pal. D. omittit, idem valere quod χοριαμβικὸν δίμετρον καταληκτικόν, et ad eundem, quo illud, versum pertinere. Deinde addidi Τὸ ι' et lacunam posui: nam de vs. 10. quae Triclinius scripserat, perierunt. 3) Sic recte libri: locum corruperant novitii editores. 4) Sic libri. 5) Sic vett. edd. 6) In Iov. 95. 7) Volger. Fragm. Sapph. p. 113 sqq. Mus. crit. Cantabr. T. I, p. 17.

Digitized by Google

§ ἢ ἐν τῷ καθόλου τὸν πολύφιλον πλοῦτον, ἢ ὅταν πολυφίλως αὐτὸν ἀνάγῃ, ὅτι πολύφιλοι οἱ πλούσιοι. § ἢ οὕτω· τὸν τοῖς ἐκ χρείᾳ καθεστηκόσιν ἑπόμενον. § Ἄλλως. ὁ νοῦς· ὁ πλοῦτος ἄγαν ἰσχυρότατός ἐστιν, ὅταν τις ἀνθρώπων ἀρετῇ συγκεκραμένον καθαρᾷ τῆς τύχης αὐτὸν παραδούσης ἀνάγῃ πολύφιλον ὄντα, καὶ διδῷ τοῖς ἐν χρείᾳ καθεστηκόσιν.

6. Ὦ θεόμοιρε] ὦ ἐκ θεοῦ ταύτην ἔχων τὴν μοῖραν. ὅ ἐστιν ἐκ θεῶν εἰληφὼς τὴν βασιλείαν, αὐτὸν τὸν πλοῦτον ἀπ' ἄκρων βαθμίδων τοῦ αἰῶνος, τουτέστιν ἀπ' ἀρχῆς τοῦ βίου καὶ ἀφ' οὗ ἐγνωρίσθης τῷ βίῳ, σὺν εὐδοξίᾳ μετέχῃ, ὅτι οὐκ εἰς ῥαθυμίαν αὐτῷ χρώμενος εἶ, ἀλλ' εἰς τὰ δοξάζειν δυνάμενα, ἱπποτροφίας καὶ τὰ τοιαῦτα. διατί δὲ σὺν Κάστορι; ἢ ὅτι ἱππικὸς ὁ θεός· καὶ Ὅμηρος, [1]). Κάστορά θ' ἱππόδαμον· ὁ δὲ Ἀρκεσίλαος ἱπποτρόφει· δοκεῖ δὲ πρῶτος ξυνωρίδα καταζεῦξαι Κάστωρ· ἢ ὅτι ἄνωθεν οἱ Βαττιάδαι καὶ Ἀριστοτέλης Λάκωνες ἦσαν, ὅθεν καὶ οἱ Τυνδαρίδαι· ἀπὸ γὰρ Λακώνων εἰς Θήραν ἦλθον, ἀπὸ δὲ τῆς Θήρας εἰς Κυρήνην· ἢ ὅτι ἐπιφανῶς ἄγουσιν οἱ Κυρηναῖοι τὰ Διοσκούρεια Βάττου πρώτου καταδείξαντος τὴν εὐχήν. § Ἄλλως. κέλητα καὶ χαλινὸν πρῶτος Βελλεροφόντης κατέζευξε, ξυνωρίδα Κάστωρ, ἅρμα Ἐριχθόνιος ὁ Ἀθηναῖος, ἀστράβην Ὀξύλος ὁ Αἰτωλός.

12. Εὐδίαν ὃς μετὰ χειμέριον] ὁ Κάστωρ σοι εὐδίαν παρασκευάζει. ὑπαινίττεται δὲ τὸν τῶν Κυρηναίων νεωτερισμόν· στάσις γὰρ ἐνέπεσεν αὐτῷ πρὸς τὸν δῆμον· ὃν δὴ χειμῶνα ἔφη. διχόθεν ὁ Κάστωρ εὐμενής σοί ἐστιν, εἴς τε τὴν εὐδίαν, [2]) ἐκ χειμῶνος κατάστασιν, καὶ εἰς τὴν ἱππικὴν νίκην. § Ἄλλως. Εὐδίαν ὅς· ὅστις ὁ Κάστωρ μετὰ τὸν χειμερινὸν ἐκεῖνον ὄμβρον τῶν πραγμάτων περὶ τὴν σὴν μακαρίαν ἑστίαν καταλάμπει. τοῦτο δέ φησιν, ὅτι ἐστασίαστο τὰ περὶ τὴν Κυρήνην πράγματα τῷ Ἀρκεσίλᾳ κατ' ἐκεῖνο καιροῦ.

15. Σοφοὶ δ' ἔτι κάλλιον] διδόασι, φησίν, οἱ θεοὶ τοῖς ἀνθρώποις ἀγαθά, οἱ δὲ σοφοὶ καλλίονα ποιοῦσιν αὐτὰ προσεπικοσμοῦντες διὰ τὴν αὐτῶν ἀρετήν.

16. Φέροντι καὶ τὰν θεόσδοτον] ἀντὶ τοῦ φέρουσι καὶ ποιοῦσι. τὸ δὲ σημεῖον χ', ὅτι θεόσδοτον τὸν πλοῦτον εἶπεν ἀντὶ τοῦ θεόδοτον.

17. Σὲ δ' ἐρχόμενον ἐν δίκᾳ] σὲ δὲ δικαίως ζῶντα πολὺς σὺν εὐδαιμονίᾳ πλοῦτος περιέχει.

19. Τὸ μέν, ὅτι βασιλεύς ἐσσι] τοῦτο Ἀττικὸν τὸ σχῆμα· τοῦτο μέν, ὅτι βασιλεὺς εἶ μεγάλων πόλεων, ἔχει σου ὁ συγγενὴς ὀφθαλμὸς γίρας αἰδοιέστατον, τουτέστιν ὁ ἴδιός σου ὀφθαλμὸς βλέπει περὶ σὲ ὄν [3]) τὸ γίρας τῆς βασιλείας αἰδοιέστατον, οἷον βλέπει σεαυτὸν τιμώμενον· δύκαται γὰρ ἀπὸ τοῦ ὀφθαλμοῦ τὸ ὅλον σῶμα σημαίνεσθαι· καὶ κατὰ τοῦτο δὲ μακάριος εἶ, ὅτι τὰ Πύθια ἐνίκησας.

24. Μάκαρ δὲ καὶ νῦν κλεεννᾶς] μακάριος δὲ τυγχάνεις καὶ ἐπὶ τοῦ παρόντος, ὅτι τῆς εὐδόξου Πυθιάδος τὴν δόξαν τοῖς ἵπποις λαβὼν ἐδέξω καὶ τοῦτον τὸν κῶμον καὶ ὕμνον παρὰ τῶν χορευτῶν, ὄντα Ἀπόλλωνος παίγνιον, ἤτοι ὅτι Μουσηγέτης ὁ θεός· παιδιὰ γὰρ Ἀπόλλωνος ἡ χορεία· ἢ Ἀπόλλωνος ἄθυρμα τὴν νίκην· Ἀπόλλωνι γὰρ ἀνιέρωται ὁ ἀγών. λέγει δὲ ὅτι Πύθια νενίκηκεν.

[1]) Iliad. γ, 237. [2]) Vulgo εὐδαιμονίαν. [3]) Sic Gott. Vulgo περισσόν.

Digitized by Google

29. Τῷ μή σε λαθέτω Κυράνα] διὸ μή σε λανθανέτω ἡ Κυρήνη ἀνυμνουμένη.

31. Ἀμφὶ κᾶπον] κῆπον Ἀφροδίτης τὴν Κυρήνην φησὶν ὡς καλλίκαρπον καὶ διὰ τοῦτο ἐράσμιον καὶ ἐπαφρόδιτον· εἰ μὴ ἄρα τὸν τῶν Χαρίτων λόφον ὠνόμασεν οὗτος [1]) Ἀφροδίτης κῆπον. Καλλίμαχος· [2]) Ἢ ὑπὲρ αὐσταλέον Χαρίτων λόφον.

33. Παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν] ἐπὶ παντὸς πράγματος δεῖ τῷ θεῷ τὴν αἰτίαν ἀνάπτειν καὶ ὑπερτιθέναι καὶ φιλεῖν· οὕτως Ἀρίσταρχος ἀντὶ τοῦ φίλει· καὶ σὲ τοίνυν πρὸ μὲν πάντων τῷ θεῷ ἀνατιθέναι προσήκει, φιλεῖν δὲ παρὰ τοὺς ἄλλους ἑταίρους Κάρρωτον. ἔστι δὲ ἡνίοχος, ἐπιχώριον δὲ Κυρηναίοις τὸ ὄνομα. εἰσὶ δὲ οἱ καὶ τῷ Ἀρκεσιλάῳ γυναικὸς πατέρα εἶναι τὸν Κάρρωτον ἔφασαν. § Κάρρωτος ὄνομα κύριον, περὶ οὗ μέμνηται πρὸς τὸν Ἀρκεσίλαον· οἱ δὲ τὸν ἡνίοχον τούτου, ὃν φησιν ὁ Πίνδαρος [3]) τῆς Πυθιακῆς νίκης αἴτιον γενέσθαι τῷ Ἀρκεσιλάῳ, κατάγειν δὲ αὐτῷ καὶ στρατιωτικὸν ἀπὸ τῆς Ἑλλάδος ἀθροίσαντα. ταῦτα δὲ πιστοῦται παρατιθέμενος τὰ Θεοτίμου ἐκ τοῦ πρώτου περὶ Κυρήνης [4]) ἔχοντα οὕτω· Διαπίπτουσαν δὲ τὴν πρᾶξιν αἰσθόμενος ὁ Ἀρκεσίλαος καὶ βουλόμενος δι' αὐτοῦ τὰς Ἑσπερίδας οἰκίσαι πέμπει μὲν εἰς τὰς πανηγύρεις ἵππους ἀθλήσοντας Εὔφημον ἄγοντα, νικήσας δὲ τὰ Πύθια καὶ τὴν ἑαυτοῦ πατρίδα ἐστεφάνωσε καὶ ἐποίκους εἰς τὰς Ἑσπερίδας συνέλεγεν. Εὔφημος μὲν οὖν ἐτελεύτα· Κάρρωτος δὲ τῆς Ἀρκεσιλάου γυναικὸς ἀδελφὸς διεδέξατο τὴν τῶν ἐποίκων ἡγεμονίαν. ὁ τοίνυν Πίνδαρος τοῖς ἑταίροις καθομιλῶν τὸ καταπραχθὲν τῷ Εὐφήμῳ τῷ Καρράτῳ προσῆψε· μόνῳ γὰρ κατώρθωτο, φησίν, αὐτῷ ἀγαγόντι τὸ στρατιωτικόν. δόξειε δ' ἂν τούτοις συνᾴδειν καὶ τὸ μείζοσιν ἢ καθ' ἡνίοχον τοῖς περὶ αὐτοῦ λόγοις τὸν Πίνδαρον κεχρῆσθαι· ἑταῖρον γάρ φησι καὶ εὐεργέτην τοῦ βασιλέως, ὅπερ ἂν εἰκότως ἐπὶ κηδεστοῦ λέγοιτο ἢ ἐπὶ ἡνιόχου· φησὶ γάρ, Ἑκόντι τοίνυν πρέπει νόῳ τὸν εὐεργέτην ἀντιάσαι. [5]) οἱ δέ, αὐτουργόν τινα τὸν Κάρρωτον γενόμενον ἡνιοχῆσαι τὸ ἅρμα, διὰ τὸ ἐπιεικῶς τοὺς Κυρηναίους ἁρματηλάτας εἶναι καὶ ἱππικοὺς, ὥστε ἀμφότερα τῷ Ἀρκεσιλάῳ αὐτὸν κατεργάσασθαι, ἡνιοχῆσαί τε καὶ στρατολογῆσαι.

35. Ὅς οὔτ' ἂν Ἐπιμηθέος ἄγων] Ἐπιμηθέως λέγουσιν ὡς [6]) ἐπίπαν θυγατέρα τὴν Μεταμέλειαν καὶ τὰ παραπλήσια, καθάπερ καὶ Προμηθέως τὴν Προμήθειαν. νῦν οὖν ὁ Πίνδαρος τὴν Πρόφασιν αὐτὴν Ἐπιμηθέως εἶπε θυγατέρα. οὐκ ἐκόμισεν οὖν σοι, ὦ Ἀρκεσίλαε, φησὶν, ὁ Κάρρωτος λόγους καὶ προφάσεις, ἀλλὰ τὴν νίκην. εἰώθασι γὰρ οἱ ἡττηθέντες σκήπτεσθαι πορίζόμενοι προφάσεις τῆς ἥττης. [7]) τὸν δὲ στέφανον ἀρισθάρματον γέρας εἶπε, τὸν ἐπὶ τῇ τῶν ἵππων ἀριστείᾳ δοθέντα. διὰ δὲ τῆς Κασταλίας ἐκ μέρους τὴν Πυθὼ δεδήλωκεν. [8]) § Ἄλλως. παρεισῆκται ὁ Ἐπιμηθεὺς ἀνόητος καὶ ἀπὸ τῶν ἀποβαινόντων συμπτωμάτων καὶ παθῶν διδασκόμενος τὰ ἀσύμφορα [9]) καὶ μεταμελόμενος, ὁ δὲ τούτου ἀδελφὸς Προμηθεὺς καὶ σοφὸς καὶ προορώμενος· διὸ καὶ τοὔνομα ἀπὸ τοῦ προμαθεῖν ἔσχε. καὶ Σοφοκλῆς [10]) δὲ ἐν τῷ Προμηθεῖ· Τοῦ Προ-

1) Gott. οὕτως. 2) Fragm. 266. Ruhnkenius correxit ἀσταλέων, cui non assentior. 3) Scribe Δίδυμος. 4) Sic Gott. Vulgo εἰρήνης. 5) Vs. 57. vulg. Deinde de meo addidi οἱ δέ. 6) Voculam addidi ex Pal. D. 7) Scholium hoc cum exigua varietate reddit Pal. C. 8) Ex Pal. C. et Gott. 9) Gott. συμφέροντα. 10) Aeschyli hoc Prometh. 86. esse iudicavi Trag. Gr. princ. p. 121. sed tamen incertum est. Cf. nott. critt. ad Olymp. VII, p. 386.

Digitized by Google

μηθέως, θέλων λέγειν τῆς φρονήσεως ἀντέχεσθαι καὶ μὴ τῆς Μεταμελείας. ὀψίνοον δὲ τὴν Πρόφασιν εἶπε, διὰ τὸ ὀψέ ποτε καὶ βραδέως τὰ συμφέροντα καὶ ἀσύμφορα καταλαμβάνειν. § Ἄλλως. ἡ σύνταξις· [1]) ὅστις ὁ Κάῤῥωτος οὐ τὴν τοῦ βραδέως βουλευσαμένου Ἐπιμηθέως Πρόφασιν ἄγων εἰς τοὺς οἴκους τῶν Βαττιαδῶν, τουτέστι τῶν Κυρηναίων παρεγένετο. ὁ δὲ νοῦς τῷ λόγῳ, ὅτι οὐχ ἡττηθεὶς καὶ προφασισάμενος αἰτίαν τῆς ἥττης ἦλθεν εἰς Κυρήνην, ἀλλὰ νικήσας.

39. Ἀλλ' ἀρισθάρματον ὕδατι Κασταλίας] ἀλλ' ἐξοχώτατον ἐκ τῶν ἁρμάτων γέρας ἐν Πυθῶνι παραγεγονώς· ἀπὸ γὰρ τῆς πηγῆς τὸ χωρίον ἀκουστέον· περιέβαλεν ὁ Κάῤῥωτος ταῖς σαῖς κόμαις, ἀφθάρτοις ἡνίαις κατὰ τὸ τέμενος τῶν δυωδεκαδρόμων ἁρμάτων ἐπαρκῶν, τουτέστι τὸ στάδιον τοῖς ποσὶν ἐπαρκέσας καὶ τὴν νίκην ἀπενεγκάμενος. φασὶ δέ τινες, ὅτι δώδεκα δρόμους ἀνύει τὸ τέλειον ἅρμα, τὸ δὲ πωλικὸν ὀκτώ. τοῦτο δὲ μαρτυρήσει καὶ ὁ Καλλίμαχος λέγων· [2])

Δωδεκάκις περὶ δίφρον ἐπήγαγεν ἴθματα δίφρου.

43. Ἀκηράτοις ἁνίαις] ἀκηράτους ἁνίας παρὰ τὸ ἀδιαφθόρους εἶναι ἔφη· οὐ γὰρ διεφθάρησαν κατὰ τὸν δρόμον, ἀλλὰ διέμειναν ὑγιεῖς· ἔξωθεν δὲ προσληπτέον τὴν κατά, ἵν' ᾖ κατὰ τὸ τέμενος. § τέμενος τὸ πεδίον, ἐν ᾧ ὁ ἀγὼν ἄγεται. [3])

45. Κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν] οὐδὲν γάρ, φησί, τῶν αὐτοῦ ἁρμάτων ὁ Κάῤῥωτος κατέκλασεν. ἐν γὰρ τοῖς ἑξῆς [4]) αὐτὸς ἱστορεῖ τεσσαράκοντα δίφρους τοὺς συναγωνιζομένους τῷ τοῦ Ἀρκεσιλάου ἅρματι κατεάχθαι κατὰ τὸν δρόμον, μόνον δὲ τὸ τοῦ Καῤῥώτου ὄχημα ἀπήμαντον ἀνύσαι τὸ στάδιον, καὶ διὰ τοῦτο ἀνατεθεῖσθαι τῷ Ἀπόλλωνι. § ὁ δὲ νοῦς· οὐδαμῶς δὲ συνέτριψε τῆς τοῦ ἅρματος σκευῆς οὐδὲν, ἀλλὰ κρέμαται καὶ ἀνιέρωται τῷ Ἀπόλλωνι, ὁπόσα τῶν ταῖς χερσὶν ἁρμοζόντων καὶ κατασκευαζόντων τεκτόνων ποικίλματα ἄγων τὸν Κρισαῖον λόφον κατὰ τὸ κοιλόπεδον πεδίον ἔδραμε τοῦ Ἀπόλλωνος. § ἀνατεθεικέναι φησὶν αὐτὸν ἀπὸ τῆς νίκης ἐν Δελφοῖς τῷ Ἀπόλλωνι τὸν δίφρον τοῦ ἅρματος. [5])

50. Ἐν κοιλόπεδον νάπος] ὅτι ὁ ἀγὼν ἐν πεδίῳ τελεῖται. κατὰ σύγκρισιν δὲ τὴν πρὸς τὸ Παρνάσσιον ὄρος κοιλόπεδον εἶπε τὸ χωρίον. [6]) § ὄρος γὰρ ἐκεῖνο δικόρυφον. καὶ ἑτέρωθι [7]) Ἀπολλωνίαν νάπαν καλεῖ τὸν τόπον τοῦτον. [8])

51. Τόσφ' ἔχει κυπαρίσσινον μέλαθρον] ὅπερ τὸ ὄχημα ἔχει τις· οἶκος ἐστεγασμένος κυπαρισσίναις δοκοῖς πλησίον τοῦ ἀνδριάντος, ὅντινα μονόβολον [9]) ὄντα οἱ Κρῆτες παρὰ τῷ Παρνασίῳ ὄρει καθίδρυσαν, τουτέστιν ἐν τῇ Πυθοῖ. § μονόδροπον τὸ μονόβολον ἢ μονόξυλόν φησι παρὰ τὸ μόνον αὐτὸ εἰλῆφθαι· δρέπεσθαι γὰρ τὸ λαμβάνειν.

57. Ἑκόντι τοίνυν πρέπει νόῳ] ὁ λόγος πρὸς τὸν Ἀρκεσίλαον. προσήκει σε, φησὶν, ἑκοντὶ τὸν εὐεργέτην Κάῤῥωτον ἀμείψασθαι ἀνθ' ὧν εἰς σὲ διεπράξατο.

1) Sic Gott. quod memorabile ob formulae huius usum in scholiis recentiorum ad Olympia. 2) T. I, p. 394. Ern. In versu hoc vulgo ἐσήγαγεν et ὄθματα. Ἐπήγαγεν dedi e Gott. qui haec bis habet, ἴθματα de coniectura Schneideri et Buttmanni. 3) Gott. 4) Vs. 64. vulg. 5) E Gott. 6) Indidem. 7) Pyth. VI, 9. vulg. et in Paeanibus. 8) E Gott. 9) Sic libri utroque loco.

Digitized by Google

59. Ἀλεξιβιάδα, σὲ δ' ἠὔκομοι] ὦ Ἀλεξιβίου υἱὲ Κάῤῥωτε, σὲ δὲ αἱ εὔκομοι ἐκ [1]) τῆς μνήμης καταλαμβάνουσι Χάριτες.

61. Μακάριος, ὃς ἔχεις] μακάριος δὲ καὶ εὐδαίμων τυγχάνεις, ὅστις καὶ μετὰ τὸν μέγαν κάματον διὰ τῶν ἐμῶν φορτάτων λόγων, τουτέστι τῶν ὕμνων, ἔχεις μνημεῖα τῶν καμάτων. ταῦτα δὲ ἤτοι πρὸς τὸν Ἀρκεσίλαον λέγει διὰ τὸ στάσεσι κεχρῆσθαι τοὺς ὑπηκόους, ἢ πρὸς τὸν Κάῤῥωτον, διότι περὶ τὴν τῶν ἐποίκων συλλογὴν πολλὰ ἐταλαιπώρησεν.

64. Ἓν τεσσαράκοντα γὰρ πετόντεσσιν] ὁ νοῦς· ἓν γὰρ τεσσαράκοντα καταπεσοῦσιν ἡνιόχοις ἄθραυστον καὶ ὑγιᾶ τὸν δίφρον ἤγαγες ἀταράχῳ διανοίᾳ, καὶ παρεγένου εἰς τὸ Λιβύης πεδίον ἐκ τῶν ἐνδοξοτάτων ἀγωνισμάτων καὶ εἰς τὴν ἐπίδοξον πόλιν Κυρήνην.

66. Ὅλον δίφρον] ὁλόκληρον καὶ ὑγιᾶ. προείρηται δὲ ὅτι τὰ συνηγωνισμένα αὐτῷ ἅρματα μ' συνεθραύσθη. [2])

71. Πόνων δ' οὔ τις ἀπόκλαρός ἐστι] τοῦτο καθολικῶς φησι, παραμυθούμενος αὐτόν. τὸ ὅλον· οὐδεὶς δὲ ἀνθρώπων ἄμοιρός ἐστι πόνων καὶ καμάτων, οὔτε ἔσται ποτέ. ἴσως δὲ τοῦτο εἶπεν, ὡς τοῦ Κάῤῥωτου κεκμηκότος ἀβλαβὲς διασῶσαι τὸ ἅρμα.

74. Ἔμπαν τὰ καὶ τὰ νέμων] τουτέστι τὰ ἀγαθὰ καὶ τὰ κακά. ἀμήχανον γάρ, φησίν, ἄνθρωπον ὄντα τὰ πάντα ἀγαθὰ λαβεῖν. [3]) Ὅμηρος· [4])

Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει.

καὶ αὐτὸς ὁ Πίνδαρος· [5])

Ἓν παρ' ἐσλὸν πήματα σύνδυο δέδονται βροτοῖς.

χρῶνται δὲ τῷ ἔμπαν [6]) ἀντὶ περισπωμένου τοῦ ὁμῶς, ὅ ἐστιν ἴσον τῷ ὁμοίως· καὶ γὰρ τὸ ἔμπης ἀντὶ περισπωμένου τοῦ ὁμῶς τάσσει Ὅμηρος· [7])

Ἔμπης μοι δοκέει δαΐδων σέλας ἔμμεναι αὐτοῦ
Καὶ κεφαλῆς.

καὶ πάλιν· [8]) Ἔμπης ἐς γαῖάν τε καὶ οὐρανόν. καὶ ἐπὶ τῶν ὁμοίων.

76. Κεῖνόν γε καὶ βαρύκομποι λέοντες] Ἀρίσταρχος κατὰ τὸν τόπον φησὶ τοῦτον, καθ' ὃν ἔκτισται ἡ Κυρήνη, λέοντας διατρίβειν πολλοὺς, τῷ δὲ Βάττῳ τὸν Ἀπόλλωνα δοῦναί τινας ἐπῳδὰς, δι' ὧν αὐτοὺς ἔμελλεν ἀποσοβήσειν καὶ τὸν τόπον ἡμερώσειν. ὑπερποντίαν δὲ αὐτὸν ἐπενέγκαι γλῶσσάν φησι, παρόσον τὴν τοῦ Ἀπόλλωνος φωνὴν ἐκ Δελφῶν εἰς Λιβύην μετήνεγκε. μήποτε δὲ τροπικῇ [9]) κατείληπται φράσει, καὶ ἔστιν ὃ βούλεται λέγειν, ὅτι ἐνθήρου [10]) τῆς Λιβύης οὔσης, ὁ Βάττος οἰκίσας τὴν Κυρήνην παρεσκεύασε φυγεῖν τοὺς λέοντας δέει τῷ αὐτοῦ· ἀπ' αὐτῶν τῶν λεόντων τῶν διασκεδασθέντων. § ἐκεῖνον δὲ τὸν Βάττον καὶ οἱ χαλεποὶ λέοντες τῆς Λιβύης εὐλαβηθέντες ἔφυγον, γλῶσσαν ἐπεί σφισιν ἀπένεικεν ὑπερποντίαν· οὐχ ὅτι, φησὶν ὁ Δίδυμος, οἱ λέοντες ἐκ φωνῆς ἔφυγον, ἀλλ' ἐπεὶ τὴν ἀπόφασιν ἐκ τῆς Πυθίας ὑπὲρ τὸν πόντον διεκόμισεν. ἐλθόντι γὰρ αὐτῷ εἰς Δελφοὺς καὶ χρωμένῳ πῶς ἀποκαταστήσει τὴν

1) Heynius vult διά. 2) Gott. 3) Gott. λαχεῖν. 4) Iliad. ω, 527. 5) Pyth. III, 145. vulg. 6) Sic Rom. et hic et in lemmate, neque aliter Schol. Par. A. 7) Odyss. σ, 353. 8) Iliad. ξ, 174. 9) Vulgo τοπικῇ. 10) Rom. ἐνθήρα, vulgo ἐνθήρας inde a Beckio. Gott. omittit.

Digitized by Google

φωνὴν, παραλιποῦσα τὸ ἐρωτηθὲν ἐκέλευσεν αὐτῷ πόλιν κτίζειν ἐπὶ τῆς Λιβύης. τοιοῦτον οὖν ἐστι τὸ Γλῶσσαν ἐπεί σφιν ἀπένεικεν, ἐπεὶ τὸν χρησμὸν διεκόμισε. κατὰ γὰρ τὸν χρησμὸν διεβίβασεν ὄχλον καὶ ἔκτισε τὴν Κυρήνην· ἔφυγον δὲ οἱ λέοντες φοβηθέντες τὸ πλῆθος, οὐ τὴν φωνὴν τοῦ Βάττου. οἱ δὲ τὸ Γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν, οὕτως ἀποδιδόασιν, ὅτι τοσοῦτον ἐφώνησεν, ὥστε τὴν πρότερον ἐνδεδωκυῖαν αὐτῷ φωνὴν [1]) ὑπερποντίαν γενέσθαι. § Ἄλλως. ὑπερποντίαν, τὴν μεγάλην, ὥστε καὶ διὰ θαλάσσης ἀκούεσθαι καὶ ἐξικνεῖσθαι. [2])

80. Ὁ δ' ἀρχαγέτας] ὁ δὲ τῆς ἀποικίας ἀρχηγέτης Ἀπόλλων τοὺς θῆρας εἰς φυγὴν παρώρμησεν, ὅπως ἂν μὴ τῷ βασιλεῖ τῆς Κυρήνης τῷ Βάττῳ ἀτελὴς γένοιτο καὶ οὐχὶ οἰκισθείη [3]) ἡ Κυρήνη. § Ἄλλως. καὶ τοῦτο ἑαυτῷ συνᾴδων ὁ Δίδυμος οὕτως ἀποδίδωσιν· ἐπεὶ ὁ Ἀπόλλων ἔχρησεν οἰκίσαι τὴν Κυρήνην, αἴτιος ἐγένετο τοῦ φυγεῖν τοὺς θῆρας. οἰκιζομένης γὰρ τῆς πόλεως ἔφυγον· μενόντων δὲ τῶν θηρίων οὐκ ἂν ᾠκίσθη ἡ Κυρήνη.

85. Ὅ καὶ βαρειᾶν νόσων] ὅστις ὁ Ἀπόλλων καὶ τῶν βαρειῶν νόσων τοῖς τε ἀνδράσι καὶ ταῖς γυναιξὶν ἄκεσιν δίδωσι· καὶ γὰρ ταῦτα διὰ χρησμῶν θεραπεύει.

87. Πόρεν τε κίθαριν] τὴν κιθαριστικὴν ἐμπειρίαν. Ὅμηρος· [4]) Ὦι τόξον Ἀπόλλων, ἀντὶ τοῦ τὴν τοξικήν. § ἐχαρίσατο δὲ τῷ τῶν ἀνθρώπων γένει καὶ τὴν κιθάραν, καὶ δωρεῖται τὴν μουσικὴν οἷς ἂν βούληται, ἀστασίαστον ἄγων εἰς τὰς φρένας τῶν ἀνθρώπων δικαιοσύνην.

91. Μυχόν τ' ἀμφέπει μαντήϊον] ἐπειδὴ καὶ τὸ ἄδυτον αὐτοῦ μαντικόν.

92. Τῷ καὶ Λακεδαίμονι] ᾧ τῷ χρησμῷ καὶ τοὺς Ἡρακλείδας καὶ τοὺς Αἰγιμιοῦ παῖδας κατῴκισεν ἐν Λακεδαίμονι καὶ Ἄργει καὶ Πύλῳ. ἀπὸ δὲ τῆς Πύλου τὴν Μεσσήνην διδόασι. τριμερὴς δὲ ἡ τῶν Ἡρακλειδῶν διαίρεσις. οἱ μὲν γὰρ Ἀριστοδήμου παῖδες Προκλῆς καὶ Εὐρυσθένης ἔσχον τὴν Λακωνικὴν, ὁ δὲ Τήμενος τὸ Ἄργος, ὁ δὲ Κρεσφόντης τὴν Μεσσήνην· χρησμῷ δὲ οὗτοι κατῆλθον προστάξαντος τοῦ Ἀπόλλωνος, δῆλον δὲ ὅτι καὶ οἱ Αἰγιμιοῦ παῖδες Δύμας καὶ Πάμφυλος συγκατῆλθον τοῖς Ἡρακλείδαις. συνῴκησαν δὲ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις. § Ἐξ ἀνθρώπων γενομένων Θησέως καὶ Ἡρακλέους οἱ τοῦ Θησέως ἀπόγονοι φοβηθέντες μή τι αὐτοῖς νεωτερισθῇ ἀπὸ τῶν τοῦ Ἡρακλέους ἀπογόνων, ἐξῶσαν αὐτοὺς τῆς πατρίδος αὐτῶν. οἵτινες ἐξωσθέντες ἀπῆλθον εἰς τὴν Πυθῶνα, ὥστε λαβεῖν χρησμὸν παρὰ τοῦ Ἀπόλλωνος, τί ποιητέον. ἀκούσαντες οὖν τοῦ Ἀπόλλωνος ὅτι, Καλέσατε εἰς βοήθειαν ᾧτινι ὁ πατὴρ ὑμῶν Ἡρακλῆς πλειόνως ἐβοήθησεν, ἦλθον εἰς τοὺς Αἰγείδας ἐν Ἀθήναις· τῷ πατρὶ γὰρ τούτων Αἰγεῖ ἦν βοηθήσας καταπολὺ Ἡρακλῆς. τούτων δὲ τῶν Αἰγέως ἀποστραφέντων αὐτοὺς, ὧδε κἀκεῖσε περιπλανώμενοι ἦλθον ἐν ταῖς Θήβαις, ἐν αἷς εἰσερχόμενοι ἤκουσαν κήρυκός τινος λέγοντος· εὐχόμεθα καλὰ τοῖς Αἰγείδαις. συμβαλλόντων νῦν τῶν Ἡρακλειδῶν περὶ τῶν ἐκεῖσε Αἰγειδῶν δοῦναι τὸν χρησμὸν τὸν Ἀπόλλωνα, προσῆλθον αὐτοῖς. οὓς καὶ λαβόντες βοηθοὺς ἀπῆλθον καὶ κατῴκησαν τῇ συμμαχίᾳ αὐτῶν ἐν τῇ Λακεδαίμονι, ἐν τῷ Ἄργει τε καὶ ἐν τῇ Πύλῳ, μεθ' ὧν καὶ οἱ τοῦ Αἰγιμιοῦ παῖδες καὶ αὐτοὶ οἱ ἐκ τῶν

1) Φωνὴν addidit Heynius. 2) Gott. 3) Vulgo καὶ ἀνοικισθῇ: Gott. καὶ οὐχὶ οἰκισθῇ. 4) Iliad. β, 827.

Digitized by Google

Θηβῶν Αἰγεῖδαι. ἀφ' ὧν Ἡρακλειδῶν χρόνοις ὕστερον ἀπῆλθόν τινες ἀπὸ τῆς Λακεδαίμονος διὰ τοῦ Θήρα ἐν τῇ νήσῳ τῇ μετὰ ταῦτα ὡς ἀπ' αὐτοῦ Θήρᾳ ὀνομασθείσῃ. εἶτ' αὖθις μετὰ πολλὰς γενεὰς πάλιν ἐπὶ τοῦ Βάττου τοῦ ἐξ αὐτῶν καταγομένου ἀπῴκησαν ἐν τῇ Λιβύῃ κατὰ τὸν χρησμὸν τοῦ Ἀπόλλωνος· ἐξ οὗ κατὰ γένος Ἀρκεσίλας ἐστί. θέλει οὖν δεῖξαι ὁ ποιητής, ὅτι καὶ Ἡρακλείδης ἐστὶ, καὶ ὅτι ἀπὸ τῆς πόλεως αὐτοῦ ὑπῆρχον οἱ τοῖς προγόνοις αὐτοῦ βοηθήσαντες· τοῦτο λέγει. [1])

95. Καὶ ζαθέᾳ Πύλῳ] ἀπὸ οὖν τῆς Πύλου τὴν Μεσσήνην σημαίνει. οἱ γὰρ νεώτεροι τὴν Πύλον, ἧς ὁ Νέστωρ ἡγεῖτο, οὐ περὶ τὴν Τριφυλίαν τῆς Ἀρκαδίας, ἀλλὰ περὶ τὴν Μεσσήνην διδόασιν.

96. Τὸ δ' ἐμὸν γαρύεντ' [2]) ἀπὸ Σπάρτας] ὁ λόγος ἀπὸ τοῦ χοροῦ τῶν Λιβύων ἢ ἀπὸ τοῦ ποιητοῦ· ὁ δὲ νοῦς· τὸ δὲ ἐμὸν κλέος καυχᾶται εἶναι ἀπὸ Σπάρτης, ὅπου γεγεννημένοι οἱ πρόγονοι ἡμῶν οἱ Αἰγεῖδαι εἰς τὴν Θήραν ἀφίκοντο· ἐκ Λακεδαίμονος γὰρ εἰς Θήραν ἡ ἀποικία ἐγένετο, ἐκ δὲ Θήρας εἰς Κυρήνην. Αἰγείδας οὖν κέκληκε τοὺς Λακεδαιμονίους διὰ τὸ κατοικισθῆναι τοὺς παρὰ Θηβαίοις καλουμένους Αἰγείδας ἐν Λακεδαίμονι. § Ἄλλως· συνῴκησαν γὰρ οἱ Θηβαῖοι τοῖς Λακεδαιμονίοις. χρόνῳ δὲ οἱ Λακεδαιμόνιοι συνεξῆλθον τοῖς εἰς Θήραν ἀπῳκηκόσι, φημὶ δὲ τοῖς ἀπὸ τῶν Λημνιάδων καὶ τῶν Ἀργοναυτῶν· ἀπὸ δὲ Θήρας γεγένηται ἀποικία εἰς Κυρήνην. ἔστιν οὖν τὸ πᾶν ἐσπουδασμένον τῷ Πινδάρῳ ὥστε δεῖξαι αὐτὸν συγγενῆ Λακεδαιμονίων καὶ Κυρηναίων, οὕτω δὲ καὶ τοῦ νικηφόρου.

99. Ὅθεν γεγενναμένοι] ἐπεὶ ἐκ Λακωνικῆς ἐλθόντες οἱ περὶ Θήραν Καλλίστην ᾤκησαν. Καλλίμαχος· [3]) Ἐκ μέν σε Σπάρτης ἕκτον γένος.

101. Αἰγεῖδαι ἐμοὶ πατέρες] θέλει δεῖξαι τὸν Ἀρκεσίλαον τὸ γένος κατάγοντα ἀπὸ τῶν Ἡρακλειδῶν. δίτταὶ δὲ αἱ τῶν Θήβηθεν Αἰγειδῶν εἰς Σπάρτην ἀφίξεις, προτέρα μὲν ἡ σὺν τοῖς Δωριεῦσι καὶ Ἀριστοδήμῳ, ἧς μέμνηται Ἔφορος ἐν τῇ πρώτῃ [4]) λέγων· Ἄλλον καὶ τοὺς ἄλλους τοὺς ἀποτυχόντας τῆς ἐπὶ τὴν Σπάρτην στρατείας ἐπερωτᾶν τὸν θεὸν, τίνας τῶν Ἑλλήνων ποιήσονται πρὸς τὴν κάθοδον συμμάχους· τὸν δὲ ἀνελεῖν, τοὺς ὑπὸ Ἡρακλέους εὐεργετηθέντας, πρώτους δὲ τούτους κελεῦσαι Αἰγείδας παρακαλεῖν. ὑπολαμβάνοντας δὲ ταῦτα εὐλόγως προστεταχέναι τὸν θεὸν ἐλθεῖν εἰς τὰς Ἀθήνας πρῶτον, εἰδότας Θησέα τὸν Αἰγέως μέγιστα [5]) πάντων ὑφ' Ἡρακλέους εὐεργετημένον, εὖ δὲ ἔχειν τὴν μαντείαν νομίζοντας, καὶ πρώτους τοὺς Θησέως τοῦ Αἰγέως ἀπογόνους ἐκάλουν, τοῦ τῆς καθόδου μὴ διαμαρτεῖν. [6]) ἔπειτά φασι τὸν Ἀριστόδημον διὰ τῆς Βοιωτίας πορευόμενον καταλαβεῖν θύοντάς τινας τῶν Θηβαίων παρὰ τὴν ὁδὸν, καὶ τοῦ κήρυκος ἀκούσαντα τοῖς Αἰγείδαις εὐχομένου τὰ ἀγαθὰ λαβεῖν περὶ τῆς μαντείας ἔννοιαν, καὶ νομίσαντα δεῖν, ἐπειδὴ τοὺς Ἀθήνηθεν Αἰγείδας πρώτους παρακαλοῦντες διημάρτανον, τοὺς ἐκ τῶν Θηβῶν συμμάχους μετελθεῖν προτέρους· κατὰ τύχην δὲ ταύτῃ τῇ στρατείᾳ τῶν Ἡρακλειδῶν τὴν Πελοπόννησον κατασχόντων ἡγοῦντο τὸ μαντεῖον εἰρῆσθαι περὶ τῶν ἐν Θήβαις Αἰγειδῶν· ἑτέρα δὲ ἡ σὺν Τιμομάχῳ, ἐν ᾗ πρὸς

1) Ex Pal. C. 2) Gott. γαρύατ'. 3) In Apoll. 74. 4) Fragm. Marx. p. 99. 103. ubi locum interpolavit coniectura. 5) Pal. D. μάλιστα. 6) Sic Gott. eleganter. Cf. Heindorf. ad Plat. Gorg. p. 39.

Digitized by Google

Ἀμυκλαεῖς Λακεδαιμονίοις καθειστήκει πόλεμος. τινὲς δὲ Αἰγέα, ἀφ' οὗ ἡ τῶν Αἰγειδῶν ἐν Θήβαις φατρία τοὔνομα ἔλαβε, Σπαρτὸν εἶναι τῶν ἀπὸ Κάδμου.

104. Ἔνθεν ἀναδεξάμενοι] ὅθεν, ἀπὸ τῆς Θήρας, διαδεξάμενοι τὰ πάτρια ἔθη τῆς πανηγύρεως· ἢ ὅθεν τὸ γένος κατάγοντες ἡμεῖς οἱ Θηβαῖοι ἐπαινοῦμεν τὴν Κυρήνην, ὦ Ἄπολλον.

106. Καρνεῖ' ἐν δαιτὶ σεβίζομεν] τοὺς γὰρ Αἰγείδας κατὰ χρησμὸν ἀπὸ Θηβῶν λαβόντες ἀπὸ ἑορτῆς Καρνείου Ἀπόλλωνος δειπνοῦντας ἐπήγαγον. § Καρνεῖος Ἀπόλλων ἀπό τινος Κάρνου [1]) μάντεως, οὗ φονευθέντος ὑπὸ Ἀλήτου τοῦ Ἡρακλείδου ὀργισθεὶς ὁ Ἀπόλλων λοιμὸν ἐνέβαλεν ἐν τῇ χώρᾳ αὐτῶν. θέλοντες νῦν ἐξιλεώσασθαι τὸν θεὸν ἐποίησαν αὐτῷ ἑορτὴν καλέσαντες αὐτὴν ὡς ἀπὸ τοῦ Κάρνου Καρνείαν, ἐξ ἧς καὶ τὸν Ἀπόλλωνα ἐκάλεσαν Καρνεῖον. [2])

108. Τὰν χαλκοχάρμαι ξένοι] οἱ Ἀντήνορος παῖδες ζωγρηθέντες τρεῖς ὄντες ἦλθον εἰς Λιβύην καὶ ᾤκησαν· εἰσὶ δὲ Γλαῦκος, Ἀκάμας, Ἱππόλοχος. [3]) § Ἄλλως. περὶ τῆς εἰς Κυρήνην ἀφίξεως τῶν Ἀντηνοριδῶν Λυσίμαχος ἐν πρώτῳ τῶν νόστων ἱστορεῖ, παρ' Ἄμμακι βασιλεῖ Λιβύων αὐτοὺς ᾤκηκέναι μὴ βουλομένους συνοικεῖν τοῖς τὸ Ἴλιον πεπορθηκόσι, καὶ ὅτι ἔκτισε [4]) μεθ' ἱκανὸν χρόνον τὸν μεταξὺ Κυρήνης καὶ τῆς θαλάσσης κείμενον λόφον Ἀντηνοριδῶν ἐπικεκλημένον. τινὲς δὲ οὕτω τὴν ἱστορίαν ἐκτίθενται· οἱ Ἀντηνορίδαι φιλοφρονητικώτερον διέκειντο πρὸς τοὺς Ἕλληνας· φησὶ γάρ που καὶ αὐτὸς ὁ Ἀντήνωρ· [5]) Ἤδη γὰρ καὶ δεῦρό ποτ' ἤλυθεν. καὶ ὑποβαίνων·

Τοὺς δ' ἐγὼ ἐξείνισσα καὶ ἐν μεγάροισι φίλησα.

καὶ οἱ Ἕλληνες δὲ κατὰ τὴν πόρθησιν παραδαλέαν [6]) τῷ Ἀντήνορος οἴκῳ παρηώρησαν σημεῖον ποιούμενοι τοῖς οἰκείοις στρατιώταις τοῦ μηδένα ὡς πολέμιον οἶκον πορθῆσαι. διαφυγόντες δὲ τὸν πόλεμον συναπῆραν μὲν τῷ Μενελάῳ, κατὰ δὲ τὴν πλάνην τοῦ Μενελάου εἰς Λιβύην ἐλθόντες οἱ Ἀντηνορίδαι, καταπονηθέντες τῷ χειμῶνι καὶ τῇ πολυχρονίῳ πλάνῃ ᾤκησαν αὐτόθι. § Ἄλλως. ἥντινα Λιβύην οἰκοῦσι καὶ κατέχουσιν οἱ πολεμικώτατοι ξένοι οἱ τοῦ Ἀντήνορος παῖδες. σὺν γὰρ τῇ Ἑλένῃ καὶ τῷ Μενελάῳ παρεγένοντο, ἐπειδὴ τὴν πατρίδα πορθηθεῖσαν ἐθεάσαντο κατὰ τὸν πόλεμον.

113. Τὸ δ' ἐλάσιππον ἔθνος] ἀντὶ τοῦ οἱ Κυρηναῖοι. ἐτίμων, φησί, τοὺς Ἀντηνορίδας οἱ Κυρηναῖοι οἴδε, οὓς ὁ Βάττος ἤγαγεν εἰς τὴν Λιβύην τῆς πλατείας θαλάττης τὴν ὁδὸν ἀνοίγων. § οἱ Κυρηναῖοι ἐρχόμενοι πρὸς αὐτοὺς μετὰ τοῦ φέρειν δῶρα καθαγίζουσιν ἐπιμελῶς καὶ προσδέχονται καὶ θεραπεύουσιν· οὓς διεπεραίωσε τὴν τῆς ἁλὸς κέλευθον ἀνοίγων, τουτέστι σχίζων διὰ τὸν πλοῦν, ᾗ ἀντὶ τοῦ συνήθη ποιῶν. τὸ μὲν γὰρ πρῶτον οὐκ ἐπλεῖτο, ὡς ἂν τῆς Κυρηναϊκῆς ἐρημίας οὔσης· ὅτε δὲ ᾤκισεν αὐτὴν, πλωΐμη ἐγένετο διὰ τὰς ἐπιμιξίας. § Ἄλλως. τὸ δὲ ἱππικώτατον ἔθνος τῶν Κυρηναίων μετ' ἐπιμελείας τοὺς Ἀντήνορος παῖδας τεθνηκότας δεξιοῦνται θυσίαις, παραγίνονται δὲ μετὰ δώρων καὶ ἐναγισμάτων.

117. Τοὺς Ἀριστοτέλης ἄγαγεν] σημαίνει ὅτι Ἀριστοτέλης ἦν ὁ κτίσας τὴν Κυρήνην, ὁ Βάττος κληθείς, ὁ καὶ τὴν λεγομένην Σκυρωτὴν πλατεῖαν αὐτοῖς κατασκευάσας. § κέλευθον ἀνοίγων, ἀντὶ τοῦ πλωΐμην λοιπὸν ποιῶν τὴν ἐπὶ Λιβύην θάλασσαν

1) Cod. Καρνείου. 2) Ex Pal. C. 3) Ex Gott. Coniicio ᾤκισαν. 4) An ἔκτισαν? 5) Iliad. γ, 205 sqq. 6) Sic Gott.

Digitized by Google

τῷ τὴν Κυρήνην κτίζειν· τότε γὰρ διὰ τὸ ἔρημον τῆς χώρας οὐκ ἐπλεῖτο ἐκείνη ἡ θάλασσα. [1]) τὸ δὲ μείζονα ἀντὶ τοῦ μεγάλα ἁπλῶς, οὐ πρὸς ἄλλα συγκρίνων. ἄλση δὲ τὰ τῶν θεῶν τεμένη.

120. Εὐθύτομόν τε κατέθηκεν] κάθοδον δ' ἐποίησεν εὐθυτενῆ καὶ λείαν· τῶν γὰρ χωρίων τραχυτάτων ὄντων λείαν ἀπειργάσατο τὴν ὁδόν.

121. Ἀπολλωνίαις] ταῖς τοῦ Ἀπόλλωνος ἀλεξιμβρότοις θαλίαις καὶ ἵπποις πεδιάδα εἶναι καὶ βαδιστὴν, ἀπὸ κοινοῦ ἐποίησεν. ἀλεξιμβρότοις δὲ, ταῖς ἀπαλεξούσαις τὰ τῶν ἀνθρώπων φαῦλα· τοὺς γὰρ θεοὺς θεραπεύομεν πρὸς ἀπαλέξησιν τῶν φαύλων· τὰς δὲ πομπὰς ἀλεξιμβρότους, ἤτοι παρὰ τὸ ἀλέγειν ὅ ἐστι φροντίζειν, ὧν φροντίζουσιν ὡς συντελεσθῶσιν· ἢ ἐπεὶ εἰς ἀλέξησιν τῶν κακῶν ἀπὸ [2]) τῶν βροτῶν γίνονται. πομπαῖς γὰρ καὶ θυσίαις ἱλάσκονται τὸ δαιμόνιον. § Ἄλλως. τὴν Σκυρωτὴν οὖν, φησὶν, ὁδὸν κατεσκεύασεν ὁ Βάττος, δι' ἧς αἱ τῷ Ἀπόλλωνι γινόμεναι πομπαὶ κομίζονται εἰς τὸ ἱερόν. πεδιάδα δὲ κέκληκε τὴν ὁδὸν ὡς ἐπίπεδον καὶ λείαν. § οὕτω καλεῖται πλατεῖα Σκυρωτὴ ἐπὶ τῆς Κυρήνης, λέγεται δὲ καὶ τὸ ἱερὸν τῶν Διοσκούρων ἐν ἐκείνῃ τῇ πλατείᾳ εἶναι.

124. Σκυρωτὰν ὁδόν] ἀντὶ τοῦ λιθόστρωτον· σκῦρον γὰρ λέγουσι τὴν λατύπην τὴν ἀπὸ τῆς κατεργασίας τῶν λίθων ἀποπίπτουσαν. τὸ δὲ σημεῖον, ὅτι πρυμνοῖς ἀγορᾶς εἶπεν ἀντὶ τοῦ ἐσχάτοις ἄκροις. τὸ δὲ ἐπίδιχα, ἐπὶ θάτερα μέρη.

Ἔνθα πρυμνοῖς ἀγορᾶς] τὸν τάφον αὐτοῦ συνίστησιν ἐπὶ τοῖς τῆς ἀγορᾶς ὁρίοις ὄντα. φησὶ γὰρ, ἐπ' ἐσχάτοις τῆς ἀγορᾶς δίχα κεῖται θανὼν, ἐπὶ τῷ διορίζοντι τὴν ἀγορὰν ἄκρῳ. ἔστι δὲ καὶ οὕτω διελέσθαι· ἐπὶ πρυμνοῖς τῆς ἀγορᾶς κεῖται θανὼν, δίχα τῶν ἄλλων ἡρώων. § διακεχωρισμένος τῶν ἄλλων βασιλέων ἐν τῇ Κυρήνῃ πρὸς τὰ τελευταῖα τῆς ἀγορᾶς κεῖται τεθνηκὼς ὁ Βάττος.

127. Μάκαρ μὲν ἀνδρῶν μέτα] μακάριος μὲν ὅτε ἐν ζῶσιν ἦν, καὶ μετὰ ταῦτα, φησὶν, ὡς ἥρως τιμᾶται σεπτὸς ὢν παρὰ Κυρηναίοις. λαοσεβὴς δὲ ὁ ὑπὸ τοῦ λαοῦ σεβόμενος.

129. Πρὸ δωμάτων] ποίων δωμάτων; ἤτοι τοῦ ἥρωος Βάττου ἢ τῶν βασιλείων ἢ καὶ πρὸ τῶν τῆς πόλεως πυλῶν. καὶ κατὰ τοῦτο δοκεῖ τῶν ἄλλων διαφέρειν ὁ Βάττος, ὅτι ὁ μὲν ἐν [3]) ἄκρᾳ ἀγορᾷ τέθαπται, οἱ δὲ πρὸ τῆς πόλεως.

132. Μεγάλαν δ' ἀρετᾶν] τῶν δὲ ἐπισήμων σου ἀρετῶν κατακούουσιν, ὦ Ἀρκεσίλα, οἱ πρόγονοι τῇ ἑαυτῶν φρενὶ τῇ ὑπογείῳ. τῶν ἀρετῶν δὲ, τῶν οὐσῶν αὐτοῖς ὄλβου. [4]) § ὄλβον λέγει τὸν κῶμον, ὅς ἐστιν αὐτῶν ὄλβος. τί γὰρ καταλείπεται τοῖς τεθνεῶσιν ἢ ὄλβον ἔχειν τοὺς ἐπαίνους τοὺς διὰ τῶν ποιημάτων, τουτέστι πλουτεῖν ἐπαίνοις. χθονίᾳ δὲ φρενί φησι, παρόσον τεθνήκασι καὶ ἐν τῇ γῇ κεῖνται.

136. Τίῳ τε κοινὰν χάριν] τὸν Ἀρκεσίλαον υἱὸν εἶπε, καθὸ ἀπόγονος ἦν τοῦ Βάττου. ἀκούοντες οὖν τῶν ὕμνων τῶν εἰς Ἀρκεσίλαον κοινὴν ἔχουσι τὴν χάριν οἱ πρόγονοι. § τοῖς ποιήμασιν ἐπικοσμουμένην τὴν ἀρετὴν αὐτῶν τῇ χθονίᾳ φρενὶ ἀκούουσιν.

1) Gott. 2) Vulgo ὑπό. 3) Addidi ἐν. 4) Sic Gott.

Digitized by Google

§ τὴν μεγάλην τοῦ Ἀρκεσιλάου ἀρετὴν τοῖς ποιήμασιν ἐπικοσμουμένην ἀκούουσί που οἱ πρόγονοι τῇ χθονίᾳ αὐτῶν φρενί.

138. Ἔνδικόν τ' Ἀρκεσίλαν] πρέπει τὸν Ἀπόλλωνα εὐχαριστεῖσθαι ὑπὸ Ἀρκεσιλάου καὶ ὑμνεῖσθαι αὐτὸν ἐν τῇ ᾠδῇ τῶν νέων, διότι ἐκ Πυθῶνος εἴληφε τὴν νίκην καὶ τὸ μέλος, ὃ νῦν γέγραφεν, ὅ ἐστι λυτήριον τῶν δαπανῶν. § Ἄλλως. Τὸν ἐν ἀοιδᾷ νέων] ὄντινα τὸν Ἀρκεσίλαον ἐν τῷ χορῷ καὶ τῇ τούτου ᾠδῇ προσήκει ἀνυμνεῖν τὸν Ἀπόλλωνα, ἔχοντα τὸν Ἀρκεσίλαον τὴν ἐκ Πυθῶνος καλλίστην παραμυθίαν τῶν δαπανῶν· λέγει δὲ τὴν νίκην καὶ τὸ τοῦ ἐπινίκου μέλος. ἄνδρα κεῖνον, τὸν Ἀρκεσίλαον τὸν ὑπὲρ εὐδοξίας δαπανῶντα. [1]) ἐδαπάνησε μὲν γὰρ πολλὰ καὶ ἐπόνησεν, οὐκ εἰς κενὸν δὲ, ἀλλὰ τυχὼν τῆς νίκης ἀμοιβὴν ἔσχε τῆς δαπάνης. ταῦτα δὲ εἶπεν ὡς πολλὰ δεδωκότος καὶ ἀναλώσαντος Ἀρκεσιλάου.

146. Κρέσσονα μὲν ἁλικίας] τουτέστι κρείττονα τῆς ἡλικίας νοεῖ καὶ λέγει, ὑπὲρ τὴν ἡλικίαν δὲ τὸν νοῦν ἔχει καὶ τὴν φρόνησιν, κατὰ δὲ τὸ θάρσος καὶ τὴν ἀνδρείαν τοσοῦτός ἐστιν ὅσος ὁ ἀετὸς πρὸς τοὺς ἄλλους ὄρνεις συγκρινόμενος.

151. Οἷον σθένος] θαυμαστικῶς· ὁποῖον δὲ ἐν ταῖς ἀγωνίαις καὶ τοῖς ἀγῶσιν ἔχει τὸ ἑαυτοῦ σθένος ὡς ἂν ὀχύρωμα καὶ τεῖχίον.

152. Ἔν τε Μοίσαισι ποτηνὸς ἀπὸ ματρὸς φίλας] ἀμφίβολον, πότερον ἀπὸ μητρὸς πεπαιδευμένος, ἢ ἀπὸ τῆς πρώτης ἡλικίας ἔνδοξος ἦν καὶ πτηνὸς, τουτέστι τῇ δόξῃ μετεωριζόμενος. § ἢ οὐχ ὑπὸ μητρὸς ἐδιδάσκετο, ἀλλὰ φύσει τέλειος ἦν κατ' ἀρετὴν, οὐ νεοσσὸς ἀλλὰ πτηνὸς, τουτέστιν οὐ τῶν διδασκόντων ἔχρῃζεν. § Ἄλλως. ἐν δὲ λόγῳ καὶ ἀρετῇ ὀξὺς καὶ ταχὺς ἀφ' ἑαυτοῦ εὐθὺς τεχθεὶς γέγονεν· ἀντὶ τοῦ εἰπεῖν, ἐκ νέας ἡλικίας καὶ περὶ παίδευσιν ἐπιθυμητικῶς εἶχεν.

155. Ὅσσαι τ' εἰσὶν ἐπιχωρίων] ὅσα τέ ἐστι παρὰ Κυρηναίοις τῶν καλῶν ἔθη, ταῦτα ὑπέμεινε καὶ κατώρθωσε πρῶτος. τὸ γὰρ δαιμόνιον, φησὶν, αὐτῷ ἐπί τε τοῦ παρόντος προθύμως τελεῖται κατὰ δύναμιν καὶ εἰς τὸν μέλλοντα ταὐτὰ χρόνον. § Ἄλλως. ἐπεὶ εὐκταίως νῦν ἔχει αὐτῷ τὰ παρὰ τῶν θεῶν, οὕτω καὶ εἰς τὸ μέλλον, ὦ Κρονίδαι, φησὶ, μὴ ἐάσητε τοιοῦτον ἐλάττωμα περὶ τὸν βίον αὐτοῦ γενέσθαι, ὥστε καθάπερ ὑπὸ φθινοπώρου πνοῆς τὰ φύλλα κεῖται ἐπὶ γῆς τῶν δένδρων, οὕτω καὶ τὰ πράγματα αὐτοῦ μαρανθῆναι, ἀλλ' ἀειθαλὴς αὐτοῦ μένοι ὁ βίος μηδέποτε φθίνων μηδὲ φυλλορροῶν.

164. Διός τοι νόος] ὁ δὲ τοῦ Διὸς νοῦς τὴν ἑκάστου τύχην κυβερνᾷ καὶ ἐπὶ τὰ βελτίονα ἄγει.

166. Εὔχομαί νιν] εὔχομαι, φησὶν, αὐτὸν τὸν Δία, ὥσπερ νῦν ἐν τῇ Πυθῶνι δέδωκε γέρας καὶ τιμὴν τὴν ἀπὸ τῆς νίκης, οὕτω καὶ ἐν Ὀλυμπίᾳ δοῦναι αὐτῷ νίκην, ἤτοι τῷ Ἀρκεσιλάῳ, ὅστις ἐστὶ Βάττου γένος.

[1]) Haec Gott.

Digitized by Google

ΠΥΘΙΩΝ ΕΙΔΟΣ ς'.

Περὶ τῶν κώλων ταυτησὶ τῆς ᾠδῆς.

Τοῦ ἕκτου εἴδους ἡ ᾠδὴ μονόστροφός ἐστι κώλων θ'. Τὸ α' σύνθετον ἐκ πενθημιμερῶς καὶ ἑφθημιμερῶς ἰαμβικόν. Τὸ β' τρίμετρον ἐπιωνικὸν ἀκατάληκτον. ἄδηλον δὲ πότερον ἐκ β' παίωνος [1]) ἢ α'. Τὸ γ' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ δ' τρίμετρον ἐπιχοριαμβικὸν ὑπερκατάληκτον. Τὸ ε' ὅμοιον τῷ γ'. Τὸ ς' τρίμετρον τροχαϊκὸν καταληκτικόν. Τὸ ζ' ἰαμβικὸν πενθημιμερές. Τὸ η' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Πινδαρικόν.

Ἔστι δὲ ἡ ᾠδὴ μονόστροφος, αἱ δὲ μονόστροφοι ἀντιστρόφους ἔχουσι τὰς στροφὰς ἀλλήλαις, ὥστε ἴσα εἶναι τά τε τῆς στροφῆς καὶ ἀντιστρόφου. διὸ οὐδὲ κορωνίσι χρῶνται ἐπ' αὐτῶν διὰ μέσου. αἱ δὲ πρὸς τριάδα γεγραμμέναι ἴσας ἔχουσι τὰς στροφὰς καὶ ἀντιστρόφους, τὴν δὲ ἐπῳδὸν διαλλάσσουσι τούτων.

Ξενοκράτει Ἀκραγαντίνῳ.] Γέγραπται Ξενοκράτει Ἀκραγαντίνῳ νενικηκότι κατὰ τὴν κδ' Πυθιάδα. φανερὸν δὲ, ὅτι αἱ ᾠδαὶ οὐ κατὰ χρόνον διάκειν̄ται· ἡ γὰρ πρὸ ταύτης ᾠδὴ Ἀρκεσίλᾳ γέγραπται νικήσαντι τὴν λα' Πυθιάδα. ὁ δὲ Ξενοκράτης Θήρωνος ἦν ἀδελφός.

1. Ἀκούσατ'· ἢ γὰρ ἑλικώπιδος Ἀφροδίτας] ὁ λόγος ἤτοι ἀπὸ τοῦ χοροῦ ἐστιν ὡς ἐγκωμιάζοντος τὴν πόλιν ὡς εὔφορον, ἤτοι παρὰ τοῦ Πινδάρου πρὸς τοὺς μέλλοντας διακομίζειν τὸν ὕμνον. § ἀμφιβάλλει δὲ τὰ τῆς φράσεως, καὶ οἱ μὲν Χαρίτων καὶ Ἀφροδίτας ἄρουραν τὴν Ἀκράγαντα ἀκούουσι διὰ τὸ ἐπιτερπῆ τὴν πόλιν εἶναι καὶ ἐράσμιον, οἱ δὲ τὸν Πύθιον ναόν. δύναται δὲ καὶ ἀλληγορῶν ὁ Πίνδαρος τὴν ἑαυτοῦ ποίησιν λέγειν, ὅτι ἐξ αὐτῆς ἐκαρποῦτο τὰ μέλη. ὁ δὲ λόγος ἐκ τῶν χορευτῶν ἤτοι πρὸς ἀλλήλους διαλεγομένων ἢ πρὸς τοὺς ἀναληψομένους τὸ ποίημα. ὁ δὲ ἢ σύνδεσμος ἀντὶ τοῦ δὴ κεῖται· ὃ δὲ βούλεται λέγειν, τοιοῦτόν ἐστιν· ἀκούσατε, ἑλικώπιδος γὰρ δὴ Ἀφροδίτης ἢ Χαρίτων ἄρουραν ἀναπολοῖμεν εἰς τὴν Πυθὼ παριόντες, ἥ ἐστιν ὀμφαλὸς τῆς γῆς. Πυθιόνικος θησαυρὸς ὁ ὕμνος· θησαυρίζεται γὰρ παντὶ τῷ χρόνῳ. § ὁ δὲ νοῦς· ἀκούσατε, καὶ γὰρ δὴ τῆς εὐοφθάλμου Ἀφροδίτης καὶ αὐτῶν Χαρίτων ὑπὸ τὸ χωρίον ἀναστρεφόμεθα, ἀντὶ τοῦ ἀνυμνοῦμεν τὴν Ἀκράγαντα εἰς τὸν ναὸν παραγενόμενοι τὸν τῆς ἐριβρόμου γῆς ὄντα ὀμφαλὸν, τουτέστιν εἰς τὴν Πυθῶνα. ἔνιοι δὲ ἄρουραν Χαρίτων καὶ Ἀφροδίτης τὴν ποίησιν ἤκουσαν, ἀφ' ἧς δρέπεται τὰ μέλη ὁ Πίνδαρος.

1) Libri *παίονος*, sane inepte. Igitur corrigunt *Ἰωνικοῦ*, quo non multum lucreris.

Digitized by Google

4. Πυθιόνικος ἔνθ' ὀλβίοισιν] οὐκ ἀπὸ φυλῆς, ὁ Ἀρίσταρχος· τοῦ κυρίου γὰρ ὄντος Ἐμμενίδου οὐκ ἂν γένοιτο Ἐμμενίδαι· ἡ δὲ ποιητικὴ παρέκτασις καὶ οἱ σχηματισμοὶ ἐπὶ τῶν κυρίως πατρωνυμικῶν ἐπὶ τὰ αὐτῶν τρεπόμενα ὀνόματα, οἷον Ἡρακλείδης καὶ Ἀσκληπιάδης ἐστὶ μὲν σχήματι πατρωνυμικά, κύρια δέ τινων. εἴ τις οὖν τὸν τοῦ Ἡρακλείδου υἱὸν πατρωνυμικῶς βούλοιτο σημῆναι, ὁμωνύμως ἂν πάλιν πατρὸς Ἡρακλείδην [1]) καλοίη. Ἱππόστρατος δὲ ὁ τὰ περὶ τῆς Σικελίας γενεαλογῶν φησιν, ὅτι Ἐμμενίδης καὶ Ξενόδικος Τηλεμάχου υἱοί, καὶ Ἐμμενίδου [2]) μὲν οἱ περὶ Θήρωνα καὶ Ξενοκράτην, Ξενοδίκου δὲ Ἱπποκράτης καὶ Κάπυς, οἳ φυγαδευθέντες ὑπὸ Θήρωνος ὕστερον Κάμικον κατέσχον [3]) Σικελιωτικὸν πόλισμα· καθ' ἣν καὶ ὁ Μίνως ὑπὸ ταῖς Κωκάλου θυγατράσιν ἀπώλετο κατὰ ζήτησιν Δαιδάλου ἐλθών. § ὁ δὲ νοῦς· ἔνθα, ἐν τῇ Πυθῶνι, τοῖς εὐδαίμοσιν Ἐμμενίδαις καὶ τῇ Ἀκράγαντι καὶ τῷ Ξενοκράτει ὁ ὑπὲρ τῆς τῶν ἵππων νίκης Πυθιόνικος θησαυρὸς, τουτέστιν ὁ ὕμνος πρόχειρος καὶ ἕτοιμος ἵσταται καὶ ἀνάκειται ἐν τῇ πολυχρύσῳ Ἀπολλωνίᾳ νάπῃ, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται, [4]) τῇ Πυθοῖ. § ἢ οὕτως· ἔνθα, ἐν τῷ ναῷ τῷ ἐν Πυθοῖ. ἐκεῖ γὰρ ἡ Ἀπολλωνία νάπη, περὶ ἧς ἐν Παιᾶσιν εἴρηται. ἔνιοι δὲ νάπην τὸ πεδίον ἤκουσαν, ἐν ᾧ οἱ ἱππικοὶ ἀγῶνες ἐτελοῦντο. ποταμίαν εἶπε τὴν Ἀκράγαντα διὰ τὸ ὁμώνυμον τῷ ποταμῷ. [5]) § τινὲς φασιν εἰς τρεῖς μοίρας διῃρῆσθαι τοὺς Δελφούς· καὶ τούτων ἡ μὲν λέγεται ὑπάτη, ἡ δὲ μέση, ἐν ᾗ ἐστι καὶ αὕτη ἡ καλουμένη νάπη. § Ἀπολλωνίαν νάπην τὴν Πυθῶνα λέγει ἐνταῦθα. [6])

10. Τὸν οὐ χειμέριος ὄμβρος] τὸν ὕμνον, ὃν καὶ θησαυρὸν εἶπεν. § τὸν ὄμβρον φησὶ [7]) σκληρᾷ μεταφορᾷ χρησάμενος διθυραμβωδῶς, παρόσον πολλῶν νεφῶν εἰς ταὐτὸ συναγομένων ῥήγνυνται οἱ ὄμβροι. τὸν οὖν τῶν ὕμνων θησαυρὸν ὑπ' οὐδενὸς ἀπαχθήσεσθαί φησιν, οὔτε ὑπ' ὄμβρου οὔτε ὑπ' ἄλλου τινός. § Ἄλλως. ὄντινα τὸν ὕμνον οὔτε ὁ χειμὼν τῆς μεγαλοήχου νεφέλης ἀπηνὴς στρατὸς ἐπελθὼν οὔτε ἄνεμοι ταῖς πνοαῖς τύπτοντες καὶ στρέφοντες τῇ πολυφόρῳ χεράδι ἄξουσι καὶ ἐμβαλοῦσιν εἰς τὰ βάθη τῆς θαλάσσης. § Ἄλλως. Παμφόρῳ χεράδι τυπτόμενοι· τῷ κοπρώδει φορυτῷ· φορυτὸς δὲ κυρίως ἡ ἐκ τῆς χαράδρας ἀκαθαρσία. καὶ Ὅμηρος: [8])

Εἰλύσω ψαμάθοισιν, ἅλις χεράδος περιχεύας.

χεράς δὲ ὁ μετὰ ἰλύος καὶ λίθων συρφετός. τὸ δὲ τυπτόμενοι ἀντὶ τοῦ τύπτονται. [9])

13. Φάει δὲ πρόσωπον] ἔξωθεν προσληπτέον εἰς τὸν πλήρη λόγον τὸ ἔχων, ἵν' ᾖ ἔχων τὸ πρόσωπον ἐν φωτὶ καθαρῷ, τουτέστι λελαμπρυσμένος τῷ προσώπῳ καὶ ἐπιφανὴς ὢν ὁ θησαυρός. ὁ δὲ Θρασύβουλος υἱός ἐστι Ξενοκράτους, ἐπιστατεῖ δὲ, ὡς εἰκὸς, τῶν ἱππικῶν ἀγώνων, παρὸ καὶ προσδιαλέγεται αὐτῷ ὁ Πίνδαρος. § Πατρὶ τεῷ Θρασύβουλε· ὦ τοῦ Ξενοκράτους παῖ. τοῦτον δὲ ὡς φιλοπάτορα καὶ προεστῶτα τῆς ἱππικῆς ἐπαινεῖ, οὐχ ὥς τινες ἐβουλήθησαν, ἡνίοχον. ὁ γὰρ ἡνίοχος Νικόμαχός ἐστιν, ὡς ἐκ τῶν Ἰσθμιονικῶν δῆλός ἐστι. φανερὸν ὅτι ὁ Θρασύβουλος υἱὸς Ξενοκράτους. τὰς γὰρ Χείρωνος ὑποθήκας αὐτῷ διὰ τοῦτο λέγει, ἐπειδὴ τὰς περὶ πατέρων εὐσεβείας πε-

1) Rom. πρὸς Ἡρακλείδα. 2) Conf. ad Schol. Olymp. II, 82. 3) Vulgo κατασχόντες. 4) Haec Gott. 5) Indidem. 6) Indidem. 7) Haec emendavi e Gott. 8) Iliad. φ, 319. 9) Sic Gott.

Digitized by Google

ριέχει. § ὁ δὲ νοῦς· ὁ δὲ τῶν ὕμνων ἐν καθαρῷ φωτὶ λελαμπρυσμένος τὸ πρόσωπον θησαυρὸς τῷ σῷ πατρὶ Ξενοκράτει, ὦ Θρασύβουλε, καὶ τῷ γένει σου κοινὴν τοῖς πολυθρυλλήτοις τῶν ἀνδρῶν λόγοις ἀπαγγελεῖ τὴν ἐπίδοξον τοῦ ἅρματος νίκην τὴν εὐτυχηθεῖσαν ἐν Δελφοῖς. ἡ γὰρ Κρῖσα τῶν Δελφῶν.

19. Σύ τοι σχέθων νιν ἐπιδέξια] ὁ νοῦς· σὺ τοίνυν, ὦ Θρασύβουλε, δεξιῶς καὶ ἀληθῶς ἄγεις τὴν ἐντολὴν καὶ παραίνεσιν, ἥν ποτε ἐν τοῖς ὄρεσι μονωθέντι τῷ Ἀχιλλεῖ τὸν τῆς Φιλύρας υἱὸν Χείρωνα εἰπεῖν φασιν, ἐξαιρέτως μὲν τὸν μεγαλόφωνον [1]) καὶ ἀστραπῶν καὶ κεραυνῶν δεσπότην Δία παρὰ τοὺς ἄλλους θεοὺς τιμᾶν καὶ σέβεσθαι, ταύτης δὲ τῆς τιμῆς τῆς πρὸς τοὺς θεοὺς μὴ στερίσκειν τῶν γεγεννηκότων τοὺς τὸν εὐδαίμονα βίον, ἐφ' ὧν ζῶσι χρόνων, μετιόντας. καὶ ἔστιν ἡ ἀπόδοσις τοιαύτη· οὕτω καὶ σύ, Θρασύβουλε, περὶ τοὺς θεοὺς καὶ τοὺς γονεῖς φυλάττεις τὴν εὐσέβειαν. τὸ δὲ ὀρφανιζομένῳ Πηλεΐδᾳ ἀντὶ τοῦ χωριζομένῳ ἢ ὀρφανῷ γονέων ὄντι παρὰ τῷ Χείρωνι. τὰς δὲ Χείρωνος ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν, ὧν ἡ ἀρχή·

Εὖ νῦν μοι τάδ' ἕκαστα μετὰ φρεσὶ πευκαλίμῃσιν
Φράζεσθαι· πρῶτον μέν, ὅτ' εἰς δόμον εἰσαφίκηαι,
Ἔρδειν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσιν. [2])

28. Ἐγένετο καὶ πρότερον Ἀντίλοχος] τοῦ δεῖν περὶ τοὺς πατέρας σπουδαῖον εἶναι παράδειγμα τὸν Ἀντίλοχον παρήγαγεν. § ἐγένετο καὶ τοπαλαιόν, φησί, γενναῖος ὁ Ἀντίλοχος, τὸ φρόνημα τοῦτο φέρων τὸ περὶ τοὺς γονέας εὐσεβὲς καὶ δίκαιον, ὅστις ὁ Ἀντίλοχος ὑπεραπώλετο τοῦ πατρὸς τὸν δεινὸν τῶν Αἰθιόπων ὑπομείνας βασιλέα Μέμνονα.

31. Νεστόρειον γὰρ ἵππος ἅρμα] τὸ γὰρ δὴ τοῦ Νέστορος ἅρμα ὁ ἵππος ἐνεπόδιζε τρωθεὶς τοῖς τοῦ Ἀλεξάνδρου βέλεσι. μέμνηται τούτου καὶ Ὅμηρος, ἔνθα φησί· [3])

Σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ.

ὅτι δὲ ὑπὲρ τοῦ πατρὸς ἐτελεύτα ὁ Ἀντίλοχος, κεφαλαιωδέστερον εἶπε· [4])

Τόν ῥ' Ἠοῦς ἔκτεινε φαεινῆς ἀγλαὸς υἱός.

33. Ὁ δ' ἔφεπε] ὁ δὲ Μέμνων ἐπεδίωκε καὶ μεθ' ὁρμῆς διεκίνει τὸ δόρυ. [5])

35. Μεσσανίου δὲ γέροντος] Μεσσήνιον τὸν Νέστορά φασιν οὗτοι, ὅσοι ὑπέλαβον τὴν Πύλον τῆς Μεσσήνης εἶναι, ἀλλ' οὐχὶ τῆς κατὰ τὴν Ἀρκαδίαν Τριφυλίας. ὁ μέντοι Ὅμηρος οἶδεν ὑποτεταγμένην τῇ Λακωνικῇ τὴν Μεσσήνην. [6]) φησὶ γάρ· [7])

Δῶρα τά οἱ ξεῖνος Λάκεδαίμονι δῶκε τυχήσας·
Τῷ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν.

ὁ δὲ νοῦς· τοῦ δὲ Μεσσηνίου γέροντος ταραχθεῖσα ἡ φρὴν ἐβόα τὸν παῖδα. § Ἄλλως. καὶ ὁ Πίνδαρος τὸν Νέστορα ἐκ τῆς Μεσσηνιακῆς Πύλου φησὶν εἶναι. τριῶν γὰρ ὄντων τῶν ἐν Πελοποννήσῳ Πύλων εἷς μέν ἐστιν ὁ περὶ τὸν Ἀλφειὸν ποταμὸν ἐν Ἤλιδι Πύλος, ὃν

1) Mire Gott. μεγαλόφθαλμον. 2) Ex Gott. Quae vulgo hoc loco legebantur, relata sunt in Fragm. Hesiod. p. 444. Loesn. Vs. 1. Buttmannus corrigit τὰ ἕκαστα: deinde codex πευκαλίμοισιν, et ὅταν εἰς σὸν δόμον εἰσαφίκηαι. 3) Iliad. ϑ, 86. 4) Odyss. δ, 188. 5) Gott. 6) Gott. τὴν Λακωνικὴν τῇ Μεσσήνῃ. 7) Odyss. φ, 13. 15.

Digitized by Google

καὶ ὑπὸ Ἡρακλέος πεπορθῆσθαί φασιν· ἕτερος δὲ ὁ Τριφυλιακὸς Πύλος, ἐν ᾧ ὁ Ἀμαθόεις ποταμός· τρίτος ἐν Μεσσήνῃ περὶ τὸ Κορυφάσιον. εἰσὶ δὲ οἵ φασι τοὺς τρεῖς Πύλους ὑπὸ τὸν Νηλέα εἶναι· δοκεῖ δὲ τῷ Διδύμῳ ἐκ τῆς Τριφυλιακῆς Πύλου εἶναι τὸν Νέστορα, ἔνθα καὶ Ἀμαθόεις ἐστὶ ποταμὸς καθ' Ὅμηρον.

37. Χαμαιπετὲς δ' ἄρ' ἔπος] χαμαιπετὲς τὸ εὐτελὲς καὶ μάταιον. § θεῖος ἀνὴρ ὁ Ἀντίλοχος, ὃς δὴ ὑπ' ὀφθαλμοῖς ἔχων καὶ προορώμενος τὸ δεινὸν ὅμως ὑπὲρ πατρὸς μετὰ προθυμίας ἀπέθανεν.

39. Ἐδόκησεν τῶν πάλαι] ἔδοξε τοῖς ἀρχαίοις πρῶτος γεγονέναι πρὸς τὸν πατέρα φιλόστοργος ἐν τοῖς ὁπλοτέροις. τὸ δὲ ἑξῆς· τῶν πάλαι ἔργον τελέσας πελώριον ἐν τῇ γενεᾷ τῶν ὁπλοτέρων ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν ἐδόκησεν. § ὁ δὲ νοῦς· οὐ μάταιον δὲ τὸν λόγον αὐτοῦ ἔρριψεν. ὑπομείνας γὰρ ὁ θαυμαστὸς Ἀντίλοχος ἠγόρασε τῷ μὲν ἰδίῳ θανάτῳ τὴν τοῦ πατρὸς ἀνακομιδὴν καὶ ζωήν, ἔδοξε δὲ ἐν τοῖς ἀρχαιοτέροις πρῶτος γεγονέναι.

44. Τῶν δὲ νῦν καὶ Θρασύβουλος] τῶν δὲ ἀνθρώπων τῶν καθ' ἡμᾶς ὁ Θρασύβουλος πρὸς τὴν τοῦ πατρὸς ἑαυτοῦ στάθμην καὶ ὀρθότητα μάλιστα βαίνει, οἱονεὶ τὸν ἑαυτοῦ πατέρα τιμᾷ. τὸ δὲ πάτρωϊ, τῷ πρὸς πατρὸς θείῳ Θήρωνι. ἐπερχόμενος οὖν πρὸς τὴν τοῦ θείου ἀγλαΐαν, καὶ κατὰ τὸν κόσμον ἴσον ἑαυτὸν ἀπέδειξεν. § ἢ οὕτως· ἀντὶ τοῦ θείῳ, πάτρωϊ ποιητικῶς. τὸν γὰρ Θήρωνα λέγειν θέλει τὸν ἀδελφὸν Ξενοκράτους. ὁ δὲ νοῦς· τῶν δὲ καθ' ἡμᾶς ἀνθρώπων Θρασύβουλος τὴν πρὸς τοὺς πατέρας ἑαυτοῦ στάθμην, εὐθεῖαν ἔχει ἔννοιαν. [1]) πρὸς τὴν στάθμην δὲ τὰ πάντα εὐθύνεται.

47. Νόῳ δὲ πλοῦτον ἄγει] τουτέστι μετὰ λογισμοῦ πλουτεῖ. νόῳ γὰρ ἄγει τὸν πλοῦτον· οὐχ ὑπὸ τοῦ πλούτου εἰς ἀκρασίαν τρέπεται τὸν νοῦν, ἀλλὰ λογισμῷ κατέχει τὸν πλοῦτον ἐφ' ἃ δεῖ, τῆς τε ἥβης ἀπολαύει οὔτε εἰς πλημμέλειαν οὔτε εἰς ὑπεροψίαν ἀποχρώμενος αὐτῇ. § οὔτε εἰς ἄδικον οὔτε εἰς ὑπερήφανον τὴν ἑαυτοῦ ἥβην δρεπόμενος, ἀντὶ τοῦ οὐ καταχρώμενος τῇ ἑαυτοῦ νεότητι πρὸς ἀλαζονείαν, δρεπόμενος δὲ τὴν σοφίαν καὶ καταδεδυκὼς εἰς τοὺς ταύτης μυχούς. ἐκ δὲ τούτου ὅτι ἄγαν σοφός ἐστι δηλοῖ. ἀπὸ κοινοῦ δὲ τὸ δρέπων. § ὁ νοῦς ἄγει, φέρει τὸν πλοῦτον διὰ τῆς φρονήσεως ἐν οἷς δεῖ, καὶ οὐχὶ αὐτὸς φέρεται διὰ τοῦ πλούτου ἐν οἷς οὐ δεῖ. δρεπόμενος, τρυγῶν, ἔχων ἡλικίαν οὔτε ὑπέροπλον, ἤγουν ἀλαζονικὴν, τοιοῦτος ἔνδοξος τὸ γένος τὴν τύχην ὤν, οὔτε μὲν ἄδικον, τὴν δὲ σοφίαν τῶν Πιερίδων ἄγων ἐν τοῖς μυχοῖς τοῦ νοὸς, ἤγουν φρόνιμος ὤν, πράττει τὰ πάντα ὡς τῷ λόγῳ δοκεῖ. [2])

49. Τίν τε Ἐλέλιχθον] σοὶ δὲ, ὦ Πόσειδον, προσέρχεται [3]) καὶ προσοικειοῦται, ὃς εὗρες ἱππείας εἰσόδους, [4]) τουτέστιν ἱππικὰς ἁμίλλας, ὅτι ἱππικὸς ὁ θεός. ἡ δὲ φρὴν αὐτοῦ κατὰ τὴν πρὸς τοὺς συμπότας ὁμιλίαν γλυκεῖά ἐστιν, ὥστε τὰ κηρία παραλλάσσειν καὶ παραπορεύεσθαι τῇ γλυκύτητι τῶν φρενῶν, ἀντὶ τοῦ νικᾶν τὸ μέλι.

1) Gott. εὔνοιαν. 2) Barbarum scholium ex Pal. C. 3) Sic libri, a quibus discedere ob varias in textu lectiones nolui. 4) Gott. ἱππείαν εἴσοδον.

Digitized by Google

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Ζ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑβδόμου εἴδους.

Τῆς ἑβδόμης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἑπτά. Τὸ α' ἰαμβικὸν τρίμετρον καταληκτικόν. Τὸ β' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ γ' σύνθετον ἐκ διμέτρου βραχυκατάληκτον ἰαμβικὸν καὶ πενθημιμερὲς ἰαμβικόν. Τὸ δ' προσοδιακόν. Τὸ ε' Φερεκράτειον ἀπὸ βραχειῶν ἀρξάμενον. Τὸ ς' δίμετρον Ἰωνικὸν καταληκτικόν. Τὸ ζ' δίμετρον τροχαϊκὸν ὑπερκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων θ'. Τὸ α' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ β' τὸ αὐτὸ ὁμοίως. Τὸ γ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ δ' τὸ αὐτὸ ὁμοίως. Τὸ ε' παιωνικὸν δίμετρον καταληκτικόν. Τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ζ' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ η' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' ἰαμβικὸν πενθημιμερές.

Μεγακλεῖ Ἀθηναίῳ.] Γέγραπται ἡ ᾠδὴ Μεγακλεῖ Ἀθηναίῳ νικήσαντι τὴν κε' [1]) Πυθιάδα τεθρίππῳ. ἔστι δὲ οὗτος οὐχ ὁ τὰ Ὀλύμπια νενικηκὼς, ἀλλ' ἕτερος· τὴν δὲ ἐκείνου νίκην τούτῳ προσάπτει ὁ Πίνδαρος συνήθως αὐτῷ. τὴν γὰρ τεσσαρακοστὴν ἑβδόμην ἐκεῖνος Ὀλυμπιάδα ἀναγράφεται νενικηκὼς, [2]) ὁ δὲ τὴν κε' Πυθιάδα. [3]) ἔτε-

[1]) Vulgo τὴν ὀγδοηκοστὴν ὀγδόην, errore immani, quem corrigens Corsinus F. A. T. II, p. 60. scribit τὴν εἰκοστὴν ὀγδόην. Ego tutius iudicavi e Gott. reponere vigesimam quintam Pythiadem, Olymp. 73, 3. quae Megacli Hippocratis filio, Periclis avunculo, optime convenit. [2]) Herodoto VI, 125. et Pindaro vs. 13. vulg. item Isocrate π. ζεύγ. 10. comparatis falsum hoc esse intelligitur, ut recte iudicavit Wessel. ad Herod. VI, 125. qui tamen etiam Schol. Aristoph. Nub. 71. refutare debebat. Megacles, qui Olymp. 45, 2. Archon fuit, vicit credo Pythia Olymp. 47. Sed de his rebus dicam in Commentariis. [3]) Vulgo τὴν ὀγδοηκοστὴν ὀγδόην, Gott. τὴν πς', omissa voce Πυθιάδα. Utrumque absurdum, licet hoc laudet Heynius atque adeo in ordinem receperit. Ego ut mihi constarem, scripsi quod in textu est: sed si quid video, Grammaticus, ex quo haec scholia male excerpta sunt, scripserat vel scribere debebat: ἔστι δὲ οὗτος οὐχὶ τὰ Ὀλύμπια νενικηκὼς, καίπερ εἰρηκότος τοῦ Πινδάρου· μία δ' ἐκπρεπὴς Διὸς Ὀλυμπιάς· ἀλλὰ τὴν τοῦ προγόνου Ἀλκμαίωνος νίκην τούτῳ προσάπτει ὁ Πίνδαρος συνήθως αὐτῷ. καὶ ἕτερός τις Μεγακλῆς τούτῳ ὁμώνυμος τὴν τεσσαρακοστὴν ἑβδόμην Ὀλυμπιάδα ἀναγράφεται Πύθια νενικηκὼς, ὁ δὲ τὰ αὐτὰ τὴν ογ' Ὀλυμπιάδα.

Digitized by Google

ρος δὲ ἂν εἴη Μεγακλῆς τούτῳ ὁμώνυμος. § γέγραπται μὲν ἡ ᾠδὴ Μεγακλεῖ Ἀθηναίῳ ἀναφέροντι τὸ γένος εἰς Ἀλκμαίωνα τὸν γενόμενον ἄγαν πλουσιώτατον. τοῦτον γάρ φασιν ἐληλυθέναι πρὸς Κροῖσον, τὸν δὲ συγχωρῆσαι αὐτῷ διασκευασθῆναι ὡς βούλεται, καὶ σκευὴν ἀναλαβεῖν ὁποίαν προηρεῖτο, καὶ εἰςελθόντα εἰς τὰ βασίλεια καὶ εἰς τὰ ταμιεῖα ἀναλαβεῖν ὅσον βούλοιτο χρυσόν. ὑποδησάμενος οὖν κοθόρνους, οἵ εἰσιν ὑποδήματα Διονυσιακά, καὶ κόλπωμα ποιήσας ἐνεσώρευσε τῷ κολπώματι χρυσόν· ἔτι δὲ καὶ τοὺς πλοκάμους ἐνέδησεν ὑποβαλὼν αὐτοῖς καὶ τῷ στόματι. διὰ δὲ τὸ βάρος βίᾳ ἐπορεύετο· διαχυθεὶς οὖν ὁ Κροῖσος ἐπ' αὐτῷ γέλωτι, ἐπί τε τῇ ὄψει καὶ τῷ γλίσχρῳ, καὶ ἕτερα αὐτῷ προςεδωρήσατο. διά τοι τοῦτο ἐπιφανέστατος κατὰ τὴν Ἀττικὴν γεγένηται, ὡς ἄγαν ὢν πλουσιώτατος· ἀφ' οὗ καὶ οἱ Ἀλκμαιωνίδαι, οἳ καὶ τὴν τῶν Πεισιστρατιδῶν τυραννίδα κατέλυσαν.

1. Κάλλιστον αἱ μεγαλοπόλιες] ὁ λόγος· κάλλιστόν ἐστι προοίμιον τῶν Ἀλκμαιωνιδῶν αἱ Ἀθῆναι, ὥςτε κρηπῖδα ὑποβαλέσθαι τοῦ ἐπαίνου τὸν ἀπὸ τῆς πατρίδος κόσμον. § κάλλιστόν ἐστι προοίμιον τῇ εὐρυσθενεῖ γενεᾷ τῶν Ἀλκμαιωνιδῶν αἱ μεγαλοπόλιες Ἀθῆναι, καὶ θεμέλιον τῆς ᾠδῆς τοῖς ἵπποις βαλέσθαι, καὶ ἀπὸ κοινοῦ· κάλλιστόν ἐστι προοίμιον αἱ Ἀθῆναι· ἀντὶ τοῦ κάλλιστόν ἐστιν ἐπὶ τῇ νίκῃ ἐν τῷ ὕμνῳ ἐγκωμιάσαι τὸν νικηφόρον ἀπὸ τῶν Ἀθηνῶν. εὐρυσθενῆ δὲ εἶπε τὴν γενεὰν αὐτῶν διὰ τὸ τὸν Ἀλκμαίωνα ἀνδρεῖόν τινα καὶ ἐπιφανῆ γενέσθαι, ἀφ' οὗ καὶ οἱ Ἀλκμαιωνίδαι.

4. Ἐπεὶ τίνα οἶκον] ἐπεὶ τίνα πατρίδα τίνα τε οἶκον ἐν τῇ Ἑλλάδι ἐπιφανέστερον τῶν Ἀλκμαιωνιδῶν εἰπεῖν δυνήσομαι; § τίνα ἀκηκοέναι ἐπὶ τῇ Ἑλλάδι περιφανέστερον οἶκον οἰκοῦντα εἴπω; § ἰδίως δὲ τὸ ναίων παρείληπται· ὅθεν τινὲς γράφουσι ναίοντα. [1]) ἄλλοι δὲ γράφουσιν, οἶκόν τ' ἀΐων, ὅ ἐστιν ἀκούων, ἀφαιροῦντες τὸ ν· ἕτεροι δὲ πάλιν τὸ μὲν ν ἀίρουσι, τὸν δὲ τόνον οὕτω προφέρονται, αἰῶν'· ἵν' ᾖ συναλοιφὴ ἀντὶ τοῦ αἰῶνι, οἷον τῷ αἰῶνι ὀνυμάξομαι, τῷ αἰῶνι παρακαταθήσομαι. ὁ δὲ Δίδυμος [2]) ἁπλούστερον ἀκούει· αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι, ἀντὶ τοῦ οἰκῶν· τίνα ἐπιφανέστερον οἶκον ὀνυμάξομαι οὐκ ἐξ ἀκοῆς ἀκηκοὼς, ἀλλ' αὐτὸς ἐγὼ ναίων ἐν τῇ Ἑλλάδι τίνα δυναίμην ἀντ' αὐτῆς ἐπιφανεστέραν ὀνομάσαι; § τὸ δὲ ναίων ἀντὶ τοῦ ναίοντα, ὡς καὶ Ὅμηρος· [3])

Φημὶ γὰρ οὖν κατανεῦσαι ὑπερμενέα Κρονίωνα·

εἶτα ὑποβαίνων Ἀστράπτων ἐπιδέξια, ἀντὶ τοῦ ἀστράπτοντά φησιν.

8. Πάσαισι γὰρ πολίεσιν] ἐν γὰρ πάσαις ταῖς πόλεσιν ὁ λόγος καὶ ἡ φήμη ἀναστρέφεται περὶ τῶν τοῦ Ἐρεχθέως πολιτῶν, τουτέστι τῶν Ἀθηναίων· οἱονεὶ πᾶσα πόλις θαυμάζει τὰς Ἀθήνας καὶ τὰς ἀνδραγαθίας τῆς πόλεως.

9. Ἄπολλον, οἵ τεόν τε δόμον] οἵτινες οἱ Ἀλκμαιωνίδαι, ὦ Ἄπολλον, ἐν τῇ ἐξοχωτάτῃ Πυθῶνι τὸν σὸν οἶκον θαυμαστὸν κατεσκεύασαν. § οἱ μὲν, ὅτι διὰ τὸν ὕμνον καὶ τὴν νίκην ἐπιφανέστερον ἐποίησαν τὸν τοῦ Ἀπόλλωνος νεὼν, οἱ δὲ παρὰ τὴν ἱστορίαν. λέγεται γὰρ ὅτι τὸν Πυθικὸν νεὼν ἐμπρησθέντα, ὥς φασιν, οἱ Ἀλκμαιωνίδαι φυγαδευθέντες ὑπὸ τῶν Πεισιστρατιδῶν [4]) ὑπέσχοντο ἀνοικοδομῆσαι, καὶ δεξάμενοι

1) Sic Gott. Olim ναίοντι. 2) Gott. Ἀπολλώνιος. Mira sane varietas. 3) Iliad. β, 550. 4) Ridicule vulgo: ὅτι τὸν Πυθικὸν ναὸν πρησθέντα, ὥς φασιν, ὑπὸ τῶν Πεισιστρατιδῶν οἱ Ἀλκμαιωνίδαι φυγαδευθέντες ὑπ' αὐτῶν ὑπέσχοντο: nam Delphicum templum a Pisistratidis incensum esse

Digitized by Google

χρήματα καὶ συναγαγόντες δύναμιν ἐπέθεντο τοῖς Πεισιστρατίδαις, καὶ νικήσαντες μετ' εὐχαριστηρίων πλειόνων ἀνῳκοδόμησαν τῷ θεῷ τὸ τέμενος, ὡς Φιλόχορος ἱστορεῖ.

11. Ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ] ἄγουσι δέ με καὶ προτρέπουσιν ἐπὶ τὸν ὕμνον, ὦ Μεγάκλεες, αἱ ὑμῶν νῖκαι καὶ τῶν προγόνων, πέντε μὲν ἐν Ἰσθμοῖ γενόμεναι, μία δὲ ἑξοχωτάτη ἐν Ὀλυμπίᾳ· δύο δὲ ἐκ Δελφῶν. § οὐκ ἐνίκησεν οὗτος Ὀλύμπια, ἀλλὰ ἄλλοι ὁμώνυμοι τούτῳ· [1]) ἕνεκα δὲ τοῦ ἀπολαμπρῦναι αὐτὸν καὶ τὴν προγονικὴν τούτῳ ἀνατίθησι νίκην.

17. Νέᾳ δ' εὐπραγίᾳ χαίρω τι] Ἀρίσταρχος συμβεβηκέναι αὐτῷ τι σύμπτωμα περὶ τὴν νίκην ταύτην· ὅθεν καί φησι τὸ μὲν χαίρειν, τὸ δὲ ἄχνυσθαι, φθόνου τινὸς παρακειμένου τοῖς καλοῖς ἔργοις· οὕτω μέντοι γε γίνεσθαι παραμονίμους τὰς εὐδαιμονίας, ἐπὰν ἔχωσί τι κρᾶμα καὶ δυςτυχήματος. ἔοικε δὲ τὸ περὶ τὴν τοῦ Ἱπποκράτους τελευτὴν περὶ τοῦτον τὸν καιρὸν ἀπηντηκέναι, εἰς ὃν καὶ θρῆνον γράφει ὁ Πίνδαρος· ἦν δὲ ὁ Ἱπποκράτης συγγενὴς τοῦ νικηφόρου. [2]) § Ἄλλως. ἐπὶ τῇ νῦν εὐτυχηθείσῃ νίκῃ χαίρω, ἄχνυμαι δὲ διὰ τὸν Ἱπποκράτην.

23. Τὰ καὶ τά] ἀντὶ τοῦ ἀγαθὰ καὶ κακά. βεβαίαν δέ φησι τὴν εὐδαιμονίαν εἶναι, ὅταν τῇ πολλῇ εὐπραγίᾳ παρέπηταί τι φαῦλον. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ· [3])

Τὸν πέρι Μοῦσ' ἐφίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε·
Ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Η'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ὀγδόου εἴδους.

Τῆς ὀγδόης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ α' ὅμοιον τῷ Τίς σᾶς παρήειρε φρένας. Τὸ β' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ γ' Ἰωνικὸν [4])

nemo dicere poterat, quod casu fortuito conflagraverat. Conf. Wessel. ad Herodot. V, 62. In Gott. pro verbis ὑπ' αὐτῶν est ὑπὸ τῶν Πεισιστρατιδῶν: quo reposito liquet delenda eadem esse post ὥς φασιν, quod ad solum ἐμπρησθέντα pertinet. Idem liber ὥς τινές φασιν. [1]) Heynius habet: ἀλλὰ ἄλλος ὁμώνυμος τούτῳ, vett. edd. ἀλλ' οἱ ὁμώνυμοι τ. Quod dedi, est in Gott. Duos Megacles Olympionicas Scholiastes statuit, alterum Ol. 47. de quo v. ad inscr. alterum Pisistrati aetate, de quo Schol. Aristoph. Nub. 71. et Tzetz. l. c. ap. Corsin. F. A. T. II, p. 61. Sed utrumque falsum iudico. Tzetzes hausit ex scholiis Pindari et Aristophanis. [2]) Immo pater. V. Herodot. VI, 131. Erratum est in Fragm. Pind. ed. Heyn. p. 31. [3]) Odyss. θ, 63. [4]) Vulgo ἰαμβικόν.

Digitized by Google

τρίμετρον βραχυκατάληκτον. Τὸ δ' χοριαμβικὸν δίμετρον βραχυκατάληκτον. [1]) Τὸ ε' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. [2]) Τὸ ς' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. [3]) Τὸ ζ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. [4]) Τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θ' περιοδικόν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἕνδεκα. Τὸ α' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β' ἰαμβικὸν τρίμετρον καταληκτικόν. [5]) Τὸ γ' ἰαμβικὸν πενθημιμερές. Τὸ δ' περιοδικόν· ἢ λέγεται διπλοῦς τροχαῖος, ὑπερκατάληκτον. Τὸ ε' Ἰωνικὸν δίμετρον ἀπὸ μείζονος βραχυκατάληκτον. Τὸ ς' τὸ αὐτὸ ὁμοίως. Τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η' Γλυκώνειον. Τὸ θ' ἀναπαιστικὸν δίμετρον καταληκτικόν. Τὸ ι' ἰθυφαλλικόν. [6]) Τὸ ια' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον ἰθυφαλλικόν.

Ἀριστομένει Αἰγινήτῃ.] Γέγραπται ἡ ᾠδὴ Ἀριστομένει Αἰγινήτῃ παλαιστῇ νικήσαντι τὴν λε' [7]) Πυθιάδα.

1. Φιλόφρον Ἡσυχία] τὴν Ἡσυχίαν προκαλεῖται διὰ τὸ νεωστὶ καταλελύσθαι τὰ Περσικά. δύναται δὲ καὶ ἁπλῶς λέγειν ὁ Πίνδαρος ὡς περὶ εὐνομουμένων τῶν Αἰγινητῶν. καὶ ἐπαινεῖ τὴν ἡσυχίαν ὡς μεγιστόπολιν· ὅπου γὰρ ἡσυχία, καὶ εἰρήνη. Εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος. [8])

3. Βουλῶν τε καὶ πολέμων ἔχοισα κλεῖδας] εἰρήνης μὲν κατὰ τὸ φυλακτικόν, ἐν ᾗ καὶ βουλαί εἰσι· πολέμων δὲ, ἵνα διακλείῃ αὐτοὺς καὶ ἀπείργῃ. § Ἄλλως. ἰδίᾳ Αἰγινήταις ἦσαν στάσεις περὶ τὸν τῆς νίκης τοῦ Ἀριστομένους καιρόν· διὸ καὶ οἰκείως τὴν Ἡσυχίαν κατεύχεται, ποιητικώτατα δὲ τὴν Ἡσυχίαν τῆς Δικαιοσύνης παῖδα εἶναι ἔφη, ᾗ καὶ ἐκ τῶν ἐναντίων τῆς Ἀδικίας τὸν Θόρυβον. § ὁ δὲ νοῦς· ὦ Ἡσυχία φιλοφρονητικὴ καὶ μεγίστη ἐν ταῖς πόλεσιν οὖσα, τῆς Δικαιοσύνης θυγάτηρ, εἰρήνης τε καὶ πολέμων καὶ βουλευτηρίων ἔχουσα τὰς μεγάλας κλεῖς. ὦ μεγιστόπολι, ᾔτοι ὅτι μεγίστας ἀποτελεῖ τὰς πόλεις ἀστασιάστους οὔσας, ἢ ὅτι αὐτὴ μέγα ἐν ταῖς πόλεσιν ἰσχύει. § ἀντὶ τοῦ· ὦ Ἡσυχία, παρὰ Ἀριστομένους δέχου τὴν Πυθικὴν νίκην αὐτοῦ· σὺ γὰρ τὸ ἐπιεικὲς καὶ προσηνὲς ἔρξαι καὶ ποιῆσαι δύνασαι εὐκαίρως, ὁμοδρομοῦντος τῷ καιρῷ τοῦ παθεῖν. τὸ γὰρ ἀτρεκεῖ ἀντὶ τοῦ ὁμοτρεχεῖ, [9]) ὡς ἄλοχος ἡ ὁμόλοχος. [10])

10. Τὺ δ' ὁπόταν τις ἀμείλιχον] σὺ δὲ ὁπόταν τις ἀπροσηνῆ καὶ ἰταμωτάτην ὀργὴν καὶ ὕβριν ἐνθῇ τῇ ἑαυτοῦ καρδίᾳ, τραχεῖα καὶ προσάκτης τῇ τῶν δυσμενῶν

1) Vulgo ὑπερκατάληκτον: recentes praeterea editiones ἰαμβικὸν p. χοριαμβ. male. Hoc metrum ⏑ – ⏑ – | – ⏑ rectius Triclinius choriambicum, quam iambicum dixit, quia plenum putabat tale esse ⏑ – ⏑ – | – ⏑ ⏑ –. 2) Vulgo ἰαμβ. δ. βραχυκατ. 3) Vulgo ὑπερκατ. 4) Vulgo τρίμετρον βραχυκ. 5) Vulgo βραχυκατάληκτον. 6) Sic libri. 7) Immo λβ', ut acute evicit Mueller. Aegin. p. 178. In inscriptione Gott. praebet νικήσαντι λη' Πυθιάδα. 8) Hesiod. Opp. et D. 226. 9) Gott. Rom. ὁμοτρεκεῖ. 10) Haec addidi ex Pal. D.

Digitized by Google

καὶ ἀπηνῶν ἀπαντήσασα κεφαλῇ, τὴν ἀλαζονείαν αὐτῶν ἐν ἀφανείᾳ τιθεῖς. ἔθος δὲ Πινδάρῳ ἀπὸ ἐνικοῦ εἰς πληθυντικὸν καταφέρεσθαι, ὡς κἀνταῦθα· ὅταν τις, εἶτα δυς-μενέων. § Ἄλλως. ἐάν τις, φησὶ, ταραχώδης καὶ ὑβριστὴς γένηται, τοῦτο γάρ ἐστι τὸ, ἀμείλιχον καρδίᾳ κότον ἐνελάσῃ, ὑπαντιάξασα αὐτῷ σὺ, ὦ Ἡσυχία, τουτέστιν ἀπαντήσασα, τραχεῖα τῷ τῶν πολεμίων κράτει, ὅ ἐστι πολέμους ἐπιστήσασα, τιθεῖς αὐτοῦ τὴν ὕβριν ἐν ἄντλῳ, τουτέστι βαπτίζεις αὐτοῦ τὴν ὕβριν τῷ ὕδατι καὶ ἀφανείᾳ. ὡς Ὅμηρος· [1])

Ἄντλῳ δ' ἐνδούπησε πεσοῦσ' ὡς εἰναλίη κήξ. [2])

ὁ δὲ νοῦς ὅλος· σὺ, ὦ Ἡσυχία, τοὺς ἀλαζόνας, τοὺς ὑβριστὰς ἀφανίζεις καὶ ἀμαυροῖς.

15. Τὰν οὐδὲ Πορφυρίων μάθεν] ἣν οὐδὲ ὁ Πορφυρίων γίγας ᾔσθετο παρὰ τὸ καθῆκον ἐξερεθίζων· διόπερ καὶ ἀνῃρέθη. § ὃ δὲ νοῦς· ἥντινα τὴν Ἡσυχίαν ἀπο-στραφεὶς καὶ παρὰ τὸ δέον ἐρεθίζων οὐδὲ ὁ Πορφυρίων ἔγνω· διὸ καὶ ἀπώλετο.

17. Κέρδος δὲ φίλτατον] ὄνησίς ἐστι τῶν διδομένων, ὅταν τις παρ' ἑκόντος λαμβάνῃ, τὸ δὲ μετὰ βίας ἀγόμενον κέρδος ἀνόνητόν ἐστι. τοῦτο δὲ εἶπεν, ὅτι Πορφυ-ρίων ἐπεχείρησεν ἀποσπάσασθαι βοῦς Ἡρακλέος ἄκοντος αὐτοῦ. [3])

19. Βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν] ἡ δὲ τοῦ σώματος ἰσχὺς τὸν μεγαλαυ-χήσαντα ἐπὶ τῇ ῥώμῃ σφάλλει τῷ χρόνῳ· ὑποδείγματι δὲ τῷ Τυφῶνι ἐχρήσατο καὶ τοῖς ἑξῆς.

23. Δμᾶθεν] πάλιν συλληπτικῶς· οὔτε γὰρ ὁ Τυφὼς καὶ ὁ Πορφυρίων ἐκεραυ-νώθησαν καὶ ὑπ' Ἀπόλλωνος ἐτοξεύθησαν, ἀλλ' ὁ μὲν Τυφὼς Διοβλὴς γέγονεν, ὁ δὲ Πορφυρίων ὑπ' Ἀπόλλωνος ἐτοξεύθη. ὁ δὲ τὸ τῷ ἑτέρῳ συμβεβηκὸς ὡς κατ' ἀμφοτέ-ρων ἔφη.

25. Ὅς εὐμενεῖ νόῳ Ξενάρκειον] τὸν Ἀριστομένην· ἔστι γὰρ Ξενάρκους υἱός. πρὸς ὃ τὸ χ', καὶ ὅτι Κίρραθεν εἴρηται, οὗ συντελεῖται ὁ ἀγὼν ὁ ἱππικὸς ὑπὸ Δελφῶν. § ὁ δὲ νοῦς· ὅστις ὁ Ἀπόλλων εὐμενεῖ νόῳ ὑπεδέξατο ἐν Δελφοῖς ἐστεφανω-μένον τῇ δάφνῃ τὸν Ἀριστομένην.

29. Δωριεῖ τε κώμῳ] τῷ τῶν Αἰγινητῶν ὕμνῳ· Δωριεῖς γὰρ ἀπὸ Ἄργους εἰς Αἴγιναν κατῴκησαν. § τὸ δὲ Χαρίτων ἑκὰς, οὐκ ἔξω δὲ Χαρίτων ἡ Αἴγινα, οὐκ ἄχα-ρις, ἀλλὰ τελείαν ἔχει τὴν δόξαν ἐξ ἀρχῆς καὶ οὐ νῦν μόνον.

31. Ἁ δικαιόπολις] ἡ δὲ δικαιόπολις νῆσος Αἴγινα οὐκ ἐξέπεσε τῶν Χαρίτων, θίγουσα ταῖς τῶν Αἰακιδῶν ἀρεταῖς.

35. Πολλοῖσι μὲν γὰρ ἀείδεται] πολλοῖς μὲν γὰρ ἀνυμνεῖται ἀγῶσι καὶ ἐν ταῖς ὀξείαις μάχαις γενναίους καὶ πολεμικοὺς ἀγαγοῦσα ἥρωας, διαπρέπει δὲ καὶ ἐν ἀνδράσιν εὐβουλίας ἕνεκεν καὶ γνώμης.

40. Εἰμὶ δ' ἄσχολος] ἐν ἀσχολίᾳ, φησὶν, εἰμὶ καὶ οὐκ εὐκαιρῶ, ὥστε πᾶσαν τὴν τῆς Αἰγίνης μακρηγορίαν ἀναθεῖναι τῇ λύρᾳ καὶ τῷ ἡδεῖ φθέγματι, οἱονεὶ τῇ ᾠδῇ. § ἀντὶ τοῦ· οὐκ ἔστι καιρὸς τὰ ἐγκώμια τῆς Αἰγίνης καὶ τῶν Αἰακιδῶν λέγειν, μή τις φθόνος βλάψῃ με. § ἤγουν μὴ προσκορὴς ὀφθῶ. § ἀντὶ τοῦ· οὐκ εὐκαιρῶ πᾶσαν αὐτῆς τὴν ἀρετὴν περιλαβεῖν τῷ ὕμνῳ· δεῖ γάρ με τὸν νικηφόρον ἐπαινεῖν, εὐλαβοῦμαι δὲ, μὴ προσκορὴς φανῇ ὁ λόγος μου.

1) Odyss. o, 478. 2) Gott. κῆυξ, vulgo κήϊξ, Pal. D. κέξ. 3) Est etiam in Pal. C.

Digitized by Google

43. *Μὴ κόρος ἐλθὼν κνίσῃ*] ὑπερθέμενος, φησὶ, τὸ παρεκβάσει περὶ Αἰγίνης τι εἰπεῖν, μὴ κόρος ἐπιδράμῃ μοι, ὃ νῦν ἐξείληφα, ἔργον. τὸ δὲ ἐν ποσί μου τρέχον, τουτέστι τὸ πρόσφατον· τί δέ ἐστι τοῦτο; ἡ νίκη. καὶ ταύτην ὑμνήσω. § τὸ τρέχον ὡς ἐπὶ σταδίου τῇ μεταφορᾷ κέχρηται. ποτανὸν ἢ πετόμενον, ἐπεὶ τὰ ποιήματα εἰς πᾶσαν διϊκνεῖται πόλιν, ἢ μετέωρον. § Ἄλλως. τὸ νῦν παρὰ ποσί μου ὄφλημα τοῦτο νῦν τρέχον καὶ μετὰ σπουδῆς παραγινέσθω ταχὺ παρὰ τῇ ἐμῇ γνώμῃ. § ἢ οὕτω· τὸ πρᾶγμα πτηνὸν καὶ τὸ χρέος γινέσθω, τουτέστι τὸ ποίημα ταῖς ἐμαῖς τέχναις, ὥστε καὶ διαπόντιον δύνασθαι εἶναι. νεώτατον καλῶν, πρόσφατον· ὑπέγγυος γὰρ ἡ νίκη. [1])

48. *Παλαισμάτεσσι γὰρ ἰχνεύων*] Θεόγνητος καὶ Κλειτόμαχος θεῖοι τοῦ νικηφόρου· Ὀλυμπιονίκης δὲ ὁ Θεόγνητος, ὁ Κλειτόμαχος δὲ Ἰσθμονίκης. φησὶ δὲ αὐτὸν μὴ κατελέγχειν τοὺς τῆς μητρὸς ἀδελφοὺς, ἀλλὰ κατ' ἴχνη τούτων βαίνειν. § τοῖς γὰρ παλαίσμασι τοὺς πρὸς μητρός σου θείους μεταδιώκων καὶ ζηλῶν οὔτε τὸν Ὀλυμπίᾳ Θεόγνητον νικήσαντα καταισχύνεις οὔτε τὴν Κλειτομάχου ἐν Ἰσθμοῖ νίκην, ἀπὸ κοινοῦ τὸ κατελέγχεις.

53. *Αὔξων δὲ πάτραν Μιδυλιδᾶν*] φατρία ἐν Αἰγίνῃ Μιδυλιδῶν ἀπὸ Μιδύλου προγόνου ἐπιδόξου γεγονότος. αὐτὸς δ' ἐν ἄλλοις, Ἀ Μιδύλου [2]) δ' αὐτῷ γέννα, φησί. μαρτυρεῖ δὲ καὶ Ὅμηρος· [3])

Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,

ἀντὶ τοῦ φατρία. τῷ οὖν σῷ γένει τοῖς Μιδυλίδαις δόξαν προσέθηκας. ὁ δὲ νοῦς· τῶν δὲ Μιδυλιδῶν τὴν φατρίαν αὔξων τὸν λόγον φέρεις ἐκεῖνον, ὃν εἶπέ ποτε Ἀμφιάραος, ἡνίκα ἐθεάσατο ἐν ταῖς ἑπταπύλοις Θήβαις παραμένοντας τοὺς υἱοὺς τῶν ἑπτὰ ἐπὶ Θήβαις, ὅτε ἀπὸ τοῦ Ἄργους τὴν δευτέραν ἐπάνοδον ἐπανῆλθον οἱ Ἐπίγονοι. § τοῦτον, φησὶ, τὸν λόγον φέρεις, ὦ Ἀριστόμενες, ὃν εἶπεν ὁ Ἀμφιάραος ἰδὼν θαρσαλέως πολεμοῦντας τοὺς Ἐπιγόνους κατὰ τῶν Θηβαίων. τί δὲ εἶπε; Φυᾷ τὸ γενναῖον ἐπιπρέπει· ὅτι σώζουσι τὴν τῶν γονέων ἀρετήν. καὶ σὺ δὲ, φησὶ, τοὺς μήτρωας ζηλοῖς τῇ ἀθλήσει. § ἢ οὕτως· ὁ δὲ Ἀμφιάραος τῶν Ἐπιγόνων μαχομένων εἶπε· τῇ φύσει τὸ συγγενὲς ἐκ πατέρων προθύμημα τοῖς παισὶν ἐπιπρέπει. Ὅμηρος· [4])

Οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι,

τουτέστι συγγενικόν.

55. *Τὸν ὅνπερ*] τοῦτον τὸν λόγον εἶπεν Ἀμφιάραος κάτω εἰς τὸν Ἅιδην ὤν· ὡς γὰρ μάντις ἠπίστατο κατὰ τὸν μῦθον τὰ ἐν τῇ γῇ γινόμενα. οὗτος ἐν τῇ πρώτῃ ἐκστρατείᾳ τῇ κατὰ τῶν Θηβῶν τοῦ Ἀδράστου καὶ αὐτὸς παρὼν, τῶν ἄλλων πάντων πανολεθρίᾳ παραδοθέντων αὐτὸν μόνον σχισθεῖσα ἐδέξατο ἡ γῆ εἰς μάντιν τῶν ἐν τῷ Ἅιδῃ ψυχῶν. ἐν δὲ τῇ δευτέρᾳ ἐκστρατεύσει τῇ κατὰ τῶν Θηβῶν τῶν ἀπογόνων τῶν πρώην ἐκεῖσε θανατωθέντων ἰδὼν τούτους ἐκεῖσε ὢν κατὰ τὸν Ἅιδην Ἀμφιάραος ὑπεραπεδέξατο τούτους καὶ ἐνεκωμίασεν ὡς σώζοντας τὴν τῶν πατέρων αὐτῶν ἀνδρείαν καὶ εὐγένειαν, καὶ μάλιστα τὸν υἱὸν αὐτοῦ Ἀλκμᾶνα. ἔνθα εἶπε καὶ περὶ τοῦ Ἀδράστου, ὡς πρώην μὲν τοῦ στρατοῦ ὀλωλότος αὐτὸς μόνος ἐσώθη, νῦν δὲ τὸ ἐναντίον τούτῳ ἀποβήσεται·

1) Ex Gott. 2) Sic Gott. Vulgo *Μιδυλίδου*, et contra sententiam et contra grammaticam Pindaricam, ex qua esse debebat *Μιδυλίδα*. 3) Iliad. *ν*, 354. 4) Iliad. *ε*, 253.

Digitized by Google

τοῦ γὰρ στρατοῦ παντὸς σωθέντος καὶ μετὰ νίκης μεγάλης ἀποστρέψαντος αὐτὸς μόνος τοῦ υἱοῦ θανόντος τὰ ὀστέα συλλέξας οἴκαδε ἀποστρέψει. [1])

56. Ἰδὼν υἱοὺς Θηβαίων ᾐνίξατο] ἀντὶ τοῦ ἀπεφθέγξατο· οὐ γὰρ αἰνιγματωδῶς εἶπε. καὶ παρ' Ὁμήρῳ· [2])

Ὀθρυονεῦ, πέρι δή σε βροτῶν αἰνίζομ' [3]) ἀπάντων.

πῶς δὲ ταῦτά φησιν ὁ Ἀμφιάραος, εἰ μὴ ὅτι, ὅπου ζῶν κατεπόθη, κατά τινα θείαν ἐπίνοιαν [4]) προσδιελέγετο τοῖς Ἐπιγόνοις. § Ἄλλως. ᾐνίξατο ἐπήνεσεν εἶπε παρὰ τὸν αἶνον. [5])

64. Θεάομαι σαφὲς δράκοντα] τοῦτό φησιν ὡς τοῦ Ἀλκμάνος ἔχοντος ἐπὶ τῆς ἀσπίδος ἐπίσημον δράκοντα. θεωρῶ γάρ, φησί, σαφῶς ἐν ταῖς Θήβαις τὸν Ἀλκμάονα, ἐπίσημον ποικίλον δράκοντα ἐπὶ τῆς καταπληκτικῆς ἀσπίδος διακινοῦντα. αἰθᾶς, τῆς λαμπρᾶς παρὰ τὸ αἴθειν. § διατί δὲ ὁ Ἀλκμαίων εἶχεν ἐπὶ τῆς ἀσπίδος δράκοντα; ὅτι ἐπιτήδειον πρὸς οἰωνοὺς τὸ ζῶον καὶ καταδῦνον εἰς τὰς ὀπὰς τῆς γῆς, μάντις δὲ καὶ ὁ Ἀμφιάραος, καὶ κατέδυ καὶ αὐτὸς ὑπὸ γῆν· ὁ δὲ παῖς σημεῖον τῆς τοῦ πατρὸς ἔσωζε τέχνης. § ἢ καθὸ ἦν ἀπὸ Μελάμποδος. ἱστοροῦσι δὲ δύο δράκοντας διαλεῖξαι τὰς ἀκοὰς τοῦ Μελάμποδος καὶ διατρῆσαι· [6]) διὸ καὶ δοκεῖ αἰσθάνεσθαι τῆς τῶν ἀλόγων ζώων φωνῆς.

68. Ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ] ὁ δὲ τῷ προτέρῳ πάθει καμὼν καὶ τὸν στρατὸν ἀπολέσας Ἄδραστος νῦν κρείσσονος οἰωνοῦ ἐνέχεται ἀγγελίᾳ· νικήσει γὰρ τῇ μάχῃ, τὸ δὲ κατὰ τὸν ἴδιον οἶκον ἐναντίως πράξει. πρότερον μὲν γὰρ ἐσώθη μόνος, κατὰ δὲ τὴν δευτέραν στρατείαν πάντων σωθέντων, αὐτὸς μόνος τὸν υἱὸν ἀπέβαλεν Αἰγιαλέα, ὡς φησιν Ἑλλάνικος λέγων ἐν Γλίσαντι τὴν συμβολὴν γεγενῆσθαι. § ἢ οὕτως· ὁ δὲ καμὼν Ἄδραστος τῇ προτέρᾳ συμφορᾷ, νῦν βελτίονος ἔχεται τύχης, τῇ τοῦ ὄρνιθος ἀγγελίᾳ καὶ κληδόνι. μάντις γὰρ καὶ οἰωνιστὴς ὁ Ἀμφιάραος.

73. Μόνος γὰρ ἐκ Δαναῶν] μόνος γὰρ τῶν Ἑλλήνων τοῦ Θηβαίου στρατοῦ, τελευτήσαντος τοῦ υἱοῦ τὰ ὀστᾶ συναγαγὼν καὶ συλλέξας ἀφίξεται εἰς τὸ Ἄργος σὺν τῷ στρατοπέδῳ ἀβλαβεῖ καὶ περισωθέντι. § ἐναντίως τοῖς πᾶσι τὰ κατὰ οἶκον πράξει· μόνος γὰρ τὸν παῖδα ἀπολέσει. ἐν γὰρ τῇ πρώτῃ στρατείᾳ οἱ μὲν ἄλλοι ἓξ στρατηγοὶ ἀπώλοντο, ἐν δὲ τῇ δευτέρᾳ, ὅτε οἱ Ἐπίγονοι, μόνος ὁ Ἀδράστου παῖς Αἰγιαλεὺς ἀπώλετο. οὕτω καὶ ἐξ αὐτοῦ φασιν Ἀδράστειαν κληθῆναι τὴν Νέμεσιν. Ἄβαντος δὲ ἀγυιὰς [7]) τὸ Ἄργος φησίν, ὅτι Ἄβας ὁ Λυγκέως Ταλαοῦ πατήρ, ἐξ οὗ ὁ Ἄδραστος, ᾤκησε τὸ Ἄργος, εἶτα μετέστη εἰς Εὔβοιαν. ὅτι δὲ Λυγκέως Ἄβας, ἐξ ἐκείνου δῆλον·

Σφαγὰς δὲ Δαναοῦ παρθένων Λυγκεὺς φυγὼν
Ἄβαντα φύει διάδοχον τυραννίδος. [8])

79. Χαίρων δὲ καὶ αὐτός] ὡς ἀπὸ τοῦ χοροῦ τὸ πρόσωπον μιμουμένου τοῦ νενικηκότος. ταῦτα δὲ εἴρηκεν ὡς ὑπάρχοντος ἥρωος καὶ γειτνιῶντος τῇ τοῦ νικηφόρου οἰκίᾳ, προσυποτίθεται δὲ ὅτι καὶ ὑπήντησε πορευομένῳ εἰς τὸν ἀγῶνα καὶ τῆς μαντείας

1) Ex Pal. C. 2) Iliad. ν, 374. 3) Gott. αἰνίξομ'. 4) Heynius pulcre coniecit ἐπίπνοιαν. 5) Gott. 6) Vulgo additur πρὸς ἄλληλα, quod omisi cum Gott. 7) Vs. 77. vulg. 8) Videtur ex prologo tragoediae Euripideae esse, fortasse Danaes aut Sthenoboeae.

Digitized by Google

ἐφήψατο καὶ αὐτὸς ὢν μάντις. ἐμφαίνει δὲ διὰ τούτων, ὅτι ἐγεγόνει τις μαντεία περὶ τῆς νίκης αὐτοῦ. § Ἄλλως. ἐφηδόμενος δὲ καὶ αὐτὸς τὸν Ἀλκμάονα στεφανῶ τῇ ᾠδῇ, ὅτι δή μοι ὁ τούτου πατὴρ Ἀμφιάραος γείτων ἐστὶ καὶ φύλαξ τῶν ἐμῶν κτημάτων, καὶ ὅτι ἀπιόντι εἰς τὸν τῆς γῆς ὀμφαλὸν, τουτέστιν εἰς τὴν Πυθῶνα, ἀπήντησε καὶ τῶν μαντευμάτων ἐφήψατο τοῖς συγγεννηθεῖσιν αὐτῷ. τυχὸν δὲ λέγει συγγόνοις τέχναις. § Ἄλλως. τῇ Ἀριστομένους οἰκίᾳ παρίδρυτο Ἀλκμάονος ἡρῷον, ἴσως δὲ καὶ τῇ αὐτοῦ μαντείᾳ χρησάμενος ἐπὶ τὸν ἀγῶνα ἐπορεύθη καὶ ἐνίκησεν. § ἐπεὶ οἱ ἀπὸ τοῦ χοροῦ Αἰγινῆταί εἰσιν. [1]) § ἐπεὶ ἐκ προγόνων ἦν μάντις, διὰ τοῦτο εἶπε συγγόνοισι. [2])

88. Τὺ δ' ἑκατηβόλε] σὺ δὲ, ὦ Ἄπολλον, τὸν πάντας δεχόμενον ἐν τῷ Πυθῶνι νεὼν εὐδόξως διανέμων τοῦτο μὲν τὸ κλέος τὸ μέγιστον τῆς νίκης αὐτόθι ἐν τῷ Πυθῶνι παρέσχες, ἐν Αἰγίνῃ δὲ πρὸ τούτων ἐνίκησε τὰ Δελφίνια Ἀπόλλωνος ἀγῶνα. § ὡς τοῦ Ἀριστομένους, πρὶν λαβεῖν τὰ Πύθια, νενικηκότος ἐν οἴκῳ, τουτέστιν ἐν Αἰγίνῃ ἀγῶνα ἱερὸν Ἀπόλλωνος πένταθλον. ἄγεται δὲ ἐν Αἰγίνῃ Δελφίνια Ἀπόλλωνι. τὸ δὲ ὑμαῖς ἀντὶ τοῦ ταῖς σαῖς, καὶ πλεονάζει τούτῳ ὁ Πίνδαρος. τιμᾶται δὲ σφόδρα ἐν Αἰγίνῃ Ἀπόλλων καὶ Ἄρτεμις.

95. Ἑκόντι δ' εὔχομαι νόῳ] σοὶ δὲ, ὦ Ἄπολλον, εὔχομαι ἐφορᾶν σε ἕκαστον τῶν ποιημάτων, ὅσα κατά τινα ἁρμονίαν ἐπέρχομαι καὶ γράφω. § Ἄλλως. εὔχομαί σοι, ὦ Ἄπολλον, καθ' ἁρμονίαν πρὸς πάντα ἔρχεσθαι πράγματα, οἷον πρὸς μηδὲν πλημμελῶς ἔρχεσθαι.

99. Κώμῳ μὲν ἀδυμελεῖ] τῷ μὲν χορῷ ἡμῶν δικαιοσύνη παρέστηκε, τουτέστιν οὐ ψευδόμεθα οἷς λέγομεν περὶ τοῦ Ἀριστομένους, ἤτοι δικαίως κωμάζεται ὁ Ἀριστομένης καὶ ἐπιτηδείως· ἀγαθὸς γάρ ἐστι. τὴν δὲ τῶν μετὰ ταῦτα ἐπιστροφὴν παρὰ τῶν θεῶν εὔχομαι ἀνεπίφθονον ἐπὶ ταῖς ὑμετέραις τύχαις [3]) γενέσθαι. ὁ δὲ Ξενάρκης πατὴρ τοῦ νικηφόρου.

103. Εἰ γάρ τις ἐσλὰ πέπαται] εἰ γάρ τις, φησὶν, ἀγαθὰ κέκτηται μὴ σὺν πολλῷ πόνῳ ἀλλὰ ῥᾳδίως, τοῖς πολλοῖς τῶν ἀνθρώπων δοκεῖ σοφὸς ὢν ἐν ἄφροσι τὸν ἑαυτοῦ βίον κορύσσειν, τουτέστιν αὔξειν, τοῖς ὀρθοβούλοις ἑαυτοῦ ἐπιτεχνήμασιν. § ἢ οὕτως· εἴ τις ἄνευ πόνου ἀγαθόν τι περιεκτήσατο, τοῦτον οἱ πολλοὶ τῶν ἀνθρώπων [4]) δοκοῦσι σοφὸν εἶναι, καὶ τοῦτο ἐκ τῆς σοφίας δοκεῖ οὕτω περιπεποιῆσθαι. ἐγὼ δέ φημι τοῦτο ἐν θεῷ εἶναι, καὶ ἔστι τὸ δαιμόνιον αἴτιον τῆς κτήσεως. πέπαται δὲ, ἀντὶ τοῦ κέκτηται, καὶ Ὅμηρος· [5]) Πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ, τουτέστι πλουσίου.

107. Τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται] ταῦτα δὲ οὐκ ἔστιν ἐν ἀνθρώποις, τὸ ἐκ περινοίας κτήσασθαι· τὸ δαιμόνιον δὲ ἑκάστῳ παρέχει.

109. Ἄλλοτε δ' ἄλλον ὕπερθε βάλλων] ἐπεὶ προεῖπεν ὅτι ὁ δαίμων παρέχει πάντα, ἐπήγαγεν ὅτι ποτὲ μὲν ἄλλοτε ἄλλον ὑψηλὸν ποιῶν, ἄλλοτε δὲ ὑποχείριον καὶ οἰκτρὸν καὶ ταπεινόν.

111. Μέτρῳ καταβαίνει] ὑπὸ χειρῶν μέτρα περιφραστικῶς περὶ τὰς χεῖρας,

1) Gott. 2) Gott. 3) Vulgo εὐχαῖς. Correxit Schneiderus. 4) Vulgo ἀφρόνων: recepi lectionem cod. Gott. etsi vulgata propius ad textum accedit. 5) Iliad. δ, 433.

Digitized by Google

ἀντὶ τοῦ τῇ χειρὶ αὐτοῦ καὶ τῇ ἐξουσίᾳ. [1]) § ἀντὶ τοῦ καταβαίνειν ποιεῖ. μεμετρημένα ἑκάστῳ τὰ κακὰ καὶ τὰ ἀγαθὰ παρέχεται, οὔποτε τῶν ἐν μονίμῳ τύχῃ κρατῶν. [2])

113. Μυχῷ τ' ἐν Μαραθῶνος] ἔχεις γέρας ἀπὸ κοινοῦ. τουτέστι τὰ Παναθήναια. [3])

Ἥρας τ' ἀγῶν' ἐπιχώριον] ὡς καὶ ἐν Αἰγίνῃ Ἡραίων ἀγομένων κατὰ μίμησιν τοῦ ἐν Ἄργει ἀγῶνος· ἄποικοι γὰρ Ἀργείων Αἰγινῆται. Δίδυμος δέ φησι τὰ Ἑκατόμβαια αὐτὸν νῦν λέγειν ἐπιχώριον ἀγῶνα Αἰγινητῶν διὰ τὴν συγγένειαν.

115. Νίκαισι τρισσαῖς] σὺν ταῖς τρισὶ ταύταις νίκαις καὶ τὰ Πύθια νικήσας τέτρασι σώμασι τῶν ἀνταγωνιστῶν ἄνωθεν ἐνέπεσεν, ἧττον αὐτῶν φροντίζων. τὸ δὲ δαμάσαις ἔργῳ, ἀντὶ τοῦ μετ' ἔργου καὶ ἐνεργείας πολλῆς καθυποτάξας σαυτῷ.

117. Τέτρασιν] ὡς ἄνευ κλήρου τέσσαρας παῖδας προκαλεσαμένου καὶ νικήσαντος. [4])

119. Τοῖς οὔτε νόστος ὁμῶς] οἷς τισι τοῖς ἡττηθεῖσιν ἐκ τῆς Πυθίας ἡ ἀνακομιδὴ οὔτε ἡδεῖα οὔτε προσηνὴς ἐγένετο, οὔτε ἐλθόντων αὐτῶν ἐπὶ τὴν πατρίδα παρὰ [5]) τὴν μητέρα καὶ τοὺς γονεῖς γέλως γλυκὺς χάριν ἐκίνησε τὴν ἐκ τῆς νίκης· ἐκ δὲ τοῦ ἐναντίου λύπη καὶ συμφορὰ γέγονεν αὐτοῖς ὡς ἡττηθεῖσιν.

124. Ἐχθρῶν ἀπάοροι] ἀφωρισμένοι, κεχωρισμένοι, οἷον εὐλαβοῦνται καὶ φεύγουσι τοὺς ἐχθροὺς τῇ τῆς ἥττης συμφορᾷ δακνόμενοι.

126. Ὁ δὲ καλόν τι νέον λαχών] ὁ δὲ νεωστὶ καλὸν καταπραξάμενος καὶ νικήσας, ἀπὸ [6]) μεγάλης ἁβρότητος καὶ εὐδαιμονίας ἐκ τῶν εὐτυχηθεισῶν ἐλπίδων ὑψοῦται, ταῖς ταχείαις αὐτοῦ ἐπαιρόμενος ἀνδρείαις, ἔχων καὶ κρείττονα πλούτου τὴν φρονῖδα, τουτέστι τὴν νίκην. § Ἄλλως. ὁ δὲ καλῶς πράξας ὑπὸ τῶν ἐλπίδων μετέωρος φέρεται.

131. Ἐν δ' ὀλίγῳ βροτῶν τὸ τερπνὸν αὔξεται] λείπει τὸ χρόνῳ. τουτέστι χρόνον μικρὸν αὔξει τοὺς ἀνθρώπους καὶ καταβάλλει ἡ τυχοῦσα πρόφασις. ἔξωθεν οὖν προσληπτέον τὸ χρόνῳ. § ἐν ὀλίγῳ δὲ χρόνῳ τὸ τῶν ἀνθρώπων ἡδὺ καὶ καλὸν εἶναι δοκοῦν αὔξεται καὶ παραμένει· οὕτω δὲ καὶ πάλιν ταχέως αὐξηθὲν τὸ ἀγαθὸν ἀφανίζεται ἀηδεῖ τινι γνώμῃ. ἀποτρόπῳ· τῇ παρὰ τρόπον καὶ παρὰ τὸ δέον ἐχθρᾷ γνώμῃ καὶ πείρᾳ σεσεισμένον καὶ νικηθὲν καὶ οὐ κατὰ τὴν ἡμῶν δόκησιν.

135. Ἐπάμεροι, τί δέ τις, τί δ' οὔτις;] τῶν ἀνθρώπων τῶν ἐφημέρων τί ἄν τις εἴποι ὅτι ἔστι τις, ἢ πάλιν ὅτι οὐκ ἔστι; ταχέως μὲν γάρ ἐστιν εἰπεῖν, ὅτι ἐστί τις οὗτος, ταχέως δὲ ὅτι οὐδείς, διὰ τὴν μετάπτωσιν τῶν πραγμάτων. διὰ τοῦτο δὲ καὶ ἐπιφέρει, ὅτι σκιᾶς ὄναρ ἄνθρωποι, εὖ τῇ ἐμφάσει χρώμενος, ὡς ἄν τις εἴποι τοῦ ἀσθενοῦς τὸ ἀσθενέστερον. οὐ γὰρ οἷον ἀνθρώπου ὄναρ ἐστίν, ἀλλὰ σκιᾶς ἀνθρώπου. § ἢ οὕτως· ἐπάμεροι· [7]) ὦ ἄνθρωποι, τίς ἐστιν ὁ δοκῶν εἶναι καὶ μέγας καὶ πλούσιος; τίς δὲ ὁ νομιζόμενος οὐδεὶς καὶ εὐτελής; ὀνείρατα σκιᾶς ἐσμεν οἱ ἄνθρωποι.

1) Ex Gott. Sed delevi ποιῶν post μέτρα, et ποιεῖ post χεῖρας, et addidi τῇ post ἀντὶ τοῦ. 2) Haec corrupta videntur. 3) Haec Gott. sane inepta: nam Heraclea Marathone celebrabantur. Delevi ἀντὶ τοῦ post Μαραθῶνος. 4) Gott. 5) Sic Schneiderus; vulgo περί. 6) Idem corrigit ἐπί. 7) Cf. Both. Pind. T. II, p. 154.

Digitized by Google

136. Ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ] ἀλλ' ὅταν ἐκ Διὸς δεδομένη αἴγλη ἐπέλθῃ, τουτέστιν ὅταν ὁ Ζεὺς ἐπιλαμπρύνῃ, ἡδὺς ὁ βίος γίνεται τοῖς ἀνθρώποις. § ἀλλ' ὅταν αἴγλη τις καὶ φῶς ἐκ θεοῦ παραγένηται, λαμπρὸν φέγγος [1]) ἔπεστι κατὰ τῶν ἀνθρώπων καὶ προσηνὴς ὁ βίος καὶ ἡ ζωή. § ἐπιμέμφονται δέ τινες τῷ Πινδάρῳ, ὅτι ἐγκώμιον γράφων θρηνεῖ τὸν ἀνθρώπινον βίον.

140. Αἴγινα, φίλα μᾶτερ] τὸν λόγον πρὸς τὴν ἡρωΐδα ἀπέστρεψεν, ἀφ' ἧς καὶ ἡ νῆσος. ὁ δὲ νοῦς· ὦ προσφιλεστάτη μῆτερ Αἴγινα, τὴν ὁμώνυμόν σοι πόλιν φύλασσε καὶ περίεπε σὺν ἐλευθερίᾳ, φύλασσε δὲ σὺν τῷ Διὶ καὶ τῷ βασιλεῖ Αἰακῷ καὶ τοῖς ἐξ αὐτοῦ ἥρωσιν. § ἢ οὕτω· τοῦτο ἐκ τοῦ χοροῦ λέγοιτο ἂν, ὥστε τὴν Αἴγιναν μητέρα τῶν χορευόντων λέγεσθαι. ἐλευθέρῳ δὲ στόλῳ ἀντὶ τοῦ ἐλευθέρᾳ στάλσει ἢ στάσει καὶ σχήματι, μὴ ταραττομένῃ [2]) ὑπ' ἄλλοις.

142. Διὶ καὶ κρέοντι σύν] τὸ χ', ὅτι ὑπερβάτως εἴρηκε Διὶ καὶ κρέοντι σὺν Αἰακῷ. [3])

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Θ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἐννάτου τῶν Πυθίων εἴδους.

Τῆς ἐννάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ιε'. Τὸ α' ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, εἰς ἴαμβον καταλῆγον. Τὸ γ' Ἀρχιλόχειον, ὅμοιον τῷ Ἐρασμονίδα Χαρίλαε. [4]) Τὸ δ' πενθημιμερὲς δακτυλικόν. Τὸ ε' τὸ αὐτὸ τῷ γ', ἀλλὰ τοῦτο δωδεκάσημον, τὸ δὲ γ' ἑνδεκάσημον. Τὸ ς' δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ζ' δίμετρον Ἰωνικὸν ἀπ' ἐλάσσονος ἀκατάληκτον. Τὸ η' δακτυλικὸν πενθημιμερές. Τὸ θ' τρίμετρον δακτυλικὸν ἀκατάληκτον. Τὸ ι' δακτυλικὸν πενθημιμερές. Τὸ ια' τὸ αὐτὸ τῷ γ' καὶ ε'. Τὸ ιβ' δακτυλικὸν πενθημιμερές. Τὸ ιγ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιδ' τὸ αὐτὸ τῷ ιγ'. Τὸ ιε' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ἐστὶ ιδ'. Τὸ α' Πινδαρικόν· ἔστι δὲ ἐγκωμιολογικόν. Τὸ β' δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ'

1) Sic Gott. Vulgo φάος. 2) Sic idem. 3) Ex Gott. qui tamen in lemmate: σὺν Διὶ καὶ κρέοντι] et deinde iterum σὺν Διὶ κ. κρ. καὶ Αἰακῷ. 4) Rom. Χαρμόλαε. Versus notus est Archilochi.

Digitized by Google

πενθημιμερὲς δακτυλικόν. Τὸ ε' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀνακλώμενον. Τὸ ι' Πινδαρικὸν παρὰ τὸ πρῶτον Σαπφικὸν καὶ ἰαμβέλεγος. Τὸ ια' ἰαμβέλεγος μετατεθεικὼς τὴν πρώτην ἐπὶ τὴν τελευταίαν συλλαβήν. Τὸ ιβ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιγ' δακτυλικὸν πενθημιμερές. Τὸ ιδ' ὅμοιον τῷ πρώτῳ.

Τελεσικράτει Κυρηναίῳ.] Γράφει ὁ Πίνδαρος τὴν ᾠδὴν Τελεσικράτει νικήσαντι τὴν εἰκοστὴν ὀγδόην [1]) Πυθιάδα. ἐνίκησε μέντοι καὶ στάδιον τὴν λ' Πυθιάδα, οὐ φαίνεται δὲ ὁ Πίνδαρος ταύτης τῆς νίκης μνημονεύων, ἴσως ὅτι προφθάσας τῆς εἰκοστῆς ὀγδόης ἔγραψεν. § Ἄλλως. γράφεται Τελεσικράτει Κυρηναίῳ ὁπλιτοδρόμῳ νικήσαντι τὴν κη' Πυθιάδα, τῇ δὲ λ' στάδιον· παρὸ δὴ οὐ μνημονεύει τῆς ἐν τῷ σταδίῳ νίκης. τούτου δὲ ἀνάκειται ἐν Δελφοῖς ἀνδριὰς ἔχων κράνος. ἐκ προγόνων δέ ἐστι δρομεύς· Ἀλεξίδαμον γάρ φησιν αὐτοῦ εἶναι πρόγονον Λίβυν, ἐλθόντα ἐπὶ τὴν Ἀνταίου θυγατέρα καὶ ἀγωνισάμενον. πολλοὶ δὲ ταύτης μνηστῆρες.

1. Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν] χαλκάσπιδά φησιν, ὅτι σὺν ἀσπίσι χαλκαῖς τὸν ὁπλίτην ἔτρεχον δρόμον. τὸ ἑξῆς δέ· σὺν βαθυζώνοις Χάρισιν. § ὁ νοῦς· βούλομαι τὸν Πυθιονίκην Τελεσικράτην ἐγκωμιάζων σὺν ταῖς βαθυζώνοις Χάρισιν ἀνυμνεῖν, εὐδαιμονέστατον ἄνδρα, στέφανον καὶ δόξαν ὄντα τῆς ἱππικῆς Κυρήνης.

6. Τὰν ὁ χαιτάεις] εἰς τὴν ἡρῳΐδα, ἀφ' ἧς τοὔνομα ἔλαβεν ἡ πόλις Κυρήνη, μετάγει τὸν λόγον. ἀπὸ δὲ Ἠοίας Ἡσιόδου τὴν ἱστορίαν ἔλαβεν ὁ Πίνδαρος, ἧς ἡ ἀρχή:

Ἢ οἵη Φθίη [2]) Χαρίτων ἄπο κάλλος ἔχουσα
Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη.

§ ὁ δὲ νοῦς· ἥντινα τὴν Κυρήνην ὁ κομήτης Ἀπόλλων ἐκ τῶν ὑψηλῶν τοῦ Πηλίου κόλπων ἥρπασε καὶ ἤνεγκε χρυσῷ δίφρῳ, τὴν θηρευτικὴν καὶ ἀγρευτικὴν παρθένον. § ἀνεμοσφαράγων· τῶν ψόφον ἀποτελούντων ἐκ τοῦ ἀνέμου. [3])

11. Τόθι νιν πολυμήλου] ἔνθα αὐτὴν τῆς πολυπροβάτου καὶ εὐκάρπου γῆς ἔθηκε δέσποιναν, καὶ οἰκεῖν θάλλουσαν καὶ γαυριῶσαν τὴν ἐπέραστον τρίτην μοῖραν τῆς ἠπείρου γῆς, τουτέστι τὴν Λιβύην. § τὸ χ', ὅτι τὴν Λιβύην τρίτην εἶπε ῥίζαν γῆς διὰ τὸ διαιρεῖν τινας ὅλην τὴν οἰκουμένην εἰς Ἀσίαν καὶ Εὐρώπην καὶ Λιβύην. § εἰς ἔπαινον δὲ καὶ τοῦτο εἴληφε· τουτέστιν, ὅτι ἡ Λιβύη τρίτον ἐστὶ τῆς οἰκουμένης καθ αὐτὴν, καὶ οὐ τῇ Ἀσίᾳ συνταττομένη.

16. Ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτη] ζητεῖται, διατί καὶ ἐνταῦθα ἡ Ἀφροδίτη εὑρίσκεται συμπροπέμπουσα τὸν Ἀπόλλωνα καὶ ἐφαπτομένη τοῦ δίφρου. καὶ ἤτοι ὅτι μετέρχεται τὰ γαμήλια ἔργα ἡ θεός· Ὅμηρος· [4])

Ἀλλὰ σύγ' ἱμερόεντα μετέρχεο ἔργα γάμοιο·

ἢ ὅτι, ὡς αὐτός φησι, [5]) κῆπος Ἀφροδίτης ἡ Λιβύη. καὶ ἴσως διὰ τὸ ἐπέραστον τῶν

1) Gott. λη'. 2) Vulgo Ἠοίη Φθίη. Fragm. Hes. p. 445. Ruhnk. Epist. crit. p. 107. 3) Gott. 4) Iliad. ε, 429. 5) Vs. 91. vulg.

Digitized by Google

χωρίων· οὐκ ἔχομεν γὰρ ἐξ ἱστορίας δεῖξαι, ὅτι ἱερὰ ἦν ἡ Λιβύη τῇ θεῷ. § ὁ δὲ νοῦς· ὑπεδέξατο δὲ ἡ λευκόπηχυς Ἀφροδίτη τὸν Δάλιον ξένον, τουτέστι τὸν Ἀπόλλωνα, κούφως καὶ ἠρεμαίως τῶν θείων ὀχημάτων τῇ χειρὶ αὐτῆς ἁπτομένη. § ξένον δὲ ἔφη τῇ Κυρήνῃ τὸν Ἀπόλλωνα διὰ τὸ νῦν πρῶτον ἐπιδημῆσαι. διὰ τιμῆς δὲ ἄγουσι τὸν θεόν.

19. Καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς] καὶ δὴ αὐτῶν ταῖς γλυκεραῖς κοίταις ἐπέραστον ἔβαλεν αἰδῶ, κοινὸν ἁρμόζουσα τὸν μιχθέντα γάμον τῷ θεῷ καὶ τῇ τοῦ Ὑψέως κόρῃ Κυρήνῃ.

24. Ὅς Λαπιθᾶν ὑπερόπλων] ὅστις ὁ Ὑψεὺς τῶν ἀιδρειοτάτων Λαπιθῶν βασιλεὺς ἐτύγχανεν ἐξ Ὠκεανοῦ δεύτερος κατάγων τὸ γένος. ἐξ Ὠκεανοῦ γὰρ Πηνειὸς ὁ ποταμὸς, ἀφ' οὗ ἐγένετο ὁ Ὑψεύς.

27. Ὅν ποτε Πίνδου κλεεννᾶς ἐν πτυχαῖς] τῷ Θετταλικῷ ὄρει· Πίνδος γὰρ ὄρος Περῥαιβίας, ἡ δὲ Περῥαιβία τετράπολις τῆς Θεσσαλίας. τὸ δὲ Ναῖς εὐφρανθεῖσα, ἀντὶ τοῦ πανηυχίσασα διὰ τὴν εὐφροσύνην. Ναΐδος δὲ καὶ Πηνειοῦ τὸν Ὑψέα Φερεκύδης, Ἀκέσανδρος δὲ Φιλλύρας τῆς Ἀσωποῦ καὶ Πηνειοῦ ἱστορεῖ τὸν Ὑψέα. § ὁ δὲ νοῦς· ὅντινα τὸν Ὑψέα ποτὲ ἐν ταῖς ἐξοχαῖς τοῦ Πίνδου ἡ Ναῖς εὐφρανθεῖσα τῇ τοῦ Πηνειοῦ μίξει ἐγέννησε Κρέουσα Γῆς οὖσα θυγάτηρ.

31. Ὁ δὲ τὰν εὐώλενον θρέψατο] ὁ δὲ Ὑψεὺς τὴν λευκόπηχυν Κυρήνην ἀνέθρεψεν. ἔσχε δὲ ταύτην ἐκ Χλιδανώπης· οὐ μόνον δὲ Κυρήνην ἔσχεν, ἀλλὰ καὶ Ἀλκαίαν.

33. Ἁ μὲν οὔθ' ἱστῶν παλιμβάμους] ἀντὶ τοῦ παλιμπορεύτους. αἱ γὰρ ὀρθαὶ ὑφαίνουσαι προπορεύονται καὶ πάλιν τὸν αὐτὸν πορεύονται τόπον καὶ ὑποστρέφουσιν. ὡς καὶ Ὅμηρος· [1])

Ἱστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιόωσαν.

οἰκουριῶν δὲ οἰκοδεσποινῶν, οἱονεὶ τῶν ἤδη γεγαμημένων καὶ ἀρχουσῶν οἰκιῶν. γράφεται καὶ δεῖπνον οἰκουριῶν. [2]) § ὁ δὲ νοῦς· αὕτη μὲν οὖν ἡ Κυρήνη οὔτε τὰς παλιμπορεύτους ἐφίλησε τῶν ἱστῶν ὁδοὺς οὔτε τῶν δείπνων τὰς τέρψεις οὔτε τῶν ἑταιρῶν τῶν τοῦ οἴκου δεσποζουσῶν, ἀπὸ κοινοῦ τὸ οὐχ εἵλετο τὰς τέρψεις.

37. Ἀλλ' ἀκόντεσσίν τε χαλκέοις] ἀλλὰ χαλκοῖς δόρασι καὶ ξίφει μαχομένη ἐπόρθει καὶ ἀνῄρει τοὺς ἀγρίους θῆρας, πολλὴν ἡσυχίαν καὶ εἰρήνην ταῖς πατρῴαις παρέχουσα βουσίν· ἀναιρουμένων γὰρ τῶν ἀγρίων θηρῶν εὐμαρῶς καὶ ἀδεῶς τὰ ἥμερα τῶν ζώων νέμεται.

42. Τὸν δὲ σύγκοιτον γλυκύν] καὶ τὸν ἑωθινὸν δὲ ὀλίγον ἐπερχόμενον τοῖς βλεφάροις ἡδὺν ὕπνον ἀφανίζουσα καὶ ἀναλίσκουσα. τὸ γὰρ ῥέποντα ἀντὶ τοῦ ἐπερχόμενόν φησιν. ἔξωθεν δὲ προσυπακουστέον τὸ ἐθήρα. § οὕτως ἐμμανῶς εἶχε περὶ τὴν θήραν, ὡς καὶ πρὸ ἡμέρας θηρᾶν καὶ μὴ κοιμᾶσθαι τὸν ἑωθινὸν ὕπνον. § Ἄλλως. τοῦτό φησιν ὡς τὰς νύκτας ὅλας περὶ τὰ κυνηγέσια γινομένης αὐτῆς, πρὸς ὄρθρον δὲ κοιταζομένης. οὗτος γάρ ἐστιν ὁ πρὸς τὴν ἕω ῥέπων ὕπνος. οἱ δὲ ἄτοπον εἶναι λέγουσι, δι' ὅλης νυκτὸς καὶ μέχρι τοῦ ἑωθινοῦ θηρᾶν αὐτήν. οὐ γὰρ οἷόν τε νυκτὸς σκότους ὄντος θηρᾶν, ἀλλ' ἢ ἄρα περὶ τὸν ὄρθρον.

1) Iliad. α, 31. 2) Ex Gott.

Digitized by Google

45. Κίχε νιν] κατέλαβε δὲ ἐν τῷ Πηλίῳ ποτὲ τὴν Κυρήνην ὁ Ἀπόλλων τῷ ἰσχυρῷ ἄνευ δόρατος μόνην διαμαχομένην λέοντι. καὶ Καλλίμαχος· [1])

Ἔνθα λέοντα
Ὑψηὶς κατέπεφνε βοῶν σίνιν Εὐρυπύλοιο.

50. Σεμνὸν ἄντρον, Φιλλυρίδα προλιπών] τὸ σεμνόν σου σπήλαιον, ὦ Κένταυρε, καταλιπὼν ἐλθὲ καὶ θαύμασον τὴν ψυχὴν τῆς γυναικὸς, ὁποίαν νίκην ἐπάγει τῇ ἑαυτῆς κεφαλῇ ἡ νεᾶνις τοῦ καμάτου ὑπερτέραν ἔχουσα τὴν ἑαυτῆς ψυχὴν, οἱονεὶ οὐ κάμνουσα πρὸς τὸ καταπαλαῖσαι τὸν λέοντα· ἀλλ' οὐδὲ φόβῳ ἐχειμάσθησαν αὐτῆς αἱ φρένες. § Ἄλλως. αὕτη ἀταρβὴς οὖσα, τὴν ψυχὴν ὑπερθεν ἔχουσα τοῦ μόχθου, τουτέστιν οὐ νικωμένη τῷ μόχθῳ, οἵαν φιλοτιμίαν ἐπάγει τῇ ἑαυτῆς κεφαλῇ.

58. Τίς νιν ἀνθρώπων τέκεν] τίς δὴ ἀνθρώπων αὐτὴν ἐγέννησεν; ἀπὸ ποίας δὲ φύσεως καὶ γέννης ἀποσπαρθεῖσα καὶ γεννηθεῖσα τῶν συμφύτων ὀρῶν τοὺς κευθμῶνας ἔχει, ἀντὶ τοῦ θηρᾷ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κλάδων τῶν ἀποσπωμένων ἀπὸ τῶν φυτῶν.

61. Γεύεται δ' ἀλκᾶς ἀπειράντου] γεύεται δὲ καὶ ἐφάπτεται ἀπείρου καὶ πολλῆς ἀνδρείας, οἷον ἰσχυρά ἐστιν. Ὅμηρος· [2])

Γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν,

ἀντὶ τοῦ πολεμήσομεν. § ἢ οὕτω· πέρας οὐκ ἐχούσης διὰ τὸ μέγεθος. τὸ δὲ ἑξῆς· ἆρα ὅσιόν ἐστι τὴν χεῖρα προσενεγκεῖν καὶ δρέψαι τὴν παρθενίαν αὐτῆς; ὁ γὰρ λόγος ἐρωτηματικὸς παρ' Ἀπόλλωνος ἐν ἤθει λεγόμενος. § ἆρα ὅσιόν ἐστι τὴν ἔνδοξον χεῖρα αὐτῇ ἐπενεγκεῖν, καὶ ἐκ τῶν κοιτῶν αὐτῆς ἡδεῖαν βοτάνην ἀποκεῖραι; ἀντὶ τοῦ διαπαρθενεῦσαι αὐτήν. τὸ σημεῖον, ὅτι μεταφορικῶς εἴρηκε τὴν ἀκμὴν ἢ τὴν παρθενίαν μελιηδέα ποίην. § Ἄλλως. ἤγουν γεννῆσαι ἐξ αὐτῆς παῖδα. τοῦτο γάρ ἐστι τὸ κεῖραι μελιηδέα πυίαν.

65. Τὸν δὲ Κένταυρος ζαμενής] ζαμενὴς νῦν ὁ σεμνὸς, τινὲς δὲ ὁ ἰσχυρός. τὸν δὲ Ἀπόλλωνα εὐθὺς ὁ σεμνὸς [3]) Κένταυρος τῇ ἀγανῇ ἑαυτοῦ ὀφρύϊ προσηνὲς καὶ ἡδὺ γελάσας ἀνταπεκρίνατο. § Ἄλλως. χλιαρὸν ἤτοι τὸ πολὺ καὶ κεχαλασμένον· χλιδὸν γὰρ λέγουσι τὸ πλῆθος· ἢ προσηνὲς καὶ ἡδὺ, παρὰ τὸ χλιαρόν· τὰ μὲν γὰρ ἀπηνῆ τοῖς ψυχροῖς παραβάλλουσι, τὰ δὲ προσηνῆ καὶ τερπνὰ τοῖς θερμοῖς διὰ τὴν γινομένην διάχυσιν. οὕτως οὖν ἐπιπολὺ γελάσας· οὐ γὰρ ὡς οἱ σκυθρωπάζοντες συνηγμένας εἶχε τὰς ὀφρῦς. § ἢ οὕτω· χλαρὸν ἀντὶ τοῦ χλιαρὸν καὶ ἡδὺ κατὰ συναίρεσιν. τὸ δὲ μῆτιν ἐὰν, ἀντὶ τοῦ κατὰ τὴν ἑαυτοῦ διάνοιαν, οἱονεὶ ἐπιμειδιάσας, ἵνα μὴ δῶμεν αὐτὸν πολὺ καὶ ἄκαιρον γελάσαντα.

68. Κρυπταὶ κλαῖδες ἐντὶ σοφᾶς Πειθοῦς] ἕκαστος, φησὶ, κρύπτει τοὺς λόγους τοὺς περὶ συνουσίας. ἔοικε παρεγχειρεῖν ὁ Χείρων τὸν Ἀπόλλωνα, ἐπεὶ προεῖπεν ἐκεῖνος· ὅσια κλυτὰν χεῖρά οἱ προσενεγκεῖν; ἢ οὕτως ἀποδοτέον· σὺ Ἀπόλλων ἐρωτᾷς με, εἰ ὅσια κλυτὰν χεῖρά οἱ προσενεγκεῖν, ὁ πᾶν τὸ ἐσόμενον εἰδώς· μάντις γὰρ εἶ. ἀλλ' ἐπεὶ αἰσχυνόμεθα περὶ τούτων λέγειν καὶ κρύπτως ταῦτα ἐνεργεῖται, καὶ σὺ αἰδούμενός με ἐρωτᾷς· ἐπίστασαι γὰρ μάντις ὤν. § Ἄλλως. τῆς περὶ τὰς γυναῖκας πειθοῦς, φη-

1) In Apoll. 92. 2) Iliad. v, 258. 3) Gott. Rom. συνετός.

Digitized by Google

σὶν, ὦ Ἄπολλον, κρυπταί εἰσι τῶν ἱερῶν συνουσιῶν αἱ κλεῖς· ἐν θρόνοις γὰρ καὶ ἀνθρώποις ὁμοίως ἐστὶ τοῦτο· ἀπερυθριῶν γὰρ ἡμῶν ἕκαστος αἰσχύνεται ἐκ τοῦ φανεροῦ περὶ ἀφροδισίων διαλέγεσθαι. § αἰσχύνονται γὰρ οἵ τε ἄνδρες καὶ οἱ θεοὶ τοπρῶτον ἐκ τοῦ φανεροῦ τῆς ἡδείας κοίτης τυχεῖν. § ἢ οὕτως· αἰδοῦνται, ὦ Ἄπολλον, οἵ τε ἄνδρες καὶ οἱ θεοὶ φανερῶς τὸν ἔρωτα λέγειν.

75. Καὶ γὰρ σὲ τὸν οὐ θεμιτόν] καὶ γὰρ σὲ, ὃν οὐ θεμιτὸν οὐδὲ δυνατὸν ψεύσασθαι, παρέτρεψεν ὁ προσηνής σου τρόπος ἐρωτᾶν με περὶ Κυρήνης τοῦ γένους καὶ τῆς μίξεως, καίπερ εἰδότα ἀκριβῶς πάντα. § Ἄλλως. ἢ αἰδὼς ἐποίησέ σε τὸν μάντιν πυνθάνεσθαι, ὃν οὐδεμία διαφεύγει ἀλήθεια, πάντα δὲ τὰ μέλλοντα προγινώσκεις.

77. Κούρας δ' ὁπόθεν γενεά] ὁ λόγος ἠθικός· ἐμὲ ἐρωτᾷς, ὦ δέσποτα Ἄπολλον, πόθεν τῆς κόρης ἡ γενεὰ καὶ τίνες οἱ γονεῖς; ὅστις πάντων τῶν ὑπὸ τὸν βίον οἶδας τὸ τέλος καὶ πάσας τὰς ὁδοὺς καὶ ὅσα ἐν τῷ ἔαρι φύλλα ἀναφύει.

86. Χὤ,τι μέλλει] καὶ πόθεν τὴν ἀρχὴν μέλλει λαμβάνειν, καλῶς καὶ ἀπταίστως καθορᾷς. ἀπὸ κοινοῦ, ὃς ταχὺ πάντα οἶδας καὶ δύνασαι, ἐμὲ περὶ τῶν τῆς κόρης γονέων ἐρωτᾷς;

88. Εἰ δὲ χρὴ καὶ παρ σοφὸν ἀντιφερίξαι] εἰ δὲ χρὴ καὶ σοφῷ σοι ὄντι ἐξισωθῆναι, ἐρῶ. § Ἄλλως. εἰ δὲ χρὴ ἐξισωθῆναί σοι καὶ μαντεύεσθαι, ὡς σὺ μαντεύῃ, ἐρῶ.

89. Ἵκεο βᾶσσαν τάνδε] παραγενοῦ ταύτῃ πόσις, ταύτην τὴν βῆσσαν καὶ τὸ σπήλαιον, ἔξωθεν δὲ τὸ καταλιπών· μέλλεις γὰρ αὐτὴν διὰ τοῦ πόντου εἰς τὸν τοῦ Διὸς ἔξοχον κῆπον ἐνεγκεῖν. λέγει δὲ τὴν Λιβύην Διὸς κῆπον διὰ τὸ πλησιάζειν τῇ Αἰγύπτῳ, ἣν Διὸς τέμενος οἱ ποιηταί φασιν, [1]) ἢ διὰ τὸ τὸν Ἄμμωνα Δία νομίζεσθαι. Ἄμμων Ὀλύμπου δέσποτα, φησί [2]) καὶ πάλιν· [3]) Διὸς ἐν Ἄμμωνος θεμέθλοις. Ἄμμωνος δὲ ἡ Λιβύη. § Ἄλλως. πῶς Διὸς κῆπος ἡ Λιβύη; ὅτι δοκεῖ ὡς Ζεὺς ἐν Λιβύῃ Ἄμμων τιμᾶσθαι. ὡς Φαῖστος ὁ τὰ Λακεδαιμονικὰ συγγράψας· [4])

Ζεῦ Λιβύης Ἄμμων κερατηφόρε κέκλυθι μάντι.

92. Ἔνθα νιν ἀρχέπτολιν] ἡ γὰρ πόλις ἀπ' αὐτῆς Κυρήνη κληθήσεται. ἔνθα αὐτὴν, φησὶν, ἐπὶ τὸ ὑψηλὸν μέρος τῆς Λιβύης δέσποιναν ἀποδείξεις, τὸν ἐκ Θήρας ὄχλον ἀναστήσας καὶ συναθροίσας. ἀμφίπεδον δὲ ὄχθον εἶπε τὴν Κυρήνην διὰ τὸ αὐτὴν μὲν ἐπ' ὄχθου ἱδρύσθαι, περὶ αὐτὴν δὲ πεδιάδα εἶναι, ἀμφίπεδον δὲ λέγεται τὸ ἑκατέρωθεν πεδία ἔχον. § ἢ τὸν πανταχόθεν ὁδευόμενον τοῖς πεδίοις. [5])

95. Νῦν δ' εὐρυλείμων] ὁ νοῦς· ἐπὶ δὲ τοῦ παρόντος αὐτὴν ἡ πλατεῖς ἔχουσα λειμῶνας Λιβύη ὑποδέξεται τὴν εὔδοξον νύμφην ἐν τοῖς τιμίοις αὐτῆς οἴκοις μετὰ προθυμίας, ἔνθα αὐτῇ τὴν μερίδα τῆς γῆς εὐθέως κατασκευάζειν καὶ οἰκονομεῖν εὐκόλως

1) Pyth. IV, 99. vulg. 2) V. Fragm. 3) Pyth. IV, 28. vulg. 4) Olim *Μακεδονικὰ* et *Φῆστος*, nomen haud Graecum: quapropter haud veritus sum corrigere ex Schol. Pyth. IV, 28. Notus est alius Phaestus Heraclida, a quo urbs Cretae nomen traxisse fertur. Neque dubito l. c. rectius legi *Λακεδαιμονικὰ*, quod Spartani antiquitus Ammonium oraculum adibant; cuius rei exemplum Phaestus hoc loco praebet. V. Pausan. III, 18, 2. et nos de Oecon. Athen. T. II, p. 258. 5) Gott.

Digitized by Google

καὶ δικαίως παράσχοι, οὔτε πολυκάρπων φυτῶν ἄμοιρον, οὔτε ἀνεπίγνωστον θηρίων, τουτέστι πολύθηρον.

99. Ἵνα οἱ χθονὸς αἶσαν] ὅπου τῆς ἰδίας γῆς μέρος δωρήσεται ἡ Λιβύη τῇ Κυρήνῃ οὔτε φυτῶν ἀπεστερημένον οὔτε ἔξω κυνηγεσίων.

100. Συντελέθειν] ὥστε συντελεῖν ἐννόμως αὐτῇ, ὥστε συνάπτεσθαι καὶ συμβάλλεσθαι πρὸς τὴν κατασκευήν. συντελέθειν· συντελεῖν, κατασκευάζειν, ἢ οἰκονομεῖν. § Ἄλλως. συντελοῦσαν αὐτῇ ἐν ταῖς οἰκοδομαῖς καὶ ἐν νῇ νομῇ καὶ νεμήσει, συναύξουσαν αὐτῇ καὶ τὰς φυτείας καὶ τὰ κυνηγέσια. ἔνθηρος γὰρ ἡ Λιβύη.

102. Φυτῶν νήποινον] κυρίως μὲν τὴν ἀνεκδίκητον, νῦν δὲ τὴν ἄμοιρον καὶ ἄπειρον.

104. Τόθι παῖδα τέξεται] ὁ νοῦς· ἐν τῇ Λιβύῃ [1]) ἡ Κυρήνη τέξεται παῖδα. λέγει δὲ τὸν Ἀρισταῖον, ὄντινα ὁ ἔνδοξος Ἑρμῆς ἀνελὼν καὶ λαβὼν παρὰ τῆς μητρὸς οἴσει καὶ δώσει τρέφειν Ὥραις, καὶ Γῇ δώσει ὡς προμάμμῃ τῆς μητρὸς τοῦ παιδός. [2]) ἡ γὰρ Κρέουσα ἡ Ναΐς [3]) Γῆς παῖς οὖσα ἔτεκε τὸν Ὑψέα τὸν πατέρα τῆς Κυρήνης.

105. Ὥραισι καὶ Γαίᾳ] καλῶς τῇ Γῇ δίδωσιν, ἐπεὶ καὶ ἐκ Γῆς δίδωσι καταφέρειν τὸ γένος· Γῆς γὰρ Κρέουσα, ἧς Ὑψεύς, οὗ Κυρήνη, ἧς Ἀρισταῖος.

107. Ταὶ δ' ἐπιγουνίδιον] αἱ δὲ Ὧραι καὶ ἡ Γῆ ἐπὶ τοῖς ἑαυτῶν γόνασι θεῖσαι τὸν Ἀρισταῖον καὶ θαυμάσασαι τὸ βρέφος ἐνστάξουσι τοῖς χείλεσι νέκταρ καὶ ἀμβροσίαν, καὶ ποιήσουσιν αὐτὸν ἀθάνατον ὥσπερ Ζῆνα καὶ Ἀπόλλωνα· ἵνα τὸ ὥσπερ ἔξωθεν ὑπακούσωμεν.

113. Ἀνδράσι χάρμα φίλοις] θρέψουσι δὲ αὐτὸν τοῖς ἀνθρώποις χαρὰν καὶ ὄφελος, ἀκόλουθον ὄντα τῶν προβάτων. πρὸ γὰρ τοῦ γενέσθαι Ἀρισταῖον τὰ πρόβατα ὑπάονας οὐκ εἶχεν. § Ἄλλως. ἀκίνητον [4]) τῶν προβάτων ἀκόλουθον αὐτὸν θήσονται. τινὲς δέ· αὐτὸν Ἀρισταῖον καλεῖν, ἀπὸ κοινοῦ τὸ θήσονται, Ἀγρέα καὶ Νόμιον. § Ἄλλως. ἰστέον ὅτι τὸν Ἀρισταῖον διὰ τὸ τὴν κτηνοτροφίαν καὶ κυνηγεσίαν εὑρηκέναι Ἀγρέα καὶ Νόμιον, Δία καὶ Ἀπόλλωνα προσηγόρευον. § ἐστὶ δὲ καὶ τοῦ μέλιτος εὑρετὴς ὁ Ἀρισταῖος, ὃ δὴ τῆς ἀθανασίας δέκατον μέρος ᾠήθησαν εἶναι. § φαίνεται δὲ, ὅτι καὶ τὴν ἐλαιουργίαν καὶ μελιτουργίαν πρῶτος ἐπενόησεν Ἀρισταῖος.

117. Ὡς ἄρ' εἰπὼν ἔντυεν] οὕτως εἰπὼν ὁ Χείρων παρεσκεύαζε τὸν Ἀπόλλωνα τελειοῦν τὸ τῶν γάμων τέλος. § Ἄλλως. ἕτοιμον αὐτοῖς τόπον ἐποίει, ἵνα οὕτως ὁ γάμος κρανθῇ. § ἢ ὁμιλήσας, ὅτι ἐκ Κυρήνης ποιμενικὸς [5]) γενηθήσεται ὁ Ἀρισταῖος καὶ ἀθάνατος παῖς, παρεσκεύασεν αὐτῷ τὸν γάμον· τουτέστιν εἰ καὶ ἀνεβάλλετο τὸν γάμον ὁ Ἀπόλλων, ἀλλὰ τοῖς λόγοις προετράπη ταχέως μιχθῆναι. § Ἄλλως. ἀντὶ τοῦ, οὕτως εἰπόντος τοῦ Χείρωνος ηὐτρεπίζετο αὐτοῖς τὰ πρὸς τὸν γάμον.

119. Ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν πρᾶξις] σπευδόντων δὲ τῶν θεῶν ταχεῖα καὶ ἡ πρᾶξις καὶ ἡ κατόρθωσις γίνεται. § ἢ οὕτως· αἱ δὲ ὁδοὶ τῶν θεῶν βρα-

1) Sic Gott. 2) Vulgo προμάμμη τοῦ παιδός; Gott. Rom. πρ. τῆς παιδός: unde progressus locum correxi. 3) Gott. Ὠκεανίς, male. 4) Sic Gott. Vulgo εὐκίν. 5) Sic idem: quam lectionem etsi non sanam, tamen meliorem iudico vulgata ὅτι πολυμήλης γεν.

Digitized by Google

χεῖαι καὶ μικραί εἰσι διὰ τὸ ταχὺ καὶ ἀκοπίαστον αὐτῶν. § γλαφυρῶς ἀπέπαυσε τὸν νοῦν ἀπὸ τῆς μίξεως, εἰπὼν ὅτι πάντα οἱ θεοὶ ἀνύουσι καὶ ὁδοὺς ἔχουσι βραχείας, ὧν ἂν ἐθέλωσι πρᾶξαι, ἀντὶ τοῦ εἰπεῖν· εὐθέως ἤνεγκεν αὐτὴν εἰς Λιβύην, καὶ συνῆλθεν αὐτῇ.

121. Κεῖνο κεῖν' ἄμαρ] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐκεῖνο τὸ πρᾶγμα διετέλεσεν, ἐν ᾗ συνωμίλησεν αὐτῷ ὁ Χείρων, καὶ ἐτελειώθη τὰ περὶ τὸν γάμον. § ἢ οὕτως· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἁρπάσας τὴν Κυρήνην ἐκόμισεν εἰς Λιβύην.

122. Θαλάμῳ δὲ μίγεν ἐν πολυχρύσῳ] ἐν δὲ τῷ πολυχρύσῳ θαλάμῳ τῆς Λιβύης ἐμίχθη αὐτῇ ὁ Ἀπόλλων, ἔνθα τὴν καλλίστην πόλιν καὶ ἔνδοξον κατὰ τοὺς ἀγῶνας περιέπει ὁ Ἀπόλλων τὴν ὁμώνυμον τῇ νύμφῃ Κυρήνην. [1])

126. Καὶ νῦν ἐν Πυθῶνί νιν] ὁ νοῦς· καὶ νῦν δὲ ἐν τῇ θείᾳ Πυθῶνι νικήσας ὁ Τελεσικράτης ἐπιφανῆ ἐποίησε τὴν Κυρήνην. ὁ δὲ Τελεσικράτης Καρνειάδου παῖς ἦν. [2])

130. Ἅ νιν εὔφρων δέξεται] ἥτις αὐτὸν ἡ Κυρήνη εὐμενὴς δέξεται ἡ καλὰς ἔχουσα γυναῖκας, πατρίδι δόξαν ἐπέραστον ἄγοντα αὐτὸν ἀπὸ Δελφῶν.

133. Ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι] αἱ δὲ μεγάλαι ἀρεταὶ ἀεὶ καὶ πολύμυθοί εἰσι, τουτέστι πολλῶν λόγων δέονται πρὸς τὰ ἐγκώμια. § ἢ οὕτω· περὶ δὲ τῶν μεγάλων ἀρετῶν πολλὰ ἔνεστι εἰπεῖν.

134. Βαιὰ δ' ἐν μακροῖσιν] ἐάν τις, φησί, μακρὰ ἐκλάβῃ πράγματα καὶ βαιὰ ποιήσῃ αὐτὰ τῷ λόγῳ, ἀκοὴ σοφοῖς ἔστι, τουτέστι σοφοῦ ἀκροατοῦ δεῖται, ἵνα συνῇ τὰ πολλὰ ἐπιτετμημένα. § ἢ οὕτως· ἐν μεγάλοις δὲ κατορθώμασιν ὀλίγα συντιθέναι καὶ λέγειν, τοῖς σοφοῖς ἡ τοιαύτη ἀκόη καὶ ποίησις ᾠκείωται. παντὸς δὲ πράγματος τὸ τέλος καὶ κορυφὴν ὁμοίως ἡ εὐκαιρία ἔχει, τουτέστι δεῖ κατὰ καιρὸν καὶ μεγάλα καὶ μικρὰ λέγειν.

137. Ἔγνων ποτὲ καὶ Ἰόλαον] ὁ γὰρ Ἰόλαος τεθνηκὼς ἐπειδὴ ἔμαθεν Εὐρυσθέα ἐξαιτούμενον παρ' Ἀθηναίων τοὺς Ἡρακλείδας καὶ ἐπαπειλοῦντα πόλεμον, εἰ μὴ δώσουσιν, εὔξατο ἀναβιῶναι, καὶ ἀναβιοὺς ἀπέκτεινε τὸν Εὐρυσθέα καὶ πάλιν τέθνηκεν. οἱ δὲ πρὸς τὸ πιθανώτερον ἕλκουσι τὴν ἱστορίαν, ὅτι γέρων ὢν ηὔξατο ἀνηβῆσαι, καὶ τελέσας τὸν ἆθλον εὐθέως ἐτελεύτα. § ὁ δὲ νοῦς· ἐγνώρισαν δέ ποτε καὶ αἱ ἑπτάπυλοι Θῆβαι τὸν Ἰόλαον οὐκ ἀτιμάσαντα τὴν τῶν πραγμάτων εὐκαιρίαν, οἱονεὶ καταχρησάμενον τῇ εὐκαιρίᾳ. § ἢ οὕτως· ἔκρυψεν ἡ Θήβη αὐτόν, ἐπεὶ τὸν Εὐρυσθέα ἀπεκεφάλισεν, ἐν τῷ τοῦ Ἀμφιτρύωνος σήματι, ὅπου αὐτοῦ ὁ προπάτωρ ἦν κείμενος. ὅτι δὲ εὐξάμενος ὁ Ἰόλαος ἀνενεώθη [3]) καὶ ἀπέκτεινεν Εὐρυσθέα, δῆλον· ηὔξατο δὲ τῷ Διὶ ἐπὶ μίαν ὥραν ἡβῆσαι, ὅτε διὰ [4]) τοὺς Ἡρακλείδας ἐν τῇ Ἀττικῇ καταφυγόντας Εὐρυσθεὺς Ἀθηναίοις πόλεμον συνεκρότησεν.

138. Οὐκ ἀτιμάσαντά νιν] αὐτόν. τίνα; τὸν καιρόν. εἷς γὰρ δέον καὶ ἐν καιρῷ τοῖς πράγμασι κατεχρήσατο σύνταχθεὶς τὰ περὶ τὸν Ὕλλον καὶ τὴν κεφαλὴν τοῦ Εὐρυσθέως ἀποκόψας. [5])

1) Post haec delevi τὴν ἡρωϊκὴν, pro quo Gott. ἡ ἡρωΐς. 2) Postrema e Gott. qui Κρονίδου. Pal. D. παῖς ἦν τοῦ Κρονίδου. 3) Sic Gott. 4) Sic idem. 5) E Gott. qui τὰ περὶ τ. Ὕ.

Digitized by Google

139. Τὸν Εὐρυσθέως ἐπεὶ κεφαλάν] ὄντινα τὸν Ἰόλαον, ἐπειδὴ τῇ τοῦ ξίφους ἀκμῇ τὴν τοῦ Εὐρυσθέως κεφαλὴν ἀπέτεμεν, ὑποκάτω τῆς γῆς ἔκρυψαν παρὰ τῷ τάφῳ τοῦ ἱππικωτάτου Ἀμφιτρύωνος.

145. Ἔνθα οἱ] ἔνθα ὁ τοῦ πατρὸς αὐτοῦ πατὴρ Ἀμφιτρύων ὁ τῶν Θηβαίων φίλος καὶ ξένος μετοικήσας ἔκειτο εἰς τὰς Θήβας. § Ἄλλως. ἐν τῇ ἁμαξιτῷ πλησίον τοῦ τάφου Ἀμφιτρύωνος ἔθαψαν τὸν Εὐρυσθέα, ἵνα ἀεὶ πατῆται. λευκίππους δὲ εἶπε διὰ Ζῆθον καὶ Ἀμφίονα.

148. Τέκε οἱ] τῷ Ἀμφιτρύωνι ἡ Ἀλκμήνη. § ὁ νοῦς· ἐγέννησε δὲ τῷ Ἀμφιτρύωνι καὶ τῷ Διὶ μιγεῖσα ἡ Ἀλκμήνη ἐν μιᾷ ὠδῖνι διδύμων υἱῶν πολεμικωτάτην δύναμιν.

149. Ἐν μόναις ὠδῖσιν] ἐν ἑνὶ τόκῳ καὶ μιᾷ ὠδῖνι. ἐν μιᾷ γὰρ νυκτὶ λέγεται καὶ τῇ αὐτῇ συνευνασθέντων Διὸς καὶ Ἀμφιτρύωνος τῇ Ἀλκμήνῃ γενέσθαι τοῦ μὲν Ἡρακλέα, τοῦ δὲ Ἰφικλέα.

151. Κωφὸς ἀνήρ τις] κωφός ἐστι καὶ ἀπαίδευτος ἐκεῖνος ὁ ἀνὴρ, ὅστις τῷ Ἡρακλεῖ τὸ ἑαυτοῦ μὴ περιβάλλει [1]) στόμα, τουτέστιν ὅστις μὴ ἐγκωμιάζει τὸν Ἡρακλέα, καὶ ὅστις μηδὲ τῶν τῆς Λίρκης ὑδάτων αἰσθάνεται καὶ ἔχει μνήμην· ἀπὸ κοινοῦ τὸ κωφός ἐστιν. ὁ γὰρ μὴ ἀκούσας οὐδὲ εἰπεῖν δύναται.

156. Τοῖσι τέλειον ἐπ' εὐχᾷ] πεπονθώς τι ἐξ αὐτῶν τέλειον ἀγαθὸν διὰ τοῦ κώμου ὑμνήσω. τί δ' ἂν εἴη πεποιθώς; δηλαδὴ καὶ τὰ Ἰολάεια ἐνίκησεν ὁ νικηφόρος. τὸ δὲ ὑπέρβατον· τοῖσι κωμάσομαι τέλειόν τι παθὼν ἐπ' εὐχᾷ ἐσλόν. § ὁ λόγος παρὰ τοῦ ὑμνουμένου πρὸς τὸν Ἡρακλέα καὶ Ἰφικλέα· τετυχηκὼς τῆς νίκης τῶν Ἡρακλείων κἀγὼ ἀντικωμάσω αὐτοὺς, φησὶ, καὶ ὑμνήσω.

158. Χαρίτων κελαδεννᾶν μή με λίποι καθαρὸν φέγγος] τῶν εὐδόξων Χαρίτων τὸ ἀνθηρὸν φέγγος καὶ ἡ παῤῥησία μή με λίποι, τουτέστι γένοιτό μοι χαρίεντα γράφειν.

160. Αἰγίνᾳ τε γάρ φημι Νίσου τ' ἐν λόφῳ] διορίζομαι γὰρ τὸν νικηφόρον ἔν τε Αἰγίνῃ καὶ τρίτον ἐν Μεγάροισι νικήσαντα ταύτην τὴν πόλιν εὐκλέα καταστῆσαι, ἔργῳ τὴν σιγηλὴν καὶ ἀπαῤῥησίαστον ἀμηχανίαν καὶ αἰσχύνην ἐκφυγών. οἱ γὰρ νικηθέντες ἀμηχανοῦντες καὶ αἰσχυνόμενοι σιωπῇ περιπατοῦσι, μὴ ἔχοντες παῤῥησίαν μετά τινος διαλεχθῆναι. ἔστιν οὖν εἰπεῖν, τέσσαρας εἶναι τὰς πάσας νίκας, μίαν μὲν ἐν Αἰγίνῃ, τρεῖς δὲ ἐν Μεγάροις. ὁ δὲ λόγος ἀπὸ τοῦ νικηφόρου. § Ἄλλως. τῷ ἔργῳ τὴν μὲν σιγωμένην ἀμηχανίαν φυγὼν, εὔκλειαν δὲ κτησάμενος, ἀμήχανον δὲ τὴν σιγὴν εἶπεν, ὅτι κατηφεῖς εἰσιν οἱ νικηθέντες. καὶ ἑτέρωθί πού φησι· Νικώμενοι δὲ ἀγρυξίᾳ δέδενται.

164. Οὕνεκεν εἰ φίλος ἀστῶν, εἴ τις ἀνταέις] διὸ εἴτε τις αὐτῷ τῷ νικηφόρῳ φίλος τῶν πολιτῶν εἴτε ἐναντίος καὶ ἐχθρός ἐστι, τὸ ἐν τῷ κοινῷ πονηθὲν ἀγαθὸν ἀνυμνείτω, αὐτὸν μὴ καταβλάπτων τὸν λόγον τοῦ Νηρέως. ἐκεῖνος γὰρ ὁ Νηρεὺς ἔφη δεῖν τὸν καλῶς πράττοντα καὶ μετὰ δικαιοσύνης πάντα τρόπον καὶ παρὰ τῶν ἐχθρῶν ἀνυμνεῖσθαι. ἀνταέις, ὁ ἔναντα δαεὶς τὴν νίκην τοῦ νικηφόρου. § Ἄλλως. ἀνταέις, ἐναντιούμενος, ἐχθρός.

1) Scribe παραβάλλει.

Digitized by Google

172. Πλεῖστά νικήσαντά σε] ὁ λόγος ἀπὸ τοῦ χοροῦ πρὸς τὸν νικήσαντα· πολλάκις σε νικήσαντα εἶδον τὰ Παναθήναια ἐν ταῖς ὡρισμέναις τελεταῖς τῆς Ἀθηνᾶς.

173. Ἄφωνοί θ' ὡς ἑκάστα] ἄφωνοι καὶ ἐν ἑαυταῖς κατὰ τὴν ψυχὴν, ὦ Τελεσίκρατες, ἑκάσται τῶν παρθένων ηὔχοντό σε ἄνδρα εὐτυχῆσαι, αἱ δὲ γυναῖκες υἱὸν, ἀπὸ κοινοῦ τὸ εὔχοντο ἔμμεν. ηὔχοντο δὲ ἐν τοῖς Ὀλυμπίοις ὁρῶσαί σε καὶ ἐν τοῖς ἄλλοις ἀγῶσι τῆς πλατείας γῆς καὶ ἐν πᾶσιν ἁπλῶς τοῖς ἐν ἑκάστῃ πόλει ἐπιχωρίοις ἀγῶσι, πανταχοῦ ὁρῶσαί σε αἱ γυναῖκες ταῦτα ηὔχοντο.

177. Ἔν τ' Ὀλυμπίοις] Ὀλυμπίοις, οὐ τοῖς ἐν Πίσῃ νῦν· οὐ γὰρ ἂν οὕτως ἔῤῥιψεν ἁπλῶς τὸν λόγον· ἀλλὰ τοῖς ἐν Ἀθήναις, ἐκ κοινοῦ νικήσαντα εἶδον, καὶ ἐν τοῖς ἀγομένοις ἀγῶσι τῇ Γῇ, λέχει δὲ ἐν Ἀθήναις. τὸ δὲ Γῆς, ὅτι καὶ αὐτῆς ἀγὼν ἄγεται ἐν Ἀθήναις, ὥς φησι Δίδυμος.

179. Ἐμὲ δ' οὖν τις ἀοιδᾶν δίψαν ἀκειόμενον] διψώσῃ τῇ ᾠδῇ προστιθέντα, ἀκειόμενόν με καὶ θεραπεύοντα. § ἢ διψῶσαν ᾠδὴν τῷ θέλειν ὑμνεῖν ὑμᾶς, πράσσει τις ἐμὲ καὶ ἀναγκάζει ἔτι τοῦτο ὑποῦναι καὶ συμπεριλαβεῖν τὴν τῶν προγόνων ὑμῶν δόξαν.

183. Οἷοι Λιβύσσας ἀμφὶ γυναικός] ὁποῖοι ἦσαν μνηστῆρες οἱ τοῦ νικηφόρου πρόγονοι, οἳ περὶ τῆς Λιβυκῆς γυναικὸς ἦλθον εἰς τὴν Ἴρασσαν τὴν τοῦ Ἀνταίου πόλιν πρὸς τὴν ἔνδοξον κόρην. § Ἄλλως. Ἴρασσα, πόλις Λιβύης, ἣν ᾤκησεν Ἀνταῖος, οὐχ ὁ παλαίσας Ἡρακλεῖ· ἐκεῖνος γὰρ διαλλάσσει τοῖς χρόνοις· ἀλλ' ἕτερος, ὃς τὴν θυγατέρα τοῖς μνηστευομένοις προὔθηκεν ἆθλον δρόμου τῷ φθάσαντι λαβεῖν κελεύσας. ὅμοιον δὲ ἐποίησε Δαναῷ· καὶ γὰρ ἐκεῖνος τὰς θυγατέρας δρόμῳ προὔθηκε. τὴν δὲ κόρην ταύτην τῶν Τελεσικράτους τις προγόνων Ἀλεξίδαμος μνηστευσάμενος καὶ νικήσας τὸν δρόμον ἔγημεν. § ἢ ὅτι Ἀνταῖος ὁ παράνομος, ὃν ἀνεῖλεν Ἡρακλῆς, οὗτός φησι, παραγενόμενον τὸν Ἀλεξίδαμον δρόμῳ νικήσαντα τοὺς σὺν αὐτῷ μνηστῆρας, λαβεῖν γυναῖκα τὴν θυγατέρα τοῦ Λιβύων βασιλέως. § Ἀνταίου· οὐ τοῦ ξενοκτόνου, ἀλλὰ ἑτέρου· ἐκεῖνον γὰρ ἀνεῖλεν Ἡρακλῆς, ᾧ συνήκμασεν Εὔφημος, οὗ ἀπόγονοι μετῴκησαν εἰς Κυρήνην. σημειωτέον, [1]) ὅτι ὁ ὑπὸ Ἡρακλέους καταγωνισθεὶς Ἀνταῖος Ἰρασσεὺς ἦν ἀπὸ Ἰράσσων [2]) τῶν ἐν τῇ Τριτωνίδι λίμνῃ, ὥς φησι Φερεκύδης. [3]) ὁ δὲ Πίνδαρος ὑπὸ τοῦ χαρίσασθαι τῷ ἐπαινουμένῳ παρατρέψας τὴν ἱστορίαν φησὶν Ἀλεξίδαμον πρόγονον τοῦ ἐπαινουμένου γενέσθαι μνηστῆρα τῆς Ἀνταίου θυγατρός· ὄνομα δὲ αὐτῇ Ἀλκηΐς, ὥς φησι Πείσανδρος ὁ Καμειρεύς· [4]) ἕτεροι δὲ Βάρκην.

188. Τὰν μάλα πολλοί] ἥντινα τὴν Ἀνταίου θυγατέρα πολλοὶ τῶν ἀρίστων ἀνδρῶν ἤτουν· ἤτουν δὲ πολλοὶ μὲν συγγενεῖς αὐτῆς, πολλοὶ δὲ καὶ ἐκτὸς γένους ὄντες, ἐπειδὴ ἐκπρεπὲς αὐτῆς ἐθαυμάζετο καὶ ἐθρυλλεῖτο εἶναι τὸ κάλλος. τῆς γὰρ ἐντίμου αὐτῆς νεότητος καρπὸν δρέψασθαι ἐβούλοντο· ἐκ δὲ τούτου, τὴν παρθενίαν αὐτῆς ἐβούλοντο λαβεῖν.

194. Πατὴρ δὲ θυγατρί] ὁ δὲ πατὴρ Ἀνταῖος ἐνδοξότερον τῇ ἑαυτοῦ θυγατρὶ κατασκευάζων τὸν γάμον, πεποίηκεν ὅπερ ἤκουσέ ποτε ἐν Ἄργει τὸν Δαναὸν ταῖς τεσσαρακονταοκτὼ θυγατράσιν αὐτοῦ πεποιηκέναι, κἀκεῖνον ἐμιμήσατο.

1) Haec Gott. 2) Vulgo Ἰρασσῶν. Retinui duplex Σ, etsi melius scribitur Ἴρασα. 3) Sturz. Fragm. p. 145. 4) Vulgo Καμιρεύς, ut solet.

Digitized by Google

195. Ἄκουσεν Δαναόν ποτ'] ἤκουσε γὰρ τὸν Δαναὸν ἐν Ἄργει ὁποῖον ταῖς τεσσαρακονταοκτὼ θυγατράσιν αὐτοῦ γάμον εὗρε, πρὶν τὸ μέσον τῆς ἡμέρας γενέσθαι. τὸ γὰρ ἑωθινὸν ἠγωνίσαντο καὶ πρὸ μεσημβρίας διελύθησαν τοῦ δρόμου, καὶ ἕκαστος ἣν ἠβουλήθη ἔλαβεν.

200. Ἔστασεν γάρ] ὁ Δαναὸς, ἔφη, ἔστησε τὰς θυγατέρας ἕως μέσης ἡμέρας, ἵνα δηλονότι προθεωρήσωσιν αὐτὰς οἱ μνηστῆρες καὶ ἕκαστος ἕληται τῶν δρόμῳ πρωτευσάντων, ἣν ἂν βούλοιτο. ζητεῖται δὲ διατί τεσσαρακονταοκτὼ εἶπε πεντήκοντα οὐσῶν; καὶ ῥητέον, ὅτι Ἀμυμώνη μὲν προδιεφθαρεῖσα ἦν Ποσειδῶνι, Ὑπερμνήστρα δὲ ἐρασθεῖσα Λυγκέως, αἱ δὲ ἄλλαι συνδραμοῦσαι τῷ πατρῴῳ βουλήματι ἀνεῖλον τοὺς Αἰγύπτου παῖδας.

207. Οὕτω δ' ἐδίδου Λίβυς] Λίβυς, ὄνομα κύριον, οὐχ ὁ Ἀνταῖος, ὡς Δίδυμος. § τῷ νικήσαντι γὰρ καὶ αὐτὸς ἔδωκε τὴν παῖδα πρὸς γάμον.

208. Ποτὶ γραμμᾷ μέν] ἔστησε γὰρ αὐτὴν πρὸς τῇ ἐσχάτῃ γραμμῇ τοῦ δρόμου, τοῦτο ἄκρον καὶ τέλος διατάξας, τὴν στάσιν τῆς παρθένου. ἐχάρασσον δὲ γραμμήν τινα, ἣν ἀρχὴν καὶ τέλος εἶχον οἱ ἀγωνιζόμενοι. ὅθεν καὶ παροιμία· μὴ κίνει γραμμήν. § οὕτως οὖν καὶ ὁ Ἀνταῖος ὁ Λίβυς ἐδίδου πρὸς γάμον τὴν ἑαυτοῦ θυγατέρα, κατασκευάζων τῇ κόρῃ τὸν προϊόντα νυμφίον ἄνδρα. πρὸς γὰρ τὸ τέλος τοῦ σταδίου κοσμήσας ἔστησε, τέλος καὶ ἄκρον εἶναι αὐτὴν τῷ νικήσαντι. ἐν μέσοις δὲ αὐτοῖς εἶπεν ὅτι, ὅστις ἂν πρῶτος τῶν πέπλων αὐτῆς ἐφάψηται, ἐκεῖνος αὐτὴν ἀπαγέσθω. § Ἄλλως. ποτὶ γραμμᾷ· τῇ νύσσῃ, τῷ τέλει τοῦ σταδίου.

214. Ἔνθ' Ἀλεξίδαμος] οὗτος πρόγονος ἦν τοῦ νικηφόρου, ὡς προείπομεν. § Ἄλλως. Ἀλεξίδαμος ἦν ὁ νικήσας χάριν τῆς Λίβυος θυγατρός. τὸ δὲ ἔφυγεν οὐ κυρίως· οὐ γὰρ ἐδίωκέ τις· ἀλλὰ τὸ τέλος βούλεται παραστῆσαι, παρόσον οἱ διωκόμενοι ἐπιτείνουσι τὸν δρόμον. § Ἄλλως. ὁ νοῦς· ἐνταῦθα ὁ Ἀλεξίδαμος, ἐπειδὴ τὸν ταχὺν δρόμον ἐξέφυγε καὶ ἐνίκησε, τὴν ἔνδοξον παρθένον τῆς χειρὸς τῇ ἑαυτοῦ χειρὶ λαβὼν ἤγαγεν εἰς τὴν τῶν ἱππικῶν Λιβύων στρατιάν. § Ἄλλως. Λιβύων τῶν Νομάδων φησίν· οἱ πλείους γὰρ αὐτῶν ὑποδύντες τὴν γῆν οἰκοῦσιν· ἢ καὶ παρὰ τοῦτο οὕτω καλούμενον ἔθνος. ἐκ δὲ τούτου δῆλον, ὅτι ὁ Ἀνταῖος οὐκ ἔστιν· οὗτος γὰρ ἦν κατὰ τοὺς χρόνους Ἡρακλέους· πρὸ δὲ τοῦ Ἡρακλέους οὐδεὶς ἦν ἀγών, ὁ δὲ Ἀλεξίδαμος ἱστορεῖται προνενικηκέναι.

218. Πολλά μιν κεῖνοι δίκον] πολλὰ δὲ φύλλα καὶ στεφάνους οἱ περὶ αὐτὸν ἑστῶτες ἔρριπτον, πολλὰ δὲ πτερὰ νίκης καὶ πρὸ τοῦ ἀγῶνος ἔλαβε, τουτέστι πολλοὺς καὶ ἄλλους ἀγῶνας ἐνίκησε. πτερὰ γὰρ νίκης περιφραστικῶς τὴν νίκην λέγει.

Digitized by Google

ΠΥΘΙΩΝ ΕΙΔΟΣ Γ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δεκάτου τῶν Πυθίων εἴδους.

Τῆς δεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων δέκα. Τὸ α' Φερεκράτειον. Τὸ β' δίμετρον ἰαμβικὸν ὑπερκατάληκτον, ἄτακτον. Τὸ γ' δίμετρον Ἰωνικὸν βραχυκατάληκτον. Τὸ δ' σύνθετον ἐκ προσοδικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. [1]) Τὸ ε' Φερεκράτειον. Τὸ ς' δίμετρον ἐπιχοριαμβικὸν ἀκατάληκτον. Τὸ ζ' δίμετρον χοριαμβικὸν βραχυκατάληκτον. Τὸ η' δίμετρον δοχμιακὸν [2]) ἀκατάληκτον. Τὸ θ' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ι' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων η'. Τὸ α' ἰαμβικὸν πενθημιμερές. Τὸ β' μητρωακὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ' ἰαμβικὸν δίμετρον καταληκτικόν. [3]) Τὸ δ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ε' ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ς' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ζ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ η' παιωνικὸν δίμετρον ἀκατάληκτον.

Ἱπποκλέᾳ Θεσσαλῷ.] Ἦν μὲν τὸ γένος ὁ προκείμενος νικηφόρος Θεσσαλὸς, πόλεως δὲ Πελινναίου· ἐνίκησε δὲ τὴν εἰκοστὴν δευτέραν Πυθιάδα. δοκεῖ δὲ ἡ ᾠδὴ μὴ ὑγιῶς ἐπιγεγράφθαι Ἱπποκλεῖ· δέον γὰρ Ἱπποκλέᾳ. τὸ γὰρ ὄνομα ἦν Ἱπποκλέας, ὡς καὶ αὐτὸς ὁ Πίνδαρος δηλοῖ. [4]) ἐνίκησε δὲ καὶ οβ' καὶ ογ' Ὀλυμπιάδα. τὴν δὲ Λακεδαίμονα νῦν παρείληφεν, ὡς καὶ αὐτὸς δηλοῖ, ὅτι ἀμφότερα τὰ ἔθνη ὑπὸ τῶν Ἡρακλειδῶν ἐβασιλεύετο. ἐν δὲ τῇ αὐτῇ ἡμέρᾳ ἐνίκησε καὶ στάδιον, οὗ οὐκ ἐμνήσθη, ἴσως τοῦ διαύλου μόνον μισθὸν λαβών.

1. Ὀλβία Λακεδαῖμον] ὦ εὐδαιμονεστάτη Λακεδαῖμον καὶ μακαρία Θεσσαλία· ἐν γὰρ ἀμφοτέραις ἐξ ἑνὸς πατρὸς τοῦ γενναίου Ἡρακλέους τὸ γένος βασιλεύει. τὸ δὲ ἀριστομάχου ἐπιθετικῶς, ἀντὶ τοῦ ἀρίστου κατὰ τὰς μάχας.

5. Τί κομπέω παρὰ [5]) καιρόν;] οἱ μὲν ὅτι κομπῶ, ἀλλόκοτόν τι λέγω, εἶτα

1) Sic Pal. D. Vulgo πενθημιμερής. 2) Vulgo δοχμαϊκόν. 3) Vulgo ἀκατάληκτον. 4) Vss. 8. 88. vulg. 5) Gott. πρός.

Digitized by Google

ἡ μέση· κατὰ τὸν δέοντα καιρὸν κομπῶ. οἱ δὲ οὕτως ὑφ' ἕν· τί κομπῶ καὶ φλυαρῶ παρὰ τὸν δέοντα καιρὸν, ἵνα τὴν κατὰ ἀντὶ τῆς παρὰ λάβωμεν.

6. Καὶ τὸ Πελινναῖον] Πελινναῖον πόλις Θεσσαλίας, ἡ πατρὶς τοῦ νικηφόρου, ἀφ' ἧς καὶ τὸ ἐν Χίῳ ὄρος ἐκλήθη.

8. Ἀλεύα τε παῖδες] ἤτοι καθόλου οἱ Θετταλοὶ ἀπὸ Ἀλεύα τοῦ βασιλεύσαντος αὐτῶν, ὡς καὶ Σισυφίδαι οἱ Κορίνθιοι ἀπὸ Σισύφου· ἢ Ἀλεύα παῖδες οἱ ὄντες ἑταῖροι τῷ Ἱπποκλέᾳ. § ὁ δὲ νοῦς· ἀλλά με ἡ Πυθὼ καὶ τὸ Πελιτναῖον καὶ τοῦ Ἀλεύα οἱ παῖδες ἀπύειν παρακελεύονται καὶ ὑμνεῖν. § ἢ βοᾷ καὶ προσκαλεῖται· θέλοντές με τὴν ἔνδοξον καὶ ἐγκωμιαστικὴν τῶν χορευτῶν ἐπ' αὐτὸν τὸν Ἱπποκλέαν ἄγειν φωνήν.

11. Γεύεται γὰρ ἆεθλων] καὶ γὰρ γεύεται καὶ μεταλαμβάνει ἐπιδόξων ἄθλων νικηφόρος γεγονώς· ὡς νεωστὶ δὲ κατιόντος εἰς τοὺς ἀγῶνας ταῦτά φησιν.

12. Στρατῷ τ' Ἀμφικτυόνων] ἐν δὲ τῷ τῶν ἀμφικτυόνων καὶ περιοίκων ὄχλῳ καὶ συνόδῳ ἡ Πυθὼ αὐτὸν ἄριστον τῶν διαυλοδρόμων παίδων ἀνηγόρευσε, τουτέστιν εἰς Πύθια δίαυλον ἐνίκησε. διαυλοδρομᾶν δὲ ἀπὸ τῆς διαυλοδρόμης εὐθείας· οἱ διαυλοδρόμαι, τῶν διαυλοδρομῶν καὶ τροπῇ Δωρικῇ διαυλοδρομᾶν· καὶ περισπαστέον, ἵν' ᾖ τῶν διαυλοδρομῶν. Παρνάσιος δὲ μυχὸς ἡ Πυθώ.

15. Ἄπολλον] προσφωνεῖ τὸν θεὸν, ἐπειδὴ καὶ Πυθιονίκης ὁ νικηφόρος. ὁ δὲ λόγος οὗτος· ὦ Ἄπολλον, τῶν δὲ ἀνθρωπίνων πραγμάτων ἡδὺ τὸ τέλος αὔξεται καὶ ἡ ἀρχὴ ἡδεῖα γίνεται, τοῦ δαιμονίου αὐτὸν [1]) αὔξοντος.

18. Θεοῖσί τε μήδεσιν] ὁ δὲ Ἱπποκλέας, φησὶ, ταῖς σαῖς βουλήσεσιν, ὦ Ἄπολλον, ἐνίκησε καὶ τὴν νίκην διεπράξατο· τὸ δὲ ἀπὸ γένους αὐτοῦ ἔμφυτον ἐπιβῆναι πεποίηκε τοῖς ἴχνεσι τοῦ Ὀλυμπιονίκου τοῦ αὐτοῦ πατρός.

22. Δὶς ἐν πολεμαδόκοις] δὶς ἐνίκησεν ὁ Φρικίας ἐν Ὀλυμπίᾳ, ὁ πατὴρ τοῦ Ἱπποκλέου. ἦν δὲ ὁπλίτης· διό φησιν· ἐν πολεμαδόκοις Ἄρεος ὅπλοις. τοῦ γένους οὖν φησιν ἥκειν εἰς τὰ ἴχνη· καὶ γὰρ ἐκεῖνος ὁπλιτοδρόμος καὶ οὗτος διαυλοδρόμος.

23. Ἔθηκε] τὸν Φρικίαν καὶ Ὀλυμπιονίκην ὄντα ὁ ὑπὸ τὴν βαθυλείμωνα πέτραν τῆς Κίρρας ἀγὼν, τουτέστιν ὁ Πυθικὸς, κρατησίποδα ἐποίησε. διὰ τούτου δὲ σημαίνει, ὅτι Ὀλυμπιονίκης ὢν ἐγένετο καὶ Πυθιονίκης.

26. Ἔσποιτο μοῖρα καὶ ὑστέραισιν ἐν ἁμέραις] ἐπακολουθοίη δὲ αὐτοῖς καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον ἡ μοῖρα καὶ ἡ εὐτυχία, ὥστε αὐτοῖς αὔξειν τὸν ἀγήνορα πλοῦτον.

29. Τῶν δ' ἐν Ἑλλάδι] τῶν δὲ κατὰ τὴν Ἑλλάδα καλῶν μετεσχηκότες οὐκ ὀλίγον μὴ ἐναντίαις παρατροπαῖς συντύχωσι παρὰ τῶν θεῶν.

33. Ἀπήμων κέαρ] ἀβλαβὴς καὶ ἀνόργητος ἐπὶ τοῖς αὐτοῦ κατορθώμασιν εἴη ὁ θεός.

Εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος] εὐτυχὴς δὲ οὗτος ὁ ἀνὴρ καὶ πολυύμνητος παρὰ τοῖς σοφοῖς γίνεται, ὃς ἂν πάλῃ ἢ δρόμῳ τόλμῃ τε καὶ ἀνδρείᾳ νικήσας τὰ μέγιστα τῶν κατορθωμάτων δέξηται, καὶ πρὸς [2]) τούτοις ἔτι καὶ ζῶν ἤδη τὸν νεώτερον αὐτοῦ υἱὸν κατὰ τὸ προσῆκον Πυθικῶν στεφάνων τυχόντα· καὶ ἀπὸ κοινοῦ τὸ εὐδαίμων.

1) Scribe αὐτά. 2) Vulgo πρὸς ἐπί: quorum alterum delevi, ut e varia lectione natum.

Digitized by Google

42. Ὁ χάλκεος οὐρανός] οὐκέτι μέντοι ὁ στερεὸς οὐρανὸς καὶ ἰσχυρὸς ἐπιβατὸς αὐτοῖς ἐστιν, οἱονεὶ τοῖς εἰς ἄκρον οὕτως εὐδαιμονίας ἐλθοῦσιν οὐκ ἔστι καὶ θεοῖς συγγενέσθαι, ὡς τῶν ἐν ἀνθρώποις ἄκρων καὶ τελείων εὐτυχημάτων αὐτῶν μετασχόντων, τῶν τὴν τοιαύτην εὐτυχίαν εὐτυχησάντων. § Ἄλλως. τῷ τοιούτῳ, τῷ παῖδας ἐσχηκότι καὶ ἃ προείρηκα εὐτυχήματα, οὐκ ἀναβατός ἐστι μόνον ὁ οὐρανός· οἷον, ὡς ἐν θνητοῖς εὐδαίμονές εἰσιν· ἀθάνατοι γὰρ οὐ δύνανται γενέσθαι.

43. Ὅσαις δὲ βρότεον ἔθνος] ὅσων δὲ ἀγλαϊῶν καὶ ἀγαθῶν οἱ ἄνθρωποι ἐφαπτόμεθα εὐδαιμονίας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τῶν ἀνθρωπίνων καλῶν τὸ πέρας καὶ τὸ τέλος ἔχει ὁ τὴν τοιαύτην εὐδαιμονίαν εὐτυχήσας, τὸ καὶ αὐτὸν νικῆσαι καὶ τὸν υἱὸν ἰδεῖν νικήσαντα. ὅσαις δὲ, ἀντὶ τοῦ ὅσων, δοτικῇ ἀντὶ γενικῆς ἐχρήσατο.

46. Ναυσὶ δ' οὔτε πεζὸς ἰών] οὔτε πεζὸς οὔτε πλῷ παραγινόμενος εἰς τὸ τῶν Ὑπερβορέων ἄθροισμα εὑμαρῶς εὕροις τὴν ἐπ' αὐτοὺς θαυμαστὴν ὁδόν. ὁ δὲ νοῦς αὐτῷ πρὸς τὴν εὐτυχίαν· ὥσπερ οὐκ ἔστιν εὐμαρὲς εἰς τὸ τῶν Ὑπερβορέων ἔθνος παραγίνεσθαι, οὕτως οὐδὲ ταύτης τῆς εὐτυχίας μείζονα εὑρεῖν εὐμαρές ἐστιν.

47. Ἐς Ὑπερβορέων ἀγῶνα] ἀγῶνα νῦν τὸ ἄθροισμά φησιν, ἵν' ᾖ· εἰς τὸ τῶν Ὑπερβορέων ἄθροισμα πορευόμενος τὴν ἐπ' αὐτοὺς ἄγουσαν οὐκ ἂν εὕροις ὁδόν. μέχρι δὲ τούτων ὁ Πίνδαρος καλῶς τὸν ἐπίνικον γράφει· ἠστόχησε δὲ τὰ μετὰ ταῦτα ἀλόγῳ παρεκβάσει χρησάμενος.

49. Παρ' οἷς ποτε Περσεύς] παρ' οἷς τοῖς Ὑπερβορέοις ὁ Περσεὺς εὐωχήθη εἰς τὰς οἰκίας αὐτῶν εἰσελθὼν καὶ καταλαβὼν αὐτοὺς διὰ τῶν ὄνων ἐνδόξους θυσίας τελοῦντας τῷ θεῷ Ἀπόλλωνι. οἱ γὰρ Ὑπερβόρειοι ὄνους θύουσι τῷ Ἀπόλλωνι, ὡς καὶ Καλλίμαχός φησι· [1])

Τέρπουσιν λιπαραὶ Φοῖβον ὀνοσφαγίαι.

τὸ σημεῖον, ὅτι οἱ Ὑπερβόρειοι ὄνους θύουσι τῷ Ἀπόλλωνι. [2])

53. Ὧν θαλίαις ἔμπεδον] ὧν τῶν Ὑπερβορέων μάλιστα διηνεκῶς ταῖς εὐφημίαις καὶ εὐωχίαις χαίρει ὁ θεός· ἥδεται δὲ, φησὶν, ὁ Ἀπόλλων θεωρῶν τὴν τῶν θηρίων ἀναίρεσιν. ὕβριν γὰρ τὴν ἀναίρεσίν φησι διὰ τὰ σκιρτήματα, ἃ ἐν τῇ σφαγῇ ποιοῦνται οἱ ὄνοι.

56. Ὀρθιᾶν κνωδάλων] ἔπαιξεν ὁ Πίνδαρος, ὡς τῶν ὄνων ὀρθιώντων, ὅτε ἱερουργοῦντο. κνωδάλων, κυρίως τῶν θαλαττίων ζώων, καταχρηστικῶς δὲ καὶ τῶν χερσαίων. § ἢ οὕτω· μεγάλων διὰ τὸ τῶν ὄνων τερατῶδες τοῦ σώματος. § ταῦτα, φησὶν ὁ Δίδυμος, μετὰ τοῦ γελοίου καὶ ἄσεμνά ἐστι· τίνα γὰρ λόγον ἂν ἔχοι ᾄδεσθαι τὸν Ἀπόλλωνα τοῖς ὀρθιάζουσιν ὄνοις; φησίν.

57. Μοῖσα δ' οὐκ ἀποδαμεῖ] ἡ δὲ Μοῦσα οὐκ ἔστιν ἀπόδημος ἀπὸ τῶν τρόπων καὶ τῶν ἠθῶν αὐτῶν· οἷον, οὐκ εἰσὶν ἄμουσοι.

58. Πάντᾳ δὲ χοροὶ παρθένων] πανταχοῦ δὲ εἰς τὸ τῶν Ὑπερβορέων ἔθνος παρθένων χοροὶ λύρας τε ἦχοι καὶ κτύποι καὶ τῶν αὐλῶν δὲ οἱ κτύποι κινοῦνται, τῇ δὲ εὐφύλλῳ δάφνῃ τὰς ἑαυτῶν κεφαλὰς στεφόμενοι ἐπαίνοις τὸν θεὸν στέφουσιν, εὐωχούμενοι σωφρόνως καὶ συνετῶς.

[1]) Fragm. 188. [2]) Ex Gott.

Digitized by Google

64. Νόσοι δ' οὔτε γῆρας οὐλόμενον] οὔτε νόσοι τῇ ἱερᾷ αὐτῶν γενεᾷ οὔτε ὀλίθριον γῆρας μέμικται, μόχθων δὲ καὶ μάχης μακράν εἰσι, τὴν παρὰ τὸ δίκαιον ἐκφεύγοντες ὕβριν· οἱονεὶ οὐκ ἄδικα πράττοντες καὶ μέμψιν ὑφίστανται παρὰ θεῶν. § Ἄλλως. ἐφ' οἷς οὔτε [1]) νεμεσῶσιν αὐτοῖς οἱ θεοὶ, ἀλλὰ φυγόντες τὴν ὑπὲρ τὸ δίκαιον νέμεσιν οἰκοῦσι χωρὶς πόνων· οὐ γὰρ ἀδικοῦσιν ἀλλήλους, ἀλλὰ πεφεύγασι τὴν διὰ τὸ [2]) παρὰ τὸ δίκαιόν τι πράσσειν νέμεσιν, τουτέστι μέμψιν. § Ὑπέρδικον Νέμεσιν· ὅτι ὑπερδικαιοῖ καὶ κολάζει τοὺς ἀδικοῦντας ἡ Νέμεσις. [3])

68. Θρασείᾳ δὲ πνέων καρδίᾳ] τῇ γενναίᾳ δὲ πνευστιῶν ψυχῇ ὁ Περσεὺς εἰς αὐτοὺς παρεγένετο, εἰς δὲ τὸ τῶν μακάρων ἀνδρῶν ἔθνος παραχινομένῳ αὐτῷ προκαθηγεῖτο ἡ Ἀθηνᾶ.

72. Ἔπεφνέν τε Γοργόνα] ἡ ἱστορία ἐστὶ τοιαύτη. ὅτε [4]) ὁ πάππος Ἀκρίσιος ἀποκυήσασαν τὸν Περσέα τὴν Δανάην λάθρα ἴσθετο, τότε ἐνείρξας αὐτὴν εἰς κιβωτὸν μετὰ τοῦ παιδὸς καθῆκεν εἰς πέλαγος, καὶ προσηνέχθη ἡ κιβωτὸς Σερίφῳ τῇ νήσῳ, ἧς Πολυδέκτης ἐβασίλευε. καί ποτε ἀνδρωθέντος αὐτοῦ καὶ ἑστιωμένου παρὰ τῷ Πολυδέκτῃ, παρ' ἑτέρων [5]) ἕτερα εἰσφερόντων εἰς ἔρανον αὐτὸς τὴν τῆς Γοργόνος κεφαλὴν ὑπέσχετο· ὁ δὲ Πολυδέκτης εὔκαιρον τὴν πρόφασιν λαβὼν τὴν ὑπόσχεσιν ἀπῄτει αὐτὸν καὶ ἐξήλαυνε τῆς νήσου πρὸς τὸ κομίσαι τὴν κεφαλήν· ἦρα γὰρ τῆς μητρὸς αὐτοῦ. ὁ δὲ ἀπελθὼν καὶ τεμὼν τῆς Γοργόνος τὴν κεφαλὴν εἰσήνεγκεν εἰς τὸν ἔρανον, καὶ πάντας ἀπελίθωσε τοὺς ἐν τῷ συμποσίῳ καὶ αὐτὸν δὲ τὸν Πολυδέκτην. § Ἄλλως. ἀνεῖλε μὲν τὴν Γοργόνα, πῶς δὲ εἰς Ὑπερβορέους ἦλθεν ὁ Περσεὺς ἐπὶ τῷ ἀποτεμεῖν τὴν κεφαλὴν τῆς Γοργόνος; οἱ γὰρ Ὑπερβόρεοι πρὸς τοῖς Ἀρκτῴοις οἰκοῦσιν, [6]) αἱ δὲ Γοργόνες κατὰ μέν τινας ἐν τοῖς Ἐρυθραίοις μέρεσι καὶ τοῖς Αἰθιοπικοῖς, ἅ ἐστι πρὸς ἀνατολὴν καὶ μεσημβρίαν, κατὰ δέ τινας ἐπὶ τῶν περάτων τῆς Λιβύης, ἅ ἐστι πρὸς δύσιν. ὅτι δὲ αἱ Γοργόνες οὐκ εἰσὶ πρὸς Ἄρκτους, δῆλον· οὐδεὶς γὰρ ἱστόρησεν.

74. Δρακόντων] λείπει ἡ μετὰ, ἵν' ᾖ μετὰ δρακόντων. νασιώταις δὲ τοῖς Σεριφίοις· ἡ δὲ Σέριφος νῆσος περὶ Αἴγιναν. [7])

76. Ἐμοὶ δὲ θαυμάσαι] ἐμοὶ δὲ ὥστε θαυμάσαι, οὐδὲν εἶναι ἄπιστον φαίνεται, θεῶν καταπραξαμένων. § ἢ οὕτως· οὔτε θαυμάσιον οὔτε ἄπιστον οὐδὲν ἐμοὶ φαίνεται τῶν ὑπὸ θεῶν [8]) γενομένων. Ὅμηρος· [9]) Θεοὶ δέ τε πάντα δύναιται.

79. Κώπαν σχάσον] ἐπιτιμᾷ ἑαυτῷ ὁ Πίνδαρος ὡς πολλῇ χρησαμένῳ τῇ παρεκβάσει, καὶ τροπικῶς προάγεται τὸν λόγον ὡς ἐπὶ νεώς. ταχὺ δ' ἄγκυραν· ἐπεὶ κωλύει τὰς ναῦς ἐξοκέλλειν ἐπὶ τὰς πέτρας, οἷον ἀλέξησιν τῆς πέτρας, ὅπως σώσῃ τὴν πρῴραν ἀπὸ τῆς πέτρας. § ὁ δὲ νοῦς· παῦσον τὴν κώπην, ταχέως δὲ καὶ τὴν ἄγκυραν ἀπὸ τῆς πρῴρας τῇ γῇ κατέρεισον καὶ κάθες, οὖσαν δηλονότι τὴν ἄγκυραν βοήθημα καὶ ἀλέξημα τῆς χοιράδος πέτρας. χοιράδες δὲ λέγονται πέτραι αἱ ὕφαλοι, ἐφ' ὧν καχλάζει τὸ κῦμα καὶ λανθάνειν αὐτὰς ὑποκειμένας παρασκευάζει, ὥστε λανθάνειν προς-

[1]) Coniicias οὐδέ: sed οὔτε defendi potest, quod ἀλλὰ insequens est pro usitatiore δέ: οὔτε autem et δὲ sibi respondere solent. [2]) Διὰ τὸ addidi e Gott. [3]) Ex Gott. [4]) Sic recte Rom. et ceterae editiones usque ad Beckium. [5]) Non male παρ' Heynius deletum vult. [6]) Gott. πρὸς τοῖς Ἐρυθραίοις καὶ Ἀρκτῴοις μέρεσιν οἰκ. et deinde omittit verba Ἐρυθρ. μέρ. καὶ τοῖς. [7]) Gott. [8]) Delevi ἐμοὶ, quod omittit Gott. [9]) Odyss. κ, 306.

Digitized by Google

πλεούσας τὰς ναῦς. τὸ δὲ πρώραθεν, ὅτι ἐκ τῆς πρώρας καθίενται αἱ ἄγκυραι εἰς θάλασσαν.

85. Ἔλπομαι δ' Ἐφυραίων] φατρία παρὰ Θεσσαλοῖς ἡ τῶν Ἐφυραίων. οἱ δὲ, ὅπερ [1]) κάλλιον, τοὺς Κρανωνίους ἤκουσαν· ἡ γὰρ Κρανὼν τοπρότερον Ἐφύρα ἐκαλεῖτο, ὕστερον δὲ μετωνομάσθη Κρανὼν ἀπό τινος βασιλεύσαντος Κρανῶνος καὶ ἀναιρεθέντος ὑπὸ Οἰνομάου, μνηστευσαμένου τὴν Ἱπποδάμειαν. § σφόδρα ἐζητήθη, τίνας νῦν τοὺς Ἐφυραίους φησίν· ὁ μὲν γὰρ Ἀγέστρατος τοὺς Κορινθίους φησίν· Ἐφύρα γὰρ ἡ Κόρινθος, ὡς καὶ Ὅμηρος· [2])

Ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο·

καὶ ἀποδίδωσι τὴν διάνοιαν οὕτως· ὅτι νικήσει ὁ νικηφόρος Ἴσθμια καὶ ὑπὸ τῶν Κορινθίων ἀνυμνηθήσεται. γελοῖον δέ. τί γὰρ μᾶλλον, εἴπερ εὔχεται μὴ τὸν Ὀλυμπιακὸν ἀγῶνα νικήσειν; τινὲς δὲ Ἐφυραίους τοὺς ἐν Θεσπρωτίᾳ ἤκουσαν, ἧς καὶ Ὅμηρος μνημονεύει· [3])

Τὴν ἄγετ' ἐξ Ἐφύρης ποταμοῦ ἄπο Σελλήεντος.

ὁ δὲ Πίνδαρος ἀμφὶ Πηνειόν φησιν αὐτούς· δῆλον δὲ ἀήπουθεν, ὡς ὁ Πηνειὸς τῆς Θεσσαλίας ἐστὶ, καὶ φαίνεται, ὅτι Ἐφυραίους οὔτε τοὺς ἐν Θεσπρωτίᾳ οὔτε τοὺς Κορινθίους φησί· ῥητέον οὖν, ὅτι τοὺς Κρανωνίους. Κρανὼν δὲ πόλις Θεσσαλίας· Θεσσαλὸς δὲ καὶ ὁ νικηφόρος. οὕτω δὲ πρότερον οἱ Κρανώνιοι Ἐφυραῖοι ἐκαλοῦντο. μαρτυρεῖ δὲ τούτῳ Κινέας. [4]) φησὶ γὰρ ἄρχεσθαι αὐτὴν [5]) ὑπὸ τῷ Κρανῶνι, καὶ αὐτὸν [6]) ἐλθεῖν ἐπὶ τὸν τῆς Ἱπποδαμείας γάμον ἐν Πίσῃ, εἶτα ἐκεῖ καταστρέψαντα [7]) τὸν βίον οἱ Θεσσαλοὶ τὴν Ἐφύραν καλουμένην πόλιν, εἰς τιμὴν τοῦ τεθνηκότος, Κρανῶνα μετωνόμασαν. § Ἄλλως. ἐλπίζω δὲ τῶν Κρανωνίων τῶν περὶ τὸν Πηνειὸν ποταμὸν τὴν ἐμὴν ἡδεῖαν ᾠδὴν ᾀδόντων, ἔτι καὶ πλέον τὸν Ἱπποκλέαν ἕνεκεν τῶν στεφάνων σὺν ταῖς ᾠδαῖς θαυμαστὸν καὶ ἐπίδοξον ἐν τοῖς ὁμήλιξι θεῖναι καὶ ἀποδεῖξαι, καὶ ἐν τοῖς πρεσβυτέροις ἀνδράσι καὶ ἐν ταῖς νεωτέραις παρθένοις φροντίδα καὶ μέριμναν, ἀπὸ κοινοῦ θησέμεν.

93. Καὶ γὰρ ἑτέροισιν ἑτέρων ἔρως] ὁ λόγος· καὶ γὰρ ἄλλοις τισὶ τῶν ἀνθρώπων ἄλλων πραγμάτων ἔρως ὑπεκίνησε τὰς φρένας. οὐ γὰρ πάντες τῶν αὐτῶν ἐπιθυμοῦμεν· οὗτος οὖν ἡράσθη τοῦ ἀθλεῖν καὶ ἐφρόντισε καὶ ἐπεθύμησεν· αἱ δὲ παρθένοι διὰ τοὺς ἐμοὺς ὕμνους φροντίδα ἕξουσιν.

95. Τῶν δ' ἕκαστος ὁρούει] τὴν μέριμνάν τις, περὶ ἧς ἕκαστος φροντίζει, τελειώσας ὑπὸ τὸν καιρὸν ἐκεῖνον προθυμῶς διάγει. ἢ οὕτως· ὧν ἂν δέ τις ἐρᾷ καὶ ἐπι-

1) Sic Gott. 2) Iliad. ζ. 152. 3) Iliad. β. 659. 4) Vulgo Καινέας. Cineam haud dubitanter rescripsi; quod nomen Thessalum. Cineam Thessalorum regem commemorat Herodotus V, 63. Cineam Thessalum proditorem apud suos potentem memorat Demosthenes de cor. p. 324. 8. coll. Polyb. XVII, 14, 4. Harpocr. v. Κεινέας. Et Thessalus est Cineas Pyrrhi legatus, Demosthenis, ut fertur, auditor, vir facundus et eruditus: v. Plutarch. Pyrrh. 14. Atque huic non solum Στρατηγικὰ Aeliano Tact. 1. et Ciceroni ad Fam. IX, 25. commemorata tribuenda sunt, sed cum Vossio Hist. Gr. IV, p. 466. etiam historica quaedam, eaque haud dubie Thessalica fabulas priscas continentia, quo pertinet mentio Cineae apud Strab. VII. extr. et noster Scholiastae locus. Ceterum verisimile est Scholiasten scripsisse Κεινέας, ut est apud Harpocrationem. 5) Vulgo αὐτόν. Correxit Heynius. 6) Αὐτὸν addidi. 7) Aut accusativus absolutus est, aut scribendum καταστρέψαντος.

Digitized by Google

θυμῇ, [1]) τυχὼν τῆς παρὰ πόδας ἐπιθυμίας, ἡδίστην ἂν σχοίη τὴν μίριμναν, οἱονεὶ ἀμέριμνος λοιπόν ἐστιν.

98. Τὰ δ' εἰς ἐνιαυτόν] τὰ δὲ μετ' ἐνιαυτὸν μέλλοντα προγνῶναι ἄδηλον καὶ ἀδύνατόν ἐστιν.

99. Πέποιθα ξενίᾳ προσανεῖ Θώρακος] Θώραξ εἷς τῶν Ἀλευαδῶν, ἑταῖρος τοῦ νικηφόρου, ὃς καὶ ἠξίωσε τὸν ποιητὴν ἐπὶ τῇ νίκῃ τοῦ ἑταίρου συντάξαι τὸν ἐπίνικον. ὁ δὲ νοῦς· πεπίστευκα δὲ τῇ προσηνεῖ φιλίᾳ τοῦ Θώρακος, ὅστις τὴν ἐξ ἐμοῦ χάριν ἐπιθυμῶν τοῦτο τὸ τῶν Μουσῶν ἅρμα τέθριππον ἔζευξε· λέγει δὲ τὸν ὕμνον· ὅτι αὐτὸς ἔπεισε γράψαι τῷ νικηφόρῳ τὸν ἐπίνικον. § τὸ δὲ ζεῦξεν ἅρμα ἀντὶ τοῦ ζευχθῆναι ἐποίησεν. ἀλληγορικῶς δὲ τὸ ποίημα ἅρμα Πιερίδων. [2])

103. Φιλέων φιλέοντ', ἄγων ἄγοντα] ἤτοι ἐπαγόμενός με πρὸς τὴν φιλίαν τοῦ ἀθλητοῦ ἐποίησέ με γράφειν τὸ ποίημα· ἢ τὸν ἀθλητὴν ἐπαγόμενος πρὸς τὴν φιλίαν μου ἐποίησέ με εἰς αὐτὸν γράφειν. § τὸ ἄγοντα ἀντὶ τοῦ ἀγόμενον, ἵν' ᾖ· ἐμὲ αὐτὸν βουλόμενον καὶ ἑκουσίως ἀγόμενον.

105. Πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει] ὥσπερ, φησὶ, τῷ πειράζοντι τῇ βασάνῳ ὁ χρυσὸς φανερούται εἴτε εὐπρεπὴς εἴτε [3]) κίβδηλος, οὕτω καὶ ὁ ὀρθὸς νοῦς ἐκ τῆς πείρας δοκιμάζεται· καὶ οὗτος οὖν κράτιστος ἐξήτασται ἐν φιλίᾳ. § Ἄλλως. ἔξωθεν τὸ πείρᾳ δείκνυται· τῷ δὲ ἀποπειρωμένῳ καὶ δοκιμάζοντι ὁ χρυσὸς ἐν τῇ βασάνῳ διαπρέπει καὶ τὸ ἑαυτοῦ δείκνυσιν ἀνθηρὸν τῆς ὕλης. § βάσανος δὲ λίθος ἐστὶ Λυδία, πρὸς ἣν ὁ χρυσὸς ἀκονώμενος διαπρέπει. ὁ δὲ νοῦς ὅλος· ὥσπερ ὁ χρυσὸς διὰ τῆς Λυδίας λίθου δοκιμάζεται, οὕτω πείρᾳ καὶ ἔργῳ ὁ τῶν φίλων τρόπος.

107. Ἀδελφεούς τ' ἐπαινήσομεν ἐσλούς] τοὺς δὲ τοῦ Θώρακος ἀδελφοὺς ἀγαθοὺς ὄντας ἐγκωμιάσομεν, ὅτι τοὺς τῶν Θεσσαλῶν νόμους αὔξοντες εἰς ὕψος αἴρουσιν, οἱονεὶ δικαίως ἄρχοντες ἐπαίρουσι τοὺς νόμους τῇ δικαιοσύνῃ.

110. Ἐν δ' ἀγαθοῖσι κεῖνται] ἔνθα, ἐν τῇ Θετταλίᾳ, ἀγαθοῖς οὖσι τοῖς Ἀλευάδαις αἱ πατρικαὶ καὶ ἔνδοξοι κυβερνήσεις καὶ διοικήσεις ἔγκεινται. § ἐκ δὲ τούτου καὶ οἱ νόμοι τῶν πατέρων αὐτῶν ἐν Θεσσαλίᾳ ἀπόκεινται. τῷ γὰρ κεῖται ἀντὶ τοῦ κεῖνται συνήθως τῷ σχήματι κέχρηται. [4]) § ἢ οὕτως· οἱ ἀγαθοὶ κυβερνῶσι τὰς ἑαυτῶν πατρίδας.

[1]) Vulgo ἐπιθυμεῖ. [2]) Gott. [3]) Sic idem. [4]) Ex eodem.

Digitized by Google

ΠΥΘΙΩΝ ΕΙΔΟΣ ΙΑ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑνδεκάτου τῶν Πυθίων εἴδους.

Τῆς ἑνδεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων θ'. Τὸ α' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ β' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ γ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ δ' τροχαϊκὸν δίμετρον καταληκτικόν. Τὸ ε' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον [1]) λελυμένον. Τὸ ς' ἐφθημιμερὲς δακτυλικόν. Τὸ ζ' παιωνικὸν δίμετρον καταληκτικόν. Τὸ η' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ς'. Τὸ α' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β' Φερεκράτειον ἀπὸ βραχειῶν [2]) ἀρξάμενον. Τὸ γ' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον. Τὸ δ' περίοδος ἐξ ἰάμβων καὶ τροχαίων. Τὸ ε' τὸ αὐτό. Τὸ ς' ἰαμβικὸν δίμετρον καταληκτικόν.

Θρασυδαίῳ.] Γέγραπται ἡ ᾠδὴ Θρασυδαίῳ παιδὶ Θηβαίῳ σταδιεῖ, νικήσαντι κη' Πυθιάδα, καὶ λγ' δίαυλον ἢ στάδιον ἄνδρας. § Ἄλλως. γέγραπται ἡ ᾠδὴ τῷ προκειμένῳ νικήσαντι τὴν λγ' Πυθιάδα διαύλῳ. οὐκ εἰς τὴν τοῦ διαύλου δὲ νίκην γράφει, ἀλλ' εἰς τὴν τοῦ σταδίου.

1. Κάδμου κόραι, Σεμέλα μέν] τῷ εἶναι Θηβαῖον τὸν Θρασυδαῖον τὰς ἀπαθανατισθείσας ἐν Θήβαις ἡρωΐδας ἐπικαλεῖται. προοιμιάζεται δὲ κατὰ τὸν προσαγορευτικὸν λόγον καὶ οὐχὶ κατὰ τὸν διηγηματικόν· πρὸς γὰρ αὐτὰς ἀποτείνεται, οὐχὶ δὲ περὶ αὐτῶν λέγει. τὸ δὲ ἀγυιᾶτις ἀντὶ τοῦ ὦ ἀγυιᾶτις, ὡς καὶ παρ' Ὁμήρῳ· [3]) Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς. καὶ, [4]) Διὸς φίλος. ἀγυιᾶτις οὖν ἀντὶ τοῦ σύνοικε. § ὦ Κάδμου κόραι, Σεμέλη μὲν τῶν Ὀλυμπίων θεῶν σύνοικε, Ἰνὼ δὲ τῶν Νηρηΐδων, παραγίνεσθε σὺν τῇ μητρὶ τοῦ ἀριστογόνου Ἡρακλέος, φημὶ δὲ τῇ Ἀλκμήνῃ· παραγίνεσθε, ὦ ἡρωΐδες, εἰς τὴν Μελίαν καὶ τῶν τιμίων τριπόδων εἰς τὸν ἄδυτον ἀνθρώποις θησαυρόν. [5]) τὸ δὲ ἄδυτον πρὸς τὸ ἄγαν σεπτόν.

1) Vulgo βραχύ. 2) Vulgo βραχείας. 3) Iliad. γ, 277. 4) Odyss. ρ, 415. 5) Heynio obsecutus delevi verba τὴν Μελίαν φησί, pro quibus Gott. τ. Μ. ἀκούομεν.

Digitized by Google

5. Ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ ματρί] ἴτε εἰς τὸν ἄδυτον, ὅς ἐστι χρυσέων τριπόδων θησαυρός. πυκνῶς δὲ τίθησιν ὁ Πίνδαρος κατὰ τὸ ἀρσενικὸν τὸν ἄδυτον. προσκαλεῖται δὲ τὰς Θήβησιν ἡρωΐδας εἰς τὸ Ἰσμήνιον [1]) ἥκειν, ἐν ᾧ τὸ τοῦ Τηνέρου ἱερόν ἐστι χρηστήριον. τριπόδων δὲ εἶπε θησαυρὸν τὸ Ἰσμήνιον διὰ τὸ αὐτόθι πολλοὺς ἀνακεῖσθαι τρίποδας· οἱ γὰρ Θηβαγενεῖς ἐτριποδηφόρουν ἐκεῖσε. [2]) ἡ δὲ Μελία Ἰσμηνοῦ ἀδελφὴ ὑπὸ Ἀπόλλωνος φθαρεῖσα καὶ γεννήσασα Τήνερον, ἀφ' οὗ ἐν Θήβαις Τηνερικὸν πεδίον. § Ἄλλως. Μελία Ὠκεανοῦ θυγάτηρ, ἐξ ἧς καὶ Ἀπόλλωνος Τήνερος ὁ μάντις, ὃς παρ' Ἰσμηνῷ τῷ ποταμῷ ἐμαντεύετο. καὶ αὐτόθι μαντεῖόν ἐστιν, ὃ καλεῖται Ἰσμήνιον, ἔστι δὲ καὶ πηγὴ ὁμώνυμος τῇ ἡρωΐδι. ὁ δὲ νοῦς· ὄντινα τὸν ἄδυτον θησαυρὸν ὁ Ἀπόλλων ἐξόχως ἐτίμησε καὶ ὠνόμασεν αὐτὸν Ἰσμήνιον μαντεῖον, καὶ ἀληθέστατον θῶκον ὄντα τὸν ἄδυτον θησαυρὸν, ἤτοι τὸ Ἰσμήνιον μαντεῖον, ἀληθῆ τῶν μαντευμάτων καθέδραν.

12. Ὦ παῖδες Ἁρμονίας] Σεμέλη καὶ Ἰνὼ, ἃς κατὰ τὸ προοίμιον ἐκάλεσεν.

Ἔνθα καὶ νῦν ἐπίνομον] εἰς τὸ Ἰσμήνιον καλεῖ συνέρχεσθαι τὸν ἐπίνομον τῶν ἡρωΐδων στρατόν. ἐπίνομον δὲ στρατὸν εἶπε τὰς ἐπινεμομένας καὶ ἐποπτευούσας τὰς Θήβας. § ἢ ἐπίνομον τὸν σύννομον ταῖς Θήβαις, τὸν ἐπὶ τοῦ αὐτοῦ νομοῦ καὶ τῆς αὐτῆς ἐπινομῆς. τίς δὲ καλεῖ; ἤτοι ὁ Ἀπόλλων καλεῖ διὰ τὴν νίκην, ἢ καὶ ἡ Μελία, ὅπερ καὶ βέλτιον· θήλεια γὰρ θηλείας εὐλόγως συγκαλοίη. § ὁ δὲ νοῦς· καὶ νῦν ἐνταῦθα, ἐπὶ τοῦ παρόντος, τῶν ἐντοπίων ἡρωΐδων συνηθροισμένων τὸ πλῆθος προσκαλεῖται προσελθεῖν ἤτοι ὁ νικηφόρος ἢ ὁ Ἀπόλλων, ἢ ἡ Μελία, ὃ καὶ βέλτιον· θήλεια γὰρ οὖσα εἰκότως τὰς ἡρωΐδας προσκαλεῖται.

15. Ὄφρα Θέμιν ἱεράν] εἰς τοῦτο συγκαλεῖται, ἵνα ὑμνήσωσι τὴν Θέμιν καὶ τὴν Πυθώ· Θέμιδος ἦν τὸ χρηστήριον, ὅθεν καὶ τὸ θεμιστεύειν. § Ἄλλως. ὅπως ἂν τὴν ἱερὰν Θέμιν καὶ τὴν Πυθῶτα καὶ τὸν ὄντα ὀμφαλὸν τῆς γῆς ὑμνήσητε σὺν παννυχίσι, χάριν κατατιθέμεναι ταῖς ἑπταπύλοις Θήβαις καὶ τῷ τῆς Κίρρας ἀγῶνι.

21. Ἐν τῷ Θρασυδαῖος ἔμνασεν] ἐν ᾧ τῷ τῆς Κίρρας ἀγῶνι, φησὶ δὲ τῷ Πυθικῷ, ἐπιβαλὼν τρίτον στέφανον τὴν πατρικὴν μνήμην ἤγαγε τῶν πατρικῶν κατορθωμάτων, νικῶν ἐν τῇ χώρᾳ τοῦ Πυλάδου τοῦ φίλου τοῦ Λάκωνος Ὀρέστου. § Ἄλλως. ἐν τῷ προκειμένῳ ἀγῶνι τῆς Κίρρας, ἐν τοῖς Πυθίοις, ἀνέμνησε τὴν πατρῴαν ἑστίαν τῶν νικῶν, ἐπιβάλλων αὐτῇ τὸν στέφανον. τρίτον δὲ εἶπεν ὡς ἢ πατρὸς ἢ προγόνου τινὸς αὐτοῦ νενικηκότος· αὐτὸς γὰρ ἅπαξ ἀναγράφεται Πύθια νικήσας. § Ἄλλως. τὸ σημεῖον, ὅτι τὴν Φωκίδα χώραν ἀφνεὰν ἄρουραν Πυλάδου εἴρηκε· τῆς γὰρ Φωκίδος ἦ Πυθὼν, ἧς Στρόφιος ὁ πατὴρ Πυλάδου ἐβασίλευσε· καὶ ὅτι τὸ ξένου Λάκωνος Ὀρέστα τοιοῦτον· ἐν τῇ χώρᾳ τοῦ Πυλάδου, ὅστις ἦν τοῦ Λάκωνος Ὀρέστου ξένος. τὸ δὲ τρίτον ἐπὶ στέφανον, οὐχ ὅτι αὐτὸς ὁ νικηφόρος τρεῖς ἔσχε νίκας, ἀλλ' ὅτι [3]) ἀναγέγραπται ὁ πατὴρ αὐτοῦ Ὀλυμπιονίκης γεγονὼς καὶ αὐτὸς εὐτυχήσας, τὰς πάσας τρεῖς ὑπέδειξεν αὐτῷ γεγονέναι καὶ τῷ πατρί. § ἄριστα ὁ Πίνδαρος τὸ ἐγκώμιον εἰργάσατο· ἐν δὲ τοῖς ἑξῆς σφόδρα ἀκαίρῳ παρεκβάσει ἐχρήσατο.

1) Gott. omnibus locis Ἰσμήνειον. 2) Conf. Didymum ἐν ὑπομνήματι τῷ πρώτῳ τῶν Παιάνων Πινδάρου ap. Ammon. v. Θηβαῖοι cum notis Valckenarii. 3) Ὅτι hoc loco de meo posui idemque delevi post εὐτυχήσας.

Digitized by Google

25. Τὸν δὴ φονευομένου τοῦ πατρός] ἀνείλετο ἡ τροφὸς Ἀρσινόη τὸν Ὀρέστην φονευομένου τοῦ πατρὸς ὑπὸ τῆς Κλυταιμνήστρας. ἰδίως δέ φησιν ὁ Πίνδαρος Ἀρσινόην εἶναι τὴν Ὀρέστου τροφόν· Φερεκύδης [1]) δὲ Λαοδάμειαν λέγων αὐτὴν τὸν ταύτης φησὶ παῖδα ἀνῃρῆσθαι ὑπὸ Αἰγίσθου νομιζόμενον Ὀρέστην εἶναι· τὸν δὲ Ὀρέστην ἐκκλαπέντα εἶναι τριῶν ἐτῶν, ὡς Ἡρόδωρος ἐν Πελοπείᾳ. [2]) § Ἄλλως. ὄντινα τὸν Ὀρέστην φονευομένου τοῦ πατρὸς αὐτοῦ Ἀρσινόη ἡ τροφὸς ἐκ τῶν Κλυταιμνήστρας χειρῶν καὶ τοῦ κατ' αὐτοῦ δόλου σκευωρουμένου ὑπεξέκλεψεν, ὅτε ἡ ἀνηλεὴς γυνὴ τὴν τοῦ Δαρδάνου παιδὸς Πριάμου θυγατέρα Κασάνδραν τῷ πολιῷ ξίφει σὺν τῇ τοῦ Ἀγαμέμνονος ψυχῇ ἔπεμπε παρὰ τὴν εὔσκιον τοῦ Ἀχέροντος ἀκτήν. μετέπεσε δὲ εἰς τὸν περὶ αὐτοῦ λόγον.

34. Πότερόν νιν] ἐπιζητεῖ δύο αἰτίας, δι' ὧς τὸν Ἀγαμέμνονα ἀνεῖλε, καί φησι· πότερον ἄρα ἡ Ἰφιγένεια ἡ παῖς αὐτῆς μακρὰν τῆς πατρίδος ἐν τῷ Εὐρίπῳ σφαγεῖσα ἔλυπησεν αὐτὴν καὶ ἐκίνησεν, ὥστε τὴν ὀργὴν ταύτην ἔχουσαν βαρύτατον τὸ ἐπιχείρημα ἄρασθαι, καὶ [3]) τολμῆσαι τοσοῦτον, ὡς πρὸς τὴν τοῦ Ἀγαμέμνονος ὁρμῆσαι σφαγήν· ἢ ἑτέρῳ αὐτὴν ἀνδρὶ μισγομένην αἱ νυκτεριναὶ τῆς μοιχείας συνουσίαι παρήγαγον κατὰ τοῦ Ἀγαμέμνονος, ὥστε αὐτὸν φονεῦσαι σὺν δόλῳ;

40. Τὸ δὴ νέαις ἀλόχοις] ὅπερ τὸ ὑπὸ ἄλλῳ ἀνδρὶ μοιχεύεσθαι ταῖς νέαις γυναιξὶν ἐχθρότατον [4]) ἁμάρτημά ἐστιν· ὅπερ τὸ τῆς μοιχείας ἁμάρτημα ἐπικαλύψαι ταῖς ἀλλοτρίαις γλώσσαις ἀδύνατόν ἐστιν· ἢ λαθεῖν τοὺς ἔξω, ἢ μαθόντας τοὺς ἔξω ἀποσιωπῆσαι ἀδύνατόν ἐστι πρᾶγμα. οἱ γὰρ ἀλλότριοι λαλοῦσι· κατὰ φύσιν γὰρ λοίδοροί εἰσιν οἱ πολῖται.

45. Ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον] ἤδη καὶ τῶν ὑπερεχόντων μᾶλλον ἰδίως ἅπτονται οὗτοι. τοῦτο δὲ πρὸς τὸν Ἀγαμέμνονα, ὅτι ἐπιφανὴς ὢν ἐφθονήθη. § ἢ οὕτως· ἔχει γὰρ ἡ εὐτυχία οὐ μικρὸν φθόνον, ὅτι ἀεὶ τοῖς εὐτυχοῦσι βασκαίνουσιν οἱ ἔξωθεν.

46. Ὁ δὲ χαμηλά] ὁ δὲ ταπεινὰ καὶ οἰκτρὰ πνέων, τουτέστιν ὁ εὐτελὴς καὶ πένης ἀφώνως ἠχεῖ, οἷον ζῇ· διὰ γὰρ τὴν πενίαν εὐτελής τις ὢν καὶ ἀφανής ἐστιν. § ἢ οὕτως· ὁ δὲ ταπεινὸς οὐκ ἐν φανερῷ βρέμει. τὸ δὲ σημεῖον, ὅτι χαμηλὰ τὰ ταπεινὰ εἶπεν.

47. Θάνε μὲν αὐτὸς ἥρως] ἀπέθανε μὲν οὖν αὐτὸς ὁ Ἀγαμέμνων χρόνῳ πολλῷ παραγεγονώς ποτε ἐν Λακεδαίμονι, καὶ τὴν μάντιν ἀπολέσθαι πεποίηκε κόρην Κασάνδραν· αἴτιος γὰρ αὐτὸς τοῦ ὑπὸ Κλυταιμνήστρας ἀποθανεῖν αὐτὴν γέγονεν.

48. Ἀμύκλαις] κατὰ μέν τινας πόλις, κατὰ δέ τινας δῆμος Λακωνικός. ἀπὸ δὲ κοινοῦ τὸ ἵκων. [5])

50. Ἐπεὶ ἀμφ' Ἑλένᾳ] παραγεγονὼς δὲ εἰς Λακεδαίμονα ὁ Ἀγαμέμνων ἀποτέθνηκεν, ἐπειδὴ περὶ τῆς Ἑλένης μαχόμενος συμφλεχθείσης τῆς Τροίας καὶ τῶν ἐνοι-

1) Fragm. Sturz. p. 224. Cf. Stesichor. ap. Schol. Aesch. Choeph. 751. 2) Gott. Ἡρόδοτος ἐν Πέλοπι. 3) Cum Gott. delevi λυπῆσαι. 4) Gott. αἰσχρότατον. 5) Ex Gott. sed mutato lemmate.

Digitized by Google

κούντων Τρώων, διέλυσε τοὺς οἴκους τῆς εὐδαιμονίας, τουτέστι τοὺς πλουσίους οἴκους κατεστρέψατο.

53. Νέᾳ κεφαλᾷ] ἀντὶ τοῦ νέος ὢν ἔτι. ὁ δὲ Ὀρέστης, φησὶν, ἔτι νεώτερος ὢν νὰς τῆς μητρὸς ἀποφυγὼν χεῖρας πρὸς Στρόφιον τὸν Πυλάδου πατέρα παρεγένετο, οἰκοῦντα πρὸς τὸ ἔσχατον τοῦ Παρνασσοῦ. § ἀβρότατος· τῆς εὐδαιμονίας, τῆς τρυφῆς. [1])

55. Ἀλλὰ χρόνῳ σὺν Ἄρει] ἀλλὰ χρόνῳ ποτὲ ἡβήσας ὁ Ὀρέστης καὶ ἐν τῇ πατρίδι παραγεγονὼς τῷ ξίφει ἀνεῖλε τὴν μητέρα, καὶ τὸν Αἴγισθον ἔθηκεν ἐν φοναῖς. φοναὶ δὲ οἱ τόποι καλοῦνται, εἰς οὓς φονεύονται. καὶ Ὅμηρος· [2]) Ἐν ἀργαλέῃσι φονῆσιν.

58. Ἦ ῥ', ὦ φίλοι, κατ' ἀμευσίπορον] συνήσθηται καὶ αὐτὸς ἀκαίρῳ παρεκβάσει κεχρημένος καί φησιν· ὦ φίλοι, ἄρα ἐπλανήθην τῆς ὁδοῦ τοπρότερον ὀρθὴν πορευόμενος ὁδὸν, ἢ ἄνεμός με τοῦ πλοῦ παρέσφηλεν; ἀμευσίπορον δὲ, ἣν ἀμειβόμεθα καὶ ἀνύομεν, μὴ κατὰ πλάνην παρεκτρεπόμενοι. διὸ ἀπέστρεψε τὸν λόγον πρὸς τὴν Μοῦσαν καί φησιν· εἰ συνέθου καὶ μισθὸν ἔλαβες, ἵνα ἐγκωμιάσῃς τὸν νικηφόρον, δέον ἐστὶ τὸν ὕμνον ἄλλοτε ἄλλῃ μετάγειν, ἢ περὶ τοῦ Θρασυδαίου τι λέγοντας ἢ περὶ τοῦ πατρὸς αὐτοῦ τοῦ Πυθιονίκου. ὑπάργυρος γάρ ἐστιν ἡ φωνὴ καὶ ἔμμισθος, ὥστε οὐ δεῖ παρεκβαίνειν καὶ περὶ ἄλλων λέγειν, μισθὸν εἰληφότα. § Ἄλλως. ὥσπερ ἐπιπλήττει ἑαυτὸν ὁ Πίνδαρος ἀκαίρῳ παρεκβάσει χρησάμενος· κατὰ τρίοδον δὲ πεπλανῆσθαί φησιν, ἐπειδὴ δοκεῖ ὁ ἀπ' εὐθείας ἐν τριόδῳ παραγινόμενος ἀπορεῖν, ὁποίαν ὀφείλοι βαδίσαι. § ὁ δὲ νοῦς· ναὶ δὴ, ὦ φίλοι, κατ' ἀμευσίπορον ὁδὸν ἐπλανήθην εὐθεῖαν τοπρότερον πορευόμενος, ἀντὶ τοῦ ἐσφάλην τοῦ δέοντος παρεκβάσει χρησάμενος· ἢ ἄνεμός μέ τις ἐξέῤῥιψε τοῦ δέοντος πλοῦ καὶ ἐκπεσεῖν ἐποίησεν ὡς θαλαττίαν ναῦν.

63. Εἰ μισθῷ συνέθευ] εἰ δὲ ἀληθῶς, ὦ ἡμετέρα Μοῦσα, μισθοῦ καὶ ἀργυρίου τὴν σὴν φωνὴν ὑπέσχου παρασχεῖν, ἄλλοτε ἄλλα ὀφείλεις [3]) ἀνακινεῖν ἐγκώμια· ὀφείλεις δὲ ἐπὶ τοῦ παρόντος ἀνακινεῖν τὸ ἐγκώμιον ἢ αὐτῷ τῷ πατρὶ τοῦ Πυθιονίκου ἢ αὐτῷ τῷ Θρασυδαίῳ, ὧν ἡ δόξα τῆς νίκης καὶ ἡ εὐφροσύνη πανταχοῦ διαλάμπει.

66. Ταρασσέμεν] ἀντὶ τοῦ τάρασσε, καὶ μετάφερε. λείπει τὸ ὀφείλεις. [4])

70. Τὰ μὲν ἅρμασι καλλίνικοι πάλαι] τὰ μὲν γὰρ ἅρμασι καὶ τεθρίππῳ σὺν τοῖς ἵπποις τοπαλαιὸν καλλίνικοι γενόμενοι τῶν πολυθρυλλήτων ἀγώνων ἔσχον τὴν ταχεῖαν ἀκτῖνα καὶ λαμπηδόνα ἐν Ὀλυμπίᾳ· ἀπὸ κοινοῦ δὲ τὸ νικήσαντες ἀκτῖνα ἔσχον· καὶ τῇ Πυθοῖ δὲ κατελθόντες ἐπὶ τὸ γυμνὸν στάδιον ἀγωνίσασθαι, ἤλεγξαν τῇ τῶν ποδῶν ταχυτῆτι τὸν τῶν Ἑλλήνων ὄχλον, παρὰ πάντας εὐδοκιμήσαντες μόνοι. § οἱ μὲν πρόγονοι, φησὶν, αὐτοῦ ἔσχον Ὀλυμπιακὰς νίκας, αὐτὸς δὲ ὁ Θρασυδαῖος ἐν τῇ Πυθοῖ στάδιον ἐνίκησε. τὸ δὲ τῷ Θρασυδαίῳ πεπραγμένον συλληπτικῶς ἐπὶ πάντων τέταχεν.

76. Θεόθεν ἐραίμαν καλῶν] θεῶν δὲ βουλήσει ἔρωτα ἔχοιμι τῶν καλῶν, τὰ δυνατὰ ζητῶν καὶ ἐπιθυμῶν ἐν τῇ παρούσῃ μοι ἀεὶ ἡλικίᾳ, τουτέστιν ἑκάστοτε.

78. Τῶν γὰρ ἀνὰ πόλιν] τῶν κατὰ πόλιν γὰρ, φησὶν, εὑρίσκων τὰ τοιαῦτα τῶν πραγμάτων ἐπὶ πλεῖστον χρόνον θάλλοντα, ὅσα τὸ ἄκρον οὐκ ἔχει τῆς εὐδαιμονίας, μέμφομαι τὰς τυραννίδας, μέμφομαι τοὺς τῆς ὑψηλῆς καὶ τυραννικῆς ἐπιθυμοῦντας τύχης.

1) Gott. 2) Iliad. κ, 521. 3) Rom. ὀφείλοις. 4) Hae tres voces e Gott.

Digitized by Google

82. Ξυναῖσιν] ἀντὶ τοῦ μέσαις, κοιναῖς καὶ συμμέτροις. τέταμαι· ἀντὶ τοῦ ἔγκειμαι. ὅ ἐστι· περὶ ταῖς κοιναῖς καὶ συμμέτροις ἀρεταῖς, εὐτυχίαις τὴν ἐπιθυμίαν τεταμένην ἔχω.

83. Φθονεροὶ δ' ἀμύνονται ἄτᾳ] οἱ δὲ φθονεροὶ τῇ αὐτῶν ἄτῃ καὶ βασκανίᾳ ἀμύνονται καὶ βλάπτονται, βασκαίνοντες εἴ τις τὸ τέλειον τῆς εὐδαιμονίας καὶ εὐτυχίας λαβὼν καὶ ἐν ἡσυχίᾳ καὶ εἰρήνῃ διάγων τὴν χαλεπὴν στάσιν καὶ ὕβριν ἀπέφυγε κατὰ τὴν τελευτὴν τὴν τοῦ θανάτου, τουτέστι μέχρι καὶ θανάτου δικαίως ἔζησε, καλλίονα καὶ ἐντιμότερον τὸν ἑαυτοῦ θάνατον τῶν ἑαυτοῦ κτημάτων χάριν τῇ ἰδίᾳ αὐτοῦ γενεᾷ παρεσχηκώς, καὶ καταλιπὼν ἔξωθεν δόξαν καὶ τὴν μετὰ θάνατον ἑαυτοῦ εὐφημίαν. § ἢ οὕτω· τὸν δὲ ἄκρως εὐτυχοῦντα, κἂν μετὰ ἡσυχίας ζῇ μηδὲν παρασχὼν πρᾶγμα, ὅμως οἱ πονηροὶ [1]) βασκαίνοντες βλάπτουσιν. § εἴ τις τὸ ἄκρον καὶ τὸ πρῶτον ἔχει, οἱ φθονεροὶ τῇ ἄτῃ αὐτὸν ἀμύνονται, τουτέστι βλάπτουσιν, ἐπειδὴ ἐπὶ τοῖς ἀλλοτρίοις καλοῖς λυπούμενοι διαφθείρονται τηκόμενοι· διὸ βέλτιόν ἐστι τὴν μεσότητα σώζειν ἐπὶ πάντων. μέλανος δ' ἂν ἐσχατιάν· τοῦ θανάτου ἢ τοῦ ᾅδου. εἶτις οὖν, φησίν, οὐκ ἔστιν ὑβριστὴς καὶ τὸ ἄκρον ἔχει, καλλίονα τὸν θάνατον αὐτῷ περιποιησάμενος πάντων κτημάτων ἀπολείπει τῇ γενεᾷ αὐτοῦ τὴν εὐφημίαν. ταύτην γὰρ εἶπε κρατίστην κτημάτων χάριν· παντὸς γὰρ κτήματος κρείσσων ἐστὶν ἡ εὐφημία. § Ἄλλως. τὴν ἐν τοῖς κτήμασι κρατιστεύουσαν εὐφημίαν· ταύτην γὰρ λέγει χάριν. [2])

91. Ἄ, τε τὸν Ἰφικλείδαν] ἤτις ἡ εὐδοξία ἔνδοξον ὄντα καὶ τὸν Ἰφικλέους [3]) παῖδα Ἰόλαον πανταχοῦ διάγει καὶ διαστέλλει [4]) καὶ ἐπίσημον ποιεῖ, καὶ τὸν Κάστορα καὶ σὲ, ὦ δέσποτα Πολύδευκες, υἱοὶ θεῶν, ποτὲ μὲν παρ' ἡμέραν ἐν ταῖς Λακωνικαῖς ὄντας καθέδραις, ποτὲ δὲ ἐν τοῖς τοῦ Διὸς οἰκοῦντας, καὶ ἀπὸ κοινοῦ τὸ διάγει ἡ εὐφημία.

95. Τὸ μὲν παρ' ἄμαρ] τὸ Ὁμηρικὸν παραφράζει τό, [5])

Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν.

ΠΥΘΙΩΝ ΕΙΔΟΣ ΙΒ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δωδεκάτου εἴδους.

Ἡ δωδεκάτη ᾠδὴ καὶ τελευταία μονοστροφική ἐστιν ἐκ κώλων ιδ'. Τὸ α' περίοδος δωδεκάσημος ἐκ σπονδείου καὶ πυρρίχιου καὶ τροχαίου καὶ ἰάμβου. Τὸ β' τὸ αὐτό.

1) Gott. φθονεροί. 2) Gott. 3) Vulgo Ἰφικλέα, Gott. Ἰφικλέα ἤτοι τὸν Ἰφικλέους. 4) Verba καὶ διαστέλλει transposui: vulgo enim legebantur post ποιεῖ. Gott. primum omittit, mox idem scholium iterum praebens addit. 5) Odyss. λ, 302.

Digitized by Google

Τὸ γ' δακτυλικὸν πενθημιμερές. Τὸ δ' τὸ αὐτὸ τῷ α' καὶ β'. Τὸ ε' τὸ αὐτό. Τὸ ς' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ' δακτυλικὸν πενθημιμερές. Τὸ η' ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ θ' τὸ αὐτὸ τῷ α' καὶ β'. Τὸ ι' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' προσοδιακὸν μιᾷ συλλαβῇ περιττεῦον, ὅμοιον τῷ Ἐρασμονίδα Χαρίλαε. Τὸ ιβ' τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον. Τὸ ιγ' ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ ιδ' Στησιχόρειον τρίμετρον ἀκατάληκτον.

Μίδᾳ αὐλητῇ.] Γέγραπται ἡ ᾠδὴ Μίδᾳ Ἀκραγαντίνῳ. οὗτος ἐνίκησε τὴν εἰκοστὴν τετάρτην Πυθιάδα καὶ τὴν κέ· φασὶ δὲ αὐτὸν καὶ Παναθήναια νενικηκέναι. ἱστοροῦσι δέ τι ἴδιον σύμπτωμα συμβεβηκέναι περὶ τὸν αὐλητὴν τοῦτον· ἀγωνιζομένου γὰρ αὐτοῦ ἀνακλασθείσης [1]) τῆς γλωσσίδος ἀκουσίως καὶ προσκολληθείσης τῷ οὐρανίσκῳ, μόνοις τοῖς καλάμοις τρόπῳ σύριγγος αὐλῆσαι, τοὺς δὲ ἀκροατὰς ἡσθέντας καὶ ξενισθέντας τῷ ἤχῳ τερφθῆναι, καὶ οὕτω νικῆσαι αὐτόν.

1. Αἰτέω σε, φιλάγλαε καλλίστα] ὁ λόγος ἀπότασις τῷ Πινδάρῳ πρὸς τὴν ἡρωΐδα τὴν Ἀκράγαντα ἢ καὶ τὴν Ἀκράγαντα πόλιν· ὦ φιλόκαλε καὶ καλλίστη τῶν πόλεων, ἥτις εἶ Φερσεφόνης ἕδος, αἰτέω σε, ἵνα ἵλεως δέξῃ τὸ στεφάνωμα τοῦ Μίδα, ὃ ἐκ τοῦ Πυθῶνος ἤνεγκεν. § ὁ δὲ νοῦς· αἰτέω σε, ὦ καλλίστη τῶν ἀνθρώπων καὶ φιλόκαλε πόλι καὶ τῆς Φερσεφόνης ἔδαφος, ἥτις ἐν ταῖς ὄχθαις τοῦ προβατοτρόφου Ἀκράγαντος τὴν εὐκατασκεύαστον Ἀκράγαντα τὴν ὁμώνυμον σαυτῇ οἰκεῖς πόλιν. ἀπὸ μέρους δὲ τὸ ὅλον ἔφη· ὅλην γὰρ τὴν Σικελίαν ἐδωρήσατο τῇ Περσεφόνῃ ὁ Ζεύς.

3. Ἅ, τ' ὄχθαις ἐπὶ μηλοβότου ναίεις Ἀκράγαντος] τοῦ ὁμωνύμου ποταμοῦ. τὸ δὲ ναίεις ἀντὶ τοῦ ναίῃ, ὡς καὶ Ὅμηρος· [2]) Ναιετάουσι πόληες, ἀντὶ τοῦ ναιετάονται. ἐὔδματον· τὴν εὐκατασκεύαστον κολώνην· λέγεται γὰρ ἐφ' ὑψηλοῦ κεῖσθαι. [3])

6. Ὦ ἄνα ἵλαος ἀθανάτων] ὦ δέσποινα, εὐμενὴς σὺν θεῶν [4]) καὶ ἀνδρῶν εὐμενείᾳ τὸ ἐκ τῆς Πυθῶνος στεφάνωμα, τὸν ὕμνον, δέξαι τοῦ ἐνδόξου Μίδα.

11. Αὐτόν τέ νιν] τὸν Μίδαν, ἀπὸ κοινοῦ τὸ δέξαι, τὴν Ἑλλάδα νικήσαντα τῇ ἑαυτοῦ τέχνῃ.

12. Τάν ποτε Παλλὰς ἐφεῦρε] ἥντινα τὴν αὐλητικὴν τέχνην εὕρετό ποτε ἡ Ἀθηνᾶ τῶν θρασειῶν Γοργόνων τὸν θρῆνον διαπλέξασα καὶ μιμησαμένη. § Ἄλλως. διαπλέξασα, συνθεῖσα τὸν οὖλιον θρῆνον τῶν Γοργόνων ἡ Ἀθηνᾶ. [5])

15. Τὸν παρθενίοις ὑπό τε] μυθεύεταί τι τοιοῦτον, ὅτι ὅτε ὁ Περσεὺς ἐκαρατόμησε τὴν Μέδουσαν, αἱ δύο ἀδελφαὶ ἐθρήνουν τὴν ἀδελφήν, καὶ ἐκ τῆς κεφαλῆς αὐτῶν καὶ τῶν ὄφεων τῶν περὶ τὴν κεφαλὴν συριγμός τις ἀνεδίδοτο. τούτου τοῦ συριγμοῦ κατακούσασα ἡ Ἀθηνᾶ τοῦ ἐκ τῶν ὄφεων προσγινομένου πρὸς μίμησιν τοῦ θρήνου καὶ τοῦ ἐκ τῶν ὄφεων γινομένου συριγμοῦ ἐπενόησε τὴν αὐλητικήν, ἣν καὶ ὠνόμασε πολυκέφαλον νόμον διὰ τοῦτο· ἐπεὶ γὰρ ἐκ τῶν πολλῶν κεφαλῶν τῶν ὄφεων εἷς τις ἀνεδί-

1) Schneiderus coniicit ἀνασπασθείσης. Ad vss. 49. 54. Scholiastes dicit: κλασθέντος τοῦ καλάμου. 2) Iliad. δ, 45. Codex πόλιες. 3) Ex Gott. 4) Vulgo θεῷ. 5) Gott.

Digitized by Google

δοτο συριγμὸς, πολλὰς δὲ κεφαλὰς εἰκότως εἶχον οἱ ὄφεις, διὰ τοῦτο πολυκέφαλον νόμον τὴν κατὰ μίμησιν αὐλητικὴν συνθεῖσα ὠνόμασεν. § ὅντινα τὸν θρῆνον ὑπὸ παρθενίοις Γοργόνων κεφαλαῖς καὶ ὀφίων ἀπλησιάστοις κεφαλαῖς ἐπήκουσε σὺν τῷ δυςπενθεῖ καμάτῳ καὶ θρήνῳ κατασπενδόμενον.

18. Δυςπενθεῖ σὺν καμάτῳ] τῷ τῶν Γοργόνων. ἀδελφὴν γὰρ ἐπένθουν κάμνουσαν. τίνες δέ εἰσιν αἱ παρθένοι κεφαλαί; δηλονότι αἱ τῶν παρθένων τῶν ἀδελφῶν τῆς Μεδούσης, Σθενοῦς [1]) καὶ Εὐρυάλης.

19. Περσεὺς ὁπότε τρίτον ἄυσε κασιγνητᾶν μέρος] τουτέστι τὴν μίαν· τρεῖς γὰρ ἦσαν. τὸ δὲ ἄυσεν ἤτοι ἐπὶ τῆς μιᾶς τῶν Γοργόνων ἀκουστέον, ὡς ἄυσε κατατομουμένη διὰ τὴν ἀλγηδόνα, καὶ τότε ἄυσεν ἡ Ἀθηνᾶ τὸν θρῆνον τῶν ἀδελφῶν αὐτῆς· ἢ ἄυσεν ὁ θρῆνος κατατομήσαντος τοῦ Περσέως. οἱ δὲ ἀπὸ τῆς αὐτῆς ἐσχηματίσθαι θέλουσι, τουτέστι τῆς μάχης· οἷον κατεπολέμησε τὸ τρίτον μέρος αὐτῶν. § διχῶς· ἢ ἄνυσεν, ὅ ἐστιν ἀνυσθῆναι ἐποίησεν· ἢ ἄυσεν, ἀντὶ τοῦ ἐκραύγασε κατατομουμένη.

21. Ἐναλίᾳ Σερίφῳ] ἐν τῇ θαλασσίᾳ Σερίφῳ μοῖραν καὶ θάνατον κομίζων τὸ τρίτον μέρος τῶν Γοργόνων· ἐκ δὲ τούτου πάλιν τὴν τῆς Γοργόνος κεφαλήν.

24. Φόρκοι' ἀμαύρωσε γένος] Φόρκυος γένος τὰς Γοργόνας φησί. τοῦτο δὲ ἐπὶ τῶν τριῶν ἀκουστέον, ὅτι τὴν μὲν μίαν ἐκατόμησε, τὰς δὲ δύο ἐξετύφλωσεν ἀφελόμενος τὸν ἕνα ὀφθαλμόν· μόνῳ γὰρ ἐνὶ ἐχρῶντο αἱ τρεῖς. εὐπάραον δέ φησι τὴν Μέδουσαν, οὐχ ὅτι οὕτω φύσεως εἶχεν, ἀλλ' ὅτι περὶ ἑαυτῆς ἡ Μέδουσα ὡς εὐμόρφου διέκειτο· διὸ καὶ περὶ κάλλους τῇ Ἀθηνᾷ ἐφιλονείκησεν. § Ἄλλως. γένος ἀντὶ τοῦ θυγατέρα, τὴν προειρημένην Μέδουσαν. [2]) § ναὶ γὰρ δὴ ὁ Περσεὺς τὸ θεῖον γένος τοῦ Φόρκου τὰς Γοργόνας ἠφάνισε τῆς εὐπαράου Μεδούσης τὴν κεφαλὴν ἀποτεμών, καὶ ὀλεθριώτατον ἔρανον τῷ Πολυδέκτῃ ἔθηκε, καὶ τὴν τῆς μητρὸς αὐτοῦ δουλείαν ἀσφαλῆ καὶ ἐλευθέραν καὶ τὴν μετ' ἀνάγκης κοίτην, ἀπὸ κοινοῦ τὸ ἔθηκεν.

25. Λυγρόν τ' ἔρανον] λυγρὸν ἔρανον εἶπεν, ἐπεὶ ἐν ἐράνῳ ποτὲ ἐπέταξεν ἑκάστῳ ὡς ὢν βασιλεὺς ὁ Πολυδέκτης προσφέρειν αὐτῷ δῶρον καὶ τῷ Περσεῖ τὴν κεφαλὴν τῆς Γοργόνος. κοινῶς δὲ ληπτέον τὸ ἀμαύρωσε, τῆς Γοργόνος δηλονότι.

27. Τό, τ' ἀναγκαῖον λέχος] τὸ μετὰ ἀνάγκης καὶ βίας γινόμενον. [3])

29. Τὸν ἀπὸ χρυσοῦ φαμεν] ὅντινα τὸν Περσέα φαμὲν ἀπὸ χρυσοῦ γενέσθαι αὐτομάτως καταῤῥέοντος.

31. Ἀλλ' ἐπεὶ ἐκ τούτων] ἀλλ' ἐπειδὴ ἐκ τούτων τῶν πόνων τὸν προσφιλέστατον ἄνδρα ἐῤῥύσατο Περσέα ἡ Ἀθηνᾶ, τότε τὸ πολύφωνον μέλος τῶν αὐλῶν κατεσκεύαζεν. ἐῤῥύσατο δὲ πόνων· ἐπεδίωξαν γὰρ τὸν Περσέα μέχρι Βοιωτίας. [4])

35. Ὄφρα τὸν Εὐρυάλας] ἀπὸ μιᾶς ἤρκεσε καὶ τὸ περὶ τὴν ἑτέραν τὴν Σθενὼ πάθος παραστῆσαι. § ἀπὸ μέρους δὲ εἴρηκεν· οὐ γὰρ μόνη ἐθρήνησεν ἡ Εὐρυάλη, ἀλλὰ καὶ ἡ Σθενώ· ἡ γὰρ Εὐρυάλη τῆς Μεδούσης ἀδελφή, ὁμοίως καὶ ἡ Σθενώ. § ὅπως σὺν τοῖς ὀργάνοις τῆς αὐλητικῆς τὸν ἐκ τῶν ἰσχυρῶν γενύων τῆς Εὐρυάλης ἐκδοθέντα

1) Sic Gott. Stheno genuinum est Gorgonis nomen. Olim ex Rom. legebatur: Σθενούσης· γράφεται καὶ Σθενοῦς. 2) Ex Gott. qui θυγατρός. 3) Indidem. 4) Sic Gott. auctoribus Heynio et Gerhardo.

Digitized by Google

θρῆνον μιμήσαιτο. § ἵν' οὖν, φησί, τὸν ταύτης μιμήσαιτο γόον τὸν ἐρικλάγκταν, τουτέστι τὸν μεγαλόκρακτον, μεγαλόηχον. ἡ γὰρ Ἀθηνᾶ εὗρε τὸ μέλος τῆς αὐλητικῆς.

39. Ἀλλά νιν εὑροῖσ'] ἀλλ' εὑροῦσα τὸ τοῦ αὐλοῦ μέλος μετέδωκε τοῖς ἀνθρώποις ἔχειν, καὶ ὠνόμασε τὸ μέλος πολυκέφαλον νόμον· ἐπεὶ καὶ αἱ τῶν δρακόντων πλείους εἰσὶ κεφαλαὶ, καὶ αἱ συρίζουσαι πλείους ἦσαν· ὧν κατὰ μίμησιν συνέθηκε. τινὲς δὲ πολυκέφαλον, φασὶν, εἶπεν, ἐπειδὴ πεντήκοντα ἦσαν ἄνδρες, ἐξ ὧν ὁ χορὸς συνεστὼς προκαταρχομένου τοῦ αὐλητοῦ τὸ μέλος προεφέρετο. [1]) οἱ δὲ κεφαλὰς ἀκούουσι τὰ προοίμια. ᾠδὴ οὖν διὰ πολλῶν προοιμίων συνεστῶσα, ἣν λέχουσι τὸν Ὄλυμπον πρῶτον εὑρηκέναι.

42. Εὐκλέα λαοσσόων] ἔνδοξον ὑπόμνημα τῶν ἀγώνων τῶν τοὺς λαοὺς σοούντων [2]) καὶ παρορμώντων εἰς τὴν θέαν. φησὶ δὲ τὸ μέλος.

43. Λεπτοῦ διανισσόμενον χαλκοῦ] διαπορευόμενον τὸ μέλος ὁμοῦ [3]) διά τε χαλκοῦ καὶ καλάμου, ἀντὶ τοῦ διὰ τῶν αὐλῶν.

45. Τοὶ παρὰ καλλιχόρῳ ναίουσι] τοὺς δόνακας λέγει, οἳ παρὰ [4]) τῷ Ὀρχομενῷ φύονται, ἐξ ὧν αἱ αὐλητικαὶ γλωσσίδες γίνονται. ἐν γὰρ τῷ Κηφισσῷ οἱ αὐλητικοὶ κάλαμοι φύονται. εἴρηται δὲ καὶ ἐν Παιᾶσι περὶ αὐλητικῆς. [5]) § οἵτινες οἱ κάλαμοι οἰκοῦσιν εἰς τὴν τῶν Χαρίτων πόλιν, τουτέστι τὸν Ὀρχομενὸν, ἐν τῷ τεμένει τοῦ Κηφισσοῦ, τῶν χορευτῶν πιστοὶ καὶ ἀληθεῖς ὄντες μάρτυρες. τὸ δὲ ναίουσι κάλαμοι σκληρῶς καὶ διθυραμβωδῶς προήγαγεν· [6]) ἔδει γὰρ εἰπεῖν φύονται. § πόλιν δὲ Χαρίτων τὸν Ὀρχομενόν.

49. Εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισι] συνυπακουστέον· τοιοῦτόν ἐστιν ἢ ὑπάρχει. ὁ γὰρ λόγος· εἰ δέ τις ὄλβος ἐν ἀνθρώποις ἐστὶν, ἄνευ καμάτου οὐ φαίνεται οὐδὲ γίνεται, ἐκτελευτήσει δὲ τὸν ὄλβον ὁ δαίμων, τουτέστιν ἐπὶ τέλος ἄξει, ἤτοι σήμερον ἢ ὕστερον· τοῦτο γὰρ ἔδει ἐπενεγκεῖν, ὃ δὴ παρέλιπε. τουτέστιν, ἐὰν μὴ παραχρῆμά τις εὐτυχήσῃ, μὴ ἀδημονείτω· ὁ γὰρ θεὸς τὸ εἱμαρμένον ἢ σήμερον τελέσει ἢ αὔριον. τοῦτο δέ φησιν, ἐπειδὴ ἀπροσδοκήτως ἐνίκησε κλασθέντος τοῦ καλάμου.

53. Οὐ παρφυκτόν] τὸ εἱμαρμένον οὐ φυκτόν· τὸ γὰρ φευκτὸν οὐχ εἱμαρμένον. [7])

54. Ἀλλ' ἔστι [8]) χρόνος οὗτος] ὁ λόγος τοιοῦτος· ὁ πονήσας, κἂν μὴ παραχρῆμα τύχῃ πλούτου, μὴ καμνέτω. θεὸς γὰρ ἢ σήμερον ἢ ὕστερον ποιήσει καὶ ἐπὶ τέλος ἄξει. πῶς δὲ ἐπὶ τέλος ἄξει; σὺν τῇ εἱμαρμένῃ. διό φησι· τὸ δὲ μόρσιμον. ἀλλ' ἔστιν οὗτος ὁ χρόνος, ὅστις καὶ τὰ ἐν ἀνελπιστίᾳ καταστήσας τὸ ἀνάπαλιν τῆς γνώμης καὶ ἐλπίδος, τὸ μὲν δώσει ὅπερ οὐκ ἤλπιζε, τὸ δὲ οὐ δώσει ὅπερ προσεδόκησε. τοῦτο δέ φησιν, ἐπειδὴ ἀπροσδοκήτως ἐνίκησεν ὁ Μίδας κλασθέντος τοῦ καλάμου, ὡς εἴρηται.

1) Sic Heynius: vulgo προεφέρετο. 2) Gott. σοβούντων. 3) Sic Gott. 4) Sic idem. 5) Gott. παρὰ αὐλητικῶν. 6) Sic idem. 7) Ex Gott. 8) Sic idem.

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΝΕΜΕΑ.

ΥΠΟΘΕΣΙΣ ΝΕΜΕΩΝ.

Τὸν ἀγῶνα τῶν Νεμέων τινὲς μὲν ὑφ' Ἡρακλέους τεθεῖσθαί φασιν ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει, οἱ δὲ οὐχ οὕτως, ἀλλὰ ἱστορίαν τινὰ λέγουσιν ἐπ' αὐτῷ ὡς ἀπὸ τοῦ Ὀφέλτου μὲν πρότερον, νυνὶ δὲ Ἀρχεμόρου, ἀπὸ τοῦ μαντεύσασθαι τοῖς ἐπὶ Θήβας στρατευομένοις διὰ τοῦ ἰδίου θανάτου. ὁ δὲ ἀγὼν ἐπιτάφιος. καὶ γὰρ οὕτως ἀπὸ τῶν Ὁμηρικῶν δεικνύουσιν, ἐξ ὧν οὐδένα νικήσαντα ὑπὲρ στεφάνου εἰςάγει, οὐδὲ Νέστορα τὸν πολλὰς νίκας ἑαυτοῦ πολλάκις ἐξηγούμενον· καί φασιν οὐδὲ ὄνομα τοῦ στεφάνου εἰδέναι τὸν ποιητὴν, ἀποδεικνύντες ὡς οὐδαμοῦ παρὰ τῷ ποιητῇ εἴρηται· στεφάνας μὲν γὰρ λέγει, στεφάνους δὲ οὔ· Τῶν οἱ μὲν καλὰς στεφάνας ἔχον. [1])

§ Ἄλλως. Οἱ ἑπτὰ ἐπὶ Θήβαις παραβαλόντες τῇ Νεμέᾳ διψήσαντες συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ φερούσῃ τὸν Λυκοῦργου τοῦ τοῦ Διὸς ἱερέως καὶ Εὐρυδίκης παῖδα Ὀφέλτην· ἡ δὲ ἀφηγήσατο αὐτοῖς εἴς τινα πηγὴν, καταλιποῦσα τὸν παῖδα ἔν τινι λειμῶνι· ὃν δράκων περιειληθεὶς ἰὸν ἀφεὶς ἀνεῖλεν. οἱ δὲ ὑποστρέψαντες καὶ τὸ πάθος θεασάμενοι τόν τε δράκοντα κτείνουσι, καὶ ἀγῶνα ἐπιτάφιον ἱστᾶσι [2]) τριετηρικόν· ἠγωνίζοντο δὲ στρατιῶται καὶ παῖδες στρατιωτῶν. ὕστερον δὲ καὶ ἐπὶ τὸ δημοτικὸν [3]) πλῆθος ἔδραμεν· ἦν δὲ γυμνικὸς καὶ ἅρμα, οὐχὶ δίφρος οὐδὲ κέλης. ἔτυχε δὲ οὕτως Ὑψιπύλη ἐν Νεμέᾳ. ὡρισμένου παρὰ τῶν Λημνιάδων πᾶν τὸ ἄρσεν ἀναιρεθῆναι γένος, ἐκ πασῶν Ὑψιπύλη τὸν πατέρα Θόαντα ἐνείρξασα κιβωτῷ ἐφύλαττεν· ὕστερον δὲ μετὰ τὸ τοὺς Ἀργοναύτας ἐκπλεῦσαι, φανεροῦ γενομένου ταῖς Λημνιάσι τοῦ κατὰ τὸν Θόαντα, αὐτὸν μὲν κατεπόντωσαν ἐνείρξασαι τῇ κιβωτῷ, ἐψηφίσαντο δὲ καὶ κατὰ τῆς Ὑψιπύλης θάνατον· ἡ δὲ μαθοῦσα φεύγει. ἐν τοσούτῳ δὲ [4]) λησταῖς περιτυχοῦσα πιπράσκεται Λυκούργῳ. ἐν ἐκείνῳ δὲ τῷ καιρῷ κατὰ ζήτησιν οἱ παῖδες Θόας καὶ Εὔνεως παρέβαλον ἐν Νεμέᾳ, Εὐρυδίκης δὲ τῆς Λυκούργου γυναικὸς βουλομένης διὰ τὸν Ὀφέλτου θάνατον ἀνελεῖν τὴν Ὑψιπύλην, διὰ τοῦτό τε ἔν τινι τόπῳ λαθραίῳ κατακλεισάσης, Ἀμφιάραος μαντευσάμενος δείκνυσι τοῖς παισὶ τὴν Ὑψιπύλην. ἡ δὲ τοῦτο εὐτυχήσασα παρεκάλει τοὺς ἥρωας τοῖς παισὶν ἀγωνίσασθαι. [5])

§ Ἄλλως. Τὰ Νέμεά φασιν ἄγεσθαι ἐπὶ Ὀφέλτῃ τῷ Εὐφήτου καὶ Κρεούσης παιδὶ, ὃν Εὐφήτην ἐκάλεσαν οἱ Ἀργεῖοι τελευτήσαντα ἐπὶ [6]) τὸν Θηβαϊκὸν πόλεμον. τοῦτον δὲ ἔτυχε τροφεύουσα Ὑψιπύλη, ἣν ἤτησαν οἱ Ἀργεῖοι ὕδωρ· τῆς δὲ ἀπελθούσης ὑδρεύσασθαι, ὄφις ἐπελθὼν ἀνεῖλε τὸν παῖδα. Ἀμφιάραος δὲ τούτοις μαντευόμενος Ἀρχέμο-

[1]) Iliad. σ, 597. [2]) Vulgo ἱστῶσι. [3]) Vulgo δημωτικόν. [4]) Rom. τέ. [5]) Heynius bene coniicit παισὶ συναγωνίσ. [6]) Schneiderus recte vult ὑπό.

Digitized by Google

ρον αὐτὸν ἐκάλεσεν, ὅτι αὐτοῖς ἀρχὴ μόρου ἐγένετο ὁ τοῦ παιδὸς θάνατος, ἐφ' ᾧ καὶ τὸν ἀγῶνα διέθηκαν τὴν Ὑψιπύλην παραμυθούμενοι. ἄλλοι δὲ, ὧν ἐστι καὶ Αἰσχύλος, ἐπ' Ἀρχεμόρῳ τῷ Νεμέας παιδί· οἱ δὲ ἐπὶ τῷ Ταλαοῦ παιδὶ, Ἀδράστου δὲ ἀδελφῷ. εἰσὶ δέ τινες, οἳ καὶ παλαιότερον εἶναί φασι τὸν ἀγῶνα τοῦ Θηβαϊκοῦ πολέμου. ἤθλησαν δὲ ἐν αὐτῷ περὶ στεφάνου μόνου, οὐκ ἐθελήσαντες δωροδοκεῖν, ἐν τιμῇ καθιστάντες τὸν ἀγῶνα· ὑπέσχοντο δὲ ἐκ τῶν λαφύρων ὑπονοστήσαντες ἀργυρίτην αὐτὸν ποιῆσαι, καὶ διὰ τοῦτο στεφανίτης πρῶτον ἐκλήθη. προέστησαν δὲ τοῦ ἀγῶνος καὶ Ἀργεῖοι καὶ Κορίνθιοι καὶ Κλεωναῖοι· ἐμπεδοῦντες δὲ αὐτὸν τῷ Νεμεαίῳ ἀνέθηκαν Διΐ. ἐστέφοντο δὲ τοπαλαιὸν ἐλαίᾳ, ὕστερον δὲ μετὰ τὴν συμφορὰν τῶν Μηδικῶν ἐπὶ τιμῇ τῶν κατοικομένων σελίνῳ. οἱ δὲ ἐξ ἀρχῆς ἐπ' Ἀρχεμόρῳ τοῦτο [1]) τεθῆναι. ἔστι δὲ ἡ Νεμέα τῶν Ἀργείων τῆς χώρας μοῖρα, ὠνομασμένη ἀπὸ Νεμέας [2]) τῆς Σελήνης καὶ Διός· οἱ δὲ ἀπὸ τῶν βοῶν τῶν ὑπὸ Ἄργου νεμομένων ἐν τῷ χωρίῳ, αἳ ἦσαν Ἥρας ἱεραί· οἱ δὲ ἀπὸ τῶν Δαναοῦ παίδων, οἳ κατενείμαντο καὶ ἐκληρούχησαν τὸ χωρίον.

§ Ἄλλως. Ὁ ἀγὼν ἐπιτάφιος ἐπὶ Ἀρχεμόρῳ τῷ Λυκούργου τοῦ ἱερέως παιδὶ, καθ' ὃν καιρὸν οἱ ἑπτὰ τῶν Ἀργείων λοχαγοὶ [3]) ἐπεστράτευσαν Θηβαίοις Πολυνείκει συμμαχοῦντες. οὗτοι γὰρ δυσφορήσαντες, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, βραχεῖαν παραμυθίαν τῇ συμφορᾷ ποριζόμενοι λέγονται [4]) ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον, καθ' ὃν οἱ κριταὶ φαιὰς ἐσταλμένοι στολὰς κρίνουσι τοὺς ἀγωνιζομένους, ὑπόμνημα τοῦ πένθους ταῖς στολαῖς ἐμφανίζοντες· ὁ γὰρ ἀγὼν ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησε. καὶ ἔστι τριετὴς, τελούμενος μηνὶ Πανέμῳ δωδεκάτῃ. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

§ Ἄλλως. Καθ' ὃν καιρὸν οἱ ἑπτὰ ἐπὶ Θήβαις τῶν Ἀργείων λοχαγοὶ [5]) ἐπεστράτευσαν Πολυνείκει συμμαχοῦντες, εἰς Λῆμνον τὴν Θρᾳκικὴν καταντήσαντες καὶ δίψει συσχεθέντες συνέτυχον Ὑψιπύλῃ τῇ Λημνίᾳ γυναικὶ καὶ καθικέτευον, ἅτε τῶν ἐγχωρίων ἔμπειρον οὖσαν, ξεναγῆσαι [6]) ἐπὶ πότιμον ὕδωρ. τοῖς δὲ λοχαγοῖς τὴν ἀβλαβῆ χάριν ἀπονεῖμαι βουληθεῖσαν [7]) καταλιπεῖν ἐπί τινα τόπον τὸν Ἀρχέμορον Λυκούργου τοῦ ἱερέως παῖδα, ὃν εἶχε πρὸς ἀνατροφὴν, Ἀργεῖον τὸ γένος· ὄφιν δὲ τῆς χειᾶς ἐξελθόντα κατὰ τὴν Ὑψιπύλης ἀπουσίαν περιπλακῆναι τῷ παιδὶ, καὶ ταῖς σπείραις ἀποτεταμένον [8]) ἀποπνίξαι τὸ βρέφος· τοὺς δὲ ἐπανελθόντας τοξεῦσαι μὲν τὸν ὄφιν, σφόδρα δὲ ἐπὶ τῷ γεγονότι δυσφορῆσαι, ὅτι δὴ ἡ αὐτῶν χρεία αἰτία τῆς τοῦ παιδὸς ἀναιρέσεως γεγένηται, εἶτα τῇ συμφορᾷ βραχεῖαν παραμυθίαν ποριζομένους θάψαι τὸν παῖδα καὶ ἐπιτάφιον ἀγῶνα θέσθαι τὸν Νεμεαῖον, καθ' ὃν κριταὶ φαιὰς ἐστολισμένοι στολὰς κρίνουσι τοὺς ἀγωνιζομένους, ὑπόμνημα τοῦ πένθους ταῖς στολαῖς ἐμφανίζοντες· ὁ γὰρ ἀγὼν ἐπιτάφιος. ὕστερον δὲ νικήσας Ἡρακλῆς, καὶ καταγωνισάμενος τὸν Νεμεαῖον λέοντα ἐπεμελήθη τοῦ ἀγῶνος τὰ πολλὰ ἀνορθωσάμενος καὶ Διὸς εἶναι ἱερὸν ἐνομοθέτησεν. ὁ δὲ

1) Sic Heynius: vulgo τοῦτον. 2) Addidi Νεμέας, quod ipse contextus flagitat. Est eadem, quam hymnus Homericus in Lunam vs. 15. Πανδείην vocat. 3) Vulgo λοχαγωγοί, vox nihili. 4) Λέγονται addidit Heynius. 5) Hoc quoque loco λοχαγωγοί erat. 6) Ita correxit Faehsius Syllog. p. 405. Vulgo ξυναγῆσαι. 7) Vulgo βουληθεῖσα. 8) Ita Heynius dedit: vulgo ἀποτεταμένου.

Digitized by Google

στέφανος ἐκ χλωρῶν πλέκεται σελίνων. διαφέρει δὲ τοῦ κατὰ τὸν Ἰσθμὸν, καθόσον ἐκεῖνος ἔχει ξηρὰ [1]) τὰ σέλινα. προέστησαν δὲ τοῦ ἀγῶνος πρῶτοι μὲν οἱ Κλεωναῖοι, εἶτα Κορίνθιοι, καὶ ἔστι τριετὴς, τελούμενος μηνὶ Πανέμῳ ιβ'. οὐκ ἔξὸν δὲ πρότερον, εἰ μὴ τοὺς ἀπὸ στρατιωτικοῦ γένους, ὕστερον δὲ ἐπιλειψάντων καὶ τοῦ ἔθους [2]) διαλυθέντος συνέβη τοὺς πάντας ἀγωνίζεσθαι. ὁ δὲ ἀγὼν ἱππικός τε καὶ γυμνικός.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Α'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πρώτου τῶν Νεμέων εἴδους.

Τῆς πρώτης τῶν Νεμέων ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ δέκα. Τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὡς τὸ Τίς σὰς παρήειρε φρένας. Τὸ β' ἰαμβέλεγος. Τὸ γ' πενθημιμερὲς δακτυλικόν. Τὸ δ' ἰαμβέλεγος. Τὸ ε' Εὐριπίδειον. Τὸ ς' δακτυλικὸν τετράμετρον ἀκατάληκτον. Τὸ ζ' Εὐριπίδειον. Τὸ η' Πινδαρικὸν ἐκ Σαπφικοῦ. σύγκειται ἐκ τροχαϊκῆς συζυγίας, χοριάμβου καὶ ἰάμβου καὶ συλλαβῆς· [3]) ὁ δὲ Πίνδαρος τοῦ ἰάμβου τὴν μακρὰν συνέστειλε. Τὸ θ' Εὐριπίδειον. Τὸ ι' ἰαμβέλεγος, δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ὀκτώ. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ἑφθημιμερὲς δακτυλικόν. Τὸ γ' πενθημιμερὲς δακτυλικόν. Τὸ δ' Ἰωνικὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. Τὸ ε' Σαπφικὸν ἑνδεκασύλλαβον. Τὸ ς' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ζ' τροχαϊκὸν τρίμετρον ἀκατάληκτον. [4]) Τὸ η' Εὐριπίδειον.

Χρομίῳ Αἰτναίῳ.] Γέγραπται ὁ ἐπίνικος Χρομίῳ Αἰτναίῳ. Ἱέρων γὰρ οἰκιστὴς ἀντὶ τυράννου βουλόμενος εἶναι, Κατάνην ἐξελὼν Αἴτνην μετωνόμασε τὴν πόλιν, ἑαυτὸν οἰκιστὴν προσαγορεύσας, καὶ ἐν ταῖς ἀναῤῥήσεσιν ἔν τισι τῶν ἀγώνων Αἰτναῖον ἑαυτὸν εἶπε. ταὐτὸν δὲ, φησὶν ὁ Δίδυμος, εἰκὸς παθεῖν καὶ τὸν Χρόμιον ἑταίρῳ κεχρημένον αὐτῷ. Τίμαιος δὲ τὸν ἐπίνικον Ὀλυμπικὸν εἶναι τοῦτόν φησιν ἁμαρτάνων· ὁ γὰρ Πίν-

[1]) Hanc vocem addidi cum Heynio. [2]) Ita idem correxit: vulgo ἔτους. [3]) Χοριάμβου editores de coniectura addidere. [4]) Sic Rom. Recentiores edidere βραχυκατάληκτον; recte credo ad Triclinii mentem.

Digitized by Google

δαρος ἄντικρυς Νεμεακὸν αὐτὸν εἶναί φησιν· [1]) Ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα θ' ἔργμασιν νικαφόροις.

1. Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ] οἷον ἀνάπνευμα καὶ ἀναπνοή· ἔνιοι δὲ ἀναφύσημα, διὰ τὸ ἀπορρῶγα καὶ οἷον στόμα εἶναι τοῦ Ἀλφειοῦ τὴν αὐτόθι Ἀρέθουσαν, ἥ ἐστι κρήνη· ἀπὸ γὰρ καταδύσεων ἀφανῶν εἰς τὴν Ἀρέθουσαν ἀναφαίνεται. τὸ δὲ ἀνάπαυμα ἐπὶ τῆς ἐρωτικῆς σπουδῆς [2]) τοῦ ποταμοῦ τάττει· ἔστι γὰρ κατὰ Ὀρτυγίαν τὴν νῆσον. ἡ δὲ Ὀρτυγία πρότερον μὲν οὖσα νῆσος εἶτα προσχωσθεῖσα χερρόνησος γέγονεν, ὡς καὶ Ἴβυκος ἱστορεῖ· Παρὰ χέρσον λίθινον τὸν παλάμαις βροτῶν· πρόσθε νιν πέδα νηριτᾶν ἰχθύες ὠμοφάγοι νέμοντο. [3]) σεμνὸν δ' εἶπεν, ἤτοι ὅτι οὐκ ἔτυχε τῆς συνουσίας ὁ Ἀλφειὸς, ἢ διὰ τὸ καθαρὸν, ὡς Εὐριπίδης· [4])

Θάσσουσι σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ.

ὥστε εἶναι τὸν νοῦν τοιοῦτον· ὦ Ὀρτυγία, ἐν ᾗ ἐστι τὸ τοῦ Ἀλφειοῦ ἀνάπνευμα. τίς; ἡ Ἀρέθουσα; ἀλλ' οὐ τὴν Ἀρέθουσαν εἴρηκεν ἄμπνευμα, ἀλλὰ τὴν Ὀρτυγίαν, ἐν ᾗ ὁ Ἀλφειὸς ἀναπνεῖ, τῷ περιέχειν τὴν Ἀρέθουσαν. ζητεῖται δὲ, τί δήποτε τῷ Ἀλφειῷ προσδιαλέγεται καὶ τῇ Ὀρτυγίᾳ, τῆς νίκης οὐκ οὔσης Ὀλυμπιακῆς, ἀλλὰ Νεμεακῆς; ἔνιοι μὲν οὖν φασιν, ὅτι τὰ ἱπποτράφια τοῦ Ἱέρωνος καὶ τοῦ Χρομίου ὁμοίως ἐν τῇ Ὀρτυγίᾳ ἦν· τῷ δὲ ἱερὰν εἶναι τὴν κρήνην Ἀρτέμιδος, τὴν δὲ θεὸν ἱππικὴν εἶναι· καθὸ Σώφρων μὲν αὐτὴν Ἀτρέστην, Ὅμηρος δὲ χρυσήνιον· [5]) καὶ ὁ Πίνδαρος προσεφώνησεν αὐτὴν καὶ τὴν ἐπ' αὐτῆς Ἄρτεμιν· διὰ τοῦτο δὲ καὶ ἐν ἄλλοις φάναι τὸν Πίνδαρον· [6]) Ποταμίας ἕδος Ἀρτέμιδος. ἀπόχρη δὲ εἰπεῖν, ὅτι ἱππικὴ ἡ θεὸς, ἀνάκειται δὲ αὐτῇ ἡ νῆσος τῇ θεῷ· ψεῦδος γὰρ τὸ εἶναι τὰ ἱπποστάσια τοῦ Ἱέρωνος αὐτόθι. Ἀρίστων καὶ ἐν Ἐφέσῳ φησὶν εἶναι Ὀρτυγίαν, ἐφ' ἧς ἐδόκει γεγεννῆσθαι ἡ Ἄρτεμις· ὁ μὲν γὰρ Ἀπόλλων ἐν Δήλῳ, αὐτὴ δὲ δοκεῖ ἐν τῇ Ἀσιατικῇ Ὀρτυγίᾳ. § Ἄλλως. Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ· κατὰ μὲν τὴν ἱστορίαν οὐκ αὐτὴ ἡ Ὀρτυγία, καθ' ἣν ἡ Λητὼ τὴν Ἄρτεμιν ἔτεκεν, ἡ περὶ Ἔφεσον· ἀλλὰ ἑτέρα ἡ πλησίον τῆς Σικελίας· ἣν χερρόνησον [7]) τῶν Συρακουσῶν ἔφαμεν γεγενῆσθαι, καὶ αὐτὴν ἱερὰν τῆς Ἀρτέμιδος διὰ τὴν πρὸς Δῆλον

1) Vs. 8. 9. vulg. 2) Delevi ἐπὶ ante τοῦ ποταμοῦ. Mox malim ὑπέστη γὰρ κατὰ Ὀρτ. 3) Rom. in fragmento Ibyci habet: παῖδα νήριτον, nullo sensu. Beckius et Heynius ex Ursin. Fragm. Lyr. p. 319. dedere πέδον νήριτον, quod non melius est. Sed Casaubonus ad Strab. I, p. 40. Par. (p. 59.) ubi idem locus respicitur his verbis: πρότερον δὲ χῶμα, ὡς φησιν Ἴβυκος, λογαίου λίθου, ὃν καλεῖ ἔκλεκτον, ita legendum alibi (cf. Goeller. Hist. Syracus. p. 44.) se docere dicit: πρόσθεν νιν πέδα Νηρήδων, sententia satis apta, neque tamen genuina Ibyci. Nam collatis verbis Athenaei III, p. 86. B. καὶ Ἀρχίλοχος δὲ τῆς χηράμβης μέμνηται, τοῦ δ' ἀναρίτου Ἴβυκος, intelligitur de *cochleis* dici. Correxeris igitur πέδ' ἀναριτᾶν: sed arbitror Ibycum altera forma νηρίτης usum esse, in qua cave ῆ in ᾶ transmutes. Itaque omnibus locis collatis Ibyci verba haec esse videntur:

Πὰρ χέρσον λίθινον
Ἔκλεκτον παλάμαις βροτῶν·
Πρόσθεν νιν πέδα νηριτᾶν
Ἰχθύες ὠμοφάγοι νέμοντο.

4) Med. 68. 5) Iliad. ζ, 205. 6) Pyth. II, 12. vulg. 7) Vulgo: καθ' ἣν ἡ Λητὼ τὴν Ἄρτεμιν· ἀλλὰ περὶ Ἔφεσον ἑτέρα, ἣ πλ. τ. Σικ. ἦν. τὴν γὰρ νῆσον. Quod dedi, ex parte praeiverat Hoeschel. Append. Emend. ad Io. Damasc. p. 95. Rom. sic: Σικελίας ἦν..... σόνης τῶν Συρακ.

Digitized by Google

ὁμωνυμίαν, ἣ χαριζόμεναι τῇ θεῷ αἱ Νύμφαι καὶ πηγὴν πεποιήκασιν ὀνομαστὴν Ἀρέθουσαν. ἐν ταύτῃ τῇ νήσῳ οὔτε ἀρύσασθαι οὔτε ἰχθῦς λαμβάνειν νόμος.

3. Δέμνιον Ἀρτέμιδος] ὁ μὲν Ἀρίσταρχος τὴν Ὀρτυγίαν ἀκούει, διὰ τὸ κατ' ἐνίους αὐτόθι δοκεῖν αὐτὴν γεγεννῆσθαι· προσθείη ἄν τις, ὅτι συνήθως ὁ Πίνδαρος τοῖς ὁμωνύμοις χωρίοις ἐπιτίθησι καὶ τὰ ἐπὶ τοῖς ἄλλοις ἱστορούμενα· καθὰ καὶ ἐπὶ τῶν Πλειάδων· [1]) Ἔστι δ' ἐοικὸς ὀρειᾶν τε Πελειάδων μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι. ὄρειον [2]) δὲ τὸ ζῶον. ἔνιοι δὲ ἱστορικώτερον ἀκούουσι. τὸν γὰρ Ἀλφειόν φασιν ἔρωτι ἁλόντα τῆς Ἀρτέμιδος ἐπιδιῶξαι αὐτὴν ἄχρι τῆς Σικελίας· τοῦ δὲ τέλους τῆς διώξεως αὐτόθι γενομένου αὐτόθι συστῆναι τὴν Ἀρέθουσαν. διὰ τοῦτο δὲ καὶ τὴν Ἄρτεμιν Ἀλφειώαν [3]) προσαγορεύεσθαι· καὶ ἐν Ὀλυμπίᾳ δὲ ὁ Ἀλφειὸς τῇ Ἀρτέμιδι συναφίδρυται. καὶ τὴν ποταμίαν δὲ Ἄρτεμιν ἔνιοι [4]) παρὰ τῷ Πινδάρῳ [5]) ἀκούουσι διὰ τὸ ἐπ' αὐτῇ τοῦ Ἀλφειοῦ πάθος· εἰσὶ δὲ οἱ Ἀλφειώαν τὴν Ἄρτεμιν λέγουσι διὰ τὸ τὸν Ἀλφειὸν πλησίον τῆς Ἠλείας Ἀρτεμισίας καταφέρεσθαι. ἔχοι δ' ἂν οὐ φαύλως δέμνιον Ἀρτέμιδος λέγεσθαι τὴν Ὀρτυγίαν, οἷον ἐνδιαίτημα καὶ διατριβήν· ἱερὰν γὰρ τὴν πᾶσαν νῆσον τῆς Φερσεφόνης φασίν· ὅτι δ' ἡ αὐτή ἐστι τῇ Ἀρτέμιδι, Καλλίμαχος ἐν Ἑκάλῃ· [6])

Οἵ νυ καὶ Ἀπόλλωνα παναρκέος Ἠελίοιο
Χῶρι διατμήγουσι καὶ εὔποδα Δηϊωΐνην
Ἀρτέμιδος.

4. Δάλου κασιγνήταν] τὴν Ὀρτυγίαν τῆς Δήλου τῆς νήσου [7]) κασιγνήτην εἴρηκε, μετάγων τὰ ἐπὶ τῶν θεῶν λεγόμενα κατὰ τῶν τόπων, οἵτινες ἀπ' ἐκείνων προσηγορεύθησαν· οἱ δὲ διὰ τὴν ὁμωνυμίαν, ὡς ἀνεὶ ἔφη· ἐν ᾗ ἡ Ἄρτεμις ἐγεννήθη ὥσπερ ἐν Δήλῳ· εἴωθε γὰρ ὁ Πίνδαρος μετάγειν τὰς ὁμωνυμίας, ὥστε τὸ λεχθὲν ἐπὶ τῆς εἰς Δῆλον Ὀρτυγίας τοῦτο ἐπὶ τῆς πρὸς Συρακούσαις μετήχθη. ἔνιοι δὲ κασιγνήτην ἀκούουσιν ἀντὶ τοῦ συγγενῆ διὰ τὴν ὁμοιότητα· κοινὰ γὰρ τὰ ἐφ' ἑκατέρας ἱστορούμενα. καὶ γὰρ ἡ νῆσος ἡ Δῆλος καὶ ἡ Ὀρτυγία ἡ ἐν Συρακούσαις νῆσοι, καὶ ὑπεδέξαντο θεοὺς ἀμφότεραι· καὶ ἡ μὲν ἐκρύβη διὰ πελάγους, ἡ δὲ ἐκ τοῦ Νείλου διὰ τὸν Ἰνωπόν. § Ἄλλως. δοκεῖ μὲν πρὸς τὸ βίαιον τὴν Ὀρτυγίαν [8]) τὴν πρὸς ταῖς Συρακούσαις ἀδελφὴν λέγειν τῆς Δήλου· τὸ δὲ ὅλον διὰ τὴν ὁμωνυμίαν αὐτῷ ὁ λόγος προήχθη. § ὁ δὲ νοῦς· ὦ σεμνότατον ἀνάπαυμα τοῦ Ἀλφειοῦ, τῶν Συρακουσῶν καὶ τῆς Σικελίας κόσμε καὶ βλάστημα, τῆς Ἀρτέμιδος ἐνδιαίτημα καὶ τῆς Δήλου ἀδελφή. τοῦτο δέ φησι καὶ διὰ τὴν ὁμωνυμίαν· Ὀρτυγία γὰρ καὶ ἡ Δῆλος ἐκαλεῖτο· καὶ διὰ τὸ θεοφιλές· ἐν Δήλῳ γὰρ ἦν ἡ Ἄρτεμις. Ὀρτυγία δὲ νῆσος πρὸ τῶν Συρακουσῶν, εἰς ἣν διὰ πελάγους φερόμενος ὁ Ἀλφειὸς ἐμβάλλει καὶ ποιεῖ τὴν Ἀρέθουσαν κρήνην.

Σέθεν ἁδυεπὴς ὕμνος ὁρμᾶται] ἐκ σοῦ ἡδυεπὴς καὶ εὔφημος. § ὁ δὲ νοῦς· ἀπὸ σοῦ, ὦ Ὀρτυγία, ὁ ἡδυεπὴς ὕμνος τὴν ὁρμὴν ἔχει, ὥστε θεῖναι καὶ πληρῶσαι ἔπαινον μέγαν τῶν ὀξυτάτων ἵππων Διὸς ἕνεκεν τοῦ ἐν τῇ Αἴτνῃ. Διὶ γὰρ ἀνάκειται καὶ οὗτος ὁ ἀγών. ἐν γὰρ τῇ Αἴτνῃ Διὸς ἱερόν ἐστιν.

1) Nem. II, 16. vulg. 2) Vulgo ὀρείαν. Possis et: ὀρειᾶν δὲ, ὅτι ὄρειον τὸ ζῶον. 3) Sic Rom. hic et paullo post. Vulgo Ἀλφειαίαν. Cf. ad Pyth. II, 12. 4) Erat εἶναι οἱ. 5) Pyth. II, 12. vulg. 6) Fragm. 48. Rom. χωρίον et Δηιώνην. 7) Rom. τῆς νήσου, omisso τῆς Δήλου, quod addidi. 8) Addidi τὴν Ὀρτυγίαν.

Digitized by Google

7. Ζηνὸς Αἰτναίου χάριν] ἢ εἰς χάριν τοῦ Διός, ἢ ἕνεκεν τοῦ Διός, παρόσον ἐν τῷ ἀγῶνι καὶ ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ἦγον οἱ περὶ τὸν Ἱέρωνα τοὺς ἐπὶ τοῖς στεφανίταις ἀγῶσι πεποιημένους ἐπινίκους καὶ ᾖδον. πιθανὸν οὖν φησιν ὁ Δίδυμος καὶ τὸν ἐπὶ τῆς Χρομίου Νεμεακῆς νίκης ἐπίνικον ἕνεκα τούτου συντετάχθαι, ὑπὲρ τοῦ μέλλειν αὐτὸν ὑπὲρ τῆς πανηγύρεως ᾄσθήσεσθαι. ὁ δὲ τρόπος ποιητικὸς, ὥστε τὸ ἀπὸ [1]) ταὐτομάτου συμβαῖνον ὡς αἴτιον λαμβάνειν. οὐ γὰρ ἕνεκα τοῦ ᾄσθῆναι τὸν ἐπίνικον ἐν τῇ πανηγύρει τοῦ Αἰτναίου Διὸς ἐνίκησεν, ἀλλὰ νικήσαντος ἔμελλεν εἰς αὐτὸν φδὴ ᾄσθήσεσθαι.

8. Ἅρμα δ' ὀτρύνει Χρομίου] Χρόμιος ἡνίοχος ἦν Ἱέρωνος παιδόθεν. οὗτος ἅτε δὴ βασιλεῦσι συνὼν καὶ ἄριστος ὢν τὴν ἱππικὴν ἐπλούτησε, καὶ ἤρξατο ἀποστὰς τοῦ Ἱέρωνος καθ' ἑαυτὸν ἱπποτροφεῖν· νικᾷ δὲ νῦν ἵππων ἅρματι πρῶτον ἀγωνισάμενος.

11. Ἀρχαὶ δὲ βέβληνται] ἀρχαὶ αἱ τοῦ ἐγκωμίου. τοῦτο δὲ λέγει διὰ τὸ ἀπὸ θεοῦ τῆς Ἀρτέμιδος κατῆρχθαι, ὥστε ἀρχὰς τὰ προοίμια τῆς ᾠδῆς αὐτὸν λέγειν. ἔθος δὲ Πινδάρῳ θεοῖς ἀνάπτειν τὰ ὁπωσοῦν τοῖς ἀνθρώποις ἐκπονούμενα. § ὁ δὲ νοῦς· αἱ γὰρ ἀρχαὶ ταῖς δαιμονίαις καὶ θείαις ἀρεταῖς ἐκείνου τοῦ ἀνδρὸς ἐκ θεῶν βέβληνται, ἀντὶ τοῦ ἐκ πρώτης καταβολῆς ἡ τύχη τούτῳ συνέβαλεν. [2])

13. Ἔστι δ' ἐν εὐτυχίᾳ] ἔστι δὲ [3]) ἐκ τῆς εὐτυχίας καὶ εἰς ἄκρον εὐδοξίας ἀφικέσθαι, ἀντὶ τοῦ κατὰ πάντα μέρη τοῦ βίου ἄκρως ἔνδοξος ὁ εὐτυχής. καὶ Εὐριπίδης: [4])

Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.

14. Μεγάλων δ' ἀέθλων] μεγίστων οὖν ἀγωνισμάτων ἡ Μοῦσα μεμνῆσθαι βούλεται.

16. Νῦν ἔγειρ' ἀγλαΐαν] ἔκπεμπε τοίνυν, ὦ Μοῦσα, καὶ σπεῖρε λαμπρότητά τινα τῇ νήσῳ τῇ Σικελίᾳ, ἥντινα ὁ Ζεὺς ἐξαίρετον δέδωκε τῇ Φερσεφόνῃ ἀρίστην οὖσαν καὶ ἐπιτηδειοτάτην τῆς γῆς τῆς εὐκαρποτάτου, ἤγουν ἐπένευσε τῇ ἑαυτοῦ κεφαλῇ τὴν Σικελίαν πειρῶς καὶ λιπαρῶς ἀνορθώσειν, ἢ τὴν πιοτάτην καὶ καλλίστην ὑψώσειν πλουσίων πόλεων ἐνοικήσεσι ταῖς ὑπ' αὐτὴν ἐσομέναις. § Ἄλλως. περὶ τῆς ὅλης Σικελίας ἐστὶν ὁ λόγος. δοκεῖ δὲ αὐτὴν ὁ Ζεὺς εἰς τὸν γάμον Πλούτωνος τοῖς ἀνακαλυπτηρίοις τῇ Φερσεφόνῃ δωρήσασθαι. λέγεται δὲ ἡ πᾶσα Σικελία ἐξ ἀρχῆς Δήμητρος καὶ Κόρης, τοῦ Διὸς οὕτως ἐξ ἀρχῆς βουληθέντος. § ἤγουν Περσεφόνη περὶ τοὺς τῆς Αἴτνης διατρίβουσα λειμῶνας ἡρπάσθη παρὰ τοῦ Πλούτωνος. τὸ δὲ ὀρθώσειν ἀντὶ τοῦ διαφυλάξειν ὀρθὴν τῇ Περσεφόνῃ διὰ τῶν πόλεων τῶν ἐσομένων ἐν αὐτῇ ἀφνεῶν· οὕτω γὰρ ἔμελλεν ὀρθοῦσθαι ἡ Σικελία δηλονότι, εἰ ἀξιολόγους ἔχοι πόλεις ἐν αὐτῇ.

23. Ὥπασε δὲ Κρονίων πολέμου μναστῆρα] οἷον μνήμονα πολέμου, ἐπιστήμονα, οὐκ ἀμελοῦντα τῶν πολεμικῶν, ἀλλὰ κατατιθέμενον ἐν τῷ νῷ ὅτι δεῖ παρασκευάζεσθαι εἰς τὰ πολεμικὰ διόλου. ὅμοιον τῷ Μήστωρες ἀϋτῆς. [5]) § ὁ δὲ νοῦς· παρέσχε δὲ πρὸς τοῖς εἰρημένοις ὁ Ζεὺς αὐτῇ γενναίων ἀνδρῶν καὶ πολεμικῶν πλῆθος, ὥστε δι' ὅπλων μεμνῆσθαι τῶν πολεμικῶν καὶ ἱππαιχμίαις εὐδοκιμεῖν.

1) Delevi τοῦ ante ταὐτομ. 2) Heynius coniicit συνέλαβεν, quo non opus. 3) Hoc loco delevi καί. 4) Fragm. inc. 204. 5) Iliad. δ, 328.

Digitized by Google

25. Θαμὰ δὴ καὶ Ὀλυμπιάδων] οὐ μόνον, φησὶ, τὰ περὶ πόλεμον δραστηρίους ἀπέδειξε τοὺς Σικελιώτας, ἀλλὰ καὶ Ὀλυμπιονίκας· οἷον, πολλάκις ἐνίκησαν ἐπ' Ὀλυμπίας. ἔστι δὲ ὁ λόγος τῷ Πινδάρῳ οὐ περὶ τοῦ Χρομίου μόνου, ἀλλὰ καὶ περὶ τοῦ παντὸς λαοῦ, οἳ πολλὰς ἔσχον νίκας Ὀλυμπικάς. ἐντεῦθεν ἴσως πλανηθεὶς ὁ Τίμαιος Ὀλυμπικὸν τὸν ἐπίνικον ᾠήθη εἶναι. ἔστι δὲ καὶ οὕτως ἀναγνῶναι· ἱππαιχμόν θ' ἅμα δή· καὶ ὁ λόγος κατὰ συναλοιφὴν, ἵν' ᾖ· ὁ λαὸς μνηστὴρ ἅμα πολέμου καὶ τῶν Ὀλυμπιακῶν ἀθλημάτων.

27. Πολλῶν ἐπέβαν καιρόν] πολλῶν ἐπέβην καὶ ἡψάμην ἐγκωμίων, οὐδαμοῦ τῷ καιρῷ πρὸς ψεῦδος χρησάμενος. § ἢ οὕτω· τοῦ καιροῦ τῇ ἀληθείᾳ τυχών.

29. Ἔσταν δ' ἐπαυλείαις] ἀμφίβολον πότερον ὁ χορὸς ἢ ὁ ποιητὴς τοῦτό φησι· δύναται γὰρ ὁ χορὸς λέγειν ἐφ' ἑαυτοῦ κυρίως, δύναται δὲ καὶ ὁ Πίνδαρος μεταφορικῶς εἰπεῖν· ἔστην [1]) τῷ λόγῳ καὶ τῇ μολπῇ μέλπων αὐτὸν καὶ ὑμνῶν. ἐὰν μὲν οὖν ὁ χορὸς λέγῃ, κυρίως ἀκουσόμεθα δεῖπνον παρεσκευάσθαι· [2]) κῶμον γὰρ στέλλουσιν οἱ χορευταί· ἐὰν δὲ ὁ ποιητὴς, κεκόσμηται τὰ δοθησόμενά μοι δῶρα, φησὶ, διὰ τοῦ ὕμνου. § ὁ δὲ νοῦς· ἔστην δὲ παραγενόμενος ἐπὶ τοῖς οἴκοις τοῦ φιλοξένου ἀνδρὸς, τὰ καλὰ δὲ τούτου ἀναβαλλόμενος. [3])

32. Θαμὰ δ' ἀλλοδαπῶν οὐκ ἀπείρατοι] οἱ τοῦ Χρομίου, φησὶ, δόμοι οὐκ εἰσὶν ἀπείρατοι ξένων, τουτέστι φιλόξενοί εἰσιν. § ὁ δὲ νοῦς· οὐ γὰρ ἀπείρατοι τῆς συνεχοῦς δεξιώσεως οἱ τούτου οἶκοι· συνεχῶς γὰρ τοὺς ἐκ τῆς ἀλλοδαπῆς ὑποδέχονται γῆς.

34. Λέλογχε δὲ μεμφομένοις] Ἀρίσταρχος οὕτω· τοῖς δὲ τοὺς ἀγαθοὺς μεμφομένοις τοῦτο λέλογχε καὶ ὑποκείμενόν ἐστιν, οἷον ἀκολουθεῖ, ὥσπερ καπνῷ ὕδωρ φέρειν ἀντίον καὶ [4]) κατασβεννύναι. καταλείπεται δὲ τῇ ἀρχαίᾳ σημασίᾳ τὸ Ἐσλός· ἡ γὰρ [5]) ἀντίστροφος ἀπῄτει τὸ ῡ. ταῖς δὲ τοιαύταις παραβολαῖς χρῆται ἀποτόμως, οὐ λέγων τὸ καθάπερ. καὶ ὁ μὲν Ἀρίσταρχος ταῦτα. βέλτιον δὲ οὕτως ἀκούειν κατ' ἐναλλαγὴν πτώσεως· μεμφομένοις, ἀντὶ τοῦ μεμφομένους σβεννύειν ὡς ὕδατι καπνὸν, ἵνα αὐτὸς ὁ ἀγαθὸς κατασβεννύῃ τὸν φθονερὸν, ἀλλὰ μὴ σβεννύηται ὑπ' ἐκείνου. χρῆται δὲ ὁ Πίνδαρος τῷ καπνῷ ἀντὶ πυρὸς, ἐκ τοῦ παρακολουθοῦντος τὸ πρῶτον σημαίνων. § ἢ οὕτω· τὸ ἐσλὼς ἀντὶ τοῦ ἐσλοὺς εἴρηται Δωρικῶς. καὶ ὅτι τὸ λέλογχεν εἶπεν ἑνικῶς ἀντὶ τοῦ λελόγχασι· λελόγχασι δὲ οἱ καταμεμφόμενοι καπνῷ ὕδωρ ἐπιφέρειν. § ὅ ἐστι τοὺς ἐχθομένους αὐτῷ οἷός ἐστι καταπραΰνειν, ὥσπερ καπνῷ ὕδωρ ἐπιφέρων. § τινὲς δὲ οὕτως· ὡς ὕδατι καπνὸν σβεννύουσι καὶ πῦρ, οὕτω τοὺς ἐσλοὺς σβεννύουσιν οἱ φθονεροὶ μεμφόμενοι. § ἢ οὕτως· οὐκ ἀνύουσιν οἱ φθονεροὶ μεμφόμενοι τοὺς ἀγαθούς· ὁ γὰρ ἀγαθὸς ἀγαθός ἐστι, κἂν μυριάκις μέμφωνται αὐτόν. § ὁ δὲ νοῦς· πέφυκε [6]) δὲ τοῖς μεμφομένοις τοὺς ἀγαθοὺς οὕτω τήκεσθαι, ὥσπερ ὑπὸ πυρὸς ὕδωρ, [7]) οὐκέτι δυνάμενον φέρειν τὴν θέρμην καὶ τὸν καπνόν.

36. Τέχναι δ' ἑτέρων ἕτεραι] τουτέστιν ἄλλοι ἄλλα φιλοτεχνοῦσι. τοῦτο δὲ

1) Vulgo ἔστη. 2) Rom. παρασκευάσασθαι. 3) Haec corrupta videntur. 4) Coniunctionem adieci. 5) Vulgo ἢ καί. Sed ἡ γὰρ recte Aug. E. apud Hermann. de dial. Pind. p. XXII. Idem liber male οὐκ ἀπῄτει. 6) Olim πεφύκασι. 7) Vulgo ὑπὸ ὕδατος πῦρ.

Digitized by Google

λέγει· πρὸς ἃ πέφυκέ τις, πρὸς ταῦτα ἀκολουθοῦντα τῇ φύσει εἶναι χρή, [1]) καὶ περὶ αὐτὰ ἐνεργεῖν. ἢ τέχνας, φησὶν ὁ Δίδυμος, ἀκουστέον τοὺς δόλους, ὅθεν καὶ τὸ ἀτεχνῶς παρὰ τοῖς Ἀττικοῖς· ἄλλαι δ' ἄλλων ἐπιτεχνήσεις. [2]) εἴρηται δὲ παρὰ τὸ Ὁμήρου· [3])

Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα.

38. Μάρνασθαι φυᾷ] μάρνασθαι οὖν Ἀρίσταρχος ἀντὶ τοῦ μάχεσθαι καὶ ἀντερίζειν χρώμενον φύσει κατὰ τρόπον καὶ μηδὲν παρὰ φύσιν πράττειν. μήποτε δὲ τὸ μάρνασθαι οὐκ ἔστι μάχεσθαι, [4]) ἀλλ' ἐνεργεῖν, ὡς φησι Δίδυμος, καὶ πραγματεύεσθαι, ὥστε εἶναι τὸ κεφάλαιον τοῦ λόγου· προσήκει δὲ εὐθὺ ἀδόλως πράττειν, καθ' ἣν εἴληχεν ἕκαστος φύσιν, ἢ ἔργῳ ἢ γνώμῃ. § ἄριστον οὖν· χρὴ καθ' ἣν γεγέννηταί τις φύσιν, ταύτῃ ἀκολουθεῖν καὶ μὴ βιάζεσθαι αὐτὴν εἰς ἄλλα τρέποντα, μηδὲ τῷ φθόνῳ μάρνασθαι πρὸς τοὺς ἀγαθοὺς, ἀλλὰ συνασκεῖν ἅ τις ἔχει ἐκ φύσεως. § ὁ δὲ νοῦς· χρὴ δὲ ταῖς εὐθείαις ὁδοῖς βαδίζοντα καταχρᾶσθαι τοῖς ἑαυτοῦ καὶ τῇ φύσει, μὴ δι' ἑτέρων ἐπιτηδευμάτων τὴν ἰδίαν ἐνυβρίζειν τέχνην.

39. Πράσσει γὰρ ἔργῳ μὲν σθένος] συμπράσσει καὶ συνεργεῖ τοῖς μὲν ἔργοις, φησὶν, ἡ ἀνδρεία, τοῖς δὲ βουλεύμασι καὶ λόγοις ὁ νοῦς· μετέβαλε δὲ τὸ Ὁμηρικόν· [5])

Ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ.

§ οὕτω τῷ νῷ ὁ λόγος ἕπεται, ὥστε τὸ μέλλον προγνῶναι ἀκολούθως, ὡς ἔστι συγγενὲς καὶ συμφυὲς καὶ ἀκόλουθον· συγγενὲς γὰρ τὸ συμφυές.

42. Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ] σοῦ δὲ, ὦ Χρόμιε τοῦ Ἀγησιδάμου παῖ, περὶ τὸν τρόπον καὶ τὸν βίον ἀμφοτέρων ἡ χρῆσις ὑπάρχει, καὶ λόγων καὶ ἔργων· πρὸς ἀμφότερα γὰρ χρήσιμος εἶ, τουτέστιν ἐπὶ τῶν ἔργων καὶ τῆς συνέσεως. ἐνεργεῖς γὰρ καὶ προβουλεύῃ.

44. Οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον] πιθανῶς ὃ θέλει παραινέσαι τῷ Χρομίῳ, ἐξενήνοχεν ἐφ' ἑαυτοῦ· οὐκ ἐπιθυμῶ, φησὶ, κατακρύψαι θησαυρὸν, ἵνα πλουτῶ, ἀλλὰ παρόντων τῶν ἀπὸ τοῦ πλούτου καὶ εὖ παθεῖν καὶ εὖ ἀκοῦσαι θέλω ἐξαρκῶν τοῖς φίλοις. τὸ δὲ ὅλον· δωρητικὸς, φησὶ, γίνου.

48. Κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες] αἱ γὰρ ἐλπίδες καὶ αἱ μέλλουσαι, φησὶ, προσδοκίαι κοιναὶ καὶ ἄδηλοι τοῖς ἀνθρώποις εἰσίν. § ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἴ τις τοῖς φίλοις ἐπαρκέσει, οὗτος καὶ ἐλπίδος ποτὲ διαπεσὼν τῆς ἴσης [6]) τύχοι ἀμοιβῆς· ἄδηλα γὰρ τὰ παρὰ τῆς τύχης συμπτώματα.

49. Ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως] ἐπαπορήσειεν ἄν τις, διατί τοῦ Ἡρακλέους μνημονεύει· οὐ γὰρ εὔκαιρος δοκεῖ ἡ μνήμη νῦν Ἡρακλέους· καί φαμεν, ὅτι βουλόμενος δεῖξαι, ὡς οἱ διαφανεῖς ἐν τοῖς ἔργοις καὶ τοῖς λόγοις ἀθάνατοι γίνονται τῇ μνήμῃ, διὰ τοῦτο μέμνηται Ἡρακλέους ἀρετῆς, ἐπιφέρων τοῖς τοῦ Χρομίου θαύμασιν· ὅτι ἐγὼ ἀντέχομαι ἐν ταῖς κορυφαῖς ταῖς τῶν σῶν ἀρετῶν, καὶ μνημονεύω τῶν κατὰ Ἡρακλέα διηγημάτων. § Ἄλλως. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ὅτι οἴονταί τινες, ὅτι ὑπόθεσις αὐτῷ ἐδέδοτο τοιαύτη ὥστε μνησθῆναι τοῦ θεοῦ, ὅπερ ἐστὶν, ὡς καὶ Ἀρίσταρχός φησιν, ἀπίθανον. μήποτε δὲ, ὅτι ἀεὶ ὁ Πίνδαρος ἐπαινεῖ τοὺς φύσει μᾶλλον τῶν ἐκ δι-

1) Addidi χρή. 2) Olim ἐπιτεχνήσις. 3) Iliad. ν, 730. Vulgo παρά τε Ὁμήρῳ. 4) Vulgo μάρνασθαι. 5) Iliad. π, 630. 6) Adde ἄν.

Digitized by Google

βαχῆς περιγινομένων, ὁ δὲ Ἡρακλῆς τοιοῦτος. τοῦτο δὲ ἀπίθανον. τί γάρ, ὅτι τὴν πρώτην περὶ Ἡρακλέους γινομένην συμφορὰν ἰδίως ἐξύμνησεν; εἰς ἔνδειξιν δὲ τῶν φυσικῶν ἀγαθῶν; Ἡρακλῆς γὰρ μέχρι παντὸς ἐκ φύσεως ἀγαθὸς ὢν ἀνεφάνη, ὥστε οὐκ ἂν ὡμοίωσε τὸν ἔπαινον, ἓν μόνον τὸ περὶ τοὺς δράκοντας αὐτῷ διαπραχθὲν εἰπών· ἀλλ' εἴπερ ἄρα, ἀπὸ τῶν ἐπιφανεστέρων ἂν ἐπῄνει τὸν Ἡρακλέα. ὁ δὲ Χαῖρίς φησιν, ὅτι ὁ Χρόμιος πολλὰ συμπονήσας τῷ Ἱέρωνι κατὰ τὴν ἀρχὴν ἀμοιβῆς ἔτυχεν ἐξ αὐτοῦ, ὥστε ἐκ περιουσίας καὶ ἱπποτροφῆσαι· ὡς οὖν οὗτος ἔπαθλον ἔλαβε πόνων τὴν ἐπιφάνειαν, οὕτω καὶ Ἡρακλῆς πολλὰ ταλαιπωρήσας ἔπαθλον ἔσχε τὴν ἀθανασίαν καὶ τὸν γάμον τῆς Ἥβης. καὶ πρὸς τοῦτον δὲ ἔνεστιν εἰπεῖν· τί δήποτε ὁ Πίνδαρος ἰδιώτην ἐπαινῶν τὴν τοῦ Ἡρακλέους παρέλαβε συμφορὰν εἰς ἐπίδειξιν τῆς φιλοπονίας; μᾶλλον γὰρ ἔδει κοινότερον πάντας τοὺς ἄθλους εἰς ὑπόμνησιν ἀγαγεῖν, ὅτι καθήρας γῆν καὶ θάλασσαν ἀπεθεώθη. ὁ δὲ Χρύσιππος Νεμεακὸν εἶναί φησι τὸν ἀγῶνα καὶ τὸν ἐπὶ τούτῳ δὴ [1]) ἐπίνικον· διά τε τὸ Νεμεαῖον εἶναι τὸν λέοντα, ταύτῃ τὸν Ἡρακλέα τοῖς τοῦ νεικηκότος ἐπαίνοις ἐγκαταμεμίχθαι. ἀντιπράττει δὲ καὶ τούτῳ τὸ μηδ' ὁτιοῦν τὸν Πίνδαρον εἰπεῖν περὶ λέοντος, ὅπερ αἰτιώτατον τῆς παραβάσεώς φησιν ὁ Χρύσιππος εἶναι. βέλτιον δέ φησιν ὁ Δίδυμος ἐκεῖνο λέγειν, ὅτι ὃ περὶ τῆς Λέρνης ἔφη, τοῦτο καὶ νῦν βούλεται δηλοῦν ὁ Πίνδαρος· Ναυσιφορήτοις δ' ἀνδράσι πρώτη χάρις ἐς πλόον ἐρχομένοις πομπαῖον ἐλθεῖν οὖρον. [2]) τοιοῦτο λέγοι ἄν τις καὶ ἐπὶ τοῦ Χρομίου· ἐπεὶ νῦν ἦρκται ἀγωνίζεσθαι καὶ ἀρξάμενος εὐθὺς ἐνίκησεν, ἐλπίς ἐστιν αὐτῷ καὶ τῶν ἄλλων τεύξεσθαι στεφάνων. πρὸς τί οὖν τὸ περὶ τοῦ Ἡρακλέους ἐστὶν ὑπόδειγμα; ὅτι καὶ Ἡρακλῆς βρέφος ἔτι ὢν μεταχειρισάμενος τοὺς δράκοντας, καὶ τοὺς αὖθις ἄθλους κατεπράξατο· καὶ ὥσπερ τούτου περὶ τὸν Ἡρακλέα γεγενημένου ὁ Ἀμφιτρύων Θηβαῖον ὄντα τὸν Τειρεσίαν προανέκρινε περὶ τοῦ παιδὸς, ὁ δὲ προεμαντεύσατο τοὺς ἐσομένους αὐτῷ ἄθλους, οὕτως αὐτὸς ὁ Πίνδαρος ὑπὸ τῆς πρώτης τοῦ Χρομίου νίκης προμαντεύεται, ὅτι καὶ τῶν λοιπῶν στεφάνων τεύξεται. § ὁ δὲ νοῦς· ἐγὼ δ' ἐφίεμαι καὶ οὐκ ἀφίσταμαι τοῦ Ἡρακλέος, ἐγείρων τὸν λόγον ὄντα ἀρχαῖον τὸν ἐν ταῖς μεγίσταις τῶν ἀρετῶν, οὗ κορυφαῖς τὸν ἐμὸν ὁπλίζω καὶ ἐγείρω [3]) λόγον· ἀντέχομαι γὰρ καὶ ζηλῶ αὐτόν. § ἢ οὕτως· ἐν ταῖς κορυφαῖς τῶν ἀρετῶν τὸν ἐξ ἀρχῆς παροτρύνων περὶ αὐτοῦ λόγον, οἷον ἀπ' ἀρχῆς τῶν περὶ αὐτὸν γεγονότων μνημονεύων.

53. Ὡς ἐπεὶ σπλάγχνων ὑπὸ ματέρος] διηγήσομαι, φησὶν, ὥσπερ [4]) ἐκ τῆς μητρικῆς νηδύος εἰς τὰς αὐγὰς ἦλθε τὰς ἡλιακὰς ὁ τοῦ Διὸς παῖς Ἡρακλῆς, ἅμα τῷ ἀδελφῷ Ἰφικλεῖ διδύμῳ ὄντι ἐκφυγὼν τὴν ὠδῖνα. ἐναντίος οὗτος τῷ Θεοκρίτῳ. ἐκεῖνος γάρ φησι· [5]) Καὶ νυκτὶ νεώτερον Ἰφικλῆα. ἡμέραν δὲ λαμπρὰν καὶ θαυμαστὴν, ἤτοι τὴν ὁρατὴν αἴγλην, τὸ φῶς· ἢ τὴν αἰτίαν τοῦ θεάσασθαι ἡμᾶς· καθὸ καὶ μητέρα Ἡλίου Θείαν διεπλάσαντο· θέας γὰρ αἴτιος ἡμῖν ὁ θεός.

57. Ὡς τ' οὐ λαθὼν χρυσόθρονον Ἥραν] διηγήσομαι οὖν, φησὶ, καὶ ὅπως μὴ δυνηθεὶς διαλαθεῖν τὴν Ἥραν εἰς κροκοβαφὲς ὕφασμα ἐνετέθη σπαργανωθείς. κροκωτὸν δὲ, ἤτοι ἀπὸ τῆς χρόας τὸ κροκοειδὲς, ἢ ἀπὸ τῆς κρόκης τὸ ὑφαντόν.

1) Vulgo δῆλον. 2) Pyth. I, 64. vulg. Romana εἰς πλεῖν. 3) Vulgo ὁπλίζων καὶ ἐγείρων. 4) Rom. ὅπερ. 5) XXIV, 2. ubi recte Ἰφικλῆα, quod reposui hoc loco pro genitivo Ἰφικλέος.

Digitized by Google

59. Ἀλλὰ θεῶν βασίλεια] ὁ ἀλλὰ κεῖται ἀντὶ τοῦ δέ.

60. Σπερχθεῖσα θυμῷ] ἐπιχυθεῖσα, λυπηθεῖσα. ταραχθεῖσα δὲ τῇ ψυχῇ καὶ ὑπερζέουσα τῷ θυμῷ, οὐ τότε ὅτε ἐνετέθη τῷ κροκωτῷ σπαργάνῳ, ἀλλ' ἔτι [1]) πάλαι, ὅτε ἐμίσγετο τῇ Ἀλκμήνῃ ὁ Ζεύς.

61. Τοὶ μὲν οἰχθεισᾶν πυλᾶν] οἱ μὲν οὖν δράκοντες ἀνεῳχθεισῶν τῶν πυλῶν εἰς τὸ ἐσώτατον τῶν οἴκων παρεγένοντο, ἔνθα κατέκειτο ὁ παῖς. τὸ δὲ ἀμφιελίξασθαι ἀντὶ τοῦ μασσᾶσθαι ἀπὸ τοῦ παρεπομένου δεδήλωκε, τουτέστι καταφαγεῖν, διὰ τὸ συστρέφειν τὰς γνάθους τοὺς μασσωμένους· ἢ ἐπεὶ μεγαλοστομώτατόν ἐστι τὸ ζῶον καὶ ὅμοιον τῇ εἰλήσει τὴν κατάποσιν ποιεῖ.

64. Ὁ δ' ὀρθὸν μὲν ἄντεινε κάρα] ὁ δὲ Ἡρακλῆς, φησὶν, ὀρθώσας ἑαυτὸν πρώτης ταύτης τῆς μάχης πεῖραν ἔλαμβανε, καὶ ταῖς δύο χερσὶν ἑαυτοῦ τοὺς δύο θῆρας ἐκ τῶν αὐχένων σφίγξας οὕτως ἀφύκτως κατεῖχεν. εἰσὶν οὖν οἱ ὑπὸ Ἀμφιτρύωνος ἐπεπεμφθῆναι τοὺς ὄφεις φασὶν ἐπὶ διαπείρᾳ τοῦ γνῶναι, πότερος εἴη τοῦ Διός, ὡς Φερεκύδης [2]) φησὶν, ἐνιαυσίοις οὖσιν ἤδη· καὶ ὁ μὲν Ἰφικλῆς φεύγει, ὁ δὲ ἐπὶ τῆς εὐνῆς μείνας ἀμφοτέρους ἀπέπνιξεν.

69. Ἀγχομένοις δέ] τούτους οὖν, φησὶ, τοὺς δράκοντας στρεβλουμένους καὶ πνιγομένους αἱ ψυχαὶ ἀπέλιπον, καὶ νεκρὸν εἴασαν τὸ παμμέγεθες σῶμα. ἀφάτων μελέων γάρ φησιν ἀντὶ τοῦ ἀῤῥήτων, οὐκ ἐπιδεχομένων τὸ φατισθῆναι διὰ μέγεθος. § ἢ φθαρτικῶν ἄγαν, κατ' ἐπίτασιν λαμβανομένου τοῦ ᾱ· φάσαι γὰρ τὸ φθεῖραι, ἔνθεν καὶ τὸ φάσγανον.

71. Ἐκ δ' ἄρ' ἄτλαντον δέος πλᾶξε γυναῖκας] ἐξέπληξε δὲ τοῦτο τὸ ἀνυπομόνητον κακὸν τὰς ἐκεῖσε γυναῖκας πάσας, ὅσαι ἔτυχον περὶ τὴν θεραπείαν τῆς Ἀλκμήνης καὶ τὴν κοίτην.

74. Καὶ γὰρ αὐτὰ ποσὶν ἄπεπλος ὀρούσασα] τὴν ἄπεπλον οὐ δεκτέον γυμνήν· ἀπρεπὴς γὰρ ἡ εἰκών· ἀλλὰ νοητέον, ὅτι τὸν μὲν πέπλον ἔῤῥιψεν, ἐν δὲ τῷ χιτωνίσκῳ ἀνήλατο νεοτόκος οὖσα, τὴν βλάβην τῶν δρακόντων ἐκφεύγουσα. κνώδαλα δὲ κυρίως τὰ ἐν τῇ θαλάσσῃ θηρία, παρὰ τὸ ἐν ἁλὶ κινεῖσθαι, καταχρηστικῶς δὲ καὶ πᾶν θηρίον, ὡς καὶ Ὅμηρος· [3])

Κνώδαλον ὅ,τι δίοιτο· καὶ ἴχνεσι γὰρ περιήδει.

§ ὁ δὲ νοῦς· καὶ γὰρ αὐτὴ ἡ Ἀλκμήνη μονόπεπλος αὐτοποδητὶ ἐκπηδήσασα ἀπὸ τῆς κοίτης ἐπὶ βοήθειαν ἠπείγετο πρὸς τὴν τῶν θηρίων βλάβην.

82. Τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς] τὸ γὰρ οἰκεῖον καὶ ἴδιον κακὸν ὁμοίως πιέζει καὶ λυπεῖ τοὺς οἰκείους πάντας, περὶ δὲ τὰ ἀλλότρια συμπτώματα καὶ κακὰ ἀβλαβὴς καὶ ἄλυπος ἡ καρδία παραχρῆμα γίνεται. § Ἄλλως. ἕκαστος δάκνεται τῷ οἰκείῳ κακῷ, ὅταν δὲ τὰ τῶν ἄλλων ἴδῃ κακὰ, εὐκόπως ὑπομένει.

85. Ἔστα δὲ θάμβει δυσφόρῳ τερπνῷ] δυσυπομονήτῳ. πῶς δὲ ταὐτὸν δυσυπομόνητον καὶ τερπνόν; ὅτι μὲν δρακόντων ἦν ἔφοδος ἐπὶ νεογνὰ τὰ τέκνα, δύσελπις ἐγένετο· καθὸ δὲ εἶδεν αὐτοὺς ἀγχομένους ὑπὸ Ἡρακλέους, ἐτέρφθη. διὸ ἐξεπλάγη δυσφορῶν ἅμα καὶ τερπόμενος. § ὁ δὲ νοῦς οὕτως· ἔστη δὲ ὁ Ἀμφιτρύων ἐκπλήξει βα-

1) Debebat esse ἤδη. 2) Fragm. Sturz. p. 107. 3) Odyss. ρ, 317.

Digitized by Google

ρυτάτη καὶ τέρψει πολλῇ συγκραθείς. Ὅμηρος· [1]) Δακρυόεν γελάσασα. καὶ ἐν ἄλλοις· [2]) Τῇ δ' ἅμα χάρμα καὶ ἄλγος ἕλε φρένα.

86. Εἶδε γὰρ ἐκνόμιον λῆμα] ἐκνόμιον λῆμα ἤτοι ἀπὸ τῶν παρὰ τοὺς νόμους τινὰ πραττόντων καὶ βιαζομένων, ἢ ἀπὸ τῆς νομῆς, καθὸ ἀτιμαγέλαι τινὲς λέγονται βόες. § ὁ δὲ νοῦς· ἐθεάσατο γὰρ ἄηθες καὶ οὐ νομιζόμενον δυνάμεως ἔργον τοῦ υἱοῦ, τουτέστι τοῦ Ἡρακλέος.

88. Παλίγγλωσσον δέ οἱ ἀθάνατοι] τὴν ἐναντιόφημον, τὴν ἐναντίον τοῖς προηγγελμένοις τὸν λόγον ἔχουσαν. οἱ μὲν γὰρ ἄγγελοι ἐσήμαινον, ὅτι νεκρὰ ἦν τὰ βρέφη, ὁ δὲ εὗρε σώους καὶ ὑπ' αὐτῶν τοὺς δράκοντας ἀνῃρημένους· ἐναντίον οὖν ἐγένετο τοῖς ὁρωμένοις τὸ ἄγγελμα, ὅ ἐστιν ἐναντιόφημον.

90. Γείτονα δ' ἐκάλεσεν Διὸς ὑψίστου] ἐκάλεσε δὲ τὸν ἔξοχον προφήτην τοῦ Διὸς, πλησίον ὄντα, τὸν ἀληθῆ μάντιν Τειρεσίαν.

92. Ὁ δέ οἱ φράζε καὶ παντί] ὁ δὲ μάντις Τειρεσίας εἶπεν αὐτῷ τῷ Ἀμφιτρύωνι καὶ ὅλῳ τῷ ὄχλῳ τῶν Θηβαίων, ὁποίαις συντεύξεται καὶ συναναστραφήσεται πράξεσί τε καὶ τύχαις ὁ Ἡρακλῆς.

96. Ὅσσους δ' ἐν πόντῳ θῆρας ἀϊδροδίκας] ἀπέκτεινε γὰρ καὶ τὸ κῆτος τὸ ἐν τῇ Τρωάδι. μέμνηται δὲ τούτου καὶ Ὅμηρος· [3])

Τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
Ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν [4]) ἀλέοιτο.

97. Καί τινα σὺν πλαγίῳ ἀνδρῶν κόρῳ στείχοντα] πρὸς τὸ ὀρθὸν τοῦ λόγου ἀντὶ αἰτιατικῆς τὴν δοτικὴν ἀκουστέον, ἵν' ᾖ· καί τινι ἀδίκῳ ἀνδρὶ αὐτὸν τὸν Ἡρακλέα ἔφασκε δώσειν μόρον, ἀντὶ τοῦ τοὺς ἀδίκους ἀνελεῖν. § Ἄλλως. σὺν πλαγίῳ· οὐ κατ' εὐθὺ ἰόντι, [5]) οὐκ ἀπὸ τοῦ δικαίου περιουσιαζομένῳ. μετῆκται δὲ ἀπὸ τῶν κακούργων· οὐ γὰρ τὴν λεωφόρον βαδίζουσιν, ἀλλ' ἐκτρεπόμενοι, τὰς ἐρήμους. τείνει δὲ ὁ λόγος ἐπὶ Βούσιριν καὶ Ἀνταῖον· οὗτοι γὰρ δι' ὕβριν ὑφ' Ἡρακλέος ἀπώλοντο ἑκάτεροι. § ὁ δὲ νοῦς· καί τινα συμβήσεται ἄνδρα ἄδικον πλούτῳ ἐπαιρόμενον δίκην ὑποσχεῖν καὶ ἐχθροτάτῳ καὶ ἀπεύκτῳ μόρῳ περιπεσεῖν. εἶπεν [6]) αὐτῷ καὶ τοῦτο ὁ μαντευόμενος Τειρεσίας.

100. Καὶ γὰρ ὅταν θεοί] καὶ ὅταν οἱ θεοὶ τοῖς Γίγασιν εἰς μάχην συνάπτωσιν· ἔξωθεν γὰρ τὴν εἰς πρόθεσιν παραληπτέον. Φλέγρα δὲ τόπος ἐν Θρᾴκῃ καὶ κώμη, ἔνθα οἱ Γίγαντες ἀνῃρέθησαν ὑπὸ θεῶν. τῶν δὲ ἐχόντων τὴν μάχην πρὸς τοὺς Γίγαντας καὶ μὴ περιγινομένων τῇ μάχῃ, φασὶν εἰρηκέναι τὴν Γῆν μὴ ἄλλως ἁλῶναι τούτους, εἰ μὴ συμμαχήσειαν αὐτοῖς δύο τῶν ἡμιθέων· Ἡρακλέος τοίνυν καὶ Διονύσου συνελθόντων ἐκράτησαν οἱ θεοὶ τῶν Γιγάντων. προεῖπεν οὖν ὁ μάντις ὅτι, ὅτε τὴν ἐκεῖ, τὴν ἐν τῇ Φλέγρᾳ πρὸς τοὺς Γίγαντας μάχην μέλλοι ἔσεσθαι, τότε [7]) ὁ πόλεμος τῶν θεῶν ὑπὸ τοῖς τοῦ Ἡρακλέος τόξοις πεσεῖται, καὶ τὴν κόμην αὐτῆς [8]) τὴν φαιδίμην συμφυ-

1) Iliad. ζ, 484. 2) Odyss. τ, 471. 3) Iliad. υ, 146. 4) Rom. ὑπεκφυγών. 5) Vulgo ὄντι. 6) Vulgo εἰπεῖν: quod correxerunt Hermannus et Heynius. 7) Rom. προεῖπεν οὖν ὁ μάντις, ὅτι καὶ τὴν ἐκεῖ τὴν ἐν τ. Φ. et deinde ἔσεσθαι, ὅτε etc. Coniicias etiam nominativo casu scribendum esse ἡ ἐκεῖ ἡ ἐν Φλ. μάχη: sed grammaticum arbitror accusativum posuisse, et μέλλοι ita construxisse ut si dixisset συμβαίη. Heynius dedit μέλλειν: quo locum corrupit. 8) Vulgo αὐτῶν.

Digitized by Google

ρήσεσθαι τῇ Γῇ συμβήσεται διὰ τοὺς ἀγῶνας τοὺς πρὸς τοὺς Γίγαντας. σκληρότερον δὲ ἐξενήνεκται· μᾶλλον γὰρ ἐπὶ νεκροῦ ἑλκομένου τὸ τοιοῦτο τάσσεται. Ὅμηρος· [1]) Ὣς τοῦ μὲν κεκόνιστο κάρη.

105. Ἔννεπεν αὐτὸν μὰν ἐν εἰρήνᾳ] καὶ τοῦτο δὲ προεῖπεν ὁ μάντις, ὅτι καὶ τοῦ λοιποῦ αὐτὸς ὁ Ἡρακλῆς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ διατελέσει, ταύτην ἀμοιβὴν τῶν ἑαυτοῦ πόνων λαβών, καὶ ὅτι λήψεται μὲν γυναῖκα τὴν θαυμασίαν Ἥβην παρ' αὐτῷ τῷ Διὶ τελουμένης τῆς εὐωχίας τοῦ γάμου, οὗτινος Διὸς καὶ θαυμάσει τὴν σύνοδον, εἷς δὲ ἐκ τῶν θεῶν γενόμενος σύννομος ἔσται τοῖς οὐρανίοις θεοῖς.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Β'.

Περὶ τῶν κώλων τοῦ δευτέρου τῶν Νεμέων εἴδους.

Ἡ δευτέρα τῶν Νεμέων ᾠδὴ μονόστροφός ἐστι κατὰ ὀγδοάδας διῃρημένη, ὧν τὸ α' Γλυκώνειον. Τὸ β' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ γ' λογαοιδικὸν Ἀλκαϊκόν. [2]) Τὸ δ' δίμετρον δακτυλικόν. Τὸ ε' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ς' Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ζ' ἰαμβικὸν [3]) πενθημιμερές. Τὸ η' δακτυλικὸν τετράμετρον.

---

1. Ὅθεν περ καὶ Ὁμηρίδαι] Ὁμηρίδας ἔλεγον τὸ μὲν ἀρχαῖον τοὺς ἀπὸ τοῦ Ὁμήρου γένους, οἳ καὶ τὴν ποίησιν αὐτοῦ ἐκ διαδοχῆς ᾖδον· μετὰ δὲ ταῦτα καὶ οἱ ῥαψῳδοὶ οὐκέτι τὸ γένος εἰς Ὅμηρον ἀνάγοντες. ἐπιφανεῖς δὲ ἐγένοντο οἱ περὶ Κύναιθον, οὓς φασι πολλὰ τῶν ἐπῶν ποιήσαντας ἐμβαλεῖν εἰς τὴν Ὁμήρου ποίησιν. ἦν δὲ ὁ Κύναιθος Χῖος, ὃς καὶ τῶν ἐπιγραφομένων Ὁμήρου ποιημάτων τὸν εἰς Ἀπόλλωνα γεγραμμένον ὕμνον λέγεται πεποιηκέναι. οὗτος οὖν ὁ Κύναιθος πρῶτος ἐν Συρακούσαις ἐραψῴδησε τὰ Ὁμήρου ἔπη κατὰ τὴν ἑξηκοστὴν ἐννάτην Ὀλυμπιάδα, ὡς Ἱππόστρατός φησιν. § Ἄλλως. τοὺς ῥαψῳδοὺς οἱ μὲν ῥαβδῳδοὺς ἐτυμολογοῦσι διὰ τὸ μετὰ ῥάβδου δηλονότι τὰ Ὁμήρου ἔπη διεξιέναι. Καλλίμαχος· [4])

Καὶ τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινόμενον
Ἡνεκὲς ἀείδω δεδιγμένος.

οἱ δέ φασι τῆς Ὁμήρου ποιήσεως μὴ ὑφ' ἓν συνηγμένης, σποράδην δὲ ἄλλως καὶ κατὰ μέρη διῃρημένης, ὁπότε ῥαψῳδοῖεν αὐτήν, εἱρμῷ τινι καὶ ῥαφῇ παραπλήσιον ποιεῖν, εἰς ἓν αὐτὴν ἄγοντας. οὕτω καὶ ὁ Πίνδαρος εἰςδέδεκται. οἱ δέ, ὅτι κατὰ μέρη πρότερον τῆς ποιήσεως διαδιδομένης τῶν ἀγωνιστῶν ἕκαστος ὅ, τι βούλοιτο μέρος ᾖδε, τοῦ δὲ ἄθλου

1) Iliad. χ, 427. 2) Rom. Ἀλκμαϊκόν. 3) Rom. Ἰωνικόν. 4) Fragm. T. I, p. 497.

Digitized by Google

τοῖς νικῶσιν ἀρνὸς ἀποδεδειγμένου προσαγορευθῆναι τότε μὲν ἀρνῳδοὺς, αὖθις δὲ ἑκατέρας τῆς ποιήσεως εἰσενεχθείσης τοὺς ἀγωνιστὰς οἷον ἀκουμένους [1]) πρὸς ἄλληλα τὰ μέρη καὶ τὴν σύμπασαν ποίησιν ἐπιόντας, ῥαψῳδοὺς προσαγορευθῆναι. ταῦτά φησι Διονύσιος ὁ Ἀργεῖος. Φιλόχορος [2]) δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν οὕτω φησὶν αὐτοὺς προσκεκλῆσθαι. δηλοῖ δὲ Ἡσίοδος [3]) λέγων·

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοί
Μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ.

ῥαψῳδῆσαι δέ φησι πρῶτον τὸν Ἡσίοδον Νικοκλῆς. Μέναιχμος [4]) δὲ ἱστορεῖ τοὺς ῥαψῳδοὺς στιχῳδοὺς καλεῖσθαι διὰ τὸ τοὺς στίχους ῥάβδους λέγεσθαι ὑπό τινων. § Ἄλλως. Ὁμηρίδαι πρότερον μὲν οἱ Ὁμήρου παῖδες, ὕστερον δὲ οἱ περὶ Κύναιθον ῥαβδῳδοί· οὗτοι γὰρ τὴν Ὁμήρου ποίησιν σκεδασθεῖσαν ἐμνημόνευον καὶ ἐπήγγελλον· ἐλυμήναντο δὲ αὐτὴν [5]) πάνυ. αὐτοὶ οὖν τὴν ἀρχὴν ὡς ἐπιτοπλεῖστον ἐκ Διὸς ἐποιοῦντο προοιμιαζόμενοι, ἐνίοτε δὲ καὶ Μουσῶν· ὅλως [6]) γὰρ οὗτοι εἰς τὸν Δία προοιμιασάμενοι τοὐντεῦθεν ἤδη τῆς ἐποποιΐας ἥπτοντο· τῷ δὲ μὴ διαπαντὸς ἄρχεσθαι ἀπὸ τοῦ Διὸς τοὺς ῥαψῳδοὺς προσέθηκεν ὁ Πίνδαρος τα πολλὰ, ἵν' ᾖ· ὡς ἐπιτοπλέον. § ὁ δὲ νοῦς ὅλος· ὅθεν δὴ καὶ οἱ Ὁμηρίδαι λεγόμενοι ἀοιδοὶ τὴν ἀρχὴν τοῦ λέγειν ὡς ἐπιτοπολὺ ποιοῦνται ἐκ Διὸς προοιμιαζόμενοι, ἐντεῦθεν καὶ οὗτος ὁ ἀνὴρ τὴν καταβολὴν, τουτέστι τὴν ἀρχὴν καὶ τὸν θεμέλιον τῶν ἱερῶν ἀγώνων ἀπὸ τοῦ Διὸς πεποίηται, Νέμεα νικήσας πρῶτον. Διῒ δὲ ἀνάκειται ὁ Νεμεακὸς ἀγών. ὅτι δὲ καταβολὰς ἔλεγον τὰς ἀρχὰς οὐτινοσοῦν ἔπους, Καλλίμαχός φησιν· [7])

Ἀρσινόης, ὦ ξεῖνε, γάμον καταβάλλομ' ἀείδειν·

μετῆκται δὲ ἡ λέξις ἀπὸ τῶν τὰς οἰκίας κατασκευαζόντων καὶ βαλλόντων τοὺς θεμελίους. ἐλπὶς οὖν, φησὶν, ἐστὶν ἀπὸ Διὸς ἀρξάμενον αὐτὸν τῶν ἀγώνων καὶ μετὰ ταῦτα νικήσειν· ὃ καὶ ἐγένετο εὐθέως· μετὰ γὰρ τὴν Νεμεακὴν νίκην ἐστεφανοῦτο τὰ Ὀλύμπια.

9. Ὀφείλει δέ τι πατρίαν] ὀφειλόμενον καὶ πρέπον ἐστὶ, τὸν Τιμονόου παῖδα· οὕτω τὸ ὑπέρβατον δεῖ νοηθῆναι. Ἀρίσταρχος δὲ οὐκ ἐπὶ τοῦ ἀνδρὸς τὸ Ὀφείλει, ἀλλ' ἐπὶ τοῦ πράγματός φησιν, ὡς ἄν τις εἴπῃ· ὀφειλόμενον δέ τί ἐστιν. οὕτω γὰρ τὰ ἑπόμενα συναρμοσθήσεται, ὅταν λέγηται· Πυθίοισί τε νικᾶν Τιμονόου παῖδα. οὐ γὰρ εἴρηκε παῖς. ὀφειλόμενον δὲ, τουτέστιν ἀναγκαῖόν ἐστι νικᾶν αὐτὸν καὶ Πύθια καὶ Ἴσθμια, εἴπερ κατὰ τὰ ἴχνη τῶν πατέρων ὁ εὐθυπομπὸς αἰὼν δέδωκεν αὐτὸν εἰς κόσμον ταῖς Ἀθήναις· ἀναγκαῖον οὖν νικᾶν αὐτὸν, ὡς οἱ πατέρες ἐνίκησαν, Ἴσθμια καὶ Νέμεα· ὡς τῶν προγόνων ἱερονικῶν γεγονότων.

16. Τιμονόου παῖδα δ' ἔστιν ἐοικός] ἵνα ἀξιωματικὸν ποιήσῃ τὸν λόγον, ἐλλειπτικῶς εἶπε. λείπει γὰρ τὸ Νικᾶν αὐτὸν ἀεί· τοῦτο γὰρ ἔδει προσκεῖσθαι. εἰκὸς

1) Vulgo ἀκουομένους. Male Salmasius ad Solin. p. 610. A. ἀκειομένους. 2) Fragm. p. 105. 3) Fragm. p. 444. Heynius in novissima editione conferri iubet Boettiger. Ilith. p. 29. 4) De Menaechmo hoc Sicyonio v. Voss. Hist. Gr. I, p. 64. Nostrum locum esse ex libro περὶ τεχνιτῶν, discere licet comparato Athenaeo II, p. 65. B. qui scriptum commemorat etiam XIV, p. 635. B. p. 637. F. p. 638. A. 5) Rom. αὐτούς. 6) Vulgo ὅλα. Correxit Heynius. 7) Fragm. 196.

Digitized by Google

οὖν ἐστι καὶ προσδοκητέον τὸ νικῆσαι αὐτὸν ἐν τοῖς προειρημένοις ἀγῶσι, Τιμοτόου ὄντα παῖδα καὶ κατ' ἴχνος βαίνοντα τοῦ πατρὸς, ὥσπερ εἰκός ἐστι καὶ τῶν ὅρων καὶ τῶν τόπων, ὧν ἔχουσιν αἱ Πλειάδες, μὴ πορρωτέρω μηδὲ μακρὰν τὸν Ὠρίωνα πορεύεσθαι ἀλλ' ἐγγύς. τὸ δὲ σύντομον· ὥσπερ γὰρ τῶν Πλειάδων ὁ Ὠρίων οὐκ ἀφίσταται, οὐδὲ αἱ Πλειάδες τοῦ Ὠρίωνος, οὕτω καὶ τοῦτον πάρεδρον ἔσεσθαι τῇ νίκῃ εἰκός ἐστι. τὸ δὲ ὀρειᾶν γε Πελειάδων, ἤτοι τῶν πρὸς τὸν Ὠρίωνα κεκλιμένων, ἢ τῶν ὀρείων· ἐπειδὴ ὁ Ἄτλας ὁ τῶν Πλειάδων πατὴρ ὁμώνυμα ἔσχεν ὄρη· ἢ ὅτι ὅροι εἰσὶ τοῦ ἀμήτου· ἢ λιτότερον, τῶν ὅρων καὶ τῶν τόπων ἐν οἷς εἰσιν οἱ ἀστέρες. αἱ γὰρ Πλειάδες κατὰ τὴν ἱστορίαν ἄστρον ἐστὶν ἐξ ἑπτὰ ἀστέρων συγκείμενον, κατὰ δὲ τὴν ὄψιν ἕξ, ὡς καὶ Ἄρατος· [1])

Ἑπτάποροι δὴ ταί γε κατ' ἀνθρώπους ὑδέονται·
Ἓξ οἷαί περ ἐοῦσαι ἐπόψιοι.

πλησιάζουσι δὲ τῷ Ὠρίωνι αἱ Πλειάδες. Ἀρίσταρχος δέ· ἐν τούτοις μὲν ταῖς Πλειάσι φησὶ [2]) τὸν Ὠρίωνα ἐπέχειν, ἐν ἄλλοις δὲ τὴν Πλειάδα φησὶν αὐτὸν διώκειν, ὑποτιθέμενος τὸ σύστημα τῶν Πλειάδων ἓν ζῴδιον. θέλοι δ' ἂν δηλοῦν τοῦτο, ὅτι τῇ Νεμεακῇ δεῖ συνάπτειν τὴν Ἰσθμιακὴν καὶ Πυθικὴν καὶ οὕτως ἀκολουθεῖν, ὡς ταῖς Πλειάσιν ὁ Ὠρίων ἕπεται. ἐπέχει γὰρ τῇ ἐπιτολῇ τοῦ Ταύρου ὁ Ὠρίων κυνηγετικὸς ὤν· διό φησιν Ἄρατος· [3])

Λοξὸς μὲν Ταύροιο τομῇ ὑποκέκλιται αὐτός·
Ὠρίων.

§ εἰσὶ δὲ αἱ Πλειάδες ἐπὶ τῇ οὐρᾷ τοῦ Ταύρου. καὶ ὁτὲ μὲν Πλειάδας καλεῖ πληθυντικῶς, ὁτὲ δὲ Πληϊόνην ὡς μίαν· Τρεχέτω δὲ μετὰ Πληϊόναν, ἅμα δὲ αὐτῷ κύων. δοκεῖ γὰρ κατ' αὐτὸν τὸν Πίνδαρον ἐρασθῆναι αὐτῆς ὁ Ὠρίων, καὶ διώκειν αὐτὴν ἐπὶ πολλοῖς χρόνοις· ὑπομνήματα δὲ τούτων ὁ Ζεὺς κατηστέρισε. παρὸ δή φησιν· Ὁ Ὠρίων ἐπιὼν ταῖς Πλειάσι. ζητεῖται δὲ διατί ὀρείας εἶπε τὰς Πλειάδας· καί τινες μὲν ἔφασαν, ὅτι Νύμφαι ἦσαν, ὡς οἱ ἀστέρες οὗτοι·

Τηϋγέτη τ' ἐρόεσσα καὶ Ἠλέκτρη κυανῶπις,
Ἀλκυόνη τε καὶ Ἀστερόπη δίη τε Κελαινώ,
Μαῖά τε καὶ Μερόπη, τὰς γείνατο φαίδιμος Ἄτλας. [4])

Σιμωνίδης δὲ μίαν τῶν Πλειάδων Μαῖαν ὀρείαν προσηγόρευσεν εἰπών· Μαιάδος οὐρείας ἑλικοβλεφάρου. κατὰ λόγον· αὕτη γὰρ

Κυλλήνης ἐν ὄρεσσι θεὸν κήρυκα τέχ' Ἑρμῆν. [5])

τινὲς δὲ ἐπὶ τὴν τῶν ὁμωνύμων ὕλην ἀποχωροῦντες Ἀτλαντὸς φασι λεγομένας θυγατέρας, ἐπειδὴ ἕκτη [6]) κληΐζεται κατὰ τὴν τοῦ πατρὸς ὁμωνυμίαν, ὡς ἐξ ὄρους γεγενημένας ὀρείας προσηγορεῦσθαι. οἱ δὲ, καθὸ Πελειάδας αὐτὰς εἶπε, καὶ ὀρείας· αἱ γὰρ περιστεραὶ ὄρειαί εἰσιν· εἴωθε δὲ ὁ Πίνδαρος ταῖς ὁμωνυμίαις ἐπαναπαύεσθαι. [7]) ἔνιοι δὲ,

1) Phaenom. 257. 2) Nempe Pindarus. Locum interpunctione adiuvi. 3) Phaenom. 322. 4) Versus sunt ignoti poetae. 5) Versus est ignoti poetae, ab Ursin. Fragm. Lyr. p. 174. inepte cum fragmento Simonidis consarcinatus. 6) Vox corrupta. An ἑκάστη? 7) Conf. Schol. Nem. I, 3.

Digitized by Google

διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι, κατὰ ὕφεσιν τοῦ ῡ, ὡς καὶ τὸ Κλεὸς ἕκατι, [1]) ἀντὶ τοῦ Κλειοῦς· [2]) εἶπε δ' ἂν οὐραίας, ὡς καὶ παρ' Ὁμήρῳ· [3])

Τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
Οὐραῖαι.

εἰ μὴ καθὸ ἀπόγειον ἄνεμον λέγομεν, οὕτω καὶ οὐρείας τὰς οὐραίας ἀκουστέον· τάχα δὲ ἀπὸ τοῦ συνόντος Ὠρίωνος τὰς οὐρείας ἐν συστολῇ γενέσθαι ὀρείας. βέλτιον οὖν ἀποδιδόναι, τῇ ὁμωνυμίᾳ προσαναπαυόμενον τὸν Πίνδαρον οὕτως εἰρηκέναι, ἢ ἀπὸ τῆς Κυλλήνης, ἐν ᾗ ἐτράφη. ὁ δὲ Κράτης γράφει θερειᾶν Πελειάδων, ὅτι θέρει ἐπιτέλλουσι· τούτῳ δὲ ἀντιπράσσει ἥ τε ἀντίστροφος [4]) καὶ τὸ μὴ μόνον θέρους αὐτὰς ἐπιτέλλειν, ἀλλὰ καὶ χειμῶνος. δύναιτο δ' ἂν καὶ ὀρείας λέγειν τὰς ὀρουστικὰς, τουτέστιν ὁρμητικὰς διὰ τὸ φεύγειν τὸν Ὠρίωνα ἢ διὰ τὸν φόβον τῶν Ἡρακλείων βελῶν.

19. Καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι] ζητεῖται διατί δήποτε τὰ περὶ Σαλαμῖνα εἰς τοὺς περὶ Τιμόδημον λόγους προσῆκται· οὐ γὰρ δήπου Σαλαμίνιος ἦν· ἄντικρυς γὰρ αὐτὸν Ἀχαρνέα φησὶ τὸν δῆμον. Ἀρίσταρχος μὲν οὖν τῆς Αἰαντίδος φυλῆς εἶναι, οὐκ ὀρθῶς δέ φησιν· οἱ γὰρ Ἀχαρνεῖς τῆς Οἰνηΐδος [5]) φυλῆς εἰσιν. οἱ δὲ περὶ Ἀσκληπιάδην φασὶν, ὅτι εἰκός ἐστιν αὐτὸν εἶναι τῶν τὴν Σαλαμῖνα κατακληρουχησάντων Ἀθηναίων· εἰκὸς οὖν αὐτὸν γεννηθέντα Ἀθήνησι τεθράφθαι ἐν Σαλαμῖνι. Δίδυμος δέ φησιν, ὅτι ἴσως ἄμεινον λέγειν, ὅτι εἰς Αἴαντα ἀνέφερε τὸ γένος, ὥσπερ καὶ Μιλτιάδης καὶ Κίμων καὶ Ἀλκιβιάδης καὶ Θουκυδίδης ὁ συγγραφεὺς ὁ Ὀλόρου. [6]) § ἴσως, ὅτι διὰ τιμῆς ἦγον οἱ Ἀθηναῖοι τὸν Αἴαντα, ὡς μὴ μόνον Αἰαντίδα φυλὴν ἀποδεῖξαι, ἀλλὰ καὶ κλίνην αὐτῷ μετὰ πανοπλίας κατακοσμεῖν, λόγον τε ἔχειν παγκρατιαστὴν ὄντα τὸν Τιμόδημον τῷ μαχιμωτάτῳ τῶν Ἑλλήνων καὶ ἀνδρειοτάτῳ παραβεβλῆσθαι. θρέψαι οὖν ἡ Σαλαμὶς ἱκανή ἐστιν ἄνδρα μαχητήν· τίς ἀπόδειξις; ἡ ἐπιφερομένη.

21. Ἐν Τροίᾳ μὲν [7]) Ἕκτωρ Αἴαντος ἄκουσε] τούτῳ γὰρ μονομαχήσας ἐλείφθη.

22. Αἴαντος ἄκουσεν] ἤσθετο τῇ πείρᾳ, ὅτι ἡ Σαλαμὶς φέρει ἄνδρας ἀγαθούς. ὡς καὶ Ὅμηρος· [8]) Τοὶ δὲ πληγῆς αἴοντες, ἀντὶ τοῦ αἰσθόμενοι. ἔοικε δὲ ὁ Πίνδαρος τὸ παρ' Αἴαντος ῥηθὲν πρὸς Ἕλληνας ὑπονενοηκέναι εἰρῆσθαι πρὸς Ἕκτορα· φησὶ γάρ· [9])

Ἐπεὶ οὐδ' ἐμὲ νήϊδά γ' οὕτως
Ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε.

εἰ μὴ ἄρα τις τῇ πείρᾳ μεμαθηκέναι ὑποστήσεται τὸν Ἕκτορα, ὡς ἐπιτηδείως ἡ Σαλαμὶς ἔχει πρὸς τὴν τῶν ἡρώων γένεσιν. § ὁ δὲ νοῦς· τούτου γοῦν τοῦ τὴν Σαλαμῖνα φέρειν ἀνδρείους τὴν πεῖραν ἔσχεν ὁ Ἕκτωρ ἐν τῇ Ἰλίῳ τῇ πείρᾳ τοῦ Αἴαντος.

25. Ἀχάρναι δὲ παλαίφατον] φανερὸν ἐκ τούτου, ὅτι Ἀχαρνεὺς τὸν δῆμον ὁ νικηφόρος. καὶ σὺ οὖν Ἀχαρνεὺς τυγχάνων ἀγαθὸς ἀνὴρ πέφυκας. § ἢ οὕτως· καὶ αἱ

1) Fragmentum Pindari. 2) Sic Rom. 3) Iliad. ψ, 519. 4) Absurde. 5) Rom. Οἰνοπίδος: cf. Holsten. ad Steph. Byz. v. Ἀχάρνα. 6) Qui partim Eurysacidarum, partim Philaidarum gentis fuere, igitur ab Aiace utrique. Sed noster Τιμοδημίδης vocatur. 7) Sic Rom. non μήν. 8) Iliad. λ, 532. 9) Iliad. η, 198.

Digitized by Google

Ἀχάρναι, ὅθεν ὑπάρχεις, ἀπ' ἀρχῆς ὡς εὔανδροι ὑμνοῦνται. Ἀχάρναι δὲ δῆμος τῆς Ἀττικῆς, ὅθεν ἦν ὁ Τιμόδημος. παλαίφατοι δὲ ἀντὶ τοῦ ἐξ ἀρχῆς λέγονται.

26. Ὅσσα δ' ἀμφ' ἀέθλοις Τιμοδημίδαι] τὸ ὅσσα θαυμαστικῶς ἀντὶ τοῦ πάνυ· πλειστάκις ἐν τοῖς ἄθλοις οἱ πρόγονοί σου προεκρίθησαν. Τιμοδημίδαι γὰρ φατρία, [1]) ὅθεν οἱ πρόγονοι τοῦ Τιμοδήμου. τὸ δὲ προλέγονται, ἀντὶ τοῦ προκέκρινται. Ὅμηρος· [2]) Οἱ μὲν Ἀθηναίων προλελεγμένοι. § ἢ οὕτως· ἐν τοῖς πρὸ τούτου χρόνοις λέγονται.

29. Παρὰ μὲν ὑψιμέδοντι Παρνασῷ] Παρνασὸς ὄρος τῆς Φωκίδος· τῇ Πυθοῖ. ὑψιμέδοντι δὲ καταχρηστικῶς ἀντὶ τοῦ ὑψηλῷ. φησὶ δὲ ὡς τῶν προγόνων αὐτοῦ τέσσαρας νίκας Πυθικὰς εἰληφότων.

32. Ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν] ὁ ἀλλὰ σύνδεσμος ἀντὶ τοῦ δὲ, καὶ ἢ ὑπὸ ἀντὶ τῆς παρὰ, ἵν' ᾖ· παρὰ δὲ Κορινθίων ἐν ταῖς πτυχαῖς τοῦ Πέλοπος, τουτέστιν ἐν Πελοποννήσῳ, ἔλαβον ὀκτὼ νίκας, ἐπεὶ Κορίνθιοι τότε ἐτίθεσαν τὸν ἀγῶνα· ἑπτὰ δὲ στεφάνους ἐν τῇ Νεμέᾳ, φησὶν, ἔλαβον, ἤτοι αἱ Ἀχάρναι ἢ οἱ Τιμοδημίδαι.

35. Τὰ δ' οἴκοι μάσσον' ἀριθμῶ] τὰ δὲ οἴκοι ἐν ταῖς Ἀθήναις μείζονά ἐστιν ἢ ἀριθμεῖσθαι, οἷον ὑπερβαίνει πάντα ἀριθμὸν ἃ ἐνίκησαν οἴκοι. τίθεται δὲ ἐν Ἀθήναις Διὸς ἀγὼν, τουτέστι τὰ Ὀλύμπια. [3])

37. Τὸν, ὦ πολῖται, κωμάξατε] ἢ τὸν ἀγῶνα τῶν Ὀλυμπίων ἢ τὸν Δία, ᾧ ἀνατίθεται ὁ ἀγὼν, σὺν τῷ Τιμοδήμῳ κωμάσατε καὶ μετὰ κωμασίας ὑμνήσατε, εὐκλεῶς παραπέμποντες διὰ τῶν ἡδυτάτων ὕμνων. § ἢ οὕτω· σὺν τῇ ἀπονοστήσει ἀπὸ τῆς Νεμέας κωμάσατε· ἀπὸ τοῦ κώμου τὸ ἐγκώμιον νοητέον· τουτέστιν ὑμνήσατε.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Γ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρίτου εἴδους.

Τῆς τρίτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ β' ἐπιχοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ γ' ἰθυφαλλικόν. Τὸ δ' τροχαϊκὸν δίμετρον [4]) ἀκατάληκτον. Τὸ ε' τὸ αὐτό. Τὸ ς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ θ' τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ι' ἰαμβικὸν δίμετρον

1) Vult γένος. 2) Iliad. ν, 689. 3) Potius Ὀλυμπιεῖα, ut dixi ad Schol. Olymp. VII, 151. 4) Rom. τρίμετρον.

Digitized by Google

ὑπερκατάληκτον. Τὸ ια΄ Σαπφικὸν ἑνδεκασύλλαβον. Τὸ ιβ΄ ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιγ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων η΄. Τὸ α΄ χοριαμβικὸν τρίμετρον [1]) ὑπερκατάληκτον. Τὸ β΄ ἰαμβικὸν πεντασύλλαβον καὶ Ἰωνικὸς ὁ ἀπὸ διαφόρου ἀρχῆς, εἶτα πάλιν Ἰωνικὸς ὁ ἀπεμφαίνων [2]) διὰ τὴν λύσιν καὶ συλλαβήν. δύναται καὶ ὅλον ὡς ἰαμβικὸν, παρακεχαραγμένον μέντοι διὰ τὸν τελευταῖον πόδα. Τὸ γ΄ δίμετρον χοριαμβικὸν καταληκτικόν. Τὸ δ΄ δοκεῖ ἀντισπαστικὸν εἶναι. Τὸ ε΄ χοριαμβικὸν τρίμετρον [3]) βραχυκατάληκτον. Τὸ ς΄ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ ζ΄ Ἰωνικὸν μονόμετρον καταληκτικὸν δύο συλλαβῶν. Τὸ η΄ δακτυλικὸν τετράμετρον παρὰ τὴν ἐν ἀρχαῖς συλλαβήν.

Ἀριστοκλεῖ Αἰγινήτῃ.] Αἴγινα μία νῆσος τῶν Σποράδων ἀντικρὺ κειμένη τῆς Ἀττικῆς, ἄποικος τῶν Ἀργείων. ἔοικε δὲ βραδύτερον ἀποδιδοὺς τὸν ἐπίνικον σπεύδειν γράφειν, ἴσως καὶ τῆς πανηγύρεως κατεπειγούσης.

1. Ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα] μητέρα ἑαυτοῦ εἶπε τὴν Μοῦσαν ὁ Πίνδαρος, ὡσὰν ἐπιπνεόμενος ἐκ τῶν Μουσῶν·

Ἐκ γάρ τοι Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
Ἄνδρες ἀοιδοὶ ἔασιν. [4])

ἀντὶ τοῦ τροφόν· διὰ τὸ ἀποζῆν αὐτὸν ἐξ ὧν ἔγραφεν ἐπινίκων. ἄμεινον δὲ, ὅτι προσηνὴς ἦν αὐτῷ ἡ Μοῦσα, ὥσπερ Ὀδυσσεῖ ἡ Ἀθηνᾶ· [5])

Μήτηρ ὡς Ὀδυσῆϊ παρίσταται ἠδ' ἐπαρήγει·

ἐζήτηται δὲ, πῶς ἐπικαλεῖται τὴν Μοῦσαν ἐλθεῖν εἰς τὴν Αἴγιναν ὑπὲρ τοῦ τὸν ὕμνον ᾀσθῆναι, καὶ ἅμα τοὺς νεανίσκους φησὶ μένειν, δι' οὓς αὐτὴν ἐπικαλεῖται, οὐκ ἐν Αἰγίνῃ ἀλλ' ἐν Νεμέᾳ· ὁ γὰρ Ἀσωπὸς οὐκ ἐν Αἰγίνῃ, ἀλλὰ περὶ Φλιοῦντά ἐστι καὶ Νεμέαν. ὁ μὲν οὖν Ἀρίσταρχός φησιν, ἤτοι τὸν χορὸν ὑπὸ τῆς νίκης τὸ ἱερὸν, αὐτοσχέδιόν τινα ἐπίνικον ᾆσαι, ἢ τὸν Ἀρχιλόχου Καλλίνικον, οὗ καὶ τὸν Πίνδαρον μνημονεύειν διὰ τούτων· [6]) Τὸ μὲν Ἀρχιλόχου μέλος φωνᾶεν, καὶ τὰ ἑξῆς. μεταβάντος οὖν τοῦ χοροῦ εἰς τὴν Αἴγιναν καὶ μέλλοντος ᾄσειν τὸν ὑπὸ τοῦ Πινδάρου πεποιημένον εἰκότως φάναι· Ὕδατι γὰρ μένοντ' ἐπ' Ἀσωπίῳ μελιγαρύων τέκτονες κώμων νεανίαι· ὥσθ' ὃ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν· οἱ γὰρ ἐπὶ τῷ Ἀσωπῷ τὸν αὐτοσχέδιον ὕμνον τεκτηνάμενοι χοροὶ ἀναμένουσί σε ἐν τῇ Αἰγίνῃ ᾀσόμενοι τὸν ὑπὸ Πινδάρου ποιηθέντα ἐπίνικον. ὁ δὲ Δίδυμος διηπατῆσθαί φησι τοὺς ὑπομνηματισαμένους τῇ ὁμωνυμίᾳ τῶν ποταμῶν· οἱ γὰρ Ἀσωποὶ πλείους, ὧν ἕνα φασὶν [7]) εἶναι καὶ τὸν ἐν Αἰγίνῃ· ὁ δὲ Καλλίστρατος Ἀσωπίδα ἐν Αἰγίνῃ. δύναται δὲ καὶ ἐπὶ τοῦ ἐν Βοιωτίᾳ ποταμοῦ Ἀσωποῦ

1) Rom. τετράμετρον. 2) Rom. καὶ Ἴωνος τοῦ ἀπὸ δ. ἀ. εἶτα πάλιν Ἴωνος τοῦ ἀπεμφαίνοντος. 3) Rom. δίμετρον. 4) Hymn. Hom. 24, 2. Cf. ad Pyth. IV, 313. 5) Ilad. ψ, 783. 6) Olymp. IX, 1. 7) Coniicio φησὶν.

Digitized by Google

ἀκούεσθαι ὡς τῶν ἐξ Αἰγίνης χορευτῶν τῷ Πινδάρῳ προσλιπαρούντων ἕνεκα τοῦ γράφειν Ἀριστοκλεῖ τὸν ἐπίνικον. ἱερομηνίᾳ δέ φησι Νεμεάδι, τουτέστι τῇ τῶν ἐπινίκων εὐωχίᾳ. ἱερομηνίαν δὲ λέγουσι κατὰ σύντμησιν τὴν ἱερονουμηνίαν· αἱ γὰρ τῶν μηνῶν ἀρχαὶ ἱεραί εἰσι τοῦ Ἀπόλλωνος, καθὸ ὁ αὐτὸς δοκεῖ εἶναι τῷ ἡλίῳ. λίσσομαι οὖν τὴν Μοῦσαν [1]) ἐν ἱερονουμηνίᾳ ἐλθεῖν Νεμεάδι, ἐν ᾗ μέλλομεν ἡμέρᾳ τὸν εἰς τὴν Νεμεακὴν νίκην ὕμνον γράφειν. § οἱ δὲ ἱερὸν μῆνα καθόλου λέγουσι κεκλῆσθαι, ἐν ᾧ τὰ Νέμεα ἄγεται· ἱερομηνίαι δὲ λέγονται αἱ ἐν τῷ μηνὶ ἱεραὶ ἡμέραι οἱαιδήποτε θεοῖς ἀνειμέναι· τὸν οὖν Δημητριῶνα μῆνά φησι Φιλόχορος ὅλον ψηφίσασθαι [2]) τοὺς Ἀθηναίους ἱερομηνίαν λέγεσθαι, οἷον ὅλον ἑορτήν. ἱερομηνίαν φησὶν ἐν τούτοις· Ἁπάντων ἡμῶν ἀγόντων ἱερομηνίαν. [3]) ἔοικε δὲ ὁ Πίνδαρος νῦν ἱερομηνίαν λέγειν τὴν τῶν ἐπινίκων ἑορτήν· οὐ γάρ ἐστι δημοτελής. § ὁ δὲ νοῦς· ἱκετεύω σε, ὦ ἐντιμοτάτη Μοῦσα, ἡμετέρα μῆτερ, παραγενοῦ μοι εἰς τὴν πολύξενον νῆσον τὴν τῶν Δωριέων τῶν Ἀργείων ἄποικον· ἐν τῇδε τῇ ἱερονουμηνίᾳ τῆς Νεμεάδος ἧκε [4]) εἰς τὴν Αἴγιναν. ἐπὶ γὰρ τῶν ὑδάτων τοῦ Ἀσωποῦ ποταμοῦ, τουτέστιν ἐν ταῖς Θήβαις, προσμένουσιν ἡμᾶς οἱ νεανίαι οἱ τῶν ἡδυτάτων ὕμνων τέκτονες καὶ χορευταί, τὴν σὴν φωνὴν, ὦ Μοῦσα, ἐπιζητοῦντες.

10. *Διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου*] διψῇ δὲ καὶ ἐπιθυμεῖ ἄλλο μὲν ἄλλου πράγματος, ἡ δὲ ἐκ φιλονεικίας ἔρις, ἡ ἀθλονεικία, μάλιστα φιλεῖ τοὺς ἐπαίνους καὶ τοὺς ὕμνους· τῶν γὰρ στεφάνων καὶ ἀρετῶν ἐπιδέξιος καὶ καλλίστη ὀπαδὸς ἡ ᾠδή. § ἡ γὰρ ᾠδὴ καὶ τὸ ἐγκώμιον, φησὶν, ἕπεται ταῖς ἀρεταῖς καὶ τοῖς στεφάνοις τοῖς τοῦ νικηφόρου.

14. *Τᾶς ἀφθονίαν ὄπαζε*] ταύτης οὖν τῆς ᾠδῆς, ὦ Μοῦσα, ἀφθονίαν δίδου ἀπὸ τῆς ἐμῆς διανοίας.

16. *Ἄρχε δ' οὐρανῶ*] Αἰολικῶς ἀντὶ τοῦ οὐρανοῦ. καὶ ὁ μὲν Ἀρίσταρχος Οὐρανοῦ θυγατέρα τὴν Μοῦσαν δέδεκται, καθάπερ Μίμνερμος καὶ Ἀλκμὰν [5]) ἱστοροῦσιν· ὁ δὲ Ἀμμώνιος προστίθησιν, ὅτι διὰ τοῦτο κρέοντα κέκληκε τὸν Οὐρανὸν, ὅτι πρὶν Κρόνον βασιλεῦσαι οὗτος ἐβασίλευσεν. § ἤλλακται δὲ ἡ πτῶσις, ἀντὶ τοῦ τοῦ πολυνεφέλου οὐρανοῦ θύγατερ. [6]) βέλτιον δέ φησιν ὁ ..... [7]) ἀκούειν τὸ ὅλον οὕτω· τοῦ πολυνεφέλου κρέοντος οὐρανοῦ θύγατερ, τοῦ Διός. κρέων γὰρ οὐρανοῦ ὁ Ζεὺς, Διὸς δὲ Μοῦσαι. § ὁ δὲ νοῦς· κάταρχε δὲ αὐτὴ ὦ Μοῦσά μοι καὶ πάρεχε ὕμνον [8]) δόκιμον καὶ κάλλιστον, ὦ τοῦ πολυνεφέλου οὐρανοῦ βασίλεια θύγατερ.

18. *Ἐγὼ δ' ἐκείνων τέ μιν ὀάροις*] ἐκ τῶν νεανίσκων, φησὶ, τῶν μενόντων παρ' ἐμοὶ τὸν ὕμνον κοινῶς ᾄσομαι· μετ' ᾠδῆς γὰρ καὶ λύρας ἀπηγγέλλοντο οἱ ἐπίνικοι. § ὁ δὲ νοῦς· ἐγὼ δὲ ταῖς ἐκείνων τῶν χορευτῶν φωναῖς καὶ ταῖς λύραις κοινῶς τὸν ὕμνον ᾄσομαι.

20. *Χαρίεντα δ' ἕξει πόνον*] ἀμφίβολον πότερον ἡ Αἴγινα τὸν ὕμνον ἕξει τῆς

1) Verba *λίσσομαι οὖν τ. Μ.* de meo addidi. 2) Sic Rom. Conf. Plutarch. Demetr. 12. Fragm. Philoch. p. 92. Dorvill. ad Charit. p. 514. Lips. 3) Sunt verba plebisciti Attici ex Philochoro ducta, ad quem pertinet illud *φησὶν*. 4) Rom. *ἧκεν*; Heynius *ἧκον*. 5) Rom. *Μίμνημος*. Alcmanis fragmentum est 9. p. 24. ed. Welck. 6) Vulgo *θυγατέρα*. 7) Vulgo *ὁ Πίνδαρος*; Heynius coniecit *ὁ Δίδυμος*: sed tutissimum duxi lacunam notare. 8) Addidi *ὕμνον*.

Digitized by Google

χώρας αὐτῆς ὄντα ἄγαλμα, ἢ τὸν πόνον ἕξει, τουτέστε τὸν ὕμνον, χαρίεντα δὲ ἀντὶ τοῦ ἐπίχαριν. [1]) § ἢ οὕτως· ἡ Αἴγινα, ἥτις ἐστὶ χώρας ἄγαλμα, ἕξει μοι τὸν ὕμνον ἐπὶ χάριτι. § Ἄλλως. τὸν δὲ χαρίεντα πόνον τοῦ παγκρατίου διὰ τῶν ὕμνων ἕξει μνημονευόμενον ἡ Αἴγινα ἡ οὖσα ἄγαλμα τῆς περὶ αὐτὴν πάσης χώρας· ἢ χαρίεντα πόνον τὸν ὕμνον ἕξει ἡ Αἴγινα ἡ οὖσα τῆς περὶ αὐτὴν χώρας ἄγαλμα.

21. Μυρμιδόνες ἵνα πρότεροι ᾤκησαν] περὶ τῶν Μυρμιδόνων Ἡσίοδος [2]) μὲν οὕτω φησίν·

Ἡ δ' ὑποκυσαμένη [3]) τέκεν Αἰακὸν ἱππιοχάρμην.
Αὐτὰρ ἐπεί ῥ' ἥβης πολυηράτου ἵκετο μέτρον,
Μοῦνος ἐὼν ἤσχαλλε· πατὴρ δ' [4]) ἀνδρῶν τε θεῶν τε,
Ὅσσοι ἔσαν μύρμηκες ἐπηράτου ἔνδοθι νήσου,
Τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας.
Οἱ δ' ἤτοι [5]) πρῶτον ζεῦξαν νέας ἀμφιελίσσας.

Θεαγένης [6]) δὲ ἐν τῷ περὶ Αἰγίνης οὕτω γράφει· Ἄλλοι δέ τινες πιθανώτερον ἐξηγοῦνται περὶ τούτων. ὀλιγανθρωπούσης γὰρ τῆς νήσου φασὶ τοὺς ἐνοικοῦντας αὐτὴν ἐν σπηλαίοις καταγείοις διαιτᾶσθαι παντελῶς ἀκατασκεύους ὄντας, καὶ τοὺς μὲν γινομένους καρποὺς εἰς ταῦτα καταφέρειν, τὴν δὲ ἐκ τούτων ὀρυττομένην γῆν ἐπὶ τὰ γεώργια ἀναφέρειν, οὔσης ἐπιεικῶς ὑπάντρου καὶ ὑποπέτρου τῆς νήσου, μάλιστα δὲ τῶν πεδινῶν τόπων αὐτῆς. διόπερ ἀφομοιούντων αὐτοὺς, ὡς εἶδον ταῦτα πράττοντας, τῶν ἔξωθεν ἐρχομένων μύρμηξι, Μυρμιδόνας κληθῆναι. μεθ' ὧν συνοικίσαντα [7]) τὸν Αἰακὸν τοὺς ἐκ Πελοποννήσου μεθ' ἑαυτοῦ παραγινομένους, ἐξημερῶσαί τε καὶ νόμους δοῦναι καὶ σύνταξιν πολιτικὴν, ᾗ χρησαμένους αὐτοὺς παντελῶς δοκεῖν ἐκ μυρμήκων γενέσθαι ἀνθρώπους.

23. Ὧν παλαίφατον ἀγοράν] ὧν τῶν Μυρμιδόνων τὴν πάλαι πεφατισμένην, τουτέστιν ὑμνουμένην ἀγορὰν καὶ σύνοδον οὐδαμῶς ὕβρισε καὶ ὀνειδισμοῖς ἐμίανεν Ἀριστοκλείδης, ἀλλὰ τοὐναντίον καὶ προσηύξησεν, ὡς καὶ Ὅμηρος· [8]) Ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν· ἀλλὰ ἰσχυρότατος δηλονότι. § Ἄλλως. διὰ τὸ σὸν, φησὶ, μέρος, ὦ Μοῦσα ἢ ὦ Αἴγινα, ὅ ἐστι τοῦ ὕμνου τυχὼν κατὰ τὴν ἑαυτοῦ μερίδα καὶ σπουδὴν, ὅσον γε [9]) ἀνῆκεν αὐτῷ.

27. Παγκρατίου στόλῳ] στόλῳ μὲν τῇ στάλσει. εἰσὶ δὲ οἱ τὸ παγκράτιον ἀπαρχαΐζοντες καὶ τὸν Θησέα φασὶ τῷ Μινωταύρῳ παγκρατιαστικῶς ἀγωνίσασθαι. Ἀριστοτέλης δὲ Λεύκαρόν φησι τὸν Ἀκαρνᾶνα πρῶτον ἔντεχνον τὸ παγκράτιον ποιῆσαι. § ὁ δὲ νοῦς· τῇ τοῦ παγκρατίου ὁρμῇ, τοῦτο γὰρ λέγει στόλῳ, καὶ ὁρμῇ τῇ περισθενεῖ καὶ πανταχόθεν συνεχομένῃ μαλαχθεὶς καὶ γυμνασθεὶς ἱκανῶς. τῶν δὲ ἐπιπόνων πληγῶν καὶ τῶν ἐκ τοῦ παγκρατίου τραυμάτων τῶν κατὰ τὴν μεγάλην Νεμέαν βοήθημα καὶ ἴαμα ὑγιεινὸν φέρει [10]) τὴν τίκην. ταύτην γὰρ φάρμακον ἔσχε τῶν πληγῶν· οἱ γὰρ νικήσαντες οὐδὲ εἰ τραύματα ἔχουσιν αἰσθάνονται διὰ τὸ ἥδεσθαι.

1) Haec mutila sunt. 2) Fragm. p. 445. 3) Ὑποκυσσαμένη. 4) Addidi δ', ut Heynius voluit. 5) Vulgo δή τοι. Conf. Schol. Olymp. VIII, 22. 6) Olim Θεογένης: sed verior est forma a nobis recepta. De hoc v. Mueller. Aeginet. p. 2. p. 14. et passim. 7) Romana συνοικήσ. 8) Iliad. π, 11. 9) Vulgo τε. 10) Vulgo φέρειν.

Digitized by Google

32. Εἰ δ' ὢν καλὸς, ἔρδων τ' ἐοικότα μορφᾷ] εἰ δὲ τὸ εἶδος ὢν καλὸς ἰσορρόποις τοῦ εἴδους σεμνύνεται πράξεσιν ὁ τοῦ Ἀριστοφάνους παῖς Ἀριστοκλείδης, οὐκέτι οἷόντε ἐστὶ περαιτέρω πλεῖν τὴν μὴ πλεομένην θάλασσαν, ἀλλ' ἄβατον [1]) ὑπὲρ τὰς Ἡρακλείας στήλας τοῖς πλέουσιν. § ἀρκείσθω, φησὶ, τούτοις τοῖς ἀγαθοῖς καὶ τῷ κάλλει καὶ τῷ νικᾶν, καὶ μὴ ζητείτω ἔτι πλείονα ἀγαθά· ὡς γὰρ οὐ δυνατὸν ὑπερθέσθαι τὰς Ἡρακλέους στήλας, οὕτως οὐδὲ τὴν ἀπὸ τούτου δόξαν.

38. Ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας] ὁ Ἡρακλῆς. διατί αὐτὸν ἥρωα καὶ θεὸν εἶπε; λέγεται γὰρ ὅτι τῆς Ἑλλάδος προσελθούσης τῷ Ἀπόλλωνι καὶ ἐρωτώσης, ὅπως δεῖ τιμᾶν τὸν Ἡρακλέα μετὰ τὴν ἀποθέωσιν, εἶπεν ὁ θεός· νῦν μὲν ὡς ἥρωα, τῇ δὲ ἐπιούσῃ ὡς θεόν. § ὁ δὲ νοῦς ὅλος· ἅστινας στήλας ὁ ἥρως καὶ θεὸς Ἡρακλῆς τῆς τελευταίας ναυτιλίας καὶ τοῦ ἐσχάτου πλοῦ ἔστησε περιφανέστατα σημεῖα. ὡς ἐν παρεκβάσει δὲ λέγει ὅτι καὶ ἀνεῖλε θαλάσσια θηρία, οἷον τὸ κῆτος. λέγεται γὰρ ὁ Ἡρακλῆς διαπλεῦσαι τὰ δυτικὰ μέρη καὶ Λιβύην καὶ ἔτι περαιτέρω, καὶ θεασάμενος ἄπειρον τὸ πέλαγος ὅρους τοῦ πλοῦ δύο κίονας ἔστησε, τὸν μὲν ἕτερον ἐν Λιβύῃ, τὸν δὲ ἄλλον εἰς τὸ ἕτερον κλίμα. τὸ δὲ ἐσχάτας [2]) μάρτυρας κλυτὰς ἀμφίβολον, πότερον τῆς ἐσχάτης μάρτυρες ναυτιλίας αἱ στῆλαι, ἢ κατὰ τὸ πληθυντικὸν τὰς ἐσχάτας [3]) μάρτυρας ἐμφανιζούσας ἔθηκεν, ὅτι μέχρις αὐτῶν δεῖ πλεῖν. ἔστι δὲ καὶ περισπᾶσαι τὸ κλυτὰς, ἵν' ᾖ· τῆς κλυτῆς ναυτιλίας ἐσχάτας μάρτυρας τὰς στήλας ἔθηκεν. αἱ δὲ Ἡρακλεῖαι στῆλαι καὶ Βριάρεω λέγονται εἶναι, καθό φησι.....·

Στῆλαί τ' Αἰγαίωνος ἁλὸς μεδέοντι Γίγαντος. [4])

42. Ὑπερόχως ἰδίᾳ τ' ἐρεύνασε τεναγέων] Δωρικῶς ἀντὶ τοῦ ὑπερόχους, οἷον ὑπερέχοντας καὶ μεγίστους. ἡ δὲ ἀπότασις αὐτῷ ἐπὶ τοῦ κήτους τοῦ περὶ τὴν Ἴλιον καὶ τὸν Λαομέδοντα. τὸ δὲ ἰδίᾳ τ' ἐρεύνησεν ἔνιοι γράφουσι διά τ' ἐρεύνασε. διηρεύνησέ τε ἰδίᾳ, ἀντὶ τοῦ ἀφ' ἑαυτοῦ, οὐκ ἐπιτάξαντος Εὐρυσθέως, ἀλλὰ κατὰ τὸ φιλόπονον αὐτὸς δι' ἑαυτοῦ ἠρεύνησεν, ὅθεν ἦν δυνατὸν ἐπανελθεῖν τινας. Καλλίμαχος· [5])

Χαῖρε βαρυσκίπων, ἐπίτακτα μὲν ἑξάκι δοιά,
Ἐκ δ' αὐταγρεσίης πολλάκι πολλὰ καμών,

τουτέστι τὰ πάραθλα. τεναγη δὲ λέγονται αἱ δίυγροι καὶ παραποτάμιοι ὀφρύες, ἤτοι παρατεταμένη τις καὶ ὑπερέχουσα γῆ οὖσα· ἢ ἀπὸ τοῦ τέγγεσθαι, τουτέστι βρέχεσθαι.

45. Καὶ γᾶν φράδασσεν] ἀντὶ τοῦ φραδιτὴν [6]) ἐποίησε καὶ δήλην, ἕως τίνος ἐστὶ πορευτὴ καὶ ἕως τίνος ἡ θάλασσα πλωτὴ, ἐπιστήσας τὰς στήλας αὐτός.

Θυμὲ, τίνα πρὸς ἀλλοδαπὰν] ἐπιλαμβάνεται ἑαυτοῦ ὡς περαιτέρω ἢ προσῆκεν εἰς τοὺς περὶ Ἡρακλέος ἐπαίνους τραπέντος, δέον λέγειν περὶ τῶν προγόνων τοῦ νενικηκότος Αἰακοῦ καὶ Τελαμῶνος· προσεχέστεροι γὰρ οὗτοι Ἡρακλέους τοῦ ἐπαινουμένου ἕνεκεν Ἀριστοκλείδα· ὁ μὲν γὰρ Αἰγινήτης ἐστὶν ὥσπερ Αἰακὸς, ὁ δὲ Ἡρακλῆς Θηβαῖος.

1) Addidi ἄβατον. Alii ἀλλὰ in ἄλα vel ἢ ἄλα mutari volunt; sed additum τοῖς πλέουσι adiectivum ἄβατον aut simile requirit. 2) Addidi ἐσχάτας, in quo cardo argumentationis versatur. 3) Vulgo τῆς ἐσχάτης. 4) Versus est epici poetae ignoti; nam nomen eo loco, ubi lacunam posui, excidisse manifestum est. Vulgo erat: στῆλαι τὴν Αἰγ. Ceterum quid μεδέοντι sit, nescio; an scribendum μεδέουσι, *inhaerant, moderantur, terminum imponunt*? Sed potest etiam dativus esse a verbo pendens, quod versu sequenti continebatur. 5) Fragm. 120. 6) Schneiderus coniicit φραδητήν.

Digitized by Google

ἀλληγορεῖ δὲ πρὸς ἄκραν ἀπευθύνειν λέγων τὸν πλοῦν, ἀπὸ τῶν κυβερνητῶν τῶν ἐχομένων ἄλλων ἀκρωτηρίων ἀλλ' οὐ τῶν προκειμένων, δέον εὐθυπλοεῖν κατὰ λιμένας· τουτέστι, μὴ καὶ τὸν νοῦν περιφέρειν ἔξω τοῦ σκοποῦ τοὺς ἐπαίνους ἄγοντα, ἀλλ' ἐπὶ τὸν ἐπαινούμενον πρέπει. διὸ καὶ ἐποίσει ἐντόπιά τινα καὶ οἰκεῖα· Αἰακῷ σε φημὶ γένει τε Μοῖσαν φέρειν· τὸ ποίημα δεῖ φέρειν, ὦ θυμὲ, Αἰακῷ σε· Αἰγινήτης γὰρ ὁ τε ἐπαινούμενος καὶ Αἰακός. § Ἄλλως. ἀποστρέφει τὸν λόγον πρὸς ἑαυτόν· ἤσθετο γὰρ ἑαυτοῦ παρεκβάντος καί φησι· τίνα πρὸς ἄκραν ἀλλοτρίαν ἐκπλέεις, ὦ θυμέ; ἀντὶ τοῦ διατί τὰ Ἡρακλέος νῦν διηγῇ θαύματα ἐάσας τὰ τῶν Αἰακιδῶν; λέγε μᾶλλον περὶ Αἰακοῦ καὶ τούτου ταῦ γένους· ἢ τῶν πολέμων· καὶ ἐν τούτοις τὴν Μοῦσαν τὴν σὴν, τὸν ὕμνον φέρε.

49. Ἕπεται δὲ λόγῳ δίκας] ἕπεται δὲ τῷ λόγῳ καὶ ἀκόλουθον φαίνεται, ὅστις λόγος τῆς δίκης ἄωτός ἐστι. τί ἕπεται; ὅτι δεῖ τοὺς ἀγαθοὺς πάντας ἐπαινεῖν, ἀλλ' οὐ καλὸν ἐξ ἀλλοτρίων κοσμεῖσθαι. κατ' ἔλλειψιν δὲ εἶπε τὰ πλεῖστα. § Ἄλλως. τὸ ἐσλὸς ἀντὶ τοῦ ἐσλούς· οἷον δίκαιόν ἐστι τοὺς ἀγαθοὺς ἐπαινεῖν. τοῦτο δὲ πρὸς τὸν Αἰακόν φησιν, ὅτι δεῖ αὐτὸν ἐπαινεῖν· ἀγαθὸς γὰρ ἦν. οὐ καλοὶ γὰρ οἱ ἔρωτες, φησὶν, οὐδὲ [1]) ἄρίστη ἡ ἐπιθυμία, τῷ ἀνδρὶ προσάπτειν καὶ προσφέρειν ἔπαινον ἐξ ἀλλοτρίων ἐγκωμίων καὶ μὴ ἰδίων.

53. Οἴκοθεν μάτευε] ἐκ τοῦ ἰδίου τοίνυν γένους ἀνεύρισκε καὶ ἐπιζήτει τὰ ἐγκώμια καὶ μὴ ἀπὸ τοῦ Θηβαίου Ἡρακλέος· πρόσφορον, οἰκεῖον ἔπαινον ἔλαχες καὶ ἔχεις, ὅπερ δὴ γλυκύτατόν ἐστι λέγειν, τὸ ἀπὸ τῶν ἰδίων καλῶν ἐγκωμιάζεσθαι. § ἦ οὔκω· τοῦτο, φησὶν, ἔλαβες ἐκ θεῶν, κοσμεῖν τοὺς ἀξίους, ἵν' ᾖ πρὸς αὐτὸν λέγων. κόσμον γάρ φησι τὸν ἔπαινον.

55. Παλαιαῖσι δ' ἐν ἀρεταῖς γέγαθε Πηλεὺς ἄναξ] ἔτι [2]) πάλαι, φησὶν, ὑμνεῖται ὁ Πηλεὺς καὶ ὑμνεῖτο, οὐ νεωστὶ οὐδὲ ὑπ' ἐμοῦ μόνον. οὐ γὰρ λέγει, ὅτι νῦν γέγηθεν ὁ Πηλεὺς ὡς νῦν πρῶτον ἐπαινούμενος, ἀλλ' ἔτι πάλαι ὑμνεῖτο. τὸ δὲ Ὑπέραλλον αἰχμὰν ταμὼν ἀντὶ τοῦ ἐξαίρετον, ἐξέχουσαν καὶ ὑπερβάλλουσαν. ἀναφέρει δὲ ἐπὶ τὰ Ὁμηρικά· [3])

Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων·

ἀντιτάττεται δὲ τοῖς Ὁμήρου· ὁ μὲν γὰρ ὑπὸ Χειρωνός φησι τμηθῆναι αὐτὴν καὶ δοθῆναι Πηλεῖ, οὗτος δὲ ὑπὸ Πηλέως φησὶ τμηθῆναι. δόξει δὲ ὁ Πίνδαρος διὰ τὸν Αἰγινήτην χαρίζεσθαι τῷ Πηλεῖ· οὐ γὰρ μόνος εἶλε τὸν Ἰωλκὸν, ἀλλὰ μετὰ Ἰάσονος καὶ τῶν Τυνδαριδῶν, [4]) ὡς ἱστορεῖ Φερεκύδης· οὗτος δέ φησιν, ὅτι Πηλεὺς μόνος καὶ τὴν Ἰωλκὸν ἐπόρθησε πολεμήσας πρὸς Ἄκαστον τὸν Πελίου παῖδα.

60. Καὶ ποντίαν Θέτιν κατέμαρψεν] ἀντὶ τοῦ περιεγένετο αὐτῆς τῶν ἐπιβουλῶν· διωκομένη γὰρ ὑπ' αὐτοῦ μετέβαλλε τὰς μορφὰς, ὁτὲ μὲν εἰς πῦρ, ὁτὲ δὲ εἰς θηρία· ὁ δὲ καρτερήσας περιγίγονε. περὶ δὲ τῆς μεταμορφώσεως αὐτῆς καὶ Σοφοκλῆς φησιν ἐν Τρωΐλῳ· [5])

1) Rom. εἰ δέ, et τὸ ἀνδρί. 2) Iterum ἔτι p. ἤδη, neque aliter paullo post. 3) Iliad. τ, 390. 4) Conf. Nicol. Damasc. in Exc. Vales. p. 446. et qui eum compilavit, Suid. v. Ἀτελάντη. 5) Fragm. Brunck. T. III, p. 452.

Digitized by Google

Ἔγημεν ὡς ἔγημεν ἀφθόγγους γάμους,
Τῇ πανταμόρφῳ Θέτιδι συμπλακεὶς ποτε.

καὶ ἐν Ἀχιλλέως ἐρασταῖς· [1])

Τίς γάρ με μόχθος οὐκ ἐπεστάτει; λέων
Δράκων τε, πῦρ, ὕδωρ.

ὅτι δὲ τῷ διαφόρῳ τῆς μορφῆς ἡ Θέτις ὑπέκλεπτε τοὺς πρὸς τὸν Πηλέα γάμους, δημώδης ὁ λόγος· ὥςπερ καὶ ὁ Πρωτεὺς τὴν φύσιν ἤμειβεν.

61. Λαομέδοντα δ' εὐρυσθενὴς Τελαμών] ἀπὸ μὲν τοῦ Λαομέδοντος τὴν πόρθησιν τοῦ Ἰλίου σημαίνει, ἀπὸ δὲ τοῦ Ἰόλα, ὃς ἦν Ἰφικλέους υἱὸς, τὴν Ἡρακλέος στρατηγίαν· τῷ δὲ Ἡρακλεῖ συγκαθεῖλε Τελαμὼν τὴν Ἴλιον. § Ἄλλως. Ἰόλαος Ἡρακλέος ἦν ἡνίοχος· ἐκ συσσήμου οὖν λέγει Ἰόλᾳ, τουτέστι τῷ Ἡρακλεῖ. φησὶν οὖν, ὅτι καὶ ὁ Τελαμὼν παραστάτης ὢν τοῦ Ἡρακλέος ἅμα τῷ Ἰολάῳ ἐπόρθησε τὸν Λαομέδοντα.

64. Καί ποτε χαλκοτόξων Ἀμαζόνων] χρόνῳ δέ τινι καὶ ἐπὶ τὰς πολεμικὰς Ἀμαζόνας ἀπιόντι τῷ Ἡρακλεῖ συνηκολούθησε, φησὶν, ὅτε πρὸς τὴν Ἱππολύτην διὰ τὸν ζωστῆρα ἦλθεν. § Ἄλλως. περὶ τοῦ καὶ ἐπὶ τὰς Ἀμαζόνας συστρατεῦσαι·

Τελαμὼν ἀκόρητος αὐτῆς
Ἡμετέροις [2]) ἑτάροισι φόως πρώτιστος ἔθηκεν
Κτείνας ἀνδρολέτειραν ἀμώμητον Μελανίππην,
Αὐτοκασιγνήτην χρυσοζώνοιο ἀνάσσης.

ἔντοι δέ φασιν, ὅτι καὶ Πηλεὺς αὐτοῖς συνεστράτευσεν, Ἑλλάνικος [3]) δὲ πάντας τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας Ἡρακλεῖ συστρατεῦσαί φησιν.

66. Οὐδέ μίν ποτε φόβος ἀνδροδάμας] τουτέστιν ὁ τοὺς ἄνδρας δαμάζων φόβος· οὐδέποτε δὲ αὐτοῦ τὴν ἀνδρείαν ἐκ τῶν φρενῶν φόβος τις ἔπαυσεν· οὕτω τῇ ἐκ φύσεως εὐδοξίᾳ πᾶς τις ἐπαίρεται καὶ μέγα φρονεῖ. δεῖ οὖν, φησὶ, καὶ τούτους ἐφ' ἑαυτοῖς μέγα φρονεῖν· ἐκ φύσεως γὰρ ἀγαθοί.

71. Ὅς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνήρ] τουτέστιν οὐδέποτε ἀσφαλῶς ἐπέβη τοῖς καλοῖς, καταψευδόμενος τῆς ἐλπίδος πολλῶν ἀρετῶν ἀτελῶς ἅπτεται. ὡς Ὅμηρος· [4])

Ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἴζει.

§ Ἄλλως. οὐ διαπαντὸς διομαλίζων, ὡς ὁ ἐκ φύσεως τὸ ἀγαθὸν περιπεποιημένος, ἀλλὰ νῦν μὲν ἐπιτυγχάνων, νῦν δ' οὔ. ὁ γὰρ φυσικὴν μὲν οὐδεμίαν ἔχων ὁρμὴν οὐδὲ εὐφυΐαν, διδακτὰ δὲ πάντα, οὗτος οὐδέποτε ἐφ' ἓν ὁρμήσας συνετέλεσεν, ἀλλ' ἐπὶ πολλὰς ἀρετὰς ἐρχόμενος ἀπογεύεται μόνον. § ἢ οὕτω· διομαλίζει, οὐκ ἐπιβαίνει, οὐκ ἐπὶ τὸ αὐτὸ πρᾶγμα ἵσταται. ὁ δὲ Δίδυμος· οὐδέποτε καταβὰς ἐπὶ πρᾶγμα ἵσταται, ἐνέμεινεν ἐπ' αὐτοῦ καὶ ἐνεκαρτέρησεν, ἀλλ' εἰς πολλὰ καὶ ἄλλα μετατρέπει. § ὁ δὲ νοῦς· ὅςτις ἐξ ἐπιτηδεύσεως καὶ μαθήσεως ἔχων τὰ καλὰ, σκοτεινός ἐστι καὶ οὐχ ὁμοίως ἐκλάμπων, οὐκ ἀεὶ τὰ αὐτὰ φρονῶν ἀλλ' εὐμαρῶς μεταβαλλόμενος διὰ τὸ σαθρὸν τῆς ἐπιτηδεύσεως ἀφ' ἑτέρων εἰς ἕτερα.

1) Ibid. p. 404. 2) Vulgo ἡμετέρας: correxit Heynius. 3) In Troicis. 4) Iliad. ν, 281.

Digitized by Google

75. Ξανθὸς δ' Ἀχιλλεὺς, τὰ μὲν μένων Φιλύρας ἐν δόμοις] ἀπὸ τῆς μητρὸς, ἀντὶ τοῦ ἐν τοῖς τοῦ Χείρωνος ἀκουστέον· παρὰ μὲν γὰρ Ὁμήρῳ μόνον παιδεύεται διδασκόμενος τὴν ἰατρικὴν, παρὰ δὲ τοῖς νεωτέροις καὶ τρέφεται παρὰ Χείρωνι. § ὁ δὲ νοῦς· ὁ δὲ Ἀχιλλεὺς τὰ μὲν παῖς ὢν ἄθυρεν ἐν τοῖς οἴκοις τῆς Φιλύρας, καὶ ταῦτα δὲ μεγάλα καὶ συνεχῶς κατειργάζετο ὀξείαις βολαῖσι μάχας, τῶν γενναιοτέρων ζώων, λεόντων τε καὶ συῶν ἀγρίων πλῆθος ἀναιρῶν. διαπαντὸς δὲ ὁ Πίνδαρος μᾶλλον τὰ ἐκ φύσεως ἀγαθὰ τῶν ἐκ διδασκαλίας παραγινομένων προκρίνει. τὸ δὲ βραχυσίδαρον ἄκοντα πάλλων φησὶν, ἤτοι καθὸ βραχυσίδαρός ἐστιν ἡ ἀκὴ πρὸς τὸ ξύλον τοῦ δόρατος συγκρινομένη, ἢ ἐπεὶ παῖς ἦν ὁ Ἀχιλλεὺς, ἀνάλογον εἶχε τῇ ἡλικίᾳ βραχυσίδηρον ἄκοιτα, τουτέστι παιδικῷ δόρατι ἐχρήσατο. ἀκαταλλήλως δὲ ἐξενήνοχεν· ἔδει γὰρ εἰπεῖν, λεόντων ἀγροτέρων μάχας ἐνήργει, ἢ λεόντεσσιν ἀγροτέροισιν.

82. Σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον] τῷ δὲ αὐταῦ σώματι ἐνεργῶν [1]) ὁ Ἀχιλλεὺς ἄσθματος πλήρης ἑξέτης ὢν κυνηγῶν θῆρας ἐφόρει παρὰ Κρονίδην Κένταυρον, ἤτοι τὸν Χείρωνα· ἐκ Κρόνου γὰρ καὶ Φιλύρας, ὡς καὶ Ἀπολλώνιος ἐν τῷ δευτέρῳ [2]) μαρτυρεῖ.

85. Ὅλον δ' ἔπειτ' ἂν χρόνον τὸν ἐθάμβεον] τουτέστι τὸν ἅπαντα βίον τοῦτο ἐνήργει, καὶ τῶν ἀνδραγαθημάτων αὐτὸν ἐθαύμαζον.

88. Κτείνοντ' ἐλάφους ἄνευ κυνῶν] τὴν ἰσχὺν καὶ τὴν ταχυτῆτα αὐτοῦ διὰ τούτων παρίστησι· ποδώκης γὰρ ἦν. ἔτι τε σὺν τῷ μηδὲ κύνας ἔχειν μηδὲ λίνα περιεπήγνυ, οἷς δολώσειε [3]) τοὺς θῆρας· οὕτως ἦν ἴσος ἀνέμοις. ἔρκεα δὲ τὰ λίνα φησὶ, τὰ περιφράγματα. δολίων δὲ, ὅτι θηρῶντες τοὺς θῆρας τὰ λίνα λάθρα ἱστᾶσιν. ὅτι δὲ ποδώκης ἦν Ἀχιλλεὺς, καὶ Ὅμηρος μαρτυρεῖ λέγων· [4]) Πόδας ὠκὺς Ἀχιλλεύς.

92. Ἔπος ἔχω βαθυμῆτα Χείρων] ὅτι δὲ ἐτράφη παρὰ τῷ Χείρωνι ὁ Ἰάσων, Ἡσίοδός φησιν· [5])

Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰάσονα, ποιμένα λαῶν,
Ὃν Χείρων ἔθρεψ' [6]) ἐνὶ Πηλίῳ ὑλήεντι.

ἀλλὰ καὶ ὁ Ἀσκληπιὸς παρὰ Χείρωνι, φησὶν, ἐτράφη, ὡς καὶ Σωκράτης ὁ Ἀργεῖός φησιν.

95. Τὸν φαρμάκων δίδαξε μαλακόχειρα] τουτέστι τὸν πρᾳοτάτην καὶ ὑγιαστικὴν ἔχοντα τὴν διὰ τῶν χειρῶν ἐπιμέλειαν. νομὸν δὲ τὴν διανέμησιν τῶν φαρμάκων καὶ τὴν ἐμπειρίαν λέγει.

97. Νύμφευσε δ' αὖθις] ἐγαμοστόλησε τῷ Πηλεῖ, φησὶν, ὁ Χείρων τὴν Θέτιν· ὑπεδέξατο γὰρ τοὺς θεοὺς ἐπὶ τὴν δαῖτα. τὸ δὲ αὖθις οὐκ ἐκ δευτέρου, ἀλλὰ μετὰ ταῦτα· ἐναντίον γὰρ, εἰ ὡς πρός τι λαμβάνοιτο.

98. Γόνον τέ οἱ φέρτατον ἀτίταλλε] τουτέστιν ἔτρεφεν ἐν τοῖς ἁρμοδίοις καὶ προσήκουσι τὴν Ἀχιλλέως παιδεύων ψυχήν.

101. Ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθείς] εἰς ταῦτα, φησὶν, ἀτίταλλε τὸν Ἀχιλλέα ὁ Χείρων ἁρμοστὰ αὐτῷ πάντα παρέχων, ἵνα πλεύσας εἰς Ἴλιον τὴν δορίκτυπον ἀλαλὰν τῶν Λυκίων ὑπομένῃ. τοῦτο δὲ οἱ μὲν [7]) εἰς τὴν μάχην τῶν

[1]) Vulgo ἐνεργῷ. Correxit Heynius. [2]) Vs. 1243. [3]) Vulgo δολώσει. [4]) Iliad. α, 58. [5]) Fragm. p. 444. [6]) Vulgo Χείρων θρέψεν. [7]) Hoc loco delevi ἁπλῶς ab Heymo uncis inclusum.

Digitized by Google

Λυκίων, οἱ δὲ ἁπλῶς εἰς τὴν Τροίαν ἤκουσαν, ἵνα ἡ ὑπὸ ἀντὶ τῆς εἰς κέηται· οἱ δὲ ἔξωθεν τὸ χώραν προσυπήκουσαν, ἵν' ᾖ· ὑπὸ Τρῴαν χώραν.

106. Καὶ ἐγχεσιφόροις ἐπιμίξαις] τουτέστι καὶ ἵνα τοῖς Αἰθίοψι τὰς χεῖρας ἐμπήξαι καὶ καθίκοιτο τῆς ψυχῆς αὐτῶν διὰ τοῦ πολεμεῖν. § ἢ ἐπὶ τῶν αὐτοῦ φρενῶν τοῦ Ἀχιλλέως δεκτέον τὸν λόγον, ἵνα ἑαυτοῦ τὰς χεῖρας πήξαιτο, πεπηγυίας παράσχοι [1]) ταῖς φρεσὶν, ἵνα ὃ διανοηθῇ ταῖς φρεσὶν, ὑπηρετηθῇ [2]) διὰ τῶν χειρῶν. ἐνίοτε γὰρ ἐπιθυμοῦμέν τι κατορθῶσαι, μὴ ὑπηρετούμενοι ταῖς χερσίν. ὁ δὲ Ἀχιλλεὺς ἐτράφη, ἵν' ὅπερ ἂν διανοηθῇ, δυνηθῇ διὰ τῶν χειρῶν κατεργάσασθαι· ἵν' οὖν καθίκοιτο αὐτῶν τὸν βασιλέα Μέμνονα ἀνελών.

112. Τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν] τὸ φέγγος καὶ ἡ δόξα τῶν Αἰακιδῶν τηλαυγής ἐστιν αὐτόθεν, ἐξ ὧν εἶπον νῦν ἔργων ἢ ἐκ τῆς Ἰλίου· ἠρίστευσαν γὰρ ἐπὶ τῆς Ἰλίου οἱ Αἰακίδαι· ἢ καὶ τρίτον ἐπὶ τῆς Αἰγίνης· διὰ τὸ Αἰγινήτας εἶναι ἀναφέρων τὸν ἔπαινον ἐπὶ τὸν ἀθλητὴν ἐκ τῆς Αἰγίνης φησὶν αὐτῷ ῥῆσθαι τὸ κλέος.

114. Ζεῦ, τεὸν γὰρ αἷμα] τεχνικώτατα τῷ Διὶ προσοικειοῖ τὸν νικηφόρον, πρῶτον μὲν ὅτι πρόγονος τῶν Αἰακιδῶν ὁ Ζεὺς, δεύτερον δὲ ὅτι τοῦ Νεμεαίου ἀγῶνος ἔφορος ὁ Ζεὺς, καθ' ὃν ὁ Ἀριστοκλείδης ἐνίκησεν. ἀνάκειται δὲ Διὶ καὶ ὁ Νεμεακὸς ἀγών. § Ἄλλως. πιθανῶς, ἐπεὶ παρεκβέβηκεν ἐπὶ τοὺς Αἰακίδας ὑμνήσας αὐτῶν τὸ κλέος, βούλεται πάλιν ἐπανελθεῖν ἐπὶ τὸν ὕμνον τοῦ ἀθλητοῦ οὐκ ἀπρόσλογον ἀπόσπασμα ποιήσας· ἐκ τοῦ σοῦ γένους ἐστὶ, φησὶν, ἡ ἀρετὴ τῶν Αἰακιδῶν. διατί; σὺ γὰρ ἀρχηγέτης εἶ τοῦ γένους αὐτῶν.

Τεὸν γὰρ αἷμα, σέο δ' ἀγών] τὰ γὰρ Νέμεα σά ἐστι· Νεμεονίκης δὲ ὁ ὑμνούμενος. § ὁ δὲ νοῦς· ἀπὸ σοῦ τηλαυγὲς ἔχουσι τὸ γένος οἱ Αἰακίδαι. σὺ γὰρ ἀρχηγέτης τοῦ γένους αὐτῶν, σός τε ὁ ἀγὼν τῶν Νεμέων.

116. Ἐπιχώριον χάρμα πελαδέων] τὸ ἐπιχώριον καὶ ἴδιον αὐτῶν τῶν Αἰγινητῶν χάρμα καὶ ἡδονὴν ἀνυμνῶν τὸν νικηφόρον· ἡ δὲ βοὴ τῶν ὑμνούντων νέων σὺν τῷ νικηφόρῳ Ἀριστοκλείδᾳ πρέπει, ἤτοι ἐκπρεπὴς ὑπάρχει. ἔν τισι δὲ γράφεται σὺν τῷ ῑ τὸ βοᾷ, προσληψόμεθα δὲ ἔξωθεν τὴν σὺν πρόθεσιν, ἵν' ᾖ· σὺν βοᾷ νέων ὁ ὕμνος ἐκπρεπής ἐστιν. § ἢ οὕτως· ἡ δὲ βοὴ τοῦ ὕμνου συμπρέπει τῷ νικηφόρῳ τῷ Ἀριστοκλείδᾳ.

119. Ὅς τάνδε νᾶσον εὐκλεεῖ προσέθηκε λόγῳ] ὃς τὴν Αἴγιναν εὐκλεοῦς λόγου προσθήκην ἐποίησε λαβεῖν δι' ἑαυτοῦ· καὶ γὰρ ἄλλοι ἔμπροσθεν εὔκλειαν αὐτῇ περιεποίησαν, καὶ αὐτὸς δὲ δι' ἑαυτοῦ προσέθηκέ τι εἰς εὔκλειαν αὐτῇ καὶ σεμνότητα. τὸ δὲ Θεάριον τόπος ἐν Αἰγίνῃ δημόσιος, ἔνθα τὰ συμπόσια· εἴρηται ἀπὸ τῶν θεωρῶν τῶν εἰς Ἀπόλλωνα πεμπομένων. § Ἄλλως. ἔστιν ἐν Αἰγίνῃ Πυθίου Ἀπόλλωνος ἱερὸν, ἐν ᾧ οἱ θεωροὶ διῃτῶντο οἱ τὰ θεῖα φυλάσσοντες· θεωροὶ γὰρ οἱ θεοφύλακες. οἱ δὲ, ὅτι ἐν τῷ τοῦ Πυθίου Ἀπόλλωνος ἱερῷ οἰκός ἐστι καλούμενος Θεάριον διὰ τὸ τοὺς ἄρχοντας, οὓς καλοῦνται θεωροὶ, ἐνταῦθα διαιτᾶσθαι. συνέζευξεν οὖν, φησὶ, λόγῳ εὐσεβεῖ καὶ τὸ Θεάριον, ταῖς ἀγλααῖς καὶ καλαῖς αὐτοῦ μερίμναις. οἱ δὲ, ταῖς ἐμαῖς μερίμναις καὶ τοῖς ἐμοῖς ποιήμασι συνέζευξε τῷ εὐκλεεῖ λόγῳ, φασίν.

122. Ἐν δὲ πείρᾳ] ἐν τῷ πειραθῆναι, φησὶν, ἑκάστου τὸ τέλος διαφαίνεται·

1) Vulgo παράσχῃ. 2) Debebat optativus esse: sed nihil muto neque hic neque in proxime sequentibus verbis.

Digitized by Google

οὐκ ἔστι γὰρ γνῶναι τὸν ἀνδρεῖον, ἐὰν μὴ ἑτέρῳ συμβάλῃ καὶ περιγένηται. § ἢ οὕτως· ὅστις ἂν ἔξοχος γένηται, τούτου τὸ τέλος ἐν τῇ πείρᾳ ἀποδείκνυται. τοῦτο δὲ ὡς πρὸς τὸν ἐγκωμιαζόμενον, ὅτι οὐκ ἄχρι λόγου τὰ προσόντα αὐτῷ δείκνυσιν.

127. Ἐν παλαιτέροισι] προσληπτέον ἔξωθεν παλαιός. λέγει δὲ οὐχ ὅτι γέρων ἦν τὴν ἡλικίαν, οὐδὲ γὰρ παῖς· ἀλλ' ὡς ὁ Τραγικός, [1])

Καὶ παιδὶ καὶ γέροντι προσφέρων τρόπους,

πάσῃ ὁμιλῆσαι ἡλικίᾳ δυνάμενος καθ' ἕκαστον μέρος τῆς ἡλικίας. § Ἄλλως. λείπει τὸ ἐπίστασαι. φησὶ δὲ, ὅτι πρὸς πᾶσαν ἡλικίαν ἁρμοδίως προσοικειοῖ ἑαυτόν. § ἢ οὕτως· ἐπίσταται ὁ νικηφόρος ἕκαστον μέρος τῶν προλεχθεισῶν ἡλικιῶν, οἷον μέρος ἐλάχομεν τὸ βρότειον ἔθνος.

129. Ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετάς] Ἀρίσταρχος· τρεῖς μὲν τὰς καθ' ἡλικίαν, ἃς προεξηρίθμηται, τὸ ἐν παισὶν εἶναι παῖδα, καὶ τὸ ἐν ἀνδράσιν ἄνδρα, καὶ τὸ ἐν παλαιοτέροις παλαιότερον. καὶ τετάρτην δέ φησιν ἐλᾶν ἀρετὴν τὸν τῶν ἀνθρώπων βίον. τετάρτη οὖν ἐστιν ἀρετὴ αὕτη πρὸς αἷς εἴρηκεν, ὡς δεῖ περὶ τοῦ παρόντος φροντίζειν καὶ μὴ περὶ τῶν ἐσομένων πάντων, ἀλλὰ πρὸς τὸ παρὸν δύνασθαι ἁρμόζεσθαι. ὁ θνητὸς αἰὼν καὶ τετάρτην ἀρετὴν ταύτην φέρει, τὸ καὶ περὶ τοῦ ἐνεστῶτος φροντίζειν· ὧν οὐκ ἄπεστιν ὁ Ἀριστοκλείδης, ἀλλὰ πρὸς ταῖς τρισὶ, φησὶν, ἃς προκατείληχε, κέκτηται καὶ ταύτην, τουτέστι τοῦ παρόντος φροντίζειν· ἢ ἐν ταὐτῷ ἔχει, ἅπερ οἱ ἄλλοι κατὰ μέρη ἔχομεν. Ἐνέπει δὲ ἀντὶ τοῦ διδάσκει τὸ παρὸν σκοπεῖν εὖ τίθεσθαι. [2])

132. Χαῖρε φίλος· ἐγὼ τόδε τοι πέμπω] ἐπεὶ ἴσως οἱ προπίνοντες ἔλεγον τὸ Χαῖρε, ὡς τὸ Χαῖρ' Ἀχιλεῦ. [3]) κἀγὼ τόδε τοι πέμπω, φησὶ, μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι, τὸν ὕμνον λέγω. τῇ ὁμοιότητι δὲ χρῆται τῇ ἀπὸ τοῦ μέλιτος καὶ γάλακτος μεταφορᾷ ἐπὶ τοῦ ποιήματος, καθὸ ἀποδέχεται τὰ φύσει γράφων ποιήματα τῶν ἐκ πόνου· τὸ γὰρ γάλα φύσει παρέπεται ταῖς τικτούσαις, τὸ δὲ μέλι μετὰ πόνου αἱ μέλισσαι ἐργάζονται. ἀλληγορικῶς οὖν τὸν ὕμνον φησὶ, τὸ καλὸν καὶ ἡδύτατον αὐτοῦ ἐπιδεικνύμενος.

135. Κιρναμένα δ' ἔερσ' ἀμφέπει πόμ' ἀοίδιμον] ἡ δρόσος, φησὶν, ἡ τοῦ μέλιτος κιρναμένη πρὸς τὸ γάλα ποιεῖ τὸ πόμα ἀοίδιμον, καὶ τὸ ποίημα μιχθὲν αὐλοῖς γίνεται καὶ αὐτὸ θαυμάσιον· οἷον ὡς τὸ γάλα τῷ μέλιτι μιχθὲν χρηστὸν γίνεται, οὕτω καὶ τὸ ποίημα τοῖς αὐλοῖς ἐγκραθὲν προσηνὲς γίνεται. τὸ δ' Αἰολίσιν, ἤτοι ὡς τῇ Αἰολίδι ἁρμονίᾳ γεγραμμένων τῶν ποιημάτων, ἢ καθὸ τῷ γένει ἐστὶν Αἰολεὺς ὡς Βοιωτός. § ἢ οὕτω· τοῖς Δωρίοις φθόγγοις. § Αἰολεὺς γὰρ ἄνωθεν ὁ Πίνδαρος, ὅτι οἱ κατ' αὐτὸν Θηβαῖοι Αἰολέων ἄποικοι τυγχάνουσιν ὡς ἀπὸ Αἰόλου τοῦ Ἀθάμαντος παιδός.

138. Ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς] ὡς μετὰ πολὺν χρόνον τῆς νίκης γεγραμμένου τοῦ ποιήματος τῆς βραδύτητος ἕνεκεν ἱκανῶς καὶ τὴν εἰκόνα παρείληφεν. § ἢ οὕτως· εἰ καὶ ὅλως ὀψὲ, φησὶ, γέγραπταί μοι τὸ ποίημα, ὅμως ὡς ἀετὸς ταχέως προελθὼν ἤγρευσέ τι καὶ συνήρπασεν, οὕτως ἐγὼ τὰ πράγματα ταχέως συνήρπακα καὶ γέγραφα.

143. Κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται] οἱ δὲ ἀντίτεχνοί μου, φησὶ,

[1]) Euripides opinor. [2]) Vulgo σκοπεῖν ἐπίθεσθαι. Partim ex Heynii sententia emendavi, quocum malim etiam θέσθαι. [3]) Iliad. ι, 225.

Digitized by Google

κολοιοῖς ἐοίκασι, κραυγάζοντες μόνον καὶ ταπεινὰ νεμόμενοι, οὐ δύνανται δὲ διαίρεσθαι εἰς ὕψος. δοκεῖ δὲ ταῦτα τείνειν εἰς Βακχυλίδην· ἦν γὰρ αὐτοῖς καὶ ὑφόρασις [1]) πρὸς ἀλλήλους. παραβάλλει δὲ ἑαυτὸν μὲν ἀετῷ, κολοιῷ δὲ Βακχυλίδην.

145. Τίν γε μὲν εὐθρόνου Κλεοῦς ἐθελοίσας] τῆς Κλειοῦς τῆς Μούσης οὐ λειφθήσεσθαί [2]) φησι, τῶν γεγραμμένων ἐπινίκων συλλαμβανομένης αὐτῷ καὶ χάριν τοῦ λήματος τοῦ ἀθλοφόρου ἐκ τῆς Νεμέας καὶ ἐξ Ἐπιδαύρου καὶ ἀπὸ Μεγάρων. φασὶ γὰρ καὶ ἐν Ἐπιδαύρῳ αὐτὸν νενικηκέναι. τίθεται δὲ ἐν Ἐπιδαύρῳ ἀγὼν Ἀσκληπιῷ, τῶν Ἀσκληπιαδῶν πρώτων θέντων, μετὰ ταῦτα δὲ Ἀργείων [3]) διὰ πενταετηρίδος· τίθεται δὲ ἐν τῷ ἄλσει τοῦ Ἀσκληπιοῦ, ἄγεται δὲ μετὰ ἐννέα ἡμέρας τῶν Ἰσθμίων· τὰ Μέγαρα [4]) δὲ προάγεται εὐθέως ἔαρος ἀρχομένου. τὸ δὲ δέδορκε φάος, τουτέστι λελάμπρυται ἡ δόξα τοῦ νενικηκότος καὶ ἐν Νεμέᾳ. βουλομένης οὖν, φησὶ, τῆς Μούσης Κλειοῦς λάμπει σου ἡ ἀρετή.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Δ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τετάρτου τῶν Νεμέων εἴδους.

Τῆς τετάρτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' δίμετρον ἰαμβικὸν βραχυκατάληκτον. Τὸ β' δίμετρον ἀντισπαστικὸν βραχυκατάληκτον. Τὸ γ' ὁμοίως τῷ α'. Τὸ δ' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' ὁμοίως τῷ α' καὶ γ'. Τὸ ς' περίοδος διπλοῦς τροχαῖος, ἢ Γλυκώνειον. Τὸ ζ' ἰαμβικὸν πενθημιμερές. Τὸ η' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' Ἰωνικὸν ἑφθημιμερές. Τὸ ι' τροχαϊκὸν ἐπίτριτον, ἢ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' ἰαμβικὸν πενθημιμερὲς, ἢ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, [5]) βραχείας τῆς ἀρχούσης ἀδιαφόρου οὔσης. Τὸ ιβ' περίοδος ἰαμβικὴ ἀπὸ βακχείου, [6]) ἢ Γλυκώνειον λελυμένον. Τὸ ιγ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς ὁμοίως κώλων ιγ', ἅτινα ὅμοιά ἐστι πάντα τοῖς κώλοις τῆς στροφῆς καὶ ἀντιστρόφου.

---

1. Ἄριστος εὐφροσύνα] ὁ λόγος· τῶν πόνων κρίσιν λαβόντων καὶ συντελεσθέντων ἡ εὐφροσύνη ἰατρός ἐστιν ἄριστος. § ἢ τὸ ἄριστος ἀντὶ τοῦ ἀρίστη· ὅταν [7])

1) Sic Schneiderus. Olim φόρασις. 2) Rom. ληφθήσεσθαι. 3) Hoc loco delevi Ἀσκληπιῷ. Sed verba διὰ πενταετηρίδος coniicio olim fuisse post ἄγεται δέ. 4) Fortasse Μεγαρικὰ vel Μεγαροῖ. 5) Rom. πενθημ. ἐπιωνικῷ διμέτρῳ βραχείας τῆς ἀρχ. 6) Sic Rom. 7) Vulgo ἢ ὅταν.

Digitized by Google

πονήσας τις νικήσῃ, ἔχει τὴν εὐφροσύνην ἀρίστην ἰατρόν. § ἢ οὕτως· ἡ ἀρίστη εὐφροσύνη τῶν τετελειωμένων καὶ πεπληρωμένων πόνων καὶ σπουδασμάτων ἰατρός ἐστιν.

3. Αἱ δὲ σοφαὶ Μοισᾶν θυγατέρες] αἱ δὲ σοφαὶ θυγατέρες τῶν Μουσῶν, ᾠδαὶ καὶ ἔπαινοι ἁπτόμενοι αὐτῶν τῶν πόνων, οἳ διὰ τοῦ θαυμάζειν ἡδονῆς πληροῦσι καὶ εὐφροσύνης, ἔθελξάν νιν. τὸ νὶν Ἀρίσταρχος ἐπὶ τῆς εὐφροσύνης ἀκούει, ὥστε εἶναι τὸν λόγον· αἱ δὲ τῶν Μουσῶν θυγατέρες αἱ ᾠδαί, τουτέστι τὰ ποιήματα, ἁπτόμεναι αὐτὴν τὴν εὐφροσύνην ἔθελξαν τὴν τοῦ ἀνθρώπου, ὅταν ἐγκωμιάζηται. ἔστι δὲ ἄκυρον· οὐ γὰρ θέλγεται εὐφροσύνη, αὐτὴ θέλγουσα τοὺς νενικηκότας, οὐχ ὑπ' ἄλλου θελγομένη. ἄμεινον δέ, φησὶν ὁ Δίδυμος, ἐπὶ τῶν πόνων ἀκούειν τὴν νίν· οἱ γὰρ μεθ' Ὅμηρον οὐκ ἀκριβεύουσι τὴν ἀντωνυμίαν. ὡς καὶ Εὐριπίδης· [1])

Τοιγάρ νιν [2]) αὐτὰς ἐκ δόμων οἴστρησ' ἐγώ.

ὥστε τὸν λόγον εἶναι τοῦτον· αἱ ᾠδαὶ ἔθελξαν αὐτοὺς τοὺς πόνους, ἁπτόμεναι αὐτῶν· οἷον θέλγουσι τὴν κακοπάθειαν ὑμνοῦσαι αἱ ᾠδαί.

6. Οὐδὲ θερμὸν ὕδωρ τόσσον γε μαλθακά] οὐδ' οὕτω τὰ θερμὰ λουτρὰ, φησὶ, μαλακύνει κεκμηκότα γυῖα καὶ πεπονημένα, ὅσον ἡ εὐλογία. [3]) § ὁ δὲ νοῦς ὅλος· οὐκ ἂν δὲ τοσοῦτον ἀπὸ θερμοῦ ὕδατος ἢ βαλανείου χαλασθείη καὶ μαλαχθείη σῶμα κεκμηκὸς, ὅσον ὑπὸ τῶν ἐπαίνων· ἧς μάλιστα τῆς εὐφημίας τῆς διὰ τῆς κιθάρας ἡδονὴ συνάορος, οἷον συμφερομένη, κοινωνοῦσα.

10. Ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει] παντὸς ἔργου χρονιώτερόν ἐστι τὸ ῥῆμα, τουτέστιν ὁ ὕμνος· οἷον πάντα τὰ λεγόμενα ἢ γραφόμενα χρονιώτερά ἐστι τῶν ἔργων. τὰ μὲν γὰρ ἔργα τῷ γεγονέναι παρῆκει, τὰ δὲ γραφόμενα αἰώνια παραδίδοται. ποῖα δέ; ἃ ἂν μετὰ τῆς ἐκ Χαρίτων τύχης τεχθῇ ἐκ τῆς γλώττης ἑκάστῳ· ὡς ἐάν γε χωρὶς Χαρίτων γράφηται ὁ λόγος, ἀπόλωλε καὶ ἔσβεσται, ἐὰν δὲ μετὰ Χαρίτων, μένει πρὸς αἰῶνα εὔδια. [4]) καὶ Καλλίμαχος· [5])

Ἔλλετε νῦν, ἐλέγοισι δ' ἐνιψήσασθε λιπώσας
Χεῖρας . . . ἵνα μοι πουλὺ μετοῦσιν ἔτος.

ὁ δὲ νοῦς· ὁ γὰρ διὰ τῶν λόγων ἔπαινος αὐτῶν τῶν καλῶς πεπραγμένων μακρότερον διασώζεται καὶ μνημονεύεται, ὅσπερ ἂν μάλιστα λόγος καὶ ἔπαινος τετυχηκὼς Χαρίτων λέγηται ἐκ διανοίας συνετῆς.

14. Τό μοι θέμεν Κρονίδᾳ τε Διὶ καὶ Νεμέᾳ] ἐμοὶ εἴη ποιῆσαι· τὸ γὰρ εἴη οὕτως ἀναβιβαστέον· εἴη μετὰ τῶν Χαρίτων γράφειν. τὸ δὲ προηγούμενον τοῦ κώμου προκώμιον εἶπεν, ἐπειδὴ κωμάζουσιν ᾄδοντες τὸ ποίημα· προκώμιον οὖν τὸ πρὸ τοῦ κώμου γραφόμενον. δύναται καὶ οὕτω, φησὶν ὁ Δίδυμος· παντὸς τοῦ ποιουμένου εἰς αὐτὸν ὕμνου τοῦτο τὸ ῥῆμα προκώμιον εἴη, οἷον προοίμιόν τι τοιοῦτον γένοιτο τῶν

1) Bacch. 32. 2) Vera lectio est νυν, de quo vide Valck. Diatr. p. 153. 3) Hic delevi vocem ἀφίησιν, quae nata videtur ex usitato φησίν. 4) Hemst. ad Callim. T. I, p. 490. Ern. volebat ἀΐδια: sed obest praecedens πρὸς αἰῶνα. 5) Fragm. 121. Romana ἔλλᾶτε; ἔλλετε, etsi a Bentleio male expositum, locum satis tuetur, nec me movet coniectura Valckenarii ad Callim. p. 276. εἰ δ' ἄγε νῦν ἐλέγοισιν ἐν. Post χεῖρας excidit vocula, Toup. in Suid. P. III, p. 438. supplet ἐμοῖς; sed Hemst. et Valck. scribunt: χεῖρας, ἵν' εὔφημοι. Pro πουλὺ Rom. πολύ; eadem μένουσιν, quod correxit Toupius.

Digitized by Google

εἰς αὐτὸν γραφησομένων ὕμνων ὑπ' ἐμοῦ, νικῆσαι καὶ ἄλλους ἀγῶνας· ἵνα τῶν ἑξῆς ἑπομένων ἐπινικίων [1]) ὁ νῦν γραφόμενος λέγηται πρὸ παντὸς κώμου γεγονώς. δύναται δὲ καὶ οὕτω· τῶν γραφησομένων αὐτῷ ὕμνων ὑπ' ἄλλων ὁ ἐμὸς ἂν εἴη προκώμιον. ὁ δὲ νοῦς· ὅνπερ δὴ λόγον καὶ ἔπαινον γένοιτο νῦν ἐμοὶ θεῖναι καὶ πληρῶσαι προκώμιον τῷ τε Διὶ καὶ αὐτῇ τῇ Νεμέᾳ καὶ τῇ Τιμασάρχου πάλῃ. § Ἄλλως. ὕμνου προκώμιον εἶπε διὰ τὸ ὑπὸ χορευόντων μὲν λέγεσθαι τὸν ὕμνον νεωτέρων τινῶν, πρὸ δὲ τῆς τούτων χορείας καὶ κωμασίας γραφῆναι ὑπὸ τοῦ ποιητοῦ αὐτόν. ὁ δὲ λόγος· γένοιτό μοι ἐπιτυχεῖν πρὸ τοῦ κωμάζειν τοὺς ἐπαίνους γράφοντι.

18. Δέξαιτο δ' Αἰακιδᾶν εὔπυργον ἔδος] ῥῆμα ὃ προείρηκε, Ῥῆμα δ' ἐργμάτων χρονιώτερον, τὸ ῥῆμα τοῦτο τὸ εὔπυργον τοῦ Αἰακοῦ ἔδος δέξαιτο, ὡς ἐστι δίκαιον. κοινὸν δὲ φέγγος ἔστι μὲν καὶ τὴν Αἴγιναν ἀκοῦσαι, ἔστι δὲ καὶ τὸ ποίημα, τὸ κοινὸν φέγγος γινόμενον· οὐ γὰρ ἐᾷ ἐν ἀφανεῖ τὰ ἔργα, ἀλλὰ φωτίζει κοινῶς. ξεναρκεῖ δὲ ὡς ποδαρκεῖ. κοινὸν φέγγος τῆς ξεναρκοῦς δίκης ἡ τῶν Αἰακιδῶν πόλις παραδέξαιτο, ὡς ἐστι δίκαιον ξένους παραδέχεσθαι καὶ ἀποδέχεσθαι. § ἢ οὕτω· τῆς τοῖς ξένοις ἀρκούσης δικαιοσύνης κοινὸς ὢν ὀφθαλμός, ὦ Αἴγινα, ἤτοι περιφραστικῶς ἡ δικαιοτάτη· δέξαιτο δὲ τοῦτο τὸ [2]) προκώμιον καὶ τοῦτον τὸν ἔπαινον πόλις καλλίστη Αἴγινα, ἥτις διὰ τὴν προσοῦσαν πρὸς πάντας τοὺς ξένους δικαιοσύνην καὶ φιλοξενίαν κοινὸς ὀφθαλμὸς τῶν πάντων τυγχάνει.

21. Εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος] τῷ ἄγαν ξηραντικῷ· τὸ γὰρ ζα ἐπιτατικόν ἐστι μόριον ἀεί· τῷ ἰσχυροτάτῳ οὖν φησι. περιφραστικῶς δὲ τοῦτό φησιν· εἰ ἔζη σου ὁ πατὴρ Τιμόκριτος, ὦ Τιμάσαρχε, ἤτοι ὁ ἐν κιθάρᾳ ποικίλος ἢ ὁ μουσικώτατος ἀπὸ μέρους· ἤσκουν γὰρ οἱ ἀρχαῖοι μουσικήν. § ὁ δὲ νοῦς ὅλος ἕως Ἡρακλέος ὀλβίαν πρὸς αὐλὰν οὕτως· εἰ δὲ μέχρι τοῦ παρόντος ὁ σὸς πατὴρ Τιμόκριτος ἐν ζῶσιν ἀνεστρέφετο τῇ ἑαυτοῦ μουσικῇ σεμνυνόμενος, συνεχῶς ἂν τούτῳ τῷ μέλει καὶ ταύτῃ τῇ ᾠδῇ προσκλίνας ἑαυτὸν καὶ προσαγαγὼν ἀνευφήμησε καὶ ἀνεβάλετο τὴν γεγενημένην νίκην τὴν ἀπὸ τοῦ Κλεωναίου ἀγῶνος τοῦ πέμψαντος πλῆθος καὶ ὅρμαθὸν στεφάνων, καὶ τὴν ἀπὸ τῶν πλουσίων Ἀθηνῶν καὶ ἐνδόξων νίκην, καὶ τὴν ἐν ταῖς Θήβαις τῶν Ἰολαείων καλουμένων· [3]) διότι δὴ παρὰ τὸν τοῦ Ἀμφιτρύωνος τάφον οἱ Θηβαῖοι σὺν πολλῇ προθυμίᾳ καὶ βουλήσει τοῖς τῶν στεφάνων ἄνθεσιν ἐκόσμουν εἰς χάριν καὶ τιμὴν τῆς Αἰγίνης· Αἴγινα γὰρ καὶ Θήβη ἀδελφαί, ἐξ ὧν αἱ πόλεις ὠνομάσθησαν. προσφιλὴς γὰρ ὢν ἅτε Αἰγινήτης καὶ πρὸς φίλους ἥκων τοὺς Θηβαίους, ἅτε δὴ καὶ τὸ ξύξενον ἄστυ καταλαβὼν τὰς Θήβας, ἠδυνήθη κατ' εὐχὴν θεάσασθαι τὴν τοῦ Ἡρακλέος αὐλήν, πάλιν τὰς Θήβας.

30. Εὐωνύμων ἀπ' Ἀθηνᾶν] εὐδόξων, ὀνομαστῶν. ἄδηλον δὲ ποῖον ἀγῶνα ἐνίκησε· πολλοὶ γὰρ τελοῦνται, Παναθήναια καὶ ἄλλοι. εἶτα ἐπάγει, Θήβαις τ' ἐν ἑπτα-πύλοις, ὡς καὶ ἐν Θήβαις αὐτοῦ νικήσαντος. ἦν δὲ καταλληλότερον εἰπεῖν Θηβῶν, ἵν' ᾖ· καὶ ἀπὸ Θηβῶν ἔπεμψας αὐτῷ στέφανον. διατί; ὅτι παρὰ τὸν τοῦ Ἀμφιτρύωνος τύμβον οἱ Θηβαῖοι οὐκ ἄκοντές σε τοῖς ἄνθεσιν ἐμίγνυον, τουτέστιν ἐστεφάνουν, χαίροντες

1) Hoc loco Rom. ἐπινικίων, non ἐπινίκων. 2) Addidi τό. 3) Vulgo καλουμένην, quod correxit Heynius.

Digitized by Google

διὰ τὸ συγγενεῖς εἶναι Θηβαίους Αἰγινητῶν. Θήβη γὰρ καὶ Αἴγινα Ἀσωπίδες, καί φασι Θηβαίοις πολεμοῦσιν Ἀθηναίοις ἐκπεσεῖν λόγιον, τοὺς συγγενεῖς ἑλέσθαι συμμάχους, δι' ὃ [1]) τοὺς Αἰγινήτας ἑλέσθαι· τοῦτο γὰρ ἐδήλου τὸ ῥῆμα.

32. Οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον Καδμεῖοι] ἀντὶ πατρωνυμικοῦ τοῦ Ἀμφιτρυωνίδου· οὐ γὰρ Ἀμφιτρύωνι ἄγεται ὁ ἀγών. ὡς δὲ Ὅμηρος [2]) λέγει Ὑπερίονος Ἠελίοιο, ἀντὶ τοῦ Ὑπεριονίδου· καὶ Εὐριπίδης· [3])

Ὅ σοὶ χρυσοῦν ἀπώλεσ', Οἰδίπους δ' ἐμέ,
Χρυσοῦν ἐνεγκὼν ὅρμον εἰς Ἄργους πόλιν.

οὐ γὰρ ὁ Οἰδίπους ἤνεγκε χρυσοῦν ὅρμον εἰς Ἄργος, ἀλλ' ὁ Πολυνείκης, καὶ ἔδωκεν Ἐριφύλῃ· ἔστιν οὖν, Οἰδιποδίδης δ' ἐμὲ, [4]) ὁ Πολυνείκης. οὕτω καὶ τοῦτο Οὕνεκεν Ἀμφιτρυωνίδου· Ἰόλαον γὰρ εἶπεν· οὗτος γὰρ Ἰφικλέους, ὁ δὲ Ἀμφιτρύωνος· διὸ αὐτὸ τὸ στάδιον καὶ γυμνάσιον εἶναι Ἰολάειον. § καθὼς ὁ περὶ ἀγώνων ἀναγράφεται, ἀψάμενος [5]) οὐκ Ἰολάειά φησιν ἄγεσθαι ἀλλ' Ἡράκλεια· τὸν ἀγῶνα οὖν τῶν Ἡρακλείων φησὶν ἐν τῷ τοῦ Ἰολάου γυμνασίῳ διακεῖσθαι περὶ τὸ τοῦ Ἀμφιτρύωνος μνῆμα, ἔνθα φησὶ καὶ τὸν Ἰόλαον κεκενοταφῆσθαι· τὸ γὰρ κατ' ἀλήθειαν αὐτοῦ μνῆμα ἐν Σαρδοῖ εἶναι.

36. Αἰγίνας ἕκατι] τῆς ἡρωΐδος Αἰγίνης γυναικὸς ἕνεκεν, διὰ τὸ συγγενές. [6]) Θήβη γὰρ καὶ Αἴγινα ἀδελφαὶ θυγατέρες Ἀσωποῦ τοῦ ποταμοῦ, ἀφ' ὧν καὶ αἱ προσηγορίαι τῶν πόλεων. πρὸς φίλους οὖν, φησὶ, φίλος ἦλθε, πρὸς Θηβαίους Αἰγινήτης ὤν. ξένιον δὲ ἄστυ ἤτοι τὸ εὔξεινον, ὡς Κληϊσταὶ δ' ἔπεσαν σανίδες, [7]) ἀντὶ τοῦ αἱ εὔκλειστοι, καὶ Τειχήεσσα, [8]) ἀντὶ τοῦ εὐτειχής· ἢ ξένιον ἄστυ ταῖς Θήβαις ἡ Αἴγινα, διότι Πηλεὺς καὶ Τελαμὼν, Αἰγινῆται ὄντες, ὅτε ἔμελλε στρατεύειν εἰς Ἴλιον Ἡρακλῆς, ἐπεξενώθησαν αὐτῷ· διὸ ἐποίσει, ξὺν ᾧ ποτε Τρωΐαν.

40. Ξὺν ᾧ ποτε Τρωΐαν] σὺν ᾧ ποτε Ἡρακλεῖ ἐν τοῖς ἀνωτέρω χρόνοις ὁ γενναῖος Τελαμὼν ἐπόρθησε τὴν Τροίαν, ἐπόρθησε δὲ σὺν αὐτῷ καὶ τοὺς νῦν μὲν Κώους λεγομένους νησιώτας, τότε δὲ κεκλημένους Μέροπας ἀπὸ Μέροπος, ἔτι γε μὴν ἐπόρθησε καὶ τὸν μέγιστον καὶ ἐκπληκτικώτατον τῶν Γιγάντων Ἀλκυονέα. ὅτι δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Κῶ ἀπὸ τῆς Ἀσίας κατιὼν, καὶ Ὅμηρος μαρτυρεῖ· [9])

Καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.

ἔλαβε δὲ καὶ Χαλκιόπην ἐξαίρετον τὴν Εὐρυπύλου τοῦ βασιλέως θυγατέρα, ἀφ' ἧς ἔσχεν

1) Vulgo δι' οὗ. 2) Iliad. ϑ, 480. 3) Alcmaeon. Fragm. 17. Sed Valck. Diatr. p. 152. docet veram lectionem esse Ὠιδίπου. Peius Toup. Em. in Suid. Praefat. 4) Erat utroque loco δέ με. 5) Hoc est καθαψάμενος: vulgo ἀψάμενοι. Ceterum vel sic locus foede corruptus est. Καθὼς et ἀναγράφεται verba videntur eius, qui vetera haec scholia excerpsit: ὁ περὶ ἀγώνων autem auctor est. Ni fallor, fuit olim: Πολέμων δὲ ἐν τῷ περὶ ἀγώνων, τούτων ἁψάμενος etc. Eius operis pars videtur fuisse τὸ περὶ τῶν Θήβησιν Ἡρακλείων ap. Schol. Olymp. VII, 153. ex quo haec ipsa petita puto: atque ad librum περὶ ἀγώνων ducit Polemonis de lucta inventa narratio ap. Schol. Nem. V, 90. et de ἀπήνῃ ap. Schol. Olymp. V. init. Cui Polemoni, si ut arbitror, idem est qui Περιηγητὴς et Στηλοκόπας, Sardiniae etiam, terrae Graecis parum notae, mentio accommodatissima iudicabitur. 6) Rom. συγγενέσθαι. 7) Odyss. β, 344. 8) Iliad. β, 559. Τίρυνθά τε τειχιόεσσαν. 9) Iliad. ξ, 255. ο, 28. Rom. Κῶ εὖ ναιομ.

Digitized by Google

υἱὸν Θεσσαλὸν, οὗ παῖδες Φείδιππος καὶ Ἄντιφος ἐν Ἰλίῳ στρατεύσαντες. λέγεται δὲ πεπορθηκέναι διὰ τοὺς Χαλκιόπης ἔρωτας τῆς θυγατρὸς Εὐρυπύλου τοῦ βασιλέως τὴν Κῶ.

43. Καὶ τὸν μέγαν πολεμιστὴν ἔκπαγλον Ἀλκυονῆ] οὗτος ὁ Ἀλκυονεὺς εἷς τῶν Γιγάντων λέγεται περὶ τὸν Ἰσθμὸν τῆς Κορίνθου συμβεβηκέναι Ἡρακλεῖ, οὗ τὰς βοῦς Ἡρακλῆς ἐξ Ἐρυθείας παρήλαυνε· καὶ τῆς μάχης αὕτη αἰτία ἐγένετο τῇ βουλῇ τοῦ Διός· πολέμιος γὰρ ἦν τοῖς Γίγασιν. οὐ πρότερον οὖν, φησὶν, [1]) ἀνεῖλε τὸν Ἀλκυονέα Ἡρακλῆς, πρὶν τὰ ἅρματα αὐτοῦ ὑπὸ τοῦ Ἀλκυονέος βληθῆναι· μετὰ γὰρ τὸ συντρίψαι αὐτοῦ δώδεκα ἅρματα καὶ εἰκοσιτέσσαρας ἄνδρας λίθῳ μεγίστῳ, τὸ τελευταῖον κατ' αὐτοῦ τὸν λίθον ἔρριψεν, ὃν τῷ ῥοπάλῳ ἀποσεισάμενος οὕτως ἀπέκτεινε τὸν Ἀλκυονέα, καί φασι κεῖσθαι τὸν λίθον ἐν τῷ Ἰσθμῷ. λέγεται δὲ τότε συμπαρεῖναι τῷ Ἡρακλεῖ καὶ τὸν Τελαμῶνα.

51. Λόγον ὁ μὴ ξυνιείς] ἐπεὶ ῥητῶς οὐκ ἐξήγγειλεν ὁ Πίνδαρος ὅτι ἐνικᾶτο ὁ Ἡρακλῆς, ἀλλ' ἀμφιβόλως αὐτὸ παρεδήλωσεν· ὁ μὴ συνιεὶς τοῦτο ὃ λέγω, φησὶν, ὅτι ὁ Ἡρακλῆς ἐλείφθη, ἄπειρος μάχης ἂν εἴη οὗτος. § Ἄλλως. τὸν λόγον τοῦτον ὁ μὴ διαλογιζόμενος καὶ νοῶν ὀφθείη ἂν ἄπειρος μάχης, ὡς μὴ συνιεὶς τὴν τύχην καὶ τὸν ἐξ αὐτῆς λόγον· Ἐπεὶ ῥέζοντά τι καὶ παθεῖν ἔοικε. φησὶ παρὰ τὸ Ὁμηρικόν· [2]) Ξυνὸς Ἐνυάλιος. ἔπαθε γάρ τι καὶ ὁ Ἡρακλῆς ἀποβαλὼν τοὺς ἑταίρους. παρὰ τοῦτο ὁ Τραγικός·

Τὸν δρῶντά πού τι καὶ παθεῖν ὄφείλεται.

εἴη δ' ἂν ἀπὸ ταύτης τῆς ὁμοιώσεως τῆς περὶ τὸν Ἡρακλέα ἐλάττωμά τι γεγονὸς περὶ τὸν ἀθλητὴν ἐν ἀρχῇ· οὕτω γὰρ τὸν ὅμοιον λόγον ἕξει ἡ παραβολή. ὡς γὰρ ὁ Ἡρακλῆς ἐπὶ μὲν τῆς ἀρχῆς ἐλείπετο, ὕστερον δὲ ἐνίκησεν, οὕτω καὶ ὁ ἀθλητής. ὥστε εἰκὸς εἶναι αὐτὸν πεπτωκέναι ἢ ἄλλο τι τοιοῦτον ὑπομεῖναι.

53. Τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμός] Ἀρίσταρχος· εἰς νουμηνίαν ἐπιοῦσαν ὑποκείμενόν ἐστιν αὐτῷ ἀποδοῦναι τὸν ἐπίνικον· πάντα γὰρ, φησὶ, τὰ περὶ τὸν Ἡρακλέα καὶ Ἀλκυονέα μακρῶς διελθεῖν κωλύομαι. ποῖος δὲ τεθμός; ὁ νόμος τοῦ ἐγκωμίου. ὁ νόμος οὖν τοῦ ἐγκωμίου, φησὶ, κωλύει με μακραῖς παρεκβάσεσι χρῆσθαι. ὁ δὲ Ἀμμώνιος ὡμολογηκέναι φησὶ τὸν Πίνδαρον ἐν χρόνῳ τινὶ ἀποδώσειν τὸν ἐπινίκιον· [3]) ὁ νόμος οὖν οὗτος, ὃν διεστησάμεθα ἐγώ τε καὶ οἱ τοῦ ἀθλητοῦ περὶ τῆς ἡμέρας, ἐν ᾗ ἀποδώσω, κωλύει με μακρὰ γράφειν· οὐ γὰρ φθάσω. διὸ ἐποίσει· Ὧραί τ' ἐπειγόμεναι, τουτέστιν ἐπείγουσί με αἱ Ὧραι. § ὁ δὲ νοῦς οὕτω· τὰ πολλὰ δὲ καὶ μακρῶν δεόμενα λόγων διηγεῖσθαι κωλύομαι ὑπό τε τοῦ καιροῦ κατεπείγοντος καὶ ὑπὸ τοῦ εἰωθότος θεσμοῦ· νενόμισται γὰρ τὰ τοιαῦτα διὰ συντόμου λέγεσθαι.

56. Ἴυγγι δ' ἕλκομαι ἦτορ] ἴυγξ εἶδος ὀρνέου ἐρωτικοῦ. πόθεν δὲ ἡ ἴυγξ; ἣν οἱ μέν φασιν Ἠχοῦς, οἱ δὲ Πειθοῦς γεγενῆσθαι θυγατέρα, ἥτις φαρμάσσουσα τὸν Δία εἰς τὸν τῆς Ἰοῦς πόθον κατὰ χόλον Ἥρας εἰς ὄρνεον μετεβλήθη, ᾧ κέχρηνται αἱ τὰ ἐρωτικὰ σκευάζουσαι γυναῖκες. ἐκ τούτου δὲ τὸ ὄρνεον ἴυγξ καλεῖται. ἴυγγι οὖν τῇ ἐπιθυμίᾳ φησὶν. § Ἄλλως. ὡς ἀπὸ φαρμάκου, φησὶ, καὶ ἴυγγος ἕλκομαι τὴν ψυχὴν

1) Vulgo φασίν. 2) Iliad. σ, 309. 3) Sic Rom.

Digitized by Google

τῇ ἐπιθυμίᾳ, ᾗ ὑπεσχόμην ἐπιδείξασθαι τὸν ἐπινίκιον [1]) συντελέσας. διὸ τὰ περὶ τὸν Ἡρακλέα λέγειν κωλύομαι, σπεύδων τελειῶσαι τὸν ὕμνον εἰς ὃν ὡμολόγησα χρόνον.

58. Ἔμπα καί περ ἔχει] τῆς ἀναφορᾶς γενομένης περὶ τὸν Ἡρακλέα, καὶ εἰ τὸ μέσον ἔχω τῆς ἱστορίας καὶ μεσοπορῶ κατὰ τὴν διήγησιν, ὅμως ἀνθέξομαι, καὶ οὐκέτι τοῦ λοιποῦ ἐπίσης ἐκκόψω διὰ τὴν νουμηνίαν. § ὁ νοῦς δέ· ὅμως οὖν, εἰ καὶ πολὺ τὸ μέσον ἔχει διάστημα ἡ τῆς Αἰγίνης θάλασσα πρὸς τὰς Θήβας, ἐπείγου καὶ ἀντίτεινε ταῖς τῶν ἐχθρῶν ἐπιβουλαῖς.

60. Ἀντίτειν' ἐπιβουλίᾳ] ἰστέον ὅτι ὁ λόγος πρὸς ἑαυτὸν φιλονεικεῖ. πρὸς ἑαυτὸν γὰρ τοῦτο λέγει ὁ Πίνδαρος· ἀντίτεινε τοῖς ἐπιβουλεύουσιν, οἷον μὴ εἶκε τοῖς ἀντιτέχνοις, μὴ δίδου λαβὰς ὅτι παρεκβέβηκας. § τῇ ἐπιβουλίᾳ αὐτῶν ἀντίτεινε, ἐναντιοῦ τῷ φθόνῳ, ὅ ἐστιν ἀπόδος τὸν ἐπινίκιον τῇ ὡρισμένῃ ἡμέρᾳ. σφόδρα γὰρ τῶν πολεμούντων ἡμᾶς ἀντιδιδασκάλων καὶ ἀντιτέχνων φανησόμεθα καταβαίνοντες καὶ διοδεύοντες λαμπρῶς, ἐὰν μὴ παρεκβαίνωμεν. δοκεῖ δὲ ταῦτα τείνειν εἰς Σιμωνίδην, ἐπεὶ ἐκεῖνος παρεκβάσεσι χρῆσθαι εἴωθεν. § καθυπέρτεροι οὖν ἐκείνων φανησόμεθα· ἐὰν μὴ παρεκβάσεσιν ἐπιμένωμεν, σφόδρα δόξομεν τῶν ἀντιπολεμούντων ὑπερέχοντες καταβαίνειν.

64. Φθονερὰ δ' ἄλλος ἀνήρ] ἄλλος ἀνὴρ ὁ βάσκανος, ἄλλος ἐχθρὸς, τὴν ἑαυτοῦ προαίρεσιν τὴν κενὴν καὶ ματαίαν ἀφανῆ ἕξει. § ὁ δὲ νοῦς· οὗτος γὰρ ἂν ὁ τὸν φθόνον ἐν ὀφθαλμοῖς ἔχων ἐχθρὸς τὴν ἑαυτοῦ προαίρεσιν καὶ τὴν ἐπ' ἐμοὶ προσδοκίαν κενὴν καὶ ματαίαν ἔχων καὶ τὸν σκοπὸν χαμαὶ καὶ ἀσκόπως ἐνεχθέντα, ἐν τῷ τῆς ἀδοξίας καὶ λύπης σκότῳ σκοτασθήσεται ὁ βάσκανος. § Ἄλλως. εἴτις φθονεῖ ἡμῖν, φησὶ, τὴν ἑαυτοῦ γνώμην ἐν σκότει κυλίσει· τουτέστιν οὐδὲν ἀνύσει φθονῶν ἐμοὶ, ἀλλ' ἐναποκρυβήσεται τῷ σκότῳ καὶ ζόφῳ, κυλισθήσεται αὐτὸς ἐν σκοτίᾳ φθονῶν.

66. Ἐμοὶ δ' ὁποίαν ἀρετὰν ἔδωκε πότμος ἄναξ] ἐμοὶ δὲ, φησὶν, ἣν ἔδωκε τάξιν ὁ θεὸς καὶ ἡ εἱμαρμένη, ταύτην πεπίστευκα ὅτι καὶ ὁ μακρὸς διαθέων χρόνος πληρώσει εὔμοιρον καὶ καλήν. § ἢ οὕτως· ἣν δὲ ἔχω παρὰ θεοῦ δύναμιν ποιητικὴν, εὖ οἶδ' ὅτι κατὰ τὴν πεπρωμένην ὁ χρόνος ἐκτελέσει καὶ ἐκλάμψει.

71. Ἐξύφαινε γλυκεῖα καὶ τόδ' αὐτίκα φόρμιγξ] ἐργάζου δὴ οὖν καὶ πλήρου τοῦτο τὸ ποικίλον μέλος, ὦ γλυκυτάτη φόρμιγξ, σὺν τῇ Λυδίων ἁρμονίᾳ, ὅπερ ἐστὶ προσφιλέστατον τῇ τε Αἰγίνῃ καὶ τῇ Κύπρῳ. Οἰνώνη δὲ τοπρότερον ἐκαλεῖτο ἡ Αἴγινα ἀπὸ Οἰνώνης τινός.

76. Ἔνθα Τεῦκρος ἀπάρχει] ἔνθα δὴ καὶ ἐν ᾗ Κύπρῳ ὁ τοῦ Τελαμῶνος παῖς ἡγεμονεύει. ὅ γε μὴν Αἴας κατέχει τὴν πατρῴαν Σαλαμῖνα· λέγω, [2]) ἐπεὶ πατρὶς αὐτοῦ ἡ Σαλαμίς· ἐπεὶ ἐν Ἰλίῳ τελευτᾷ. ὁ γὰρ Τεῦκρος ἐλθὼν μετὰ τὴν ἅλωσιν Ἰλίου ἐν Σαλαμῖνι, καὶ ὑπονοηθεὶς ὑπὸ τοῦ Τελαμῶνος ὡς αἴτιος γεγονὼς τοῦ φόνου τῷ Αἴαντι, φυγὼν ᾤκισε τὴν Κύπρον καὶ ἔσχεν αὐτῆς τὴν ἀρχήν.

79. Ἐν δ' Εὐξείνῳ πελάγει] πᾶν τὸ γένος τῶν Αἰγινητῶν ὑμνεῖ, ὅτι πολλῶν τόπων ὑπῆρξεν. ἔστι δέ τις ἐπὶ τοῦ Εὐξείνου πόντου καλουμένη Λευκὴ νῆσος, εἰς ἣν δοκεῖ τὸ Ἀχιλλέως σῶμα ὑπὸ Θέτιδος μετακεκομίσθαι· καὶ δρόμους τινὰς δεικνύουσι διὰ

[1]) Ita eadem, et sic deinceps aliquoties in scholiis ad hoc carmen. [2]) Vulgo λέγω.

Digitized by Google

τὰ τοῦ ἥρωος γυμνάσια. ὅθεν καὶ ὁ Πίνδαρος φαεννὰν νῆσον τὴν Λευκὴν μεταληπτικῶς εἶπε· φαεινὸν γὰρ τὸ λευκόν ἐστι. Λευκὴ δὲ καλεῖται διὰ τὸ πλῆθος τῶν ἐννεοσσευόντων ὀρνέων, ἤτοι ἐρωδιῶν· φαντασίαν γὰρ τοιαύτην τοῖς πλέουσι παρέχει. § Ἄλλως. τὴν λεγομένην Λευκὴν ἀκτὴν ἐν τῷ Εὔξείνῳ πόντῳ, ἐν ᾗ πλεῖστοι ἐρωδιοὶ φαινόμενοι ἐκεῖθεν τοῖς πλέουσι μηνύουσιν αὐτήν. αὕτη καλεῖται καὶ Ἀχιλλέως δρόμος, ἐπειδὴ μνηστευομένου τοῦ Ἀχιλλέως τὴν Ἰφιγένειαν ἀχθεῖσάν τε διὰ τὴν αὐτοῦ πρόφασιν εἰς Αὐλίδα, γενομένης ἀπλοίας τοῖς Ἕλλησιν εἰς Ἴλιον ἠθέλησαν σφαγιάσαι ὑπὲρ εὐπλοίας, καὶ τῆς Ἀρτέμιδος αὐτὴν ἁρπασάσης καὶ ἐπὶ Ταύρους τῆς Σκυθίας τόπον ἀγαγούσης ἐπεδίωκεν ἐρῶν ὁ Ἀχιλλεὺς, καὶ συνηκολούθησε μέχρι ταύτης τῆς νήσου τῆς λεγομένης Λευκῆς.

81. Θέτις δὲ κρατεῖ Φθίᾳ] ἀντὶ τοῦ ἐν Φθίᾳ. Φύλαρχός φησι Θέτιν πρὸς Ἥφαιστον ἐλθεῖν εἰς τὸν Ὄλυμπον, ὅπως Ἀχιλλεῖ ὅπλα κατασκευάσῃ· τὸν δὲ ποιῆσαι· ἐρωτικῶς δὲ ἔχοντα τὸν Ἥφαιστον πρὸς τὴν Θέτιν, οὐ φάναι ἂν δώσειν αὐτῇ, εἰ μὴ αὐτῷ προσομιλήσαι· τὴν δὲ αὐτῷ ὑποσχέσθαι· θέλειν [1]) μέντοι ὁπλίζεσθαι, ὅπως ἴδῃ, εἰ ἁρμόζει ἃ ἐπεποιήκει ὅπλα τῷ Ἀχιλλεῖ· ἴσην γὰρ αὐτὴν ἐκείνῳ ἔλεγε. τοῦ δὲ παραχωρήσαντος ὁπλισαμένην τὴν Θέτιν φυγεῖν· τὸν δὲ οὐ δυνάμενον καταλαβεῖν σφῦραν λαβεῖν καὶ πατάξαι εἰς τὸ σφυρὸν τὴν Θέτιν· τὴν δὲ κακῶς διατεθεῖσαν ἐλθεῖν εἰς Θετταλίαν καὶ ἰαθῆναι ἐν τῇ πόλει ταύτῃ τῇ ἀπ' ἐκείνης Θετιδείῳ καλουμένῃ. ἔοικε δὲ ὁ Πίνδαρος μνημονεύειν τοῦ Θετιδείου, περὶ οὗ ἐν πρώτῳ Φερεκύδης οὕτω γράφει· [2]) Ἔπειτα Πηλεὺς ᾤχετο εἰς Φθίαν, καὶ Θέτιν ἐπὶ τῶν ἵππων τούτων [3]) ἄγων οἰκεῖ ἐν Φαρσάλῳ καὶ ἐν Θετιδείῳ, ὃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις. § ὁ δὲ νοῦς οὕτως· ἡ δὲ Θέτις ἄρχει καὶ δεσποτεύει τῆς Φθίας, ἔνθα ἐστὶ καὶ τὸ Θετίδειον ἱερόν, ὡς καὶ Εὐριπίδης ἐν Ἀνδρομάχῃ. [4])

82. Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ] ὅ γε μὴν Νεοπτόλεμος ὁ Ἀχιλλέως παῖς ἄρχει τῆς πολλῆς Ἠπείρου, ἐν ᾗ οἱ ἔξοχοι πρῶνες καὶ πρὸς τροφὴν βοῶν ἐξαίρετοι τυγχάνουσιν, ἐκ Δωδώνης τὴν ἀρχὴν ἔχοντες καὶ περαιούμενοι πρὸς τῷ Ἰονίῳ πόρῳ. λέγεται δὲ, ὅτι μετὰ τὰ ἐν Ἰλίῳ ταύτης τῆς Ἠπείρου ἦρξεν ὁ Νεοπτόλεμος. § Ἄλλως. τὰ ἄκρα τῶν ὀρῶν βουβόται πρῶνες, οἱ καλλίστους βοῦς τρέφοντες τόποι. λέγονται γὰρ ἐκ τοῦ γένους τῶν τοῦ Γηρυονέως βοῶν αὐτόθι μεμενηκέναι, κλέψαντος παρ' Ἡρακλέος Λαρίνου τινὸς, ἀφ' οὗ καὶ λαρινοὶ καλοῦνται οἱ ἐκεῖ βόες, μνήμην τοῦ τὸ γένος καταστήσαντος τῇ προσηγορίᾳ φυλάττοντες. [5]) τὸ δὲ διαπρυσίᾳ ἀντὶ τοῦ διηνεκεῖ φησιν, οἷον ἀπ' ἀρχῆς μέχρι πέρατος, οὐ μέρους τῆς Ἠπείρου ἀλλ' ὅλης· Ἀπείρῳ γὰρ ἀντὶ τοῦ Ἠπείρῳ φησί. βουβόται δὲ οἱ βουκόλοι· βουτρόφος γὰρ ἡ Ἤπειρος.

83. Παλίου δὲ πὰρ ποδὶ λατρείαν Ἰαωλκόν] τὴν δὲ κειμένην Ἰωλκὸν πρὸς τοῖς κάτω μέρεσι τῆς Θεσσαλίας ὁ Πηλεὺς πορθήσας διὰ τὴν Ἀκάστου ἐπιβουλὴν δούλην παρέδωκε τοῖς Θετταλοῖς, τουτέστιν ὑπήκοον. ἔστι δὲ ἡ Ἰωλκὸς τῆς Μαγνησίας,

1) Vulgo θέλει, et supra φησὶν p. φάναι. 2) Fragm. Sturz. p. 83. qui ex Tzetz. ad Lycophr. 175. emendandum putat, me non assentiente. Sed ἐκ Φθίας legendum esse coniicit probabiliter. Ultima ἡ πόλις perperam delet Heynius ad Apollod. p. 795. 3) Quos ei Neptunus donaverat. 4) Vs. 19. 5) Alii aliter. V. Apollod. Fragm. p. 1160.

Digitized by Google

ἥτις πρὸς τοῖς τέρμασι τοῦ Πηλίου ὄρους κεῖται. ἔστι δὲ ἡ αἰτία τῆς δουλείας αὕτη: Ἱππολύτου θυγάτηρ γέγονε Κρηθηΐς Ἀκάστου γαμετή, ἥτις τῷ Πηλεῖ ἐρωτικῶς διατεθεῖσα καὶ μὴ πείσασα συνελθεῖν αὐτὸν φθάσασα τῷ Ἀκάστῳ ὡς ἄσεμνον ἢ βίαιον διέβαλεν. ὁ δὲ κατακούσας καὶ προφασισάμενος ἤγαγεν ἐπὶ τὰ ἀπέρημα τοῦ Πηλίου, καὶ καταλείψας θηρίοις ὑποπεσεῖν αὐτὸν ὑπαναχωρεῖ. φασὶ δὲ τοὺς θεοὺς τῆς σωφροσύνης οἰκτείραντας τὸν Πηλέα Ἥφαιστον ἐξαποστεῖλαι· τὸν δὲ μάχαιραν ἔχοντα τῷ Πηλεῖ δωρήσασθαι, ᾗ τὰ προσπίπτοντα τῶν θηρίων διαχρώμενος εἰς Θεσσαλίαν κατῆλθε, καὶ κατελθὼν κατεπολέμησεν Ἄκαστον καὶ τὴν Ἰωλκόν. § ὁ δὲ νοῦς· ἀλλὰ μὴν καὶ τὴν παρὰ τοῖς τέρμασι τοῦ Πηλίου ὄρους κειμένην Ἰωλκὸν ὑπήκοον καὶ δούλην ἔδωκε νικήσας ἐν πολέμῳ διὰ τροπαίου ὁ Πηλεύς, πρότερον οὖσαν Μαγνησίας, καὶ αὐτὴν ὑπέταξε Θεσσαλοῖς, εἰς πρόφασιν τιμωρίας ταῖς τοῦ Ἀκάστου γυναικὸς Κρηθηΐδος ἐπιβουλαῖς ἀποχρησάμενος· αὕτη γὰρ δολίως ἐπεβούλευσε τῷ Πηλεῖ.

95. Τᾷ Δαιδάλου δὲ μαχαίρᾳ] Δαιδάλου μάχαιραν τὸν δόλον εἶπε τμητικὸν γεγονότα εἰς ἀπώλειαν, παρόσον δολίᾳ τέχνῃ χρησάμενος ἐπεβούλευσεν. ὁ γὰρ Δαίδαλος ἐκ Κρήτης εἰς Σικελίαν ἀφικόμενος πρὸς Κώκαλον βασιλεύοντα τῆς Καμίκου, πείθει τὰς θυγατέρας Κωκάλου διὰ τῆς ὀροφῆς ποιῆσαι κατάῤῥουν, δι' οὗ ἐκχυθὲν θερμὸν ὕδωρ ἐπενεχθήσεται τῷ Μίνῳ λουομένῳ, καὶ τοῦτον τὸν τρόπον ἀπόλωλεν ὁ Μίνως. τούτῳ οὖν τῷ τρόπῳ φησὶ κεχρῆσθαι τὸν Ἄκαστον· ἀφῆκε γὰρ αὐτὸν ἐπὶ τῆς ἐρημίας ὡς ἀπολούμενον ὑπὸ τῶν Κενταύρων· διὸ μετῆλθεν αὐτόν. καὶ πιθανώτερόν ἐστι τὸν δὲ σύνδεσμον ἀντὶ τοῦ γὰρ παρειλῆφθαι· τῇ γὰρ Δαιδάλου μαχαίρᾳ ὁ Ἄκαστος αὐτῷ δόλον ἐφύτευσε. Δίδυμος δέ φησι· Γράφειν δεῖ διὰ τοῦ ῱ μεγάλου· δαιδάλῳ δὲ μαχαίρᾳ δόλον ἤρτυσε, παρελόμενος αὐτοῦ κρύφα, ἵνα χωρὶς ἀμυντηρίου ἁλοὺς ὑπὸ τῶν Κενταύρων φθαρῇ. ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως· [1])

Ἤδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή·
Αὐτὸν μὲν σχέσθαι, [2]) κρύψαι δ' ἀδόκητα μάχαιραν
Καλήν, ἣν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις·
Ὡς τὴν μαστεύων οἶος κατὰ Πήλιον αἰπὺ
Αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη.

δαίδαλον [3]) δὲ εἶπε τὴν μάχαιραν διὰ τὸ ὑπὸ Ἡφαίστου κατεσκευάσθαι. ἐπικικῶς δὲ τὰ Ἡφαίστου ἔργα δαίδαλά φησι·

Ποίει δαίδαλα πόλλ' εἰδυίῃσι παραπίδεσσιν. [4])

§ ὁ δὲ νοῦς· ὅστις, φησίν, Ἄκαστος τὸν τοῦ Δαιδάλου τρόπον ἀναλαβὼν καὶ τὴν ἐκείνου τῶν δόλων μάχαιραν, ἐμηχανᾶτο κατ' αὐτοῦ θάνατον, οὐχ ὅτι Δαιδάλου εἶχε ξίφος, ἀλλ' ὅτι τὸν δόλον ἐῴκει τῷ Δαιδάλῳ ὁ Ἄκαστος.

98. Ἄλαλκε δὲ Χείρων καὶ τὸ μόρσιμον] ἀμφίβολον πότερον τὸ μόρσιμον ἔκφερε καὶ ἔξω ἔφερε τὸν κίνδυνον καὶ τὸν θάνατον αὐτῷ τὸν πεπρωμένον, ἢ οἷον ἐξέφερε καὶ ἐπεδείκνυε τὸ πεπρωμένον, τουτέστιν ἐξέφερε καὶ ἔσωζε τῶν κινδύνων. § ὁ δὲ νοῦς· ἀλλὰ βοηθὸν ἔχων Χείρωνα, τὸν ἐχθρὸν ἐτιμωρήσατο καὶ οὕτως ὑπὸ τῆς πεπρωμένης διεσώθη τὸν κίνδυνον διελθών.

[1]) Fragm. p. 444. [2]) Rom. εὔχεσθαι. [3]) Vulgo Δαιδάλου. [4]) Iliad. σ, 481.

Digitized by Google

101. Πῦρ δὲ παγκρατές] τὸ πάντων κρατοῦν καὶ δεσπόζον διὰ τὸ φθαρτικὸν τῆς δυνάμεως. οἱ δὲ φυσικώτερον ἀκούουσι τὸν λόγον, τὴν τῶν θεῶν φύσιν εἰς πῦρ ἀνάγοντες. ὅτι δὲ καθ' ὃν καιρὸν ἡ Θέτις γάμῳ συνήπτετο τῷ Πηλεῖ, εἴς τε πῦρ καὶ εἰς λέοντα καὶ εἰς διαφόρους ἰδέας μετέβαλλεν ἑαυτῆς τὴν φύσιν μὴ βουλομένη γαμηθῆναι τῷ Πηλεῖ, καὶ Ὅμηρος μαρτυρεῖ· [1])

Ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνήν
Πολλὰ μάλ' οὐκ ἐθέλουσα.

§ Ἄλλως. φαίνεται ἐκ τούτων ἡ Θέτις μὴ βουλομένη γαμηθῆναι Πηλεῖ· μετεβάλλετο οὖν ὥσπερ ὁ Ὁμηρικὸς Πρωτεύς· οὔτε οὖν τὸ πῦρ, εἰς ὃ μετέβαλεν, οὔτε οἱ τῶν λεόντων ὄνυχες καὶ ὀδόντες ἤνυόν τι. σχάσας οὖν καὶ ἐπισχὼν τοὺς ὄνυχας καὶ τοὺς ὀδόντας ἔγημε τὴν Θέτιν ὁ Πηλεύς. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων, οἳ ὅταν λήγωσι τῆς ἐργασίας, σχάζουσι τὰς κώπας. § ὁ δὲ νοῦς· τὸ δὲ λεόντων κρατοῦν πῦρ, ᾧ ἀπείκαζεν ἑαυτὴν ἡ Θέτις, καὶ τὴν θρασεῖαν τῶν θηρίων φύσιν καὶ τὴν ἀκμὴν ἐπισχὼν καὶ παύσας τῶν ὀδόντων, οὕτω λοιπὸν ἔγημεν αὐτὴν τὴν ἐνδοξοτάτην τῶν Νηρεΐδων, καὶ γέγονε τῶν οὐρανίων θεατὴς ἀκριβῶς· ἐπειδὴ λέγεται ἀπειλῆφθαι ἐν οὐρανῷ ἀθανασίᾳ τιμηθείς.

107. Εἶδε δ' εὔκυκλον ἕδραν] οἱ μὲν φυσικώτερον τὸν οὐρανὸν ἀπέδοσαν διὰ τὸ σφαιροειδὲς, ἀλλ' ἐναντιοῦται αὐτοῖς τὰ τῆς ἱστορίας· οὐ γὰρ τὸν οὐρανὸν ὁ Πηλεὺς ἐθεάσατο. ἀκουστέον οὖν τὸ παρὰ τὸ Πήλιον τῶν θεῶν κυκλοτερὲς συμπόσιον, ὅπερ συνετελέσθη τοῖς τοῦ Πηλέως γάμοις. § λείπει οὖν ἡ ἐπί, ἵν' ᾖ· ἐφ' ἧς ἕδρας καθίσαντες οἱ θεοὶ οἵ τε Ὀλύμπιοι καὶ οὐράνιοι καὶ οἱ θαλάττιοι [2]) δῶρα ἔδωκαν αὐτῷ. ἕδρας δὲ, ἢ τοῦ οὐρανοῦ ἢ τοῦ Ὀλύμπου. § ὁ δὲ νοῦς· ἐθεάσατο δὲ τὴν ἕδραν καὶ τὴν ἀσφάλειαν τοῦ οὐρανοῦ, καὶ τοὺς θεοὺς τοὺς θαλαττίους καὶ τοὺς οὐρανίους, οἵτινες αὐτῷ καὶ τοῦτο ἐδωρήσαντο, φανερώσαντες τὸ ἑαυτῶν κράτος καὶ τὸ γένος ἐν ὀφθαλμοῖς· ἢ ὅτι ὁ Ποσειδῶν ἵππους, Ἥφαιστος δὲ μάχαιραν ἔδωκε, καὶ οὕτω μέχρις ἐκγόνων αὐτοῦ παρέπεμψε τὴν εὔκλειαν.

110. Δῶρα καὶ κράτος ἐξέφαναν] ἀμφίβολον πότερον διεσήμηναν τὸ κράτος τοῦ Πηλέως αὐτῷ, ὧν κρατήσει τόπων, ἢ διεσήμηναν ἐν τῷ γάμῳ αὐτῷ, ὅτι ἔσται οὕτως ἐγγενὲς, ὥστε καὶ ἐγγόνοις καταλιπεῖν, ἢ τὸ ἑαυτῶν κράτος οἱ θεοὶ ἐξέφηναν αὐτῷ, τουτέστι τὴν ἑαυτῶν φύσιν καὶ δύναμιν καὶ τὸ ἐγγενὲς αὐτοῖς, οὐ μεταβαλόντες τὴν μορφὴν ὡς ἔθος θνητοῖς φαντάζεσθαι θεοὺς, ἀλλ' ἐν ταῖς ἰδίαις μορφαῖς ὤφθησαν αὐτῷ. § ἢ τὸ κράτος τὸ πεπρωμένον αὐτῷ.

112. Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν] οὐκ ἔστι, φησὶ, Γαδείρων περάσαι τὰ ἐπέκεινα· ζόφος γὰρ καὶ ἀφάνεια· ὑποστρέφων μὲν οὖν εἰς τὰ ὀπίσω ἄγε [3]) τὴν ναῦν· ἀλληγορικώτερον λέγειν βουλόμενος, ὅτι οὐκ ἔστι δυνατὸν εἰς πάντας τοὺς ἐπαίνους χωρεῖν τοῦ Τιμασάρχου. ἐπάγει γοῦν, ὅτι οὐκ ἔστι δυνατὸν τὸν πάντα λόγον καὶ ἔπαινον τῶν ἐκγόνων τοῦ Αἰακοῦ διελθεῖν, ὥσπερ οὐδὲ Γαδείρων ἐπέκεινα. Γάδειρα γὰρ

1) Iliad. σ, 432. 2) Καὶ οἱ θαλ. de meo addidi. 3) Rom. ὑποστρέφειν et ἄγει: illud Heynius, hoc ego mutavi.

Digitized by Google

πόλις μέχρι τῶν στηλῶν Ἡρακλέους, ἔνθα τὸ τέλος ἐστὶ τοῦ πλεῖν καὶ τοῦ ὁδεύειν· περαιτέρω γὰρ λοιπὸν ὁ Ὠκεανὸς καὶ πάντα ἀφανῆ, ζόφου ὄντος. τὰ ἐντεῦθεν οὖν τῶν Γαδείρων τῆς Εὐρώπης ἐστίν. εἰς δύο γὰρ διήρητο τοπαλαιὸν μέρη ἡ οἰκουμένη, Εὐρώπην καὶ Ἀσίαν. § ὁ δὲ νοῦς· ὥςπερ οὐκ ἔστιν ἐσωτέρω [1]) πλεῖν ἐπὶ τὴν δύσιν, ἐπειδὰν ἅπαξ τις ἐπὶ τὰ Γάδειρα ἀφίκηται, ἀλλ' ἐπιστρεπτέον ἐστὶν ἐπὶ τὴν Εὐρώπην διὰ τὸ μὴ εἶναι ἔτι πλεῖν, οὕτω καὶ ἐπὶ πάντα τῶν Αἰακιδῶν τὸν ὕμνον ἀφικέσθαι οὐ δυνατόν. μὴ πλέε γοῦν, φησὶ, πρὸς ζόφον ἔξω τῶν Γαδείρων, ἀλλὰ στρέφε τὴν ναῦν ἐπὶ τὴν Εὐρώπην. ἔντεα γὰρ ναὸς περιφραστικῶς ἀντὶ τοῦ ναῦν εἶπε. διατί δὲ τοῦτό φησι, διασαφήσει.

116. Ἄπορα γὰρ λόγον Αἰακοῦ παίδων] διὸ μετάστρεφε τὸν λόγον ἐπὶ τὰ δυνατὰ ὥςπερ τινὰ ναῦν, ἐπὶ τοὺς ἱερονίκας.

118. Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων] φατρία τις ἀπό τινος Θεάνδρου προγόνου ἐνδόξου τῶν περὶ Τιμάσαρχον, [2]) ᾧ γέγραπται ἡ ᾠδή. ἦλθον οὖν κάρυξ, φησὶν, ἕτοιμος τοῖς Θεανδρίδαις τῶν αὐξόντων τὰ σώματα ἄθλων, τοὺς ἐν Ὀλυμπίᾳ [3]) καὶ τοὺς ἐν Ἰσθμοῖ καὶ Νεμέᾳ . . . . . .

123. Ἔνθα πεῖραν ἔχοντες] ἔνθα τοῖς ἀγῶσιν ἀπόπειραν λαβόντες καὶ γνῶσιν τῆς ἀγωνίας σχόντες οὐδέποτε ἄνευ στεφάνων εἰς τὴν οἰκείαν ἐληλύθασι, τῶν ἔνδοξον καρπὸν φερόντων στεφάνων.

126. Πάτραν νιν ἀκούομεν] τὴν πατρίδα σου ταύτην ἀκούομεν, φησὶ, τὴν τῶν Θεανδριδῶν, ὦ Τιμάσαρχε, προέχουσαν τοῖς τῶν ᾠδῶν ἐπινικίοις. [4]) τὸ γὰρ πρόπολον ἔμμεναι, τουτέστι προϋπάρχουσαν εἶναι. § ὁ δὲ νοῦς· τοιγαροῦν ἀκούομεν, ὦ Τιμάσαρχε, τὴν πατρίδα τὴν σὴν τοῖς ὕμνοις τοῖς ἀπὸ τῆς ὑμετέρας νίκης θεραπεύεσθαι καὶ εἶναι ὑπηρέτιν τῶν ὑμετέρων νικῶν.

129. Εἰ δέ τοι μάτρωϊ μ' ἔτι Καλλικλεῖ] μήτρως ὁ τῆς μητρὸς ἀδελφός. ὁ δὲ λόγος· εἰ δὲ τῷ σῷ ὕμνῳ κελεύεις ἔτι με θεῖναι στήλην πρὸς πάροδον καὶ μνησθῆναι τοῦ τῆς μητρός σου θείου Καλλικλέος, μνησθήσομαι. § ἢ οὕτως· εἰ δὲ δὴ καὶ τῷ Καλλικλεῖ τῷ τῆς μητρός σου θείῳ κελεύεις ἔτι στήλην τινὰ ἀναστῆσαι τῆς Παρίου λίθου λευκοτέραν, προσληπτέον ἔξωθεν τὸ ποιήσω, τουτέστι λαμπρῶς ὑμνήσω κἀκεῖνον. τοῦτο δὲ εἴρηκεν ὡς διστάσεως [5]) γεγονυίας ἐν ἀρχῇ, εἰ μνησθήσεται διὰ τῆς ᾠδῆς τοῦ Καλλικλέος. ἀλληγορικῶς δὲ τὸ ποίημα στήλην λέγει. Πάριος δὲ λίθος ἐστὶν ὁ καλούμενος λύγδινος.

133. Ὁ χρυσὸς ἑψόμενος] τουτέστιν ὡς τὸν χρυσὸν ποιεῖ τὸ πῦρ διαυγέστερον, οὕτω τοὺς ἀγαθοὺς ἄνδρας ὁ ὕμνος διαφανεστέρους καὶ τοῖς βασιλεῦσιν ἴσους· τουτέστιν οὕτω λάμπει, ὥςπερ οἱ ἀγαθοὶ ὑμνούμενοι λάμπουσιν.

138. Κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων] ἐκεῖνος ὁ Καλλικλῆς, φησὶν, εἰ καὶ τέθνηκεν ἤδη, τῆς ἐμῆς εὐφημίας τυγχανέτω· ὡς τετελευτηκότος δὲ αὐτοῦ, εὕρημα ἐχέ-

1) Heynius coniicit ἐξωτέρω et προσωτέρω: sed neutro opus. 2) Rom. Τιμασάρχου. 3) Addidi verba τοὺς ἐν Ὀλυμπίᾳ, et in fine cum Beckio signa lacunae posui. 4) Mira dictio ἐπινίκια seu ἐπινίκιοι τῶν ᾠδῶν: nec tamen cum Heynio deleverim τῶν ᾠδῶν. Paullo ante malim προέχουσαν; sed retinet me sequens προϋπάρχουσαν, nisi ibi quoque προέχουσαν scribes. 5) Sic recte Heynius coniecit: vulgo διαστώσεως. Deinde εἰ μν. scripsi p. ὅτι μν. et post Καλλικλέος delevi verbum φησίν.

Digitized by Google

τω, φησὶ, τὴν ἐμὴν γλῶσσαν εἰς τὸν ὕμνον αὐτοῦ τὴν ὑμνοῦσαν, τοῦτο γάρ ἐστι τὸ κελαδῆτιν, Καλλικλέα Ἴσθμια νενικηκότα. [1]) τοῦτό φησιν, ὅτι ἐν τῷ τοῦ Ποσειδῶνος ἀγῶνι τῷ Ἰσθμικῷ ἐστέφθη παρὰ τῶν Κορινθίων Καλλικλῆς. [2])

144. Τὸν Εὐφάνης ἐθέλων] ὄντινα Καλλικλέα καὶ ὁ Εὐφάνης ὁ πρεσβύτερος τῶν σῶν προγόνων, ὦ Τιμάσαρχε, ᾄσει καὶ ὑμνήσει, δηλαδὴ ὡς ἀποθανόντα ἀποθανών· ὡς ὅτι καὶ ἐν ᾅδου εἰσὶν οἱ θαυμάζοντες τοὺς ἀρίστους, καὶ ὅτι αἴσθησίς ἐστιν ἐν αὐτοῖς. § ἢ οὕτως· ὁ Εὐφάνης οὗτος ἐκ τοῦ αὐτοῦ γένους Τιμασάρχῳ παλαίτερός τις καὶ τῶν σοφῶν καὶ τῶν συγγραψάντων ἐπαίνους. λέγεται δὲ πάππος εἶναι τοῦ νικηφόρου πρὸς μητρός. § ἢ οὕτω· τοῦτο ἐπιπεφώνηκεν ὡς τοῦ Εὐφάνους καὶ Καλλικλέους ἡλικιωτῶν ὄντων. διό φησιν· ἐκεῖνος ὁ ~~ἡλικιώτης~~ ᾄσεται καὶ ὑμνήσει τὸν Καλλικλέα, τοὺς δὲ ἄλλους ὑμνήσουσιν οἱ ἡλικιῶται· τουτέστι σὲ οἱ ἡλικιῶται ὑμνήσουσι, τὸν δὲ Καλλικλέα ὁ Εὐφάνης.

148. Τὰ δ' αὐτὸς ἄν τις τύχῃ, ἔλπεταί τις ἕκαστος] ἕκαστος γάρ, φησὶν, οἴεται ταῦτα ὑπάρχειν ἐξοχώτατα, ἅπερ αὐτὸς εἶδε. τοῦτο δὲ λέγει ὡς τοῦ Εὐφάνους παρατετυχηκότος, ὅτε ὁ Καλλικλῆς ἐνίκα τὰ Ἴσθμια· διὸ ὑμνήσει αὐτὸν ἅτε παρατετυχηκὼς καὶ ἑωρακὼς ἐν τῷ ἀγῶνι τοῦ Ὀρσοτριαίνα αὐτὸν νικήσαντα. § ἢ οὕτω· ταῦτά γε μὴν ὅπως ἂν τύχῃ λέγων, ἐλπίζει καὶ πείθεται αὐτὸς ἐξαιρέτως καὶ ὑπὲρ τοὺς λογίους εἰρηκέναι. ἔνιοι δὲ οὕτως· ἅπερ δὴ ἄν τις τύχῃ θεασάμενος, ταῦτα δοκεῖ καὶ ἀκριβέστερον διατιθέναι καὶ κάλλιον οὕτω νοεῖν τῶν ἄλλων.

151. Οἷον αἰνέων κε Μελησίαν] ὁ Ἀρίσταρχος ψιλοῖ τὸ οἷον. ὁ δὲ λόγος· μόνον ἄν τις ἐπαινῶν τὸν Μελησίαν τὰς ἀναντωμένας ἔριδας παρὰ τῶν ἄλλων στρέφοι καὶ καταπαλαίοι καὶ καταγωνίζοιτο. ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. δύναται δὲ καὶ δασέως ἀναγινώσκεσθαι τὸ οἷον, θαυμαστικῶς, ὡς φησι Δίδυμος. ἐλλείπει δὲ τὸ τίς· οἷόν τις τοῦτον τὸν Μελησίαν ἐπαινῶν τὰς τῶν ἄλλων ἔριδας καταπαλαίοι· οἷον, καὶ περιγίνοιτο. διαπρέπει γάρ, ὥστε τοὺς φθονοῦντας μηδὲν ἀιύειν. § παρεῖται δὲ τὸ τίς. ἔστι γάρ· ἔριδα στρέφοι [3]) τις ῥήματα πλέκων, οἷον ἄν τις αἰνέων τὸν Μελησίαν. § ὁ δὲ νοῦς· μόνον δὲ ἄν τις αἰνέων καὶ ὑμνῶν τὸν Μελησίαν τὸν ἀλείπτην τοῦ Τιμασάρχου τὴν ἔριδα καὶ τὴν φιλονεικίαν ἀποστρέψαι, τὴν παρὰ τῶν ἄλλων δηλαδή.

153. Ἀπάλαιστος ἐν λόγῳ ἕλκει] τοῦτό ἐστι καὶ ἐπὶ τοῦ Μελησίου ἀκούειν, ὡς φησι Δίδυμος, οἷον· ἀκαταπάλαιστός ἐστι πρὸς τὸν ἕλκοντα αὐτὸν ἐν λόγοις, ὡς καὶ λογίου ὄντος τοῦ Μελησίου· οἱ δὲ ὅτι ὁ νικῶν. τάχα δὲ ὁ νικηφόρος κάλλιον ὑμνεῖται. [4]) ἀπάλαιστος οὖν, φησὶ, καὶ ἀνίκητος τοῖς ἕλκουσι [5]) καὶ ἐν τοῖς λόγοις καὶ οὐ δυνάμενος παραλογισθῆναι. ἀπὸ τῶν παλαιόντων δὲ πάλιν ἡ μεταφορὰ, καὶ τροπικαὶ αἱ λέξεις ἀπὸ τῆς ἀθλήσεως. ἐάν τις, φησὶν, αὐτὸν εἰς λόγους ἕλκῃ, [6]) οὐ πίπτει ἀλλ' ἔστιν ἀκαταπάλαιστος. ἔστι δὲ καὶ ἐπὶ τοῦ ἐπαινοῦντος αὐτὸν ἀκοῦσαι, ἐφ' οὗ προεῖπε τὸ οἷον αἰνέων κε Μελησίαν. τὰ δὲ ἑξῆς ἐπὶ τοῦ Μελησίου λέγει.

[1]) Νικ. addidit Beckius. [2]) Ultima pertinent ad vs. 142. [3]) Rom. τρέφοι, sed hoc solo loco. [4]) Vulgo ὑμνεῖ. [5]) Addidi ἕλκουσι, retento tamen sequenti καὶ, quod olim abiiciendum putabam; ut sensus sit: *etiam ab iis invictus, qui oratione eum carpant et vellant.* [6]) Vulgo ἕλκει. Talia passim retinui in deterioris notae scholiis; hic non fero.

Digitized by Google

155. Μαλθακὰ μὲν φρονέων ἐσλοῖς, τραχὺς δὲ παλιγκότοις ἔφεδρος] καὶ ταῦτα ἐπὶ τοῦ Μελησίου. οὗτος δέ ἐστι τὸ γένος Ἀθηναῖος. ταῦτα δέ φησιν ὡς τοῦ Τιμασάρχου ὑπὸ τοῦ Μελησίου ἀληλειμμένου. ἔφεδρος οὖν τοῖς ἐχθροῖς ὁ ἐπικείμενος τοῖς ἐχθροῖς, ὁ ἐφεδρεύων καὶ ἐπιτηρῶν· ἀθλητικὸν δὲ τὸ νόημα, οἷον ἀντὶ τοῦ δυσκαταγώνιστος. προκεκληρωμένοις γὰρ καὶ προκεκμηκόσι τοῖς προηγουμένοις πρὸς ἀλλήλους ἀκοπίατος [1]) ἐφέστηκε. τὸ δὲ τραχὺς ἀντὶ τοῦ φοβερὸς, ἐπαχθής. § ὁ δὲ νοῦς ὅλος· πρᾷος μὲν καὶ προσηνὴς τοῖς ἀγαθοῖς καὶ φίλοις, χαλεπὸς δὲ τοῖς ἐναντίοις ἐφεδρευτής.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Ε'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πέμπτου τῶν Νεμέων εἴδους.

Τῆς πέμπτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἕνδεκα. Τὸ α' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ β' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ γ' ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ δ' δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ ε' ἐγκωμιολογικόν. Τὸ ς' ὁμοίως τῷ β'. Τὸ ζ' τὸ αὐτό. ἡ δέ τι [2]) ἐμηκύνθη ὡς καταλήξασα. Τὸ η' Εὐριπίδειον. Τὸ θ' ἰαμβέλεγος. Τὸ ι' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ια' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἕνδεκα. Τὸ α' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ β' τροχαϊκὸν [3]) δίμετρον ἀκατάληκτον. Τὸ γ' ἐγκωμιολογικόν. Τὸ δ' Εὐριπίδειον. Τὸ ε' προσοδικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς' Εὐριπίδειον. Τὸ ζ' ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον. Τὸ η' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ θ' ἐπιχοριαμβικὸν τρίμετρον ἀκατάληκτον, διὰ τὴν ἐν ἀρχῇ τοῦ τροχαίου συζυγίαν. καὶ ἔστι Σαπφικὸν πλεονάζον μιᾷ συλλαβῇ κατὰ τὸν ἴαμβον ἐξηλλαγμένον. Τὸ ι' ἰαμβέλεγος λειπούσης τῆς ἀρχῆς. Τὸ ια' Ἰωνικὸν δίμετρον ἀκατάληκτον· καὶ ἡ τελευταία ἀπόδοσις τὸ Χάρισιν ἐξέτεινεν.

---

1. Οὐκ ἀνδριαντοποιός εἰμι] φασὶν ὅτι οἱ οἰκεῖοι τοῦ Πυθέου ἦλθον πρὸς αὐτὸν, παρακαλοῦντες ὅπως γράψῃ ἐπίνικον· [4]) Πινδάρου δὲ αἰτήσαντος τρισχιλίας [5])

1) Ne corrigas ἀκοπίαστος, conf. schol. rec. Olymp. II, 109. 2) Vs. 7. in voce ὅτι. 3) Rom. τροχαῖος, ut solet. 4) Formam ἐπίνικος huius loci occasione vindicat Schaefer. ad Gregor. p. 539. Eam ego ex fide librorum in scholiis veteribus sexcenties restitui, alteram autem ἐπινίκιος raro deprehendi, aliquoties ad Nem. IV. ubi id notavi. 5) Vulgo τρεῖς, Scaliger τριακοσίας:

Digitized by Google

δραχμὰς ἔφασαν ἐκεῖνοι κάλλιον εἶναι χάλκεον ἀνδριάντα ποιῆσαι τῆς αὐτῆς τιμῆς ἢ τὸ ποίημα. χρόνῳ δὲ ὕστερον γνωσιμαχήσαντες ἦλθον τὸ αὐτὸ διδόντες· ὁ δὲ ἐξονειδίζων αὐτοὺς οὕτως ἤρξατο καί φησι, μὴ κατασκευάζειν ἔργα τὴν αὐτὴν κατέχοντα χώραν, καθὼς οἱ ἀνδριαντουργοὶ τοὺς χαλκοῦς ἀνδριάντας, ἀλλὰ τὰ ποιήματα ἅπερ πανταχόσε δεῖκνεῖται, ὥστε τὴν ἀρετὴν τῶν ἐπαινεθέντων πολλοῖς εἶναι δήλην. § ὁ δὲ νοῦς· οὐκ εἰμί, φησίν, ἀνδριαντοποιὸς, ὥστε ἀργὰ καὶ ἀκίνητα ἐργάζεσθαι ἀγάλματα ἐπ' αὐτῆς τῆς βαθμίδος ἑστῶτα διηνεκῶς καὶ οὐ δυνάμενα ἀλλαχοῦ τὴν τοῦ νικηφόρου διαβοᾶν εὐδοξίαν. ἐνδείκνυται δὲ διὰ τούτων, ὅτι οἱ λόγοι πάντων εἰσὶ βελτίους.

4. Ἀλλ' ἐπὶ πάσης ὁλκάδος] ὁλκὰς εἶδος φορτηγοῦ πλοίου· ἄκατος δὲ πλοῖον βραχύτατον. ὁ δὲ λόγος· διὰ παντὸς οὖν πλοίου φορτηγοῦ τε καὶ μικροτέρου, ὦ γλυκεῖά μου ᾠδὴ, πορεύου ἐκβοῶσα πρὸς πάντας τὰς τοῦ Πυθέου νίκας. τὸ δὲ Νικῇ κατὰ μετάθεσιν τοῦ ᾱ εἰς ῑ.

10. Οὔπω γένυσι φαῖνεν τέρειναν] ἀλληγορεῖ βουλόμενος σημῆναι τὸν ἄγενειον ἀπὸ τῆς κυπριζούσης ἀμπέλου. ἡ δὲ ὀπώρα οὐκ ἔστι τῆς οἰνάνθης μήτηρ, ἀλλὰ τοὐναντίον· προανθεῖ γὰρ πρῶτον, εἶτα ὀπώρα γίνεται. χρῆται δὲ τῇ τοιαύτῃ ἀναστροφῇ συνήθως, [1]) ὡς· Ἁσυχία φιλεῖ μὲν συμπόσιον· [2]) οὐ γὰρ ἡ ἡσυχία φιλεῖ τὸ συμπόσιον, ἀλλὰ τὸ συμπόσιον τὴν ἡσυχίαν. Δίδυμος δὲ βέλτιόν φησι μὴ τὸν καρπὸν, ἀλλὰ τὴν ὥραν ἀκούειν, καθ' ἣν ὁ καρπὸς ὁμώνυμος [3]) πεπαίνεται. ὅτι δὲ καλοῦσι τὸν καιρὸν ὀπώραν, Ὅμηρος· [4])

Καὶ φάτ' ἐλεύσεσθαι ἢ ἐν θέρει ἢ ἐν ὀπώρῃ.

θέλει οὖν λέγειν, ὅτι οὔπω καιρὸν τοῦ γενειάσκειν ἔχων. οἰνάνθην γὰρ κατὰ μεταφορὰν τὸν ἴουλον εἴρηκε, τουτέστι τὴν πρώτην τῶν γενειάδων ἀνάφυσιν· μήτηρ δὲ τοῦ γενειάσκειν [5]) γίνεται ἡ ὥρα. § ὁ δὲ νοῦς· οὐδέπω ἐν τῇ γενειάδι δεικνὺς τὴν ἀπαλὴν ὥραν καὶ ὀπώραν, τουτέστιν οὐδέπω γενειάσκων. § τὸ δὲ σχῆμα περίφρασις ἐξ ἀλληγορίας· τῆς ἀπαλῆς οἰνάνθης τὴν μητέρα ὀπώραν φαίνων, ὅπερ ἐστὶν ὥραν, ὡς Ὅμηρος· [6]) Οὔτ' ἐν θέρει οὔτ' ἐν ὀπώρῃ, ἀντὶ τοῦ τῷ ὀπωρινῷ καιρῷ.

12. Ἐκ δὲ Κρόνου καὶ Ζηνός] Τελαμὼν καὶ Πηλεύς· Κρόνου μὲν γὰρ Χείρων καὶ Φιλύρας, Χείρωνος δὲ Ἐνδηΐς, Ἐνδηΐδος δὲ Τελαμὼν καὶ Πηλεὺς ἐξ Αἰακοῦ.

Ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας] συλλήψει κέχρηται ἀπὸ Κρόνου καὶ Ζηνὸς καὶ Νηρεΐδων λέγων εἶναι τοὺς Αἰακίδας. Αἰακὸς γὰρ Διὸς, Αἰακοῦ δὲ καὶ Ἐνδηΐδος τῆς Χείρωνος Τελαμὼν καὶ Πηλεὺς, ὁ δὲ Χείρων Κρόνου. πάλιν ἀπὸ τῶν Νηρεΐδων Φῶκος καὶ Ἀχιλλεύς· Ἀχιλλεὺς μὲν γὰρ παῖς Θέτιδος ἔκγονος ὢν Αἰακοῦ, Φῶκος δὲ Ψαμάθης Νηρεΐδος [7]) καὶ αὐτῆς ἐξ Αἰακοῦ. [8]) τούτους οὖν ἐκ Κρόνου καὶ Ζηνὸς καὶ [9])

v. Bast. ad Gregor. l. c. Non dubitavi in textum immittere τριχιλίας, quod neque tribus neque trecentis drachmis statua ahenea constare potuit. Ceterum universa res fabula est eaque valde inepta. [1]) Vulgo συνετῶς. Correxit Faehsius Syllog. p. 406. Conf. Schol. ad Nem. VII, 53. X, 55. Isthm. II, 28. et alibi passim. [2]) Nem. IX, 114. vulg. ubi v. Schol. [3]) Vulgo ὁμωνύμως. [4]) Odyss. ξ, 384. ubi ἢ ἐς θέρος ἢ ἐς ὀπώρην. [5]) Vulgo γενειάσκοντος. [6]) Odyss. μ, 76. [7]) Rom. Νηρηΐδος, quod mutavi, quia scholiastes breviori forma in hac nota uti solet: posthac tamen retinui Νηρηΐδων ob verba poetae. [8]) Hoc loco olim legebatur scholium prius ad vs. 12. quod eximendum necessario et alio loco ponendum erat. [9]) Addidi ἐκ et καί.

Digitized by Google

ἀπὸ χρυσῶν Νηρηΐδων φυτευθέντας ἐγέραιρε τίς; ὁ Πυθέας νικήσας, ὡς ἂν προγόνους αὐτοῦ καὶ κτίστορας. § ὁ δὲ νοῦς· τοὺς δὲ ἀπὸ Κρόνου καὶ Διὸς καὶ ἀπὸ τῶν καλλίστων Νηρεΐδων, τουτέστι τοὺς Αἰακίδας ἐκόσμησε, καὶ αὐτὴν τὴν μητρόπολιν Αἴγιναν. ἀπὸ κοινοῦ δὲ τὸ ἐγέραιρε. ξείνων ἄρουραν δὲ τὴν Αἴγινάν φησιν, ἢ ὅτι φιλόξενοι οἱ Αἰγινῆται, ἢ καθότι μητρόπολις ἦν τῶν περὶ Πηλέα καὶ Τελαμῶνα. γεννηθέντες γὰρ ἐν τῇ Αἰγίνῃ ἀπῳκίσθησαν διὰ τὸν Φώκου θάνατον.

17. Τάν ποτ' εὔανδρόν τε] τουτέστιν ἀγαθοὺς ἄνδρας ἔχουσαν καὶ ἔνδοξον [1]) τῷ ναυτίλλεσθαι. § ὁ δὲ νοῦς· ἥντινα Αἴγιναν ηὔξαντο ἀγαθῶν ἀνδρῶν ἐπιτυχεῖν καὶ ἔνδοξον γενέσθαι τὰ ναυτικά· ηὔξαντο δὲ πάντες παρὰ τὸν Ἑλλανίου Διὸς βωμόν. Ἑλλήνιος δὲ Ζεὺς τιμᾶται ἐν Αἰγίνῃ παρὰ τῷ οὕτως Ἑλληνίῳ ἀκρωτηρίῳ καλουμένῳ. φασὶ γὰρ αὐχμοῦ ποτε πιέζοντος τὴν Ἑλλάδα, ἔνιοι δὲ κατακλυσμοῦ, συνελθόντας τοὺς Ἕλληνας καθικετεῦσαι τὸν Αἰακὸν ὡς ὄντα παῖδα Διός, ἐξαιτήσασθαι τῶν τότε συστάντων κακῶν τὴν ἴασιν· τοῦτον δὲ εὐξάμενον ἀποθεραπεῦσαι τὰ δεινά, καὶ οὕτω διὰ τὴν τῆς Ἑλλάδος σωτηρίαν Ἑλλήνιον παρὰ τοῖς Αἰγινήταις τετιμῆσθαι [2]) Δία.

21. Ἐνδαΐδος ἀρίγνωτες υἱοί] τίνες δὲ πάντες ὁμοῦ ἐλιτάνευσαν περὶ τῶν προειρημένων; οἱ ἔνδοξοι παῖδες τῆς Ἐνδηΐδος, φησί, [3]) Τελαμὼν καὶ Πηλεύς, καὶ ὁ Φῶκος ὁ τῆς θεοῦ Ψαμάθης [4]) παῖς, ὅντινα ἡ Ψαμάθη ἐγέννησε παρὰ τοῖς αἰγιαλοῖς τῆς θαλάσσης, εἰκότως ὡς Νηρηΐς. κρέοντος δέ, ἤτοι τοῦ ἐνδόξου ἢ βασιλέως.

25. Αἰδέομαι μέγα εἰπεῖν] αἰδοῦμαι καὶ φυλάττομαι, φησί, διηγήσασθαι μέγα τι καὶ οὐ δικαίως τετολμημένον καὶ πεπραγμένον. εἰς γὰρ τὰ πάτρια τῶν Αἰακιδῶν ἐμπεσὼν καὶ μνησθεὶς Φώκου ὑποστέλλεται τὴν κατ' αὐτὸν τύχην λέγειν. ἔστι δὲ αὕτη. φασὶ γὰρ Πηλέα καὶ Τελαμῶνα ἐν γυμνασίοις ἀνελόντας Φῶκον, τὸν μὲν δίσκῳ τύψαντα τὸν Πηλέα, καὶ τὸν Τελαμῶνα σιδήρῳ τὰ μετάφρενα, καὶ οὕτω τὸ μῦσος φεύγοντας τῆς Αἰγίνης ἐκπεσεῖν, καὶ τὸν μὲν Τελαμῶνα εἰς Σαλαμῖνα τὴν πρὸς τῇ Ἀττικῇ, τὸν δὲ Πηλέα εἰς Θετταλίαν μετοικῆσαι· ὡς καὶ Ἀπολλώνιος ἐν τῷ καταλόγῳ φησί· [5])

Τελαμὼν μὲν ἐν Ἀτθίδι νάσσατο νήσῳ,
Πηλεὺς δ' ἐν Φθίῃ ἐριβώλακι ναῖε λιασθείς.

§ Ἄλλως. τί αἰδεῖται ὁ Πίνδαρος, καὶ τί αὐτοῖς φησι μὴ δικαίως κεκινδυνευμένον εἶναι; τὸ ὅτι ἀνεῖλον τὸν Φῶκον καὶ ἔφυγον· περιεσταλμένως δὲ αὐτὸ εἴρηκε. μέγα δὲ ἔργον φησὶν, ὅτι οὐ κατὰ δίκην ὁ κίνδυνος ἐγενήθη τῷ Τελαμῶνι καὶ τῷ Πηλεῖ τὸν ἑαυτῶν ἀδελφὸν ἀποκτείνασι Φῶκον, ἀλλ' ἄδικος ὁ τοιοῦτος κίνδυνος, ὃν φησιν αἰδεῖσθαι εἰπεῖν. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι· τὸ ἀκίνδυνον ἐν δίκῃ, ἀληθές. ὃ γὰρ μὴ ἔχει κίνδυνον κατὰ τὴν δίκην, ἀληθές ἐστιν. οἶδεν οὖν ὁ Πίνδαρος τὸν Φώκου θάνατον, ἀλλ' ἐκτρέπεται εἰπεῖν. μήποτε δὲ καὶ τὸ παρὰ Καλλιμάχῳ, [6])

Ἔκλυέ τοι, τῶν μηδὲν ἐμοὺς δι' ὀδόντας ὀλισθῇ,
Πηλεύς,

οὕτως ἀποδοτέον, ὅτι αἱ γυναῖκες ὠνείδιζον αὐτῷ τὸν Φώκου θάνατον. § ὁ δὲ νοῦς· αἰδοῦμαι γοῦν, φησί, τὴν προφανῆ αἰτίαν, δι' ἣν κατέλιπον τὴν ἐνδοξοτάτην νῆσον Αἰ-

1) Vulgo ἐν p. ἔνδοξον. 2) Ita Heynius emendavit: olim τιμῆσαι. 3) Olim φασί. 4) Rom. utroque loco Ψαμμ. 5) Argon. I, 93. 6) Fragm. 136. In Rom. deest τοι.

Digitized by Google

γιναν, εἰπεῖν, καὶ τίς τούτους τοὺς ἄνδρας δαίμων καὶ τύχη ἀπὸ τῆς Οἰνώνης ἀπήλασε· παύσομαι τῆς τοιαύτης διηγήσεως.

30. Οὔ τοι ἅπασα κερδίων] οὐ φέρει κέρδος πᾶσα ἀλήθεια· ἀτρεκὴς γὰρ καὶ φαίνουσα τὸ ἴδιον πρόσωπον· ἀλλὰ δεῖ ποτε καὶ ἐπικεκρύφθαι τὸ πρόσωπον τῆς ἀληθείας. § ὁ δὲ νοῦς· οὐ γὰρ πᾶσα ἐπικερδής ἐστιν ἀλήθεια, φανερὰ γινομένη καὶ εἰς ὄψιν ἀγομένη ἀτρεκῶς, ἀλλὰ πολλάκις καὶ τὸ νοῆσαι, ὅτι δεῖ κατὰ καιρὸν σιωπῆσαι, σοφώτατόν ἐστι πρᾶγμα.

34. Εἰ δ' ὄλβον ἢ χειρῶν βίαν] τὰ μὲν περὶ τὸν φόνον τοῦ Φώκου διασιωπήσομαι· εἰ δέ τοι ἐπαινέσαι δεῖ, φησὶν, ἢ εὐδαιμονίαν ἀνθρώπου ἢ σθένος χειρῶν ἢ τὴν κατὰ πόλεμον ἀρετὴν, δύναμαι, φησὶ, πόρρω ἄλλεσθαι τοὺς Αἰακίδας ἐν τούτοις ὑμνῶν. § ὁ δὲ νοῦς· εἰ δὲ δεῖ τὴν ἄλλην εὐδαιμονίαν τὴν Αἰακιδῶν, ἢ τὴν ἀνδρείαν ἢ τὰ κατὰ πόλεμον ἔργα ἐπαινέσαι, ἤδη τίς μοι ὑποσκαπτέτω πήδημα τῶν μεγάλων σημείων, ὥστε κούφως διὰ τῶν γονάτων ἐπὶ τὸ ἐξώτερον φέρεσθαι. ἀλληγορεῖ οὖν· δυνάμενος πλέον πάντων θαυμάσαι αὐτοὺς καὶ ὑπερβαλέσθαι τοὺς ἀγωνίζεσθαι δυναμένους. [1]) ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πεντάθλων, οἷς σκάμματα σκάπτονται, ὅταν ἄλλωνται· ἐκείνων γὰρ κατὰ τὸν ἀγῶνα πηδώντων, ὑποσκάπτεται βόθρος ἑκάστου τὸ ἅλμα δεικνύς. φησὶν οὖν ὅτι βουλομένῳ μοι τοὺς Αἰακίδας ἐγκωμιάζειν ἤδη τις μακρὰ ὑποσκαπτέτω μοι ἅλματα, νικῆσαι [2]) καθάπαξ τοὺς ἐναντιοῦσθαί μοι καὶ ἐγκωμιάζειν βουλομένους.

39. Καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί] οἱ ἀετοὶ, φησὶν, οὐ μόνον τὰ περίγαια πέτονται, ἀλλὰ καὶ πελαγίζουσι· καὶ ἐγὼ οὖν ὡς ἀετὸς πελαγιῶ ἐν τοῖς ποιήμασιν.

42. Ἐν δὲ μέσσαις φόρμιγγ' Ἀπόλλων] ἐν αἷς Μούσαις ὁ Ἀπόλλων κιθάραν ἐπτάφωνον τῷ πλήκτρῳ κρούων· διὰ γὰρ τοῦ πλήκτρου ὥσπερ γλώσσης ὁ φθόγγος ἀποδίδοται· ἐξῆρχε πάσης μελῳδίας, τουτέστι νόμων μελῳδικῶν. τοῦτο δέ φησι παρὰ τὸ ὡς νομίῳ θεῷ τῷ Ἀπόλλωνι ἀνακεῖσθαι τὴν Μοῦσαν. τὸ δὲ διώκων ἀντὶ τοῦ συνάπτων, κιθαρίζων τῷ πλήκτρῳ. διώκειν δέ φησιν αὐτὸν, τὸ τάχος ἐμφῆναι βουλόμενος τῆς πλήξεως.

46. Αἱ δὲ πρώτιστον μὲν ὕμνησαν] αἱ Μοῦσαι, φησὶ, πρῶτον μὲν ὕμνησαν τὸν Δία, μετὰ δὲ τὸν Δία ὕμνησαν δευτέραν τὴν Θέτιν, ἔπειτα τρίτον τὸν Πηλέα, καὶ διηγήσαντο ὅπως αὐτὸν ἡ ἁβρὰ Κρηθηὶς ἡ τοῦ Ἱππολύτου θυγάτηρ ἀνελεῖν ἐβουλήθη· ἐκ δὲ τούτου τὸ σεμνὸν ἐγκωμιαζόμεναι [3]) ᾖδον. § Ἄλλως. ἀπὸ Διὸς προοιμιαζόμεναι, φησὶν, ᾖδον καὶ ὕμνουν τὴν Θέτιν. τὸ προοίμιον οὖν ἀπὸ Διὸς ἐποιήσαντο· καὶ ἀλλαχοῦ· [4]) Ὅθεν περ καὶ Ὁμηρίδαι, Διὸς ἐκ προοιμίου. καὶ Ἄρατος· [5]) Ἐκ Διὸς ἀρχώμεσθα.

50. Μαγνήτων σκοπὸν πείσαισ' ἀκοίταν] τὸν Ἄκαστον τῆς Μαγνησίας τὸν ἐπίσκοπον καὶ βασιλέα. ποικίλοις οἶν, φησὶ, λόγοις τὸν ἑαυτῆς ἄνδρα πείσασα [6]) ἡ Κρηθηὶς ἐπεβούλευσε τῷ Πηλεῖ· τὸ δὲ πλάσμα, ψεύστης ἦν λόγος, ὅτι ἄρα ἐπειρᾶτο ὁ Πηλεὺς ἐπιβουλεῦσαι τῇ κοίτῃ τοῦ Ἀκάστου καὶ μοιχεῦσαι τὴν Κρηθηΐδα· ἦν δὲ τὸ

1) Lege βουλομένους. 2) Deest ὥστε. 3) Vulgo ἐγκωμιάζεσθαι. 4) Nem. II. princ. 5) Phaenom. princ. Romana ἀρχόμεσθα. 6) Addidi πείσασα.

Digitized by Google

ἐναντίον· πολλὰ γὰρ αὐτὸν τὸν Πηλέα ἐκ μέσης ψυχῆς ἐλιτάνευε καὶ παραπείθειν ἐπεχείρει συνελθεῖν αὐτῇ.

58. Τοῦ δὲ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι] οἱ προσάντεις λόγοι καὶ χαλεποί, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ὑψηλῶν τόπων. προσάντεις οὖν οἱ ἀντίτυποι λόγοι καὶ δυσπρόσιτοι. § ὁ δὲ νοῦς· τούτου δὲ τὴν προαίρεσιν καὶ τὸν τρόπον ἔκνιζον καὶ ἐλύπουν οἱ ἄδικοι λόγοι, καὶ παραχρῆμα ἀπηρνήσατο αὐτὴν εὐλαβηθεὶς τὴν τοῦ ξενίου Διὸς ὀργήν· ἵνα καθόλου ἀκούσωμεν τοῦ πατρός. ὡς Ὅμηρος· [1]) Πατὴρ ἀνδρῶν τε θεῶν τε. ἢ ὅτι ὁ Πηλεὺς ἔκγονος ἦν Διός.

62. Ὁ δ' ἐφράσθη] ὁ δὲ Ζεὺς, φησὶν, ἐφράσθη, ἀντὶ τοῦ ἔγνω, καὶ ἀντὶ τῆς σωφροσύνης ἐπένευσεν [2]) αὐτῷ καὶ παρέσχεν ὥστε λαβεῖν γυναῖκα τὴν Θέτιν.

67. Γαμβρὸν Ποσειδάωνα πείσαις] πείσας ὁ Ζεὺς σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα· ὁ μὲν γὰρ τὴν Θέτιν, ὁ δὲ τὴν Ἀμφιτρίτην ἔγημεν. Αἰγαὶ δὲ νῆσός ἐστι πρὸς τῇ Εὐβοίᾳ, [3]) καὶ ἀπὸ ταύτης τὸ πέλαγος Αἰγαῖον προσαγορεύεται. ἀπὸ τῶν Αἰγῶν οὖν φησι τὸν Ποσειδῶνα συνεχῶς ἐπὶ τὸν Ἰσθμὸν πορεύεσθαι. ὅτι δὲ Ποσειδῶνος ἱερὰ αὕτη, φησὶ καὶ Ὅμηρος· [4])

Οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσιν
Πολλά τε καὶ χαρίεντα.

διατί δὲ ὠνόμασε νῦν τὸν Ἰσθμόν; ὅτι οἰκεῖός τις ἦν τοῦ Πυθέου, εἰς ὃν αὕτη ἡ ᾠδὴ γέγραπται, Εὐθυμένης ὃς ἐνίκησεν Ἴσθμια. § ὁ δὲ νοῦς· πείσας σύγγαμβρον αὐτῷ γενέσθαι τὸν Ποσειδῶνα, ὅστις συνεχῶς ἀπὸ τῶν Αἰγῶν ἐπὶ τὸν τῶν Κορινθίων ἰσθμὸν φοιτᾷ, ὅπου δὴ μάλιστα αἱ συνεταὶ τῶν Κορινθίων τάξεις ὑποδέχονται τὸν θεὸν μετὰ βοῆς τῶν αὐλῶν, ὅτε δὴ καὶ διαφιλονεικοῦσιν ἀγωνιζομένοις σώμασιν ἀνδρείαν· ἴσως ἐν τοῖς Ἰσθμικοῖς ἀγῶσι· τότε δὲ ἑκάστου δείκνυται καὶ διακρίνεται τὸ συγγενηθὲν θράσος ἐπὶ πάντων τῶν τελουμένων ἔργων.

70. Ἔνθα μιν εὔφρονες ἵλαι] ἵλαι αἱ τάξεις καὶ αἱ συστροφαὶ τῶν νέων αἱ ἐν τῷ χορῷ γινόμεναι· ὅθεν καὶ εἱλαπίναι· ὅπου αὐτῶν αἱ ἵλαι τῶν κωμαζόντων μετὰ τὰς νίκας εὔφρονες οὖσαι, τουτέστιν εὐφραντικαὶ, ἐκδέχονται μετὰ μελῶν· ὅπου γὰρ κῶμοι, ἐκεῖ ἐστιν εὐφροσύνη. εἶτα ἐποίσει, διατί τοῦ Ἰσθμοῦ ἐμνήσθη.

75. Τὺ δ' Αἰγίνᾳ θεᾶς, Εὐθύμενες] ὁ Εὐθυμένης οἰκεῖος τοῦ Πυθέου. § ὁ δὲ νοῦς· σὺ δὲ, ὦ Εὐθύμενες, ἐν τῇ Αἰγίνῃ προσερχόμενος, ἐν ταῖς ἀγῶσι τῆς θεᾶς Νίκης ἠδυνήθης πολλῶν ὕμνων τυχεῖν. τοῦτο δέ φησι διὰ τὸ εἶναι αὐτὸν παγκρατιαστήν.

78. Ἤτοι μεταξὺ ἀντα καὶ νῦν τεὸς μάτρως ἀγάλλει] μήτρως ἢ ὁ τῆς μητρὸς ἀδελφὸς ἢ ὁ κατὰ μητέρα συγγενής· χρῆται γὰρ οὕτως ὁ Πίνδαρος. ἀγάλλει σου τὸ ὁμόσπορον ἔθνος τὸ τῶν Αἰγινητῶν. καταλληλότερον δὲ ἔνιοι γράφουσι Πυθέας, ἵν' ᾖ μήτρως Πυθέας. οὐ μόνον, φησὶ, Νέμεα νενικήκατε, ἀλλὰ καὶ ἐν Αἰγίνῃ τοὺς ἡλικιώτας ἐλθόντας οἴκοι τῷ κράτει νενικήκατε. ἔστι δὲ ἀγὼν ἐν Αἰγίνῃ ἀγόμενος τὰ Αἰάκεια, ὅντινα δηλαδὴ ἐνίκησεν ὁ Πυθέας. § ὁ δὲ νοῦς οὕτω· μετὰ τὰ προειρημένα περὶ [5]) σοῦ ἔτι καὶ ἐπὶ τοῦ παρόντος ὁ σὸς μήτρως, ὦ Εὐθύμενες, ὁ Πυθέας ἀγάλλει

1) Iliad. α, 544. 2) Vulgo ἐπενόησεν, quod correxit Schneiderus. 3) Inepte. Aegae enim oppidum Euboeae est. 4) Iliad. θ, 203. Rom. οἱ δέ τι. 5) Vulgo ὑπὸ σοῦ.

Digitized by Google

τε καὶ σεμνύνει τὸ ὁμόσπορον ἔθνος καὶ συγγενὲς ὑμῶν τὸ τῶν Αἰακιδῶν τὸ ὂν ἐν τῇ Αἰγίνῃ.

81. Ἁ Νεμέα μὲν ἄρηρε μείς τ' ἐπιχώριος] παρ' Αἰγινήταις Δελφίνιος μεὶς ἄγεται Δελφινίου Ἀπόλλωνος ἱερὸς, ἐν ᾧ ἴσως φησὶ γεγενῆσθαι τὰ Νέμεα. πεφιλῆσθαι γάρ φησι τὸν μῆνα τοῦτον ὑπὸ τοῦ Ἀπόλλωνος. καὶ εἴη ἂν ὁ μὴν οὗτος, ἐν ᾧ θύουσιν Αἰγινῆται Ἀπόλλωνι οἰκιστῇ καὶ δωματίτῃ, καθά φησι Πυθαίνετος. § Ἄλλως. μεὶς ἐπιχώριος ὁ Δελφίνιος μὴν καλούμενος, καθ' ὃν τελεῖται Ἀπόλλωνος ἀγὼν Ὑδροφόρια καλούμενος. ὁμοίως οὖν, φησὶν, ἥρμοσται τῷ Πυθέᾳ καὶ οὗτος ὁ Δελφίνιος. § ὁ δὲ νοῦς· ἡ μὲν γὰρ Νεμέα καὶ προσήρμοσται αὐτῷ πρὸς τὸ νικᾶν ἀεὶ, καὶ ὁ πάτριος ἀεὶ παρ' Αἰγινήταις μὴν, ὃν ὁ Ἀπόλλων ἐφίλησεν· ἐλθόντας δὲ καὶ ὁρμήσας ἐν Αἰγίνῃ νικᾷ.

84. Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ] τουτέστιν ἐν Μεγάροις. διατίθεται δὲ Ἀπόλλωνι, καὶ Πύθια καλεῖται ὁ ἀγών. § Ἄλλως. ἐν Μεγάροις τῷ εὐθέτῳ χωρίῳ ὁμοίως ἐνίκησε τὰ Ἀλκαθοῖα. Νῖσος δὲ βασιλεὺς Μεγάρων. ἥδομαι δὲ, φησὶν, ὅτι τῶν καλῶν ἕνεκα πᾶσα φιλονεικεῖ ἡ πόλις.

87. Ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ] λείπεται τὸ ὅτι. ὁ δὲ λόγος· ἴσθι, ἐπωνάσθης τῶν τοῦ Μενάνδρου μόχθων. § ἢ οὕτω· γίνωσκε ὅτι γλυκεῖαν ἀμοιβὴν ἐκαρπώσω τῶν πόνων ἐκ τῆς νίκης σὺν τῇ Μενάνδρου παρουσίᾳ. οὗτος δὲ Ἀθηναῖος, ἀλείπτης Πυθέου. τὸ δὲ τύχᾳ ἀμφίβολον, ἢ σὺν τῇ σῇ τύχῃ ἢ τοῦ Μενάνδρου.

89. Χρὴ δ' ἀπ' Ἀθανᾶν] χρὴ δὲ ἀπὸ Ἀθηνῶν τοὺς ἐπιστάτας εἶναι τῶν ἀθλητῶν, ἐπειδὴ καὶ ὁ Μένανδρος Ἀθηναῖος. τοῦτο δέ φησιν, ἐπειδὴ πρότερον ὁ Θησεὺς Ἀθηναῖος ὢν εὗρε παγκράτιον ἄνευ μυρμήκων· ἡνίκα γὰρ ἐν τῷ Λαβυρίνθῳ ἐξησθένει πρὸς τὴν ἰσχὺν τοῦ Μινωταύρου, παγκρατίῳ αὐτὸν διαπαλαίων περιγέγονεν· οὐ γὰρ εἶχε μάχαιραν· καὶ οὕτως ἐνομίσθη εὑρετὴς τῆς πυγμῆς. ἴσως οὖν ὁ Πίνδαρος οὐκ ἀργῶς μέμνηται τῶν Ἀθηνῶν, ἀλλὰ τοιοῦτόν τι ὑποσημαίνων. § Ἄλλως. ἐν Ἀθήναις φασὶν [1]) εὑρῆσθαι τὴν παλαιστρικὴν ὑπὸ Φόρβαντος τοῦ παιδοτρίβου Θησέως. Φερεκύδης [2]) δὲ ἠνίοχον τὸν Φόρβαντά φησι Θησέως, σὺν ᾧ καὶ τὴν Ἀμαζόνα ἁρπάζει. καὶ Πολέμων δὲ ἱστορεῖ πάλην εὑρηκέναι Φόρβαντα Ἀθηναῖον. ὅτι δὲ Θησεὺς παρ' Ἀθηνᾶς ἔμαθε τὴν πάλην, Ἴστρος ἱστορεῖ.

91. Εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν] εἰ δὲ βούλει, φησὶν, καὶ ἦλθες ὑμνεῖν τὸν Θεμίστιον· οὗτος δὲ λέγεται πάππος τῷ Πυθέᾳ πρὸς μητρός· μηκέτι εὐλαβούμενος, φησὶ, φθέγγου, μηδὲ ὡς ὑπὸ ῥίγους συνεχόμενος, ἀντὶ τοῦ μηδεμίαν εὐλάβειαν ἔχων, θαύμαζε ὡς καὶ μεγαλοφώνως βοᾶν.

94. Πρὸς ζυγὸν καρχασίου] καρχήσιον τὸ ἀνώτατον τῆς κεραίας. τούτῳ [3]) τὸ ἱστίον προσανατείνουσιν, ὅταν θέλωσι δαψιλεῖ τῷ ἀνέμῳ χρῆσθαι οὐριοδρομοῦντες. καὶ πύκτην οὖν αὐτὸν ὑμνεῖ καὶ παγκρατιαστὴν, διπλόην νικῶντα ἀρετὴν ἐν Ἐπιδαύρῳ, ὡς διττὰ Ἀσκληπιεῖα νενικηκότος αὐτοῦ ἢ ὡς δύο στεφάνους εἰληφότος ἑνὶ ἀγῶνι πυγμῆς καὶ παγκρατίου. ταῦτα δὲ ἐπὶ τοῦ Θεμιστίου λέγει. § ἢ οὕτω· ζυγὸν καρχησίου λέγει

1) Vulgo φησὶν. 2) Fragm. Sturz. p. 213. 3) Sic Rom.

Digitized by Google

τὴν σύνθεσιν καὶ τὸ ἄκρον τοῦ καρχησίου, περιφραστικῶς δὲ αὐτὸ τὸ καρχήσιον. § ἢ καρχήσιόν φησι τὸ ἄκρον τοῦ ἱστίου· καρχήσιον γὰρ, ἐν ᾧ τὸν ἱμάντα ἐνείρουσι. θαύμαζε οὖν, φησὶν, αὐτὸν οὕτω μεγαλοφώνως καὶ θαρρούντως, ὥσπερ οἱ πλέοντες ἐπὶ πνεύματος οὐρίου εἰς ἄκρον τὸ καρχήσιον ἀνατείνουσι τῆς κεραίας, οὕτω διόλου [1]) ἐκπέτασον τὸ ἅρμενον. ἀλληγορῶν δὲ ἐνδείκνυται τὴν περιουσίαν τῶν θαυμάτων. φθέγξαι δὲ καὶ πυκτικὴν αὐτὸν καὶ παγκράτιον νενικηκέναι ἐν Ἐπιδαύρῳ καὶ διπλῆς ἀρετῆς δόξαν κεκτῆσθαι, καὶ κομίζειν αὐτὸν Αἰγίνῃ φαιδρὰ τὰ ἄνθη τῶν στεφάνων μετὰ [2]) τῶν Χαρίτων φθέγξαι. προθύροις δέ φησιν Αἰακοῦ ἀντὶ τοῦ ἐν τῷ ἡρῴῳ τοῦ Αἰακοῦ ἐν Αἰγίνῃ, οὗπερ ἐν τοῖς προθύροις ἀνάκεινται οἱ ἐξ [3]) Ἐπιδαύρου τοῦ Θεμιστίου διπλοῖ [4]) στέφανοι. § ἢ οὕτως· ὡς ἐν Αἰγίνῃ ἐν τῷ τεμένει τοῦ Αἰακοῦ ἐπὶ τῶν προπύλων ἀνακειμένων αὐτῷ τῶν [5]) στεφάνων.

96. Ἐπιδαύρῳ διπλόαν]. διπλῆν, ἀντὶ τοῦ δεύτερον. ἐν δὲ Ἐπιδαύρῳ Ἀσκληπιῷ ἱερὸς ἀγὼν ἄγεται.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ ς'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἕκτου τῶν Νεμέων εἴδους.

Τῆς ἕκτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' ἰαμβικὸν δίμετρον [6]) ἀκατάληκτον. ἐν δὲ τῇ δευτέρᾳ χώρᾳ ἐστὶν ὁ σπονδεῖος· πολὺ γὰρ [7]) τοῦτο παρὰ τοῖς λυρικοῖς. Τὸ β' ἰαμβικὸν πενθημιμερές. Τὸ γ' τροχαϊκὸν πενθημιμερὲς, ἢ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀπὸ τροχαϊκῆς συζυγίας. Τὸ δ' διπλῆ περίοδος, ἣ καλεῖται τροχαϊκὴ ἀπὸ ἰαμβικῆς. Τὸ ε' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ ς' ἰαμβέλεγος λείπων τῇ πέμπτῃ συλλαβῇ, ἢ ἀναπαιστικόν. Τὸ ζ' τὸ αὐτό. Τὸ η' ἐπιχοριαμβικὸν, ἐξ ἀντισπάστου καὶ χοριάμβου, ἀδιάφορον παρὰ τὴν ἀρχήν. Τὸ θ' δακτυλικὸν πενθημιμερές. Τὸ ι' τὸ αὐτό. Τὸ ια' προσοδικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' Ἰωνικὸν δίμετρον καταληκτικὸν, [8]) ἀπὸ τροχαϊκῆς συζυγίας. Τὸ ιγ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὅ ἐστι Φαλαίκειον παρὰ συλλαβὴν, οὗ ἡ ἀρχὴ τὸν ἀντίσπαστον ἔχει ἀδιάφορον τοῦ ἄρχοντος ποδός.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ια'. Τὸ α' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. [9]) Τὸ β' ἰαμβικὸν [10]) πενθημιμερές. Τὸ γ', ἡ τελευταία ἀπόδοσις ἀναγκάζει δακτυλικὸν γενέσθαι

1) Vulgo οὕτως αἰόλον. Correxit Faehsius Syllog. p. 406. 2) Transposui μετὰ cum Schneidero, quod olim post ἄνθη fuit. 3) Addidi ἐξ. 4) Sic Heynius: vulgo ἁπλοῖ. 5) Τῶν hoc loco posui, quum olim esset ante ἀνακειμένων. 6) Δίμετρον addidit Beckius. 7) Transposui γὰρ et δέ. 8) Sic Beckius: vulgo ἀκατάληκτον. 9) Rom. καταληκτικόν. 10) Rom. ἴαμβος.

Digitized by Google

τὸ κῶλον. Τὸ δ' προσόδικὸν δίμετρον ἀπὸ Ἰωνικοῦ, καὶ ἐνόπλιον. Τὸ ε' Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ Ἰωνικῆς συζυγίας. Τὸ ς' δακτυλικὸν τρίμετρον. Τὸ ζ' Ἰωνικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η' ἀναπαιστικὸν δίμετρον καταληκτικὸν εἰς [1]) δισύλλαβον. Τὸ θ' ἰαμβικὸν δίμετρον ἀκατάληκτον Ἀλκμαϊκόν. [2]) ὁ γὰρ τέταρτος ποὺς σπονδεῖος. Τὸ ι' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' δακτυλικὸν πενθημιμερές.

Ἀλκιμίδᾳ Αἰγινήτῃ.] Τοῦτον τὸν Ἀλκιμίδαν ἀναγράφεσθαί φησιν Ἀσκληπιάδης ἀντὶ Αἰγινήτου Κρῆτα οὕτως· Ἀλκιμίδας Θέωνος Κρής.

1. Ἓν ἀνδρῶν, ἓν θεῶν γένος] ἐκ μιᾶς μητρὸς ὑπάρχομεν, φησί, καὶ ζῶμεν τῆς Γῆς οἵ τε θεοὶ καὶ οἱ ἄνθρωποι. ἐμφαίνει δὲ διὰ τοῦ προοιμίου, ὅτι κοινωνίαν τινὰ πρὸς τοὺς θεοὺς οἱ ἄνθρωποι ἔχομεν τῇ εὐφυΐᾳ καὶ τοῖς ἔργοις τοῦ νοῦ. ὅτι δὲ κοινὸν ἡμῖν τοῖς ἀνθρώποις πρὸς τοὺς θεοὺς τὸ γένος, καὶ Ἡσίοδος μαρτυρεῖ, ἐπὶ μὲν τῆς τῶν θεῶν γενέσεως λέγων· [3])

Γαῖα δέ τοι [4]) πρώτιστον ἐγείνατο ἴσον ἑαυτῇ
Οὐρανὸν ἀστερόεντ', ἵνα μιν περὶ πάντα καλύπτῃ.

Οὐρανοῦ δὲ καὶ Γῆς εἰσιν οἱ περὶ Κρόνον καὶ οἱ ἄλλοι Τιτᾶνες, ἐκ δὲ τῶν Τιτάνων οἱ ὕστεροι θεοί· Ἥφαιστος δὲ Πανδώραν ποιεῖ· [5])

Ἥφαιστον δ' ἐκέλευε περικλυτὸν ὅττι τάχιστα
Γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδήν
Καὶ σθένος, ἀθανάτης δὲ θεῆς εἰς ὦπα εἴσκειν.

ἀπὸ δὲ τῆς Πανδώρας εἰς ἡμᾶς τὸ γένος διῆκται. οὕτως ἓν ἐστι θεῶν καὶ ἀνθρώπων τὸ γένος. ἀφορᾷ δὲ καὶ πρὸς τὸ εὐφυὲς τοῦ Ἀλκιμίδου τὸ προοίμιον.

4. Διείργει δὲ πᾶσα κεκριμένα δύναμις] ἡ ἀμετάβλητος ἢ ἡ κεχωρισμένη. § ὁ δὲ νοῦς· διαχωρίζει δὲ ἀπ' ἀλλήλων ἡμᾶς ἡ ὡρισμένη δύναμις τῶν θεῶν, ἵνα ἔξωθεν ἀκούσωμεν τοσοῦτον, ὥστε τὸ μὲν τῶν ἀνθρώπων εὐδιάφθορον εἶναι γένος, τὸ δὲ τῶν θεῶν ἐν ἀσφαλεῖ καὶ βεβαίῳ καὶ ἀφθαρσίᾳ τυγχάνειν. § ἢ οὕτω· τοὺς θεοὺς καὶ ἡμᾶς χωρίζει ἡ δύναμις· οἱ μὲν γὰρ ἀθάνατοί εἰσι καὶ ἰσχύουσιν, ἡμεῖς δὲ οὐδέν. § ἢ οὕτω· τὸ μὲν ἡμέτερον γένος τὸ μηδέν ἐστι καὶ ταπεινόν, τὸ δὲ θεῖον πολλὴν ἔχει τὴν δύναμιν. καὶ ἐν Πυθιονίκαις, [6]) Σκιᾶς ὄναρ ἄνθρωπος, φησίν.

7. Ἀλλά τι προσφέρομεν ἔμπαν] ἀλλ' ὅμως καίπερ [7]) οὐδαμινοὶ ὄντες, φησίν, ἐμφερές τι ἔχομεν τοῖς θεοῖς, ἢ κατὰ νοῦν· θεὸς [8]) γάρ τις ἐν ἡμῖν κατὰ τὸν Εὐριπίδην· ἢ κατὰ τὰς εὐφυΐας τῶν σωμάτων καὶ τὰ κάλλη. § ἢ οὕτως· ὅμως μέντοι ἐοίκαμεν [9]) τοῖς θεοῖς κατά τι, ἢ κατὰ νοῦν ἢ κατὰ τὴν εὐφυΐαν. § ὁ δὲ νοῦς· προσφερεῖς, φησίν, ἐσμὲν τοῖς θεοῖς, καίπερ οὐκ εἰδότες εἴτε ἐν ἡμέρᾳ εἴτε ἐν νυκτὶ πότμος ἔγραψε τὴν εἱμαρμένην ἡμῖν καὶ τὸν θάνατον. § ἢ οὕτω· καίπερ [10]) μὴ γινώσκον-

1) Εἰς addidi cum prioribus editoribus. 2) Ita passim scribitur, ut ap. Hephaest. p. 34. 35. 3) Theog. 126. 4) Rom. Γαῖα μέν τοι. 5) Hesiod. Opp. et D. 60. 6) VIII, 136. vulg. 7) Vulgo καίτοι. 8) Olim θεῖος: correxit Valck. Diatr. p. 238. 9) Delevi προσεοικέναι ex varia lectione ortum. 10) Hic quoque καίτοι fuit.

Digitized by Google

τες μήτε τὰ πρὸς τὴν ἡμέραν μήτε τὰ διὰ νυκτὸς ἐσόμενα, μηδὲ ὅστις ἡμᾶς μόρος κατακέκρικεν εἰς σκοπόν τινα καὶ στάθμην δραμεῖν. [1]) στάθμην δέ φησι τὸν θάνατον κατὰ λόγον· ἐπίστασις γὰρ ἡμῖν ἐστι τοῦ παντὸς βίου καὶ στάσις καὶ τέλος. § ἢ στάθμην ἀκουστέον ἐκ μεταφορᾶς τὴν περιγραφὴν τοῦ βίου καὶ τὴν οἴκησιν.

14. Τεκμαίρει δὲ καὶ νῦν Ἀλκιμίδας] ὅτι δὲ συγγενεῖς ἐσμεν τῶν θεῶν, ὁ Ἀλκιμίδας, φησί, σαφὲς ποιεῖ τεκμηριοῦσθαι ἡμᾶς. εἷς ὁ γὰρ καὶ αὐτὸς ἔπραξε τῇ εὐφυΐᾳ ἑαυτοῦ, ἐπέδειξε τὴν πρὸς τὸ θεῖον ἡμῶν συγγένειαν, ἐγγύς τι καὶ παραπλήσιον εἰργασμένος ταῖς καρποφόροις ἀρούραις. § ὁ δὲ νοῦς· τεκμηριοῖ δὲ καὶ σαφὲς εἶναι ποιεῖ τὸ πρὸς τοὺς θεοὺς ἡμῖν διὰ τὴν εὐφυΐαν συγγενὲς καὶ νῦν Ἀλκιμίδης τοῖς αὐτοῦ κατορθώμασιν.

17. Αἵτ' ἀμειβόμεναι] οὐ γὰρ διαπαντὸς, φησὶν, ἐξομαλίζουσι τὴν εὐκαρπίαν αἱ ἄρουραι, ἀλλὰ παρὰ χρόνους τινὰς ἀναπαύλης τυγχάνουσιν, εἶτα ἀναπαυσάμεναι πάλιν ἀποδιδόασι πλείονας τοὺς καρπούς. ἀμειβόμεναι οὖν αἱ ἄρουραι, τουτέστιν ἐξ ἀμοιβῆς παρ' ἐνιαυτὸν φέρουσαι τὸν βίον ἔδοσαν, τουτέστι τὰ πρὸς τὸν βίον δαψιλῆ καὶ πλούσια· διὰ γὰρ τοῦ ἐπηετανοῦ τοῦτο βούλεται δηλοῦν. § Ἄλλως. τοῦ γένους τοῦ Ἀλκιμίδου οἱ μὲν ἠγωνίσαντο, οἱ δὲ οὔ· ἀλλὰ συμβέβηκε τύχῃ τινὶ παρὰ μέρος ἀθλεῖν. νικᾷ γὰρ Ἀγησίμαχος, σχολάζει Σωκλείδης ὁ τούτου παῖς, εἶτα Πραξιδάμας ὁ ἐκ Σωκλείδου ἐναγώνιος γίνεται· Πραξιδάμαντος πάλιν σχολάζει ὁ υἱὸς ὁ τοῦ νικηφόρου πατήρ. τούτου γοῦν μεταξὺ γεγενημένου ἐν τῷ γένει διαλείμματος ὑπεραπολογεῖται, καὶ παρομοιοῖ αὐτὸν [2]) τῇ γῇ παρ' ἐνιαυτὸν καὶ ἐκ διαλειμμάτων εὐκαρπούσῃ, λέγων ὅτι, δηλοῖ δὲ καὶ σαφὲς ποιεῖ τὸ ἑαυτοῦ συγγενὲς Ἀλκιμίδης, ὅπως ἐστὶν ἰδεῖν ὅμοιον τῇ σπορίμῃ γῇ καὶ ταῖς ἀρούραις, αἵτινες ἐξ ἀμοιβῆς καρποφοροῦσαι ποτὲ μὲν ἀδιάλειπτα τὰ πρὸς τὸν βίον παρέχουσιν ἐκ τῆς γεωργίας, ποτὲ δὲ ἀναπαυσάμεναι καὶ σχολάσασαι τὴν ἑαυτῶν δύναμιν ἀνέλαβον. τὸ δὲ ὑπερβατόν· τεκμαίρει καὶ νῦν Ἀλκιμίδης, ὃς ἦλθεν ἐξ ἐρατῶν ἄθλων, παῖς ἐναγώνιος, ἰδεῖν τὸ συγγενὲς καὶ [3]) πρόσφορον τῇ γῇ, ἥτις ἐξ ἀμοιβῆς σπειρομένη ἀναπαύεται καὶ δίδωσι καρποὺς πολλούς.

21. Ἦλθέ τοι Νεμέας ἐξ ἐρατῶν ἀέθλων] καὶ ὁ Ἀλκιμίδης οὖν παραπλήσιος ταύταις ἐγένετο· ὡς γὰρ αὗται ποτὲ μὲν ἀναπαύονται, ποτὲ δὲ καρποφοροῦσι, τῆς γῆς ἐκ διαλείμματος καρποφορούσης, οὕτω καὶ τὸ γένος τοῦ Ἀλκιμίδα. ὁ μὲν γὰρ πάππος τοῦ Ἀλκιμίδα ἐνίκησεν, ὁ δὲ πατὴρ οὐκέτι· ὁ δὲ μὴ νικήσας πατὴρ τῇ [4]) ἀναπαύσει παραβέβληται τῶν ἀρουρῶν, ὁ δὲ Ἀλκιμίδας πάλιν νικήσας τῇ μετὰ τὴν ἀνάπαυσιν καρποφορίᾳ. ὃς μετερχόμενος, φησὶ, τὴν ἐκ Διὸς μοῖραν, τουτέστι τὸν Νεμεακὸν στέφανον, τὰ γὰρ Νέμεα τοῦ Διὸς, κατὰ τὰ ἴχνη τοῦ Πραξιδάμαντος τὸν ἑαυτοῦ πόδα νέμει, τουτέστι μερίζει· ὡς γὰρ ἐκεῖνος ἐνίκησεν, οὕτω καὶ οὗτος. § ὁ δὲ νοῦς· ἦλθεν οὖν πρὸς τὸ παρὸν ἀπὸ τῶν Νεμεακῶν ἀγώνων τῶν ἐρασμίων ὁ ἀνδρειότατος Ἀλκιμίδης, ὃς ἐκ θεῶν ταύτην κληρωθεὶς τὴν εὐτυχίαν νῦν ἐφάνη περὶ τὴν τῆς πάλης νίκην οὐκ ἄμοιρος, ἀλλ' ὥσπερ τις ἀγαθὸς κυνηγέτης, οὕτω κατ' ἴχνος βαίνων τοῦ Πραξιδάμαντος τοῦ ἑαυτοῦ πάππου. ὁ δὲ Ἀρίσταρχος οὐκ ἐπὶ τῷ διαλιπεῖν τὸν πατέρα παραβεβλῆσθαι

[1]) Ita scripsi pro vulgato λαβεῖν. [2]) Scribe αὐτό. [3]) Dele coniunctionem καὶ. [4]) Τῇ dedi pro vulgato ἐν.

Digitized by Google

φησι τῇ γῇ τὸ [1]) τῶν ἀνθρώπων, ἀλλὰ δι' αὐτὸν τὸν Ἀλκιμίδαν, ὃν [2]) πρότερον μὲν ὄντα παῖδα νικῆσαι, διαλιπόντα δὲ χρόνον νῦν πάλιν νενικηκέναι.

30. Κεῖνος γὰρ Ὀλυμπιονίκης ἐών] ἐκεῖνος ὁ Πραξιδάμας, [3]) φησὶ, πρῶτος ἐγένετο τῶν Αἰγινητῶν πάντων Ὀλυμπιονίκης, ἢ τοῦ γένους ἑαυτοῦ. ὁ δὲ Πραξιδάμας [4]) οὐκ ἐποίησε ληθαργισθῆναι [5]) τὸν ἑαυτοῦ πατέρα, μὴ [6]) ἀργησάντων τῶν ἀγωνισμάτων, ἀλλὰ διὰ τῆς ἑαυτοῦ ἀνδρείας κἀκεῖνον ἐσέμνυνε τὸν Σωκλείδην τὸν ἑαυτοῦ πατέρα. ὁ δὲ Δίδυμος, Σωκλῆς ἐστι τὸ ὄνομα, φησί· παρήγαγε δὲ αὐτὸ πατρωνυμικῶς, ὡς ἔθος ἐστὶ τοῖς ποιηταῖς. ὡς οὖν μὴ νενικηκότος τοῦ Σωκλείδου οὗτος τὴν περὶ ἐκεῖνον λήθην ἔπαυσε, [7]) νικήσας τοὺς προειρημένους στεφάνους. τὸ δὲ ὑπέρτατος ἀντὶ τοῦ πρεσβύτερος· ὁ γὰρ Σωκλείδης πρεσβύτερος μὲν τῶν υἱῶν γέγονεν Ἀγησιμάχου, πατὴρ δὲ Πραξιδάμαντος.

38. Ἐπεί οἱ τρεῖς ἀεθλοφόροι] ἄρθρον ἐστὶ τὸ οἱ ἀντὶ τοῦ τῷ. [8]) τρεῖς γὰρ παῖδες ἐγένοντο αὐτῷ, ὧν ὁ Πραξιδάμας πρῶτος· οἵτινες παῖδες, φησὶν, εἰς ἄκρον ἦλθον τῆς ἀρετῆς τῆς ἀθλητικῆς, τῶν τε πόνων τῶν ἀθλητικῶν μετέσχον καὶ ἐγεύσαντο. περιττεύει οὖν ὁ τέ. § τρεῖς γὰρ ἀθλοφόρους εἶπε, τοὺς ἀδελφοὺς δηλαδὴ τοῦ Σωκλείδου· τῷ δὲ αὐτὸς μὴ ἠθληκέναι ὁ Σωκλείδης τὸν υἱὸν ἐγύμνασεν, ὃς τὴν περὶ αὐτὸν λήθην ἐσκέδασε νικήσας· ἀνεκήρυξε γὰρ τὸν πατέρα. τὸ δὲ σὺν θεοῦ τύχᾳ ἀντὶ τοῦ· τῇ ἐκ θεοῦ τύχῃ ἡ τῆς πυγμῆς μάχη [9]) οὐδένα ἕτερον οἶκον οὕτως ἀπέδειξε καὶ ἀπέφηνε, φησὶ, πλείους ἀπενηνοχότα στεφάνους.

44. Μυχῷ Ἑλλάδος] ἀμφίβολον πότερον ὡς ἐν Ἰσθμῷ πολλὰς νίκας εἰληφότος οὕτως εἶπεν, ἐπεὶ μυχὸς τῆς Πελοποννήσου Κόρινθος, ἐν ᾗ τὰ Ἴσθμια ἄγεται· Ὅμηρος· [10])

Ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο·

ἢ ἐπεὶ μυχοί εἰσι τῶν χωρῶν αἱ πόλεις αἱ κρύψεις ὑπάρχουσαι ἀντὶ τῶν πεδινῶν τόπων, τὰς πόλεις, ἐν αἷς ἐνίκησαν, μυχοὺς Ἑλλάδος κέκληκεν· ἐν ταῖς Ἑλλαδικαῖς πόλεσιν, ἐν ἑκάστῳ μυχῷ τῆς Ἑλλάδος.

45. Ἔλπομαι μέγα εἰπὼν ἄντα σκοποῦ τυχεῖν] ἔνιοι γράφουσιν, ἂν τετυχεῖν. ἐλπίζω οὖν, φησὶ, μεγαλορρημονήσας καὶ καυχησάμενος ἐπιτυχεῖν ἂν τοῦ σκοποῦ ὡς ἀπὸ τόξου πέμπων βέλος. τὸ δὲ τετυχεῖν ὅμοιον τῷ λελαβέσθαι. γράφουσι δὲ καὶ ἄντα, ἵν' ᾖ ὁ λόγος· ἐναντίον τε καὶ εὐθὺ τοῦ σκοποῦ. § Ἄλλως. προσδοκῶ δὲ μεγάλως ἐπαινέσας τὸν νικηφόρον ἐπιτυχεῖν τοῦ σκοποῦ ὡς ἄριστος τοξότης. τοῦ δὲ ὥστ' ἀπὸ τόξου τὸ ὥστε Δωρικῶς ἀντὶ τοῦ ὥςτε φησίν.

48. Εὐθὺν ἐπὶ τοῦτον ἄγε Μοῖσα] ἐπὶ τοῦτον οὖν τὸν σκοπὸν, ὦ Μοῦσα, τοὺς σοὺς ἄγε λόγους τοὺς εὐκλεεῖς, καὶ ἐπαίνει τὸν νικηφόρον. ἢ οὕτως· ἐπὶ τὸν σκοπὸν, ὃν προεῖπον, τὴν οὐρισότητα τῶν ποιημάτων ἄγε.

50. Παροιχομένων γὰρ ἀνέρων] τῶν γὰρ τεθνηκότων ἀνδρῶν τὰ κάλλιστα

1) Τὸ adieci. 2) Ὃν de meo est. 3) Vulgo Πραξίδαμος. 4) Vulgo ὁ δὲ παρὼν Ἀλκιμίδης οὐκ ἐπ. ridicule. Soclidas pater est Praxidamantis; Alcimidae pater Theon, de quo v. ad inscr. 5) Vulgo ληθαργησθῆναι. 6) Melius aberit μή. 7) Ita correxi. Vulgo τὴν π. ἐκείνου νίκην ἐπῄνεσε: Rom. ἐπαίνεσε. 8) Post τῷ legebatur τουτέστι τῷ Σωκλείδῃ, quod recentior et imperita manus addiderat. Pro vocula τῷ conieceris αὐτῷ. 9) Inserui verba ἡ τ. πυγμ. μάχη. 10) Iliad. ζ, 152.

Digitized by Google

κατορθώματα διὰ τῶν οἰκείων λόγων οἱ ποιηταὶ τῇ μνήμῃ παραδιδόασι καὶ οἱ λοιποὶ τῶν σοφῶν. ἀοιδοὶ μὲν γὰρ οἱ ποιηταί, λόγιοι δὲ οἱ πρότερον τὰ κατὰ τὰς πόλεις διηγούμενοι.

53. Βασσίδαισιν ἅτ' οὐ σπανίζει] ὁ Δίδυμός φησι· προσήκει γράφειν Βουδίδαι. γενέσθαι γάρ τινα Βουδίωνα ἐν Αἰγίνῃ, ἀφ' οὗ κατάγεσθαι γενεὰν τὴν Βουδιδῶν. μνημονεύειν δέ φασι τοῦ Βουδίωνος Πυθαίνετον ἐν πρώτῳ Αἰγινητικῶν γράφοντα οὕτω· [1]) Περὶ δὲ ταῦτα τούτων λεγομένων λέγεται Βουδίωνα τυγχάνειν διεννηνεγμένον πρὸς Οἰνώνην τὴν ἑαυτοῦ θυγατέρα. § ὁ δὲ νοῦς οὕτως· ἅτινα κάλλιστα ἔργα ἐν τοῖς Βασσίδαις οὐ σπανίζει, ἀλλὰ πλεονάζει [2]) ἐν τῷ γένει τῷ ἐξ ἀρχῆς διαβοήτῳ. Βάσσος γὰρ πρόγονος τῶν ἀνωτέρω τοῦ Ἀλκιμίδου· ἔστι δὲ καὶ φυλὴ ἐν Αἰγίνῃ Βασσιάδαι. § ἢ οὕτως· ἡ τῶν Βασσιδῶν, φησί, γενεὰ οὐ σπανίζει καλῶν ἔργων· διὸ οἱ ἀοιδοὶ καὶ οἱ λόγιοι κομίζουσιν αὐτῶν τὰ ἔργα τὰ καλά. ἐὰν προφερώμεθα, Ἅτε οὐ σπανίζει, τὸν λόγον οὕτω καταστήσομεν· ὧν οὐ σπανίζει ἡ παλαίφατος γενεὰ τῶν προειρημένων ἔργων. § ἢ οὕτω· Βασσίδαισι [3]) καθ' αὑτό, εἶτα ἀπ' ἄλλης ἀρχῆς· ἅτ' οὐ σπανίζει· τὰ προειρημένα ἔργα, ἅτ' οὐ σπανίζει τοῖς Βασσίδαις. § ἢ Βασσίδαισιν ἅτ' οὐ σπανίζει, εἶτ' ἀπ' ἄλλης ἀρχῆς· παλαίφατος, ᾧ συνάπτέον τὸ ἐπιφερόμενον.

55. Ἴδια ναυστολέοντες] οἱ Βασσίδαι, φησίν, ἴδια ναυστολοῦντες, τουτέστιν ἴδια χορηγοῦντες καὶ κομίζοντες ἔργα τοῖς τῶν Πιερίδων ἀρόταις, τουτέστι τοῖς ποιηταῖς, ἀνυμνεῖν [4]) θέλοντες οὐκ ἐπακτοῖς χρήσονται ἐπαίνοις διὰ τὸ σπανίζειν αὐτοὺς ἔργων, ἀλλὰ τοῖς αὐτῶν· πολλὰ γὰρ δεδράκασιν. ἐπικώμια δὲ τὰ εἰς κῶμον ὑμνεῖσθαι ἐπιτήδεια τῆς νίκης. μετὰ γὰρ τὸ νικῆσαι ἐκώμαζον μετὰ τῶν ἡλικιωτῶν. § ἢ οὕτω· οὐ δεόμενοι δι' ἑτέρων κοσμήσασθαι, ἀλλ' ἑαυτοῖς ἀρκούμενοι πρὸς κόσμον ἴδια παρακομίζοντες ἔργα τοῖς ποιηταῖς. ναυστολοῦντες δὲ ἀντὶ τοῦ ἐπιφορτίζοντες, οἱονεὶ σωρεύοντες ἐκ τῶν ἰδίων κόπων τὰ ἐγκώμια. ἀγερώχων δὲ ἐργμάτων ἀντὶ τοῦ μεγάλων ἔργων. δυνάμενοι οὖν τοῖς ποιηταῖς παρέχειν πολλῶν ἐπαίνων χορηγίαν ἕνεκεν τῶν πραττομένων αὐτοῖς ἔργων ὀλβίων.

59. Καὶ γὰρ ἐν ἀγαθέᾳ χεῖρας ἱμάντι δεθείς] καὶ γὰρ ἐν Πυθῶνι τῇ [5]) θαυμασίᾳ τὰ πηκτὰ σκεύη μετὰ χεῖρας λαβὼν ἐνίκησεν ἀπὸ τῆς αὐτῆς συγγενείας ὤν καὶ πατρίδος ὁ Καλλίας. § ἢ ὅτι πυκτεύσας ἐν Πυθοῖ ἐνίκησεν ἀρέσας τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι ἀπὸ τῆς αὐτῆς ὢν πατρίδος, ἤτοι τῆς Αἰγίνης, καὶ ἐκ τοῦ αὐτοῦ αἵματος, τουτέστιν ἐκ τῆς αὐτῆς φατρίας τῶν Βασσιδῶν Καλλίας, ὃς Κρίοντος ὑπῆρχε παῖς. χρυσηλάκατον δὲ εἶπε τὴν Λητὼ τὸ τῆς Ἀρτέμιδος μετενεγκὼν ἐγκώμιον ἐπὶ τὴν μητέρα τὴν γεννήσασαν.

64. Παρὰ Κασταλίᾳ τε Χαρίτων] ἀπὸ τῆς πηγῆς τοὺς Δελφοὺς ὠνόμασεν. ἐκωμάσθη [6]) γὰρ νικήσας ὑπὸ τῶν ἡλικιωτῶν ἑσπέριος. Χαρίτων γὰρ ὁμάδῳ οἱ μὲν τῷ χορῷ ἀποδεδώκασιν, οἱ δὲ τῷ χαριεστάτῳ θορύβῳ τῆς ἐπὶ τῇ νίκῃ πανηγύρεως, φασίν, ἐλαμπρύνετο κωμάζων· ἤτοι μέχρις ἑσπέρας ἔλαμπεν. § ὁ δὲ νοῦς· παρὰ δὲ τῇ

1) Vulgo Αἰγινητῶν, γράφων οὕτως. 2) Cum Heynio delevi οὐδὲ post πλεονάζει. 3) Rom. Βασσίδαι οἱ. 4) Suspicor ἀνυμνεῖσθαι. 5) Addidi Πυθῶνι τῇ. 6) Hoc est ἐνεκωμάσθη, ut Schol. Nem. IX, 119. κωμάζωμεν οὖν αὐτόν: et plura ap. Schol. Nem. X, 61.

Digitized by Google

Κασταλία πηγῇ· τουτέστιν ἐν Δελφοῖς τῷ ἀγῶνι νικήσας· τῇ τῶν χορευτῶν χάριτι ἐπὶ τῇ νίκῃ μέχρις ἑσπέρας ἡ νίκη αὐτῷ καὶ ἡ δόξα ἔλαμπεν· ἔθος γὰρ ἦν καὶ παννυχίδας ὕμνων τοῖς νενικηκόσιν ἀποτελεῖσθαι. τοῦτο δὲ ὡς καὶ [1]) τὰ Πύθια νικήσαντος αὐτοῦ.

67. Πόντου τε γέφυρ' [2])] ὡς καὶ ἐν Ἰσθμίοις νενικηκότος αὐτοῦ· πόντου γὰρ γέφυρα ὁ Ἰσθμός· τεσσαράκοντα τριῶν γὰρ σταδίων ἀμφιθάλασσος ἦν. καὶ ἔστι κατὰ τὸ ἔτυμον γέφυρα ἡ τῆς γῆς [3]) φέρουσα ὁδός. ἀπὸ δὲ τοῦ προκειμένου οὕτω προσυπακουστέον τὸ Φλέγε πόντου γέφυρα.

69. Ταυροφόνῳ τριετηρίδι] τουτέστιν ἐν ᾗ ταύρους φονεύουσι καὶ ἱερουργοῦσι τῷ Ποσειδῶνι, ὡς καὶ Ὅμηρος· [4])

Ταύρους παμμέλανας Ἐνοσίχθονι κυανοχαίτῃ.

τριετηρίδι δὲ διὰ τὸ διὰ τριετηρίδος τὸν Ἰσθμικὸν ἀγῶνα τελεῖσθαι. Κρεοντίδαν δὲ τὸν Καλλίαν φησὶν, ὡς τοῦ πατρὸς αὐτοῦ Κρέοντος καλουμένου.

71. Βοτάνα τέ νιν πόθ' ἀ λέοντος] βούλεται ἡ ἱστορία ἐκ τοῦ Ἀρχεμόρου αἵματος ἀναδεδόσθαι τὸ βοτανίδιον· οἱ δὲ, ὃ καὶ βέλτιον, βοτάνη λέοντος ἡ Νεμέα, παρόσον κατ' αὐτὴν διῆγεν ὁ λέων βοσκόμενος. § Ἄλλως. βοτάνην λέοντος τὸ σέλινον λεκτέον. σέλινον γὰρ ὁ αὐτόθι στέφανος, ὅτι ὁ Ἡρακλῆς καταγωνισάμενος τὸν λέοντα τοῦτο ἐνομοθέτησεν εἶναι τὸ στέμμα. § ἀλλ' ἀλόγως· φέρεται γὰρ ἐπ' Ἀρχεμόρῳ ὅ τε ἀγὼν τεθεὶς καὶ τὸ σέλινον τοῖς νικῶσι διδόμενον. § ἢ ὁ Ἰσθμικὸς, ὅτι ἱερὸς τῷ Ποσειδῶνι. § ὁ δὲ νοῦς· καὶ ἡ Νεμέα δέ ποτε νικήσαντα τὸν Καλλίαν ἔστεψεν, ἥτις Νεμέα ἐστὶν ὑπὸ τοῖς συμφύτοις καὶ ἀρχαίοις τοῦ Φλιοῦντος ὄρεσι. θέλει δὲ αὐτὸν καὶ Νεμεονίκην ἀποδεῖξαι. δασκίοις δὲ ἢ τοῖς δασκίοις δένδροις, ἢ παρὰ τὸ ὑψηλὸν τοῖς μεγίστην σκιὰν ἀπεργάσασθαι δυναμένοις. κεῖται δὲ ἡ Νεμέα περὶ τὰ Φλιάσια ὄρη, παράκειται δὲ καὶ πόλις ὁμώνυμος ἡ Φλιοῦς, ἡ πρότερον Ἀραιθυραία καλουμένη, ἣν καὶ Ὅμηρος οὕτω φησίν. [5])

75. Πλατεῖαι πάντοθεν λογίοισιν] πολλαὶ καὶ πλατεῖαι ἀφορμαί εἰσι τοῖς ἐλλογίμοις, φησί· πάλιν τοὺς ποιητὰς ἀκουστέον· ὥστε ὑμνεῖν τὴν νῆσον ταύτην τὴν Αἴγιναν· ἐπειδὴ αὐτοῖς χορηγίαν παρέχουσιν ἐπαίνων οἱ Αἰακίδαι, καὶ ἐξαίρετον ἀρετὴν ἐπεδείξαντο. ἀμφίβολον δὲ πότερον τοῖς προκειμένοις λόγοις παρέσχον μοῖραν πλείστην οἱ Αἰακίδαι, ἢ οἱ Αἰακίδαι ἔπορον ἔξοχον αἶσαν τοῖς ἰδίοις πολίταις δοξάζοντες αὐτούς.

83. Καὶ ἐς Αἰθίοπας Μέμνονος οὐκ ἂν ἀπονοστάσαντος ἐπᾶλτο] ἔστι καὶ συνεσταλμένως καὶ βαρυτόνως ἀναγνῶναι, ἔπαλτο, τουτέστιν ἐπάλθη,- [6]) ἐβλήθη τὸ κλέος αὐτῶν εἰς Αἰθίοπας.

85. Βαρὺ δέ σφι νεῖκος ἔμπεσ' Ἀχιλλεύς] βαρεῖαν δὲ καὶ ἐπαχθῆ μάχην διὰ φιλονεικίαν αὐτοῖς ἐπέδειξεν ὁ Ἀχιλλεὺς τοῖς Αἰθίοψι, χαμαὶ κλίνας τὸν Μέμνονα αὐτὸς ἐκ τῶν ἁρμάτων κατελθών, τῆς φαιδρᾶς Ἡμέρας τὸν υἱὸν, ἡνίκα ἐφόνευσε τῇ ἀκμῇ τοῦ δόρατος τοῦ λίαν ὀργίλου. περίφρασις δὲ τὸ σχῆμα, ἵνα τὴν Ἀχιλλέως δείξῃ περὶ τὸ πολεμεῖν εὐθαρσίαν. § Ἄλλως. Μέμνων υἱὸς μὲν ἦν Τιθωνοῦ καὶ Ἡμέρας, βασιλεὺς δὲ Αἰθιόπων. οὗτος ἐναντιούμενος τοῖς Ἕλλησιν ὑπὲρ τῶν Τρώων ἀνῃρέθη ὑπὸ

1) Olim κατά. 2) Lemma inserui. 3) Schneiderus coniicit ἐπὶ τῆς γῆς. 4) Odyss. γ, 6.
5) Iliad. β, 571. 6) Rom. ἐπάλθους. Correxit Beckius.

Digitized by Google

Ἀχιλλέως, καὶ διὰ τοῦτό φησι τὴν τῶν Αἰακιδῶν δόξαν καὶ μέχρις Αἰθιόπων διαπτῆναι. οὐκ ἐκ παραδρομῆς δὲ ζάκοτον εἶπε τὸ δόρυ τοῦ Ἀχιλλέως, ὡς ἀνεὶ μεῖλιον ἤ τι τοιοῦτον αὐτὸ ἔφη ἐν κοινότητι, ἀλλ' ὅτι ἰδιώτερον παρὰ τὰ ἄλλα κατεσκεύαστο. δίκρουν γὰρ, ὥστε δύο ἄκμας ἔχειν, καὶ μιᾷ βολῇ ὥστε δισσὰ τὰ τραύματα ἀπεργάζεσθαι. καὶ Αἰσχύλος ἐν Νηρεῖσι· [1]) Κάμακος εἶσι, κάμακος γλώσσημα διπλάσιον. καὶ Σοφοκλῆς ἐν Ἀχιλλέως ἐρασταῖς· [2]) Ἦ δορὸς διχόστομον πλᾶκτρον· δίπτυχοι γὰρ ὀδύναι μιν ἤρικον Ἀχιλληΐου δόρατος. μετάγουσι δὲ τὴν ἱστορίαν ἀπὸ τῆς Λέσχου μικρᾶς Ἰλιάδος λέγοντος οὕτως:

Ἀμφὶ δὲ πόρκης
Χρύσεος ἀστράπτει, καὶ ἐπ' αὐτῷ δίκροος ἄρδις. [3])

§ ἢ ζάκοτόν φησι κατὰ μετουσίαν τοῦ φέροντος καὶ αὐτὸ συμπνέον τῇ ὀργῇ, ἀπὸ τῶν παρ' Ὁμήρῳ· [4])

Πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν
Ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.

91. Καὶ ταύταν μὲν παλαιότεροι] καὶ ταύτην μὲν τὴν ὁδὸν τὴν τῶν ἐπαίνων, ἥτις ἐστὶ τολοιπὸν καθημαξευμένη, [5]) οἱ παλαιότεροι ἡμῶν καὶ οἱ πρεσβύτεροι ἐξεῦρον· ἀντὶ τοῦ καὶ οἱ πρότεροι ἡμῶν ἐπήνεσαν τοὺς Αἰακίδας. ἀκολουθήσω οὖν καὶ αὐτὸς ἔχων ταύτην τὴν μελέτην καὶ σπουδὴν, τὸ ἐπαινεῖν τοὺς ἀγαθοὺς ἄνδρας ἀεί. § μελέτην φησὶ τὴν ἐπιμέλειαν. Ὅμηρος· [6]) Μελέτη δέ τοι ἔργον ὀφέλλει.

94. Τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον] ποὺς μὲν νεὼς τὸ πηδάλιον. τὸ δὲ κῦμα τὸ παρὰ τῷ πηδαλίῳ ἑλισσόμενον δονεῖ καὶ ταράσσει τὸν ἑκάστου θυμόν. οὐ τὸ παρεληλυθὸς οὖν ταράσσει, ἀλλὰ τὸ ἔτι εἰλούμενον. λέγει δὲ τοῦτο ὁ Πίνδαρος, ὅτι παρεξέβη εἰς τὸ ὑμνεῖν τοὺς Αἰακίδας· ἔργον δὲ οὐκ ἔξελαβε τοῦτο, ἀλλ' εἰς τὸ ὑμνῆσαι τὸν Ἀλκιμίδην. διό φησιν· αὐτὸν ὑμνήσω. § ὁ δὲ νοῦς· παραπεμψάμενος οὖν, φησὶ, τὰ παλαιὰ τῶν νέων καὶ παρόντων ἕξομαι· καὶ γὰρ ἐπὶ τῶν πλεόντων ἀεὶ τὸ παρὰ τῷ πηδαλίῳ κῦμα παρὸν καὶ ὁρώμενον τοῦ κυβερνῶντος ἀνδρὸς ταράσσει τὴν ψυχήν.

97. Ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος] μεταφορᾷ κέχρηται τῇ τῶν ὑποζυγίων· σημαίνει γὰρ ὅτι ἑκουσίως ἐγὼ τοῦτο τὸ μέρος ὑπέμεινα δίδυμον ὑπάρχον· τοῦτο δέ φησιν, ἢ ὅτι σὺν τῷ τὸν Ἀλκιμίδην ὑμνῆσαι συμπαραλαμβάνειν μέλλει καὶ ἔπαινον τοῦ ἀλείπτου Μελησίου, ἢ τὸ τοῦ Ἀλκιμίδου καὶ τὸ τῶν Αἰγινητῶν· καὶ γὰρ ἐκείνους [7]) καὶ ἔτι τρίτον τοὺς Αἰακίδας ὕμνησε, [8]) καὶ αὐτὸν τὸν Ἀλκιμίδην. § ὁ δὲ νοῦς· ἑκὼν γὰρ ἐδεξάμην ἐπὶ τοῖς ἐμαυτοῦ νώτοις τοῦτο τὸ φορτίον τὸ διπλοῦν, ἄγγελος καὶ κήρυξ βουληθεὶς γενέσθαι τῆς ἀρετῆς τῶν ἀνδρῶν, Ἀλκιμίδου καὶ Μελησίου. περὶ γὰρ αὐτῶν ἑξῆς φησιν ὡς εἰκοσιπέντε στεφάνους εἰληφότων τῶν ἀπὸ ταύτης τῆς φατρίας ἢ καθόλου τῶν Αἰγινητῶν. § Ἄλλως. φησὶν αὐτὸ τὸ προφθάσαν γένος

1) Fragm. Pauw. p. 642. 1102. 2) Fragm. T. III, p. 404. Brunck. 3) Vulgo δίκροος δίη. Heynius αἰχμὴ ad Virg. Aen. II. exc. 1. Sed recte, quem Schneiderus indicavit, Scaliger ad Euseb. Chron. p. 82. ἄρδις. Conf. Herodot. IV, 81. Aeschyl. Prometh. 879. Romana πόρκις et αὐτό. 4) Iliad. λ, 573. ο, 316. 5) Olim κατημαξ. 6) Immo Hesiodus Opp. et D. 410. 7) Vulgo ἐκεῖνος. 8) Rom. ὕμνησα.

Digitized by Google

εἰκοσιτέσσαρας ἐσχηκέναι νίκας, τὸν δὲ Ἀλκιμίδην εἰκοστὴν πέμπτην ταύτην νενικηκέναι. τοῦτο οὖν τὸ εἰκοστὸν πέμπτον σεμνολόγημα ἐξαγγέλλων, ὅπερ ἀπὸ τῶν ἀγώνων ἐδέξαντο, ἀγώνων δὲ τούτων οὓς ἱεροὺς καλοῦσιν, ἤτοι τοὺς περιοδικούς [1]) .... § .... εἰκοσιτέσσαράς φησιν. ὅπερ εὖχος καὶ σεμνολόγημα τὸ εἰκοστὸν πέμπτον ὁ Ἀλκιμίδης προσέθηκε καὶ ἐνήρκεσε παρασχεῖν νικήσας τὸν ἀγῶνα τῇ ἐνδοξοτάτῃ αὐτοῦ γέννᾳ.

104. Δύο μὲν Κρονίου πὰρ τεμένει] ἐν Ὀλυμπίᾳ, φησὶν, ἐνόσφισεν αὐτοὺς καὶ ἐχώρισεν ἡ προεξάνθησις τῶν τριχῶν· ἀπεκρίθη γὰρ, ὡς οὐ παιδικὴν ἔχοντος ἡλικίαν διὰ τὸ προηνθηκέναι τὰς τρίχας. πρὸ ὥρας γοῦν τὸ ἄνθος αὐτῆς τῆς ἥβης, φησὶ, συνεκληρώθη· οὗτος γὰρ κλῆρος ἄνθους. ὁ δὲ Πολυτιμίδας οἰκεῖος τοῦ Ἀλκιμίδου. κληρωθέντες οὗτοι παίδων ἀγωνίσασθαι, μεταξὺ γενειάσαντες ἐξεκρούσθησαν τοῦ ἀγῶνος. § ὁ δὲ νοῦς· δύο δὲ ἄνθη καὶ νίκας τῆς Ὀλυμπίας τῆς οὔσης παρὰ τῷ Κρονίῳ τεμένει ὁ προπετὴς κλῆρος ὑμᾶς ἀπεστέρησεν, ὦ Ἀλκιμίδη.

108. Δελφῖνί κε τάχος δι' ἅλμας ἴσον εἴποιμι Μελησίαν] Μελησίας εἷς τῶν εὐδόξων ἀλειπτῶν· ἐπαινεῖ δὲ αὐτοῦ τὸ τάχος, ἐπεὶ ταχὺ αὔξει τοὺς ὑπ' αὐτοῦ ἀλειφομένους καὶ κατάγει εἰς τοὺς ἀγῶνας. καὶ τοσοῦτόν φησι διαφέρειν [2]) τῶν ἄλλων ἀλειπτῶν τῷ ταχέως τοὺς ἀλειφομένους κατάγειν, εὐχερείας καὶ ἰσχύος ἡνίοχον ὄντα, ὅσον ὁ δελφὶς τῶν ἄλλων ἐναλίων τῷ τάχει διαφέρει. § ἀντὶ τοῦ ἴσον ἂν εἴποιμι καὶ τὸν Μελησίαν τῷ ταχεῖ δελφῖνι τῇ τε ἰσχύϊ καὶ τῇ τέχνῃ.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Ζ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑβδόμου τῶν Νεμέων εἴδους.

Τῆς ἑβδόμης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιβ'. Τὸ α' ἀντισπαστικὸν τρίμετρον ὑπερκατάληκτον. Τὸ β' ἐγκωμιολογικὸν λεῖπον τῷ ἐσχάτῳ ἰάμβῳ. Τὸ γ' ἐπιωνικὸν, ὅπερ ἀντιπαθεῖ τῷ ἰάμβῳ. Τὸ δ' περίοδος δευτέρα, [3]) καὶ ἡ μὲν πρώτη ἀπόδοσίς ἐστι μέσος ἴαμβος, [4]) ἡ δὲ δευτέρα διπλοῦς τροχαῖος. [5]) Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. [6]) ὁ τρίτος ποὺς δάκτυλος συναλειφόμενος. Τὸ ς' χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ζ' Ἀνακρεόντειον ἐκ δευτέρου πενθημιμεροῦς καὶ ἰαμβικῆς συλλαβῆς καταληκτικόν. Τὸ η' Ἰωνικὸν δίμετρον καταληκτικόν. ἡ γὰρ πο συλλαβὴ

1) Haud exigua hoc loco lacuna est, quam notare satius duxi, quam eiiciendis verbis εἰκοσιτέσσ. usque ad πέμπτον diversa scholia in unum contrahere. 2) Vulgo διαφέρει. 3) Scribe περίοδος διπλῆ. 4) Falso corrigunt διίαμβος. *Medius iambus* est terminus metricorum, de quo v. de metr. Pind. I, 5. p. 26. 5) Delevi vocem λείπει. 6) Rom. καταληκτικόν.

Digitized by Google

βραχεῖα. [1]) Τὸ θ' τροχαϊκὸν Εὐριπίδειον διαλυθέν. Τὸ ι' ἐπιωνικὸν ὅμοιον τῷ γ'. Τὸ ια' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβ' ἰαμβικὸν ἑφθημιμερές. [2])

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ἑπτά. Τὸ α' δίμετρον [3]) χοριαμβικὸν καὶ ἴαμβος καὶ συλλαβή. Τὸ β' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἡ πρώτη συζυγία τροχαῖος, εἶτα Ἰωνική. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' Φερεκράτειον ἢ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ ε' Γλυκώνειον· ἡ μία ἀπόδοσις ἀντὶ τῆς ἰαμβικῆς συζυγίας τὴν χοριαμβικὴν ἔχει [4]) ὡς συγγενῆ. Τὸ ς' τροχαϊκὸν δίμετρον καταληκτικόν. Τὸ ζ' τροχαϊκὸν τρίμετρον [5]) βραχυκατάληκτον, ἢ Ἀρχιλόχειον παρὰ μίαν συλλαβήν.

Σωγένει Αἰγινήτῃ.] Πρῶτος ὁ Σωγένης Αἰγινητῶν ἐνίκησε παῖς ὢν πεντάθλῳ κατὰ τὴν τεσσαρεσκαιδεκάτην Νεμεάδα. ἐτέθη δὲ ὁ πένταθλος πρῶτος κατὰ τὴν τρισκαιδεκάτην Νεμεάδα.

1. Εἰλείθυια πάρεδρος Μοιρᾶν] ζητεῖται διατί ἀπὸ τῆς Εἰλειθυίας εἰςβέβληκε, καὶ τί δήποτε τῇ Εἰλειθυίᾳ προσδιαλέγεται. ἔνιοι μὲν οὖν φασι νέον ὄντα τὸν Σωγένη ἑτέρου νικήσαντος αὐτὸν κατὰ χάριν ἀνηγγέλθαι τοῦ πατρὸς Θεαρίωνος εἰς τοῦτο φιλοτιμηθέντος, τὸν δὲ ἀγωνισάμενον Νεοπτόλεμον τοὔνομα Ἀχαιόν· παρὸ καὶ εἰς τοὺς ὑπὲρ Νεοπτολέμου τοῦ Ἀχιλλέως τὸν ποιητὴν παρεκβῆναι λόγους. αὐτοσχέδιον δέ φησι τοῦτο εἶναι ὁ Δίδυμος· οὐδεὶς γὰρ ἀφ' ἑτέρου ὀνόματος κηρύττεται, μόνον δὲ ἐν τοῖς ἱππικοῖς ἀγῶσι νενόμισται τὸ ἔθος, ὥστε τοὺς βασιλέας καὶ τυράννους ἀναγράφεσθαι· πλούτου γὰρ καὶ χορηγίας τὴν ἱπποτροφίαν ἐπίδειξιν εἶναι καὶ οὐ ῥώμης. ἔνιοι δέ φασι πρὸς τοὔνομα τοῦ Σωγένους παρειλκύσθαι τὴν Εἰλείθυιαν· εἶναι γὰρ αὐτὴν σωγενῆ τινα [6]) διὰ τὸ τὰ γενόμενα ἀνασώζειν· τὸν οὖν Πίνδαρον ψυχρευσάμενον πρὸς τοὔνομα τῆς Εἰλειθυίας μεμνῆσθαι. καὶ τοῦτο δὲ οὐκ εὖ· τότε γὰρ καταφέρεται εἰς τοῦτο ὁ Πίνδαρος, ὅταν ὑπῇ τις ὁμωνυμία· οἷον, Ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν παῖ θρασύμηδες Ἀμύντα· καὶ, Σύνες ὅ,τι λέγω, ζαθέων ἱερῶν ὁμώνυμε πάτερ κτίστορ Αἴτνας. νῦν δὲ οὐδὲν τοιοῦτόν ἐστιν. ἔνιοι δὲ πατέρα τοῦ Σωγένους Θεαρίωνα τῇ Εἰλειθυίᾳ ἔφασαν ἱεραῖσθαι· ἀμάρτυρον δὲ καὶ τοῦτο. οἱ δέ, ὅτι ἐν [7]) γειτόνων ἦν τῷ Σωγένει ἱερὸν Εἰλειθυίας. οὐδὲ τοῦτο δὲ ἱστορεῖται. ἄλλοι δὲ ἔφασαν, ὅτι τοὺς ἐκ φύσεως ἀγαθοὺς ἐπαινεῖ πάντοτε ὁ Πίνδαρος μᾶλλον τῶν ἐκ διδασκαλίας· καὶ ἡ Εἰλείθυια οὖν τὸν Σωγένην εὐθέως ἐπὶ τὴν γένεσιν ἐπιτήδειον κατεσκεύασε πρὸς ἄθλησιν. οἱ μὲν γὰρ ἄλλοι τῶν θεῶν αὐξανομένοις ἀγαθὰ δωροῦνται, ἡ δὲ Εἰλείθυια κατ' αὐτὴν τὴν πρώτην καταβολήν. ἔστι δὲ καὶ πρὸς τοῦτο λέγειν· τί δήποτε τὴν Εἰλείθυιαν ἰδίως ἐπὶ τοῦ Σωγένους παρέλαβεν, ἀλλ' οὐχὶ καὶ ἐπ' ἄλλων εὐφυΐᾳ διενεγκόντων; Ἀριστόδημος δὲ ὁ Ἀριστάρχου

1) Haec inde ab ἡ γὰρ Rom. male in septimo versu collocat. 2) Rom. πενθημιμερές. 3) Addidi δίμ. 4) Vulgo abest ἔχει. 5) Rom. δίμετρον. 6) Rom. σωγένη, τινές. 7) Vulgo ἓν. Ἐν γειτόνων nota dictio. Male ἐκ corrigitur a Boettig. Ilith. p. 18. Bast. ad Gregor. p. 47.

Digitized by Google

μαθητὴς βέλτιον οὕτω φησίν· ὀψέ ποτε τῷ Θεαρίωνι καὶ παρὰ τὴν ἡλικίαν προήκοντι, εὐξαμένῳ τῇ θεῷ Σωγένη τεκνωθῆναι, καὶ τὴν τοῦ παιδὸς αὐτοῦ γέννησιν οἷον Εἰλειθυίας εἶναι χάριν. διὰ τὴν ἰδιότητα γοῦν τῆς γενέσεως τοῦ ἀθλητοῦ πρὸς τὴν θεὸν ταύτην ἐπήρεισε τὸν λόγον. ἐπιστοῦτο δὲ τοῦτο ἐξ ἐπιγράμματος [1]) Σιμωνίδου. ἑνικῶς δὲ εἶπε Εἰλείθυια, ὡς καὶ Ἡσίοδος· [2])

Ἡ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτεν.

ὁ δὲ Ὅμηρος ἑκατέρως. [3]) ὅτι δὲ τῆς Ἥβης ἀδελφὴ ἡ Εἰλείθυια, πρόκειται τὰ Ἡσιόδου. § ὁ δὲ νοῦς· ὦ Εἰλείθυια, παῖ μὲν τῆς μεγαλοσθενοῦς καὶ ἰσχυρᾶς Ἥρας, πάρεδρε δὲ τῶν συνετῶν Μοιρῶν. τοῦτο δέ φησιν, ἐπεὶ δοκοῦσι παρὰ τὸν τῶν ὠδίνων καιρὸν παρεστάναι καὶ ἐπικλώθειν τὰ τῆς εἱμαρμένης.

3. Ἄνευ σέθεν οὐ φάος] ἄνευ γὰρ σοῦ, ὦ Εἰλείθυια, οὔτε τὴν ἡμέραν θεωρήσαντες ἠδυνήθημεν τῆς σῆς ἀδελφῆς Ἥβης τυχεῖν. εἰκότως· οὐ γὰρ οἰόντε μὴ γεννηθέντα καὶ ταῦτα ἰδεῖν καὶ αὐξηθῆναι. § ἢ οὕτως· ἢ γὰρ ἐν νυκτὶ ἢ ἐν ἡμέρᾳ γεννώμεθα, οὐκ ἄνευ σοῦ τὴν σὴν ἀδελφὴν ἐλάβομεν τὴν Ἥβην· οἷον, εἰ μὴ ἐγεννήθημεν, οὐδ' ἂν ἡκμάσαμεν. ἀγλαόγυιον δὲ αὐτήν φησιν, ἐπεὶ ὃν ἡβῶμεν χρόνον, εὐπρεπέστεροι αὐτοὶ ἑαυτῶν γινόμεθα. κἂν γὰρ αἰσχροὶ ὦσί τινες τὰς φύσεις, εὐπρεπέστεροι ἑαυτῶν γίνονται κατὰ τὸν τῆς ἀκμῆς χρόνον.

7. Ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα] ζῶμεν δὲ οὐχ ὁμοίως πάντες, φησίν, ἀλλ' οἱ μὲν πλουτοῦσιν, οἱ δὲ οὔ· καὶ οἱ μὲν [4]) ἐρῶνται, οἱ δὲ οὔ. εἶτα ἔξωθεν προσληπτέον τὸ πράγματα. διακωλύει γὰρ ἕτερον ἕτερα, καὶ διαζεύγνυσιν ἡμᾶς ἀπ' ἀλλήλων, ἢ ἀπ' ἄλλων πραγμάτων, τὰ συγκεκληρωμένα ἡμῖν πράγματα.

9. Σὺν δὲ τὶν καὶ παῖς ὁ Θεαρίωνος] σὺν σοὶ δέ, ὦ Εἰλείθυια, ἀντὶ τοῦ διὰ σὲ γεγονὼς καὶ [5]) ὁ τοῦ Θεαρίωνος παῖς Σωγένης ἔκκριτος γινόμενος, ἔνδοξος καὶ ἀγωνιστικὸς ὑμνεῖται καὶ πένταθλος ἀγωνίζεται. εἰκότως δὲ οὕτως ἐστὶν ἔνδοξος, ἐπειδὴ καὶ τὴν εὔυμνον Αἴγιναν τὴν τῶν γενναίων Αἰακιδῶν οἰκεῖ. φιλόμολπον δὲ ταύτην καλεῖ διὰ τοὺς γράφοντας τοῖς νικῶσιν ἐπινίκους. σύμπειρον δὲ, τὸ συμπεπερασμένον. σφόδρα δὲ ἀεὶ θέλουσι, φησὶ, τὴν ἑαυτῶν ψυχὴν συμπεπερασμένην ἔχειν τῇ νίκῃ τῇ πενταθλητικῇ. [6]) § ἢ οὕτως· οἷον μὴ ἀπείρατοι τῶν ἀγώνων εἶναι, τουτέστι πειρᾶσθαι θέλουσι τῶν ἀγώνων, ἐνεργεῖν θέλουσι διὰ τῆς πείρας. δύναται δὲ καὶ ἰδίως ἀκούεσθαι ὡς φιλοπεντάθλων ὄντων τῶν Αἰγινητῶν, ἐπειδὴ Πηλεὺς δοκεῖ εὑρηκέναι τὸν πένταθλον Αἰγινήτης ὑπάρχων καὶ Αἰακίδης. [7])

16. Εἰ δὲ τύχῃ τις ἔρδων] εἰ δὲ ἐπιτύχῃ τις πράσσων, τὴν ἡδεῖαν αἰτίαν τοῦ αὐτὰ ἐπιτετευχέναι ταῖς πνοαῖς τῶν Μουσῶν ἐνέβαλε, τουτέστι τοῖς ὕμνοις τοῖς εἰς αὐτὸν γραφομένοις. § ὁ δὲ νοῦς· ἐὰν δέ τις σὺν εὐτυχίᾳ εἴη τι πράττων, ἡδεῖαν πρόφασιν τοῖς τῶν Μουσῶν ῥεύμασιν ἔδωκεν.

18. Ταὶ μεγάλαι γὰρ ἀλκαί] αἱ γὰρ μεγάλαι δυνάμεις καὶ τὰ μείζονα κα-

1) Rom. ὑπογρ. 2) Theog. 921. 3) Et singulari, ut Iliad. π, 187. τ, 103. Odyss. τ, 188. et plurali, ut Iliad. λ, 270. τ, 119. Paulo post erat πρόκειται. 4) Delevi verba ἐρωτῶνται ἢ. 5) Ita scripsi pro vulgato ἢ. 6) Vulgo πενταθλιστικῇ, contra analogiam. 7) Haec transposui cum Schneidero.

Digitized by Google

τορθώματα ὕμνων χρήζοντα σκότον καὶ ἀφάνειαν ἔχουσιν. § ἢ οὕτως· αἱ μεγάλαι ἀλκαὶ ὕμνων δεόμεναι σκότον πολὺν ἔχουσι, τουτέστιν ἀφανεῖς γίνονται, ἐὰν μὴ ὑμνηθῶσιν.

20. Ἔργοις δὲ καλοῖς ἔσοπτρον] τοὺς ἀγαθόν τι πράξαντας, φησὶ, τιμᾶσθαι δεῖ διὰ τῶν ποιημάτων καὶ παραδιδόναι τὰ καλὰ ἔργα τοῖς ἔπειτα λαμπρότατα. [1]) § Ἄλλως. ἔσοπτρόν φησι τῶν καλῶν ἔργων τὸν ὕμνον εἶναι, ὅτι ὥσπερ ἡμεῖς [2]) διὰ τοῦ κατόπτρου γινώσκομεν, οὕτω τὰ καλὰ ἔργα διὰ τῶν ὕμνων θεωρεῖται ὡς δι' ἐσόπτρου· κἂν τελευτήσωσιν οἱ πράξαντες, ἐμβλέψαντες εἰς κάτοπτρον ἀρετῆς τοὺς ὕμνους ἀντιλαμβανόμεθα τῶν καλῶν ἔργων. § ὁ δὲ νοῦς· τοῖς δὲ καλοῖς ἔργοις λαμπρότητα ἴσμεν ἑνὶ τρόπῳ γινομένην, διὰ δὴ τῶν ὕμνων.

25. Σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον] οἱ μὲν οὕτως· ὥσπερ τῶν κυβερνητῶν οἱ σοφοὶ ἐπιτηδείου πνέοντος ἀνέμου οὐχ ὑπτιοῦνται πρὸς τὸ παρὸν ἀγαθὸν, ἀλλὰ μετὰ τρεῖς ἡμέρας ἐσόμενον ἄνεμον προγινώσκουσι καὶ προορῶσι τὸ μέλλον· οὕτω καὶ τοὺς ἀνθρώπους τοὺς συνετοὺς προσῆκόν ἐστι μὴ τῷ παρόντι πλούτῳ βουκολεῖσθαι τὰς ἐλπίδας, ἀλλὰ φροντίζειν τοῦ μετὰ ταῦτα καὶ ἄξιόν τι δρᾶν, ὅπως καὶ μετὰ ταῦτα ὑμνηθέντες ἀθάνατον ἔχωσι τὴν εὐδοξίαν. καὶ γὰρ οἱ πλούσιοι καὶ οἱ πένητες ὁμοίως τελευτῶσιν. διὸ δεῖ τῆς μετὰ ταῦτα μελλούσης εὐδοξίας φροντίζειν. οἱ δὲ οὕτως· ὥσπερ γὰρ τῶν διαπλεόντων οἱ σοφοὶ καὶ τῶν μετὰ ταῦτα ἀνέμων φροντίζουσι, καὶ οὐχὶ διὰ τὸ παρὸν κέρδος, κέρδος δὲ τὸ τοῦ πλοῦ εὔδιον, ἐζημιώθησαν τὸν μετὰ ταῦτα πλοῦν, οὐδὲ ἀπώλοντο ἀμελήσαντες, ἀλλὰ καὶ τὰ [3]) μετὰ ταῦτα προορώμενοι καὶ ἀσφαλιούμενοι ἐσώθησαν· οὕτω δέον μὴ φιλοκερδεῖς εἶναι, ἀλλὰ προΐεσθαι τοῖς ποιηταῖς μισθὸν, ὅπως ἂν σχῶσι τῆς ἀρετῆς ἀδιάλειπτον τὴν μνήμην. ὅτι δὲ φιλοκερδὴς πανταχοῦ ὁ Πίνδαρος, ἐκ τῶν φθασάντων δῆλός ἐστιν. οἰκειοτέρα δὲ αὕτη ἡ ἐκδοχὴ, ὡς ἐξ ὧν ἐπάγει. φησὶ γὰρ, ὅτι ὁμοίως καὶ ὁ πλούσιος καὶ ὁ πένης τελευτᾷ· διὸ δεῖ τὸν πλούσιον τῆς μετὰ ταῦτα εὐδοξίας φροντίζειν. οὐ γὰρ ἔστιν ἀργυρίῳ τὸν θάνατον παραιτήσασθαι. § ὁ δὲ νοῦς· οἱ σοφοὶ δὲ τῶν κυβερνητῶν προορῶνται, τίς ἐπὶ τρεῖς ἡμέρας πνεύσεται ἄνεμος, ἢ τίς εἰς τρίτην ἡμέραν πνεύσεται.

29. Ἐγὼ δὲ πλέον ἔλπομαι] ἐγὼ δὲ, φησὶν, ἐλπίζω αὐτὸν μὴ τοσαῦτα πεπραχέναι μηδὲ τοιαῦτα τὸν Ὀδυσσέα, οἷα Ὅμηρος κεκήρυχε περὶ αὐτοῦ. ἀγαθοῦ γὰρ τυχὼν ποιητοῦ ἐνδοξότερα καὶ μείζονα ἔσχεν ἔργα ἢ κατώρθωσε· δυνατοὶ γάρ εἰσιν οἱ ποιηταὶ τὰ τυχόντα ἔργα μεγαλύνειν καὶ αὔξειν. διὸ καὶ σὺ φρόντιζε τοῦ ὑμνεῖσθαι. § ὁ δὲ νοῦς· ἐγὼ δὲ μᾶλλον ἐλπίζω διὰ τὴν Ὁμήρου ποίησιν ζῆν ἐπιπλέον καὶ θρυλλεῖσθαι τὴν Ὀδυσσέως εὐδοξίαν. τοῖς γὰρ περὶ Ὀδυσσέως κεκηρυγμένοις σεμνότης τις ἐπήνθει. ποτανὴν δὲ μηχανὴν τὰ ποιήματα εἶπε, καθὸ ὑψοῖ καὶ μετεωρίζει τὰς ἀρετὰς τῶν ὑμνουμένων, ἢ καθὸ τὰ ἔπη κοινῶς λέγεται παρ' Ὁμήρῳ πτερόεντα, ἢ διὰ τὸ οὕτω μεμηχανῆσθαι ὥστε κατὰ πᾶσαν χώραν πέτεσθαι καὶ διϊκνεῖσθαι.

33. Σοφία δὲ κλέπτει παράγοισα μύθοις] ἡ τοῦ Ὁμήρου σοφία κλέπτει τὸν νοῦν ἡμῶν, ὥστε τὰ ψευδῆ δοκεῖν ἀληθῆ εἶναι διὰ χάριν καὶ σεμνότητα. ἡ ἀπότα-

1) Vulgo: φησὶ, φιλοτιμᾶσθαι δεῖ τὰ ἴδια ἔργα διὰ τ. π. καὶ παραδ. ἔπειτα λαμπρότατα. Φιλοτιμᾶσθαι ne vox quidem est: cetera ita mutavi, ut certe sententia apta esset. 2) An ἡμᾶς? 3) Addidi τά.

Digitized by Google

σις πρὸς τὰ ἑξῆς ἱστορούμενα περὶ τοῦ Αἴαντος. καθόλου ἡ σοφία ἔχει τὸ [1]) κλέψαι τὸν νοῦν τῶν ἀνθρώπων. § ἢ οὕτως· ἡ δὲ σοφία καὶ ὁ λόγος ἱκανός ἐστί τινα παραπείθων ὑποκλέψαι τὴν ἀλήθειαν· τυφλὸν γὰρ καὶ ἀνόητον ἦτορ ἔχει ὁ πολὺς τῶν ἀνδρῶν ὄχλος. βούλεται δὲ τὸν δημώδη λέγειν.

35. Εἰ γὰρ ἦν ἐὰν ἀλάθειαν εἰδέμεν] ἔνιοι μὲν ἀνέγνωσαν ἐὰν δασέως, ἀντὶ τοῦ τὴν ἑαυτοῦ· βέλτιον δὲ ψιλῶς, ὡς καὶ Διονύσιος ὁ τοῦ Χαρμίδου. § Ἄλλως. εἰ γὰρ ἦν τὴν οὖσαν καὶ δέουσαν ἀλήθειαν πάντας γινώσκειν, οὐκ ἂν οὐδὲ ὁ Αἴας τῶν ἀριστείων ἐστερήθη, εἰ μὴ [2]) διὰ τὴν τῶν κρινάντων ὄχλων ἀμαθίαν· καὶ διὰ τὴν ὀργὴν ἐνέπηξε κατὰ τῶν φρενῶν ἑαυτοῦ τὸ ξίφος.

39. Λευρὸν ξίφος] λευρὸν οἱ μὲν τὸ πλατύ· βέλτιον δὲ τὸ πλάγιον ἀκούειν, ἵνα νοήσωμεν οὐχὶ τὸ καθ' ἑαυτὸ πλαγίως ἔχον, ἀλλὰ τὸ κατὰ τὴν πληγὴν πλαγίως ἐνεχθέν. οὕτω γὰρ καὶ ὁ Εὐφορίων τὴν πληγὴν ὑπεστήσατο·

Πλευρά τε καὶ θώρηκα διήρικεν ἰνίου ἄχρις.

τοῦ δὲ Ὃν κράτιστον καὶ ἑξῆς, ὁ νοῦς οὕτως· ὅντινα ἤγαγον αἱ τοῦ Ζεφύρου πνοαί, τῷ ξανθῷ Μενελάῳ τὴν δάμαρτα κομίσαι εἰς Ἴλιον. Ὅμηρος· [3])

Ἀνδρῶν δ' αὖ μέγ' ἄριστος ἔην Τελαμώνιος Αἴας,
Ὄφρ' Ἀχιλεὺς μήνιεν.

44. Ἀλλὰ κοινὸν γὰρ ἔρχεται] πάντες γὰρ ἀποθνήσκομεν καὶ οἱ ἄξιοι καὶ οἱ μή· καὶ τὸ κῦμα, φησί, τοῦ ᾄδου ἐνέπεσε τῷ ἀδοκήτῳ, τῷ μὴ δοκοῦντι νῦν τελευτήσειν, ἀλλὰ μετὰ ταῦτα ἐξαίφνης ἐμπίπτει ὁ θάνατος. ἢ ἀδόκητον κέκληκε τὸν ἄδοξον, δοκέοντα δὲ τὸν ἔνδοξον· δοκεῖν γὰρ καὶ δοξάζειν ταὐτόν. ἐπεὶ οὖν ὁ θάνατος καὶ τὸν ἔνδοξον καὶ τὸν ἄδοξον συναναιρεῖ, σὺ ὁ μεγάλα κατεργασάμενος τῷ αἰῶνι παρακατατίθεσο τὴν μνήμην διὰ τῶν ποιημάτων. § Ἄλλως. ἀδόκητον τὸν νεώτερόν φησιν· οὐ γὰρ προσδοκᾷ ταχέως τὸ ἀποθανεῖν· δοκέοντα δὲ τὸν πρεσβύτην· προσδοκᾷ γὰρ τὸ ἀποθανεῖν. § ἐμπίπτει, φησίν, ὁ θάνατος ὁμοίως καὶ πρεσβυτέροις καὶ νεωτέροις. τὸ δὲ σύμπαν τῆς διανοίας τοιοῦτόν ἐστι· τὸ μὲν ἀποθανεῖν καὶ τοῖς νεωτέροις καὶ τοῖς πρεσβυτέροις ἐμπίπτει· ἐκείνων δὲ ἡ τιμὴ καὶ ἡ δόξα αὔξεται, ὧν ἂν ἡ Μοῦσα αὐξήσῃ τὸν ἐγκωμιαστικὸν λόγον. βούλεται δὲ εἰπεῖν· ὅτι ἀθάνατος ἡ μνήμη τῶν ἐγκωμιαζομένων.

46. Τιμὰ δὲ γίνεται, ὧν θεὸς ἁβρὸν αὔξει λόγον] ἁβρὸν λόγον τὰ ἐγκώμια φησε, θεὸν δὲ τὴν Μοῦσαν. ὁ δὲ νοῦς· τούτων δὲ τιμὴ γίνεται τεθνηκότων, ὧν ἂν θεὸς αὔξῃ [4]) λόγον, τουτέστιν ὁ ποιητὴς ἐμπνευσθεὶς ὑπὸ τῶν θεῶν. τινὲς δὲ τὸ Τεθνακότων πρὸς τὸ ἑξῆς.

47. Τεθνακότων βοαθόων] πρὸς τὸ ἓν ἀκουστέον ἄχρι τοῦ Ἐπεὶ πράθε, καὶ γραπτέον ἐν τῷ ε̄ [5]) ἵμολεν, ὡς Δίδυμος, [6]) καὶ ὑφ' ἓν ἀπὸ τοῦ Τεθνακότων ἕως τοῦ Πράθεν ἀναγινώσκει. τὸ δὲ ὅλον τοιοῦτον· ἔμολε παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου χθονὸς Νεοπτόλεμος, Πριάμου πόλιν ἐπεὶ πράθεν· τεθνηκότων δὴ τῶν βοηθῶν ἐν Πυθίοις δαπέδοις κεῖται. ποίων δὲ βοηθῶν; τῶν περὶ τὸν Εὐρύπυλον, οὓς αὐτὸς ὁ Νεοπτόλεμος

1) Τὸ addidit Heynius. 2) Exspectes οὐδὲ διὰ τ. τ. κ. ὄ. ἀμαθίαν καὶ διὰ etc. 3) Iliad. β, 768. 4) Vulgo αὔξει. 5) Sic Rom. ε'. Cf. nott. critt. 6) Adde ὅς: ὃς καὶ ὑφ' ἓν etc.

Digitized by Google

ἀνελὼν ἐπόρθησε τὴν Ἴλιον. οὕτω γὰρ ἴδιος ὁ πόνος ἔσται τοῦ ἥρωος. δοκεῖ δὲ ὁ Νεοπτόλεμος ἐν Δελφοῖς ἀνηρῆσθαι καὶ τεθεῖσθαι ἐν τῷ ναῷ. ἐὰν δὲ ἐπὶ τῶν περὶ τὸν Ἕκτορα, καθὼς Ἀρίσταρχός φησιν, ἀναδράμωμεν, πρῶτον μὲν μακρόθεν ἔσται τὴν πόρθησιν συνάπτων, δεύτερον δὲ ἐπὶ τὴν κοινότητα μεταβήσομεν, δι' ἧς τὸ ἐγκώμιον οὐκ ἔσται. εἰ δὲ γράφεται ἔμολον, τῷ πληθυντικῷ ἀντὶ ἑνικοῦ χρᾶται, ὥστε ὅμοιον εἶναι τῷ· Ὁ δ' ἀποπλέων Σκύρου μὲν ἅμαρτεν, ἵκοντο δ' εἰς Ἐφύραν, ἀντὶ τοῦ ἵκετο. εἰς δὲ τὸ προκείμενον τείνων παρέθηκε τὴν τοῦ Νεοπτολέμου ἀπώλειαν, ὅτι ἀδοκήτως αὐτῷ συνέβη.

53. Τᾷ καὶ Δαναοὶ πόνησαν] ὑπὲρ ἧς, φησί, καὶ οἱ Ἕλληνες ἐταλαιπώρησαν, ἢ ἐφ' ᾗ, ἢ ἐν ᾗ, ἢ ταύτῃ καὶ οἱ Δαναοὶ πόνησαν ἢ καὶ ὁ Νεοπτόλεμος· παρόσον ἀπονοστοῦντες οἴκαδε χειμῶνι ἐχρήσαντο καὶ ὁ Νεοπτόλεμος καὶ οἱ Ἕλληνες. Ἐφύραν δὲ εἶπε τὴν ἐν Ἠπείρῳ, ἣν Κίχυρόν φασι μετωνομάσθαι ἀπὸ Κιχύρου τοῦ Μερμέρου. τέσσαρας δὲ ἀναγράφει [1]) τὰς Ἐφύρας· πρώτην μὲν τὴν αὖθις [2]) Κόρινθον ὀνομασθεῖσαν· Ὅμηρος· [3]) Ἔστι πόλις Ἐφύρη. ἑτέραν δὲ τὴν περὶ Θεσσαλίαν· Ὅμηρος· [4])

Ἐξ Ἐφύρης ἀνιόντι παρ' Ἴλου Μερμερίδαο.

τρίτην δὲ περὶ Ἤλιν, [5]) ἧς Ἱππίας μνημονεύει· τετάρτην τὴν ἐν Θεσπρωτοῖς. συνήθως δὲ ὁ Πίνδαρος τῷ τῆς λέξεως κέχρηται σχήματι, συντάξας τῷ ἑνικῷ πληθυντικόν· Ὁ δ' ἀποπλέων Σκύρου μὲν ἅμαρτεν, ἑνικόν· Ἵκοντο δ' οὐκ ἐπήνεγκεν ἑνικόν, ἀλλὰ πληθυντικὸν ἑνικῷ.

56. Μολοσσίᾳ δ' ἐν βασίλευεν ὀλίγον χρόνον] ἀνάγει τοὺς χρόνους· ὕστερον γὰρ ἀπὸ Μολοσσοῦ τοῦ Νεοπτολέμου καὶ Ἀνδρομάχης τοὔνομα ἔλαβεν ἡ Μολοσσία. παρεκβαίνει δὲ εἰς τὰ Νεοπτολέμου, ὡς μὲν Ἀρίσταρχος, ὅτι νικήσας καὶ χαρισάμενος τὴν ἀνάῤῥησιν τῷ Σωγένει Νεοπτόλεμος ἦν Ἠπειρώτης τὸ γένος, ὅπερ οὐχ οὕτω φησὶν ἔχειν ὁ Δίδυμος· ὡς δὲ Ἀριστόδημος, [6]) ὅτι ἀλείπτῃ ἐκέχρητο τῷ Νεοπτολέμῳ. διὸ εἰς ἔπαινον τοῦ ὀνόματος τῇ ἡρωϊκῇ κέχρηται παρεκβάσει. § ὁ δὲ νοῦς· τὸ γένος τοῦ Νεοπτολέμου τὸ τῆς βασιλείας γέρας ἔσχεν ἀεί. δοκοῦσι γὰρ οἱ ἀπὸ Νεοπτολέμου βεβασιλευκέναι ἐπιπλεῖον.

58. Ὤιχετο δὲ πρὸς θεόν] διάφοροι αἰτίαι, δι' ἃς ἦλθεν εἰς Δελφοὺς ὁ Νεοπτόλεμος· καὶ οἱ μέν φασιν ὅτι παίδων αὐτῷ οὐ γινομένων ἐξ Ἑρμιόνης ἦλθε παρὰ τοῦ θεοῦ πευσόμενος ὡς παιδοποιήσεται· οἱ δὲ ὅτι ἐπιτιθέμενος τοῖς Πελοποννήσου πρίγμασι διαρπάσαι πρῶτον ἐπέβαλε τὸ ἐν Δελφοῖς ἱερὸν ἤτοι χρηστήριον· ἄλλοι δὲ ὅτι δίκας αἰτήσων τοῦ πατρὸς τὸν θεόν·

Ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
Ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐπὶ σκαιῇσι πύλῃσιν. [7])

οὐκ ἔοικε δὲ συγκατατίθεσθαι ὁ Πίνδαρος ταύταις ταῖς αἰτίαις, ἀλλ' ὅτι τιμήσων ἦλθε τὸν θεόν.

1) Quis ἀναγράφει? 2) Vulgo αὖτις. 3) Iliad. ζ, 152. 4) Odyss. α, 259. 5) Rom. Μῆλιν. 6) Vulgo Ἀρίσταρχος. Aristodemum Aristarchi discipulum reponere haud veritus sum, qui et Olymp. VI, 53. et Nem. VII, 70. post Aristarchum, posteriori tamen loco interiectis ἑνίοις comparet, et Isthm. I, 11. post Aristarcheos. Ad hoc carmen etiam vs. 1. Aristodemus commemoratur. 7) Iliad. χ, 559.

Digitized by Google

62. Ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ] φασὶ τοῦ Νεοπτολέμου θύοντος τοὺς Δελφοὺς ἁρπάζειν τὰ θύματα, ὡς ἔθος αὐτοῖς· τὸν δὲ Νεοπτόλεμον δυσανασχέτως ἔχοντα διακωλύειν· αὐτοὺς δὲ [1]) διαχρήσασθαι αὐτὸν ξίφη ἔχοντας. § Ἄλλως. Ἀσκληπιάδης διὰ τῶν Τραγῳδουμένων [2]) φησὶν οὕτω· Περὶ μὲν οὖν τοῦ θανάτου σχεδὸν ἅπαντες οἱ ποιηταὶ συμφωνοῦσι, τελευτῆσαι μὲν, αὐτὸν ὑπὸ Μαχαιρέως, ταφῆναι δὲ τὸ μὲν πρῶτον ὑπὸ τὸν οὐδὸν τοῦ νεώ, μετὰ δὲ ταῦτα Μενέλαον ἐλθόντα ἀνελεῖν, καὶ τὸν τάφον ποιῆσαι ἐν τῷ τεμένει. τὸν Μαχαιρέα φησὶν υἱὸν εἶναι Δαίτα. τρεῖς δὲ αἰτίας ὑπὲρ τοῦ θανάτου τοῦ Νεοπτολέμου πορίζεται· πρῶτον μὲν, ὅτι τὸ πεπρωμένον αὐτῷ ἀπέδωκε· δεύτερον, ὅτι πρέπον ἦν τῶν Αἰακιδῶν τινα [3]) καὶ ὀφειλόμενον σύνοικον εἶναι τῷ Ἀπόλλωνι· ἐτάφη γὰρ ὑπὸ τὸν οὐδὸν τοῦ ἱεροῦ· ἡ δὲ τρίτη, ὅτι ἐπισκοπεῖ τὰς τελουμένας θυσίας τοῖς ἥρωσι. λέγεται γὰρ, ὅτι μετὰ τὸ θῦσαι ἐναγισμοὺς ἐπέσπενδον.

68. Ἡρωΐαις δὲ πομπαῖς] γίνεται ἐν Δελφοῖς ἥρωσι ξένια, ἐν οἷς δοκεῖ ὁ θεὸς ἐπὶ ξένια καλεῖν τοὺς ἥρωας. εἶναι οὖν μόρσιμον ἐν ταῖς πομπαῖς ταῖς ἡρωΐαις καὶ ταῖς πανηγύρεσιν, ἐν αἷς ἐκήρυσσον τοὺς ἥρωας, θυσίαις ταῖς πολυθύτοις ἐπίσκοπον οἰκεῖν [4]) μετὰ Θέμιδος καὶ τὰ νομίμως γινόμενα αὐτοῖς ξένια ἐφορῶντα. § ὁ δὲ νοῦς· ταῖς δὲ ἡρωϊκαῖς πομπαῖς καὶ πανηγύρεσι ταῖς πολυθύτοις οἰκεῖν προσήκειν τὸν Νεοπτόλεμον ὄντα δίκαιον ἔφορον.

70. Εὐώνυμον ἐς δίκαν] Ἀρίσταρχος οὕτως· ἐπεὶ μέμψις τοῖς Αἰγινήταις πρὸς τὸν ποιητὴν ἦν χάριν τοῦ Νεοπτολέμου, εἰς τὴν ἀπολογίαν τὴν περὶ Νεοπτόλεμον δικαίως διαρκέσει τρία ἔπεα, φησίν· ὅτι μόρσιμον ἦν αὐτῷ οὕτω τελευτῆσαι, καὶ ὅτι πεπρωμένον ἦν ἕνα τῶν Αἰακιδῶν ἀποθανόντα τεθῆναι ἐν τῷ ναῷ, τρίτον ὅτι ταῖς ἡρωΐαις πομπαῖς ἕνα τῶν Αἰακιδῶν θεμίσκοπον εἶναι. τρεῖς οὖν φησι λόγους ἱκανοὺς εἶναι εἰς τὴν εὐώνυμον δίκην· οἷον ἱκανὰς εἶναι τρεῖς αἰτίας, ἃς ἐξαριθμεῖται, τοῦ δικαίως αὐτῷ συμβεβηκέναι τὸν θάνατον. ἔνιοι δὲ οὕτως ἀπολογοῦνται περὶ τῆς τοῦ Νεοπτολέμου τελευτῆς, τρία φέροντες ταῦτα, ὅτι τὸ ὑπὲρ τῶν κρεῶν εἰπεῖν ἀνῃρῆσθαι, καὶ ὅτι οἱ Δελφοὶ ἐβαρύνθησαν ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ, καὶ ὅτι πεπρωμένον ἦν αὐτὸν ἀναιρεθῆναι. ὁ δὲ Ἀριστόδημος ἔπεα τρία τὰς τριάδας ἀκούει· τὴν γὰρ ἀρχὴν ἔπος προσηγόρευον τὴν στροφὴν καὶ τὴν ἀντιστροφὴν καὶ τὴν ἐπῳδόν· τρεῖς δὲ λοιπὸν ὑπεῖναι τῷ ἐπινικίῳ τριάδας.

73. Αἴγινα, τεῶν Διός τ' ἐκ προγόνων] ὦ Αἴγινα, τῶν τεῶν καὶ τοῦ Διὸς ἐκγόνων, τῶν Αἰακιδῶν δὲ λέγει, τὴν ταῖς λαμπραῖς ἀρεταῖς, αἷς οἴκοθεν ἔχετε, ὁδὸν κυρίαν, λόγον ἀντάξιον κυρίως ἔχουσαν, εἰπεῖν ἀδύνατόν μοι καὶ τολμηρὸν τυγχάνει. τοῦτο δέ φησιν ὡς οὐ δυνησόμενος θρασέως τὴν τῶν Αἰακιδῶν ἀρετὴν διεξιέναι· πολλοῖς γὰρ ἀνήνυτόν φησι τοῦτο.

76. Ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντί] βούλεται ἤδη λῆξαι τῆς περὶ Νεοπτόλεμον παρεκβάσεως· ἀναπαύσομαι ἤδη λέγων περὶ αὐτοῦ, ἐπεὶ κόρος ἔπεστι πᾶσι. κόρον γὰρ ἔχει καὶ τὸ μέλι, φησὶ, καὶ τὰ Ἀφροδίσια. παρὰ τὸ Ὁμηρικόν· [5]) Πάντων μὲν κόρος ἐστί.

[1]) Δὲ addidit Beckius. [2]) Fuit credo Ἀσκληπιάδης δὲ ια' τῶν Τραγ. [3]) Τινὰ addidi cum Heynio. [4]) Vulgo ἐπισκοπεῖν. [5]) Iliad. ν, 636.

Digitized by Google

79. Φυᾷ δ' ἕκαστος διαφέρομεν] διαφέρομεν, φησὶν, ἄλλοι ἄλλων τῇ φύσει· οὐ πρὸς πάντα πάντες εὐφυεῖς ἐσμεν, ἀλλ' ἄλλοι περὶ ἄλλα:

Ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις. [1])

τὸ δὲ τυχεῖν πάντων ἀγαθῶν ἕνα καὶ παραμεῖναι αὐτῷ μέχρι τέλους ἀδύνατον.

85. Θεαρίων, τὶν δ' ἐοικότα] σοὶ δὲ, φησὶν, ὦ Θεαρίων, ἡ τύχη καιρὸν εὐδαιμονίας ἁρμόδιον δωρεῖται, ὅτι γεγηρακότι ἀνακουφίζεταί σοι τὸ γῆρας ταῖς τοῦ παιδὸς εὐδοξίαις.

87. Τόλμαν τε καλῶν ἀραμένῳ] ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμαν· Τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος ἐσάωσεν· [2]) ἡ μὲν σύνεσις προεπισκοποῦσα πῶς ἐκβήσεται, ἡ δὲ τόλμα ἐγχείρησις οὖσα. Θαῤῥαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων. [3])

89. Ξεῖνός εἰμι σκοτεινὸν ἀπέχων ψόγον] ξένος εἰμὶ, φησὶ, τῶν Αἰγινητῶν, τὸν ἐπισκοτοῦντα ψόγον ἀπέχων. οὐδείς με ψέγει, ὅτι ἐπαινῶ τοὺς Αἰγινήτας· οὐ γὰρ πολίτας ὄντας ἐμαυτοῦ διὰ τοῦτο ἐπαινῶ· προσχαρίζεσθαι γὰρ ἂν ἐδόκουν διὰ τὴν οἰκειότητα ἐγκωμιάζων. Ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται· [4]) νῦν δὲ οὐκ ὢν ἐξ οἴκου ἐπαινῶ αὐτούς· διὸ οὐ φθονήσομαι. Δίδυμος δὲ, οὐδένα ψέξω, φησὶ, καὶ ὅτι τοῦτο οὐκ ἀλλότριον τοῦ Πινδάρου, ἀλλὰ πολλὰ γὰρ αὐτῷ τοιαῦτα εἴρηται. τοῦτο δὲ λέγει, παρὸ εἰώθασιν οἱ πολῖται ἀεὶ φθονεῖν τοῖς κατά τι προέχουσι· διὰ τοῦτό φησιν ὁ Πίνδαρος ξένος εἶναι καὶ τὸν σκοτεινὸν ψόγον ἄποθεν ἔχειν· καὶ οὐδένα, φησὶ, ψέξω, μᾶλλον δὲ τὸ κλέος τὸ ἀληθὲς ὥσπερ ὕδατος ῥοὰς εἰς τὸν φίλον ἄγων ἄνδρα αἰνέσω, ὡς ὕδωρ ὀχετηγός. ὡς γὰρ ἐκεῖνος ἀμφυτὰ [5]) ἄγων τὸ ὕδωρ ἐπὶ τὰ δένδρα τρέφει αὐτὰ, οὕτω κἀγὼ τὰς τοῦ ὕμνου ῥοὰς ἐπὶ τὸν φίλον ἄνδρα, ἐπαινέσω καὶ αὐξήσω τὸ κλέος. § ὁ δὲ νοῦς· ξένος ὢν λέγω τἀληθῆ, τοῦ φθόνου ἐκτὸς ὢν τῶν πολιτῶν. ἔμφυτον γὰρ τοῖς πολίταις τὸ ἀλλήλοις διαφθονεῖν· καὶ ὥσπερ τὰ ὕδατα ὀχετηγὸς ἀψαύστως, οὕτω καὶ ἐγὼ διαπορθμεύσω τοῦ ἀνδρὸς τὴν ἀρετὴν τοῖς ὕμνοις καὶ τὴν περὶ τοὺς ἀγῶνας αὐτοῦ εὐδοξίαν ἀψευδῶς καὶ ἀληθῶς· πρόσφορος γάρ ἐστι τοῖς ἀγαθοῖς καὶ ἀνδρείοις ὁ μετὰ τοῦ ἀληθοῦς ὕμνος.

94. Ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ ψεύσεταί με ἀνήρ] Ἀχαιὸν ἄνδρα τὸν Ἠπειρώτην· ἢ αὐτὸν τὸν Νεοπτόλεμον ἢ ἕνα τῶν Ἠπειρωτῶν. Ἀχαιὸς γὰρ οὐ καθάπαξ ὁ Ἠπειρώτης, ἀλλὰ Μυρμιδών· Ἀχαιοὶ γὰρ οἱ ἀπὸ τῆς Θεσσαλίας ταχθέντες ὑπὸ Νεοπτολέμῳ ἀπεπλάγχθησαν εἰς τὴν Μολοσσίαν καὶ κατῴκησαν εἰς τὴν Ἤπειρον. οὐ μέμψαιτο [6]) ἂν οὖν με Ἀχαιὸς ἀνὴρ ἐπὶ τῷ [7]) δοκεῖν μικρολόγον παρεστακέναι τὸν Νεοπτόλεμον, ὅτι εἶπον αὐτὸν περὶ κρεῶν μεμαχῆσθαι καὶ διὰ τοῦτο ἀπολωλέναι. καθόλου γὰρ ἀπολογεῖσθαι βούλεται περὶ τοῦ Νεοπτολέμου θανάτου πρὸς τοὺς Αἰγινήτας. ἐκεῖνοι γὰρ ἠτιῶντο τὸν Πίνδαρον, ὅτι γράφων Δελφοῖς τὸν Παιᾶνα ἔφη· Ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν [8]) ἀπολωλέναι. ἀπολογούμενος γάρ τι ἀντεισήγαγε τοῦτο ὁ Πίνδα-

1) Odyss. ξ, 228. 2) Fragmentum Pindari. 3) Odyss. η, 51. Hoc loco quae sequebantur, transposui ad vs. 97. 4) Fragmentum Pindari. 5) Vox corrupta videtur. 6) Vulgo μέμψοιτο. 7) Vulgo τό. Correxit Schneiderus. 8) Vulgo μυρίαν περὶ τιμάν. Sed vide Fragm. Paean. I.

Digitized by Google

ρος, ὅτι οὐκ ἔφησε περὶ χρημάτων γεγονέναι τῷ Νεοπτολέμῳ τὴν μάχην, ἀλλὰ περὶ τῶν νομιζομένων τιμῶν τοῖς Δελφοῖς. ὃ οὖν λέγει, τοιοῦτόν ἐστι· παρὼν δέ τις ἐνταῦθα Δωδωναῖος οὐ μέμψεταί μοι ὡς ἐνυβρίσαντι τῷ Νεοπτολέμῳ. § ἢ οὕτως· ἐγγύς μοι γενόμενος καὶ ἀκούσας αὐτὸς ὁ Νεοπτόλεμος, ὧν εἶπον, ἢ ἕτερος Ἠπειρώτης, οὐκ ἂν μέμψοιτο.

95. Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων] δοκεῖ ὁ Νεοπτόλεμος τὴν τοῦ πατρὸς ἀρχὴν διαδέξασθαι τῶν Μυρμιδόνων καὶ ἡγήσασθαι ἐν Τροίᾳ. οὗτοι δὲ καὶ Ἀχαιοὶ ἐκαλοῦντο, καθά φησι καὶ Ὅμηρος· [1])

Μυρμιδόνες δὲ καλοῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

οὗτοι δὲ κατὰ τὸν Ἰόνιον πόντον ᾤκησαν, καθὰ καὶ αὐτὸς Πίνδαρος σημαίνει λέγων· [2]) Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ, βουβόται τόθι πρῶνες ἔξοχοι κατάκειν ται, Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον. [3]) τὸ δὲ προξενίᾳ ἀμφίβολον πότερόν φησιν ὁ Πίνδαρος, μὴ μεμφθῆναι ἂν ὑπὸ τῶν Αἰακιδῶν· πρόξενον γὰρ ὄντα μὴ ἄν ποτε κατὰ Νεοπτολέμου εἰπεῖν· καὶ ὅτι πρόξενος ὢν αὐτοῖς ἐπ' οὐδενὶ μεμφθήσομαι· θαρρῶ γὰρ αὐτοῖς· οἷον οὐδείς με μέμψεται· ἢ πεποιθότα τῇ προξενίᾳ τῇ πρὸς τοὺς Ἠπειρώτας· ἢ πιστεύω καὶ τῇ συγγενείᾳ, ἣν ἔχομεν Θηβαῖοι πρὸς τοὺς Αἰγινήτας. διὸ οὐ μέμψονταί μοι οὐδὲ οὗτοι.

97. Ὄμματι δέρκομαι λαμπρόν] ἐν τοῖς ἰδίοις δημόταις καταφανής εἰμι, ὡς ἂν οὐδενὶ ἐνεχόμενος ἀτόπῳ πράγματι. § καὶ ἐν τοῖς ἰδίοις [4]) μου πολίταις ὁρῶ οὐχ ὑπέρλαμπρον καὶ ὑπεροπτικόν, ἀλλὰ μέτριός τις καὶ χρηστὸς τυγχάνω. ἡ δὲ ὑπὲρ συναπτέα τῷ βάλλων, ἵν' ἢ οὐχ ὑπερβάλλων. § ἢ οὕτως· οὐδὲ μὴν ἄλλως, φησίν, ἐν τοῖς πολίταις ὑπεροπτικός εἰμι καὶ ὑπέρογκος, οὐ προσβλέπων τοὺς πολίτας ὄμματι λαμπρῷ καὶ ὑπερηφάνῳ, ἀλλὰ προσμειδιῶντι καὶ προσηνεῖ, ὥστε καὶ διὰ τοῦτο [5]) ἄμεμπτος εἶναι.

98. Βίαια πάντα ἐκ ποδὸς ἐρύσαις] διάγω, φησὶ, κατὰ τὰς Θήβας μετριάζων, τὰ βλάσφημα καὶ ὑπεροπτικὰ ἐκποδὼν ἀφελκύσας, ἤτοι μακράν μου χωρίσας. § ἢ οὕτως· οὕτω, φησὶ, ζῶ, τὰ βιαστικὰ πάντα ἐκ ποδῶν μου ἄρας· τουτέστιν οὐδένα βιαζόμενος ζῶ.

99. Ὁ δὲ λοιπὸς εὔφρων] ὁ δὲ λοιπὸς χρόνος προσέρποι καὶ βαίνοι πρᾷος ὢν καὶ εὔφρων. ὁ δὲ νοῦς ὅλος· εἴθε μοι τὸ ὅλον τοῦ βίου οὕτω μετ' εὐφροσύνης συμπεραινθείη. τὸ δὲ ποτὶ ἕρποι ἀντὶ τοῦ προσέρποι. [6])

100. Μαθὼν δέ τις ἂν ἐρεῖ] τὶς σοφὸς μαθών· ἔτι γὰρ καὶ ταῦτα προσαπολογεῖται ὑπὲρ τοῦ Νεοπτολέμου. τὸ δὲ ἂν ὑπερβιβαστέον πρὸς τὸν δὲ σύνδεσμον, ἵν' ἢ· μαθὼν δέ τις, εἰ παρὰ τὸ προσῆκον λέγω, ἀντὶ τοῦ εἰ ψεύδομαι. § ὁ δὲ νοῦς· γνώριμος δέ τις καὶ πολίτης εἴποι ἄν τις ἄδοξα [7]) καὶ οὐκ ἀληθῆ λέγων ἐμαυτῷ.

[1]) Iliad. β, 684. [2]) Nem. IV, 83. vulg. [3]) Legebatur: Ἰόνιον πόντον γράφεται πόρον. Patet autem in nonnullis scholiorum exemplaribus πόντον, in aliis πόρον scriptum fuisse, et πόρον a librario ut variam lectionem annotatum fuisse: quam utpote veram recepi. [4]) Vulgo ἱεροῖς, quod emendavi tum ex priori scholio, quod olim ad vs. 87. legebatur, tum ex schol. Nem. VI, 75. [5]) Vulgo δι' αὐτοῦ τό. Paullo ante ex Rom. restitui προσμειδιῶντι. [6]) Vulgo ἕρπει et προσέρπει. [7]) Rom. ἔνδοξα.

Digitized by Google

103. Εὐξενίδα πάτραθε Σώγενες] πρὸς αὐτὸν τὸν Σωγένη ἀπέστρεψε τὸν λόγον. Εὐξενίδην δὲ εἶπεν ὡς ἀπό τινος Εὐξένου τῆς ὅλης φατρίας ἀφηγουμένου, ὡς Σκοπάδας καὶ Ἀλευάδας εἴωθε καλεῖν τοὺς Θεσσαλοὺς, καὶ Ἐμμενίδας [1]) τοὺς ἐπὶ Σικελίᾳ. ἢ εὐξενίδας ἀντὶ τοῦ εὐξένους. πανταχοῦ δὲ τοὺς Αἰγινήτας φιλοξένους προσαγορεύει, καὶ νῦν εὐξενίδα ἀντὶ τοῦ εὔξενε. § Ἄλλως. φατρία ἐν Αἰγίνῃ ἀπὸ Εὐξένου, ἧς ἐστιν ὁ Σωγένης. ὁ δὲ λόγος· ὦ Σώγενες, ὑπομνύω τῇ Εὐξενίδα πάτρᾳ, μὴ τέρμα προβὰς θοὰν ὄρσαι γλῶσσαν, ὡς ἄκοντα χαλκοπάρηον. τοῦτο δὲ ἀπὸ τῶν πεντάθλων μετενήνοχε τῶν τὸ ἀκόντιον παρὰ τὸ ὡρισμένον τέρμα βαλλόντων διὰ τῶν ἑξάθλων [2]) γινομένων. § ἐγὼ, φησὶ, καθίημι τοῦ σκοποῦ· ἡ γλῶσσά μου ἐπὶ τὸν σκοπὸν ἀνήνεκται, οὐχ ὑπερπέπτωκε τὸ τέρμα, ὡς ἀκόντιον. τοῦτο δὲ εἶπεν, ἐπειδὴ πένταθλός ἐστιν ὁ Σωγένης. § ὁ νοῦς· ὄμνυμι τῇ φατρίᾳ τῶν Εὐξενιδῶν, περὶ σοῦ λέγων μὴ ὥσπερ ἀκοντισταὶ, οἳ διὰ ἀπληστίαν ἰσχύος ὑπερβάλλουσι τὸ τέρμα καὶ τὸ ὡρισμένον, καθ' οὗ δεῖ πέμψαι, οὕτω κἀγὼ τὴν ἀλήθειαν. [3])

106. Ὅς ἐξέπεμψας παλαισμάτων αὐχένα] ἀπὸ τοῦ πρὸς αὐτὸν λόγου εἰς τὸν περὶ αὐτοῦ μετέστη· ὅστις ὁ Σωγένης τῶν τοῦ πεντάθλου ἀγωνισμάτων ἐξέπεμψεν ἑαυτοῦ τὸ γυῖον ἄνευ ἱδρῶτος πρὶν ἐπιπεσεῖν τὴν τοῦ ἡλίου ἀκτῖνα. ἐκ δὲ τούτου τὸ τῆς ἀθλήσεως ἐράσμιον καὶ ταχὺ χαρακτηρίζει. ἔνιοι δὲ ὡς νικήσας, φασὶ, τὸ ἀκόντιον ἐστέφθη, οὐκέτι μέντοι ἐπάλαισε, παραιτησαμένων αὐτὸν τῶν ἄλλων. ἐπεὶ δὲ οἱ παλαίοντες χρονοτριβοῦσι καὶ τὸν πλείονα χρόνον ἐν τῷ ἡλίῳ μένουσι, διὰ τοῦτό φησι· πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν, τουτέστι πρὸ τοῦ ἐκλυθῆναι τὸ σῶμα ὑπὸ τοῦ ἡλίου διὰ τὴν πάλην, ἀντὶ τοῦ εἰπεῖν· πρὶν παλαῖσαί σε.

109. Εἰ πόνος ἦν] εἴ καὶ κάματος ἦν, φησὶν, ἐν τῷ ἀγωνίζεσθαι, ἀλλὰ μείζων ἡ ἐκ τῆς νίκης ἡδονή. ὁ ἄκων, [4]) φησὶν, αἴτιος γενόμενος τῆς παντελοῦς νίκης οὐκ ἐποίησε χρείαν σε ἔχειν τοῦ διὰ πάλης σε περιγενέσθαι τῶν ἀνταγωνιστῶν, ἀλλά σου ἄβρεκτον τὸν αὐχένα ἐξέπεμψε τοῦ ἀγῶνος.

110. Ἔα με νικῶντί γε χάριν] τὸ ὑπερβατὸν οὕτως· ἔα με, εἴ τί περ ἂν ἀερθεὶς ἀνέκραγον, νικῶντί γε χάριν φέρειν.

112. Οὐ γὰρ τραχύς εἰμι καταθέμεν] οὐ γάρ εἰμι ἀηδὴς, φησὶ, καὶ ἀπηνὴς τοῖς νικῶσι τὰ ἐγκώμια θέσθαι.

113. Εἴρειν στεφάνους ἐλαφρόν] πρὸς αὐτὸν διαλέγεται. ὁ δὲ νοῦς· ἐπὶ τούτοις τοῖς κατορθώμασιν ἐλαφρῶς συντιθέναι καὶ πλέκειν στεφάνους παραιτοῦ, ἀντὶ τοῦ μέγα τι καὶ ἀξιοπρεπὲς ἐφάρμοζε τῇ νίκῃ ἐγκώμιον.

114. Ἀναβάλλεο· Μοῖσά τοι κολλᾷ χρυσόν] ἤτοι ἡ Μοῦσα ἡ ἐγκωμιαστικὴ ποικίλως κοσμεῖ τοὺς ἐπαινουμένους, οἷον ἡ Μοῦσα πᾶσι χρῆται τοῖς ἐγκωμίοις. § Ἄλλως. λέγειν τι ἐλαφρὸν περὶ τῶν ἱερῶν στεφάνων ἀναβάλλου, οἷον μὴ λέγε κοῦφα περὶ τῶν νικώντων, ἀλλὰ μᾶλλον μεγάλα λέγων αὔξανε αὐτούς. § ἀντὶ τοῦ ἀνακρούου

1) Rom. Εἰμενίδας. 2) Vulgo ἐξ ἄθλων. Quod ex nostra emendatione legitur ἑξάθλος, non eo sensu accipiendum, quo usus est Lexiphanes Luciani c. 11. sed quo ἐξαγώνιος apud eundem in simili sententia Imag. 18. Gymnas. 19. Conf. ἀγῶνος ἔξω ap. Pind. Pyth. I, 44. nostr. 3) Vulgo τῇ ἀληθείᾳ. 4) Vulgo ἀγών, et deinde ὁ γενόμενος et σὲ γενέσθαι. Correxit Hermannus.

Digitized by Google

καὶ ἄρχου τι λέγειν ἐλαφρῶς περὶ τῶν στεφάνων· εἰ μείζονα εἴρηκας αὐξητικὸς ὢν, νῦν ἐλαφρῶς ἄρχου τι λέγειν περὶ αὐτῶν.

116. Καὶ λείριον ἄνθεμον] τινὲς φασιν εἶναι κουράλιον, εἰρῆσθαι δὲ αὐτὸ ποντίαν ἐέρσαν διὰ τὸ δοκεῖν, ἕως μέν ἐστι κατὰ βάθους, ἁπαλὸν εἶναι καὶ φυτῷ ὅμοιον· ὅταν δὲ ἀνασπασθῇ καὶ γένηται ἔξω τοῦ ὕδατος, ἀπολιθοῦσθαι τοῦ ἡλίου καταλάμψαντος αὐτῷ. [1]) οἱ δὲ ποντίαν δρόσον τὴν πορφύραν φασὶ διὰ τὴν τοῦ κογχυλίου βαφὴν, λείριον δὲ ἄνθος τὸ ἔριον. ἀναφέρει δὲ ταῦτα ἐπὶ τὴν τῶν ὑφαινομένων ποικιλίαν ταύτην, ἐπεὶ τὸ ποίημα ὑφάσματι παρέοικεν, ὡς καὶ αὐτὸς ἐν ἄλλοις· Ὑφαίνω δ' Ἀμυθαονίδαις [2]) ποικίλον ἄνδημα.

118. Διὸς δὲ μεμναμένος] τοῦ Διὸς εἰς ὑπόμνησιν ἐλθὼν πολυθρύλλητον λόγον ἐκ τῶν ὕμνων ἀνακίνει εὐμούσως καὶ τεταγμένως περί τε τὴν Νεμέαν καὶ τὸν Δία. τοῦτο δὲ λέγει, ἐπεὶ Νεμεονίκης ὁ Σωγένης.

120. Βασιλῆα δὲ θεῶν] τὸν τῶν θεῶν βασιλέα Δία κατὰ τοῦτο τὸ ἔδαφος ὑμνεῖν προσήκει· ἤτοι τὸ τῆς Νεμέας· ἀνάκειται γὰρ ὁ Νεμεαῖος ἀγὼν τῷ Διΐ· ἢ κατὰ τὸ τῆς Αἰγίνης, ὃ καὶ μᾶλλον διὰ τὰ ἐπιφερόμενα. διατί δὲ πρέπει τὸν Δία ἐν τῇ Αἰγίνῃ ὑμνεῖν, αὐτὸς ἐποίσει.

123. Λέγοντι γὰρ Αἰακόν] τουτέστι, διὰ τὸ τὸν Δία πατέρα εἶναι Αἰακοῦ, ὅς ἐστι πολίαρχος ἡμῶν. Διὸς γὰρ καὶ Αἰγίνης Αἰακός. ἰδίως δὲ φαίνεται ἐπὶ ταύτης τῆς ᾠδῆς ἀνεστραμμένος ὁ Πίνδαρος· ὁτὲ μὲν γὰρ αὐτὸς ἐκ τοῦ ἰδίου προσώπου διαλέγεται πρὸς τοὺς μεμφομένους περὶ τοῦ Νεοπτολέμου, ὁτὲ δὲ παράγει τὸν χορὸν τῶν Αἰγινητῶν διαλεγόμενον· Ἐμοὶ μὲν πολίαρχον· οὐ γὰρ ὁ Πίνδαρος Αἰγινήτης. § φασὶ δὲ τὸν Δία ὑπὸ ταῖς γονατῖς τῆς Αἰγίνης πεφυτευκέναι τὸν Αἰακόν. § ὁ δὲ νοῦς· ἔφυσε δὲ ὁ Ζεὺς τὸν Αἰακὸν, ὦ Ἡράκλεις, τῇ μὲν ἐμῇ πόλει βοηθὸν, σοὶ δὲ πρόθυμον ἀδελφόν. μνημονεύει δὲ τοῦ Ἡρακλέος, ἐπειδὴ ὁ τοῦ νικηφόρου οἶκος ἑκατέρωθεν Ἡρακλείοις περιέχεται τεμένεσιν· ἀπέστρεψε δὲ τὸν λόγον πρὸς τὸν Ἡρακλέα, ὡς τοῦ Αἰακοῦ ὑποδεδεγμένου καὶ ἐξενικότος. προπρεῶνα δὲ ἀντὶ τοῦ πρόθυμον. φησὶ δὲ καὶ ὅτι ἀδελφὸς Ἡρακλέος ὁ Αἰακός.

127. Εἰ δὲ δεύεται ἀνδρὸς ἀνήρ] εἰ θιγγάνει, [3]) φησὶ, τῇ ψυχῇ καὶ ἐπιδέεται ἀνδρὸς ἀνὴρ εἰς τὰς βιωτικὰς χρείας, τί ἂν φαῖμεν χρῆμα τούτου μεῖζον εἶναι, ἢ τοὺς φιλοῦντας εὐθὺς καὶ γειτνιᾶν; ὁ γὰρ γείτων τάχιον χρείας ἀπαιτούσης ἀπαντᾷ. Ἡσίοδος· [4])

Γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.

§ ἢ οὕτως· ἐπεὶ δεῖται ἄνθρωπος ἀνθρώπου εἰς βίον, τί ἂν εἴη τούτου μεῖζον τοῦ εὑρεῖν γείτονας ἀλλήλους φιλοῦντας; Ἀρίσταρχος οὕτως· ἐπεὶ δὲ κατὰ τὰς συνουσίας καὶ γειτνιάσεις ἕτερος ἄνθρωπος ἀφ' ἑτέρου γεύεταί τι καὶ ἀπολαύει ἀφομοιούμενος, ὥσπερ ἡ παροιμία ἔχει·

Χωλῷ παροικεῖς, κἂν ἐνὶ σκάζειν μάθοις· [5])

1) Schneiderus mavult αὐτοῦ. 2) Vulgo Ἀμυθαωνίδαις. 3) Sic Schneiderus: olim θιγγάνειν. 4) Opp. et D. 345. 5) Schottus Stromat. 920. legit παροικῶν; in libro autem Plutarcheo de educ. cap. 6. est: ἂν χωλῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ. Proverbium fortasse hoc fuit: Χωλῷ παροικῶν κἂν ὑποσκάζειν μάθοις.

Digitized by Google

εἴποιμεν ἂν τὸν ὠφεληθέντα γείτονα ἀπὸ γείτονος ἀξιόχρεων εἶναι χάρμα. παρὸ καὶ Ἡσίοδος· [1])

Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.

§ ὁ δὲ λόγος κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. εἰ δὲ κατὰ τὰς γειτνιάσεις γεύεται καὶ ἀπολαύει γείτονος γείτων δεξιοῦ τε καὶ προθύμου, τί ἂν εἴποιμεν τῷ φιληθέντι τὸν φιλήσαντα; εἶτα ὡς κατὰ σύγκρισιν, γείτονα πάντων χρημάτων ἐπάξιον.

131. Εἰ δ' αὐτὸ καὶ θεὸς ἂν ἔχοι] εἰ δὲ τοῦτο οὕτως ἔχει, ὅτι οἱ φιλοῦντες γείτονες μεγάλως ἀλλήλους ὠφελοῦσι, καὶ περὶ θεῶν τοῦτ' ἂν εἴη, καὶ θεὸς τοῦτ' ἂν ἀγαθὸν .... γειτνιῶν ἀνθρώπῳ φιλοῦντι, ὥστε πολλὰ αὐτῷ συμβαλέσθαι. τοῦτο δὲ ἀναφέρει ἐπὶ τὸν Σωγένη καὶ τὸν Ἡρακλέα· ἦν γὰρ Ἡράκλεια τεμένη ἑκατέρωθεν τῆς οἰκίας Σωγένους. μέγα οὖν ἔχει ἀγαθὸν ὁ Σωγένης τὸ ἔχειν σε γείτονα, ὦ Ἡράκλεις, φιλοῦντα αὐτόν· οὐ γὰρ ἐνίκησεν ἄν, εἰ μὴ ἐκ τῆς ἰδίας [2]) ἐπινοίας. § ὁ δὲ νοῦς· εἰ δὲ αὐτὸ τοῦτο καὶ θεὸς παρέχει τὸ τῆς γειτνιάσεως ἀγαθὸν, σὺν σοὶ ἂν, ὦ Ἡράκλεις, ὅστις ἐδάμασας τοὺς Γίγαντας, ὁ Σωγένης εὐτυχῶς βούλοιτο διαζῆν, τὴν σὴν καὶ [3]) δικαίαν τοῦ πατρὸς αὐτοῦ θεραπεύων ψυχὴν καὶ τῶν προγόνων τὴν θείαν καὶ πλουσίαν ὁδὸν, ἀπὸ κοινοῦ ἀμφέπων.

137. Ἐπεὶ τετραόροισιν ὥς θ' ἁρμάτων ζυγοῖς] ἐπειδὴ, φησὶν, ὥσπερ τῶν τετρώρων ἁρμάτων ὁ ῥυμὸς μεταξὺ, οὕτω καὶ ἐν τοῖς τοῦ Ἡρακλέος τεμένεσιν ὁ νικηφόρος ἐν μέσῳ τὸν ἑαυτοῦ οἶκον ἔχει. § ὁ δὲ νοῦς· ἐπεὶ ἐν τοῖς σοῖς τεμένεσιν, ὦ Ἡράκλεις, τὸν δόμον ἔχει μέσον· ὡς ἐπὶ ἁρμάτων ὁ ῥυμὸς μέσος ἐστὶν, οὕτως ὁ Σωγένους οἶκος ἐξ ἀμφοτέρων τῶν χειρῶν, καὶ ἀριστερᾶς καὶ δεξιᾶς, ἔχων τὰ σὰ τεμένη, μέσος ἐστίν· ὡς ὁ ῥυμὸς ἅρματος τετρώρου.

141. Δύνασαι δὲ βροτοῖσιν ἀλκάν] δύνασαι δὲ καὶ αὐτὸς τῶν ἀπόρων καὶ ἀμηχάνων εὕρεσιν δοῦναι· ἀπὸ κοινοῦ γὰρ τὸ διδόμεν· καὶ δύνασαι τοὺς ἄλλους θεοὺς πεῖσαι δοῦναι, οὓς προεῖπεν. § ὁ δὲ νοῦς· δύνασαι, φησὶν, ἀπαλλάξειν τὰς ἀμηχανίας καὶ τὰς ἀτυχίας τῶν ἀνθρώπων· ἀλεξίκακος γὰρ ὑπάρχεις.

144. Εἰ γάρ σφιν ἐμπεδοσθενέα] εἴθε γὰρ αὐτοῖς ἀσφαλῆ καὶ ἀδιάπταιστον τὸν βίον [4]) ἁρμόσας τῇ τε ἥβῃ καὶ τῷ λιπαρῷ γήρᾳ αὐτῶν παραπλέξαις. § Ἄλλως. εἴθε γὰρ αὐτῷ ἐμπεδοσθενῇ τοῦτον τὸν βίον ἁρμόσαις, ἐν τῇ ἀκμῇ καὶ τῷ λιπαρῷ γήρᾳ διαπλέκοις τὸν βίον εὐδαίμονα.

147. Παίδων δὲ παῖδες ἔχοιεν] ὡς τιμήν τινα ἐχόντων αὐτῶν, ἢ ἱερωσύνην ἢ ἄλλο τι τοιοῦτον παρὰ τοῖς Αἰγινήταις. ἔχοιεν οὖν τοῦτο τὸ γέρας, φησὶν, οἱ παῖδες τῶν παίδων, ὅπερ νῦν ἔχουσι, καὶ ὄπισθεν αὐτὸ ἄρειον.

150. Τὸ δὲ ἐμὸν οὔ ποτε φάσει κέαρ] οὐκ ἀτρόπως φησὶν οὐδ' ἀπεοικότως εἰς μνήμην ἐληλυθέναι Νεοπτολέμου. ὁ μὲν οὖν Καλλίστρατος, ἐπεὶ ἔφησε [5]) τὸν Σωγένη γείτονα εἶναι τοῦ Ἡρακλέος, καὶ ὁ Νεοπτόλεμος δὲ γειτνιᾷ τῷ θεῷ τῷ ἐν Δελφοῖς, κατὰ τοῦτό φησιν οἰκείως μεμνῆσθαι τοῦ Νεοπτολέμου, διὰ τὴν ἀμφοτέρων γειτνίασιν· ὁ δὲ Ἀριστόδημος, ὅτι μεμφθεὶς ὑπὸ Αἰγινητῶν ἐπὶ τῷ δοκεῖν ἐν Παιᾶσιν εἰπεῖν

[1]) Opp. et D. 346. Romana ὅσον ἀγ. Vel lege τὴν ὁσίαν καὶ. [2]) Fortasse ἔκ τινος θείας. [3]) Dele σὴν καὶ. [4]) Addidi τὸν βίον. [5]) Vulgo Καλλ. ἐπέφησε.

Digitized by Google

τὸν Νεοπτόλεμον ἐπὶ ἱεροσυλίᾳ ἐληλυθέναι εἰς Δελφοὺς, νῦν ὥσπερ ἀπολογεῖται εἰπὼν, ὅτι οὐχ ἱεροσυλῶν ἐτελεύτησεν, ἀλλ' ὑπὲρ κρεῶν φιλοτιμηθεὶς ἀνηρέθη. διὸ καὶ ἐποίσει· Ταῦτα δὲ τρὶς τετράκις τ' ἀμπολεῖν ἀπορία τελέθει· οἷον ἀπολελόγημαι ἱκανῶς περὶ τοῦ Νεοπτολέμου· τί οὖν ἔτι μέλλω τὰ αὐτὰ ἀναπολεῖν; ἀπορεῖν γάρ ἐστι λόγων τὸ ἀναπολεῖν τὰ αὐτὰ ὥσπερ παρὰ νηπίοις τοῖς τέκνοις. τὸ δὲ ἑλκύσαι ἀντὶ τοῦ ἐνυβρίσαι φησίν· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κυνῶν τῶν ἑλκόντων τὰ σώματα. § ὁ δὲ νοῦς· διορίζεται, φησὶ, καὶ πέποιθεν ἑαυτῇ ἡ ἐμὴ ψυχὴ, μηδέποτε τῷ Νεοπτολέμῳ ἐνυβρίσαι.

155. Ἄτε μαψυλάκας Διὸς Κόρινθος] μαψυλάκας ὁ μάτην φλυαρηθείς. Διὸς Κόρινθος δὲ παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων· ἡ δὲ παροιμία ἐντεῦθεν ἕρπει. Ἀλήτης ἐλθὼν [1]) περὶ τῆς ἐν Κορίνθῳ βασιλείας προσῆλθε τῷ μαντείῳ τῷ ἐν Δωδώνῃ, ὅ ἐστι τοῦ Διὸς, καὶ ἔχρησεν αὐτῷ τότε κρατήσειν, ὅτε τις δῷ βῶλον γῆς· ἐπιθέσθαι δὲ ἡμέρᾳ πολυστεφάνῳ. ἐλθὼν οὖν ἐν Κορίνθῳ ᾔτει τινὰ ἀγροῖκον ἄρτον ὁ Ἀλήτης, ὁ δὲ λαβὼν βῶλον ἔδωκεν· ἐτελεῖτο δὲ καὶ θυσία τοῖς νεκροῖς ἐν Κορίνθῳ, δι' ἣν τῆς πόλεως ἐν μνήμασιν οὔσης ἐπέρχεται ὁ Ἀλήτης, καὶ εὗρε Κρέοντος θυγατέρας περὶ συνθήκας γενομένας, ἔφησέ τε ἐὰν κρατήσῃ, ἕξειν τὴν νεωτέραν αὐτῶν πρὸς γάμον· καὶ πείθεται ἡ κόρη καὶ προδίδωσι τὴν πόλιν τὰς πύλας ἀνοίξασα. καὶ κρατεῖ ὁ Ἀλήτης, καὶ ὠνόμασεν αὐτὴν Διὸς Κόρινθον, ἐπειδὴ διὰ τῆς μαντείας τοῦ Διὸς ἡ ἀρχὴ εἰς αὐτὸν ἦλθεν. § Ἄλλως. παροιμία ἐστὶν ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων ὁ Διὸς Κόρινθος, ὅταν δυσεξελίκτως ἀναπολῶσι τὰ αὐτὰ πολλάκις. ἐγὼ οὖν, φησὶν, οὐκ εἰμὶ Διὸς Κόρινθος. δοκεῖ οὖν ἀπὸ τοιούτου τινὸς εἰρῆσθαι ἡ παροιμία. Μεγαρέας φασὶ Κορινθίων ἀποίκους, καὶ πολλὰ τοῖς Κορινθίοις κατ' ἰσχὺν τῆς πόλεως ὑπείκειν· ἄλλα τε γὰρ πλείονα τοὺς Κορινθίους προστάσσειν, καὶ τῶν Βακχιαδῶν εἴ τις τελευτήσει, διῴκουν δὲ αὐτοὶ [2]) τὴν πόλιν, ἔδει Μεγαρέων ἄνδρας καὶ γυναῖκας ἐλθόντας εἰς Κόρινθον συγκηδεύειν τὸν νεκρὸν τῶν Βακχιαδῶν. ὡς δὲ ὕβρεως οὐδὲν ἀπέλειπον οἱ Κορίνθιοι, τὰ δὲ τῶν Μεγαρέων ἔῤῥωτο, καὶ [3]) πρὸς ἐλπίσι τοῦ μηδὲν παθεῖν ἀποστάντας αὐτοὺς, ἀλλ' ἀφεῖναι, πέμπουσι δῆτα πρέσβεις οἱ Κορίνθιοι κατηγορήσοντας τῶν Μεγαρέων, οἳ προελθόντες εἰς τὴν ἐκκλησίαν ἄλλα τε πολλὰ διεξῆλθον καὶ τέλος, δικαίως στενάξει ὁ Διὸς Κόρινθος, εἰ μὴ λήψοιτο δίκην παρ' αὐτῶν. ἐφ' οἷς παροξυνθέντες οἱ Μεγαρεῖς τοὺς πρέσβεις λίθοις ἔβαλον· καὶ μετὰ μικρὸν ἐπιβοηθησάντων [4]) τινῶν τοῖς Κορινθίοις καὶ μάχης γενομένης νικήσαντες, φυγῇ τῶν Κορινθίων ἀποφυγόντων ἐφαπτόμενοι, κτείνοντες ἅμα παίειν τὸν Διὸς Κόρινθον ἐκέλευον. ὅθεν φησὶν ὁ Δήμων [5]) ἔτι καὶ νῦν ἐπὶ τῶν ἄγαν σεμνυνομένων καὶ δειλῶς ἀπαλλαττόντων τὴν παροιμίαν ταύτην ἐτάχθαι.

1) Dele ἐλθών. 2) Scribe οὗτοι. 3) Coniicio καὶ ἐγένοντο πρὸς ἐλπ. sed etiam seqq. laborant. 4) Vulgo ἐπιβοησάντων, quod correxit Heynius. 5) Paroemiographus incertae aetatis, de quo conf. Hemst. ad Plut. p. 352.

Digitized by Google

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Η'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ὀγδόου τῶν Νεμέων εἴδους.

Τῆς ὀγδόης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐννέα. Τὸ α' ἥμισυ ἔπους καταληκτικόν. Τὸ β' ἰαμβέλεγος. Τὸ γ' Στησιχόρειον. Τὸ δ' ἐγκωμιολογικὸν μιᾷ πλεονάζον ἐν ἀρχῇ τοῦ πενθημιμεροῦς ἰαμβικοῦ· ἢ χοριαμβικὸν τρίμετρον ταῖς ἐναντίαις κατακλειόμενον. Τὸ ε' ἰαμβέλεγος λειπούσης τῆς ἀρχῆς. Τὸ ς' λογαοιδικὸν Ἀρχεβούλειον, ἢ ἐπιωνικὸν ἀπ' ἐλάττονος, ἄτακτον διὰ τὸν σπονδεῖον. Τὸ ζ' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον. Τὸ η' Εὐριπίδειον. Τὸ θ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἕνδεκα. Τὸ α' προσοδικὸν [1]) ἀπὸ Ἰωνικοῦ ἀπὸ μείζονος. Τὸ β' Εὐριπίδειον. Τὸ γ' ἰαμβέλεγος λείπων τῇ ἀρχῇ. Τὸ δ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ταῖς ἐναντίαις κατακλεισθὲν, ἄτακτον, Ἀλκμαϊκῷ [2]) ζήλῳ. Τὸ ε' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ζ' ὅμοιον τῷ γ' τῆς ἐπῳδοῦ. [3]) Τὸ η' μικτὸν ἐκ τροχαίου πενθημιμεροῦς καὶ δακτυλικοῦ πενθημιμεροῦς. Τὸ θ' ἰαμβέλεγος, ἐπιτιθεμένου τοῦ τέλους. [4]) Τὸ ι' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ια' τροχαϊκὸν τρίμετρον καταληκτικὸν, ὅμοιον τῷ·

Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην. [5])

Δεινίᾳ υἱῷ Μέγα, σταδιεῖ.] Ἔνιοί φασι σταδιεῖς αὐτόν τε τὸν Δεινίαν καὶ τὸν πατέρα, καὶ τοῦτο βλέποντα τὸν Πίνδαρον [6]) Δείνιδος δισσῶν σταδίων καὶ πατρὸς εἰπεῖν. παρέχει δὲ, φησὶν ὁ Δίδυμος, τοῦτο ἀπορίαν, τὸ μηδέτερον [7]) αὐτῶν ἐν τοῖς Νεμεονίκαις [8]) ἀναγεγράφθαι.

1. Ὥρα πότνια, κάρυξ Ἀφροδίτας] συντάττει τὸ προοίμιον ὁ Πίνδαρος εἰς τὸ τῆς ὥρας ἄνθος τοῦ νικηφόρου, εἶτα ἐπικωμιαστικῶς τῶν πατρίων ἐφάπτεται, λέγων τὴν Αἴγιναν δι' ὡραΐσματος ὑπὸ Διὸς ἀνηρπάσθαι. § ὁ δὲ νοῦς· ὦ ἀκμὴ ἐντιμοτάτη,

[1]) Sic Romana. [2]) Conf. ad Metr. Nem. VI. [3]) Rom. ἐπῳδῆς. [4]) Nempe ultima syllaba assumpta pro prima dempta. [5]) Cf. ad Metr. Olymp. XII. Vulgo ἐδασάμην. [6]) Vs. 26. vulg. [7]) Olim μηδένα ἕτερον. [8]) Vulgo ἐν ταῖς Νεμεακαῖς νίκαις.

Digitized by Google

ἄγγελε τῶν ἀφροδισίων καὶ θαυμαστῶν φιλιῶν, ἥτις τοῖς τε τῶν παρθένων βλεφάροις καὶ τοῖς παιδικοῖς ἐπικαθεζομένη, πραέσιν ἔρωσι, ταῖς τῆς ἀνάγκης χερσὶ βαστάζεις, ἕτερον δὲ φαύλοις πόθοις. πραείαις [1]) δὲ, φησὶ, ταῖς τῆς ἀνάγκης χερσὶν, ὅτι ἐξ ἀνάγκης ἡμῖν οἱ ἔρωτες παραγίνονται. ἑτέραις δὲ, προσδεκτέον χερσὶν, οἷον τὸν δὲ μὴ πραείαις ἀλλὰ σκληραῖς. πρὸς ἀμφότερα δὲ τὰ μέρη, τοῖς τῶν παρθένων καὶ παίδων, τουτέστι τοῖς παιδικοῖς, τὸ βλεφάροις ἀκουστέον, ἵν' ᾖ τὸ τῆς ἑρμηνείας κατάλληλον.

6. Ἀγαπατὰ δὲ καιροῦ] ἀγαπητὸν δέ ἐστι καὶ εὔτακτον τῆς εὐκαιρίας καὶ τοῦ δέοντος καιροῦ μὴ ἀποσφαλέντα πρὸς ἕκαστον ἔργον, τῶν βελτιόνων ἐρώτων ἐπιθυμεῖν δύνασθαι καὶ ἐπικρατεῖν, τῶν δὲ φαύλων ἀπέχεσθαι. τοιούτων οὖν ἐρώτων ἐπικρατεῖν δύνασθαι, φησὶ, καλόν ἐστιν, οἷοι ἦσαν ἐπὶ Διός τε καὶ Αἰγίνης. ἔστι δὲ καὶ θαυμαστικῶς ἐκλαβεῖν τὸ οἷοι· ὁποῖοι ἀγαθοὶ ἔρωτες. πιθανῶς δὲ ποιμένας δώρων Ἀφροδίτης τοὺς ἔρωτάς φησιν· ὡς γὰρ ὁ ποιμὴν νέμει τὴν ἀγέλην, οὕτω καὶ ὁ ἔρως τὰς συνουσίας. οἱ οὖν Διὸς καὶ Αἰγίνης περιεπόλησαν ἔρωτες τὸ λέκτρον· ὁ γὰρ Ζεὺς οὐ μόνον δι' ἐπιθυμίαν ἐμίγη τῇ Αἰγίνῃ, ἀλλ' ἵνα καὶ σπερμήνῃ τοὺς ἀρίστους ἐξ αὐτῆς, Αἰακὸν, Πηλέα, Ἀχιλλέα, Νεοπτόλεμον. οὗτοι οὖν οἱ ἔρωτες ἄριστοι, οἱ μὴ μόνον ὀρεγόμενοι τῆς ἀπολαύσεως καὶ τῆς ὥρας αὐτῆς, ἀλλ' ἀποτελεσμάτων ἀξιολόγων καὶ ἔργων ἐπιφανῶν τελεσιουργοί.

12. Ἔβλαστε δ' υἱὸς Οἰνώνας] τὸ ἔβλαστεν ἀντὶ τοῦ ὤφθη φησίν. ἀπὸ δὲ τῆς νήσου καὶ τὴν ἡρωΐδα ὠνόμασεν· υἱὸς γὰρ τῆς Οἰνώνης, τῆς Αἰγίνης, ὁ Αἰακός.

13. Χειρὶ καὶ βουλαῖς ἄριστος βασιλεύς] τουτέστιν ἀνδρείᾳ καὶ φρονήσει. Ὅμηρος· [2])

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής.

14. Πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν] πλεῖστα δὲ, φησὶ, πολλοὶ ἠξίουν θεάσασθαι τὸν Αἰακὸν, περιηχούμενοι τῇ τοῦ ἀνδρὸς εὐδοξίᾳ. καὶ γὰρ τὰ ἀνθήματα [3]) τῶν ἡρώων, οὐχ οἱ τυχόντες, ἀλλ' οἱ ἄκροι τῶν περιοικούντων ἀμαχητὶ πείθεσθαι αὐτῷ ἤθελον καὶ χωρὶς τοῦ κρατηθῆναι μάχῃ. § οὕτω διέπρεπε, φησὶν, ὥστε τοὺς παροικοῦντας ἑκουσίως πείθεσθαι ταῖς ἀναξίαις, [4]) τουτέστι ταῖς ἀρχαῖς καὶ ταῖς βασιλείαις αὐτοῦ.

19. Οἵ τε κρανααῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατόν] οἵτινες, φησὶ, διῴκουν τὰς Ἀθήνας, ἢ εἰς συμφωνίαν ἦγον τὸ πλῆθος. ταῦτα δὲ ἀνάγεται εἰς ἐκεῖνα, ὅτι αὐχμὸς κατέσχε τὴν Ἑλλάδα καὶ εὐξαμένου τοῦ Αἰακοῦ ὄμβρος ἐγεγόνει. § ὁ δὲ νοῦς· καὶ οἱ ἐν ταῖς τραχείαις Ἀθήναις ἥρμοζον καὶ παρεσκεύαζον καὶ ἤτοι συμμαχοῦντες αὐτῷ παρεῖχον δύναμιν ἢ ὑπὸ τὴν αὐτοῦ ἀρχὴν ὄντες, καὶ οἱ Πελοποννήσιοι καὶ οἱ Λακεδαιμόνιοι· ὁμοίως παρεσκεύαζον αὐτῷ, ἀπὸ κοινοῦ. [5])

24. Ὑπὲρ τῶνδε ἅπτομαι φέρων Λυδίαν μίτραν] ἀλληγορικῶς τὸν ποικίλον ὕμνον οὕτω φησὶν, ὅτι ἐντεχνεῖς [6]) οἱ Λύδιοι περὶ τὴν μουσικήν. τὸ γὰρ Λύδιον μέλος ποικίλον. § Ἄλλως. οὕτως εἶπε τὸ ποίημα αὐτοῦ ὡς Λυδίῳ ἁρμονίᾳ γεγραμμένον.

1) Rom. πράξεσι, novitiae editiones πραέσι. 2) Iliad. γ, 179. 3) Vulgo ἀναθήματα. Emendavit Abresch. ad Hesych. T. I, p. 670. 4) Ita Schneiderus. Vulgo ἀξίαις. 5) Transposui verba ὁμοίως π. α. ἀπὸ κοινοῦ, quae olim erant post participium ὄντες. 6) Vox nihili. Scribe ἔντεχνοί εἰσιν.

Digitized by Google

26. Δείνιδος δισσῶν σταδίων καὶ πατρός] τοῦ Δείνιος, ἤτοι τοῦ Δεινίου. Μέγας ὁ τοῦ Δεινίου πατὴρ, φησί. δισσῶν δὲ σταδίων, ὅτι διαυλοδρόμος. Νέμεον δὲ ἄγαλμα, τὸ γεγραμμένον εἰς Νεμεακὴν νίκην ποίημα.

28. Σὺν θεῷ γὰρ φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος] ὁ γὰρ γνώμῃ θεοῦ, φησὶν, ὄλβος τοῖς ἀνθρώποις ἐμφυτευθεὶς καὶ δοθεὶς μονιμώτερός ἐστιν· ὅστις ὄλβος ἐπλούτισε καὶ εὐδαίμονα πεποίηκε τῷ πλούτῳ τὸν Κινύραν ἐν Κύπρῳ τῇ νήσῳ. τούτου καὶ Ὅμηρος [1]) μνημονεύει·

Τόν ποτέ οἱ Κινύρας δῶκε ξεινήϊον εἶναι.

32. Ἵσταμαι δὴ ποσσὶ κούφοις] ἐπειδὴ τοῦ Κινύρου ἐν ὑποδείγματι τῶν διὰ θεὸν τὸν πλοῦτον ὀνησιφόρον ποιουμένων παρείληφεν, [2]) ἐπιλαμβάνεται ἑαυτοῦ ὁ Πίνδαρος, ἵνα μὴ παρεκβῇ πλείονα εἰς τὸν περὶ Κινύρα λόγον λέγων, καὶ [3]) μεταφέρων ἀπὸ τῶν πεντάθλων φησίν· ἵσταμαι πρὶν παλαῖσαι, εἰ τύχοι, τὸ πνεῦμα συλλεγόμενος. § Ἄλλως. ἀντὶ τοῦ παύομαι. πάλιν δὲ ἐπιχειρεῖν τοῖς τῶν Αἰγινητῶν πατρίοις μέλλων καὶ ἀγῶνα τὴν ἐπιχείρησιν γινώσκων ἀναπνεῖν βούλεται καὶ ὥςπερ ἐκ διαλείμματος πάλιν ἀγωνίζεσθαι, ὃν τρόπον οἱ τὰ πένταθλα καρτεροῦντες καὶ κατορθοῦντες. § Ἄλλως. οἱ μεγάλα φωνεῖν θέλοντες, οἷον τραγῳδοὶ, προαναπνέουσιν ἐπιπολὺ, ἵν' ὅταν ἀναφωνήσωσιν, ἐξαρκέσῃ ἐπιπλέον ἡ φωνή. πολλαὶ οὖν, φησὶ, περὶ τοῦ Κινύρου καταβέβληνται ἱστορίαι καὶ διάφοροι, διὸ ἀναπνέω πρὶν εἰπεῖν. πολλὰ γάρ μοι περὶ τῶν Αἰακιδῶν λέγεται· ἢ πολλή μοί ἐστι μελέτη καὶ φροντὶς ὑπὲρ τῶν εἰς Αἰακίδας ἐγκωμίων.

34. Νεαρὰ δ' ἐξευρόντα δόμεναι βασάνῳ εἰς ἔλεγχον] ἐμὲ δὲ νῦν, φησὶ, καινολογῆσαι [4]) περὶ τοῦ Κινύρου παρώσαντα τὰ κοινῶς ἱστορούμενα, κινδυνῶδές ἐστιν. ἐὰν γάρ τι καινουργῶ, ἀπιστηθήσομαι. § ἢ οὕτω· νεώτερα δ' ἐγκώμια ἐξευρόντα καὶ ἐπινοήσαντα τῇ τῶν ἀκροατῶν κρίσει δοῦναι πρὸς διάκρισιν καὶ δοκιμασίαν, ἐπικίνδυνον. βασάνῳ δὲ, ἤτοι διαβολῇ, κρίσει. βασανίζοντες γὰρ οἱ ἀκροαταὶ τὰ λεγόμενα κρίσιν διδόασιν.

35. Ὄψον δὲ λόγοι φθονεροῖσι] τοῦτο πρὸς τοὺς ἀντιτέχνους· τοῖς φθονεροῖς οἱ λόγοι εἰς διαβολὴν τῶν κατηγορουμένων ὄψον εἰσὶν, ἤτοι προσόψημα, τουτέστιν οὐχ ἑτέρῳ χρῶνται προσοψήματι οἱ φθονεροὶ ἢ τοῖς εἰς διαβολὴν λόγοις.

37. Ἅπτεται δ' ἐσλῶν αἰεί] ἀπὸ τῶν φθονούντων ἐπὶ τὸν φθόνον μετήγαγε τὸν λόγον· οὐ τῶν τυχόντων, φησὶν, ἅπτεται ὁ φθόνος, ἀλλὰ τῶν μειζόνων· οὐδεὶς γὰρ Θερσίτῃ φθονεῖ, ἀλλ' Ἀγαμέμνονι. χείροσιν οὖν οὐκ ἐρίζει· ὁ γὰρ φθόνος εἰς καλὰ βαίνει. τὸ δὲ ἀμφικυλίσας φασγάνῳ, ἀντὶ τοῦ ξίφει περικυλίσας. τοῦτο δὲ ἐκ τοῦ συμβεβηκότος ἀπὸ τῆς καταπτώσεως τῆς κατὰ ἀναίρεσιν φησίν.

41. Ἤ τιν' ἄγλωσσον μέν] ἄγλωσσον δή τινα καὶ ἄλαλον, [5]) ἤτορ δὲ ἄλκιμον καὶ ἀνδρεῖον, ἐν λυγρῷ γήρει κατέχει λήθη καὶ θάνατος, τουτέστι καὶ ἕτερός τις τῶν ἀλαλωτέρων φθονηθεὶς ἀδίκως ἐτελεύτησεν, ἐν οἷς καὶ ὁ Αἴας. § Ἄλλως. τοῦτο ὡς πρὸς τὸν Αἴαντα. θέλει δὲ εἰπεῖν, ὅτι φιλονεικίας οὔσης καὶ ἔριδος τὸν ἀνδρεῖον τὸ σῶμα, ἀσθενῆ δὲ τὴν ἀπόκρισιν, λήθη κατέσχεν. § ὁ δὲ νοῦς· ναὶ δὴ τὸν μὴ τῷ λόγῳ

1) Iliad. λ, 20. 2) De meo hoc verbum addidi. Mox scribe Κινύραν. 3) Haec quoque λέγων καὶ adieci de coniectura. 4) Rom. κοινολ. 5) Vulgo ἄλλον, quod correxit Heynius.

Digitized by Google

μὲν ἱκανὸν, ἀνδρεῖον δὲ σῶμα μόνον ἔχοντα, μεγάλη λήθη ἐν τῇ πρὸς τοὺς ἐχθροὺς μάχῃ καὶ στάσει κατέχει· καταπαλαίονται γὰρ τῷ λόγῳ καὶ οἱ πάνυ ἀνδρεῖοι καὶ βαρύσωμοι ὑπὸ φρονίμων. τὸν γὰρ ἐν τῷ λέγειν μὴ δεινὸν μηδὲ σοφιστὴν τῷ λόγῳ ὁ τοιοῦτος ὑπερβάλλει. αἰόλῳ δὲ ψεύδει τῷ ποικίλῳ φησὶ καὶ πιθανῷ· μέγιστον γάρ ἐστι τῷ ποικίλῳ δόλῳ γέρας, φησὶ, διὰ τὸ τοῦ λόγου πιθανὸν, ὅτι ὁ πιθανὸς λόγος καὶ τὴν ἀλήθειαν οἶδε πολλάκις ὑποκλέπτειν. § Ἄλλως. μέγιστον νέμεται γέρας τῷ ποικίλῳ ψεύδει· οἱ γὰρ ποικίλως ψευδόμενοι ἀποδοχῆς τυγχάνουσι παρὰ τοῖς ἀνθρώποις. τούτου δὲ ἀπόδειξιν ἐπιφέρει τὰ ἐφεξῆς.

44. Κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ] κρυφίαισιν, ἤτοι ταῖς ἀδίκοις ἢ ταῖς κρύφα φερομέναις ψήφοις· οὕτω γὰρ φέρονται. Ὀδυσσέα γοῦν βασκήναντα τῷ Αἴαντι οἱ Ἀχαιοὶ κρυφίας ἐνεγκόντες ψήφους περὶ τῶν Ἀχιλλέως ὅπλων ἐθεράπευσαν οὐκ ὀρθῶς· ἔδει γὰρ Αἴαντα νικῆσαι.

48. Ἦ μὰν ἀνόμοιά γε] οὐχ ὅμοια, φησὶ, τραύματα ἔλαβον ὅ τε Αἴας καὶ Ὀδυσσεὺς, τουτέστιν οὐ τὸν αὐτὸν τρόπον οὐδὲ ἐξίσου τοῖς Τρωσὶν ἐπολέμησαν, ἀλλ' ὁ μὲν Ὀδυσσεὺς δειλὸς ἦν, ὁ δὲ Αἴας ὠθεῖτο εἰς τοὺς πολεμίους. θερμὰ δὲ ἕλκη τὰ φλεγμαίνοντά φησι. πολεμιζόμενοι δὲ ἀντὶ τοῦ πολεμίζοντες ἐνεργητικοῦ καὶ διακονοῦντες. [1]) ὁ δὲ Ἀρίσταρχος οὕτως· ἀνόμοια πλήγματα τοῖς πολεμίοις ὅ τε Ὀδυσσεὺς καὶ ὁ Αἴας ὑπὸ ἀλεξιμβρότου λόγχης κινούμενοι. τῇ δὲ Αἴαντος ἀνδρείᾳ καὶ Ὅμηρος μαρτυρεῖ· [2])

Ὅτε μοι πλεῖστοι χαλκήρεα δοῦρα
Τρῶες ἐπέῤῥιψαν περὶ Πηλείωνι θανόντι.

54. Ἐχθρὰ δ' ἄρα πάρφασις ἦν] πάρφασις, παραλογισμὸς καὶ παράπεισις ἢ ἀπάτη. ἐν ἔθει δὲ προήγαγε τὸν λόγον. ἄρα, φησὶ, καὶ τότε ἦν ἡ ἐχθρὰ ἀπάτη, ἡ ἀπατητικῶν λόγων σύμφυτος καὶ δολοφραδὴς καὶ ὄνειδος οὖσα κακοποιόν. § Ἄλλως. ταῦτά φησι δυςανασχετῶν ἐπὶ τῷ ἀδίκως ἀναιρεθῆναι τὸν Αἴαντα διὰ τὰ ψεύδη τοῦ Ὀδυσσέως. διὸ καί φησιν· ἦν ἄρα τις καὶ παρὰ τοῖς ἥρωσιν ἀπάτη, οὐ μόνον παρ' ἡμῖν.

58. Τῶν δὲ ἀφάντων κῦδος συντείνει σαθρόν] ἀφάντων ἀντὶ τοῦ ἀφανῶν, εὐτελῶν. τὸ δὲ ἀντείνει ἀντὶ τοῦ ἀνατείνει, ἐπαίρει. σαθρὸν, πρὸς ὀλίγον. § ὁ δὲ νοῦς· τῶν δὲ ἀδόξων τὸ κῦδος μεγαλύνει, καὶ ὑψοῖ σαθρὸν αὐτῶν τὸ κλέος· οἰκόβιος γὰρ ἡ τῶν ἀδίκων δόξα καὶ εὐκατάακτος. [3])

59. Εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ] ὦ Ζεῦ, μὴ γένοιτό μοι τὸ ἦθος τοιοῦτον, ἀλλὰ τὰς τοῦ βίου μοι κελεύθους καὶ ὁδοὺς ἀπλανεῖς φύλαξον, τουτέστιν ἁπλᾶς καὶ ἀκακοήθεις ἀνύοιμι· ὅπως μὴ τελευτήσας τοῖς παισί μου κακὴν καταλείψω φήμην, τουτέστιν ἵνα μὴ δυςφημηθῶσιν οἱ ἐμοὶ παῖδες ἀδικά μου πράξαντος.

63. Χρυσὸν δ' εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον] ἕτεροι μὲν οὖν χρυσὸν πολὺν εὔχονται, κτήσασθαι δηλονότι, ἄλλοι δὲ γῆν πολλὴν πρὸς γεωργίαν· ἐγὼ

1) Scribe: πελεμιζόμενοι δὲ ἀντὶ τοῦ πελεμίζοντες ἐνεργητικοῦ καὶ διακονοῦντες. Conf. nott. critt. 2) Odyss. ε, 309. 3) Sic Rom. quia est a voce ἄγνυμι, quacum compositae praepositiones etsi solent ultimam vocalem abiicere, tamen eadem retineri potest, quod non licet in verbo ἄγω, duco. Olim legebatur εὐκάτακτος.

Digitized by Google

δὲ εὔχομαι τοῖς πολίταις ἀρέσαι καὶ τεθνάναι ἐπαινῶν μὲν τὰ ἄξια τοῦ ἐπαινεῖσθαι, ψόγον δὲ καὶ μέμψιν τοῖς ἀδίκοις ἐμβάλλων.

68. Αὔξεται δ' ἀρετὰ χλωραῖς ἐέρσαις] ἀντὶ τοῦ ταῖς χλωροποιοῖς δρόσοις· αὗται γὰρ τῶν φυτῶν αὐξητικαί. τὸ δὲ ἑξῆς· αὔξεται δὲ ἀρετὰ ἐν σοφοῖς τε καὶ δικαίοις τῶν ἀνδρῶν ἀρθεῖσα, ὡς ὅτε δένδρον χλωραῖς ἐέρσαις πρὸς ὑγρὸν αἰθέρα. § ὁ δὲ νοῦς· αὔξεται δὲ καὶ ἡ ἀρετὴ τῶν ἀνδρῶν ὑψωθεῖσα τοῖς σοφοῖς καὶ δικαίοις λόγοις τῶν ποιητῶν, ὥςπερ καὶ φυτὸν ἐπαίρεται πρὸς αἰθέρα καὶ αὔξεται ταῖς χλωροποιοῖς δρόσοις. § ἢ οὕτως· ὥςπερ δένδρον ὕδατι ποτιζόμενον εἰς ὕψος αὔξεται. § ἢ οὕτως· ἡ ἀρετὴ τῶν δικαίων ἐπιτυγχάνουσα ὑψοῦται. τὸ δὲ ἑξῆς· ὡς δένδρον ἀτσσει πρὸς αἰθέρα ὑγραῖς ἐέρσαις, οὕτω καὶ ἡ ἀρετὴ σοφοῖς ἀνδράσι καὶ δικαίοις αὔξεται ἀερθεῖσα.

71. Χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν] καὶ πᾶσαι χρεῖαι τῶν προσφιλῶν ἀνδρῶν, φησίν· οἱονεὶ καὶ πρᾶξις πᾶσα ἀνδρῶν προσφιλῶν καὶ δικαίων αὐξάνεται τοῖς ὕμνοις, ἐξόχως δὲ τὰ περὶ πόνους κατορθώματα. § Ἄλλως. κατὰ πολλά τις χρείαν ἔχει, φησὶ, τῶν φίλων ἀνδρῶν· οὐ διαπαντὸς δὲ τῶν αὐτῶν εἰσιν αἱ χρεῖαι, ἀλλ' ἄλλοτε ἄλλου, πῇ μὲν ἐν τοῖς πόνοις καὶ ἔργοις, πῇ δὲ καὶ τέρπεται ὁρῶν τις τὸν φίλον· νῦν δὲ δηλαδὴ τοῦ Πινδάρου χρεία, ἵνα ὑμνήσῃ τὸν νικηφόρον.

73. Μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασιν] ἐπιζητεῖ δὲ καὶ ἡ τῶν ὀμμάτων τέρψις τὸ πιστὸν, ὥςτε θέσθαι ἐν ὄμμασι, τουτέστι θεωρῆσαι· καὶ ἡμεῖς δὲ φιλοῦντες ὑμᾶς κατὰ ἀλήθειαν, θεωροῦντες τερπόμεθα. Εὐριπίδης· [1])

Εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέπειν γλυκύ.

75. Ὦ Μέγα] ὡς τεθνηκότος τοῦ Μέγα οὕτω φησίν· ἐμοὶ δὲ ἀδύνατον, ὦ Μέγα, τεθνηκότος σου τὴν ψυχὴν ὑπὸ ὄψιν καὶ πίστιν ἀγαγεῖν.

77. Κενεὰν δ' ἐλπίδων χαῦνον τέλος] τουτέστιν ἐὰν ἐλπίσω τὰ ἀδύνατα, κενὸς ἔσομαι. § ἢ οὕτω· τῶν δὲ ματαίων ἐλπίδων ἀσθενὴς καὶ ἀβέβαιος ἡ ἔκβασις.

79. Σεῦ δὲ πάτρᾳ Χαριάδαις τε] Χαριαδῶν φυλὴ, ἀφ' ἧς ὁ νικηφόρος. τὸ δὲ ἑξῆς· τῇ δὲ σῇ πατρίδι καὶ τοῖς Χαριάδαις ἀναστηρίξαι καὶ ὑπερεῖσαι εὔτονον μουσικὴν στήλην βούλομαι ἕνεκα τῶν δυνατῶν σου ποδῶν καὶ νικηφόρων. δρόμῳ γὰρ ἐνίκησαν. [2]) § ὁ δὲ νοῦς ὅλος· τὸ μὲν ἀναστῆσαι τὸν τεθνεῶτα, φησὶν, ἀδύνατόν μοί ἐστι· τῇ δὲ πατρίδι καὶ τῇ φυλῇ, ἥ ἐστι Χαριάδαι, ὑπερεῖσαι λίθον Μουσαῖον, τουτέστι στήλην ἀπὸ Μουσῶν, ἤγουν τὸν ὕμνον, δυνατός εἰμι, ἐφ' οὗ ἡδρασμένοι ἔσονται ἔνδοξοι. λάβρον δὲ τὸν λίθον τῶν Μουσῶν ἀλληγορικῶς τὴν ἀπὸ τῶν λόγων εὔτονον στήλην φησί· λάβρον δὲ, διὰ τὸ ῥεύματι χρῆσθαι τοὺς ποιητάς.

82. Χαίρω δὲ πρόσφορον] χαίρω ὅταν ᾖ, φησὶ, τὰ πεπραγμένα πρόσφορα τῷ λόγῳ· χαίρει [3]) δὲ περὶ τῶν διὰ τοῦ ὕμνου κόμπων· ποιητὴς δέ τις τοῖς ὕμνοις ἀνώδυνον τίθησι τὸν πόνον τῷ νικηφόρῳ. § Ἄλλως. ταῖς ἐπῳδαῖς, φησὶν, ἀνώδυνόν τις ἔθηκε τὸν κάματον· ἐδόκουν γὰρ οἱ ἀρχαῖοι ταῖς ἐπῳδαῖς ἴασιν καὶ θεραπείαν εὑρίσκειν. Ὅμηρος· [4]) Ἐπαοιδοὶ δ' αἷμα κελαινὸν ἔσχεθον. πρὸς τί δὲ τοῦτο εἶπεν; ὅτι ὡς ἐπῳδῇ [5]) τις χρησάμενος κουφίζει τὸν κάματον, οὕτω καὶ ἐγὼ ὡς ἐπῳδῇ χρησάμενος τῷ ὕμνῳ κουφίσω τὴν κακοπάθειαν τοῦ ἠθληκότος.

[1]) Ion. 732. Romana βλέπειν. [2]) An ἐνίκησεν? [3]) Fortasse χαίρω. [4]) Odyss. τ, 457. [5]) Vulgo ἐπαοιδῇ.

Digitized by Google

85. Ἦν γε μὰν ἐπικώμιος ὕμνος δὴ πάλαι] τουτέστι τὰ ἐγκώμια ἐγράφετο καὶ πάλαι, πρὶν καὶ τοὺς Ἀργείους ἐπιστρατεῦσαι ταῖς Θήβαις, τουτέστι πρὶν τὰ Νέμεα τεθῆναι ἦν ἐγκώμια. στρατευσάντων γὰρ τῶν περὶ Ἄδραστον ἐπὶ Θήβας ὁ Ἀρχέμορος ὑπὸ τοῦ δράκοντος διεφθάρη, οἱ δὲ ἐπ' αὐτῷ τοῦ μόρου ἄρξαντι τὰ Νέμεα ἔθηκαν.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Θ'.

Περὶ τῶν κώλων τοῦ ἐννάτου τῶν Νεμέων εἴδους.

Ἡ ἐννάτη ᾠδὴ μονοστροφική ἐστι κατὰ δυωδεκάδας διῃρημένη. Τὸ α' δακτυλικὸν τρίμετρον καταληκτικόν. [1]) Τὸ β' τὸ αὐτό. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν πενθημιμερές. Τὸ ε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' ἐγκωμιολογικὸν μετατεθείσης τῆς πρώτης ἐπὶ τὴν ἐσχάτην. Τὸ η' ἰαμβίλεγος, μετατιθεμένης τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. Τὸ θ' πενθημιμερὲς δακτυλικόν. Τὸ ι' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. Τὸ ια' τὸ αὐτό. Τὸ ιβ' πενθημιμερὲς ἰαμβικόν.

Χρομίῳ Αἰτναίῳ.] Ὁ Χρόμιος οὗτος φίλος ἦν Ἱέρωνος, κατασταθεὶς ὑπ' αὐτοῦ τῆς Αἴτνης ἐπίτροπος· ὅθεν καὶ Αἰτναῖος ἐκηρύχθη. αὗται δὲ αἱ ᾠδαὶ οὐκέτι Νεμεονίκαις εἰσὶ γεγραμμέναι· διὸ κεχωρισμέναι φέρονται.

1. Κωμάσομεν παρ' Ἀπόλλωνος] ἀπὸ τοῦ χοροῦ ὁ λόγος. ἔνιοι δὲ, κωμάσομεν εἰς τὴν Αἴτνην, φασίν.

2. Σικυώνοθεν Μοῖσαι] περὶ τῶν ἐν Σικυῶνι Πυθίων ὁ Ἁλικαρνασεὺς [2])

[1]) Sic Rom. [2]) Halicarnasseum non alium esse quam Herodotum, et per se probabile est, et verisimilius fit ex eiusdem commemoratione ad vs. 25. Sed quum Pythiorum Sicyone celebratorum (cf. schol. Nem. X, 49. 76.) ne minimum quidem apud Herodotum vestigium inveniatur, scholiastam partem eorum, quae de sollemnibus in Adrasti honorem Sicyone actis apud Herodotum V, 67. narrantur, ad Pythia Sicyonia traxisse mihi persuadeo: maxime ob eam causam, quod Pythia ipsa Pindarus ab Adrasto instituta dicit vs. 20. vulg. collato scholiaste ad vss. 20. 25. Et Herodoti quidem verba exciderunt eo loco, ubi lacunam notavi: quae sequuntur, alius scriptoris sunt, qui Pythia a Clisthene instituta esse narraverat tempore Cirrhaei belli, cuius dux fuit. V. Pausan. X, 37, 4. II, 9, 6. Polyaen. Strat. III, 5. Et credibile est sacrificium olim Adrasto dicatum simul cum Pythiorum institutione in Melampippum translatum esse et in ipsis his Pythiis peractum, ludos autem, quos Adrasto, ut ferebatur, auctore iam antea Sicyonii Apollinis in honorem celebraverant, antiquatos et Pythia in eorum locum substituta esse: quibus positis, non solum quomodo Pindarus Pythiorum institutionem Adrasto tribuere, verum etiam cur scholiastes Herodoti locum huc advocare po-

Digitized by Google

οὕτω γράφει· . . . . . φησὶ δὲ ἐν τῷ πολέμῳ τῶν Κρισαίων κατὰ θάλασσαν ῥᾳδίως τὰ ἐπιτήδεια ποριζομένων καὶ διὰ τοῦτο μακρᾶς γενομένης τῆς πολιορκίας, Κλεισθένην τὸν Σικυώνιον ναυτικὸν ἰδίᾳ παρασκευάσαντα, κωλῦσαι τὴν σιτοπομπίαν αὐτῶν, καὶ διὰ ταύτην τὴν εὐεργεσίαν τὸ τρίτον τῶν λαφύρων ἔδοσαν τῷ Κλεισθένει καὶ Σικυωνίαν, ἀφ' οὗ καὶ Σικυώνιοι τὰ Πύθια πρῶτον παρ' ἑαυτοῖς ἔθεσαν.

3. Τὰν νεοκτίσταν] νεόκτιστον δὲ ταύτην φησὶν, ἐπειδὴ ἦν ὁ Ἱέρων νεωστὶ αὐτὴν ἀνακτίσας, πρότερον Κατάνην καλουμένην. ξείνων δὲ θύραι, αἱ τῆς φιλοξενίας. τὸ δὲ νενίκανται ἀντὶ τοῦ ἥττηνται· παντὶ οὖν εἴκουσαι ξένῳ καὶ οὐδένα ἀπελαύνουσαι [1]) νικῶνται τῇ φιλοξενίᾳ τοῦ νικηφόρου. § ἢ νίκας ἔχουσιν· ἐν οἵῳ τρόπῳ ἐστεφανῶσθαι τόνδε, ἀντὶ τοῦ στέφανον ἔχειν. τὴν δὲ ὅλην Αἴτνην εἰπὼν ἐπήνεγκε Χρομίου δῶμα, ὥστε ὅμοιον εἶναι τῷ· [2])

Ἡ δ' ἐς Κύπρον ἵκανε φιλομμειδὴς Ἀφροδίτη,
Ἐς Πάφον.

§ ὁ δὲ νοῦς οὕτω· χορεύσωμεν, ὦ Μοῦσαι, καὶ ὑμνήσωμεν ἐκ Σικυῶνος ἥκοντες, καὶ παρὰ [3]) τοῦ ἐκεῖσε Ἀπόλλωνος εἰς τὴν καλλίστην Αἴτνην, ἐν ᾗ πᾶσιν ἀνεῳγυῖαι αἱ [4]) θύραι τοῦ Χρομίου τῆς οἰκίας ἥττηνται ὑπὸ τῶν ξένων, ἔνθα πᾶσι ξένοις ὁ πλούσιος οἶκος ἀνέῳκται ὑπὸ φιλοξενίας ἡττηθείς. ἄγε δὴ οὖν, ὦ Μοῦσαι, διανύσατε καὶ πράσσετε τοὺς ἡδυτάτους διὰ λόγων ὕμνους. τὸ γὰρ τοὺς λοιποὺς κρατοῦν καὶ νικῶν ἅρμα ἐλαύνων ὁ Χρόμιος τῇ τε Λητοῖ [5]) καὶ τοῖς δυσὶν αὐτῆς παισὶ τὸ θαυμάζεσθαι δίδωσιν, οὖσιν αὐτοῖς τῆς ὑψηλοτάτης Πυθῶνος καὶ ὁμοκλήροις καὶ ἴσοις ἐπισκόποις.

8. Τὸ κρατήσιππον γάρ] κρατήσιππον ἤτοι τὸ συνέχον ἐν τάξει τοὺς ἵππους, ἢ κρατοῦν καὶ νικῶν τοὺς ἐναντίους.

13. Ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι] ἔστι γάρ τις παλαιὰ παραίνεσις καὶ παρὰ ἀνθρώποις ᾀδομένη, ὡς οὐ δεῖ τὸ ὑπό τινος κατεργαζόμενον καλὸν σιγῇ παραδιδόναι, ὥστε εἰς γῆν κατενεχθῆναι καὶ ἄδοξον διὰ τῆς σιωπῆς γενέσθαι. § τὸ οὖν ἐπιτελεστικὸν ἀγαθὸν οὐ δεῖ, φησὶ, τῇ σιγῇ παραδιδόναι οὐδ' ἀνεπισήμαντον ἀφιέναι. [6])

16. Θεσπεσία δ' ἐπέων καύχας ἀοιδὰ πρόσφορος] τοῖς νενικηκόσι, φησὶ, πρόσφορός ἐστι καὶ ἐοικυῖα ἡ διὰ τῆς καυχήσεως ᾠδή· τίνες γὰρ ἄλλοι μέλλουσι καυχᾶσθαι ἢ οἱ νικήσαντες; Ἀττικοὶ δὲ λέγουσι καύχην τὴν καύχησιν, καὶ ἄνθην τὴν ἄνθη-

tuerit, satis intelligitur. Accedit quod Clisthenes certamina rhapsodorum sustulit, quae in Apollineis illis ludis habita esse consentaneum est: atque ea potissimum respexisse grammaticus videtur, ubi ad Herodotum provocat, quod aliunde credo cognoverat, in Apollineis Adrasti ludis Sicyone olim rhapsodos cecinisse. Cuius autem scriptoris ea sunt, quae de Clisthene hoc loco traduntur? Ni fallor, Menaechmi Sicyonii, qui post Herodotum etiam ad vs. 30. commemoratur. Igitur scribe: *Μέναιχμος δὲ ὁ Σικυώνιος ἐναντία τούτῳ γράφει. φησὶ δὲ* etc. Uterque autem locus est ex *Σικυωνιακοῖς* (Athen. VI, p. 271. D.): neque tamen in hac re omittendum videtur, Menaechmum etiam Pythicas rhapsodorumque res egregie calluisse, qui et *Πυθικὸν* et de rhapsodis scripserit. V. schol. Pyth. IV, 313. et Nem. II, 1. cum nota: quamquam priorem locum alii Menaechmo nulla causa tribuit Voss. H. Gr. I, p. 65. 1) Sic Schneiderus: olim *ὑπεὶ*. 2) Odyss. *θ*, 362. 3) Sic recte Heynius: vulgo *περί*. 4) Addidi *αἱ*. 5) Vulgo *Λατοῖ*. Mox Hermannus modo *παισὶν αὐτὸν*, modo *παισὶν αὐτὸ* volebat; neutro opus. 6) Vulgo *ἀφεῖναι*.

Digitized by Google

σιν, καὶ βλάστην τὴν βλάστησιν. § ἢ οὕτω· προςφορωτέρα ἐστὶ τῆς καυχήσεως ἡ τῶν ἐπῶν ᾠδή· ἢ πρόςφορος καὶ ἀγαθή τις ἡ τῆς τῶν ἐπῶν καυχήσεως ᾠδὴ ἢ καυχητικὴ ᾠδή. § ὁ δὲ νοῦς· ἀλλ' ὅτι πρόςφορός ἐστι καὶ ἁρμόζουσα τούτοις θαυμαστή τις λόγων ᾠδή.

18. Ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγα] ἑαυτῷ παρακελεύεται ὑμνεῖν τὸν νικηφόρον. βρομία δὲ ἡ φόρμιγξ, ἤτοι παρὰ τὸν βρόμον καὶ τὸν ἦχον τὸν τελούμενον κατὰ τὸν κιθαρισμὸν, ἢ βρομίαν τὴν συναναστρεφομένην τῷ Διονύσῳ. Ὅμηρος· [1])

Φόρμιγγός θ' ἣν δαιτὶ θεοὶ ποίησαν ἑταίρην.

§ ὁ δὲ νοῦς· διὰ τοῦτο δὴ σὺν πᾶσιν ὀργάνοις μουσικοῖς, τοῦτο μὲν κιθάρᾳ, τοῦτο δὲ αὐλῷ, ὁρμήσωμεν ἐπὶ τὴν κορυφὴν τῶν ἱππικῶν ἄθλων, ἐπὶ τὸ ἐξαίρετον, τουτέστι τὴν νίκην.

20. Ἅτε Φοίβῳ θῆκεν Ἄδραστος] ἅτινα, τὰ Πύθιά φησι, Φοίβῳ ἔθηκεν Ἄδραστος, [2]) κατ' αὐτὸν τὸν Πίνδαρον· ἀνατίθησι γὰρ τὴν τῶν Πυθίων θέσιν ἐν Σικυῶνι Ἀδράστῳ, ποιητικὴν ἄγων ἄδειαν, Κλεισθένους αὐτὰ διαθέντος, καθὰ δεδήλωται. ἵνα οὖν ἐνδοξότερον ἀποφήνῃ τὸν ἀγῶνα, ὥνπερ, φησὶν, ἄθλων μνημονεύσας ἐγὼ καὶ τῶν ἐνδόξων μνησθήσομαι τιμῶν τοῦ ἥρωος Ἀδράστου.

25. Ὅς τότε μὲν βασιλεύων] ὅστις Ἄδραστος τὸ τηνικαῦτα λοιπὸν ἐκεῖ βασιλεύων ἐν Σικυῶνι, οὐκέτι ἐν Ἄργει, παντοίαις ἀρεταῖς, τοῦτο μὲν ἀγωνίσμασιν ἀνδρῶν τοῖς ἐκ δυνάμεως, τοῦτο δὲ φιλοκαλίαις ἁρμάτων γλαφυρῶν καὶ ὡραίων καὶ καινοτέραις εὐωχίαις, ἐμφανεστάτην καὶ ἀοίδιμον ἐποίει τὴν πόλιν. § καὶ Κλεισθένης μὲν τὰ ἐν Σικυῶνι Πύθια διέθηκε πρῶτος, ἀνατίθησι δὲ τὸ ὅλον Ἀδράστῳ καταδοθέντι, ἐπειδὴ καὶ διωρθώσατο αὐτὸς ὕστερον, καὶ ἄλλως ἐνδοξότερος ὁ ἀνήρ. [3])

30. Φεῦγε γὰρ Ἀμφιάρηον] περὶ τῆς Ἀδράστου εἰς Σικυῶνα μεταστάσεως Ἡρόδοτος [4]) μὲν οὕτω φησίν· Οἱ δὲ Σικυώνιοι εἰώθεισαν κάρτα τιμᾶν τὸν Ἄδρηστον. ἡ γὰρ χώρη αὕτη ἦν Πολύβου· ὁ δὲ Ἄδρηστος ἦν Πολύβου θυγατριδέος, ἄπαις δὲ ὁ Πόλυβος τελευτῶν διδοῖ Ἀδρήστῳ τὴν χώρην. Μέναιχμος δὲ ὁ Σικυώνιος οὕτω γράφει· Χρόνου παρελθόντος πολλοῦ Πρῶναξ μὲν ὁ Ταλαοῦ καὶ Λυσιμάχης τῆς Πολύβου βασιλεύων Ἀργείων ἀποθνήσκει, κατασταθεὶς ὑπὸ Ἀμφιαράου καὶ τῶν Ἀναξαγοριδῶν· Ἄδραστος δὲ ὁ ἀδελφὸς τοῦ Πρώνακτος φυγὼν ἦλθεν εἰς Σικυῶνα, καὶ τὴν Πολύβου μητροπάτορος βασιλείαν λαβὼν ἐβασίλευσε τῆς Σικυῶνος, καὶ τῆς Ἥρας τῆς ἀλεξάνδρου καλουμένης ἱερὸν καθ' ὅνπερ ᾤκει τόπον ἱδρύσατο. τὴν δὲ ἐπωνυμίαν ἔλαβε ταύτην τὸ ἱερὸν διὰ τὸ φεύγοντα τὸν Ἄδραστον ἱδρύσασθαι καὶ καλέσαι ἱερὸν Ἥρας ἀλεξάνδρου. τὸ δὲ φυγεῖν τινες ἁλᾶσθαι ὠνόμαζον. Διευχίδας [5]) δὲ ἐν τῷ τρίτῳ τῶν Μεγαρικῶν τὸ

1) Odyss. ρ, 271. 2) Verba Φοίβῳ ἔθηκεν Ἄδραστος absunt a Rom. 3) Immanis imperitia recentioris cuiusdam interpretis, qui Adrastum post Clisthenem fuisse putaverit. Idem ubi ab Adrasto ludos Clisthenis instauratos dicit, veterem grammaticum male intellexisse videtur, qui ludos ab Adrasto olim Apollini dicatos in aliam a Clisthene formam redactos esse dixisset. Καταδοθέντι e Rom. reduxi: novitii editores κατατεθέντι. Neutrum intelligo; nisi quod qui κατατεθέντι scripserunt, de sepulto Sicyone Adrasto cogitasse videntur. 4) V, 67. Apud Herodotum est ἐώθεσαν μεγαλωστὶ κάρτα, ἄπ. δὲ Πόλ. et in fine τὴν ἀρχήν. 5) Diseuchidas est Megarensis, de quo v. Voss. H. Gr. III, p. 354. Vulgo male Διευτυχίδας.

Digitized by Google

μὲν κενήριον τοῦ Ἀδράστου ἐν Σικυῶνι φησιν, ἀποκεῖσθαι δὲ αὐτὸν ἐν Μεγάροις. οἱ δέ φασι· Προῖτος ἐβασίλευσε τοῦ Ἄργους, τῶν θυγατέρων δὲ αὐτοῦ ματεισῶν Μελάμπους μάντις ὢν παρεγένετο· ὁμολογηθέντος δὲ αὐτῷ μισθοῦ τῶν δυεῖν μερῶν τῆς βασιλείας, ἐκάθηρεν αὐτάς· ὡς δὲ ἐκάθηρεν, ἔλαβε κατὰ τὴν ὑπόσχεσιν, καὶ τὸ μὲν ἥμισυ ἐκοινωνήσατο τῷ ἀδελφῷ Βίαντι, τὸ δὲ ἥμισυ κατέσχεν αὐτῷ, ὥστε γενέσθαι τὴν ὅλην βασιλείαν τριμερῆ, Μελαμποδίδας, Βιαντίδας, Προιτίδας. Μελάμπόδος μὲν οὖν Ἀντιφάτης, οὗ Ὀϊκλῆς, οὗ Ἀμφιάραος· Βίαντος δὲ Ταλαὸς, οὗ Ἄδραστος· Προίτου Μεγαπένθης, οὗ Ἱππόνους, οὗ Καπανεὺς, οὗ Σθένελος. διαφορὰ δὲ ἐγενήθη τοῖς περὶ Ἀμφιάραον καὶ Ἄδραστον, ὥστε τὸν μὲν Ταλαὸν ὑπὸ Ἀμφιαράου ἀποθανεῖν, τὸν δὲ Ἄδραστον φυγεῖν εἰς Σικυῶνα καὶ γῆμαι τὴν Πολύβου θυγατέρα· τελευτήσαντος δὲ τοῦ Πολύβου χωρὶς ἐπιγονῆς ἀρσενικῆς τὸν Ἄδραστον ἔχειν τὴν Σικυωνίων βασιλείαν. εὐλόγως οὖν εἶπε· φεῦγε γὰρ Ἀμφιάρηον Ἄδραστος [1]) διὰ τὴν στάσιν τὴν πρὸς τοὺς Μελαμποδίδας. ὕστερον μέντοι συνεληλύθασι πάλιν, ἐφ' ᾧ συνοικήσει τῇ Ἐριφύλῃ ὁ Ἀμφιάραος, [2]) ἵν' εἴ τι μέγ' ἔρισμα μετ' ἀμφοτέροισι γένηται, [3]) αὐτὴ διαιτᾷ. § ὁ δὲ νοῦς οὕτως· ἔφευγε γὰρ πρὸ τούτου πολέμιον ὄντα τὸν Ἀμφιάραον, καὶ τὴν πρὸς αὐτὸν στάσιν δεινὴν οὖσαν ἔφευγε καὶ ἐκ τῆς πατρῴας ἑστίας καὶ ἀπὸ Ἄργους.

32. Ἀρχοὶ δ' οὐκέτ' ἔσαν Ταλαοῦ παῖδες] οὐκέτι δὲ εἰς ἄρχοντας ἠριθμοῦντο ἐν τῷ Ἄργει οἱ Ταλαοῦ παῖδες οἱ περὶ Ἄδραστον, βιασθέντες ἐν τῇ στάσει καὶ τῷ πολέμῳ τῷ πρὸς Ἀμφιάραον· ἔφυγε γὰρ Ἄδραστος.

35. Κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ] ὁ δὲ ἰσχυρὸς ἀνὴρ τὸ προϋπάρχον δίκαιον καταπαύει. ἐν ἄλλοις Πίνδαρος· Νόμος ὁ πάντων βασιλεὺς θνατῶν τε καὶ ἀθανάτων ἄγει δικαιῶν τὸ βιαιότατον ὑπερτάτᾳ χειρί. ἢ δεκτέον τοῦτο εἰρῆσθαι διὰ τὴν ἔχθραν τὴν ἐπὶ τῷ Ἀδράστῳ· διὸ δὴ καὶ οὗτος ἰσχυθεὶς τότε ὑπὸ Ἀμφιαράου ὕστερον αὐτὸν μετῆλθε, κρείσσων φανεὶς καὶ συνετώτερος. πῶς δὲ μετῆλθε; μέσην ποιησάμενος τὴν Ἐριφύλην τῶν πρὸς αὐτὸν συμφορῶν· [4]) ἔφθειρε γὰρ ἐκείνην τῇ δόσει τοῦ ὅρμου, καὶ μετῆλθεν αὐτὸν, ὥστε ἀπολέσθαι. ἀνδροδάμαν δὲ τὴν τὸν ἄνδρα ἀνελοῦσάν φησιν· ἡ γὰρ Ἐριφύλη τὸν ἑαυτῆς ἄνδρα Ἀμφιάραον προὔδωκεν εἰς φόνον. μέμνηται τούτου καὶ Ὅμηρος· [5])

Στυγερήν τ' Ἐριφύλην,
Ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα.

§ ὁ δὲ νοῦς· συνετὸς ἀνὴρ καὶ κρείσσων τῶν λοιπῶν ὁ Ἄδραστος κατέπαυσε τὴν μάχην τὴν προτέραν οὕτω· τὴν ἀδελφὴν αὐτοῦ τὴν Ἐριφύλην τὴν τὸν πρότερον ἄνδρα δαμάσασαν ἔδωκε τῷ Ἀμφιαράῳ, ἥτις ὥσπερ τις ὅρκος πιστότατος δοθεῖσα τῷ Ὀϊκλέος παιδὶ Ἀμφιαράῳ καὶ γυνὴ αὐτῷ γενομένη ἔσβεσε τὴν μάχην, καὶ οὕτω τῶν ξανθοκόμων Ἑλλήνων ἐγένοντο περιφανέστεροι οἱ περὶ Ἄδραστον.

41. Καί ποτ' ἐς ἑπταπύλους Θήβας] ἐντεῦθεν δὴ καὶ εἰς τὰς Θήβας ποτὲ τὰς ἑπτάπυλους στράτευμα ἤγαγον οὐκ αἰσίοις οἰωνοῖς χρησάμενοι οἱ περὶ Ἀμφιάραον καὶ Ἄδραστον· οὐδὲ γὰρ ὁ Ζεὺς ἀστραπὴν δεξιὰν μηνύσας μαργῶντας αὐτοὺς καὶ ἐπει-

1) Rom. Ἄδρηστος. 2) Scribe: ἐφ' ᾧ συνοικήσειν τ. Ἐ. τὸν Ἀμφιάραον. 3) Fragmentum versus Homerici Iliad. δ, 438. 4) Heynius coniicit διαφορῶν: recte. 5) Odyss. λ, 325.

Digitized by Google

γομένους ἀπὸ τῶν φίλων ἀπιέναι προσέταξεν, ἀλλὰ μᾶλλον ἀποσχέσθαι τῆς ἀφίξεως. οὐδὲν γὰρ αὐτοῖς δεδώκει δεξιὸν σημεῖον. εἰς δὲ φανερὰν ἄτην καὶ βλάβην τὸ τούτων ἔσπευδε στράτευμα παραγενέσθαι [1]) σὺν τοῖς χαλκοῖς ὅπλοις, φησὶ τοῖς πεζοῖς, καὶ τοῖς ἱππεῦσιν.

53. Ἰσμηνοῦ δ' ἐπ' ὄχθαισι γλυκὺν νόστον ἐρυσάμενοι] τουτέστιν ἀποθανόντες ἐπὶ τῇ τοῦ Ἰσμηνοῦ ἀναβολῇ. λευκανθέα δὲ λέγει τὰ σώματα· γίνεται γὰρ τὰ σώματα τῶν καιομένων νεκρῶν λευκά, ἢ ὅτι ὁ καπνὸς διὰ τὴν πιμελὴν λευκός ἐστι καὶ βαρύς, παρὸ οὐδὲ πόῤῥω διϊκνεῖται μετέωρος καθὼς ὁ ἐκ τῶν ξηρῶν ξύλων καπνός. § ὁ δὲ νοῦς· τοιγαροῦν παρ' αὐταῖς ταῖς ὄχθαις τοῦ Ἰσμηνοῦ πεσόντες αὐτόθι καὶ τὴν οἴκοι ἀνακομιδὴν ἀπέθεντο, θανάτῳ λυθέντες καὶ ἑαυτῶν τὰ σώματα τροφὴν δόντες τῷ πυρί. ἑπτὰ γὰρ ὅλαι πυρκαϊαὶ τὰ τῶν νεκρῶν ἢ τὰ τῶν νέων κατευωχήθησαν καὶ κατέφλεξαν σώματα. τὸ δὲ ἑπτὰ πυραὶ οὐ πρὸς τοὺς λοχαγοὺς, ἀλλὰ πρὸς τὸ τῶν νέων στράτευμα· ἐφ' ἑκάστῃ γὰρ πύλῃ πολυάνδριον ἐγένετο.

57. Ὁ δ' Ἀμφιάρηϊ σχίσε] τουτέστιν· ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε τὴν γῆν κεραυνὸν βαλὼν, ὥστε καταποθῆναι αὐτὸν τῷ πάντα βιαζομένῳ κεραυνῷ. τοῦτο οὖν λέγει ὡς τοῦ Ἀμφιαράου συνεσταλμένου τῷ Περικλυμένῳ, ὃς ἦν υἱὸς Ποσειδῶνος καὶ Χλωρίδος τῆς Τειρεσίου ὁμωνύμου τῇ [2]) Νηλέως. πρὶν οὖν, φησὶν, ὑπὸ τοῦ Περικλυμένου τρωθῆναι τὰ νῶτα τὸν Ἀμφιάραον φεύγοντα, καταποθῆναι· ἀεὶ γὰρ ἐπεδίωκεν αὐτόν. § ὁ δὲ νοῦς οὕτως· ὁ δὲ Ζεὺς τῷ Ἀμφιαράῳ διέσχισε καὶ διέστησε τὴν γῆν τὴν πλατεῖαν, ἄνωθεν ἐπιπέμψας τὸν κεραυνὸν τὸν πάντας βιάζεσθαι δυνάμενον, καὶ οὕτως ὑπὸ τὴν γῆν ἐκρύφθη ὁ Ἀμφιάραος ἅμα τῷ ἅρματι τῷ ἑαυτοῦ, πρὶν ἢ τῷ τοῦ Περικλυμένου δόρατι τρωθῆναι τὰ νῶτα φεύγοντος αὐτοῦ, καὶ αἰσχύνην προστρίψασθαι τῇ ἀνδρειοτάτῃ ψυχῇ αὐτοῦ τοῦ Ἀμφιαράου τὸν τοιοῦτον θάνατον.

63. Ἐν γὰρ δαιμονίοισι φόβοις] ἐν γὰρ τοῖς μεγίστοις καὶ ἐνθέοις φόβοις συνέχονται καὶ οἱ τῶν θεῶν παῖδες καὶ φεύγουσι. συγγνώμη οὖν, φησὶ, καὶ τῷ Ἀμφιαράῳ φεύγοντι· ὁ γὰρ Ζεὺς συνεμάχει τότε τοῖς Θηβαίοις, διὸ ἔφευγε τότε ὁ Ἀμφιάραος. οὕτω καὶ ὁ Αἴας ἔφευγεν

Ἐντροπαλιζόμενος, ὀλίγον γόνυ γουνὸς ἀμείβων, [3])

τὸν Δία ἔχων ἀντιστάτην.

67. Πεῖραν μὲν ἀγάνορα] πεῖραν, τὴν ληστρικὴν ἐπίθεσιν.

Φοινικοστόλων ἐγχέων] μεθ' ὧν οἱ Φοίνικες ἐστάλησαν δοράτων, ἤτοι ὑπὸ Φοινίκων ἐσταλμένων, ἐπειδὴ Φοίνικες ᾤκησαν τὴν Λιβύην μετὰ Καρχηδονίων, οἵτινες ἀνιόντες ἐπολέμουν Σικελούς. διὸ νῦν εὔχεται ὁ Πίνδαρος τῷ Διΐ, ὥστε [4]) ἐμποδισθῆναι αὐτῶν τὴν ὁρμήν. § Ἄλλως. οἱ Καρχηδόνιοι ἦσαν τότε Φοίνικες, οἵτινες μέγα ἰσχύοντες ἐπέβαλον καὶ τῆς Ἰταλίας καὶ τῆς Σικελίας κρατῆσαι, ἀντεῖχον δὲ οἱ περὶ Γέλωνα καὶ Ἱέρωνα. διὸ καὶ Φοινικόστολα εἶπεν ἔγχη τὰ ὑπὸ Φοινίκων στελλόμενα ἐπὶ τὴν Ἰταλίαν. τὸ δὲ λεγόμενον τοιοῦτόν ἐστιν· εἰ δυνατόν ἐστιν ἀναβαλέσθαι τὴν πεῖραν, ἀναβάλλομαι. § πρὶν εἰς πεῖραν τὰ Σικελικὰ καὶ Φοινικικὰ ἔγχη συμβαλλόμενα [5])

1) Vulgo καὶ περιγενέσθαι. 2) Vulgo τοῦ, quod Heynius correxit. 3) Iliad. λ, 547. Ἀμείβων recte Rom. 4) Delevi μὴ post ὥστε cum Heynio. 5) Scribe συμβάλλεσθαι.

Digitized by Google

περὶ ζωῆς καὶ θανάτου, ἀναβάλλομαι αὐτὰ, ὦ Ζεῦ, καὶ ὑπερτίθεμαι. § ἢ οὕτω· τὸν μὲν πόλεμον τὸν Φοινικικὸν ἀναβάλλομαι, ὦ Ζεῦ, αἰτῶ δέ σε μοῖραν εὔνομον τοῖς παισὶ τῶν Αἰτναίων δοῦναι. τουτέστιν αἰτῶ δέ σε καὶ ἱκετεύω, ὦ Ζεῦ, ὥστε ἐπὶ πολὺν χρόνον τοῖς τῶν Αἰτναίων παισὶν εἰρήνης μοῖραν παρίχειν. ἀπὸ μέρους δὲ τὸ πᾶν, ἀπὸ τῶν Αἰτναίων δηλοῖ τοὺς σύμπαντας Σικελιώτας.

73. Ἀγλαΐαισι δ' ἀστυνόμοις ἐπιμίξαι λαόν] καὶ πολλαῖς εὐφροσύναις ἐπιμίξαι τοὺς ὄχλους, εὐφροσύναις δὲ ἀναστρεφομέναις κατὰ τὴν πόλιν. εἰσὶ γάρ σοι ἐνταῦθα καὶ ἱππικώτατοι ἄνδρες καὶ νικῶντες τῇ προαιρέσει τὸν πλοῦτον καὶ οὐχ ἡττώμενοι χρημάτων. § ἢ οὕτως· εἰσὶν ἄνδρες ἐν Σικελίᾳ καὶ φίλιπποι καὶ ἱπποτρόφοι, ὡς νῦν ὁ Χρόμιος ἵπποις νενικηκώς. εἰς τοῦτον γὰρ ἡ ἀπότασις.

78. Ἄπιστον ἔειπ'. αἰδὼς γάρ] ἄπιστον δὲ εἶπον, ὡς ἔοικεν, ὅτι τὴν προαίρεσίν εἰσί τινες βελτίους χρημάτων. καὶ γὰρ αἰδὼς ὑποκλέπτεται διὰ [1]) τοῦ κέρδους, ἀντὶ τοῦ οὐκ αἰδοῦνται διὰ κέρδος τι πρᾶξαι, ἥτις αἰδὼς εὐδοξίαν φέρει. καὶ ὅτι ἡ αἰδὼς ἡ φέρουσα δόξαν ἔστιν ὅτε παραλογίζεται ὑπὸ φιλοκερδείας. § Ἄλλως. κἂν τις, φησὶν, αἰδήμων ὑπάρχῃ, ὑπὸ τοῦ κέρδους παραλογίζεται· ἕνεκα γὰρ τοῦ κέρδους καὶ οἱ αἰδήμονες πολλάκις ἀναισχυντοῦσιν.

80. Χρομίῳ κεν ὑπασπίζων] τῷ Χρομίῳ συμπαρὼν ἂν ἔν τε πεζομαχίᾳ καὶ ἱππομαχίᾳ καὶ ναυμαχίᾳ, ἔκρινας οἷός τις ὁ κίνδυνος ὁ τῶν πολέμων. φαίνεται δὲ, ὅτι βούλεται αὐτὸν ὡς ἀνδρεῖον καὶ διασώζοντα τοὺς συνόντας αὐτῷ ἀφόβως παραστῆσαι. ἐπεὶ πῶς ἂν ἀγαθὸς γένοιτο κριτὴς μετὰ δέους ἀναστρεφόμενος ἐν πολέμῳ;

85. Οὕνεκεν ἐν πολέμῳ κείνα θεός] ὁ λόγος ἐπὶ τῆς προειρημένης αἰδοῦς. ᾔδεσαν οὖν, φησὶν, ὅτι ἐν τῷ πρὸς τοὺς Φοίνικας πολέμῳ ἐκείνη ἡ θεὸς, δηλονότι ἡ Αἰδὼς, παρεσκεύαζεν αὐτοῦ τὸν θυμὸν αἰχμητὴν εἶναι, ὥστε ἀμύνειν λοιγὸν Ἐνυαλίου. Ὅμηρος· [2])

Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι [3]) ἠὲ πέφανται.

παρεσκεύαζεν οὖν ἡ Αἰδὼς τῷ Χρομίῳ, οὐχ ἵνα κτήσηται τὸ κέρδος, ὡς ἄλλοι ἀπαναισχυντοῦσιν, ἀλλ' αὐτοῦ χάριν τοῦ καλοῦ, ἵνα τῇ πατρίδι ἀμύνῃ.

89. Παῦροι δὲ βουλεῦσαι φόνου] ὀλίγοι, φησὶ, φόνου ἐφεστηκότος βουλεύσασθαι δυνατοὶ, τὴν τοῦ πολέμου νεφέλην τρέψαι πρὸς τοὺς πολεμίους κτείνοντες αὐτοὺς, καὶ χερσὶ καὶ ψυχαῖς, καὶ ἐν τῷ δρᾶσαι καὶ φονεῦσαι τοὺς πολεμίους καὶ ἐν τῷ βουλεύσασθαι, πῶς δεῖ ἀνελεῖν αὐτούς. κατορθοῦται γὰρ ὁ πόλεμος γνώμῃ καὶ χειρί· χειρὶ τῇ ἀνδρείᾳ, ψυχῇ τῇ φρονήσει, ἵν' ἡ ῥώμη μετὰ φρονήσεως. ἀμφότερα δὲ ταῦτα ἔχει ὁ Χρόμιος· καὶ γὰρ οὗτος βουλῇ καὶ χειρὶ ἐγένετο ἀγαθὸς ἐν τῷ πολέμῳ τῷ πρὸς τοὺς Φοίνικας.

93. Ἕκτορι μὲν κλέος ἀνθῆσαι] ἀπεικάζει αὐτὸν τῷ Ἕκτορι, καὶ τῷ Ἕκτορί φησιν ἀνθῆσαι τὸ κλέος μαχομένῳ παρὰ τῷ Σκαμάνδρῳ. τοῦτο δὲ εἰς ἔπαινον παρείλκυσε τοῦ Χρομίου. τὸν δὲ Ἕκτορα παρείληφε καὶ οὐκ Αἴαντα ἢ Ἀχιλλέα, τῷ καὶ τὸν Ἕκτορα μεμαχῆσθαι ὑπὲρ τῆς πατρίδος, ὡς καὶ τὸν Χρόμιον. § ὁ δὲ νοῦς· λέγεται

1) Vulgo δίχα; reposui quod Heynius coniecerat. Paulo ante vulgo εἶπεν. 2) Iliad. ε, 531. 3) Rom. σῶοι.

Digitized by Google

μὲν καὶ ᾄδεται τῷ μὲν Ἕκτορι τὴν εὐδοξίαν ἀνθῆσαι [1]) παρὰ τῷ Σκαμάνδρῳ, ἐν δὲ ταῖς ἀκταῖς τοῦ Ἑλώρου ποταμοῦ, ἐφ' ᾧ [2]) δὴ καὶ ὁ Ἀρείας πόρος καλεῖται, δέδεικται τοῦτο τὸ φέγγος τῷ Χρομίῳ, ἐν τῇ πρώτῃ καὶ νέᾳ ἡλικίᾳ. ἐνίκησε γὰρ ἐνταῦθα Καρχηδονίους συμμαχῶν Γέλωνι τῷ τυράννῳ τῷ Ἱπποκράτους διαδόχῳ.

95. Βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου] περὶ τοῦτον τὸν ποταμὸν συνέστη Ἱπποκράτει τῷ Γελώων τυράννῳ πρὸς Συρακουσίους πόλεμος· ὁ δὲ Γέλων, οὗ οὗτος ἑταῖρος, [3]) ἱππάρχει τότε Ἱπποκράτει. ἐν δὴ τούτῳ, φησὶ, τῷ πολέμῳ εἰκὸς τὸν Χρόμιον ἐπιδείξασθαι πολλὰ ἔργα κατὰ τὴν μάχην. περὶ δὲ τούτου τοῦ πολέμου Τίμαιος ἐν τῇ δεκάτῃ δεδήλωκε. καθάπαξ γὰρ, φησὶν ὁ Δίδυμος, οὐδεμίαν ἄλλην μάχην ἔχομεν εὑρεῖν περὶ τὸν Ἕλωρον τῶν συνηκμακότων τῷ Χρομίῳ τυράννων, ὅτι μὴ σὺν Ἱπποκράτει τοῦ Γέλωνος [4]) πρὸς Συρακουσίους. ὅτι μὲν οὖν Γέλωνα ἱππαρχεῖν κατέστησεν Ἱπποκράτης, σαφὲς ὁ Τίμαιος ποιήσει γράφων οὕτως· [5]) Ἱπποκράτης δὲ μετὰ τὴν Κλεάνδρου τελευτὴν ἅμα μὲν τοῦ Γέλωνος ἐν τῇ τεταγμένῃ μεμενηκότος, ἅμα δὲ τοῖς Γελῴοις χαρίσασθαι βουλόμενος, μεταπεμψάμενος αὐτὸν καὶ παρακαλέσας πρὸς [6]) τὰς πράξεις, ἁπάντων τῶν ἱππέων τὴν ἐπιμέλειαν ἐκείνῳ παρέδωκε. ὡς δὲ καὶ ὁ Γέλων [7]) τῷ Χρομίῳ ἐχρῆτο ἑταίρῳ, δῆλον πάλιν ἐξ ὧν φησι Τίμαιος ἐν τῇ δευτέρᾳ γράφων οὕτως· [8]) Ἐπιτρόπους δὲ τοῦ παιδὸς μετ' ἐκεῖνον κατέστησεν Ἀριστόνουν καὶ Χρόμιον τοὺς κηδεστάς· τούτοις γὰρ ὁ Γέλων δέδωκε τὰς ἀδελφάς. § Ἄλλως. Ἀρείας πόρος ἐλέγετο πᾶς ὁ περὶ τὸν πορθμὸν καὶ τὸ Ῥήγιον τόπος. ἔχει δὲ ὁ ποταμὸς ἱεροὺς ἰχθύας, οἳ παρὰ τῶν διαβαινόντων δέχονται τροφήν. καὶ [9]) καλεῖσθαι μέχρι τοῦ νῦν Ἀρείας πόρον διὰ τὸ πλῆθος τῶν φυομένων, [10]) ἢ ἀπὸ τοῦ συμβεβηκέναι ἐκεῖσε πόλεμον. Ἄρεα δὲ οἱ ποιηταὶ τὸν πόλεμόν φασιν. § ὁ δὲ τῆς Ἀρείας πόρος ἀνεξήγητός ἐστι· διὸ καὶ ἄδηλον, εἴτε Ἀρείας εἴτε Ῥείας λεκτέον εἴτε ὑφ' ἓν Ἀρειάσπορον. [11])

102. Πολλὰ μὲν ἐν κονίᾳ χέρσω] χέρσω τῆς ἠπείρου φησί. γείτονι δὲ πόντῳ, ἀντὶ τοῦ ἐν ταῖς νήσοις καὶ θαλασσίοις τόποις. ἐν ὑπερβατῷ δέ φησιν· ἐν δὲ ἄλλαις ἡμέραις φήσω καὶ διελεύσομαι τὰ ἐν τῇ γῇ τῆς ἠπείρου καὶ τὰ ἐν ταῖς νήσοις αὐτῷ διηνυσμένα. [12]) § ἢ οὕτως· ἐὰν κατορθώσῃ, πάλιν ἐρῶ ὕστερον τὰ ἐν τῇ γῇ τῆς ἠπείρου, καὶ τὰ ἑξῆς.

104. Ἐκ πόνων δὲ, οἳ σὺν νεότατι γένωνται] ἐκ τῶν πόνων τῶν ἐπιτελε-

1) Addidi ἀνθῆσαι ex textu. 2) Vulgo ἀφ' οὗ. 3) Foede corruptum locum leni medela sanavi. Scholiastes ad vs. 93. Chromium Gelonis commilitonem agnoscit, eiusdem qui post Hippocratem tyrannus factus est: ad hunc autem versum Didymum secutus docet ex Timaeo, Gelonem eundem ab Hippocrate equitatui praefectum vicisse ad Helorum, Chromii autem familiaritate usum esse; ideoque in Chromii laudibus pugnam ad Helorum commemorari. Hoc scholii satis boni argumentum initio paucis expressum esse debebat; idque praestant verba a me posita: ὁ δὲ Γέλων, οὗ οὗτος ἑταῖρος, ἱππάρχει τότε Ἱπποκράτει. Vulgo erat: ὁ δὲ Γέλων οὗτος ἕτερος, ὃς ἱππάρχει τ. Ἱ. quod merito reprehendit Goeller. Hist. Syrac. p. 8. cui tamen me non consentire sponte intelligitur. 4) Nempe τὴν μάχην τοῦ Γέλωνος. 5) Fragm. Goeller. p. 230. 6) Rom. περὶ, nuperi editores παρά. 7) Rom. Γέλων. 8) Fragm. Goeller. p. 210. 9) Adde φασί. 10) Vox corrupta. Heynius φονευομένων coniicit, Faehsius Syllog. p. 406. φθιομένων: male utrumque. 11) Haec ante nos male intrusa post vocem τροφὴν legebantur. 12) Vulgo διηνύσματα.

Digitized by Google

σθέντων τῇ νεότητι, καὶ πόνων γε τοιούτων τῶν σὺν δικαίῳ τελεσθέντων, μία ἡμέρα αἰῶνος ὅλου τάξιν ἔχει εἰς εὐφροσύνην· ἐπειδάν τινες ἐν νεότητι πεπονηκότες ὦσι καὶ βεβιωκότες δικαίως, ἡμέρα μία ἐν τῷ γήρᾳ συγκριτική ἐστι πρὸς ὅλον τὸν αἰῶνα. τινὲς δὲ θηλυκῶς φασιν ἐξενηνέχθαι τὴν ἡμέραν ἀντὶ τοῦ ἥμερος, καὶ τὸν αἰῶνα θηλυκῶς εἰρῆσθαι· ἡ αἰὼν ἐστιν αὐτοῖς ἡμέρα, ἀντὶ τοῦ ἥμερος καὶ πρᾷός ἐστιν αὐτοῖς ὁ βίος πρὸς γῆρας, ὅταν ὦσιν ἐν νεότητι πεπονηκότες δικαίως. τὰ δὲ προσηνῆ κατὰ μεταφορὰν ἀπὸ τῆς ἡμέρας σημαίνεται, ὥσπερ τὰ χαλεπὰ ἀπὸ τῆς νυκτός. § ἢ οὕτως· ὁ δὲ ἐκ πόνων καὶ κινδύνων αἰὼν καὶ χρόνος, οἵτινες ἂν πόνοι μετὰ δικαιοσύνης ἐν τῇ νέᾳ ἀνυσθῶσιν ἡλικίᾳ, τούτῳ ὁ πρὸς τὸ γῆρας πᾶς χρόνος ὥσπερ μία ἡμέρα παρατείχει διὰ τὸ εὐθυμεῖν καὶ μὴ ἐπαισθάνεσθαι τῶν φαύλων. τὸ δὲ ἑξῆς· ὁ δὲ αἰὼν πρὸς τὸ γῆρας τούτοις τελέθει ἀεὶ φῶς τοῖς πόνοις, οἳ ἂν ἐν νεότητι γένωνται καὶ δίκῃ. ἔστι δὲ ἐκ τοῦ ἐναντίου τοῦ Ὁμήρου· [1])

Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

109. Εἰ γὰρ ἅμα κτεάνοισι πολλοῖς] εἰ γὰρ ἅμα τῷ πλουτεῖν καὶ δοξασθήσεταί τις καλὰ ἐργασάμενος, οὐκ ἔστιν ὑπερθέσθαι ταύτην τὴν μακαριότητα, ὅταν συνέλθῃ δόξα πλούτῳ. § ὁ δὲ νοῦς· ὁ γὰρ ἅμα πλήθει περιουσίας καὶ δόξαν εὐκλεῆ καρπωσάμενος οὐκέτι περαιτέρω θνητὸς ὢν ὀφείλει περισκοπεῖν οὐδὲ ἄλλης εὐτυχίας ὁδοὺς ἐπιζητεῖν τοῖς αὐτοῦ ποσίν. ἀνυπέρβλητος γάρ, φησίν, αὕτη ἡ ἀρετή· παρέοικε δὲ τῇ ἄνω διανοίᾳ· [2]) Εἰ δ' ἐὼν καλὸς, ἴδων δ' ἐοικότα μορφᾷ, οὐκέτι πόρσω, καὶ τὰ ἑξῆς.

114. Ἡσυχία δὲ φιλεῖ μὲν συμπόσιον] τῇ μὲν οὖν εἰρήνῃ καὶ ἡσυχίᾳ προσφιλές ἐστι τὸ συμπόσιον, ἡ δὲ νεωστὶ καταπραχθεῖσα νίκη συναύξεται τῇ μαλθακῇ καὶ ἡδείᾳ ᾠδῇ. § ἢ οὕτω· τὸ συμπόσιον τὴν ἡσυχίαν φιλεῖ· καὶ ἔστιν ὅμοιον τῷ [3]) Ματέρ' οἰνάνθας ὀπώραν. ἡ δὲ νικηφορία οὐ φιλεῖ ἡσυχίαν.

117. Θαρσαλέα δὲ παρὰ κρατῆρα φωνὰ γίνεται] παρὰ δὲ τὸν κρατῆρα, ὃς ἵσταται διὰ τὸ τέλος τῆς νίκης, θαρσαλεωτέρα ἡ φωνὴ γίνεται, καὶ δύνατάι τις θαρρῶν ἐπὶ τῇ τοῦ νικηφόρου ἀνδραγαθίᾳ μετὰ παρρησίας τὸν ὕμνον ᾄδειν τὸν ἐπὶ τῇ νίκῃ. § Ἢ ἄλλως· ὅταν τις νικήσῃ, μετὰ παρρησίας εἰς αὐτὸν φωναὶ γενέσθωσαν καὶ ὕμνοι.

119. Ἐγκιρνάτω τίς μιν γλυκύν] τοῦτον [4]) τοίνυν τὸν κρατῆρα τὸν ἱστάμενον ἐπὶ τῇ νίκῃ ἐγκιρνάτω τις προηγητὴν ὄντα τοῦ ὕμνου. προηγητὴν δὲ ἔφη τοῦ ὕμνου τὸν κρατῆρα, ἐπειδὴ τῇ νίκῃ ἅμα κρατὴρ τῆς σπονδῆς [5]) ..... εἶθ' οὕτως ὁ ὕμνος ᾖδετο. § ὁ δὲ νοῦς· ἤδη κιρνάτω τις τὸν κρατῆρα, ὃς ἐστι προοίμιον καὶ προφήτης τοῦ κώμου. κωμάζωμεν οὖν αὐτὸν καὶ ὑμνῶμεν, ὅτι νενίκηκεν.

121. Ἀργυρέαισι δὲ νωμάτω φιάλαισι] μετὰ τὸ κεραννύναι τὸν κρατῆρα, φησὶ, καὶ ἀποβαπτιζέτω τις τὰς φιάλας, καὶ δια ..... καὶ δια ..... κατακειμένοις ..... φιάλας, [6]) ἃς ἔλαβεν ὁ Χρόμιος νικήσας ἔνθεν. ἐν γὰρ τοῖς κατὰ Σικυῶνα Πυθίοις ἀργυραῖ φιάλαι ἔπαθλα. βιατὰν δὲ ἀμπέλου παῖδα [7]) τὸν οἶνόν φησι, ἤτοι τὸν βίᾳ θλιβόμενον, ἢ τὸν βιάζεσθαι εἰδότα καὶ εἰς μέθην ἄγειν.

1) Odyss. τ, 360. Hesiod. Opp. et D. 93. 2) Nem. III, 32. vulg. 3) Nem. V, 11. 4) Addidi τοῦτον. 5) Excidit aliquid, nec sufficit Heynii ἐκιράννυτο. 6) Sic Rom. quae explevit Beckius, sed coniectura incerta. 7) Παῖδα addidit Beckius.

Digitized by Google

123. Ἅς ποθ' ἵπποι κτησάμεναι] ἄστινας φιάλας αἱ τοῦ Χρομίου ἵπποι προσεκόμισαν διὰ τῆς νίκης τῷ δεσπότῃ ἅμα τοῖς μετὰ δικαιοσύνης ὑπάρξασιν αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος στεφάνοις ἐκ τῆς ἱερᾶς Σικυῶνος. οὐ παρῆν δὲ ὑπὸ τὴν νίκην, ἀλλ' ἐπεπόμφει [1]) τὸ ἅρμα. § ἃς ἤνεγκαν, φησίν, ἅμα τοῖς στεφάνοις οἱ ἵπποι. θεμιπλέκτους δὲ τοὺς στεφάνους φησίν, ἤτοι νομίμως καὶ καθηκόντως πεπλεγμένους, ἢ καθὸ πάρεδρός ἐστι τοῦ Ἀπόλλωνος ἡ Θέμις χάριν τοῦ χρηστηρίου· καὶ γὰρ ἦν προφῆτις· ἢ ὅτι δικαίως καὶ ἄνευ δωροδοκίας ἐστέφθη. ἱστορεῖται δὲ τὰ ἐν Φωκίδι χρήματα ἀνύεσθαι, διὸ καὶ πρόσκειται ἐνταῦθα τὰ ἐν Σικυῶνι. [2]) οἰκείως δὲ ἱερὰν τὴν Σικυῶνα προσηγόρευσεν· ἡ γὰρ Μηκώνη ἐπ' αὐτῆς ἐστιν, ἐφ' ἧς οἱ θεοὶ διεδάσαντο τὰς τιμάς. Ἡσίοδος· [3])

Καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ.

καὶ Καλλίμαχος· [4])

Μηκώνην μακάρων ἕδρανον αὖτις ἰδεῖν.

127. Ζεῦ πάτερ, εὔχομαι ταύταν ἀρετάν] εὔχομαι δὴ οὖν, ὦ Ζεῦ πάτερ, ταύτην αὐτοῦ τὴν ἀρετὴν ὑμνῆσαι ἐπι ... τως [5]) ἐπὶ πολλῶν τε καὶ ..... τὴν νίκην ἔνδοξον ποιῆσαι τοῖς λόγοις ..... πέμπων μου τὴν Μοῦσαν ἐγγὺς τοῦ σκοποῦ· οἱονεὶ ἐπαξίως αὐτὸν ὑμνῆσαι. § Ἄλλως. τιμαλφεῖν λόγοις, ἀντὶ τοῦ τιμᾶν αὐτὸν λόγοις, προσβάλλων ταῖς μουσικαῖς [6]) τὴν νίκην καὶ συναρμόζων αὐτήν· τοῖς ὕμνοις βάλλων τὴν νίκην. τινὲς δὲ ἀνέγνωσαν περισπωμένως νικᾶν, ἵν' ᾖ· ὑπὲρ πολλῶν νικῶν τιμᾶν τοῖς λόγοις· ἀκοντίζων δὲ ἐγγὺς τοῦ σκοποῦ τὴν μουσικήν, ἤτοι διϊκνούμενος ταῖς μουσικαῖς. [7])

ΝΕΜΕΩΝ ΕΙΔΟΣ Γ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δεκάτου τῶν Νεμέων εἴδους.

Τῆς δεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ια'. Τὸ α' ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον δισύλλαβον. [8]) Τὸ β' ἰαμβέλεγος. Τὸ γ' ἰαμβέλεγος λείπων

1) Rom. ἐπεπόμφη. 2) Locus est plane perditus, qui ni fallor de Clisthene agebat, et hanc fere sententiam complexus olim esse mihi videtur: ἢ διὰ τὸν Κλεισθένη τὸν τῷ ἐν Δελφοῖς ἱερῷ δικαίως βοηθήσαντα· ἱστορεῖται δὲ δι' αὐτοῦ τὰ ἐν Φωκίδι πράγματα ἀνύεσθαι, διὸ καὶ κεῖται τὰ Πύθια τὰ ἐν Σικυῶνι. Conf. schol. vs. 2. 3) Theog. 534. 4) Fragm. 195. 5) Sic Rom. Beckius scripsit ἐπιχαριέντως, et in seqq. ἐπὶ π. τε καὶ ἄλλων τ. ν. ac deinde τοῖς λόγοις τοῖς ἐμοῖς, πέμπ. 6) Coniicio Μούσαις. 7) Hic quoque Μούσαις scripserim, et nescio an etiam paullo ante corrigendum sit ἐγγὺς τοῦ σκοποῦ τὴν Μοῦσαν. 8) Hoc est εἰς δισ.

Digitized by Google

μιᾷ ἐν ἀρχῇ, ἡ περίοδος. [1]) Τὸ δ' προσοδικὸν ἀπὸ Ἰωνικοῦ καὶ χοριαμβικοῦ. Τὸ ε' τὸ αὐτὸ τῷ γ'. Τὸ ς' περίοδος τροχαϊκή, ἐπίτριτος ἢ χορίαμβος διὰ τὴν ἀπόδοσιν. [2]) Τὸ ζ' Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ η' ἰαμβέλεγος μετατιθεμένης τῆς τελευταίας ἐπὶ τὴν ἀρχήν. Τὸ θ' δακτυλικὸν πενθημιμερές. Τὸ ι' ὅμοιον τῷ Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην. [3]) Τὸ ια' τὸ αὐτό. τὸ δὲ κολεῷ [4]) ἀντὶ τοῦ κολῷ κατὰ συνίζησιν.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ δὲ ἐπῳδὸς κώλων ἐστὶ ιβ'. Τὸ α' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β' ὅμοιον τῷ ζ' τῆς στροφῆς. Τὸ γ' ὅμοιον τῷ α' τῆς ἐπῳδοῦ. Τὸ δ' ὅμοιον τῷ β'. τὸ δὲ χαλκέοις [5]) ἀντὶ τοῦ χαλκοῖς κατὰ συνίζησιν. Τὸ ε' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ς' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' ἐγκωμιολογικόν. Τὸ η' Εὐριπίδειον. Τὸ θ' ἀναπαιστικὸν Ἀριστοφάνειον ἥμισυ ἀκροτελεύτου. [6]) .....

Ἐν Ἄργει τελεῖται τῇ Ἥρᾳ ἀγὼν ἱερὸς Ἑκατόμβαια, ὃν καὶ Ἥραια καλοῦσιν· ἐν γὰρ τῇ τοῦ ἀγῶνος πανηγύρει ἑκατὸν βοῦς θύουσι τῇ Ἥρᾳ. ὁ δὲ Δαναὸς Βήλου παῖς ὢν τοῦ Ἄργους ἐβασίλευσεν, ὁ δὲ Αἴγυπτος τῆς ὁμωνύμου χώρας, ὁ δὲ Ἀγήνωρ τῆς Φοινίκης.

1. Δαναοῦ πόλιν ἀγλαοθρόνων τε] ἔνιοί φασιν εἰς πλείους νίκας τὸν ἐπίνικον τετάχθαι· λαβεῖν γὰρ αὐτὸν καὶ Ἴσθμια καὶ Πύθια καὶ Νέμεα. περὶ δὲ τῶν Ὀλυμπίων εὔχεται, ὅτε φησί· [7]) Ζεῦ πάτερ, τῶν γε μὰν ἔραται. ὁ δὲ Πίνδαρος ὅτε βούλοιτο ἐπαινεῖν τοὺς πατρίδας τῶν νενικηκότων, ἀθροίζειν εἴωθε τὰ πεπραγμένα ταῖς πόλεσι περιφανῆ, καθὼς ἐν τῇ ᾠδῇ, ἧς ἡ ἀρχή· Ἰσμηνὸν ἢ χρυσαλάκατον [8]) Μελίανι· ὁ δὲ λόγος· ὑμνεῖτε, ὦ Χάριτες, τὴν τοῦ Δαναοῦ πόλιν καὶ τὰς πεντήκοντα αὐτοῦ θυγατέρας. § ὁ δὲ νοῦς ὅλος· τὴν τοῦ Δαναοῦ πόλιν καὶ τῶν πεντήκοντα θυγατέρων αὐτοῦ, φημὶ δὲ τὸ Ἄργος, ἥτις πόλις Ἀργείων οἰκητήριον θειοδέστατόν ἐστι τῆς Ἥρας, ὑμνήσατε, ὦ Χάριτες. εὖ δὲ παρὰ τὸ Ὁμηρικόν· [9])

Ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόλεες,
Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη.

καὶ Καλλίμαχος· [10])

Τοῖς μὲν ἀρισκυδὴς εὖνις ἀνῆκε Διός
Ἄργος ἔχειν, ἴδιόν περ ἐὸν λάχος· ἀλλὰ γενέθλῃ
Ζηνὸς ὅπως σκοτίῃ τρηχὺς ἄεθλος ἔοι.

τὸ δὲ φλέγεται ἀντὶ τοῦ λάμπεται καὶ δοξάζεται· ἐκλάμπει χάριν τῶν ἀρετῶν ὧν ἔσχεν.

1) Rom. μιᾷ, ἡ περίοδος ἐν ἀρχῇ. 2) Epitritus nusquam est. 3) Hic quoque fuit ἐδασάμην. 4) Vs. 11. vulg. 5) Vs. 26. vulg. 6) Sic Rom. Quae perierunt, in Brubachiana, et paullo aliter in Beckii et Heynii editionibus suppleta sunt. Sed omisi, quia nihil eorum, quae in Brubachiana metricis scholiis passim addita sunt, e libris fluxit. 7) Vs. 33. vulg. 8) Rom. χρυσιλάκατον. 9) Iliad. δ, 51. Rom. τρεῖς μέν, ut dedi. 10) Fragm. 108. Romana ταὶ μὲν ἀρισκύδης, et Ἄργος ἔθειν.

Digitized by Google

6. Μακρὰ μὲν τὰ Περσέως] ἀπὸ Περσέως ἄρχεται· Ἀργεῖος γὰρ οὗτος· μακρὰ οὖν, φησὶ, τὰ διηγήματα τὰ περὶ Περσέως, ἃ ἔπραξε κατὰ τὴν Γοργόνα. μακρὰ δὲ αὐτὰ εἶπεν, ἤτοι ὅτι πολλά ἐστι τὰ λεγόμενα, οἷον ἀπὸ πολλοῦ χρόνου μήκους δεῖται εἰς ἡμᾶς, ἢ μακρὰ οἷον ὑψηλὰ καὶ ἔνδοξα· ἢ καὶ τρίτον μακρά ἐστι τὰ διηγήματα, ἐὰν ἄρξωμαι εἰπεῖν τὰ περὶ Περσέως. μακρὰ τοίνυν ἂν εἴη λέγειν καὶ διηγεῖσθαι τὰ Περσέως καὶ Μεδούσης τῆς Γοργόνος. καὶ ῥητορικῶς δὲ τοῦτο ποιεῖ· δοκῶν παραιτεῖσθαι τὸ λέγειν καθ' ἕκαστα τῶν Ἀργείων ἀνδραγαθήματα, λεληθότως καταριθμεῖται αὐτά. ἔστι δὲ ἡ ἱστορία αὕτη. Μέδουσα, μία δὲ τῶν Γοργόνων αὕτη, ἤριστέ ποτε διὰ κάλλους τῇ Ἀθηνᾷ, ἡ δὲ πρὸς τὴν πρόκλησιν ἀγανακτήσασα πείθει Περσέα εἰς τὸν Ὠκεανὸν διαβῆναι, παρασχοῦσα αὐτῷ καὶ τὴν Ἅιδος κυνέην· εἴη δ' ἂν ἡ ἀορασία· καὶ ἀποτεμεῖν τῆς Γοργόνος τὴν κεφαλήν. ὁ δὲ τῷ αὐτοῦ τάχει θαῤῥῶν καὶ τῇ τῆς Ἀθηνᾶς συμπραξίᾳ ἐπὶ τὸν ἆθλον στέλλεται, καὶ κατειληφὼς τὰς Γοργόνας καὶ ἰδὼν διαδούσας ἀλλήλαις τὸν ὀφθαλμὸν, ἑνὶ γὰρ αἱ πᾶσαι ἐχρῶντο, ἁρμοζόμενον τὸ διδόμενον πρὸς τὸ ἐγχείρημα σκοπήσας ἀποτέμνει τῆς Μεδούσης τὴν κεφαλὴν καὶ δίδωσι τῇ Ἀθηνᾷ· ἡ δὲ δεξαμένη ἐνέθηκε τῷ ἑαυτῆς στήθει, ὅπως ἂν ἐν τῇ παραθέσει ἡ τοῦ κάλλους εἴη διάκρισις. ἐδυνήθη δὲ καὶ τῇ τῆς Γοργόνος κεφαλῇ τὴν Ἀνδρομέδαν τοῦ κήτους ἀπολύσασθαι· δείξας γὰρ τῷ κήτει τὴν Γοργόνα καὶ ἀπολιθώσας αὐτὸ ἀπέλυσε τῆς βορᾶς τὴν παρθένον. οἱ γὰρ ὁρῶντες τὴν κεφαλὴν τῆς Γοργόνος ἀπελιθοῦντο.

8. Πολλὰ δ' Αἰγύπτῳ κατῴκισθεν ἄστη] πολλὰ δ' ἂν εἴη λέγειν, ὅπως ἐν τῇ Αἰγύπτῳ κατῳκίσθησαν πόλεις ὑπὸ τῶν τοῦ Ἐπάφου χειρῶν. Ἔπαφος δὲ Διὸς καὶ Ἰοῦς, Ἰὼ δὲ Ἰνάχου τοῦ ἐν Ἄργει ποταμοῦ καὶ νύμφης· οὗτος οὖν ὁ Ἔπαφος ἐβασίλευσεν Αἰγύπτου, Ἀργεῖος ὢν ἀπὸ μητρός.

10. Οὐδ' Ὑπερμνήστρα παρεπλάγχθη] τί δ' ἄν τις φήσειε περὶ τῆς Ὑπερμνήστρας; ἥτις οὐκ ἐσφάλη φεισαμένη τοῦ αὐτῆς ξίφους καὶ μὴ ἀνελοῦσα τὸν Λυγκέα. παρεπλάγχθη δὲ, ἀντὶ τοῦ τοῦ δέοντος ἀπεπλανήθη λογισμοῦ. § Ἄλλως. καὶ τοῦτο εἰς ἔπαινόν φησι. τῶν γὰρ ἄλλων Δαναΐδων κοινῇ γνώμῃ ἐπιθεμένων τοῖς Αἰγυπτιάδαις, μόνη ἡ Ὑπερμνήστρα, ἐπεὶ διεφύλαξεν αὐτὴν ἁγνὴν καὶ παρθένον ὁ Λυγκεὺς, οὐκ ἐφαίνετο ἰσόψηφος ταῖς ἀδελφαῖς, ἀλλὰ μονόψηφος ἐγίνετο, ψῆφον ἤνεγκε μόνη καθ' ἑαυτὴν, ἀπολυτικήν τινα ταύτην, ἐν κολεῷ κατασχοῦσα τὸ ξίφος· τουτέστι μόνη παρὰ τὰς ἄλλας Δαναΐδας, ἰδίᾳ ψήφῳ χρησαμένη, οὐκ ἔσπασε κατὰ τοῦ Λυγκέως τὸ ξίφος.

12. Διομήδεα δ' ἄμβροτον] καὶ οὗτος Ἀργεῖος, ὃς δι' ἀρετὴν ἀπηθανατίσθη· καὶ ἔστι περὶ τὸν Ἀδρίαν Διομήδεια νῆσος ἱερὰ, ἐν ᾗ τιμᾶται ὡς θεός. καὶ Ἴβυκος οὕτω·[1]) . . . . . τὴν Ἑρμιόνην γήμας ὁ Διομήδης ἀπηθανατίσθη σὺν τοῖς Διοσκούροις· καὶ γὰρ συνδιαιτᾶται αὐτοῖς. καὶ Πολέμων ἱστορεῖ· Ἐν μὲν γὰρ Ἀργυρίπποις ἅγιόν ἐστιν αὐτοῦ ἱερόν· καὶ ἐν Μεταποντίῳ δὲ διὰ πολλῆς αὐτὸν αἵρεσθαι τιμῆς ὡς θεὸν, καὶ ἐν Θουρίοις εἰκόνας αὐτοῦ καθιδρύσθαι ὡς θεοῦ. § Ἄλλως. οὐχὶ δὲ καὶ τὸν Διομήδην ἡ Ἀθηνᾶ θεὸν ἐποίησε; κατὰ γὰρ τὸν Θηβαϊκὸν πόλεμον Μελάνιππος, ἦν δὲ οὗτος ἥρως Θηβαῖος, ἔτρωσε τὸν Τυδέα· ὁ δὲ πρὸς τὴν πληγὴν θυμήνας καθικέτευσε τὸν Ἀμφιάραον, ἀνελεῖν τὸν Μελάνιππον καὶ προσαγαγεῖν αὐτοῦ τὴν κεφαλήν. προσαχθεί-

1) Sequentia Ibyci non esse sponte liquet. Itaque signa lacunae apposui.

Digitized by Google

σης δὲ αὐτῷ τῆς κεφαλῆς καὶ τῆς ὀργῆς νικησάσης τὸν δέοντα λογισμὸν, ἀπεγεύσατο τῶν Μελανιππείων κρεῶν, ὡς καὶ Εὐριπίδης ἐν τῷ Μελεάγρῳ φησίν· [1])

Εἰς ἀνδροβρῶτας ἡδονὰς ἀφίξεται
Κάρηνα Τυδεὺς γένυσι Μελανίππου σπάσας.

τετρωμένῳ οὖν τῷ Τυδεῖ ἡ Ἀθηνᾶ τὴν ἀθανασίαν παρήγαγε, καὶ οὐκ ἀπήλαυσε τῆς δωρεᾶς ἔτι διὰ τὴν τῶν ἀνθρωπείων κρεῶν βρῶσιν· εἶτα ὡς αὐτὸς οὐκ ἠδυνήθη τῆς ἀθανασίας τυχεῖν, ἠξίωσε τὴν θεὸν ἐπὶ τὸν Διομήδην τὸ δῶρον μεταθεῖναι. τιμᾶται γοῦν καὶ παρὰ Θουρίοις καὶ Μεταποντίοις ὡς θεὸς Διομήδης, καὶ οὐκ ἔστι παρὰ τοῖς ἱστορικοῖς εὑρέσθαι αὐτοῦ τὸν θάνατον.

14. Γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο] καὶ ὁ Ἀμφιάραος Ἀργεῖος. Θηβαῖοι οὖν οὐκ ἔχουσιν ὡς θεὸν τὸν Οἰκλέος παῖδα Ἀμφιάραον, σχισθείσης ὑπὸ κεραυνοῦ τῆς γῆς καὶ δεξαμένης αὐτόν; ὁ γὰρ Ζεὺς εἰς τιμὴν αὐτοῦ σχίσας τὴν γῆν τῷ κεραυνῷ καταχθῆναι ἐποίησεν αὐτὸν σὺν τῷ ἅρματι, καὶ ἐποίησεν αὐτὸν ἀθάνατον· ἀφ' οὗ δὴ μέχρι νῦν τὸ τοῦ Ἀμφιαράου μαντεῖον ἐνδοξότατον τῶν ἐπὶ τῆς Ἑλλάδος. ἀμφίβολον δὲ πότερον τὸν Ἀμφιάραον ἐδέξατο ἡ γῆ πολέμου ὄντα νέφος, ἢ ὅτε τὸ τοῦ πολέμου νέφος τοῖς Ἀργείοις ἐπῆλθε τὸ ἀπὸ Θηβῶν, τότε ὁ Ζεὺς κηδόμενος τοῦ Ἀμφιαράου ἐκέλευσεν αὐτὸν ὑπὸ τῆς γῆς δεχθῆναι καὶ εἶναι ἀθάνατον.

17. Καὶ γυναιξὶ καλλικόμοισι] προεξαριθμησάμενος τὰς τῶν Ἀργείων ἀρετάς φησι μὴ μόνον ἥρωσι διαπρέπειν αὐτοὺς, ἀλλὰ καὶ ἡρωΐσι γυναιξὶ διαπρέπειν πάλαι, ἀρχῆθεν. τίς ἀπόδειξις ὅτι καὶ γυναιξί; Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολών. τοῦτον κατέφηνε τὸν λόγον, ὅτι καὶ γυναιξὶν ἀριστεύει τὸ Ἄργος· οὐχ ἕτερος μάρτυς ἀλλ' ὁ Ζεὺς, ὃς καὶ πρὸς Ἀλκμήνην ἀφίκετο καὶ Δανάην Ἀργείας οὔσας.

21. Πατρί τ' Ἀδράστοιο Λυγκεῖ τε] οὐχὶ δὲ καὶ τῷ τοῦ Ἀδράστου πατρὶ Ταλαῷ καὶ τῷ Λυγκεῖ ἄριστον λογισμὸν παρέσχε καὶ μετὰ δικαιοσύνης συνήρμοσε; καρπὸς δὲ φρενῶν ὁ λογισμός. τίς δὲ συνήρμοσεν; ὁ Ζεύς. § ὁ δὲ νοῦς· καὶ ἐπὶ Ταλαῷ γοῦν καὶ Λυγκεῖ τὸν τῶν φρενῶν καρπὸν εὐθὺν ἐποίησεν, ὅ ἐστι δίκαιον αὐτῶν τὸν νοῦν ἐποίησεν ὁ Ζεύς. ἀπὸ Λυγκέως δὲ οἱ περὶ Περαία.

24. Ὁ δ' ὄλβῳ φέρτατος] κοινωσόμενος τῷ Ἀμφιτρύωνι τὴν γενεὰν ὁ Ζεὺς ἵκετ' ἐς ἐκείνου γενεάν. πῶς δὲ παρεγένετο συγγενέσθαι; ὁ μὲν γὰρ Ζεὺς τῇ προτέρᾳ ἡμέρᾳ ἐγέννησε τὸν Ἡρακλέα, ὁ δὲ Ἀμφιτρύων τῇ ἑξῆς τὸν Ἰφικλέα, καὶ ἐμίχθη τὰ γένη ἀμφοτέρων. καὶ οὕτως εἰς τὸν οἶκον ἐλθὼν τῆς Ἀλκμήνης ἐπλησίασεν αὐτῇ καὶ τὸν Ἡρακλέα ἔσπειρεν. ἆθλον γὰρ ἡ Ἀλκμήνη τὸν ἑαυτῆς γάμον προὔθηκε τῷ τοὺς Τηλεβόας καταπολεμήσαντι· ἔπραττε τοῦτο ὁ Ἀμφιτρύων, καὶ ἐκείνου πρὸς πόλεμον ἀσχολουμένου ὁ Ζεὺς ἀφομοιωθεὶς συνῆλθεν αὐτῇ. ἀδείμαντον δὲ ἔφη τὸ σπέρμα, ὃ ἔμελλεν εἰς τὴν τοῦ Ἡρακλέος γένεσιν καταβαλεῖν ὁ Ζεὺς, ὅ ἐστιν ἄφοβον· ὁ γὰρ ἐξ αὐτοῦ γεννηθεὶς ἦν ἄφοβος Ἡρακλῆς.

31. Οὐ κατ' Ὄλυμπον ἄλοχος] οὗτινος Ἡρακλέος ἡ γαμετὴ κατὰ τὸν Ὄλυμπον Ἥβη παρὰ τῇ τελείᾳ ἑαυτῆς μητρὶ προϊοῦσα πορεύεται τῶν θεῶν ἐκπρεπεστάτη. λέγει δὲ μητέρα τελείαν τὴν Ἥραν. καὶ Αἰσχύλος· [2])

1) Fragm. 18. Rom. ἀνδροβώπους, et κάρ. Περσεύς; de quibus lectionibus v. intt. Eurip.
2) Fragm. p. 649.

Digitized by Google

Ἥρα τελεία, Ζηνὸς εὔναια δάμαρ.
ἔστι γὰρ αὐτὴ γαμηλία καὶ ζυγία. ἔστι δὲ ὁ γάμος τέλος [1]) διὰ τὸ τελειότητα βίου κατασκευάζειν.

35. Βραχύ μοι στόμα πάντ' ἀναγήσασθαι] ἥττηταί μοι, φησὶ, τῶν Ἀργείων ἀνδραγαθημάτων ὁ λόγος, καὶ ἀδυνάτως ἔχει πάντα διηγήσασθαι τὰ τοῦ Ἄργους καλά. διατί δὲ εἰς ταῦτα παρεκβέβηκεν; ὅτι ὁ ἀγὼν, ὃν ἐνίκα ὁ Θειαῖος, τὰ Ἑκατόμβαια, οὐκ ἦν ἐπίσημος οὐδ' ἐκτροπὰς ἔχων. ἵν' οὖν ἔχοι [2]) μῆκος περιποιῆσαι τῇ ᾠδῇ, ἐπὶ τὴν κοινότητα τῶν ἐπαίνων τῆς πατρίδος αὐτοῦ κατήντησεν.

37. Ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι] ἔστι μὲν γὰρ ὁ τῶν ἀνθρώπων φθόνος βαρὺς πρὸς ἐναντίωσιν· οὐχ ἡδέως γὰρ ἀκούουσιν ἀλλοτρίων θαυμάτων οἱ ἄνθρωποι, ἀλλ' εὐθὺς κόρον ἴσχουσι τῶν ἐπαίνων διὰ βασκανίαν. § Ἄλλως. ὁ κόρος βαρύς ἐστιν ὁ ἀπὸ τῶν ἀνθρώπων ἀντιάσαι καὶ συναντῆσαι, τουτέστιν ἀντίος γενηθεὶς ὁ κόρος τῶν ἀνθρώπων βαρύς ἐστι καὶ δυςβάστακτος· διὸ τὸν ὕμνον τῶν Ἀργείων καταλείψας τὸν κόρον φεύξομαι, ὅ ἐστι τὸν φθόνον.

39. Ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν] πρὸς ἑαυτόν φησι ταῦτα ὁ Πίνδαρος· ὅμως μέντοι τὴν εὐάρμοστον λύραν λάμβανε καὶ τὴν φροντίδα τῶν παλαισμάτων δέξαι, τουτέστιν ἐπαίνει τὸν παλαιστήν. χάλκεον δέ φησι τὸν ἀγῶνα, τουτέστιν ἰσχυρὸν, ἢ ὅτι χαλκοῦν ὅπλον τὸ ἔπαθλον. ὁ τοίνυν ἀγὼν ὁ στερρότατος τὸν δῆμον παρορμᾷ εἰς τὴν τῆς θεοῦ θυσίαν, εἴς τε τὴν τῶν ἄθλων κρίσιν τὸν δῆμον ὁ τοῦ Οὐλίου παῖς Θειαῖος παρορμᾷ. τὸ παρορμᾷ δὲ ἀπὸ κοινοῦ. δὶς δὲ αὐτόν φησι νενικηκέναι τὰ Ἑκατόμβαια καὶ ἐσχηκέναι εὐφόρων λήθην πόνων. ἐπιλανθάνονται γὰρ οἱ ἄνθρωποι τῶν κατὰ τὴν ἄθλησιν πόνων, ὅταν νικήσωσι. γράφεται δὲ καὶ εὐφρόνων· εὐφόρων μὲν, ἐπεὶ εὔφοροί εἰσιν οἱ τοιοῦτοι πόνοι τῷ ἄριστα ἆθλα ἐνηνοχέναι· εὐφρόνων δὲ, τῶν εὐφραντικῶν.

46. Ἐκράτησε δὲ καὶ ποθ' Ἕλλανα στρατὸν Πυθῶνι τύχᾳ] τὸ πλῆθος στρατὸν εἶπεν, ὡς καὶ Πύθια νενικηκότος αὐτοῦ καὶ Ἴσθμια καὶ Νέμεα. § ἢ οὕτω· παραγέγονε δὲ καὶ ἐκράτησε πάντων τῶν ἀνταγωνιστῶν ἐν τοῖς Πυθίοις. § ὁ δὲ νοῦς· σὺν εὐτυχίᾳ δὲ παραγενόμενος ἐκράτησε πάλιν καὶ τοὺς ἐν Ἰσθμῷ καὶ Νεμέᾳ στεφάνους.

49. Μοίσαισί τ' ἔδωκ' ἀρόσαι] τουτέστι ταῖς Μούσαις ἔδωκεν ἀρόσαι καὶ σπεῖραι τοὺς στεφάνους διὰ τὸν ὕμνον· ἢ ὡς ἑτέρων ποιησάντων καὶ ὑμνησάντων αὐτὸν ἐπὶ ταῖς νίκαις ἐκείναις τοῦτό φησιν. § ὁ δὲ νοῦς· καὶ παρέσχε πρόφασιν ταῖς Μούσαις· τρίτον μὲν γὰρ κληρωθεὶς ἐνίκησε τὰ Ἴσθμια· πόντου γὰρ πύλας εἶπε τὸν Ἰσθμὸν διὰ τὸ στενόν· τρὶς δὲ τὰ Νέμεα κατὰ τὴν Ἀδράστου διοίκησιν καὶ νομοθέτησιν τελούμενα. οἱ γὰρ ἑπτὰ ἐπὶ Θήβαις ἀνενεώσαντο τὰ Νέμεα, ὧν εἷς Ἄδραστος. ἐπεὶ οὖν καὶ αὐτὸς τῶν ἐν Ἄργει ἐπιφανῶν, διὰ τοῦτο Ἀδραστείῳ νόμῳ φησὶ, χαριζόμενος καὶ διὰ τούτου πλέον τι τοῖς Ἀργείοις. σεμνοῖς δὲ δαπέδοις, τοῖς Νεμείοις φησὶν ὁ Δίδυμος· πλησίον γάρ ἐστι Σικυῶνος. Ὅμηρος· [3]) Ἔνθ' Ἄδρηστος πρῶτ' ἐμβασίλευσεν. ἐτίθετο δὲ πάλαι ἐν τῇ Σικυῶνι τὰ Νέμεα· οὐ γὰρ ἂν σημαίνοι τὰ Πύθια τὰ ἐν Σικυῶνι ἀγόμενα· οὐ γάρ ἐστιν ἐκεῖνος περιοδικὸς ὁ στέφανος, ἀλλ' ὁ τῶν Νεμέων· βούλεται δὲ

1) Vulgo τέλειος. Emendavit Hemsterhusius ap. Ruhnk. ad Tim. p. 225. 2) Vulgo ἔχῃ.
3) Iliad. β, 572.

Digitized by Google

νῦν τοὺς περιοδικοὺς εἰπεῖν. τολοιπὸν γὰρ ἐπιφέρει τὸν Ὀλυμπιόνικον, εὐχόμενος τελειωθῆναι ὑπ' αὐτοῦ τὴν περίοδον.

53. Ζεῦ πάτερ, τῶν μὲν ἔραται] διὰ τούτων φανερὸν ὅτι περὶ τῶν Ὀλυμπίων λέγει, φάμενος αὐτὸν ἐπιθυμεῖν καὶ τοῦτον τὸν στέφανον λαβεῖν, ἵν' ἐκπληρώσῃ τὴν περίοδον, σιγᾶν δὲ καὶ ἐπιτρέπειν τῷ θεῷ. διὰ δὲ τοῦ Παραιτεῖται χάριν ὑπακουστέον, ὅτι παρὰ σοῦ αἰτεῖται τὴν χάριν, ἀλλὰ καὶ τολμῶν καὶ μοχθῶν τι πράττειν τῶν πρὸς τὸ ἔργον συντεινόντων. § ὁ δὲ νοῦς· ὧν γε μὴν ἐπιθυμεῖ τυχεῖν, ἐν τῇ διανοίᾳ κρύπτει σιωπῶν [1]) διὰ τὸ νεμεσητόν. βούλεται δὲ λέγειν τὰ Ὀλύμπια· διὸ καὶ τῷ Διῒ εὔχεται. ἐὰν οὖν, φησί, σὺ θέλῃς, καὶ τὰ Ὀλύμπια ἕξει· παντὸς γὰρ πράγματος τέλος ἐν σοί ἐστιν, ὦ Ζεῦ.

55. Οὐδ' ἀμόχθῳ καρδίᾳ] οὐ χωρὶς μόχθων αἰτεῖται τὰ Ὀλύμπια, ἵνα ἀμόχθως αὐτὰ λάβῃ, ἀλλὰ μοχθήσας καὶ πονήσας καὶ παλαίων παραιτεῖται τὴν χάριν. οὐ συνήθως δὲ τὸ παραιτεῖται ἀντὶ τοῦ αἰτεῖται· ὅ ἐστιν ἐπικέκληται. ἐπιφέρει γάρ· παρὰ σοῦ αἰτεῖται τὴν χάριν ταύτην καὶ τὴν δωρεὰν, ὦ Ζεῦ, τὰ Ὀλύμπια νικῆσαι.

57. Γνώτ' ἀείδω θεῷ τε] εὔγνωστα δὲ λέγω αὐτῷ τῷ θεῷ καὶ τῷ Θειαίῳ, ὅστις Θειαῖος ἁμιλλᾶται καὶ σπουδάζει περὶ τῆς κορυφῆς τῶν ἐσχάτων ἄθλων. ἐσχάτων δὲ, τῶν τὸ τέλειον ἐχόντων τῆς δόξης. § ἢ οὕτω· φανερὰ δὲ λέγω τῷ τε Διῒ καὶ τῷ βουλομένῳ παντὶ ἁμιλλᾶσθαι καὶ σπουδάζειν περὶ τῆς κορυφῆς τῶν τελευταίων ἄθλων. ἄθλων δὲ κορυφὴ καὶ τέλος τὰ Ὀλύμπια. εἰκότως δέ φησιν· ἐπιθυμεῖ τῶν Ὀλυμπίων· τὸν γὰρ ἐνδοξότατον καὶ ὑπερέχοντα θεσμὸν ἔσχεν ἀπὸ τοῦ Ἡρακλέος τὰ Ὀλύμπια. § ἢ οὕτως· ἐπεὶ προεῖπεν αἰνιγματωδῶς, ὅτι οὐ δύναμαι εἰπεῖν τίνων ἐρᾷ, ἢν δὲ τῶν Ὀλυμπίων, ἐπεῖπε· ταῦτα γνωστὰ λέγω καὶ σοὶ, ὦ Ζεῦ, καὶ σοὶ τῷ ἐπιθυμοῦντι ἁμιλλήσεσθαι περὶ τούτων τῶν ἄθλων, οἵ εἰσι κορυφαὶ ἐσχάται τῶν ἄθλων. καὶ γὰρ τὸ πρῶτον ἔσχατόν ποτε δύναται γενέσθαι, καὶ τὸ ἔσχατον πρῶτον. κέχρηται καὶ Σοφοκλῆς τῷ ἐσχάτῳ ἀντὶ τοῦ πρώτου· [2])

Ἤδη γὰρ ἕδρα Ζεὺς, φησὶν, ἐν ἐσχάτῳ θεῶν,

ἀντὶ τοῦ ἐν πρώτῳ.

61. Ἀδεῖαί γε μὲν ἀμβολάδαν] ὡς δὶς αὐτοῦ νενικηκότος τὰ Παναθήναια ταῦτά φησιν· ὀμφαὶ οὖν ἡδεῖαι τῶν Ἀθηναίων ἐκώμασαν αὐτὸν ἀμβολάδαν, τουτέστιν ἀνατεταμένως τῇ φωνῇ καὶ λαμπρῶς· ἢ ἀμβολάδην ἀνακρουόμεναι, [3]) καθὸ προαναβολὰς λέγουσι τὰ πρὸ τοῦ προοιμίου. δὶς οὖν ὑμνήθη καὶ ἐκωμάσθη, φησὶν, ᾀδόντων καὶ ὑμνούντων αὐτοῦ τὴν νίκην τῶν Ἀθηναίων ἐν ταῖς τελεταῖς. ἔστι δὲ καὶ οὕτω προενέγκασθαι τὸ Ἀδείᾳ ἐν τελετᾷ· ἐν ἡδείᾳ τελετῇ ἐκώμασαν αὐτὸν αἱ τῶν Ἀθηναίων ὀμφαὶ δίς. τινὲς δὲ τὸ ἀμβολάδην οὕτως ἀκούουσιν· ὅστις δὶς μὲν ἐνίκησε τὰ Παναθήναια, οὐκ ἐφεξῆς δὲ, ἀλλὰ ἀναβολάδην, τουτέστιν ἀναβολῆς τινος γενομένης μεταξύ.

64. Γαίᾳ δὲ καυθείσα πυρὶ καρπὸς ἐλαίας ἔμολε] γαῖαν δὲ κεκαυμένην εἶπε τὴν ὑδρίαν, ἐν ᾗ τὸ ἔλαιον· ὀπτᾶται γὰρ ὁ κέραμος. διὰ δὲ τούτου σημαίνει τοὺς τὰ Παναθήναια νενικηκότας· τίθενται γὰρ ἐν Ἀθήναις ἐν ἐπάθλου τάξει ὑδρίαι πλήρεις ἐλαίου. διὸ καὶ Καλλίμαχος· [4])

1) Rom. σιωπῶ: Heynius σιωπᾷ. 2) Fragm. inc. 82. Corrigitur ἔχει γὰρ ἕδραν. 3) Vulgo ἀνακρουόμενοι. 4) Fragm. 122. Rom. τέγος.

Digitized by Google

Καὶ παρ' Ἀθηναίοις γὰρ ἐπὶ στέγος ἱερὸν ἦνται
Κάλπιδες, οὐ κόσμου σύμβολον, ἀλλὰ πάλης.

γῇ οὖν διὰ πυρὸς καυθείσῃ ὁ καρπὸς τῆς ἐλαίας ἔμολε, τὸ ἔλαιον. § Ἥρας δὲ εὐάτορα λαὸν τὸ Ἄργος· ὁ γὰρ Θειαῖος Ἀργεῖος. οὐκ ἔστι δὲ ἐξαγωγὴ ἐλαίου ἐξ Ἀθηνῶν, εἰ μὴ τοῖς νικῶσι. [1]) φησὶν οὖν τὴν ὑδρίαν πλήρη ἐλαίου κεκομικέναι ἐξ Ἀθηνῶν εἰς Ἄργος τὸν Θειαῖον νικήσαντα. τοῖς γὰρ ἀθληταῖς τοῖς τὰ Παναθήναια νενικηκόσι δίδοται ὑδρία ἐλαίου πλήρης.

67. Ἐν ἀγγέων ἔρκεσι παμποικίλοις] ἐν πεποικιλμένοις ἀγγείοις· ἐζωγράφηντο γὰρ αἱ ὑδρίαι. § Ἄλλως. ἐν ἀμφιφορεῦσι χαλκοῖς ἔλαιον [2]) ἐτιμῶντο οἱ ἀγωνιζόμενοι Ἀθήνησι τὰ Παναθήναια, ἐπεὶ τὴν ἐλαίαν εὗρεν ἡ θεός. τὰ δὲ χαλκᾶ ταῦτα ἄγγη ἐκ γῆς καιομένης γίνεται· ἡ οὖν γῆ καιομένη δίδωσι τὸν χαλκὸν, ἐκ δὲ τοῦ χαλκοῦ γίνεται τὰ ἀγγεῖα, ἐν οἷς βάλλεται τὸ ἔλαιον. ταύτην οὖν φησι τὴν διάνοιαν. τούτοις γὰρ ἐτιμῶντο.

69. Ἕπεται δὲ, Θειαῖε] ἐπακολουθεῖ δὲ, φησὶ, κατὰ τὸ πολύγνωτον ὑμῶν γένος τὸ ἀπὸ τῆς μητρὸς, μήτρωες γὰρ οἱ τῆς μητρὸς πρόγονοι, εὐάγων τιμὴ, τουτέστιν ἡ ἐπὶ τοῖς ἀγῶσι τοῖς εὖ καὶ καλῶς ἀγωνισθεῖσι [3]) τιμὴ σὺν Χάρισι καὶ Τυνδαρίδαις. τὴν δὲ αἰτίαν διὰ τῶν ἑξῆς ἀποδίδωσιν.

73. Ἀξιωθείην κεν] ἐγὼ, φησὶ, καταξιωθείην τῶν περὶ Θράσυκλον καὶ Ἀντίαν [4]) συγγενὴς ὢν ἐν τῷ Ἄργει διάγειν καὶ ζῆν, ἔνθα οὐκ ἂν ἀπαῤῥησίαστος διετέλεσα οὐδὲ κάτω βλέπων καὶ κρύπτων ἐμαυτοῦ τὸ ἐλεύθερον. οἱ γὰρ νικῶντες μετὰ παῤῥησίας ἄνω βλέποντες βαδίζουσιν, οἱ δὲ ἡττημένοι οὐχ οὕτως. § Ἄλλως. τοῦτο εἶπεν ὡς ἐκ τοῦ Θειαίου προσώπου, ὡς αὐτοῦ περὶ ἑαυτοῦ διαλεγομένου· τοῦ γὰρ Θρασύκλου καὶ τοῦ Ἀντίου συγγενὴς ὢν ἐν τῷ Ἄργει οὐ κρύψω τὸ φῶς τῶν ὀμμάτων, τουτέστιν οὐκ ἀπαῤῥησιάστως ὄψομαι, ὡς οὐ νενικηκώς, ἀλλὰ μετὰ παῤῥησίας· νενίκηκα γάρ· ἄξιος οὖν ἂν εἴην μὴ κρύπτειν τὸ τῶν ὀμμάτων φάος μηδὲ κατηφὴς εἶναι, Ἀντία τ' ὢν καὶ Θρασύκλου σύγγονος. [5])

76. Νικαφορίαις γὰρ ὅσαις ἱπποτρόφον] πόσαις γὰρ ἱπποτροφίαις, φησὶν, αὕτη ἡ πόλις οὐκ ἔθαλεν ἡ τοῦ Προίτου, τοῦτο μὲν ἐν τῷ Κορινθίῳ Ἰσθμῷ, τοῦτο δὲ ἐν τῇ Νεμέᾳ τετράκις νικήσασα· ἀπὸ Σικυῶνος δὲ καὶ τῶν ἐκεῖσε Πυθίων ἀργυραῖς φιάλαις τιμηθέντες ἀνεχώρησαν ἐπὶ τὸ Ἄργος οἱ πρόγονοι τοῦ Θειαίου.

82. Ἐκ δὲ Πελλάνας] ἀντὶ τοῦ καὶ ἐν Πελλήνῃ ἐνίκησε. τίθεται δὲ παχέα ἱμάτια ἐν Πελλήνῃ ἄγναφα· δυσχείμεροι δὲ οἱ τόποι. περιφραστικῶς δὲ τὴν χλανίδα μαλακὴν κρόκην εἶπε· καὶ ἑτέρωθι· [6]) Ψυχρᾶν ὁπότε εὐδιανὸν φάρμακον αὐρᾶν Πελλάνα παρέχει. ὁ δὲ ἀγὼν Διός· καλεῖται δὲ Δίϊα. § ἢ οὕτως· ἐκ τῆς Πελλήνης δὲ τὰ Θεοξένια νικῶντες χλανίσιν ἐπιτηδειοτάταις κοσμηθέντες, ἀπὸ κοινοῦ τὸ ἀνεχώρησαν. λέγεται δὲ, ὅτι καὶ ἐξωμίδας ἐτιμῶντο.

84. Ἀλλὰ χαλκόν] τὸ δὲ τοῦ χαλκοῦ πλῆθος οὐ δυνατὸν εἰπεῖν ἁπλῶς· μακρο-

1) Non credo. Vide quae dixi Oecon. Athen. T. I, p. 45. 2) Nota τιμᾶσθαι ἔπαθλον, ut ad vs. 82. et 84. 3) Vulgo: τοῖς εὖ ἀγωνισθεῖσιν, ἢ εὖ καὶ καλῶς. Εὖ κ. καλ. varia lectio est illius εὖ, quam recepi. 4) Rom. Ἄντιον. 5) Sic Rom. 6) Olymp. IX, 146. vulg.

Digitized by Google

τέρας γὰρ, οἶμαι, δεῖται σχολῆς. λέβητα γὰρ ἐτιμῶντο ἐν πολλοῖς τῶν ἀγώνων καὶ ἀσπίδας χαλκᾶς.

87. Ὅντε Κλείτωρ] ὄντινα χαλκὸν αἱ περὶ Κλείτορα καὶ Τεγέαν πόλεις Ἀργολικαὶ ἆθλον ἔθηκαν, ὃν καὶ τὸ Λύκαιον ἔθηκε χαλκὸν παρὰ τῷ τοῦ Διὸς βωμῷ τοῖς δυναμένοις νικῆσαι σὺν ποδῶν δρόμῳ καὶ χειρῶν σθένει, πάλῃ καὶ παγκρατίῳ καὶ πυγμῇ.

91. Κάστορος δ' ἐλθόντος] τοῦ δὲ Κάστορος ξενωθέντος παρὰ τῷ Παμφάῃ τῷ προγόνῳ σου, ὦ Θειαῖε, σὺν τῷ ἀδελφῷ Πολυδεύκει, θαυμαστὸν οὐδὲν ἀγαθοὺς καὶ θαυμασίους γεγενῆσθαι τοὺς προγόνους σου ἀγωνιστάς· ἐπόπται γάρ εἰσι τῶν ἀγώνων οὗτοι. διὰ τοῦτο γοῦν ἐν τοῖς ἐπάνω εἶπε [1]) Χαρίτεσαί τε καὶ σὺν Τυνδαρίδαις τὴν νίκην αὐτῶν ἐληλυθέναι τῷ γένει.

96. Ἐπεὶ εὐρυχώρου ταμίαι] ἐπεὶ οἱ τῆς εὐρυχώρου Σπάρτης ταμίαι καὶ δεσπόται Διόσκουροι σὺν τῷ Ἑρμῇ καὶ Ἡρακλεῖ τὴν τῶν ἀγώνων μοῖραν τῆς εὐωχίας διέπουσι καὶ διοικοῦσιν.

100. Μάλα μὲν ἀνδρῶν] πάνυ μὲν ὑμῶν τῶν ὄντων δικαιοτάτων ἀνδρῶν φροντίζοντες διὰ τὸ τῆς ξενίας δίκαιον, καὶ ἄλλως δὲ καὶ κατὰ φύσιν οἱ θεοὶ πιστοί τινες καὶ φιλάνθρωποι περὶ τοὺς εὐσεβοῦντας ὄντες. § ἢ οὕτως· ὅτι πίστιν σώζοντες πρὸς τὸν πρόγονόν φησι τὸν ὑποδεξάμενον αὐτοὺς, νίκην τούτῳ νῦν ἐδωρήσαντο. ἢ οὗτοι, φησὶ, περισσῶς κηδόμενοι τῶν δικαίων ἀνδρῶν. δοκοῦσι γὰρ ἐπιφαινόμενοι κατὰ τὸ πέλαγος σώζειν τοὺς δικαίους.

103. Μεταμειβόμενοι δ' ἐναλλάξ] μεταλαβόντες δ' αὐτοὶ οἱ Διόσκουροι καὶ ἐκ διαδοχῆς ἐναλλάσσοντες τὰς ἡμέρας, μίαν μὲν διάγουσιν ἐν τῷ οὐρανῷ ὡς θεοὶ, μίαν δὲ ἐν τοῖς ὑπογείοις τῆς Θεράπνης, ὁμοίαν καὶ ἴσην ἐκπληροῦντες τύχην. ἰστέον δὲ ὅτι περιπέπτωκε τοῖς ἐν τῇ Νεκυομαντείᾳ λεγομένοις περὶ τῶν Διοσκούρων· [2])

Ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε
Τεθνᾶσιν, τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι.

φησὶ γὰρ τοὺς Διοσκούρους μίαν μὲν ἡμέραν ὑπὲρ γῆς εἶναι, ἑτέραν δὲ ὑπὸ γῆν, ὥστε κατὰ μὲν τὸν διεσκευακότα παρ' Ὁμήρῳ παρ' ἡμέραν αὐτοὺς ἀποθνήσκειν, κατὰ δὲ Πίνδαρον μίαν μὲν ἡμέραν παρὰ τοῖς ἀθανάτοις διαιτᾶσθαι, μίαν δὲ ἡμέραν ὁρῶντας τὰ παρ' ἀνθρώποις σὺν αὐτοῖς εἶναι.

107. Ἐπεὶ τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι] ἐπειδὴ μᾶλλον τοῦτον εἵλετο τὸν αἰῶνα, φησὶ, Πολυδεύκης, τὸν ἀδελφὸν ἔχων μεθ' ἑαυτοῦ, ἐκ διαδοχῆς θεὸς γενέσθαι καὶ πάλιν ἄνθρωπος, ἤπερ μόνος ἐν οὐρανῷ θεὸς κατοικεῖν, Κάστορος τοῦ ἀδελφοῦ αὐτοῦ φθαρέντος ἐν πολέμῳ. αὐτοῦ γὰρ τρωθέντος καὶ μέλλοντος ἀπόλλυσθαι εἵλετο Πολυδεύκης ὁ τούτου ἀδελφὸς αὐτὸς ἀθάνατος ὢν μᾶλλον παρ' ἡμέραν ἄνθρωπος εἶναι ἅμα τῷ ἀδελφῷ, καὶ πάλιν θεὸς ἅμα τῷ ἀδελφῷ ἀπολουμένου αὐτοῦ· καὶ οὕτως ἐποίησαν οἱ θεοί.

112. Τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως] ἡ ἱστορία ἐστὶ τοιαύτη. Λυγκεὺς καὶ Ἴδας οἱ Ἀφαρέως παῖδες ἐμνηστεύσαντο τὰς Λευκίππου θυγατέρας Φοίβην καὶ Ἑλάειραν, κατὰ δὲ τὴν τῶν γάμων εὐωχίαν τοὺς Διοσκούρους εἰς ἑστίασιν ἐκάλεσαν· οἱ δὲ

[1]) Vs. 71. vulg. [2]) Odyss. λ, 302.

Digitized by Google

τὰς κόρας ἁφαρπάσαντες ἀπέφευγον, οἱ δὲ ἐπεδίωκον, καὶ συνίσταται τοῖς Ἀφαρητιάδαις καὶ τοῖς Διοσκούροις μάχη περὶ τῶν γάμων, καὶ ἀναιρεῖται Κάστωρ· εἶτα Πολυδεύκης ἀνεῖλεν ἀμφοτέρους, συμπράξαντος τοῦ Διὸς καὶ κεραυνὸν αὐτοῖς ἐπιπέμψαντος. ὁ δὲ Πίνδαρος οὐ διὰ τὰς νύμφας φησὶν αὐτοῖς γεγενῆσθαι τὴν στάσιν, ἀλλὰ διὰ βοῶν ἀπελασίαν. ψυχορραγοῦντος οὖν τοῦ Κάστορος Πολυδεύκης ὢν ἀθάνατος πρὸς τὸν ὄντα φθαρτὸν εἵλετο καταμερίσασθαι τὴν ἀθανασίαν τῇ τῆς φύσεως ἐκνικώμενος ἀνάγκῃ. οὕτως οὖν αὐτοὺς καὶ Ὅμηρος ἑτερημέρους καλεῖ. § ὁ δὲ νοῦς· τὸν Κάστορα γάρ, φησί, τῆς τῶν βοῶν ἀφαιρέσεως ἕνεκεν ὁ Ἴδας ὀργισθείς πως ὁ Ἀφαρέως παῖς ἔτρωσεν.

114. Ἀπὸ Ταϋγέτου] ὁ μὲν Ἀρίσταρχος ἀξιοῖ γράφειν ἥμενον, ἀκολούθως τῇ ἐν τοῖς Κυπρίοις λεγομένῃ ἱστορίᾳ· ὁ γὰρ τὰ Κύπρια συγγράψας φησὶ τὸν Κάστορα ἐν τῇ δρυῖ κρυφθέντα ὀφθῆναι ὑπὸ Λυγκέως· τῇ δὲ αὐτῇ γραφῇ καὶ Ἀπολλόδωρος [1]) κατηκολούθησε. πρὸς οὕς φησι Δίδυμος, ἀμφοτέρων ὑπὸ τῇ δρυῖ λοχώντων, τοῦ Κάστορος καὶ τοῦ Πολυδεύκους, μόνον ὁ Λυγκεὺς τὸν Κάστορα εἶδε. μήποτε οὖν δεῖ, [2]) φησίν, ἀναγινώσκειν τὴν παραλήγουσαν συλλαβὴν ὀξυτόνως ἡμένος ἢ διὰ τοῦ ῶς ἡμένως, [3]) ἵνα κατ' ἀμφοῖν ἀκούηται· ὁ δὲ Λυγκεὺς δρυὸς ἐν στελέχει ἡμένος, [4]) ἀντὶ τοῦ ἡμένους, δηλονότι τοὺς Διοσκούρους· ὡς ἀελλόπος καὶ τρίπος· [5]) Οὐχ ἕδος [6]) ἐστὶ, γεραιὲ, ἀντὶ τοῦ οὐχ ἕδους. § παρατίθενται δὲ καὶ τὸν τὰ Κύπρια γράψαντα οὕτω λέγοντα·

Αἶψα δὲ Λυγκεὺς
Ταΰγετον προσέβαινε ποσὶν ταχέεσσι πεποιθώς.
Ἀκρότατον δ' ἀναβὰς, διεδέρκετο νῆσον ἅπασαν
Τανταλίδου Πέλοπος, τάχα δ' εἴσιδε κύδιμος ἥρως
. . ὀφθαλμοῖσιν ἔσω δρυὸς ἄμφω κοίλης, [7])
Κάστορά θ' ἱππόδαμον καὶ ἀεθλοφόρον Πολυδεύκεα.
Νύξε δ' ἄρ' . . . . . .

Ὁ Κάστωρ [8]) ἑλόχα τὸν Ἴδαν, φησὶν, ἐν κοίλῃ δρυῖ κρυφθεὶς καὶ τὸν Λυγκέα· ὁ δὲ Λυγκεὺς ὀξυδερκὴς ὤν, ὡς καὶ διὰ λίθων καὶ διὰ γῆς τὰ γινόμενα βλέπειν, ἰδὼν διὰ τῆς δρυὸς τὸν Κάστορα ἔτρωσε λόγχῃ· ἀπὸ γὰρ τοῦ ὄρους σκοπῶν ὁ Λυγκεὺς ἐθεάσατο αὐτοὺς ἐγκαθεζομένους ἐν στελέχει δρυὸς καὶ ἐλλοχῶντας. τοῦ γὰρ Λυγκέως ὑπὲρ πάντας ἀνθρώπους ὀξύτατον ἦν τὸ ὄμμα.

118. Λαιψηροῖς δέ] τάχιστα δὲ ἐκ τοῦ ὄρους πρὸς τοὺς Διοσκούρους δραμόντες περιεγένοντο καὶ μέγιστον ἔργον κατεπράξαντο, τρώσαντες τὸν Κάστορα τάχιστα. ἀλλὰ μὴν καὶ ὑπέστησαν δεινὸν ἔργον οἱ προειρημένοι τοῦ Ἀφαρέως παῖδες ὑπὸ τῶν Διοσκούρων· εὐθέως γὰρ ἦλθεν ὁ Πολυδεύκης τοῦ ἀδελφοῦ πεσόντος· οἱ δὲ ἐλθόντι αὐτῷ ἀνθυπέστησαν ἐξ ἐναντίας περὶ τὸν τάφον τοῦ πατρὸς αὐτῶν Ἀφαρέως, καὶ ἐνέβαλον τῷ στέρνῳ τοῦ Πολυδεύκους στήλην ἑνὸς τῶν κειμένων ἁρπάσαντες καὶ πέμψαντες τῷ Πο-

1) Bibl. III, 11, 2. 2) Vulgo δεῖν, quod Heynius correxit. 3) Vulgo: ὀξυτόνως, τοῦ ἡμένως, ὡς ἠρμένως. 4) Vulgo ἡμένας. 5) Vulgo ἀελλόπως et τρίπως. Respicitur Iliad. ω, 77. χ, 164. 6) Vulgo ἕδως. Est ex Iliad. λ, 648. 7) Heynius in var. lect. Pind. correxit: Ὀφθαλμοῖσιν ἔσω κοίλης δρυὸς ἡμένω ἄμφω: quod in nott. critt. et ipse adscivi. Possis etiam: ὀφθαλμοῖσιν ἔσω δρυὸς ἡμένω ἄμφω κοίλης. Sed mendum in uno εἶν, quod ante ὀφθαλμοῖσιν in Rom. comparet, situm videtur: quapropter eius loco lacunae signa posui. 8) Rom. ἀγχίστωρ.

Digitized by Google

λυδεύκει ἀπὸ τοῦ τύμβου τοῦ πατρὸς αὐτῶν Ἀφαρέως, ἀλλ' οὔτε αὐτὸν ἔπληξαν τὸν Πολυδεύκην, οὔτε ὑποχωρῆσαι [1]) πεποιήκασιν οἱ Ἀφαρητιάδαι.

129. Ἐφορμηθεὶς δ' ἄρ' ἄκοντι θοῷ] ὁ δὲ Πολυδεύκης, φησὶν, ἐφορμήσας τῷ ταχεῖ δόρατι ἐνέβαλε ταῖς τοῦ Λυγκέως πλευραῖς τὸν σίδηρον.

132. Ζεὺς δ' ἐπ' Ἴδα πυρφόρον] οἱ μὲν ἐπὶ τῷ Ἴδᾳ φασὶν, οἱ δὲ ἐν τῷ ὄρει τῇ Ἴδῃ, ἵνα Ἴδην πᾶν ὄρος ὑψηλὸν ἀκούσωμεν· οὐδὲ γὰρ νῦν τοῖς κατὰ τὴν Ἀρκαδίαν τελουμένοις ἡ κατὰ Τροίαν συντελεῖ. § ὁ δὲ νοῦς οὕτως· ὁ δὲ Ζεὺς πυρφόρον καὶ τεφρώδη κεραυνὸν προσέῤῥηξεν ἀμφοτέροις, ὁμοῦ δὲ ἐκαίοντο ἐρημωθέντες. χαλεπὴ δὲ καὶ δεινοτάτη ἡ ἔρις τοῖς ἀνθρώποις ἡ κατὰ τῶν κρειττόνων. § ἡ γὰρ πρὸς τοὺς κρείττονας, φησὶν, ἔρις χαλεπή ἐστιν, ὥστε ὁμιλεῖν αὐτοῖς καὶ προσφέρεσθαι. ἀποδιαπομπεῖσθαι δεῖ οὖν τὴν ἔριν τὴν πρὸς τοὺς κρείττονας· ἡ μὲν πρὸς τοὺς ἴσους ὁμιλία εὐκτὴ, ἡ δὲ πρὸς τοὺς κρείττονας χαλεπή· οἱ γοῦν Ἀφαρητιάδαι ἐρίσαντες κρείττοσι τοῖς Διοσκούροις ἀπώλοντο.

137. Ταχέως δ' ἐπ' ἀδελφεοῦ] ταχέως δ' ἐπὶ τὸν ἀδελφὸν ὁ Πολυδεύκης ἦλθεν ὑποστρέψας, καὶ δὴ αὐτὸν οὔπω τεθνηκότα, πνευστιῶντα δὲ κατέλαβεν. § οὔπω, φησὶ, τὸν Κάστορα εὗρε τεθνηκότα, τὰς δὲ πνοὰς ἀποψυχρούμενον ἀπὸ τῆς φρίκης. καταψύχονται γὰρ οἱ νεκρούμενοι.

142. Πάτερ Κρονίων] ὦ πάτερ Ζεῦ, τίς δὴ λύσις [2]) γενήσεται τούτων τῶν πενθῶν; καί μοι θάνατον ἐπίθες καὶ δεῖξον, ὦ βασιλεῦ.

146. Οἴχεται τιμὰ φίλων τατωμένῳ] ἀντὶ τοῦ στερισκομένῳ. οὐδεὶς συμπονεῖ, φησὶν, ἐὰν μὴ φίλος ᾖ καὶ ἀγαθὸς ἀδελφός· στερηθεὶς δὲ τούτου τίνα ἕξω κοινωνὸν τῶν πόνων; § ἢ οὕτως αὐτὸ δεῖ νοεῖν· τὸ τατωμένῳ φησὶ Δωρικῶς· ἀνδρὶ γὰρ τῶν φίλων στερισκομένῳ πᾶσα διέφθαρται τιμή. § ἢ οὕτως· ἐάν τις καθυστερήσῃ τοῦ προσφιλοῦς, ἀποστερεῖται τοῦ συμπράσσοντος, ἀπραγὴς δὲ γενόμενος [3]) οὐ τιμᾶται ὑπ' οὐδενός.

147. Παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν] ἀντὶ τοῦ οὐδὲ ὀλίγοι. ὡς καὶ παρ' Ὁμήρῳ· [4])

Ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.

§ ὁ δὲ νοῦς· οὐδὲ ὀλίγων [5]) δὲ ἀνθρώπων ἐστὶν ἐν τοῖς ὑπερβάλλουσι κινδύνοις τῶν δεινῶν κοινωνεῖν. § ἢ οὕτως· οὐδὲ ὀλίγοι δὲ τῶν ἀνθρώπων πιστοὶ κατὰ τοὺς πόνους πάσχουσι τοῖς ἑταίροις τοῦ καμάτου κοινωνεῖν.

150. Ἐσσί μοι υἱός] ὁ μὲν Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ· ὁ δὲ Πίνδαρος ἑτέροις τῶν ἱστορικῶν ἐξακολουθήσας τὸν μὲν Πολυδεύκην ἐκ Διὸς, τὸν δὲ Κάστορα ἐκ Τυνδάρεω εἶναί φησιν, ὡς καὶ Ἡρακλῆς μὲν ἐξ Ἀλκμήνης καὶ Διὸς, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. λέγεται γὰρ τοῦτο, ὅτι Πολυδεύκης καὶ Ἑλένη ἐκ Διός εἰσι καὶ Λήδας, Κάστωρ δὲ ἐκ Τυνδάρεω. ὁ μέντοι Ἡσίοδος οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατέρα Ὠκεανοῦ καὶ Τηθύος. [6]) § τὸ δὲ σαφὲς οὕτω· σὺ μὲν,

1) Delevi hoc loco verba ὑπὲρ τοῦ πατρὸς, pro quibus Hermannus volebat ὑπὸ τοῦ πέτρου aut ἀπὸ τοῦ τύμβου τοῦ πατρός. 2) Rom. λόγος. 3) Vulgo γινόμενος. 4) Iliad. ε, 800. 5) Vulgo ὀλίγον, quod Heynius correxit. 6) Rom. Διός.

Digitized by Google

ὦ Πολύδευκες, τυγχάνεις μοι υἱὸς, τὸν δὲ Κάστορα μετὰ ταῦτα ὁ Τυνδάρεως σπέρμα θνητὸν ὄντα τῇ σῇ μητρὶ συνελθὼν ἔσπειρεν.

153. Ἀλλ' ἄγε τῶνδέ τοι] ἀλλ' ὅμως τούτων ἀμφοτέρων σοι τὴν κρίσιν καὶ τὴν αἵρεσιν ἐπιδίδωμι· εἰ μὲν γὰρ τὸν θάνατον ἐκφυγὼν καὶ τὸ γῆρας τὸ ὀδυνηρὸν αὐτὸς βούλει τὸν οὐρανὸν οἰκεῖν σὺν ἐμοὶ καὶ Ἀθηνᾷ καὶ Ἄρει, ἔστι σοι τούτων μερίς· εἰ δὲ ὑπὲρ τοῦ ἀδελφοῦ Κάστορος διαμάχῃ, πάντων δὲ [1]) τῶν καλῶν βούλει αὐτῷ ἀπομερίσασθαι τὸ ἴσον, τὸ μὲν ἥμισυ τοῦ χρόνου ἕξεις ὑπὸ τὴν γῆν διατρίβων, τὸ δὲ ἥμισυ ἐν τῷ οὐρανῷ καὶ τοῖς τιμίοις τῶν θεῶν οἴκοις.

166. Ὡς ἄρ' αὐδάσαντος] οὕτω ταῦτα τοῦ Διὸς εἰπόντος οὐ κατεμερίσθη τὴν γνώμην ὁ Πολυδεύκης, ἀλλ' εὐθέως ἐπὶ τὸ ἕτερον ἐχώρησεν, ἐπὶ τὸ τὴν εὐδαιμονίαν τῷ ἀδελφῷ μερίσασθαι.

168. Ἀνὰ δ' ἔλυσε μὲν ὀφθαλμόν] ὁ Ζεὺς δηλονότι· οἷον ἤδη μύοντα καὶ κλειόμενον διὰ τὸν θάνατον ἀναβλέψαι ἐποίησεν. § ὁ δὲ νοῦς· ἀνέλυσε μὲν καὶ πάλιν ὁρᾶν παρεσκεύασε τὸν τοῦ ἀδελφοῦ ὀφθαλμὸν, ἔπειτα καὶ τὴν φωνὴν ἐνέβαλε τοῦ χαλκομίτρα Κάστορος.

ΝΕΜΕΩΝ ΕΙΔΟΣ ΙΑ'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑνδεκάτου τῶν Νεμέων εἴδους.

Τῆς ἑνδεκάτης ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἕξ. Τὸ α' Πινδαρικόν· ἔστι δὲ ἰαμβέλεγος λείπων τῇ ἀρχῇ, καὶ πάλιν ἰαμβικὸν πενθημιμερὲς λεῖπον τῷ τέλει, ὃ καλεῖται ἀμφιλειπὲς, ἐπεὶ καὶ ἐν ἀρχῇ καὶ ἐν τῷ τέλει λείπει. ἡ δὲ ἀπόδοσις τὸ Ἀοιδαῖς, ᾠδαῖς ποιεῖ. [2]) Τὸ β' σύνθετον ἀπὸ διμέτρου τροχαίου καὶ ἡμίσεος ἔπους. Τὸ γ' ἔπος παρὰ συλλαβήν. Τὸ δ' ὅμοιον τῷ Ζεῦ πάτερ, γάμον μὲν οὐκ ἐδαισάμην. [3]) Τὸ ε' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἢ πενθημιμερὲς δακτυλικὸν πλεονάζον μιᾷ συλλαβῇ. Τὸ ς' ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἐννέα. Τὸ α' δακτυλικὸν τρίμετρον καταληκτικόν. Τὸ β' δακτυλικὸν πενθημιμερές. Τὸ γ' ὅμοιον τῷ α' τῆς στροφῆς. Τὸ δ' δακτυλικὸν πενθημιμε-

1) Rom. τε. 2) Vs. 23. vulg. 3) Vulgo ἐδασάμην, ut toties ante.

Digitized by Google

ρές. Τὸ ε' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς' δακτυλικὸν πενθημιμερές. Τὸ ζ' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ὅμοιον τῷ δ' [1]) τῆς στροφῆς. Τὸ θ' σύνθετον ἐκ πενθημιμεροῦς τροχαίου καὶ ἑφθημιμεροῦς δακτυλικοῦ.

Ὅτι οὐκ ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς ἐπινίκους συνενῶσθαι. Οὐδὲ ὅλως, φησὶν ὁ Δίδυμος, ἐχρῆν τὴν ᾠδὴν ταύτην εἰς τοὺς ἐπινίκους συνενῶσθαι· οὐ γὰρ ἱερὸν ἀγῶνα νενίκηκεν ὁ Ἀρισταγόρας, ἀλλὰ περιχώρους. γεγράφθαι δέ [2]) φησι τὴν ᾠδὴν εἰς πρυτανεύοντα καὶ τῆς πόλεως προεστῶτα τὸν Ἀρισταγόραν, σαφὲς δὲ τοῦτο ἐξ ὧν φησιν· [3]) Ἀλλὰ σὺν δόξᾳ τέλος δυωδεκάμηνον περάσαι. ἠπατῆσθαι δέ φησιν ὁ Δίδυμος ἐνίους, ὡς δοκεῖν ἱεροὺς στεφάνους αὐτὸν ἀνῃρῆσθαι. διὰ τῆς ᾠδῆς δὲ σημαίνεται, ὅτι στεφάνους ἔσχεν ὡς δεκαὲξ, ἀλλ' οὐχὶ περιοδικοὺς, ὡς ἐπλανήθησαν ἐκ τοῦ λέγεσθαι· [4]) Ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων. οὐ γὰρ σημαίνει διὰ τούτων ὡς Ἴσθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ, ἀλλὰ τοὐναντίον οἱ γονεῖς δι' εὐλάβειαν συγγενικὴν οὐκ ἀπέστειλαν αὐτὸν ἐπὶ τοὺς ἱεροὺς στεφάνους, ἐπεὶ κἂν Ἴσθμια καὶ Νέμεα εἰλήφει. ἐποίσει γάρ· Ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δοξαν παρὰ Κασταλίᾳ καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου κάλλιον ἂν δηριώντων ἐνεστήσατ' ἀντιπάλων. ὀμνύει γὰρ ὁ Πίνδαρος, ὅτι κατὰ τὴν ἑαυτοῦ δόξαν, εἰ ἐξεδήμησεν εἰς Πυθῶνα καὶ Ὀλυμπίαν, κάλλιον ἂν τῶν ἀνταγωνιστῶν ἐπανεληλύθει εἰς τὴν πατρίδα, τουτέστιν ἐνίκησεν ἄν· νῦν δὲ ἐλπίδες ὀκνηρότεραι κατέσχον τῶν γονέων αὐτὸν, διὸ οὐδ' ὅλως ἐξεδήμησεν. συντακτέον οὖν, φησὶν ὁ Δίδυμος, εἰς τὰ Παροίνια, καθὰ καὶ τοῖς περὶ τὸν Φασηλίτην [5]) ἀρέσκει. ὅλως οὖν οὐδὲ δεῖ τετάχθαι τὴν ᾠδήν· [6]) οὐ γὰρ οἷον Νεμεονίκης ἐστίν· ἀλλ' οὐδ' ὅλως ἀθλοῦντι γέγραπται ἔτι, ἀλλ' ἀνδρὶ τελείῳ πρυτανεύοντι τῆς πατρίδος. εἰ δὲ παραμιμνήσκεται, ὅτι περιχώρους ἀγῶνας ἐνίκα παῖς ὤν, οὐ διὰ τοῦτο ἀθλητής· καθὸ οὐκ ἀθλητῇ γέγραπται, ἀλλὰ πρυτάνει καθὸ ἐπρυτάνευεν· ἔτυχε δὲ ἐπὶ τῆς παιδικῆς ἡλικίας ἄθλων. διὸ δὴ καὶ ὡς πρυτανεύοντος τὴν Ἑστίαν προσφωνεῖ. § ἔοικε δὲ ὁ Ἀρισταγόρας μὴ νῦν νενικηκέναι· φασὶ γὰρ οἱ ἱστορικοὶ, παιδὶ μὲν ὄντι πολλὰς ὑπεισελθεῖν νίκας, ἀνδρωθέντι δὲ νῦν καὶ πρυτανεύοντι τὸν Πίνδαρον πρόσχημα μὲν ἐπίνικον γράψαι, τὸ δὲ ἀληθὲς προσφωνητικὸν εἰς τὴν πρυτανείαν. Τένεδος δέ ἐστι καὶ τῆς Λιβύης καὶ τῆς Τροίας.

1. Παῖ Ῥέας, ἅτε πρυτανεῖα λέλογχας] πρυτανεῖά φησι λαχεῖν τὴν Ἑστίαν, παρόσον αἱ τῶν πόλεων ἑστίαι ἐν τοῖς πρυτανείοις ἀφίδρυνται, καὶ τὸ ἱερὸν λεγόμενον πῦρ ἐπὶ τούτων ἀπόκειται. εἴη δ' ἂν πρυτανεῖον κατὰ τὸ ἔτυμον πυροταμεῖον, κατὰ συγγένειαν τοῦ μ̄ εἰς τὸ ν̄, ὡς τὸ μὶν καὶ νίν· ἢ κατὰ κοινωνίαν τοῦ β̄ πρὸς τὸ π̄ βρυτανεῖον παρὰ τὸ βρύειν, ὅ ἐστιν αὔξειν καὶ θάλλειν, ἀφ' οὗ καὶ τὸ ἔμβρυον τὸ ἐν τῇ γαστρὶ αὐξανόμενον. Καί τε βρύει ἄνθεϊ λευκῷ, Ὅμηρος. [7]) § ὁ δὲ νοῦς· ὦ Ἑστία τῆς Ῥέας παῖ, ἥτις ἔλαχες τὰ πρυτανεῖα, τοῦ ὑψίστου Διὸς ἀδελφὴ τυγχάνουσα καὶ τῆς

1) Rom. τῷ πρώτῳ. 2) Δὲ addidit Heynius. 3) Vs. 10. vulg. 4) Vs. 28. vulg. 5) Dionysium, de quo vide Praefationem. 6) Nempe εἰς τοὺς ἐπινίκους. 7) Iliad. ρ, 56.

Digitized by Google

Ἥρας τῆς ὁμοθρόνου καὶ τῆς συμβασιλευούσης τῷ Διΐ, καλῶς μὲν τὸν Ἀρισταγόραν ὑπόδεξαι εἰς τὸ πρυτανεῖον, καλῶς δὲ καὶ τοὺς ἑταίρους τοὺς συμπρυτανεύοντας αὐτῷ, τοῦ σοῦ σκήπτρου πέλας. ἐκ τούτου οὖν πρόδηλον, ὡς εἰς τὴν πρυτανείαν γράφεται. ἵδρυται δὲ ἐν τοῖς πρυτανείοις ἡ Ἑστία.

5. Οἵ σε γεραίροντες] οἵτινές σε τιμῶντες οἱ πρυτάνεις ἐν δικαιοσύνῃ διαφυλάσσουσι τὴν Τένεδον, πολλάκις μὲν σπονδαῖς καὶ θυσίαις ἐξιλεούμενοι πρώτην τῶν ἄλλων θεῶν, πολλάκις δὲ καὶ ταῖς θυσίαις. πρώτην δὲ ταύτην εἶπε, καθόσον ἀπ' αὐτῆς ἤρχοντο. καὶ Σοφοκλῆς· [1]) Ὦ πρῶτα λοιβῆς Ἑστία. ἀπὸ οὖν τῆς κνίσσης, ὅ ἐστι τῆς πιμελῆς, καὶ τὰς θυσίας σημαίνει. [2])

8. Λύρα δέ σφιν βρέμεται] λύρα δὲ αὐτοῖς κατὰ τὰς πατηγύρεις ἠχεῖ καὶ ᾠδή, καὶ τοῦ ξενίου Διὸς θέμις ἀσκεῖται καὶ ἀποσώζεται παρ' αὐτοῖς διαπαντὸς ἐν ταῖς τραπέζαις· ἀντὶ τοῦ φιλόξενοί εἰσιν.

10. Ἀλλὰ σὺν δόξᾳ τέλος] εὔχεται τὴν ἀρχὴν μετὰ δόξης αὐτὸν τελέσαι. σὺν ἀτρώτῳ καὶ ἀλύπῳ καρδίᾳ, τουτέστιν ἀπταίστῳ καὶ ἀβλαβεῖ, τὴν ἐνιαυσίαν ἀρχὴν διανύσειεν. δῆλον δέ, καθὼς καὶ προείπομεν, διὰ τούτων, ὅτι οὐκ ἔστιν ἐπίνικος ἡ ᾠδή. § ὁ δὲ νοῦς· παράσχου οὖν αὐτοῖς διανύσαι σὺν εὐδοξίᾳ τὴν πρυτανείαν καὶ σὺν ἀλύπῳ καρδίᾳ.

13. Ἄνδρα δ' ἐγὼ μακαρίζω] τὸν δὲ ἄνδρα ἐγὼ μακαρίζω Ἀρκεσίλαν τὸν σὸν πατέρα καὶ τὸ ἐκείνου ἀνδρεῖόν τε καὶ ἐπέραστον σῶμα. § Ἄλλως. τὸν πατέρα αὐτοῦ Ἀρκεσίλαν μακαρίζω [3]) θαητὸν ὄντα τὸ σῶμα, καὶ τὸν σύγγονον αὐτοῦ Ἀτρεμίαν· ὡς ἀδελφοῦ αὐτοῦ ὄντος Ἀτρεμίου ἢ ὡς ἀδελφῆς· ἀμφίβολον γάρ. § ἢ τὴν συγγενομένην αὐτῷ ἀφοβίαν.

16. Εἰ δέ τις ὄλβον ἔχων] εἴτις δὲ πλούσιος καὶ καλὸς, καὶ ἐν ἄεθλοις διήνεγκε τῶν ἄλλων, γινωσκέτω ὅτι θνητός ἐστι, καὶ μηκέτι παρὰ ταῦτα εὐδαιμονίαν μείζονα ζητείτω· μὴ ὡς θεὸς τῶν μειζόνων ὀρεγέσθω. § ἢ οὕτως· εἰ δὲ ἀνθρώπων τις εὐδαιμονίαν κεκτημένος καὶ τῷ εἴδει παρέρχεται τοὺς ἄλλους, καὶ ἐν τοῖς ἄθλοις ἀριστεύουσαν ἐφανέρωσε τὴν ἑαυτοῦ ἰσχὺν, γινωσκέτω μέλλων ἀποθνήσκειν. ἡ δὲ τοῦ νοῦ φαντασία τοιαύτη· μὴ διὰ τὸ ὑπερβεβλημένον τῆς εὐδαιμονίας θεοῖς ἑαυτὸν καταριθμείτω, γινωσκέτω δὲ ὅτι ἀνθρωπίνην ἔχει τὴν φύσιν.

22. Ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖς] ἐν δὲ τῇ τῶν ἀγαθῶν γνώμῃ ἐπαινεῖσθαι τοὺς ἀγαθοὺς προσήκει, φησίν. § ἢ οὕτω· τοὺς τοιούτους καὶ τοιαῦτα ἠσκηκότας ἄρχοντας δεῖ ὑπὸ τῶν ἀγαθῶν καὶ λόγοις ἐπαινεῖσθαι καὶ κοσμεῖσθαι ποιήμασιν.

24. Ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν] ὡς τῶν ἀνταγωνιστῶν [4]) τοῦ Ἀρισταγόρου τοσούτων ὄντων τῷ ἀριθμῷ. § ὁ δὲ νοῦς· ἐκ δὲ τῶν περιοίκων ἀνταγωνιστῶν ἑκκαίδεκα ὄντων τὸν Ἀρισταγόραν αἱ νῖκαι καὶ τὴν τούτου πατρίδα ἐστεφάνωσαν τὴν ἐπίδοξον· πάλη καὶ παγκρατίῳ νικήσαντα.

28. Ἐλπίδες δ' ὀκνηρότεραι γονέων] παιδὸς δὲ ὄντος τοῦ Ἀρισταγόρου, φη-

1) Fragm. 82. Vulgo πρώρα; Heynius volebat πρῶπα. Sed versus postulat πρῶτα, cui explendo addiderim δεδεγμένη aut simile. 2) Addidi σημαίνει. 3) Ita recte correxit Beckius. 4) Vulgo ἀγωνιστῶν.

Digitized by Google

σὶν, αἱ τῶν γονέων ἐλπίδες ὀκνηρότερον διατεθεῖσθαι ἐνεπόδισαν εἴς τε τὴν Πυθῶνα καὶ τὴν Ὀλυμπίαν σταλῆναι τῶν ἄθλων εἵνεκα.

30. Ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν] ἐνταῦθα ὄνομα οὐ πρόκειται. ἰδίως γὰρ οἱ παλαιοὶ κατ' αὐτοῦ τοῦ ὅρκου ὤμνυον, ὡς καὶ Ἡσίοδος: [1])

Ὅρκον θ' ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους
Πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.

§ Ἄλλως. εὐλαβείᾳ τοῦ ὀμνύειν οἱ ἀρχαῖοι παρελίμπανον τὰ ὀνόματα τῶν θεῶν. διὸ καὶ ψιλῶς εἶπε· Ναὶ μὰ γὰρ ὅρκον, τὴν ἐμὴν δόκησιν ἔν τε Πυθῶνι καὶ ἐν τῷ εὐδένδρῳ ὄρει τοῦ Κρόνου, ὅ ἐστι καὶ ἐν τῇ Ὀλυμπίᾳ, κάλλιον ἂν τῶν ἀνταγωνιζομένων [2]) ἐπανῆλθεν ὁ Ἀρισταγόρας τῇ πατρίδι, τὴν πενταετηρικὴν πανήγυριν, διάταξιν καὶ νόμον οὖσαν Ἡρακλέος, κωμάσας καὶ ἀναδησάμενος τὴν κόμην.

31. Καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου] εὐδένδρῳ διὰ τὰ τῶν ἐλαιῶν φυτὰ, ἅπερ Ἡρακλῆς ἐξ Ὑπερβορέων κομίσας ἐνεφύτευσε τῇ γῇ. τὸ δὲ παρ' ὄχθῳ Κρόνου, ἀντὶ τοῦ καὶ τῷ λόφῳ τῷ κατὰ τὴν Ὀλυμπίαν ἀνιερωθέντι τῷ Κρόνῳ.

37. Ἀλλὰ βροτῶν κενεόφρονες αὖχαι] αἱ καυχήσεις. ἀλλὰ τῶν ἀνθρώπων τὸν μὲν αἱ ματαιόφρονες καυχήσεις καὶ ἀλαζονεῖαι ἐκ τῶν παρὰ ποδῶν καλῶν ἀποτυχεῖν παρεσκεύασαν, τῷ τῶν μειζόνων παρὰ δύναμιν καὶ τὸ προσῆκον ὀρέγεσθαι, ἕτερον δὲ ἰσχυρὸν ὄντα κατὰ φύσιν, μετριάζοντα δὲ, καταμεμφόμενον τὴν ἑαυτοῦ δύναμιν, τῶν προσόντων καλῶν σφαλῆναι πεποίηκεν ἡ ψυχὴ ἄτολμος οὖσα καὶ τῆς χειρὸς αὐτὸν εἰς τοὐπίσω ἕλκουσα, τουτέστιν ἄτολμον ποιοῦσα.

43. Συμβαλεῖν λίαν εὐμαρὲς ἦν] ἐκ δὲ τῆς Ἀρισταγόρου ἀρετῆς εὐμαρὲς ἦν διαγνῶναι συμβαλόντας, ὅτι τοῦ Λακωνικοῦ Πεισάνδρου ἀπόγονος ἦν, τοῦ ποτε σὺν τῷ Ὀρέστῃ ἀποικίαν ἀπὸ τῆς Λακεδαίμονος εἰς Λέσβον στειλαμένου τὸ τῶν Αἰολέων γένος· τὸ δὲ δεῦρο ὡς πρὸς τὴν Τένεδον τὴν ὑπὲρ [3]) τῆς Λέσβου· ἦν δὲ συμβαλεῖν καὶ τὸ μητρῷον αὐτοῦ γένος περὶ τὰ Ἰσμηνοῦ ῥεύματα κεκραμένον τῷ Θηβαίῳ Μελανίππῳ. § ἢ οὕτω· συμβαλεῖν λίαν εὐμαρὲς καὶ σημειώσασθαι τὸν ἰδόντα τὸν Ἀρισταγόραν, ὅτι τὸ πώλαι αὐτοῦ αἷμα καὶ τὸ γένος ἦν ἀπὸ Πεισάνδρου τοῦ Σπαρτιάτου, ὡς ἀπό τινος τῶν παλαιῶν Πεισάνδρου ὄντος τοῦ Ἀρισταγόρου. οὗτος δὲ, φησὶ, σὺν Ὀρέστῃ ἀπῴκησεν ἐκ Σπάρτης καὶ τὴν Τένεδον κατῴκησε. Τενέδιος γὰρ ὁ Ἀρισταγόρας. περὶ δὲ τῆς Ὀρέστου εἰς τὴν Αἰολίδα ἀποικίας Ἑλλάνικος ἐν τῷ πρώτῳ Αἰολικῶν [4]) ἱστόρηκεν. ὁ δὲ Μελάνιππος οὗτος Θηβαῖος ἦν ἐπὶ τοῦ πολέμου συστὰς τῷ Τυδεῖ. τούτου δοκεῖ διὰ τὴν ὀργὴν λαβὼν ὁ Τυδεὺς τὴν κεφαλὴν καὶ ῥήξας ἐκροφῆσαι τὸν ἐγκέφαλον· διὸ καὶ ἀπεστράφη ἡ Ἀθηνᾶ τότε κομίζουσα αὐτῷ τὴν ἀθανασίαν. τὸ μὲν οὖν ἀπὸ πατρὸς γένος εἰς Πείσανδρον, τὸ δὲ ἀπὸ μητρὸς εἰς τοῦτον τὸν Μελάνιππον· [5]) μήτρωες γὰρ [6]) οἱ κατὰ μητέρα πρόγονοι.

48. Ἀρχαῖαι δ' ἀρεταί] αἱ ἀρχαῖαι τῶν προγόνων φύσει ἀρεταὶ ὕστερον ἐκλάμπουσιν. ἐνίοτε γάρ τις γέγονεν ἀπὸ πρακτικοῦ [7]) τινος ἀνδρὸς, εἶθ' οἱ ἐκείνου ἀπόγο-

1) Theog. 231. Paulo ante vide ne legendum sit πρόσκειται. 2) Vulgo ἀγωνιζομένων. 3) Ὑπὲρ addidi cum Heynio. 4) Delevi περὶ ante Αἰολικ. Cf. Tzetz. ad Lycophr. 1374. et de re Sturz. Hellanic. Fragm. p. 46. 5) Adde ἀναφέρει. 6) Delevi οὗτοι. 7) Vulgo πατρικοῦ.

Digitized by Google

νοι ἄπρακτοι ὤφθησαν, ἕως διὰ πολλῶν ἐτῶν πάλιν εἰς ἐξέλαμψεν. οὗτος οὖν, φησὶν, ἀπὸ Μελανίππου γεγονὼς καὶ Πεισάνδρου δραστηρίων γεγονότων, τοῦ δὲ μεταξὺ γένους ἠμαυρωμένου, [1]) αὐτὸς ἐξέλαμψε τῶν ἐκείνων ἀρετῶν, αὐτὸς ἐφ' ἑαυτοῦ ἔδειξε τὸ γένος, οἷον ἦν. § ἢ οὕτως· αἱ δὲ παλαιαὶ ἀρεταὶ ἀποφέρονται σθένος ἐναλλασσόμεναι ταῖς τῶν ἀνθρώπων γενεαῖς. οὔτε γὰρ ἐφεξῆς αἱ ἄρουραι καρπὸν δυνατῶς ἀποδιδόασιν, οὔτε μὴν τὰ φυτὰ βούλεται ἐν ἁπάσαις ἐτῶν περιόδοις καρπὸν καὶ βλαστὸν εὐώδη καὶ ἐπικερδῆ φέρειν, ἀλλ' ἐξ ὑπαλλαγῆς καὶ διαστήματος ταῦτα δίδοται, καὶ τὸ τῶν ἀνθρώπων γένος τὸν αὐτὸν τρόπον τοῖς φυτοῖς καὶ ταῖς ἀρούραις ἀναδέχεται.

55. Τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται τέρμα] τὸ ἀποβησόμενον τέλος ἐκ τοῦ Διὸς, φησὶν, οὐ προγινώσκομεν οἱ ἄνθρωποι, ἀλλὰ μεγαληγοροῦμεν μεγάλα [2]) μενοινῶντες καὶ φροντίζοντες ὑπὲρ ἑαυτούς. τείνει δὲ πρὸς Ἀρισταγόραν, ἐπειδὴ τότε ἦρχε καὶ ἐπρυτάνευε, παραινῶν αὐτῷ μὴ ὑπερηφανεύεσθαι, ἀλλὰ μετρίως βιοῦν, πράως τε καὶ ἐν ἀρετῇ διάγειν.

59. Δέδεται γὰρ ἀναιδεῖ ἐλπίδι γυῖα] τουτέστιν ἐμπέφυκεν ἡμῖν ἐλπὶς ἄποθεν. ἀναιδῆ δὲ τὴν ἐλπίδα εἶπεν, ὅτι οἱ πολλοὶ ἡμῶν ἀδύνατα ἐλπίζουσιν. § ἢ ἀναιδῆ τὴν ἐλπίδα εἴρηκε διὰ τὸ πολλάκις τοὺς ἐλπίζοντας ἀποτυγχάνειν καὶ πάλιν ἐλπίζειν. § ἢ οὕτω· συνδέδεται δὲ τὰ ἡμέτερα σώματα ἀναιδεστάτῃ ἐλπίδι, τὸ δὲ προβουλεύεσθαι καὶ μανθάνειν μακρὰν ἡμῶν ἀπῴκησεν. § ἤτοι τῆς δὲ προγνώσεως αἱ ὁδοὶ ἄποθεν ἡμῶν κεῖνται, ἀντὶ τοῦ οὐ δυνάμεθα ἄνθρωποι ὄντες τὰ μέλλοντα προγινώσκειν.

62. Κερδέων δὲ χρὴ μέτρον θηρευέμεν] οὐ δεῖ, φησὶ, ζητεῖν ὠφελείας ὑπερμέτρους οὐδὲ κερδαίνειν τὰ ὑπὲρ ἡμᾶς. ἀπροσίκτων δὲ ἀντὶ τοῦ ἀμηχάνων, ὧν οὐκ ἔστι θίγειν. τῶν γὰρ ἐρώτων σκληραί εἰσιν αἱ μανίαι καὶ σύντονοι αἱ ἐπιθυμίαι. § τῶν οὖν ἀμηχάνων ἐρώτων, φησὶν, ἐπιθυμίαι ὀξυτέρας ἔχουσι τὰς μανίας. πρὸς τί δὲ τοῦτο λέγει; ἀντὶ τοῦ εἰπεῖν· ὦ Ἀρισταγόρα, οἷς ἔσχηκας καὶ ἔλαβες δεκαὶξ στεφάνοις, πλουτεῖς, ἄρχεις, πρυτανεύεις, ἀρκοῦ τούτοις· μηκέτι ὑπὲρ ταῦτα ζήτει.

[1]) Ita emendavi. Vulgo τὸ δὲ μεταξὺ ἠμαυρωμένον. Vel sic tamen locus corruptus est, maximeque interposito δὲ offendor. [2]) Delevi τε post μεγ.

Digitized by Google

ΣΧΟΛΙΑ ΕΙΣ ΙΣΘΜΙΑ.

ΥΠΟΘΕΣΙΣ ΙΣΘΜΙΩΝ.

Ἐτελοῦντο μὲν οἱ παλαιοὶ πάντες ἀγῶνες ἐπί τισι τετελευτηκόσιν. ἐτελεῖτο γὰρ ὁ μὲν Ὀλυμπιακὸς τῷ Διὶ διὰ τὸν Πέλοπα, ὁ δὲ Πυθικὸς τῷ Ἀπόλλωνι διὰ τὸν δράκοντα, ὃν ἀπέκτεινε Πυθοῖ, ὁ δὲ Νεμεακὸς κατά τινας τῷ Ἡρακλεῖ ὑπ' αὐτοῦ ἐπὶ τῇ τοῦ λέοντος ἀναιρέσει, ὁ δὲ Ἰσθμικὸς οὗτος τῷ Ποσειδῶνι. ἔστι δὲ ἡ ἱστορία αὕτη. Ἰνοῦς καὶ Ἀθάμαντος παῖδες Λέαρχος καὶ Μελικέρτης· τὸν μὲν δὴ Λέαρχον μανεὶς ὁ Ἀθάμας ἀπέκτεινεν, εἶτα ἡ μήτηρ αὐτοῦ καθῆκεν αὐτὸν εἰς λέβητα ὕδατος ζεστοῦ, μανεῖσα δὲ καὶ αὐτὴ τὸ τελευταῖον ἤλετο μετὰ τοῦ Μελικέρτου εἰς θάλασσαν, καὶ ἐγένετο μὲν ἡ Ἰνὼ μία τῶν Νηρεΐδων, ἧς καὶ ὁ ποιητὴς [1]) μέμνηται· ἔστι δὲ αὕτη Λευκοθέα· ὁ δὲ Μελικέρτης μετεβλήθη εἰς δαίμονα· ἔστι δὲ οὗτος ὁ Παλαίμων. χορεύουσαι τοίνυν ποτὲ αἱ Νηρεΐδες ἐπεφάνησαν τῷ Σισύφῳ καὶ ἐκέλευσαν εἰς τιμὴν τοῦ Μελικέρτου ἄγειν τὰ Ἴσθμια.

§ Ἄλλως. Τὸν τῶν Ἰσθμίων ἀγῶνα οἱ μὲν ἐπὶ Σίνιδι τῷ Προκρούστῃ διαθεῖναί φασι τὸν Θησέα ἀνελόντα αὐτόν, ὅτε περ καὶ τοὺς ἄλλους, ὥς φησι Σοφοκλῆς [2]) λέγων περὶ αὐτοῦ·

Ὃς παρακτίαν
Στείχων ἀνημέρωσα κνωδάλων ὁδόν.

ὁ δὲ Σίνις Ποσειδῶνος παῖς, ὃς δένδρα κάμπτων, εἶτα συνδεσμῶν εἰς ταῦτα τοὺς παριόντας, ἀθρόως ἀφιεὶς τὰ δένδρα, οὕτω διέφθειρεν. οἱ δὲ ἐπὶ Μελικέρτῃ, ὅτε τῷ Ἰσθμῷ ἄταφος προσεπελάσθη, καὶ μεταξὺ λιμοῦ τὴν Κορινθίων πόλιν κατασχόντος, τοῦ θεοῦ εἰπόντος οὐκ ἄλλην ἔσεσθαι τῶν κακῶν λύσιν ἢ τὴν ἐκείνου κηδείαν καὶ τιμὴν δι' ἀγῶνος ἐπιταφίου· ταῦτα δὲ πρὸς ὀλίγον ποιησάντων τῶν Κορινθίων λιμὸς πάλιν ἐπέθετο, καὶ ἔχρησεν ὁ θεὸς αἰώνιον τὴν εἰς τὸν ἥρωα τιμὴν ὑπάρχειν, καὶ στέφανον σελίνου διὰ τὸ καταχθόνιον εἶναι τὸ φυτόν· ὕστερον μέντοι, καὶ τῷ θεῷ προσένειμαν τὸν ἀγῶνα ἐναλλὰξ ἐπιτελοῦντες, καὶ πίτυϊ λοιπὸν ἐστεφάνουν διὰ τὴν πρὸς τὴν θάλασσαν ὁμοιοδίαν τοῦ φυτοῦ καὶ διὰ τὸ ἄκαρπον αὐτὴν εἶναι, ὥσπερ τὴν θάλασσαν· διὸ καὶ ἀτρύγετος· εἶτα σημαίνοντες, ὡς οὐδὲν κέρδος τοῖς νικῶσιν ἀπὸ τοῦ στεφάνου πλὴν δόξης, ὅπερ καὶ ἐν Ὀλυμπίᾳ ἐποίησαν, κοτίνῳ στεφανοῦντες. πάντας δὲ εἰκότως τοὺς γενομένους ὑπερηφάνους καὶ γενναίους Ποσειδῶνος παῖδάς φασιν οἱ ποιηταί, εἰς τὸ τῆς θαλάσσης ἄγριον καὶ σταθερὸν ἀφορῶντες. ὅπερ καὶ Ὅμηρος ὑποδηλῶν λέγει·

[1]) Odyss. ε, 433. [2]) In Theseo haud dubie.

Digitized by Google

Γλαυκὴ δέ σ' ἔτικτε θάλασσα,
Πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής. [1])

οἱ δὲ κομίσαντες τὸ σῶμα τοῦ Μελικέρτου ἀπὸ τῆς Σχοινουντίας, ἐκεῖ γὰρ ἐξεῤῥίφη, Ἀμφίμαχος καὶ Δονακῖνος ἐκαλοῦντο.

§ Ἄλλως. Τὸν Ἰσθμιακὸν ἀγῶνα τεθῆναί φασι δι' αἰτίαν τοιαύτην. Ἰνὼ ὑπὸ [2]) Ἀθάμαντος ἀναιρεθῆναι μέλλουσα, κατὰ μανίαν προανῃρημένου τοῦ υἱοῦ αὐτῆς Λεάρχου, καὶ αὐτὴ μανεῖσα, τὸν λοιπὸν παῖδα Μελικέρτην ἁρπάσασα διὰ Γερανείας τοῦ ὄρους τοῦ Μεγαρικοῦ φυγοῦσα καὶ στᾶσα ἐπὶ τῆς καλουμένης Μολουρίδος πέτρας ἥλετο σὺν τῷ βρέφει εἰς τὴν ὑποκειμένην θάλασσαν. αὐτοὺς μὲν οὖν λόγος ἔχει ἀποτεθεῶσθαι, καὶ τὴν μὲν μετωνομάσθαι ἀντὶ Ἰνοῦς Λευκοθέαν, τὸν δὲ ἀντὶ Μελικέρτου Παλαίμονα· τὸ δὲ τοῦ παιδὸς σῶμα ἐκκομισθὲν ὑπὸ δελφῖνος εἰς τὸν Ἰσθμὸν εὗρε Σίσυφος ὁ τότε τῆς Κορίνθου βασιλεύων καὶ ἔθαψε διὰ τὴν συγγένειαν· ἦν γὰρ Ἀθάμαντος παῖς. § Ἕτεροι δέ· Σίσυφός τε καὶ Ἀθάμας Αἰόλου παῖδες τοῦ Διός. ἐκάλεσαν δὲ τὸν ἀγῶνα Ἴσθμια ἀπὸ τοῦ διείργεσθαι τὰς δύο θαλάσσας δι' Ἰσθμοῦ. στέφος δέ ἐστι τοῦ ἀγῶνος πίτυς· τὸ δὲ ἀνέκαθεν σέλινα καὶ αὐτοῦ ἦν ὁ στέφανος.

§ Ἄλλως. Ἀθάμαντος μανέντος διὰ χόλον τῆς Ἥρας καὶ σφάξαντος ἕνα τῶν παίδων τὸν Λέαρχον, μέλλοντος δὲ ἅμα εἰς λέβητα βαλεῖν τὸν Μελικέρτην, προλαβοῦσα ἡ Ἰνὼ κλέπτει· διωκομένη δὲ ἅλλεται εἰς θάλασσαν μετὰ τοῦ παιδός· Νηρεῖδες δὲ αὐτὴν ἔσωσαν, αἳ καὶ θεὸν αὐτὴν ἐποίησαν· φανεῖσα δὲ μία τῷ Σισύφῳ εἶπεν ἄγειν τὸν ἀγῶνα. ἐσιωπήθη δὲ πρὸς χρόνον διὰ τοὺς λῃστάς, Θησεὺς δὲ ἐλθὼν ἐκάθηρε τοὺς τόπους καὶ ἦγε δεύτερον.

ΙΣΘΜΙΩΝ ΕΙΔΟΣ Α'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πρώτου τῶν Ἰσθμίων εἴδους.

Τῆς πρώτης τῶν Ἰσθμίων ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κῶλων ἑπτά. Τὸ α' ἐγκωμιολογικόν. Τὸ β' ἐγκωμιολογικὸν παρὰ τὴν τελευταίαν συλλαβήν. Τὸ γ' ἰαμβέλεγος, τὴν τελευταίαν συλλαβὴν μετατιθέμενον ἐπὶ τὴν ἄρχουσαν. γεγένηται δὲ καὶ παρὰ τὸ Σαπφικὸν, συστεῖλαν τὴν παρατέλευτον, πλεονάσαν μίαν συλλαβήν. Τὸ δ' ὅμοιον τῷ β'. Τὸ ε' προσοδικόν. Τὸ ς' Πινδαρικὸν ἐκ Σαπφικοῦ πλεονάσαν χοριάμβῳ καὶ συστεῖλαν τὴν παρατέλευτον. Τὸ ζ' Εὐριπίδειον.

1) Iliad. π, 34. 2) Vulgo ἀπό.

Digitized by Google

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἕνδεκα. Τὸ α' ἰαμβέλεγος, ἢ πεντάμετρον καταληκτικὸν δακτυλικόν. Τὸ β' ἰαμβικὸν μονόμετρον καταληκτικὸν δύο συλλαβαῖς. Τὸ γ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν τετράμετρον βουκολικόν. Τὸ ε' δακτυλικὸν πενθημιμερές. Τὸ ς' τροχαϊκὸν, ἢ ἐπίτριτος. Τὸ ζ' ἰαμβέλεγος. Τὸ η' ἰαμβικὸν πενθημιμερές. Τὸ θ' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ ι' προσοδικὸν ἑνδεκάσημον ἐνδέον συλλαβῇ τοῦ Ἀρχιλοχείου ἢ τοῦ Ἐρασμονίδη Χαρίλαε. Τὸ ια' Στησιχόρειον.

Ἡροδότῳ Θηβαίῳ.] Γέγραπται ἡ ᾠδὴ Ἡροδότῳ τῷ Θηβαίῳ, τινὲς δὲ Ὀρχομενίῳ. βέλτιον Θηβαίῳ ἐπιγεγράφθαι· καὶ γὰρ ταῖς Θήβαις προσδιαλέγεται. καὶ ἑξῆς [1]) δέ φησιν· Ἐπεὶ στεφάνους ἕξ ὤπασε Κάδμου στρατῷ, τουτέστι τοῖς Θηβαίοις. καὶ πάλιν περὶ αὐτοῦ λέγων [2]) φησί· Τιμὰν ἑπταπύλοις Θήβαισι τεύχοντα. τὸ δὲ ἐξαπατῆσαν τοὺς γράφοντας Ὀρχομενίῳ ἐστὶ τὸ Ὀρχομενοῖο πατρῴαν ἄρουραν. [3]) πρὸς ὅ [4]) φησι Δίδυμος, ὅτι εἰκός ἐστι τὸν πατέρα Ἡροδότου Ἀσωπόδωρον διά τινας πολιτικὰς στάσεις εἰς τὸν Ὀρχομενὸν μεταστάντα ὕστερόν τε εἰς Θήβας κατελθόντα ἐπίτιμον γενέσθαι. τοῦτο γοῦν καὶ τὸν Πίνδαρον αἰνιττόμενον φάναι· [5]) Ἅ νιν ἐρειδόμενον ναυαγίαις ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ δέξατο συντυχίᾳ. ναυαγίαν γὰρ εἶπε τὴν ἐκ τῆς πατρίδος εἰς τὸν Ὀρχομενὸν φυγήν. § Ἄλλως. οἱ Κεῖοι Δηλιακὴν παιᾶνα ἠξίουν τὸν ποιητὴν γράψαι. ἀρχομένου οὖν γράφειν ἐκείνοις ἐπῆλθεν ἡ νίκη Ἡροδότου Θηβαίου πολίτου, εἰς ὃν προέκρινε μᾶλλον σκέψασθαι, ἀναβαλλόμενος τὸ τῆς θεοῦ [6]) καὶ τῶν Κείων. διὸ καὶ τὴν εἰσβολὴν πεποίηται τοῦ ἐπινικίου ὁ Πίνδαρος, συγγνῶναι παρακαλῶν τὴν Δῆλον αὐτῷ προυργιαίτερον θεμένῳ τὴν πατρίδα τὰς Θήβας, διὰ τὸ Ἡροδότῳ βούλεσθαι τὸν ἐπίνικον συντάξαι Θηβαίῳ ὄντι. § μέλλοντος γὰρ Κείοις γράφειν προσοδιακὸν παιᾶνα καὶ ὑπογύου ὄντος τοῦ χρόνου, καθ' ὃν ἔδει συντετελέσθαι τὸ ποίημα τὸ Δηλιακὸν, ἔτι περὶ τὴν γραφὴν ἀσχολούμενος μεταξὺ Ἡροδότου Θηβαίου ὄντος καὶ νικήσαντος τὰ Ἴσθμια, ἐάσας ἀσυμπέραστον τὸ εἰς Δῆλον ποίημα συντάττει τῷ Ἡροδότῳ τὸν ἐπίνικον. τὰ Ἴσθμια δὲ διὰ τριετηρίδος ἄγεται. [7])

1. Μᾶτερ ἐμά] καθίστησι τὸν λόγον πρὸς τὴν Θήβην, παρόσον καὶ ὁ Πίνδαρος Θηβαῖος. τοῦτο γὰρ τὸ πρὸς τὸν Ἡρόδοτον δίκαιον καὶ τῶν ἐν χερσὶν ἀφέμενον παρέθηξε τῆς τοῦ ἐπινίκου γραφῆς φροντίσαι. [8]) ἐν ταὐτῷ δὲ καὶ πρὸς τὴν πατρίδα καὶ πρὸς τὴν ἡρωΐδα, ἀφ' ἧς ἡ πόλις καλεῖται, τοὺς λόγους ποιεῖται· ἡ γὰρ χρύσασπις ἐπὶ τῆς ἡρωΐδος, ἣν Ἀσωποῦ καὶ Μετώπης τῆς Λάδωνός φασιν. § ὁ δὲ νοῦς· ὦ Θήβη ἐμὴ μῆτερ, τὸ σὸν πρᾶγμα πάσης ἀσχολίας κρεῖσσον προτίθημι καὶ κρίνω. μηδαμῶς μοι ἡ τραχεῖα καὶ πετρώδης Δῆλος νεμεσήσειεν, ἐφ' ᾗ νῦν πᾶς ἔγκειμαι. τί βέλτιον ἢ προς-

1) Vs. 11. vulg. 2) Vs. 96. vulg. 3) Vs. 51. vulg. 4) Rom. ὅς. 5) Vs. 52. vulg. 6) Aut τοῦ θεοῦ (Apollinis, cui maxime paeanes offeruntur) aut τῆς Δήλου scribendum; et me iudice posterius. 7) Sequuntur in Rom. verba: Ἐξήγησις παλαιὰ πάνυ ὠφέλιμος. 8) Turbatus erat locus: etenim verba καθίστησι τ. λ. π. τὴν Θήβην legebantur post δίκαιον, et post παρέθηξε erat καὶ, quod delevi.

Digitized by Google

φιλέστερον [1]) τοῖς ἀγαθοῖς τῆς ἑαυτῶν πατρίδος; φησί. τὸ γὰρ κεδνῶν τοκέων ἀντὶ τῆς πατρίδος. χρύσασπις ἀντὶ τοῦ τιμία κατὰ τὰ ὅπλα· ἐκ δὲ τούτου, ὦ γενναίους ἔχουσα ἄνδρας.

3. Κραναά] τραχεῖα καὶ πετρώδης ἡ νῆσος· ἔστι δὲ μία τῶν Κυκλάδων κατὰ τὸ Αἰγαῖον πέλαγος. ἐκ τούτου δῆλον, ὅτι εἰς Δῆλον ἔγραφε Κείοις, ὥςτε καὶ ὑποβαίνων φησίν· Ἐν Κέῳ ἀμφιῤῥύτῳ. [2]) Ἐν ᾗ κέχυμαι, τουτέστιν ἐφ' ᾗ νῦν τῇ Δήλῳ τὴν σπουδὴν εἶχον τῆς γραφῆς.

6. Εἶξον, ὦ πολλωνιὰς, ἀμφοτέρων τοι χαρίτων] δύο χαρίτων· μιᾶς μὲν ὅτι αὐτῇ τὸ ἀσυμπέραστον γράφει ποίημα, δευτέρας δὲ ὅτι πεισθεῖσα ὑπεχώρησε τῷ νῦν τοῦ Ἡροδότου ἐγκωμίῳ. τὸ δὲ ἑξῆς· ὑποχώρησον, ὦ τῷ Ἀπόλλωνι τιμωμένη καὶ τετιμημένη Δῆλε. ὅτι κατ' αὐτὴν ἐγένετο ὁ θεός. δύο γὰρ χαρίτων ἕνεκεν, συμπραττόντων τῶν θεῶν παρασκευάσω σοι ὕμνον. ἔνιοι δὲ οὕτως· ἀμφοτέρων τῶν χαρίτων τὸ τέλος συζεύξω, καθ' ἣν τε σοὶ χαριστέον ἐστὶ καὶ καθ' ἣν τῇ πατρίδι. οἱονεὶ ἀμφότερα ποιήσω, καὶ τὸν Ἀπόλλωνα ἐν ᾧ δεῖ καιρῷ ὑμνήσω καὶ τὸν ἐπίνικον πληρώσω. τὸ δὲ χορεύων ἀντὶ τοῦ μετὰ χοροῦ ὑμνῶν, ἐπεὶ οἱ χοροὶ ἀπαγγέλλουσι τὰ ποιήματα ἐν Δήλῳ εἰς τὸν Ἀπόλλωνα. πῶς οὖν τὸ Δηλιακὸν ποίημά φησιν ᾄδειν ἐν Κέῳ; μή ποτε οὖν προαναλαμβάνοντας [3]) ἐν ταῖς πατρίσιν, οὗ οἱ χορευταὶ ἐμελέτων τὰς ᾠδὰς καὶ οὕτως ἀπήεσαν. § ἀπὸ οὖν τοῖ παρακολουθοῦντος τοῖς ὕμνοις τοῦτό φησιν ἀντὶ τοῦ ὑμνῶν, ὅτι μετὰ χορείας ἐλέγοντο οἱ ὕμνοι.

9. Ἐν Κέῳ ἀμφιρύτῳ σὺν ποντίοις ἀνδράσι] τοῖς κατὰ τὴν Κέω φησί. ποντίους δὲ αὐτοὺς ἔφη ὡς νησιώτας. τὸ δὲ ἑξῆς· καὶ τὸν ἄτμητον τὰς κόμας Ἀπόλλωνα ὑμνῶν ἐν τῇ Κέῳ σὺν τοῖς νησιώταις ἀνδράσι, καὶ τὴν προβεβλημένην καὶ ὑπὸ θαλάσσης περιοριζομένην τοῦ Ἰσθμοῦ ἐξοχήν. ἵν' ᾖ ὅλον· ὅτι ὑμνήσω καὶ τὴν Κέω [4]) καὶ σὲ, ὦ Δῆλε, καὶ τὸν Ἰσθμόν. καὶ ὕστερον σοὶ πάλιν τὸν ἐπίνικον [5]) ἀποδώσω.

11. Στεφάνους ἔξ] καταχρηστικώτερον ἀπὸ τῶν πλειόνων. § Ἄλλως. ἤτοι ἀριθμητικῶς ἓξ ἢ καταχρηστικώτερον ἐπὶ πολλῶν.

Ἐπεὶ στεφάνους ἓξ ὤπασε Κάδμου στρατῷ] διαπορεῖται τίς ἐνεχείρισε τῷ Κάδμου στρατῷ, τουτέστι ταῖς Θήβαις, τοὺς στεφάνους. ἔνιοι μὲν οὖν τὸν Ἰσθμὸν ἀκούουσιν, ὡς ἑξάκις [6]) νενικηκότων τῶν Θηβαίων τὰ Ἴσθμια· ἔνιοι δὲ αὐτὸν τὸν Ἡρόδοτον· τοῦτον γὰρ ἑξάκις Ἴσθμια νενικηκέναι Θηβαῖον ὄντα. τούτων δὲ οὐδέτερον ἐν ταῖς Ἰσθμιακαῖς ἀναγραφαῖς ὡμολόγηται· δι' ἣν αἰτίαν οἱ Ἀριστάρχειοι ψιλοῦντες καὶ συντιθέντες ἐξώπασεν, [7]) ἐπὶ τοῦ νικηφόρου ἐκλαμβάνονται τὸν λόγον, περισσὴν εἶναι λέγοντες τὴν ἐξ πρόθεσιν ποιητικῇ συνηθείᾳ. τὸ γὰρ ὅλον εἶναι· Ἐπεὶ ὤπασεν, ὅ ἐστι περιεποίησεν· ἄλλως τε [8]) οὐκ ἀναγκαῖον ἀριθμὸν κεῖσθαι· πολλῷ γὰρ μᾶλλον κυδαίνεσθαι τὸν νενικηκότα. Ἀριστόδημος δὲ ὁ Ἀλεξανδρεὺς δασύνων καὶ διαιρῶν τὸ μὲν ἓξ ἐπὶ τοῦ Ἡροδότου ἀκούει, τὸ δὲ ὤπασεν ἐπὶ τοῦ Ἀπόλλωνος: προστάτης γὰρ τῶν ἀγώ-

1) Vulgo προςφιλέστατον. 2) Vs. 9. vulg. 3) Sic Heynius dedit ad χορούς. Rom. προαναλαμβάνοντι. 4) Vulgo Κῶ. 5) Potius ὕμνον Delo scribendum. 6) Vulgo ἕξ. 7) Addidi verba συντιθέντες ἐξώπασεν postulante sententia. Opposita infra sunt: δασύνων καὶ διαιρῶν. 8) Videtur aliquid deesse.

Digitized by Google

νων ὁ θεὸς, ἐξ οὗ προνοίᾳ, φησὶ, τοῦ θεοῦ νενικηκέναι τὸν Ἡρόδοτον, οὐκ Ἰσθμικοὺς ἀγῶνας, ἀλλὰ συμμίκτους, οὓς καὶ αὐτὸν ἐπιλίγειν Πίνδαρον, [1]) ἐν μὲν Θήβαις Ἰολάεια [2]) ἢ Ἡράκλεια, ἐν δὲ Ὀρχομενῷ Μινύεια, ἐν δὲ Εὐβοίᾳ Βασίλεια, ἐν δὲ Θεσσαλίᾳ Πρωτεσιλάεια, [3]) καὶ ἐν Ἰσθμῷ νῦν, καὶ ἄλλους δὲ περιχωρίους, οὓς διὰ μακρῶν παρῆλθεν ὁ Πίνδαρος.

13. Ἐν ᾗ] ἐν ᾗ, τῇ Θήβῃ. καιριωτάτην ἑαυτῷ τῶν πατρίων εἰςβολὴν παρέσχετο.

15. Θρασεῖαι] συλληπτικὸς ὁ τρόπος· εἷς γὰρ ἦν ὁ Γηρυόνου κύων. Ἡσίοδος [4]) εἶπεν· Ὄρθον μὲν πρῶτον, εἷς τὸ αὐτό. ἄκος [5]) τῷ Πινδάρῳ πρὸς τὸ ἑαυτοῦ συμφέρον καὶ τὰς ἱστορίας βιάζεσθαι. ἑνὸς γὰρ ὄντος τοῦ Γηρυόνου κυνὸς, ὥς γε καὶ Ἡσίοδος [6]) μαρτυρεῖ·

Ὄρθον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα·

ὥστε τῷ πληθυντικῷ καταχρησάμενος κύνες φησί. καὶ μή ποτε ἀνάξιον Ἡρακλέους ἡγήσατο πρὸς ἄθλον καὶ κατόρθωμα τοῦ ἥρως ἀντιπαρατάξαι τὸν κύνα.

17. Ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων] ἀλλ' ἐγὼ τῷ Ἡροδότῳ κατασκευάζων τὸν μὲν ὕμνον, ὅτι τεθρίππῳ αὐτὸς ἀγωνισάμενος δι' ἑαυτοῦ ἐνίκησε· τὸ δὲ, ὅτι καὶ ἱπποτρόφησεν, αὐτὸν βούλομαι ἐφαρμόσαι ἢ Κάστορος ἢ Ἰολάου ὕμνῳ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τὸν Ἡρόδοτον ἱπποτροφήσαντα καὶ δι' ἑαυτοῦ ἀγωνισάμενον καὶ νενικηκότα ὁμοίως Κάστορι καὶ Ἰολάῳ ἁρμόσαιμι. διὰ τούτων δὲ συνίστησιν, ὅτι αὐτὸς ἡνιόχησεν ὁ Ἡρόδοτος κατὰ τὸν ἀγῶνα. § ὁ δὲ λόγος· ἐγὼ δὲ τὸ μέλος τῷ Ἡροδότῳ τεύχων τὸ μέν τι, καθόσον ἔνίκησε, τὸ δέ τι, καθὸ αὐτὸς ἡνιόχησεν. [7]) § Τὸ μὲν ἅρματι τεθρίππῳ ὡς ἱπποτροφήσαντα καὶ ἐλάσαντα.

19. Ἀνία τ' ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ' ἐθέλω] ἐλλείπει διὰ τὸ νωμᾶσθαι.

21. Ἢ Καστορείῳ] ἢ Κάστορος ἱππικοῦ ὄντος.

Ἢ Ἰολάου] Ἰόλαος δὲ ἦν Ἡρακλέους ἡνίοχος· ἀλλ' εὑρήματα Πινδάρου ἐν Ὑπορχήμασιν, [8]) ὡς καὶ εὕρημα Κάστορος, ὡς αὐτὸς λέγει.

23. Κεῖνοι γάρ] εἰ καὶ μὴ ἡ ἱστορία συγχωρεῖ, ἀλλ' οὖν γε αὐτὸς σχηματίζει τὸν λόγον. ὅταν γὰρ λέγῃ, Κεῖνοι γὰρ ἡρώων διφρηλάται, τὴν αἰτίαν αὐτὸς ἐπιφέρει· ἐπεὶ οὗτοι οἱ ἥρωες διέπρεψαν ἐπὶ ἱππικῇ αὐτοὶ ἡνιοχοῦντες. ἰδίως δὲ ὁ λόγος κατὰ τοῦ Ἰολάου εὑρεθήσεται τοῦ Ἡρακλέος ἡνιόχου, κατὰ δὲ τοῦ Κάστορος οὐκέτι· ἀλλὰ τὸ χωρὶς συμβεβηκὸς τῷ Κάστορι καὶ Ἰολάῳ, κατ' ἀμφοτέρων κοινῶς εἴρηκε· Λακεδαιμόνιος μὲν γὰρ ὁ Κάστωρ, Θηβαῖος δὲ ὁ Ἰόλαος. καλλίων δέ ἐστιν αὕτη ἡ ἔκδοχὴ, ἵνα ἐπαμφοτερίζοντα τὸν λόγον νοήσωμεν· ἐκεῖνοι γὰρ, Κάστωρ τε καὶ Ἰόλαος, ὑπὲρ πάντας ἥρωας ἄριστοι διφρηλάται [9]) γεγόνασιν.

1) Vs. 79 sqq. vulg. 2) Vulgo Ἰόλεια. 3) Olim Πρωτεσίλεια. 4) Theog. 309. 5) An ἔθος? 6) Theog. 293. 7) Vulgo ἱπποτρόφησε. 8) Haec immane quantum corrupta sunt. Scholiastes vult, Iolaum auctore Pindaro in Hyporchematis invenisse certamen quadrigarum, quem cum Herculis equis vicisse tradit Pausan. V, 8. idemque inventum etiam Castori tribui. Igitur correxerim: Ἰόλαος δὲ ἦν Ἡρ. ἡνίοχος· ἅρματα δὲ αὐτοῦ εὕρημα κατὰ τὰ Πινδάρου etc. Conf. Pind. Pyth. XI. extr. Ξυνωρίδα Castorem invenisse monet Schol. Pyth. V, 6. 9) Addidi vocem διφρηλ.

Digitized by Google

26. Ἔν τ' ἀέθλοισι] κατὰ τὸ ἐναντίον ἀπέδωκεν. οὐδεὶς γὰρ ἐν ἄθλοις ἀγώνων τυγχάνει, ἀλλ' [1]) ἐν ἀγῶσι τῶν ἄθλων. ἀρχαιοπρεπὴς οὖν καὶ ποιητικώτατος ὁ λόγος, ὥστε κατὰ τὸ Ὁμηρικὸν δῆλον· [2]) Ὁ δὲ χασσάμενος πελεμίχθη· ἔστι γὰρ πελεμιχθεὶς ἀνεχώρησεν. § Ἄλλως. ἀντὶ τοῦ καὶ ἐν τοῖς ἀγῶσι πλείστων ἔψαυσαν ἄθλων, καὶ τοῖς τρίποσι καὶ ταῖς χρυσαῖς φιάλαις, ἃ ἦν ἔπαθλα τῶν ἀγώνων, τὸν ἑαυτῶν ἐκόσμησαν οἶκον, τῶν τῆς νίκης στεφάνων μεταλαβόντες.

30. Λάμπει δὲ σαφὴς ἀρετά] σαφῶς ἐπιῤῥηματικῶς. τὸ δὲ ἑξῆς· λάμπει δὲ σαφῶς ἡ ἀρετὴ ἔν τε γυμνικοῖς σταδίοις καὶ ἐν τοῖς τῶν ὁπλιτῶν δρόμοις, ὡς πᾶν ἀγώνισμα τούτων ἀγωνισαμένων. συλληπτικῷ [3]) δὲ κέχρηται τῷ σχήματι· ἐν γὰρ τῷ ἐπὶ Πελίᾳ ἀγῶνι ὁ Ἰόλαος τὸν ὁπλίτην νικᾷ, ὃν κοινὸν ἐπ' ἀμφοτέρων ἔθηκεν· ὁ δὲ Κάστωρ τὰ δευτερεῖα ἔλαβε δισκεύων καὶ ἀκοντίζων, καὶ τοῦτο κοινὸν ἔταξε. τὸ δὲ οἷα θαυμαστικῶς· ὁποῖα γὰρ ἴεσαν [4]) ἀκοντίζοντες τὰ δόρατα, [5]) ἃ ἀποτομάδας καλοῦσι, παρόσον οἱ ἀρχαῖοι τοῖς νικῶσιν ἀκοντίῳ τοσοῦτον ἀπετέμνοντο τῆς γῆς ἔπαθλον, ὅσον ὁ νικηφόρος ἠδύνατο βαλεῖν.

34. Καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν] καὶ Ὅμηρος·

Βόμβησεν δὲ λίθος, κατὰ δ' ἔπτηξαν ποτὶ γαίῃ. [6])

35. Οὐ γὰρ ἦν πένταθλον] οὐκ ἦν, φησί, τότε ὁ πένταθλος ἀγών, τὸ ἐκ πέντε ἀγωνισμάτων συνεστηκὸς ἄθλημα, κατ' ἰδίαν δὲ ἑκάστῳ τέλος ὑφειστήκει. τέλος δὲ λέγει τὸ νικηφορῆσαι, ἢ τὸν ἐφ' ἑκάστῳ τιθέμενον στέφανον. § Ἄλλως. οὔπω γὰρ ἦν ἐπὶ Κάστορος καὶ Ἰολάου τὸ πένταθλον, ὅπερ ἦν ἅλμα, δίσκος, ἀκόντιον, δρόμος καὶ πάλη· ἀλλὰ διαλελυμένως ἐφ' ἑκάστῳ ἀγωνίσματι καὶ ὁ στέφανος ἦν. [7]) τὸ δὲ κεῖτο τέλος, ἀντὶ τοῦ ἦν ἰδιάζων καὶ ὁ στέφανος.

36. Τῶν ἀθρόοις] ὤντινων βλαστήμασι καὶ [8]) στεφάνοις πλείστοις ἀναδησάμενοι τὰς κεφαλὰς, ἔνδοξοι ὤφθησαν κατὰ τὰς Θήβας καὶ Λακεδαίμονα. πάλιν δὲ πρὸς αὐτὸ [9]) συγκέκρουκε τὸ ἑκατέρῳ συμβεβηκὸς, εἰπὼν αὐτοὺς φανῆναι νενικηκότας πέλας τῆς Δίρκης καὶ τοῦ Εὐρώτα· Ἰόλαος μὲν γὰρ παρὰ τῇ Δίρκῃ· ἔστι δὲ αὕτη Θηβῶν· Κάστωρ δὲ παρὰ Εὐρώτᾳ· οὗτος γὰρ Λακεδαιμόνιος ποταμός.

1) Pro vocula ἀλλ' erat ἤ. 2) Iliad. δ, 545. 3) Vulgo ἐπισυλληπτικῷ. 4) Sic Schneiderus: vulgo ἦσαν. 5) Sequebantur verba: καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν, lemma scholii vs. 34. male h. l. illatum. Quippe illa, ἃ ἀποτομάδας καλοῦσι cet. coniungenda sunt cum praegresso δόρατα. Hesychius: ἀποτομάδα· σχίζαν, καὶ ἀκόντιον πεντάθλου. Pollux III, 151. καὶ τὸ ἀκόντιον τῶν πεντάθλων καλεῖται ἀποτομὰς, ut libri habent pro vulgato ἀποτομεύς. Eidem X, 64. inter instrumenta gymnasiorum recensentur δίσκοι καὶ ἀποτομάδες. Etym. M. Ἀποτομή· ἀκόντιον μικρὸν etc. Haec vero iam interpretibus Hesychii commemorata satis confutant Valckenarii ad Ammon. p. 61. commentum, qui et proposita coniectura ἔργμα τι κεῖτο τέλος Pindarum corrumpit, et hoc ἔργμα, quod *circumscriptum praemium*, nimirum agri portionem victori attributam male interpretatur, per ἀποτομάδας explicari censet, ut adeo ἀποτομάδας *iaculatorum praemia* habuerit. 6) Odyss. ϑ, 190. Lemma huius scholii vulgo notatis ad vs. 30. insertum legebatur: ipsa vero annotatio, quam huc pertinere vidit Valckenarius, ad vs. 36. exstabat praefixo lemmate a me sublato: Ἔργματι κεῖτο τέλος. Conf. Schol. Olymp. XI, 86. 7) Hoc loco lemma, quod dixi, et notulam ad vs. 34. a me relatam delevi. Διαλελυμένως reduxi e Rom. 8) Transposui βλαστ. quod fuit post ἀναδησ. et addidi καί. 9) Scribe πρὸς ἄμφω vel πρὸς ἀμφοτέρους.

Digitized by Google

38. Ῥεέθροισί τε] πρὸς τὸ Εὐρώτα τὸ ῥεέθροις ἀκουστέον. ἔδει δὲ ἕκαστον οἰκείως ἐπὶ τῶν ἰδίων χωρίων ἀκοῦσαι.

40. Ἰφικλέος μὲν παῖς] τὸ ἑξῆς· ὁ μὲν τοῦ Ἰφικλέος παῖς Ἰόλαος πολίτης ὢν Θηβαίοις, ὁ δὲ τοῦ Τυνδάρεω Κάστωρ ἐν τοῖς Ἕλλησι τὴν ἐπίδοξον καὶ ὑψηλοτάτην οἰκῶν Λακεδαίμονα, ἀπὸ κοινοῦ τὸ ἐπίδοξοι ὤφθησαν.

41. Σπαρτῶν γένει] οἱ γὰρ ὑπὸ Σπαρτῶν ὑπολειφθέντες οἰκισταὶ τῶν Θηβαίων γεγόνασιν, Ὑπερήνωρ, Χθόνιος, Πέλωρος, Οὐδαῖος, Ἐχίος.

43. Ὑψίπεδον Θεράπνας οἰκέων ἔδος] Θεράπνης, τῆς Λακεδαίμονος· Θεράπνα γὰρ κώμη αὐτόθι. τὸ δὲ ὑψίπεδον ἔδος δοκεῖ ἐναντίως εἰρῆσθαι τῷ Ὁμηρικῷ. φησὶ γάρ· [1])

Οἱ δ' ἶξον κοίλην Λακεδαίμονα κητώεσσαν.

ἀλλ' ἀπολυσόμεθα οὕτως· ὑψίπεδος ἡ Λακεδαίμων καθ' ἑαυτὴν, κοίλη δὲ ὡς πρὸς τὰς πλησίον πόλεις· ἢ ὑψίπεδον αὐτὴν φησι διὰ τὰς τῶν οἰκούντων ἀρετάς τε καὶ εὐδοξίας. § Ἄλλως. τουτέστι Σπαρτιάτης ὤν· ἡ γὰρ Θεράπνη τῆς Σπάρτης. Ἀχαιοὺς δὲ εἴρηκε τοὺς Σπαρτιάτας, ἐπειδὴ πρότερον οἱ Ἀχαιοὶ τὴν Σπάρτην ᾤκουν, αὖθις δὲ τῶν Ἡρακλειδῶν μετὰ Δωριέων ἀφικομένων Δωριεῖς προσωνομάσθησαν. § ἰστέον ὅτι τῆς Λακωνικῆς ἐν Θεράπναις τὸ ἱερόν ἐστι τῶν Διοσκούρων.

44. Χαίρετ'. ἐγὼ δέ] ὁ λόγος παρὰ τοῦ Πινδάρου πρὸς τοὺς ἥρωας. τὸ δὲ ἑξῆς· ἱλήκοιτε, ὦ ἥρωες, ἐγὼ δὲ τῷ Ποσειδῶνι καὶ τῇ Ἰσθμῷ τῇ θείᾳ καὶ τῷ Ὀγχηστῷ τὸν ὕμνον ἐπιμελῶς παρέχων ἐν ταῖς τιμαῖς καὶ τοῖς κατορθώμασι τοῦ νικηφόρου ὑμνήσω τοῦ πατρὸς αὐτοῦ Ἀσωποδώρου τὴν εὐδαιμονίαν. Ὀγχηστὸς δὲ τῆς Βοιωτίας χωρίον πάραλον ἀνιερωμένον Ποσειδῶνι, ὡς καὶ Ὅμηρος μαρτυρεῖ· [2])

Ὀγχηστόν θ' ἱερὸν, Ποσιδήϊον ἀγλαὸν ἄλσος.

ἀϊόνεσσι δὲ εἶπεν, ἐπειδὴ παράκειται τῇ Ὀγχηστῷ πόλει τῆς Βοιωτίας ἡ Κωπαΐς λίμνη.

47. Περιστέλλων ἀοιδάν] θεραπεύων τὸν ὕμνον, τουτέστιν ἐπιμελείας καὶ σπουδῆς ἀξιῶν.

51. Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν] προείρηται, ὅτι ὁ Ἡρόδοτος [3]) μὲν Θηβαῖος, ὁ δὲ πατὴρ Ὀρχομένιος. § ἢ οἱ μὲν τοῦ πατρὸς γονεῖς Ὀρχομένιοι, ὁ δὲ πατὴρ Θηβαῖος διὰ τὸ ἐκεῖ γεννηθῆναι. § καὶ [4]) Ὀρχομένιος, διὰ τὸ οἷον ὑπὸ μητρὸς δεχθῆναι ἐκπεσόντα· ἡ γὰρ μήτηρ Ὀρχομενία, ὁ δὲ πατὴρ Θηβαῖος· ἢ κατά τινας, ὅτι Θηβῶν μέν ἐστιν Ὀρχομενὸς ἡ πόλις. ἐγκωμίου τρόπῳ δὲ Θηβαῖον γράφει.

52. Ἄνιν ἐρειδόμενον] φυγαδευθεὶς γὰρ ὁ Ἀσωπόδωρος Θήβηθεν ἐν Ὀρχομενῷ ἐπολιτογραφήθη. § Ἄλλως. ναυαγήσας ὁ Ἀσωπόδωρος ἐν Ὀρχομενῷ ἐξερρίφη.

Ἄνιν ἐρειδόμενον] ἤτις ἡ Ὀρχομενὸς αὐτὸν, ἐπὶ ταύτῃ γὰρ ὁ λόγος, βαρυνόμενον ἐπὶ ταῖς ναυαγίαις [5]) ἐδέξατο· ἀλληγορεῖται δὲ τὴν ἔκπτωσιν θαλάσσῃ καὶ χειμῶνι παραβάλλων. ἀμφίβολον δέ ἐστι, φησὶν [6]) ὁ Δίδυμος, πότερον τὸν Ἡρόδοτον ἢ τὸν Ἀσωπόδωρον λέγει· δύναται γὰρ ἐπ' ἀμφοτέρων ἀκούεσθαι συντυχίᾳ. καὶ Αἰσχύ-

1) Odyss. δ, 1. 2) Iliad. β, 506. 3) Vulgo ὁ τοιοῦτος. 4) Scribe ἢ καί. 5) Vulgo ἐπὶ τῆς ναυαγίας. Quod reposui, praefero coniecturae Valckenarii ad Ammon. p. 159. ἀπὸ τῆς ναυαγίας. 6) Rom. φησὶν ἔστιν.

Digitized by Google

λος [1]) τὴν δυστυχίαν χειμῶνα καὶ τρικυμίαν λέγει. § συντυχίᾳ, [2]) τῇ φυγῇ· κοινὸν γὰρ ἡ συντυχία.

56. Ὁ πονήσας δὲ νόῳ] ὁ Χρύσιππος ἐμφαίνειν φησὶν, ὡς καὶ πρότερον μὲν συνετῶς ἐγχωρήσαντα, ὡς μὴ κινδυνεύσῃ, καὶ κατὰ τὴν κάθοδον ἠσφαλισμένον τὰ καθ' ἑαυτόν· τοῦτο οὖν φησιν· ὁ παθὼν καὶ τῷ νῷ προμαθὴς γίνεται. Ἀλκμάν· [3]) Πεῖρά τοι μαθήσιος ἀρχά. καὶ Ὅμηρος· [4]) Παθὼν δέ τε νήπιος ἔγνω.

58. Εἰ δ' ἀρεταὶ] ὅτι ἀρεταὶ κατάκειται, εἴρηκεν ἐπιζεύξας πληθυντικῷ ἑνικὸν ῥῆμα τὸ κατάκειται. καὶ ὅτι ὀργὰν τὸ ἦθος λέγει.

Εἰ δ' ἀρετὰ κατάκειται] Ἀρίσταρχος σὺν τῷ ῑ γράφει καὶ περισπᾷ, καὶ Ἀττικὴν δέχεται τὴν σύνταξιν, ἵν' ᾖ ὁ λόγος· εἰ τῇ ἀρετῇ κατάκειται πάντα τρόπον, [5]) ἔν τε τῷ πονεῖν αὐτὸν τῷ ἰδίῳ σώματι καὶ τῷ δαπανᾶν, τῷ μὲν δαπανᾶν καθόσον ἱπποτρόφησε, τῷ δὲ πονεῖν καθόσον ἡνιόχει· χρὴ τοῖς εὑροῦσι τὴν τοιαύτην ἀρετὴν τὸν ἀγήνορα κόσμον μὴ φθονεραῖσι γνώμαις φέρειν, τουτέστι τὸ σεμνὸν αὐτῶν καύχημα μὴ φθονερῶς φέρειν, ἀλλ' ἐπαινεῖν. ἔνιοι δὲ οὕτως· εἰ οὖν ἐν ἀρετῇ κεῖται καὶ δαπανῶν καὶ πονῶν, δεῖ τὴν τοιαύτην τοῖς εὑροῦσιν ἀρετὴν μὴ φθονεῖν μηδὲ βασκάνους ἐπιφέρειν λόγους. ἔσται δὲ ἄκυρον τὸ μέν.

60. Χρή μιν εὑρόντεσσι] καὶ ταῦτα περὶ Ἡροδότου τοῦ λόγου ὄντος, καὶ ἐπαναλαμβάνοντος τοῦ Πινδάρου τὴν ἀρετὴν τοῦ Ἡροδότου. ἔνιοι δὲ πληθυντικῶς ἀναγινώσκουσιν, Εἰ δ' ἀρεταὶ κατάκειται, κατὰ τὴν Πινδάρου συνήθειαν, ἵν' ᾖ· εἰ αἱ ἀρεταὶ κατάκεινται· ὃ καὶ μᾶλλον. βέλτιον δέ φησιν ὁ Δίδυμος τὸ Εὑρόντεσσι τὸν ἀγάτορα κόμπον, τουτέστι τὸν ὕμνον εἰς τοὺς δαπάνῃ καὶ ἔργῳ κεκτημένους τὴν ἀρετὴν μὴ φθονεῖν· ὥστε καὶ τὸν Πίνδαρον μὴ δεῖν φθονεῖσθαι διὰ τοὺς εἰς τὸν Ἡρόδοτον ἐπαίνους. λέγοι δ' ἂν ἀγάνορα κόμπον τὸν ἐκ τῶν ἀγαθῶν ἔπαινον τὸν ἐκ τῶν ποιημάτων· τοῦτο δὲ σαφὲς ἐκ τοῦ ἐπιφερομένου.

61. Ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ] σοφὸν δ' ἂν εἴη λέγων καὶ τὸν τοὺς ἀγαθοὺς ἐπαινοῦντα. τῷ γὰρ σοφῷ κούφη ἐστὶ δόσις, φησὶν, ἀντὶ παντοίων μόχθων ἐπαινέσαντα τὸ κοινῇ νομιζόμενον καλὸν ἀνορθῶσαι. § Ἄλλως. Κούφα δόσις ἀνδρὶ σοφῷ, ἐπεὶ τῷ σοφῷ ἀνδρὶ ῥᾳδία, φησὶ, καὶ ἀνεπαχθής ἐστιν ἡ τῶν λόγων δόσις. κοινὸν δὲ καλὸν τὸν ἔπαινόν φησιν· ἐπιδιατείνει γὰρ εἰς τοὺς ἐκτός. κόσμος γάρ ἐστι καὶ τῶν ἄλλων πολιτῶν τὸ περὶ ἕνα γινόμενον ἐγκώμιον.

67. Μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε] τῷ τὰ μῆλα νέμοντι, τῷ ποιμένι, καὶ τῷ τὴν γῆν ἀροῦντι, καὶ τῷ τὰς ὄρνις θηρεύοντι, καὶ ὃν πόντος τρέφει· Χρύσιππος τὸν ἔμπορον, Δίδυμος δὲ τὸν ἁλιέα φησίν.

69. Γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμόν] πᾶς γὰρ τὸν λιμὸν ἀποθεραπεύων, φησὶν, ἐπίκειται τοῖς ἔργοις καὶ κάμνει. αἰανῆ δὲ οἱ μὲν τὴν χαλεπὴν παρὰ τὸ αἶ αἶ, οἱ δὲ τὸν διηνεκῆ λιμὸν παρὰ τὸ αἰέν. τὸ δὲ τέταται ἀντὶ τοῦ σπεύδει.

1) Vulgo Ἀλκαῖος, quod emendat vir doctus Mus. crit. Cantabr. T. I, p. 428. Versus est Aeschyli Prometh. 1015. 2) Addidi συντυχίᾳ. 3) Fragm. Welck. 59. p. 63. 4) Potius Hesiodus Opp. et D. 218. Sed Homerus Ῥεχθὲν δέ τε νήπιος ἔγνω Iliad. ρ, 32. υ, 198. 5) Vulgo κατὰ τρόπον, omissis ceteris.

Digitized by Google

71. Ὃς δ' ἀμφ' ἀέθλοις] ὅστις δὲ ἂν τῶν ἀνθρώπων ἐν ἀγῶνι καὶ πολέμοις ἀνίληται δόξαν ἀνθηρὰν, ἐγκωμιασθεὶς μισθὸν ὑψηλὸν καὶ ἐπίδοξον δέχεται παρὰ τῶν πολιτῶν καὶ τῶν ξένων τῆς γλώσσης τὴν εὐφημίαν. γλώσσης γὰρ ἄωτόν φησι τὸ ἐγκώμιον.

76. Ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱόν] Χρύσιππος, παρείληφε, φησὶ, τὸν Ποσειδῶνα διὰ τὴν γειτνίασιν τοῦ Ὀγχηστοῦ, καθὼς συμβέβηκεν ἱπποδρομίου Ποσειδῶνος ἱερὸν ἐν Θήβαις εἶναι. § ὁ δὲ νοῦς· ἡμῖν δὲ προσήκει ἀμειβομένοις τὸν ἱππικώτατον Κρόνου παῖδα Ποσειδῶνα εὐεργέτην ὄντα τῶν ἁρμάτων ἀνυμνῆσαι ἀντιδιδόντας τῷ θεῷ τὸν ὕμνον ἀντὶ τῶν εἰς τὸν νικηφόρον εὐεργεσιῶν. ἐντεῦθεν δὲ λεληθότως καταλέγει τὰς ἐξ αὐτοῦ νίκας.

77. Γείτον' ἀμειβομένοις] γείτονα, τὸν Θηβαῖον, ὡς πρὸς τὸν Ὀγχηστόν· καὶ γὰρ αὕτη τῆς Βοιωτίας.

79. Καὶ σέθεν] κατὰ σύλληψιν Ἀμφιτρύωνος ἔφη παῖδας τόν τε Ἡρακλέα καὶ τὸν Ἰόλαον, ὃς ἦν Ἰφικλέους τοῦ Ἀμφιτρύωνος υἱός. Ἰολάεια δὲ ἐν Θήβαις ἀγὼν καὶ Ἡράκλεια. Μινύα δὲ μυχὸν τὸν Ὀρχομενὸν εἶπεν· οὗτος γὰρ λέγεται καὶ Ὀρχομενὸς Μινύειος· ταύτῃ γὰρ ἐνῴκησεν ὁ Μινύας. τοῦτον δὲ τὸν Μινύαν οἱ μὲν Ὀρχομενοῦ γενεαλογοῦσιν, ὡς Φερεκύδης, [1]) ἔνιοι δὲ ἔμπαλιν τὸν Ὀρχομενὸν Μινύου, ἔνιοι δὲ ἀμφοτέρους Ἐτεοκλέους γενεαλογοῦσι, Διονύσιος δὲ τὸν Μινύαν Ἄρεος ἀναγράφει, Ἀριστόδημος δὲ Ἀλεοῦ τὸν Μινύαν, καὶ τοὺς Ἀργοναύτας δὲ Μινύας ἐντεῦθεν γράφει προσηγορεῦσθαι.

81. Καὶ τὸ Δάματρος] ὅτι ἐν Ἐλευσῖνι Δήμητρός ἐστιν ἀγὼν καὶ στέφανος ἦν κριθαί. ἀπὸ κοινοῦ γὰρ ἐπὶ [2]) πάντων τῶν ἀγώνων τὸ προσειπεῖν ἀκουστέον, ἵνα ἔχῃ οὕτω· προσήκει προσειπεῖν καὶ τῆς Δήμητρος τὸ ἱερὸν ἄλσος τὴν Ἐλευσῖνα καὶ τὴν Εὔβοιαν, καθ' ἣν ὁ νικηφόρος ἐνίκησεν. § Ἄλλως. ἐν τοῖς δρόμοις τούτοις καὶ ἀγωνίσμασι προσῆκον ἡμῖν ἐστιν ἀνυμνῆσαι Ἐλευσῖνα καὶ Εὔβοιαν. τὸ δὲ γναμπτοῖς δρόμοις πρὸς πάντα ληπτέον τὰ λεγόμενα· καὶ γὰρ τὸν Ποσειδῶνά φησι καὶ τοὺς ἄλλους Εὐβοιάν τε καὶ Ἐλευσῖνα διὰ τοὺς δρόμους καὶ τοὺς ἐν αὐταῖς ἀγῶνας, καθ' οὓς ἐνίκησεν ὁ ἐγκωμιαζόμενος.

83. Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν] τὸ ἑξῆς· καὶ τὸ σὸν δὲ τέμενος, ὦ Πρωτεσίλαε, τὸ ἐν Φυλάκῃ συγκαταριθμοῦμαι ταῖς τοῦ Ἡροδότου νίκαις. ἔστι δὲ Πρωτεσιλάου τέμενος ἐν Φυλάκῃ. τέμενος δὲ λέγεται οὐ μόνον τὸ ἱερὸν καὶ ὁ ναὸς, ἀλλὰ καὶ ἡ ἀφωρισμένη χώρα. Ὅμηρος· [3]) Καὶ μέν οἱ Λύκιοι τέμενος τάμον ἔξοχον. αὐτῷ δὲ τῷ Πρωτεσιλάῳ κατὰ τὴν Φυλάκην ἐπιτάφιος ἀγὼν, καθ' ὃν ὁ νικηφόρος ἐνίκησεν.

85. Πάντα δ' ἐξειπεῖν] πάντα γὰρ διεξελθεῖν, φησὶν, ὅσα ὁ τῶν ἀγώνων προστάτης Ἑρμῆς τῷ Ἡροδότῳ ἐχαρίσατο στέμματα ἵπποις ἀγωνιζομένῳ, [4]) βραχὺς ὢν ὁ λόγος ἐξασθενεῖ εἰπεῖν. ἤτοι ὅτι πρὸς τὸν διδόμενον μισθὸν καὶ τὰς ᾠδὰς ἐξέτεινεν,

1) Fragm. Sturz. p. 220. 2) Ἐπὶ addidi cum Heynio. 3) Iliad. ζ. 194. 4) Verba ἵππ. ἀγων. in Rom. post vocem λόγος comparentia transposuit Heynius. Ceterum vulgo ἀγωνιζομένοις, etiam in Rom. quod mutavi. Conf. Schol. Isthm. II, 19. τοῖς ἵπποις ἀγωνιζομένῳ τῷ Ξενοκράτει. In fine huius sententiae redundat εἰπεῖν.

Digitized by Google

ἵν' ἢ οὕτω· πάντα αὐτοῦ τὰ ἀγωνίσματα εἰπεῖν βραχὺν μισθὸν ἔχων ὁ ὕμνος οὐ συγχωρεῖ μοι· ἢ ὅτι ἡ συμμετρία τῶν εἰρημένων λόγων ἀφαιρεῖται τὴν ἔκτασιν καὶ τὸ μῆκος. Ἀριστόδημος δὲ καὶ τοῦτο λαμβάνων πρὸς τὸ μόνων τῶν ἐπισήμων αὐτὸν μνημονεύειν, τοὺς δὲ λοιποὺς παρωδευκέναι, βραχύ φησι μέτρον εἰρηκέναι τοῦ ὕμνου διὰ τὸ τὰς ἐκδόσεις τῶν ἐπινίκων πρὸς ἀριθμὸν εἰπεῖν καὶ τριάδων [1]) ἔχειν τοὺς μισθούς· παρὸ καὶ ἑαυτοῦ ἐπιλαμβάνεται.

88. Ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον] διὰ τούτων ἔνιοί φασιν ὑπαινίττεσθαι τὸ περὶ τὴν Νεμέαν αὐτῷ συμβεβηκὸς ἐλάττωμα, ὡς νικηθέντος αὐτοῦ τὸν ἀγῶνα· περὶ γὰρ τῶν ἄλλων εὐχόμενος αὐτῷ νίκην ἀγώνων τοῦτον ἡσύχασε· παρὸ σεσιγηκέναι τὴν ἧττον. ἡσυχασθεῖσι γὰρ ἐνίοτε τοῖς φαύλοις ὑπεῖναι μείζονα [2]) χάριν ἤπερ λεχθεῖσιν. ἔνιοι δὲ λέγεσθαι ταῦτα ὡς εἰς τὴν χάριν τοῦ ἐγκωμιαζομένου· δύνασθαι μὲν αὐτὸν [3]) ἐκτείνειν τὸ ἐγκώμιον καταλέγοντα τὰς νίκας, ἐπεὶ δὲ ἀνάξιοι ἦσαν, σιωπῆσαι. [4]) παρὸ καὶ γνωμικῶς ἐπιλέγειν· τὸ σιωπηθὲν καλῶς, μείζονα παρέχει τῷ ἐγκωμιαζομένῳ χάριν. § Ἄλλως. ναὶ γὰρ δὴ καὶ τὸ σεσιωπημένον μείζονα τὴν εὔκλειαν φέρει. φησὶ δὲ τοῦτο ὡς καὶ ἀδυνάτως ἔχων λόγῳ τὰ τοῦ νικηφόρου ἑρμηνεῦσαι κατορθώματα.

90. Εἴη μιν] εὔχεται, ὥσπερ ἐν τοῖς προειρημένοις ἀγῶσιν ἐπέτυχεν, οὕτω καὶ Πύθια καὶ Ὀλύμπια· καὶ τυχεῖν αὐτὸν τῶν τῶν Μουσῶν ὕμνων. § ὁ δὲ νοῦς· εἴη δὲ αὐτὸν εὐφώνων Μουσῶν τοῖς ἐγκωμίοις μέλεσιν ἐπίδοξον γεγονότα καὶ ἐκ τῆς Πυθίας καὶ ἐκ τῆς Ὀλυμπίας τοῖς ἐξαιρέτοις καὶ πρέπουσι τοῦ Ἀλφειοῦ στεφάνοις πληρῶσαι τὴν χεῖρα· ἔρνος δὲ Ἀλφειοῦ τὴν ἐλαίαν λέγει, ἀφ' ἧς ὁ στέφανος τοῖς Ὀλυμπιονίκαις· τιμὴν καὶ δόξαν ταῖς ἑπταπύλοις Θήβαις ἀπεργαζόμενον. ῥητῶς οὖν ἐπὶ τούτοις ἐπεσφράγισται, ὅτι Θηβαῖος ἦν ὁ Ἡρόδοτος. § Ἄλλως. ἔρνεσι φράξαι φησὶ χεῖρα ἀντὶ τοῦ στεφανωθῆναι, ἀπὸ τοῦ παρακολουθοῦντος· οἷον τοὺς στεφάνους κατέχειν.

96. Εἰ δέ τις ἔνδον νέμει πλοῦτον] εἰ δέ τις τῶν ἀνθρώπων ἔνδον ἀποταμιευσάμενος ἄδοξον πλοῦτον, τοῖς δι' εὐδοξίαν ἀναλίσκουσιν ἐπεμβαίνων καταγελᾷ, οὐ διαλογίζεται τὴν ἑαυτοῦ ψυχὴν ἄδοξον ᾅδη περιστέλλων καὶ πέμπων. ἤτοι οὐ διανοεῖται τῷ ᾅδη τηρῶν τὴν ἑαυτοῦ ψυχὴν ἄνευ δόξης· οἷον οὐ νοεῖ, ὅτι ἄνευ δόξης τελευτήσει. Χρύσιππος δὲ γράφει Ἀλαοῖσιν, ἐξ οὗ σημαίνει τυφλοῖς, ἐπειδὴ ὁ πλοῦτος τυφλός.

[1]) Scribe πρὸς ἀριθμὸν τῶν τριάδων, deletis ceteris. Passim in τριάδων ratione nugatur Aristodemus, ut ad Nem. VII, 70. [2]) Vulgo ὑπομεῖναι omisso μείζ. [3]) Vulgo αὐτό, quod Heynius correxit. [4]) Vulgo τῆς νίκης et νοῆσαι pro σιωπῆσαι.

Digitized by Google

ΙΣΘΜΙΩΝ ΕΙΔΟΣ Β'.

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δευτέρου τῶν Ἰσθμίων εἴδους.

Τῆς δευτέρας ᾠδῆς ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἡ. Τὸ α' προσοδιακὸν καταληκτικόν. Τὸ β' ἐφθημιμερὲς τροχαϊκὸν Εὐριπίδειον. Τὸ γ' τὸ αὐτὸ Εὐριπίδειον. Τὸ δ' Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ ε' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ς' τρίμετρον δακτυλικὸν ἀκατάληκτον. Τὸ ζ' ἐγκωμιολογικόν. Τὸ η' Στησιχόρειον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἑπτά. Τὸ α' πενθημιμερὲς δακτυλικόν. Τὸ β' Πινδαρικόν. Τὸ γ' Πραξίλλειον. Τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' τρίμετρον τροχαϊκὸν εἰς ἴαμβον. Τὸ ς' Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ ζ' τροχαϊκὸν δίμετρον.

Ξενοκράτει Ἀκραγαντίνῳ.] Οὗτος ὁ ἐπίνικος γέγραπται μὲν εἰς Ξενοκράτην Ἀκραγαντῖνον, πέμπεται δὲ Θρασυβούλῳ διά τινος Νικασίππου, ὥστε εἶναι ἀποστολικὸν αὐτόν. τὸν δὲ Ξενοκράτην τοῦτον οἱ μὲν προϋπομνηματισάμενοι Θήρωνος ἀδελφὸν εἶναί φασιν, ὁ δὲ Ἀρτέμων σφόδρα τὰ περὶ τοὺς Σικελιώτας πεπολυπραγμονηκὼς αὐτὸν μόνον συγγενῆ φησιν εἶναι Θήρωνος. οὗτος δὲ ὁ Ξενοκράτης οὐ μόνον Ἴσθμια νενίκηκεν ἵπποις, ἀλλὰ καὶ Πύθια τὴν εἰκοστὴν τετάρτην Πυθιάδα, ὡς Ἀριστοτέλης ἀναγράφει· καὶ Σιμωνίδης δὲ ἐπαινῶν αὐτὸν ἀμφοτέρας αὐτοῦ τὰς νίκας κατατάσσει. Θρασύβουλοι δὲ Σικελιῶται δύο· ὁ μὲν Δεινομένους νεώτατος ἀδελφὸς τῶν περὶ Ἱέρωνα καὶ Γέλωνα, ὁ δὲ τῆς γυναικὸς τοῦ Ἱέρωνος ἀδελφός, οὗ νῦν μνημονεύει Πίνδαρος· ὁ δὲ Ἀρίσταρχος ἀδελφὸν ὑπείληφε τοῦ Ξενοκράτους τὸν Θρασύβουλον, ἔνιοι δὲ υἱὸν Ξενοκράτους. ὁ δὲ Ἀσκληπιάδης κατὰ εἰςβολὴν λέγει [1]) ἐπὶ τετελευτηκότι τῷ Ξενοκράτει τοὺς λόγους εἶναι, ἐκ τοῦ πολλὰ [2]) ἐν τῇ ᾠδῇ ἐπὶ παρῳχημένου χρόνου λέγεσθαι, λεχθησόμενα ἂν ἐπὶ τοῦ παρόντος, εἴπερ παρῆν ἔτι. Καλλίστρατος δέ φησι τὸν Πίνδαρον μὴ τυχόντα τοῦ κατ' ἀξίαν μισθοῦ διά τινα μικρολογίαν τοῦ Ξενοκράτους, προσδιαλέγεσθαι Θρασυβούλῳ τῷ υἱῷ αὐτοῦ, καὶ οὐκ εἰς Ξενοκράτην, φησί, γέγραφε τὴν ᾠδήν, ἀλλ' εἰς Θρασύβουλον· καὶ γὰρ ἡ εἰςβολὴ περὶ ἀργυρίου μέμψεώς ἐστιν, ὡς θέλοντος αὐτοῦ τὸν κατ' ἀξίαν μισθὸν κομίσασθαι. § βέλτιον δὲ, ἀδελφὸν εἶναι τοῦ Ξενοκράτους ἢ υἱὸν τὸν Θρασύβουλον, οὐχ ὡς τινες πατέρα.

1) Vulgo λέγων. 2) Vulgo πολλοῦ.

Digitized by Google

1. Οἱ μὲν πάλαι ὦ Θρασύβουλε φύντες, ὅσοι χρυσαμπύκων] οἱ τῶν μουσικῶν ἐπέβησαν ἁρμάτων καὶ τῆς λύρας μετέσχον, οὗτοι ῥᾳδίως τοῖς μουσικοῖς τόξοις ἔβαλον τοὺς παιδικοὺς ὕμνους, εἴ τις ὢν καλὸς εἶχε τοῦ σώματος ὥραν τὴν μνήμην ἐμποιοῦσαν τῆς Ἀφροδίτης. ὅτι δὲ περὶ παιδικοῦ ἔρωτος ἦν τοῖς λυρικοῖς ἡ τῶν ποιημάτων σπουδή, δημώδης ὁ λόγος. ταῦτα δὲ τείνει καὶ εἰς τοὺς περὶ Ἀλκαῖον καὶ Ἴβυκον καὶ Ἀνακρέοντα, καὶ εἴ τινες τῶν πρὸ αὐτοῦ δοκοῦσι περὶ τὰ παιδικὰ ἠσχολῆσθαι· οὗτοι γὰρ παλαιότεροι Πινδάρου· Ἀνακρέοντα γοῦν ἐρωτηθέντα, φασί, διατί οὐκ εἰς θεοὺς γράφει ὕμνους, ἀλλ' εἰς παῖδας, εἰπεῖν ὅτι οὗτοι ἡμῶν θεοί εἰσιν. § ἐξειργάσατο δὲ τὸ προοίμιον ὁ Πίνδαρος πάλαι, ἑαυτῷ τῆς τοῦ ἐπινίκου γραφῆς μισθὸν ποριζόμενος. φησὶ δὲ, ὅτι τῶν λυρικῶν οἱ πολλοὶ ἀμισθὶ πρὸς τὰ καλὰ τὴν σπουδὴν εἶχον, ἐπὶ δὲ τοῦ παρόντος ἀργυρίου πιπράσκεται τὰ ποιήματα. [1])

2. Χρυσαμπύκων] ἄμπυξ μὲν κυρίως κόσμος τις περὶ τὰς γυναικείας κεφαλάς· Ὅμηρος· [2]) Ἄμπυκα κεκρύφαλόν τε· νῦν δὲ ἀπὸ μέρους τὰς τιμίας λέγει.

7. Ὅστις ἐὼν καλός] ὅστις σὺν τῷ καλὸς εἶναι καὶ ἀκμαῖος ἦν. ὀπώραν μὲν οὖν ἂν εἴη λέγων Ἀφροδίτης τὴν τοῦ σώματος ὥραν καὶ τὸ τοῦ κάλλους ἄνθος· τὸ δὲ μνάστειραν πρὸς τὸ Ἀφροδίτας, τουτέστι τὴν τοῦ σώματος ὀπώραν τὴν τῆς Ἀφροδίτης μνήμην ἐμποιοῦσαν.

9. Ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής] νῦν, φησὶ, μισθοῦ συντάττουσι τοὺς ἐπινικίους, πρώτου Σιμωνίδου προκαταρξαμένου. οὐδ' ἐργάτις, ὅ ἐστιν αἰτοῦσα μισθὸν ἐφ' οἷς ἔπραττεν. ἔνθεν καὶ Καλλίμαχος· [3])

Οὐ γὰρ ἐργάτιν τρέφω
Τὴν Μοῦσαν ὡς ὁ Κεῖος Ἴλλιχου νέπους.

λέγει δὲ ταῦτα πρὸς Σιμωνίδην, ὡς φιλάργυρον διασύρων τὸν ἄνδρα. § τὸ δὲ ἑξῆς· ἡ γὰρ Μοῦσα τοπαλαιὸν οὔπω φιλοκερδὴς ἦν, οὐδὲ μισθοῦ συντάττουσα τὰ ποιήματα. οὐδὲ πρὸς [4]) τῆς Τερψιχόρης ἐπιπράσκοντο αἱ γλυκεῖαι καὶ εὔφθογγοι ἀποκαλυψάμεναι τὴν παῤῥησίαν ᾠδαί. ἀργυρωθεῖσαι πρόσωπα· [5]) ἤτοι πρόσωπον κεκοσμημένον καὶ λαμπρυνθεῖσαι, ὡς τὰ ὤνια ὑπὸ [6]) τῶν πωλούντων ἐκοσμοῦντο· ἢ αἱ ἀργυρίου αὐτὰς πιπράσκουσαι καὶ μισθοῦ λεγόμεναι, ἵνα δοκῇ παρέλκειν τὸ πρόσωπα. [7]) περιφραστικῶς οὖν εἴρηκεν ἀπὸ τοῦ τοὺς γράφοντας [8]) ἀργύριον λαμβάνειν. τοιοῦτον δέ τι καὶ Ἀνακρέων εἴρηκε, καὶ μή ποτε ἡ ἀπότασίς ἐστιν εἰς τὰ ὑπ' ἐκείνου εἰρημένα. φησὶ γάρ· Οὐδ' ἀργυρέη κότ' ἔλαμπε Πειθώ. [9])

15. Νῦν δ' ἐφίητι τὠργείου φυλάξαι ῥῆμα] νῦν δ' ἐφίητι, τίς; ἡ Μοῦσα

1) Hoc scholium vulgo priori male insertum legebatur post verba δημώδης ὁ λόγος. 2) Iliad. χ, 469. unde scripsi κεκρύφ. Rom. καὶ κρύφ. 3) Fragm. p. 456. Vulgo Χῖος ὑλλιχοῦν ἔπους. 4) Vulgo πρὸ, quod emendavit Heynius. 5) Addidi lemma ἀργ. πρός. 6) Ὅτι mutavi in ὑπὸ, et post πωλούντων delevi τὰ πρόσωπα, quod infra inserui. Nam h. l. in vulgata lectione omnia turbata et luxata esse nemo dubitabit. Malim etiam κοσμοῦνται. 7) Post ἐκοσμοῦντο vulgo erat: ἵνα δοκῇ παρέλκειν. καὶ ἀργυρίου αὐτὰς π. κ. μ. λεγόμεναι. περιφρ. οὖν etc. Καὶ mutavi in ἢ αἱ, αὐτὰς in αὐτάς; deinde ἵνα δοκῇ παρέλκειν transposui, et addidi ex superioribus τὸ πρόσωπα, vulgato τὰ in τὸ verso. 8) Vulgo ἀπὸ τοῦ γράφοντος. 9) Anacr. Fischer. p. 395. Romana: ἀργυρέη κ' κότε ἔ. Πυθώ.

Digitized by Google

δηλονότι. τείνει δὲ καὶ ταῦτα εἰς τὸν Σιμωνίδην. § ἀντὶ τοῦ ἐνδίδωσιν ἡμῖν λέγειν ὁ καιρός. τὸ δὲ ἑξῆς· ἐπὶ δὲ τοῦ παρόντος ἡ φιλοκέρδεια ἐφίησι καὶ ἐνδίδωσι λέγειν τὸ τοῦ Ἀριστοδήμου ῥῆμα ἐγγὺς ἀληθείας βαῖνον.

17. Χρήματα, χρήματ' ἀνήρ] ὁ μέντοι Πίνδαρος τὸ ὄνομα οὐ δεδήλωκεν. οὗτος οὖν ὁ Ἀριστόδημος Σπαρτιάτης ὢν, πένης γεγονὼς καὶ συναπολέσας τὴν τῶν φίλων ἑταιρείαν ἔφη· χρήματα χρήματ' ἀνήρ. οὐδὲν δὲ θαυμαστὸν, εἰ Σπαρτιάτην ὄντα τὸν Ἀριστόδημον Ἀργεῖον ἔφη· ἔστι καὶ παρ' Ὁμήρῳ τὸ τοιοῦτον εὑρέσθαι. καὶ γὰρ Ἀργείην Ἑλένην φησί· [1]) καίτοι γε Λακεδαιμονία ἦν. § Ἄλλως. Χρήματα χρήματ' ἀνήρ. τοῦτο ἀναγράφεται μὲν εἰς τὰς παροιμίας ὑπ' ἐνίων, ἀπόφθεγμα δέ ἐστιν Ἀριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν. τοῦτον δὲ τὸν Ἀριστόδημον Πίνδαρος μὲν οὐ τίθησιν ἐξ ὀνόματος, ὡς δήλου ὄντος ὅς ἐστιν ὁ τοῦτο εἰπὼν, μόνον δὲ ἐσημειώσατο τὴν πατρίδα, ὅτι Ἀργεῖος· Ἀλκαῖος δὲ καὶ τὸ ὄνομα καὶ τὴν πατρίδα τίθησιν, οὐκ Ἄργος, ἀλλὰ Σπάρτην· Ὡς γὰρ δή ποτέ φασιν Ἀριστόδημον Ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν· Χρήματ' ἀνήρ· πενιχρὸς δὲ οὐδεὶς Πέλετ' ἐσλὸς οὐδὲ τίμιος. [2]) καὶ τάχα ἂν τὸν Σπαρτιάτην εἴρηκε Πίνδαρος Ἀργεῖον, παρόσον ἡ πᾶσα Πελοπόννησος Ἄργος καλεῖται ὁμωνύμως τῇ πόλει· Ὅμηρος οὖν τὴν Ἑλένην Ἀργείαν φησὶν ἀντὶ τοῦ εἰπεῖν Λακεδαιμονίαν· Ἀργείαν δὲ εἶπεν ἀντὶ τοῦ Πελοποννησιακήν. Σπαρτιάτην δὲ Ἀριστόδημον ἐν τοῖς ἑπτὰ σοφοῖς ἀναγράφεται Ἄνδρων ὁ Ἐφέσιος. [3])

18. Ὅς φᾶ κτεάνων θ' ἅμα λειφθεὶς καὶ φίλων] ὅστις Ἀριστόδημος ἐφθέγξατο τὸ τοιοῦτον, ἅμα τε τοῦ πλούτου καὶ τῶν φίλων στερηθείς. ἔνιοι δὲ οὕτως ἀκούουσιν· ὅστις Ἀριστόδημος τῶν χρημάτων ἐνδεὴς γενόμενος καὶ τῶν φίλων ἐστερήθη.

19. Ἐσσὶ γὰρ ὢν σοφός] ταῦτα οἱ περὶ Καλλίστρατον συνεργεῖν φασιν ἑαυτοῖς· φανερὸν γὰρ ὡς μισθὸν αἰτῶν τὸν Θρασύβουλον τό τε ἀπόφθεγμα προήνεγκε τὸ περὶ τῶν χρημάτων καὶ προσεπιλέγει· οὐκ ἀγνῶτ' [4]) ἀείδω. σοφὸς γὰρ εἶ, καὶ συνήσεις πρὸς τί ταῦτα εἴρηται. ἔνιοι δὲ τὸ ἄγιωτα προπαροξύνοντες οὐ κατὰ συναλοιφὴν ἀκούουσιν ἀντὶ τοῦ οὐκ ἀγνῶτι [5]) ἀείδω, ἀλλ' ἐπὶ αὐτοῦ τοῦ νικηφόρου καὶ τῆς Ἰσθμικῆς [6]) φασι νίκης λέγειν αὐτόν· οὐ περὶ ἀγνώτων, φησὶν, ᾄδω. ὁ δὲ Δίδυμος μειοῦσθαί φησι τὸ ἀξίωμα τοῦ ποιητοῦ, εἰ μηδέπω τοῦ ἐπινίκου συντεταγμένου γνώριμός ἐστιν ἡ τοῦ Ξενοκράτους νίκη· ἔμπαλιν γὰρ ὁ Πίνδαρος ἀφανεῖς καὶ ἀδόξους φησὶν εἶναι τὰς νίκας, εἰς ἃς αὐτὸς μηδὲν γέγραφε. γελοίως. [7]) § ὁ δὲ νοῦς· τυγχάνεις οὖν σοφὸς, ὦ Ξενόκρατες, καὶ συνορᾷς τὸ τοῦ λόγου αἴνιγμα· οὐ γὰρ ἄγνωστον λέγω. εἶτα ἀπὸ κοινοῦ τὸ ἀείδω· ᾄδω καὶ τὴν Ἰσθμιακὴν νίκην, ἣν τοῖς ἵπποις ἀγωνιζομένῳ τῷ Ξενοκράτει ὁ Ποσειδῶν δωρησάμενος, ἀπὸ Κορινθιακῶν αὐτῷ σελίνων στέφανον αὐτοῦ ταῖς κόμαις ἐπιτεθῆναι παρέσχετο, τιμῶν τὸν ἱππικώτατον ἄνδρα δόξαν καὶ φῶς ὄντα τῷ τῶν Ἀκρα-

1) Iliad. β, 161. 2) Versus disposuit, formas Aeolicas restituit, et scripto πεν. γὰρ οὐδ. hiatum sustulit vir doctus in Mus. crit. Cantabr. T. I, p. 432. Cf. Suid. v. χρήματ' ἀνήρ. 3) In opere, cui index Τρίπους. V. Ions. Scr. Hist. Phil. I, 8, 2. et maxime Diog. L. l. c. ibid. 4) Vulgo ἄγνωτ'. At Heynius vidit ἀγνῶτ', id est ἀγνῶτι scribendum esse. 5) Vulgo ἀγνωτι, quod Heynius corrigendum monuit. 6) Addidi τοῦ νικηφόρου, et genitivum τῆς Ἰσθμικῆς rescripsi: vulgo τοῖς Ἰσθμικοῖς. 7) Quis γελοίως? Pindarusne an Didymus? Credo Didymus; quapropter ante vocem γελοίως punctum posui, quum esset comma. Cf. Schol. Isthm. III, (IV,) 47. et 63.

Digitized by Google

γαντίνων δήμῳ. ἀπὸ δὲ τοῦ πρὸς αὐτὸν λόγου εἰς τὸν περὶ αὐτοῦ ἐπηνέχθη. Δωρίων οὖν στεφάνωμά φησιν ἀντὶ τοῦ Ἰσθμίων, Δωριεῖς ἐπείπερ ἐπῴκησαν τὴν Πελοπόννησον. ἢ Δωρίων σελίνων τῶν Κορινθιακῶν, ὅτι Δωριεῖς ἐπῴκησαν τὴν Κόρινθον, ἡ δὲ Κόρινθος πύλαι τῆς Πελοποννήσου· Ἀλήτην γὰρ αὐτήν φασιν οἰκίσαι, ὅθεν καὶ Ἀλητίδαι οἱ Κορίνθιοι. τοῖς οὖν τὰ Ἴσθμια ἀγωνιζομένοις σέλινον ξηρὸν ὁ στέφανος, ὑγρὸν δὲ τοῖς τὰ Νέμεα.

26. Ἐν Κρίσᾳ δ' εὐρυσθενής] τοῦτό φησιν ὡς τὰ Πύθια νενικηκότος αὐτοῦ· ἡ γὰρ Κρίσα τῆς Φωκίδος ἐστὶ χωρίον. § ὁ δὲ νοῦς· ἐν δὲ τῇ Κρίσᾳ εὐμενῶς ὁ Ἀπόλλων ἐθεάσατο τὸν Ξενοκράτην, καὶ ἀγωνιζομένῳ τὴν νίκην ἐδωρήσατο.

28. Καὶ τόθι κλεινᾶς Ἐρεχθειδᾶν] καὶ ὅπου ταῖς ἐνδόξοις, φησὶ, τῶν Ἀθηναίων χάρισιν ἡρμοσμένος, ἐν ταῖς λιπαραῖς Ἀθήναις, οὐκ ἐμέμψατο τὴν ἡνιοχικὴν χεῖρα. § Ἄλλως. τόθι, τοπικῶς, ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ταῖς Ἀθήναις, ὁ ταῖς χάρισιν ἡρμοσμένος Ἀπόλλων, ἀπὸ κοινοῦ γὰρ τοῦτο, οὐκ ἐμέμφθη τὴν ῥυσίδιφρον χεῖρα, ἀπὸ τοῦ πληξίππου φωτὸς, τουτέστι τοῦ Θήρωνος. ὁ γὰρ Νικόμαχος Ἀθηναῖος ὢν ἀμφοτέροις ἡνιόχει, Θήρωνι καὶ Ξενοκράτει. ἐπὶ μὲν οὖν τοῦ Ξενοκράτους οὐχ οἷόντε ἀκούειν· οὐ γὰρ ἀνήρητο Ὀλυμπικὴν νίκην, ἀλλ' ὁ Θήρων. κοινοποιεῖ δὲ τὰς νίκας ἀμφοῖν ὁ Πίνδαρος συνήθως αὐτῷ, τὸν δὲ Νικόμαχόν φησιν ἀρηρέναι ταῖς λιπαραῖς Ἀθήναις, παρόσον Ἀθηναῖος ἦν· ὃν διὰ τὸ φιλοφρονήσασθαι τοὺς Ἠλείων σπονδοφόρους Ἀθήναζε ἥκοντας ἀντησπάζοντο Ἠλεῖοι παρ' αὐτοῖς, ὅτε Θήρων ἡνιόχει. ῥυσίδιφρον δὲ χεῖρα ἀπὸ μέρους ἀντὶ τοῦ ῥᾳδίως καὶ ἀμεταγώγως τὰς ἡνίας εὐθύνοντα.

34. Ὄντε καὶ κάρυκες] ὄντινα τὸν νικηφόρον οἱ κήρυκες, φησὶν, οἱ τὸν καιρὸν καὶ τὴν ὥραν τοῦ Ὀλυμπιακοῦ ἀγῶνος κηρύσσοντες καὶ σπονδοφόροι ὄντες τοῦ ἐν Ἤλιδι Διὸς, ἐγνώρισαν προπαθόντες τι ἡδὺ παρ' αὐτοῦ διὰ τὸ φιλόξενον τῆς ὑποδοχῆς, καὶ τῇ ἡδείᾳ αὐτῶν φωνῇ ἠσπάζοντο τὸν Ξενοκράτην τῆς τιμίας Νίκης τοῖς γόνασι προσελθόντα. [1]) ἐκ δὲ τούτου, νικῶντα. ἠσπάζοντο δὲ κατὰ τὴν Ὀλυμπιακὴν αὐτῶν γῆν, ἥντινα καλοῦσι Ὀλυμπίου Διὸς ἄλσος, ἔνθα τοῖς ἀθανάτοις τῆς νίκης τιμαῖς καὶ οἱ τοῦ Αἰνησιδάμου παῖδες Θήρων καὶ Δεινομένης ἐμίγησαν. § Ἄλλως. οἱ κήρυκες, οἳ τὰς ὥρας καὶ τὸν καιρὸν τοῦ Ὀλυμπιακοῦ ἀγῶνος ἐκήρυσσον, καθ' ἃς ἐτελεῖτο.

36. Ζηνὸς Ἀλείου] τοῦ Ἠλείου Διὸς, τοῦ ἐν Ἤλιδι τιμωμένου. Ἦλις δὲ χώρα τῆς Ὀλυμπίας.

37. Φιλόξενον ἔργον] ὑπεδέξατο γὰρ αὐτοὺς [2]) καὶ φιλοξένως ἐξένισεν.

42. Ἵν' ἀθανάτοις Αἰνησιδάμου] Αἰνησιδάμου παῖδες Θήρων καὶ Δεινομένης, ὧν κυρίως μνημονεύει ὡς Σικελιωτῶν τυράννων· Σικελιώτης δὲ ὁ νικηφόρος.

44. Καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι] καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν εἰσιν οἱ οἶκοι, ἀντὶ τοῦ ἄπειροι, ὦ Θρασύβουλε, οὔτε ὕμνων ἐπεράστων οὔτε ὑψηλῶν ᾠδῶν· πάλιν δὲ ἐκ τούτου ὕμνον φησίν. § Ἄλλως. ἤτοι περιφραστικῶς αὐτὴν Ὀλυμπίαν δόμους εἶπεν, ἢ οὐκ ἀγνῶτες ὑμῶν εἰσιν οἱ δόμοι τῆς φιλοξενίας, ὅπερ ἄμεινον. τὸ δὲ ἐντὶ ἀντὶ τοῦ εἰσὶ Δωρικῶς.

47. Οὐ γὰρ πάγος οὐδὲ προσάντης ἁ κέλευθος] οὐ τραχεῖα, φησὶν, ἡ ὁδὸς

[1]) Rom. προελθόντα. [2]) Rom. αὐτόν.

Digitized by Google

γίνεται τοῖς τοὺς ἐνδόξους ἐπαινοῦσιν ἄνδρας, τοὐναντίον δὲ ῥᾴδιος καὶ εὐεπίφορος· αὐτοὶ γὰρ ἀφορμὰς εἰς τοὺς ἐπαίνους διδόασι. τιμὰς γὰρ Ἑλικωνιάδων τὰς τῶν Μουσῶν φησι, τουτέστι τοὺς ὕμνους καὶ τὰς ᾠδάς.

51. Μακρὰ δισκήσαις ἀκοντίσαιμι] μακρῶς καὶ μεγάλως τὸν ἐμὸν λόγον ῥίψας, φησὶ, καὶ τὸν νικηφόρον ἐγκωμιάζων, ὑπερβαλοῦμαι τοὺς ἄλλους, ὁπόσον καὶ ὁ Ξενοκράτης τρόπον γλυκὺν καὶ σπουδαιότερον πάντων ἀνθρώπων ἔσχεν.

54. Αἰδοῖος μὲν ἦν ἀστοῖς] ἀμφίβολον. ἤτοι γὰρ αὐτὸς ἦν, φησὶν, ἐντροπῆς ἄξιος ὁμιλῶν τοῖς ἀστοῖς, ἢ αὐτὸς ἐνετρέπετο, ἐν τῷ τοῖς ἀστοῖς ὁμιλεῖν. Διόδωρος [1]) δὲ ὁ Ἀριστοφάνειος μὴ νοήσας, ὅτι ἐπὶ τοῦ παρεληλυθότος χρόνου κεῖται τὸ ἦν, Θρῆνόν φησι γεγράφθαι, οὔτε ἐκεῖνο νοήσας, ὅτι παρὰ τοῖς ποιηταῖς ἐναλλάττονται οἱ χρόνοι, οὔτε τὸ ἐπὶ τέλους λεγόμενον τὸ Νικάσιππ' ἀπόνειμον, ὅταν ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς· πρὸς τὸν ζῶντα, οὐ πρὸς τὸν τετελευτηκότα. § ἢ ἔστιν οὕτως· αἰδέσιμος ἦν τοῖς πολίταις συναναστρεφόμενος.

55. Ἱπποτροφίας τε νομίζων] ἤτοι ἱπποτροφεῖν ἐν Ἕλλησιν αὐτὸς νομοθετῶν, ἢ νόμιμον ἐν Ἕλλησιν εἰδὼς τὸ ἱπποτροφεῖν. ἀπὸ κοινοῦ δὲ τὸ ἦν. § ἢ οὕτως· ἱπποτροφίας τε νομίζων· καὶ ἵππους [2]) τρέφων τῷ τῶν Ἑλλήνων νόμῳ καὶ ἔθει. § ἤτοι κρίνων καὶ νομιστεύων τοῖς Ἕλλησιν, ἢ ἐπισήμους ποιῶν περὶ τὸ νόμισμα.

57. Καὶ θεῶν δίαιτας] καὶ πάσας θεῶν πανηγύρεις ἐπιτηδείους προσεδέχετο. ἐκ δὲ τούτου δῆλον, ὅτι εὐσεβῶς καὶ πρὸς θεοὺς διέκειτο. § ἢ οὕτω· κατὰ διάνοιαν προσήγετο καὶ ἠσπάζετο· οὐδὲ νόμιμον καὶ ἔθος ἦγε τὰς ἑορτὰς, ἀλλ' οἰκείως ἔχων πρὸς τοὺς θεούς.

58. Οὐδέποτε ξενίαν οὖρος] ἀλληγορικώτερον ἐχρήσατο τῷ λόγῳ ὑπὸ μεταφορᾶς τῶν οὐριοδρομουσῶν καὶ μὴ συστελλουσῶν τὰ ἱστία νεῶν· τὸν γὰρ φθόνον ἀνέμῳ εἴκασε, τὴν δὲ τῶν ξένων τράπεζαν νηῒ οὐρίως καὶ ἀβλαβῶς πλεούσῃ. οὐδέποτέ φησι τὸ ἱστίον τῆς τραπέζης [ὁ Ξενοκράτης], ἢ τοὺς ξένους ὑπεδέχετο, συνέστειλεν οὔριος ἄνεμος πνεύσας, ἀλλ' ἀεὶ πλήρεσι τοῖς ἱστίοις πρὸς [3]) τὰς τῶν ξένων ἑστιάσεις ἐποιήσατο. Χρύσιππος οὕτω· Ξενοκράτης δὲ οὐδέποτε οὕτως ἐχειμάσθη, ὥστε μὴ διομαλίσαι τὴν τράπεζαν. § ὁ δὲ τοῦς οὕτως· οὐδέποτε δὲ παρὰ τὴν φιλόξενον αὐτοῦ τράπεζαν, ἐν ᾗ τοὺς ἐπιφοιτῶντας ἐδεξιοῦτο ξένους, φθόνος τις ἐπιπνεύσας τὰς τῆς φιλοξενίας ἔπαυσεν ἑστιάσεις, ἀλλὰ πλήρεσι τοῖς ἱστίοις τοὺς πάντας ἐφιλοφρονεῖτο.

61. Ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις] Φᾶσις ποταμὸς τῆς Σκυθίας· ψυχρότατα δὲ τὰ περὶ αὐτὸν πνεύματα ἔχει. τὸ δὲ Νείλου πρὸς αὐγὰς ἢ ἀκτὰς τινὲς μὲν τὰς τοῦ Νείλου ῥύσεις, τινὲς δὲ ὅτι ἀπὸ ἀνατολῶν ἡ ῥύσις αὐτοῦ γίνεται· διὸ καὶ θερμοτάτης καὶ ὑγιεινῆς κράσεως μετέχει τὸ χωρίον. διὰ τούτων δὲ τὴν περὶ τοὺς καιροὺς δεξιότητα τοῦ Ξενοκράτους παρίστησιν ἀλληγορῶν· οὕτω γὰρ εὖ πρὸς τοὺς καιροὺς ἥρμοστο, καθάπερ οἱ ἐν μὲν τῷ θέρει πρὸς τὰ χειμερινὰ ὠθούμενοι, τῷ δὲ χειμῶνι πρὸς τὰ θερινά. § ὁ δὲ νοῦς πάλιν ἐπὶ τῆς φιλοξενίας τοῦ Ξενοκράτους οὕτως ἔχει· ὁ Ξε-

1) Vulgo Διόδοτος. Haud veritus sum reponere Διόδωρον, de quo v. Wolf. Prolegg. ad Hom. p. CCXVI. 2) Addidi τε post ἱπποτρ. et ἵππους post καί. 3) Redundat πρὸς, nisi maior corruptela latet.

Digitized by Google

νοκράτης φιλοφρονούμενος τοὺς ξένους ἔπλει τῷ τῆς τραπέζης ἱστίῳ θέρους πρὸς τὰ ψυχρότερα, χειμῶνος δὲ πρὸς τὰ θερμότερα· [1]) ὥστε πανταχόθεν αὐτοῦ τὸ εὔκρατον καὶ προσηνὲς τῆς φιλοξενίας δηλοῦσθαι. ἢ καὶ ἐπὶ τῶν ξένων τὴν διάνοιαν ἀκυστέον, ἵν' ἤ· ἕκαστος, φησὶ, τῶν ξενιζομένων ἐκ μὲν θερμότητος καὶ καμάτων πρὸς ψυχρότητα καὶ ἀνάκτησιν ὥσπερ, πρὸς αὐτὸν ἔσπευδεν, [2]) ἐκ δὲ χειμῶνος πρὸς θερμότητα.

63. *Μὴ νῦν ὅτι φθονεραί*] μὴ δ' ὅτι, φησὶ, περὶ τὰς φρένας τῶν ἀνθρώπων φθονεραὶ κρέμανται ἐλπίδες καὶ διαθέσεις, τουτέστι μὴ διότι φθονεροί εἰσιν οἱ ἄνθρωποι, περὶ τοῦτο στειλάμενος τὴν τοῦ πατρὸς ἀρετὴν στειλάτω, σιγάτω· λεγέτω δὲ τῶν φθονούντων ἀφροντιστῶν. τὰς δὲ ἐλπίδας, ἀντὶ ἑνὸς τούτων· . . . . . φροντίδος, διανοίας, διαθέσεως. μὴ οὖν, φησὶ, τὴν τοῦ πατρὸς ἀρετὴν σιγῇ παραδότω, ἀλλ' εἰς τὸ κοινὸν φερέτω· τυχὼν γὰρ τῆς νίκης τὴν τοῦ πατρὸς ἀρετὴν εὖ προήγαγε τῇ ἑαυτοῦ δόξῃ.

68. Ἰστέον ὅτι τὸν εἰς Ξενοκράτην ὕμνον εἰς Ἀκράγαντα διὰ Νικασίππου πέμπει πρὸς Θρασύβουλον τὸν Ξενοκράτους ἀδελφόν· τὸ γὰρ ἀπόνειμον ἀντὶ τοῦ ἀνάγνωθι. Σοφοκλῆς ἐν Ἀχαιῶν συλλόγῳ·

Σὺ δ' ἐν θρόνοισι [3]) γραμμάτων πτυχὰς ἔχων
Ἀπόνειμον.

καί· [4])

Νέμει τίς; οὐ πάρεστι. τίς ξυνώμοσεν;

καὶ Παρθένιος ἐν τῇ Ἀρήτῃ τὸ Ἄννεμε [5]) ἀντὶ τοῦ ἀνάγνωθι· καὶ Ἀννείμη Δωριστὶ ὁ Βουκόλος. [6])

ΙΣΘΜΙΩΝ ΕΙΔΟΣ Γ'. [Γ'. Δ'.]

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τρίτου τῶν Ἰσθμίων εἴδους. [7])

Τοῦ τρίτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἐστὶ δέκα. Τὸ α' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β' τὸ αὐτό. Τὸ γ' τροχαϊκὸν ἐπίτριτον. Τὸ δ' ἀνακλώμε-

1) Vulgo θερμότατα. 2) Retinui vulgatam lectionem et comma ab Heynio post ὥσπερ positum; sed malim: ἕκαστος, φησὶ, τῶν ξεν. πρὸς αὐτὸν ἔσπευδεν, ὥσπερ ἐκ μὲν θ. κ. κ. πρὸς ψ. κ. ἀνάκτησιν, ἐκ δὲ χ. π. θ. 3) Vulgo θρήνοισι; correxit Toup. Add. ad Theocrit. p. 401. 4) Coniunctionem addidit Heynius. 5) Vulgo ἄνειμε, quod correxit Valck. ad Theocr. XVIII, 48. Male Toup. Add. ad Theocr. l. c. ἔννειμε, ἀντὶ τοῦ ἀνέγνω. Parthenius, qui in bello Mithridatico a Cinna captus sub Augusto floruisse videtur, scripsit Ἀρήτης ἐπικήδειον τῆς γαμετῆς et Ἀρήτης ἐγκώμιον ἐν τρισὶ βιβλίοις. V. Suid. v. Παρθένος, coll. Voss. Hist. Gr. II, p. 164. 6) Vulgo ἀνείμη, et βουκόλος omisso articulo. Locus est Theocriti XVIII, 48. Cf. Toup. et Valck. ll. cc. 7) Quarto, quod vulgo habetur, carmini in Rom. praemittitur: Περὶ τῶν κώλων τῆς στροφῆς, ἀντιστροφῆς καὶ τῆς ἐπῳδοῦ τοῦ αὐτοῦ εἴδους. Τοῦ τετάρτου εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος καὶ ἡ ἐπῳδὸς ταὐτὸν μέτρον ἔχει τῷ τρίτῳ.

Digitized by Google

νον Ἰωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ε' ἐγκωμιολογικόν. Τὸ ς' τὸ αὐτό. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ἐφθημιμερὲς δακτυλικόν. Τὸ θ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ι' τὸ αὐτό.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κῶλων ἐστὶν ἕνδεκα. Τὸ α' προσοδικὸν δωδεκάσημον. Τὸ β' μονόμετρον Ἰωνικὸν, ἢ ἀναπαιστικόν. Τὸ γ' δίμετρον δακτυλικὸν ἀκατάληκτον. Τὸ δ' Εὐριπίδειον. Τὸ ε' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ ς' ὅμοιον τῷ Ἐρασμονίδη Χαρίλαε. Τὸ ζ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' Εὐριπίδειον. Τὸ θ' προσοδικὸν δωδεκάσημον. Τὸ ι' Εὐριπίδειον. Τὸ ια' ἴαμβος.

Μελίσσῳ Θηβαίῳ.] Γέγραπται Μελίσσῳ Θηβαίῳ· οὗτος ἐνίκησεν Ἴσθμια καὶ Νέμεα, πρόσκειται δὲ τῇ ᾠδῇ Ἵπποις διὰ τὸ μὴ δηλοῦν τὸν Πίνδαρον τὸ τοῦ ἀγωνίσματος εἶδος, πότερον κέλητι ἢ τεθρίππῳ· μόνον δὲ ἱπποδρομίᾳ λέγει ἐστεφανῶσθαι.

III, 1. Εἴ τις ἀνδρῶν εὐτυχήσαις] ὁ λόγος· εἴτις εὐτύχησεν ἐν ἀέθλοις ἢ ἐν πλούτῳ, ὡς τὸν ἐν εὐπραγήμασι δύνασθαι φέρειν κόρον μὴ ἐξυβρίζων, ἄξιός ἐστιν εὐλογεῖσθαι ὑπὸ τῶν πολιτῶν. διατί δὲ, αὐτὸς ἐποίσει.

6. Ζεῦ, μεγάλαι δ' ἀρεταὶ σέθεν ἕπονται] ἐκ σέθεν εὐτυχοῦσιν οἱ ἄνθρωποι· καὶ γὰρ οὐ δι' αὐτοὺς, ἀλλὰ διὰ θεῶν πρόνοιαν· ἐξ ὧν αὐτοῖς καὶ μεγάλαι ἀρεταὶ ἕπονται.

7. Ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων] ὄπις μὲν ἡ τοῦ μέλλοντος ἐπιστροφὴ καὶ τοῦ μετὰ ταῦτα ἐσομένου. Ὅμηρος· [1]) Οὐκ ὄπιδα φρονέοντες. ὁ δὲ λόγος· ζῇ δὲ ἐπὶ πλείονα χρόνον ὁ ὄλβος καὶ συναυξανόμενος παραμένει τοῖς ὀπιζομένοις καὶ ἐντρεπομένοις· κομίζονται γὰρ ἀντὶ τῶν πόνων ἐπαίνους οἱ μὴ ὑπεροπτικοί· τοῖς δὲ σκολιόφροσι καὶ παρανόμοις ἀνθρώποις οὐχ ὁμοίως ἀκολουθεῖ ὁ ὄλβος. οἷον οὐδέποτε ὁμιλήσει τοῖς κακοῖς ἡ θάλλουσα εὐδαιμονία.

11. Εὐκλέων δ' ἔργων ἄποινα] τῶν δὲ εὐδόξων κατορθωμάτων, φησὶν, ἀμοιβὴν τοῖς ἀγαθοῖς προσήκει τὸν ἐγκωμιαστικὸν λόγον παρασχεῖν, χρὴ δὲ τὸν τοιοῦτον ὑψῶσαι καὶ μετεωρίσαι ταῖς χάρισιν.

15. Ἔστι δὲ καὶ διδύμων ἀέθλων] ἤτοι διπλῶν ἄθλων καὶ νικῶν τῷ Μελίσσῳ μερὶς, ὥστε πρὸς εὐφροσύνην γλυκυτάτην τρέψαι αὐτοῦ τὴν ψυχήν· τοῦτο μὲν ἐν τοῖς βασίμοις τόποις τοῦ Ἰσθμοῦ δεξαμένῳ τοὺς στεφάνους, ἀντὶ τοῦ νικήσαντι τῷ Ἰσθμῷ· τὰ δέ ἐστιν ἐν τῇ κοίλῃ καὶ βαθυστέρνῳ νάπῃ τοῦ λέοντος, τουτέστι τῇ Νεμέᾳ, ἵππων δρόμον νικήσαντι. ἀνεκήρυξε γὰρ Θήβην, φησί. τοῦτο οὖν λέγει ὡς καὶ Ἴσθμια καὶ Νέμεα νενικηκότος αὐτοῦ ἱπποδρομίᾳ.

24. Ἴστε μὰν Κλεωνύμου] γινώσκετε μὴν τὴν περὶ τὰ ἅρματα τοῦ Κλεωνύμου ἀρχαιοτάτην ἀρετήν τε καὶ δόξαν. τούτου δὲ τοῦ Κλεωνύμου ὡς προγόνου τοῦ Με-

1) Odyss. ξ, 82.

Digitized by Google

λίσσου κατὰ πατέρα μέμνηται· ὁ μὲν γὰρ πατὴρ αὐτοῦ Τελεσιάδας ἐστίν. ἐν δὲ τῇ ἑξῆς ᾠδῇ παθόλου τοὺς συγγενεῖς αὐτοῦ Κλεωνυμίδας κέκληκεν. [1])

26. Καὶ ματρόθεν Λαβδακίδαισι σύννομος] ὡς κατὰ μητέρα ἀπὸ Λαβδάκου καὶ Οἰδίποδος τοῦ Κλεωνύμου ὄντος, διό φησι· Καὶ μητρόθεν σύννομοι πλούτου. τὸ γὰρ πρὸς μητρὸς τοῦ Μελίσσου καὶ Κλεωνύμου γένος συνάπτεται τοῖς Λαβδακίδαις διαπρέψασι κατὰ τὴν ἡνιοχικήν. § τὸ δὲ σαφές· τὸ δὲ μητρῷον γένος εἰς τοὺς Λαβδακίδας ἀνάγονται, καὶ κοινωνοὶ τῆς ἐκείνων ὄντες εὐδοξίας πλοῦτον ἱκανὸν περιεκτῶντο ἅρμασιν ἀγωνιζόμενοι. τὸ γὰρ Πλούτου διέστιχον ἀντὶ τοῦ διὰ πλούτου ἤρχοντο, τουτέστι πλοῦτον ἐκτῶντο.

29. Αἰὼν δὲ κυλινδομέναις ἁμέραις] ὑποφαίνει διὰ τούτων ὡς ποικίλαις χρωμένων τύχαις τῶν τοῦ Μελίσσου προγόνων. ὁ γὰρ βίος, φησίν, ἐν ταῖς ἡμέραις εἰλούμενος καὶ ἐν τοῖς ἐνιαυτοῖς ἀλλοίας καὶ ἀλλοίας ἀπογεννᾷ περιστάσεις. ἴσως μὲν οὖν εἰς τὰ ἐπὶ τοῖς Λαβδακίδαις τεθρυλλημένα ἀποβλέπει, ἄμεινον δὲ εἰς τὰ ἐν τῇ ἑξῆς ᾠδῇ λεγόμενα· τέσσαρας γάρ φησι κατὰ πόλεμον συγγενεῖς τοῦ Μελίσσου τελευτῆσαι.

31. Ἄτρωτοί γε μὰν παῖδες θεῶν] ἀντὶ τοῦ οἱ θεοί, ὡς καὶ παῖδες Ἑλλήνων. § ὁ δὲ νοῦς· μόνοι θεοὶ οὐκ ἔχουσι μεταβολὴν εἰς κακόν· ἄτρωτοι γὰρ οὗτοι· τὰ δὲ τῶν ἀνθρώπων εὐμετάπτωτα, φησίν, ἐστίν.

IV, 1. Ἔστι μοι θεῶν ἕκατι μυρία] θεῶν, τῶν Μουσῶν καὶ τοῦ Ἀπόλλωνος. § ἡ τῶν θεῶν προνοίᾳ ἐστὶ μυρία ὁδὸς εἰς τοὺς ὕμνους· πολλάς φησιν ἔχειν εὐμηχανίας καὶ ἀφορμὰς εἰς τοὺς τοῦ Μελίσσου ἐπαίνους διὰ τὸ νικῆσαι τὰ Ἴσθμια. § ὁ δὲ νοῦς οὕτω· τῶν Μουσῶν ἐπιτρεπουσῶν ἐστί μοι παντάχοῦ οὐ προσάπτης ἀλλ' εὐμαρὴς ἡ τῶν ὕμνων ὁδός, ὦ νικηφόρε· τὰ γὰρ Ἴσθμια νικήσας εὐμηχανίας πεποίηκας τῷ ὕμνῳ ἀνυμνεῖν τὰς προγονικὰς ὑμῶν ἀρετάς.

6. Αἶσι Κλεωνυμίδαι] Κλεωνυμίδας κέκληκε τοὺς προγόνους τοῦ Μελίσσου ἀπὸ προγόνου τινὸς Κλεωνύμου. τροπικῶς δὲ τὰ περὶ τῆς τύχης συμπτώματα οὕτω φησί· προεῖπον [2]) δὲ ὡς τῆς βασιλείας ἐξέπεσόν ποτε. § ὁ δὲ νοῦς· αἷς ταῖς ἀγωνιστικαῖς ἀρεταῖς οἱ σοὶ πρόγονοι διηνεκῶς λάμποντες εὐδαιμονίᾳ τύχης τὸ θνητὸν διαπορεύονται τοῦ βίου τέλος.

8. Ἄλλοτε δ' ἀλλοῖος οὖρος] ὅμοιόν ἐστι τῷ Αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξε· [3]) καὶ γὰρ ἐκ τούτων ἀποφαίνει τὴν περὶ τὸν οἶκον τοῦ Μελίσσου δυσπραγίαν. § ὁ δὲ νοῦς οὕτως· ἄλλοτε ἀλλοῖος καὶ οὐχ ὁ αὐτὸς παρὰ τῆς τύχης ἄνεμος ἐπιπνεύσας πάντας ἀνθρώπους συμφέρεσθαι πράγμασι παρέχει.

11. Τοὶ μὲν ὧν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται] τουτέστιν ἄνωθεν ἔτι ἐπίτιμοι εἰσιν οἱ Κλεωνυμίδαι διὰ τὸ Λαβδακίδαι εἶναι καὶ προξενίαν παρέχειν τοῖς περιοίκοις. § ὁ δὲ νοῦς οὕτως· οἱ μὲν οὖν σοὶ πρόγονοι ἄνωθεν καὶ ἐξ ἀρχῆς διαβεβόηνται κατὰ τὰς Θήβας ἐπίτιμοι καὶ ἔνδοξοι γεγονέναι καὶ [4]) πάντων τῶν ἐνοικούντων ξενισταὶ τῆς τε θορυβώδους ὕβρεως παντελῶς ὄντες ἀλλότριοι. Χρύσιππος οὖν· πι-

1) Alteram huius carminis partem interpres hic iam separatam invenit. Significatur enim carminis, quod vulgo quartum est, vs. 6. Cf. schol. ad vs. 29. partis prioris. 2) An III, 26? 3) III, 29. vulg. 4) Vocula καὶ vulgo est post ἐνοικούντων.

Digitized by Google

θαυῶς τὴν ὕβριν κελαδεινὴν [1]) εἴρηκε διὰ τὸ λάλους εἶναι τοὺς ὑβριστάς. τὸ δὲ ὀρφανοὶ οἷον ἐστερημένοι ὕβρεως, οὐκ ὄντες ὑβρισταὶ, ἀλλὰ πᾶν τοὐναντίον ἥμεροι καὶ ἐπιεικεῖς.

15. Ὅσσα δ' ἐπ' ἀνθρώπους] ὅσα δὲ φέρεται ἐπὶ τοὺς ζῶντας ἀνθρώπους καὶ τεθνηκότας μαρτύρια ἀρετῆς, κατὰ πάν τέλος τούτου ἐπίψαυσαν, φησὶ, Κλεωνυμίδαι. § Ἄλλως. ὁπόσα δὲ ἐν ἀνθρώποις φέρεται τῶν τετελευτηκότων καὶ τῶν ζώντων τῆς μεγίστης εὐδοξίας μαρτύρια, ταῦτα οὗτοι ἐν παντὶ πράγματι ἀναδεξάμενοι φαίνονται. § ἢ οὕτως· εἴτις καὶ πρὶν τεθνηκὼς ἢ νῦν ὧν ἔσχεν ἐξαίρετόν τι, τοῦτο ἔσχον.

18. Ἀνορέαις δ' ἐσχάταισι] ταῖς δ' ἀρεταῖς αὐτῶν ἀπὸ τῶν Θηβῶν μέχρις Ἡρακλείων στηλῶν τὸ τέλος διῖκται· [2]) οἷον ἄχρι περάτων κατὰ πάντα τρόπον κεκήρυκται αὐτῶν ἡ ἀνδρεία. § ὁ δὲ νοῦς· ταῖς οἰκείαις δὲ ἀρεταῖς καὶ τῶν Ἡρακλέος ἅπτονται στηλῶν, καὶ προσήκει ταύτης τῆς ἀρετῆς [3]) μὴ ζητεῖν μείζονα. ὁ δὲ Χρύσιππος οὕτως· αἱ δ' ἀνδρεῖαι ὑμῶν καὶ ἐν οἴκῳ διαφαίνονται καὶ μέχρι τῶν Ἡρακλείων στηλῶν διϊκνοῦνται. στήλαις δὲ εἶπεν ἀντὶ τοῦ στηλῶν, ὡς καὶ Στεφάνοισι θίγον [4]) ἀντὶ τοῦ στεφάνων.

21. Καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν] ὑπὲρ Ἡρακλέους φησὶ στήλας μὴ δύνασθαι τὴν ἀρετὴν πέμψαι.

23. Ἱπποτρόφοι τ' ἐγένοντο] καὶ πρὸς ἱπποτροφίαν εἶχον, καὶ ἤρκεσαν τῷ Ἄρει, ἢ ἤρεσκον, ὃ καὶ κρεῖττον. καὶ πολέμων τουτέστιν ἦσαν ἔμπειροι, ὅ ἐστι πολεμικοί.

25. Ἀλλ' ἁμέρᾳ γάρ] Χρύσιππος ἀποδέδωκεν, ὅτι δ' συγγενεῖς προπεπτώκασιν ἐν μιᾷ ἡμέρᾳ κατὰ πόλεμον αὐτῶν, καὶ τοῦτο λέγει λελυπηκέναι τὸν οἶκον. § ὁ δὲ νοῦς· ἀλλ' ἐν μιᾷ ἡμέρᾳ τοῦ πολέμου τραχύτατος χειμὼν τὴν μακαριωτάτην ἑστίαν τεσσάρων ἀνδρῶν ἔρημον ἐποίησεν.

29. Νῦν δ' αὖ] νῦν δὲ, φησὶ, καθάπερ ἐκ χειμῶνος ἔαρ καθέστηκεν αὐτῷ νενικηκότι, ὥσπερ ἐαρίζουσα γῆ ἐκ χειμῶνος ἐκδίδωσι τὰ ῥόδα. οἷον ἐξ ὑπαρχῆς αὐτοῖς ὁ οἶκος ἀνθεῖ. [5]) Χρύσιππος δέ· μετ' ἐκείνην τὴν ἀτυχίαν καὶ τὸν χειμῶνα ἤνθησαν. ἀλληγορεῖ ἐπὶ τοῦ βίου· εἰς ἔαρ μετέβαλε, φησὶν, ἡ οἰκία Μελίσσου. τὸ γὰρ ποικίλων μηνῶν, ἤτοι καθὸ ποικίλα ἐν τῷ χρόνῳ γίνεται, ἤτοι ποικίλων τῶν καρπῶν, καθ' οὓς ὅλη ἡ γῆ ποικίλη γίνεται τῇ τῶν φυτῶν ἐξανθήσει, ὅπερ ἄμεινον.

32. Ὁ κινητὴρ δὲ γᾶς] ὁ Ποσειδῶν. καὶ γέγονε παρὰ τὸ ἐνοσίγαιος.

33. Ὀγχηστὸν οἰκέων] ἱερὸν γὰρ τῷ θεῷ τὸ χωρίον, ὡς καὶ Ὅμηρός [6]) φησι. γέφυραν δὲ ποντιάδα τὸν Ἰσθμὸν ἔφη διὰ τὸ ἑκατέρωθεν θάλασσαν εἶναι καὶ τὴν διατείνουσαν ζώνην γεφύρᾳ [7]) ἐοικέναι. § τὸ δὲ σαφὲς οὕτως· ὁ δὲ τῆς γῆς κινητὴρ Ποσειδῶν ὁ τὸν Ὀγχηστὸν οἰκῶν καὶ τὴν θαλασσίαν γέφυραν τὴν πρὸ τῶν τειχῶν τῆς Κορίνθου, τοῦτον ἐπὶ τῇ νίκῃ χαρισάμενος τὸν ὕμνον τῷ τοῦ Μελίσσου γένει, ἐκ τῶν κοιτῶν ἀσθενήσασαν καὶ νοσηλευομένην πάλιν αὐτῶν τὴν παλαιὰν ἀναῤῥώννυσι δόξαν. ἦν γὰρ ἀφυπνώσασα καὶ ἀφανὴς γεκομένη. § Ἄλλως. ὁ θεὸς αὐτῶν τὴν καθυπνωκυῖαν

1) Rom. κελαδινήν. 2) Vulgo διῆκται. 3) Vulgo ταύταις ταῖς ἀρεταῖς. 4) Memoria falsus Scholiastes respicit Isthm. I, 26. vulg. 5) Addidi ἀνθεῖ cum Heynio. 6) Iliad. β, 506. 7) Vulgo γέφυραν.

Digitized by Google

φήμην ἀνεγείρει καὶ ἀνανεοῦται· παρόσον ἐν ταῖς δυστυχίαις καὶ ὁ πλοῦτος ἠλαττώθη καὶ ἡ ἱππικὴ ἐσιγήθη, νῦν δὲ ταῖς νίκαις ἐπέτυχεν.

39. Ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει] ἡ προειρημένη, φησί, φήμη ἀνεγειρομένη λάμπει, καὶ οὕτως ὡς ὁ ἑωσφόρος συγκρινόμενος τοῖς ἄλλοις ἄστροις, διὰ τὴν τοῦ Μελίσσου νίκην. τῷ αὐτῷ τρόπῳ καὶ Εὐριπίδης κέχρηται:

Εὔδουσα δ' Ἰνοῦς [1]) συμφορὰν πολὺν χρόνον
Νῦν ὄμμ' ἐγείρει.

§ ὁ δὲ νοῦς· ἀλλὰ πάλιν ἀναστᾶσα καὶ διαφανὴς γενομένη οὕτω τὸν χρῶτα λάμπει, ὥσπερ ὁ ἑωσφόρος ἐν τοῖς ἄλλοις ἄστροις ἐκδηλότερός ἐστιν.

42. Ἅτε κεῖν γουνοῖς Ἀθηνᾶν] ἥτις φήμη καὶ δόξα ἐν Ἀθήναις καὶ Σικυῶνι κατὰ τὸν Ἀδράστου ἀγῶνα τὰ τούτου ἅρματα κηρύξασα τὴν νίκην ἐνεχείρισεν. § Ἄλλως. ἡ φήμη, φησίν, ἡ προειρημένη νικᾶν κηρύξασα τὸ ἅρμα ὑμῶν ἐν Ἀθήναις καὶ ἐν Σικυῶνι ἐδωρήσατο ὑμῖν τοιάδε, ὁποῖα ἐγὼ νῦν γράφω εἰς σὲ διὰ τῶν ὕμνων· τοιαῦτα ἔσχον καὶ οἱ πρόγονοί σου παρὰ τῶν τότε γεγονότων ποιητῶν· ὡς καὶ εἰς ἐκείνους γεγραφότων τινῶν ἐπινίκους. § τὸ δὲ ἑξῆς· τοιαῦτα τῶν ὑμετέρων προγόνων τὰ ἐγκώμια τὰ ἐπὶ τοῖς στεφάνοις καὶ ἀγῶσι. ἔνιοι δὲ, τοιαύτας ἔσχον καὶ οἱ πρόγονοί σου παρὰ τῶν τότε ποιητῶν ᾠδάς. τοῦτο δὲ Χρύσιππός φησιν ὡς ἄλλων ἐγκεκωμιακότων [2]) ποιητῶν κατὰ τὸν καιρὸν τὸν πάλαι τὰς νίκας.

47. Οὐδὲ παναγυρίων ξυνῶν ἀπεῖχον] οὐδὲ τῶν κοινῶν, [3]) φησί, πανηγύρεων τὸ ἐπικαμπὲς αὐτῶν ἅρμα ἀπεχώριζον. ὃ δέ φησι, τοιοῦτόν ἐστιν· ὅτι οὕτω φιλαγωνιστικοὶ καὶ φιλόδοξοι ἦσαν, ὥστε καὶ ἐν τοῖς ἀγῶσι τῶν κοινῶν πανηγύρεων ἀγωνίζεσθαι· καὶ πᾶσι τοῖς Ἕλλησι περὶ [4]) ἱπποτροφίας ἐρίζοντες ἔχαιρον. τῶν γὰρ μὴ καθιέντων αὐτοὺς εἰς ἁμιλλαν καὶ πειρωμένων ἀγῶνος οὐδεμία μνήμη ἐστίν, ὅ ἐστι, σιωπᾶται ὁ βίος τῶν μὴ πονούντων ἐν τοῖς ἀγῶσιν ἀνδρῶν. Χρύσιππος δὲ, σεσημείωται, φησίν, ὁ τόπος διὰ τὴν φράσιν· τὸ γὰρ ἐναντίον βούλεται εἰπεῖν· τῶν ἀπειράτων καὶ ἀπράκτων ἄγνωστοί εἰσιν αἱ λαλιαί, ὅ ἐστιν, ἄν τις μὴ πειραθῇ πραγμάτων καὶ παθῶν, οὗτος ἀκλεὴς γίνεται. γελοίως.

52. Ἔστι δ' ἀφάνεια τύχας] τὸ ἑξῆς οὕτω· ἔστι δὲ τὸ τῆς ἐκβάσεως τέλος τῶν μαχομένων ἀτελὲς, πρὶν ἐπὶ τὸ τέλος καὶ ἄκρον, τὴν νίκην, παραγενέσθαι, ὅ ἐστι νικῆσαι. πολλάκις γὰρ τούτων τε κἀκείνων ἡ τύχη δίδωσι τὴν νίκην καὶ ἥττην. ὁ δὲ νοῦς αὐτοῦ πρὸς τοῦτο παρείληπται· οἱ σοὶ πρόγονοι διηνεκῶς διετέλουν ἱπποτροφοῦντες, καίτοι τῆς κατὰ τὸν ἀγῶνα τύχης ἄδηλον ἐχούσης τὴν ἔκβασιν. ὅπερ καὶ ἐν ἄλλοις· Πρὸς ἔργον κινδύνῳ κεχαλασμένον. [5]) § Ἄλλως. καὶ αὐτοῖς τοῖς ἀγωνιζομένοις ὃ δήποτε ἀγώνισμα, ἀφανές ἐστι καὶ ἀπρόορατον τὸ ἐκ τῆς τύχης ἀποβησόμενον, πρὶν ἢ τὸ τέλος γενέσθαι, πότερον νικήσουσιν ἢ οὔ. τὸ δὲ σαφὲς οὕτως· ἔστι δὲ καὶ τῶν μετὰ πόλεμον μαχομένων τῆς τύχης ἀφανὴς ἡ ἔκβασις, πρὶν τὸ τέλος παραγενέσθαι· [6]) ἄλλα γὰρ ἄλλοις ἡ τύχη δίδωσι, καὶ πολλάκις τὸν κρείττονα τῇ τέχνῃ [7]) ὑπὸ τῶν χειρόνων τοῦ δέον-

1) Vulgo Ἰδοῦσ' ἀδινοῦς. Fragm. Inus 1. 2) Vulgo ἐγκωμιακότων. 3) Rom. τὸ κοινόν. 4) Δὲ mutavi in περὶ. Rom. ὁρίζοντες. 5) Olymp. V, 36. vulg. 6) Vulgo περιγενέσθαι. 7) Rom. τύχῃ et ἀπὸ pro ὑπό.

Digitized by Google

τος ἀποσφαλῆναι πεποίηκε. § τὸ δὲ καταμάρψαι ἀντὶ τοῦ καταμαρφθῆναι. προσεπισφραγίζεται οὖν διὰ τούτων, ὅτι πολλάκις καὶ τύχη τὸν κρείττονα ὑπὸ τοῦ ἥττονος ἐποίησε καταγωνισθῆναι τέχνῃ. τὸ δὲ τέχνῃ νῦν ἀντὶ τοῦ δόλῳ καὶ μηχανῇ τινι.

58. Ἴστε μὰν Αἴαντος ἀλκάν] τὸ ταμὼν πρὸς τὴν ἀλκὴν ληπτέον. τὸ δὲ ὀψίᾳ ἐν νυκτὶ τριχῶς νοεῖται· ἢ γὰρ τὴν ὀψίαν τῆς ἡμέρας· ὅτε γὰρ ὀψὲ τῆς ἡμέρας ἐστί, τότε ἀρχὴ τῆς νυκτὸς ἀφ' ἑσπέρας· ἢ κατὰ τὸ ὀψὲ τῆς νυκτός, οἷον τὸ μεσονύκτιον, μετὰ τὴν ὀψίαν ὥραν τῆς νυκτός, ὥστε ὅλον ὅμοιον εἶναι τῷ Ἐν νυκτὸς ἀμολγῷ, ὅτε ἀμέλγουσι πρὸ ἑσπέρας· ἢ τὸ πρὸς ἕω, ὅτε ἐστὶ τῆς νυκτὸς ὀψὲ πρὸ τοῦ ὄρθρου. τοῖς δὲ τὸν ὄρθρον ἀκούουσι καὶ τὰ ἀπὸ τῆς ἱστορίας συνᾴδει· ὁ γὰρ τὴν Αἰθιοπίδα γράφων περὶ τὸν ὄρθρον φησὶ τὸν Αἴαντα ἑαυτὸν ἀνελεῖν. ἀπορήσειε δ' ἄν τις, πρὸς τί βλέπων τὸν Αἴαντα προσῆκται· εἰ μὴ ἔστιν ὅτι βραχὺς ὢν ὁ Μέλισσος τῶν ἀλκιμωτέρων τὸ σῶμα μειζόνων τέχνῃ περιῆν, ὅπερ καὶ ὁ Αἴας ὑπὸ Ὀδυσσέως ἔπαθεν ἐν τῇ κρίσει τῶν ἄθλων καὶ ὅπλων, ἀφαιρεθεὶς τούτων καὶ νικηθεὶς ὑπὸ τοῦ δολίου. ὁ δὲ Χρύσιππος αἰνιγματωδῶς φησι προσῆχθαι τὴν περὶ Αἴαντος ἱστορίαν· ἄδηλον γάρ, πότερον εἰς τὴν πάλην τείνει τὴν γενομένην παρὰ τοῦ νικηφόρου, ὅτι [1]) ἐνίκησε δόλῳ, ἢ εἰς τὰ περὶ τὴν κρίσιν τῶν ὅπλων. ἄμεινον δέ φησιν ὅτι καὶ ὡς ὁ Αἴας μείζων ὢν κατὰ τὸν ἀγῶνα βαστάζων τὸν Ὀδυσσέα δόλῳ παρ' αὐτοῦ ἐλείφθη, [2]) οὕτω καὶ ὁ Μέλισσος μείζονα ὄντα τὸν ἀνταγωνιστὴν τῇ τέχνῃ ἐνίκησε. § Χρύσιππος οὕτω φησίν· ἴστε Αἴαντα, ὃς μέγας ὢν ὄνειδος τοῖς Ἕλλησι περιεποίησε τὴν κακοκρισίαν αὐτῶν φανερὰν ποιήσας, ἐπεὶ προσεχαρίσαντο τῇ Ἀθηνᾷ. § ὁ δὲ νοῦς· γινώσκετε μὲν τὴν τοῦ Αἴαντος δύναμιν τὴν φονίαν καὶ πολεμικήν, ἣν ἐν ὀψίᾳ περὶ τῷ ἑαυτοῦ ξίφει διατεμὼν καὶ διαφθείρας οὐκ ὀλίγην μέμψιν ἔχει ἐν τοῖς Ἑλλήνων παισὶ τοῖς ἐν Τροίᾳ διαβεβηκόσιν.

63. Ἀλλ' Ὅμηρός τοι τετίμακε] Χρύσιππος ἀμφίβολόν φησι τοῦτο εἶναι, πότερον ἐπ' Αἴαντος ἢ ἐπὶ Ὀδυσσέως λέγει· πάντοτε γὰρ ὁ Πίνδαρος τὸν Αἴαντα θαυμάζει, νῦν δὲ ὁ λόγος συνᾴδει Ὀδυσσεῖ. καὶ γὰρ τὸ λέγειν, Ὃς αὐτοῦ πᾶσαν ὀρθώσας ἀρετὴν κατὰ ῥάβδον ἔφρασεν, ἐπ' Ὀδυσσέως συμφωνεῖ, ἐπεὶ καὶ μᾶλλον τῆς Ἰλιάδος ἡ Ὀδύσσεια ῥαψῳδεῖται· καὶ ἡ Ἰλιὰς μὲν πολλῶν κοινὸν ἐγκώμιον, [3]) ἡ Ὀδύσσεια δὲ μόνου Ὀδυσσέως· καὶ οὐκ ἂν, θέλων συστῆσαι τὸν κρείττονα ὑπὸ τοῦ ἥττονος ἐλαττούμενον διὰ τύχην καὶ τέχνην, τὸν Αἴαντα ἐγκωμιαζόμενον εἰσήγαγεν ὑφ' Ὁμήρου· τοῦτο γὰρ ἔλεγχον εἶχε τοῦ ἐγκωμιαζομένου ὑπ' αὐτοῦ· κατὰ δὲ τούτους ὁ μὲν ἀλλὰ κείμενος ἔσται διασταλτικός. ὁ δὲ λόγος· καίπερ ἐλάττονα τὸν Ὀδυσσέα γενόμενον Ὅμηρος τετίμηκε. γελοίως. δύναται γὰρ μένειν τὸ αὐτὸ ἄλογον· καὶ γὰρ ταῦτα λέγων ἐπὶ τῆς ἰδίας μένει κρίσεως, καὶ ἐγκαλῶν μὲν ἔσται τῷ ποιητῇ, Ὀδυσσέα δὲ φέρων. § Ἄλλως. παρέλιπε τίνα τετίμηκεν Ὅμηρος, νοητέον δὲ ὅτι τὸν Ὀδυσσέα· ὁ γὰρ ἀλλὰ χωρισμὸν ἔχει παραπλακεὶς τῷ λόγῳ· ἀλλ' ὅμως χείρονα ὄντα τὸν Ὀδυσσέα τετίμηκεν Ὅμηρος. § ὁ δὲ νοῦς οὕτως· ἀλλ' Ὅμηρος τῇ ἑαυτοῦ ποιήσει τιμιώτατον ἀπειργάσατο τὸν Αἴαντα, ὅστις αὐτοῦ πᾶσαν ἀρετὴν τοῖς ἐγκωμίοις ἀνορθώσας κατὰ ῥαψῳδίαν ἐξέφρασε θείων ἐπῶν συνθέσει, καὶ δέδωκε τοῖς μετὰ ταῦτα ἐν παιδιαῖς καὶ θυμηδίαις ᾄδειν τὴν Αἴαντος ἀρετήν. τὸ δὲ κατὰ ῥάβδον οἱ μὲν ἀντὶ τοῦ κατὰ ῥαψῳδίαν, οἷον· οὐκ ἐάσας χαμαὶ

1) Vulgo ὅτε. 2) Conieceris ἐλήφθη: sed etiam ἐλείφθη ferri potest. 3) Vulgo ἐγκωμίων.

Digitized by Google

πεσεῖν ἀνέστησεν ὡς ἄγαλμα, καὶ κατὰ ῥάβδον ἔφρασε, τουτέστιν ἐῤῥαψῴδησεν· οἱ δὲ, οὐκ ἀκούουσι νῦν κατὰ ῥάβδον, ἐπεὶ μετὰ βακτηρίας οἱ ῥαψῳδοὶ τὰ ποιήματα ἀπήγγελον, ἀλλὰ κατὰ ῥάβδον ἀντὶ τοῦ κατὰ στίχον. τὸ δὲ ἀθύρειν ἀντὶ τοῦ μέλπειν καὶ ὑμνεῖν. § ἢ οὕτω· τοῖς μετὰ ταῦτα ᾄδειν, ὅτι τῇ θυμηδίᾳ καὶ ἡ ᾠδὴ ἕπεται. ἢ λοιποῖς ἀθύρειν, ἑπεσομένοις ἀνδράσι μέλπειν. ἢ μετὰ τοὺς εἰς θεοὺς ὕμνους· καὶ γὰρ ἐν ἑτέρῳ φησὶν Ὅθεν περ καὶ Ὁμηρίδαι ταπόλλ' ἀοιδᾷ. [1])

68. Τοῦτο γὰρ ἀθάνατον] τοῦτο γὰρ τὸ ἐγκώμιον ἀθάνατον καὶ πολυθρύλλητόν ἐστιν, ὅπερ ἄν τις καλῶς εἴπῃ, ἐπί τε τὴν πολύκαρπον γῆν καὶ διὰ θαλάσσης διαπορεύεται τῶν καλῶν κατορθωμάτων ἡ ἄσβεστος ἀκτὶς, τουτέστιν ὁ ὕμνος. § ἢ οὕτω· τὸ ἐγκώμιον, φησὶν, ὃ ἂν ῥηθῇ, φωνὴν ἔχον ἕρπει πάντη καὶ πορεύεται, οὐκ ἐφ' ἑνὸς τόπου ἕστηκε. Χρύσιππος ἔφη αὐτὸ τὸ ποίημα τοῦ Ὁμήρου ἀθάνατον λέγειν ἢ τὰς τῶν ἐμπεριεχομένων πράξεις τῷ ποιήματι.

73. Προφρόνων Μοισᾶν] ἐπεὶ προείρηκε, Τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει, ἐπήνεγκεν εὐκτικῶς· γένοιτο καὶ ἡμῖν προφρόνων τῶν Μουσῶν τυχεῖν, ὥστε ὑπ' ἐκείνου ἐναυγάσασθαι τοῦ πυρὸς, ἵνα παραπλησίως Ὁμήρῳ τὸν Μέλισσον [2]) ὑμνήσω. § ἢ οὕτως· εἴθε προθύμων τῶν Μουσῶν τύχοιμεν, ἐκεῖνον τὸν πυρσὸν, τουτέστι τὸν τοιοῦτον πυρσὸν τῶν ἐγκωμίων ἀναφᾶναι καὶ τῷ τοῦ Μελίσσου παγκρατίῳ· αὐτὸς γὰρ συνῳδὸς καὶ τῇ τῶν στεφάνων εὐδοξίᾳ· ἐπάξιον αὐτοῦ [3]) τῶν κατορθωμάτων ὄντα στέφανον.

77. Ἔρνεϊ Τελεσιάδα] οἱ μὲν οὕτω· Μελίσσῳ τῷ Τελεσιάδου βλαστήματι, ὡς ὄντος Τελεσιάδου πατρός· οἱ δὲ ἐν τῷ ἔρνεϊ στίζουσι καὶ ἐπιφέρουσιν οὕτω· Τελεσιάδᾳ τόλμᾳ γὰρ εἰκὼς, ὡς τοῦ Τελεσιάδου ἐναγωνίου προγόνου γενομένου. § ὁ δὲ νοῦς· τῷ γὰρ Τελεσιάδῃ τῇ προθυμίᾳ ὅμοιος ὢν ἐν μὲν τοῖς πόνοις καὶ τοῖς ἀνταγωνισταῖς τοιοῦτος ἦν τὴν τόλμαν, οἷοι οἱ λέοντες ἐν θηρσὶν, ἐν δὲ ταῖς μηχαναῖς τεχνικὸς ὡς ἀλώπηξ, ἥτις καὶ τῶν ἀετῶν τὴν ὁρμὴν καὶ τὸν ῥοῖζον δολερῶς ἀνακλινομένη πολλάκις ἀνέκρουσεν. § Ἄλλως. οἰκεῖος ὢν τόλμῃ τὸν τῶν λεόντων θυμὸν ἐν τοῖς πόνοις θηρᾷ. [4]) καὶ τῇ μὲν τόλμῃ φησὶν αὐτὸν λέοντι θηρεύοντι ἐοικέναι, κατὰ δὲ τὴν μῆτιν ἀλώπεκι, ἥτις ἀνακεκλιμένη ὑπτία πρὸς τὸ ἑτοίμως ἀμύνεσθαι, ἐπίχει τὴν τοῦ ἀετοῦ ὁρμὴν, ὅταν ἐπιρομβῇ αὐτὴν βουλόμενος ἁρπάσαι. ἔοικε δὲ διδάσκειν αὐτοῦ τὸ πάλαισμα, ὡς χαμαὶ κειμένου καὶ τὸν μείζονα τέχνῃ νενικηκότος. καὶ γὰρ ἡ ἀλώπηξ ὑπτία τοῖς ποσὶν ἀμύνεται, τὰ μὲν συλλαβομένη, τὰ δὲ ἀμύσσουσα.

81. Χρὴ δὲ πᾶν ἔρδοντα] προσήκει δὲ, φησὶ, πᾶσαν ἀνακινοῦντα μηχανὴν ἄδοξον καταστῆσαι τὸν ἐχθρόν. τοῦτο δὲ λέγει ὡς τοῦ νικηφόρου μηχανῇ νικήσαντος. τὸ δὲ ἀμαυρῶσαι ἐλαττῶσαι ἐστιν. Ἡσίοδος [5]) φησι· Ῥεῖα δέ μιν μαυροῦσι θεοί. διὰ δὲ τούτων παρίστησιν, ὅτι κυλιστικὸς ἦν ὁ Μέλισσος, καὶ ἑαυτὸν ἐξυπτιάσας περιεγένετο.

83. Οὐ γὰρ φύσιν Ὠριωνείαν] τουτέστιν οὐχ ὑπερμεγέθης ἦν, ἀλλὰ τοὐναντίον μεμπτὸς καὶ εὐτελὴς κατὰ τὴν τοῦ σώματος ὄψιν, συμπεσεῖν δὲ κατὰ τοὺς ἀγῶνας βαρύτατος· ὑπερμεγέθη γὰρ τὸν Ὠρίωνα ἱστοροῦσιν. § Ἄλλως. οὐ γὰρ φύσιν Ὠριωνείαν ἔλαχεν· ὁ γὰρ Ὠρίων διαβόητος ἐπὶ ἀνδρείᾳ, ὡς καὶ Ὅμηρος· [6])

1) Nem. II. init. 2) Dedi τὸν Μέλισσον pro vulgato τὸ μέλος. 3) Vulgo αὐτῶν. 4) Schneiderus coniicit ἤτοι τῇ θήρᾳ. 5) Opp. et D. 325. 6) Odyss. λ, 308.

Digitized by Google

Τοὺς δὴ μηκίστους θρέψε ζείδωρος ἄρουρα,
Καὶ πολὺ καλλίους μετά γε κλυτὸν Ὠρίωνα.

καὶ πάλιν ὁ Πίνδαρος βραχὺν εἰδὼς κατὰ τὸ σῶμα τὸν νικηφόρον τῇ ἑαυτοῦ τέχνῃ τὸ ὑπεράγαν εὐσωματεῖν καὶ ἀνδρεῖον εἶναι βλάβην ὑπαινίττεται, ὅτι δὴ ὁ Ὠρίων τοιοῦτος ὢν τῶν ὑπὲρ ἑαυτὸν ἐπεθύμησε καὶ τὴν Ἄρτεμιν ἐπεχείρει βιάζεσθαι.

87. Καίτοι πότ' Ἀνταίου] πάλιν ἑτέραν ἀπολογίαν προσάπτει τὴν κατὰ Ἀνταῖον καὶ Ἡρακλέα. ὁ γὰρ Ἀντιαῖος τὴν ἔρημον τῆς Λιβύης οἰκῶν καὶ τὴν ἐρημίαν ἐφόδιον τῆς ἀπανθρωπίας ἐσχηκὼς πάλῃ καταγωνιζόμενος τοὺς παριόντας ἀνῄρει, ὃν ἐπιστὰς Ἡρακλῆς ἀπέκτεινε. τοῦτο γοῦν φησι· καὶ Ἡρακλῆς μικρὸς ὢν πρὸς σύγκρισιν τοῦ Ἀνταίου ἦλθεν ἐπ' αὐτόν. εἶπεν οὐ μάτην, ἀλλ' ἐπεί τινες σύμμετρον εἶναί φασι τῷ σώματι. Ἡρόδωρος γοῦν ἐν Οἰδίποδί φησι τῶν ἄλλων αὐτὸν περιττεύειν, ὥςτε τὸ ὅλον σῶμα πηχῶν εἶναι τεσσάρων καὶ ποδός. [1]) § ὁ δὲ νοῦς· καί ποτε εἰς τοὺς τοῦ Ἀνταίου οἴκους ἐκ Θηβῶν τὴν μὲν μορφὴν καὶ τὸ σῶμα βραχὺς, τὴν δὲ ψυχὴν ἀκαταμάχητος παλαίσων ἦλθεν εἰς τὴν σιτοφόρον Λιβύην Ἡρακλῆς. Χρύσιππος ἀκυρότερον, φησὶ, τὴν Λιβύην εἴρηκε πυροφόρον· οὐ γὰρ πᾶσα τοιαύτη. μήποτε δὲ, ὅτι τῇ Αἰγύπτῳ παράκειται, ἥτις ἐστὶ πολύπυρος.

92. Κρανίοις ὄφρα ξείνων] ἰδίως τὸν Ἀνταῖόν φησι τῶν ξένων τῶν ἡττωμένων τοῖς κρανίοις ἐρέφειν τὸν τοῦ Ποσειδῶνος ναόν· τοῦτο γὰρ ἱστοροῦσι τὸν Θρᾷκα Διομήδην ποιεῖν, Βακχυλίδης δὲ Εὔηνον ἐπὶ τῶν Μαρπίσσης [2]) μνηστήρων, οἱ δὲ Οἰνόμαον, ὡς Σοφοκλῆς. [3]) § Ἄλλως. ὅπως ταῖς τῶν ἀναιρουμένων κεφαλαῖς τὸ αὐτόθι τοῦ Ποσειδῶνος τέμενος ἐμφράττοντα Ἀνταῖον ἐπίσχῃ· ἐδυςτύχει γὰρ ἀπανθρωπίαν ἅμα καὶ εἰς θεοὺς ἀσέβειαν· καὶ ἐπισχὼν Ἡρακλῆς μισθὸν τοῦ κατορθώματος τὴν εἰς Ὄλυμπον ἀνάβασιν ἐδέξατο. εἶτα παρεκβάσει τῶν Ἡρακλείων κατορθωμάτων τὸν λόγον ποιεῖται ὁ Πίνδαρος, καί φησιν ὅτι πάσης τῆς γῆς καὶ τῆς πολυβαθοῦς θαλάσσης ἀνερευνήσας καὶ κατειληφὼς τὸ τέλος· θέναρ μὲν γὰρ κυρίως τὸ κοῖλον τῆς χειρὸς παρὰ τὸ θένειν ἡμᾶς αὐτῷ καὶ τύπτειν, νῦν δὲ ἀπὸ τῆς κοιλότητος ἐπὶ τοῦ πυθμένος ἔταξε· καὶ ταῖς ναυσὶ τὴν ὁδὸν καὶ τὴν πορείαν ἡμέρως εὐτρεπίσας, ἀπὸ κοινοῦ τὸ εἰς Ὄλυμπον [4]) ἔβα. § ἐκεῖνος οὖν, φησὶν, ἐξευρὼν τὸ πλάτος τῆς θαλάσσης, ἡμερώσας γῆν καὶ θάλασσαν καὶ καθάρας ἀπὸ λῃστῶν καὶ θηρίων εἰς Ὄλυμπον ἀνέβη.

104. Τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν] Ἀλεκτρίδες πύλαι ἐν Θήβαις, ἐφ' ὧν ἱερουργοῦσι Θηβαῖοι τιμῶντες Ἡρακλέα καὶ τοὺς ἐκ Μεγάρας τῆς Κρέοντος ὀκτὼ παῖδας αὐτῷ γεγονότας, κατὰ δὲ χόλον Ἥρας ἀναιρεθέντας ὑπ' αὐτοῦ μεμηνότος. § Ἄλλως. Χρύσιππος, πρὸς ταῖς καλουμέναις, φησὶν, Ἠλέκτραις πύλαις ᾤκησεν Ἀμφιτρύων, μετὰ ταῦτα Ἡρακλῆς· ἐφ' [5]) αἷς κατ' ἔτος Θηβαῖοι ἐναγίζουσί τε τοῖς Ἡρακλέος [6]) παισὶ καὶ

1) Mirum est Herodorum hoc in Oedipo, non in opere de Hercule exposuisse, de quo v. Voss. H. Gr. III, p. 374. nec mihi liber Herodori de Oedipo aliunde notus est. Igitur coniicio Ἡρόδωρος γοῦν ἐν ὀγδόῳ φ. Herodorum Ponticum in eadem re commemorat Tzetz. ad Lycophr. 662. emendatus ab Aug. van Staveren in Misc. Obss. Belg. Vol. X, p. 305. et Tzetz. Chil. II, 265. De statura Herculis cf. Gell. I, 1. 2) Vulgo Μαρσίππης, quod correxit Heynius. 3) Conf. schol. rec. Olymp. I, 114. 4) Vulgo Ὀλυμπίαν. 5) Praepositionem Heynius addidit. 6) Ἡρακλέος de meo est.

Digitized by Google

ἀγῶνας ἐπιταφίους ἄγουσι. τῷ μὲν οὖν Ἡρακλεῖ, φησὶν, αὔξομεν ἔντομα, ὅπερ φησὶν ἔμπυρα· τουτέστι τοῖς υἱοῖς αὐτοῦ συνεχῶς ἔμπυρα κατ' ἐνιαυτὸν αὔξομεν· οὐ γὰρ διαπαντὸς λέγει. Χρύσιππος δὲ, ἐκ περιφράσεως τοὺς βωμοὺς αὐτοὺς στεφανώματα βωμῶν εἰρηκέναι· ἢ κατὰ παραγωγὴν εἴρηκε τὰ Νέμεα νεόδματα. § ὁ δὲ νοῦς οὕτω· τῷ μὲν οὖν Ἡρακλεῖ τῶν Ἠλεκτρίδων πυλῶν ὑπεράνω τὴν θυσίαν παρέχοντες οἱ πολῖται καὶ τὰ νεαρὰ στέμματα τῶν βωμῶν, αὔξομεν τὰς θυσίας τῶν πολεμικῶν ὀκτὼ θανόντων αὐτῷ παίδων, οὓς ἡ Μεγάρα ἡ Κρέοντος θυγάτηρ ἔτεκεν. χαλκοαρᾶν δὲ εἶπεν ὡς βιαιοθανάτων γενομένων τῶν τοῦ Ἡρακλέος παίδων. καὶ ὅτι ὀκτὼ φησιν αὐτοὺς εἶναι. [1]) § Ἄλλως. περὶ τῶν Ἡρακλέος ἐκ Μεγάρας παίδων Λυσίμαχός φησί τινας ἱστορεῖν, μὴ ὑπὸ Ἡρακλέος ἀλλ' ὑπό τινων δολοφονηθῆναι ξένων· οἱ δὲ Λύκον τὸν βασιλέα φασὶν αὐτοὺς φονεῦσαι· Σωκράτης δὲ ὑπὸ Λυγέου φησὶν αὐτοὺς δολοφονηθῆναι. καὶ περὶ τοῦ ἀριθμοῦ δὲ διαλλάττουσι· Διονύσιος μὲν ἐν πρώτῳ Κύκλων [2]) Θηρίμαχον καὶ Δηϊκόωντα, Εὐριπίδης [3]) δὲ προστίθησιν αὐτοῖς καὶ Ἀριστόδημον· Δεινίας [4]) δὲ ὁ Ἀργεῖος Θηρίμαχον, Κρεοντιάδην, Δηϊκόωντα, Δηΐονα· Φερεκύδης δὲ ἐν δευτέρῳ [5]) Ἀντίμαχον, Κλύμενον, Γλῆνον, [6]) Θηρίμαχον, Κρεοντιάδην, λέγων αὐτοὺς εἰς τὸ πῦρ ὑπὸ τοῦ πατρὸς ἐμβεβλῆσθαι· Βάτος [7]) δὲ ἐν δευτέρῳ Ἀττικῶν ἱστοριῶν Πολύδωρον, Ἀνίκητον, Μηκιστόφονον, Πατροκλέα, Τοξόκλειτον, Μενέβρόντην, Χερσίβιον. Ἡρόδωρος δὲ καὶ δίς φησι μανῆναι τὸν Ἡρακλέα· ἐκαθάρθη δὲ ὑπὸ Σικάλου, ὥς φησι Μενεκράτης λέγων αὐτοῦ τοὺς υἱοὺς εἶναι ὀκτὼ καὶ καλεῖσθαι οὐχ Ἡρακλείδας, οὐδέπω γὰρ Ἡρακλῆς ὠνομάζετο, ἀλλ' Ἀλκαΐδας.

110. Τοῖσιν ἐν δυσμαῖσιν αὐγᾶν] τοῦτό φησιν ὡς περὶ τὴν ἑσπέραν τελουμένων τῶν νομίμων τοῖς Ἀλκαΐδαις. δι' ὅλης οὖν φησι νυκτὸς τὴν πυρκαϊὰν μένειν μέχρις ἀνατολῆς ἡλίου. § Ἄλλως. ἔθος πρὸς δυσμὰς ἱερουργεῖν τοῖς ἥρωσι, κατὰ τὰς ἀνατολὰς τοῖς θεοῖς· καὶ συμβολικῶς ἑκάστῳ τὸ τῆς θυσίας πρός τε τὴν αὔξησιν καὶ φθορὰν ἑκατέροις ὀφειλομένην. § ὁ δὲ νοῦς οὕτω· τούτοις τοῖς Ἡρακλέος παισὶ τῶν ἡλιακῶν αὐγῶν κατὰ τὰς δυσμὰς ἡ τῶν θυσιῶν [8]) ἀναφαινομένη φλὸξ συνεχῶς λάμπει διὰ πάσης τῆς νυκτὸς, τῷ κνισήεντι καπνῷ λακτίζουσα τὸν ἀέρα. σκληροτέρᾳ δὲ κέχρηται μεταφορᾷ· ἐχρῆν γὰρ εἰπεῖν ψαύουσα ἢ θιγγάνουσα τοῦ αἰθέρος ἡ κνίσα τοῦ καπνοῦ. Ὅμηρός φησι· [9])

Κνίση δ' οὐρανὸν ἶκεν ἑλισσομένη περὶ καπνῷ.

114. Καὶ δεύτερον ἅμαρ ἐτείων ἀέθλων] μετὰ δὲ τὰς θυσίας, φησὶ, τῇ δευτέρᾳ ἡμέρᾳ τῶν ἐνιαυσίων ἀγωνισμάτων τὸ τέλος αὐτοῖς συντελεῖται. τοῦτο δὲ ἀνδρείας ἔργον· τελεῖται γὰρ αὐτόθι ἀγὼν τὰ Ἡράκλεια. § Ἄλλως. ἀμφίβολον πότερον μετὰ

1) Nempe σημειωτέον. 2) Est Dionysius Samius, de quo Athenaeus XI, p. 477. D. p. 481. E. 3) Tres filios Herculis ex Megara commemorat Euripides Herc. fur. 774. 994. sed nomina non prodit. Deperditum igitur drama grammaticus spectat. 4) Vulgo Αἰνείας; emendavit Valck. ad Theocr. p. 304. Dinias scripsit Argolica: v. Voss. H. Gr. III, p. 353. et Valck. ad Schol. Phoen. p. 7 sq. 5) Sturz. Fragm. p. 102. 6) Sive Γληνία. V. Hemst. ad Lucian. T. I, p. 237. ubi plura de Herculis et Megarae filiis. 7) Nomen corruptum videtur, et scripserim Βάτων, de quo v. Voss. H. Gr. IV, p. 508. 8) Vulgo θεῶν. Recepi emendationem Faehsii Syllog. p. 406. Heynius volebat ἱερῶν. 9) Iliad. α, 317.

Digitized by Google

θυσίαν ταῖς ἑξῆς ἡμέραις δύο ὁ ἀγὼν τῶν Ἡρακλείων συντελεῖται, τῇ μὲν προτέρᾳ πένταθλος καὶ ἱππικός, τῇ δὲ ἐχομένῃ γυμνικός· ἢ δεύτερον ἦμαρ τὸ μετὰ τὴν θυσίαν, ὡς τῇ ἐπιφωσκούσῃ τοῦ ἀγῶνος ἀγομένου, τῇ ὑστεραίᾳ.

117. Ἔνθα λευκωθεὶς κάρα μύρτοις] ἐν ᾧ ἀγῶνι στεφανωθεὶς τοῖς μύρτοις ὁ νικηφόρος διπλῆν νίκην ἔσχε, τρίτην παίδων κατὰ τὸν φθάσαντα χρόνον εὐτυχήσας καὶ πειθόμενος τῇ τοῦ παιδοτρίβου [1]) γνώμῃ. τὸ δὲ μύρτοις, ὅτι μυρσίνης στεφάνοις ἐν Θήβαις στεφανοῦνται οἱ νικῶντες τὰ Ἰολάεια. [2]) μυρσίνη γὰρ στεφανοῦνται διὰ τὸ εἶναι τῶν νεκρῶν στέφος.

120. Τὴν τρίταν πρόσθεν, κυβερνατῆρος] πάσας αὐτῷ κατὰ τὸν ἐπιχώριον ἀγῶνα τρεῖς δίδωσι νίκας, καί φησιν ὅτι μετὰ παίδων προαγωνισάμενος ἐνίκησεν, ἔσχε δὲ καὶ ἑτέρας δύο κατὰ τὸν αὐτὸν ἀγῶνα μετὰ ταῦτα. § Ἄλλως. ὡς τρὶς αὐτοῦ τοῦτον ἐστεφανωμένου τὸν ἐπιτάφιον, δὶς μὲν ἐν παισίν, ἅπαξ δὲ ὅτε ἐγένετο ἀνήρ. Χρύσιππος διασαφεῖ νῦν, [3]) ὅτι δεύτερον ἐνίκησεν ἄνδρας, [4]) ἅπαξ δὲ παῖδας [5]) κατὰ τὸν ἀγῶνα. τὸ δὲ τρίταν κεῖται ἐπὶ τοῦ πρώτου· [6]) διὸ καὶ πρόσκειται τὸ πρόσθεν, ὅτι πρῶτον ἐνίκησε παῖδας.

123. Σὺν Ὀρσέᾳ δέ νιν] σὺν δὲ τῷ τεχνικῷ Ὀρσέᾳ τὸν νικηφόρον ὑμνῶν καὶ χορεύων ἀνυμνήσω, τερπνὴν ἐγκωμίαν ἐπιστάζων τὴν παρὰ τῶν Μουσῶν χάριν. Ὀρσέας δὲ ὄνομα κύριον τοῦ ἀλείπτου.

ΙΣΘΜΙΩΝ ΕΙΔΟΣ Δ'. [7]) [Ε'.]

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ τετάρτου [8]) τῶν Ἰσθμίων εἴδους.

Τοῦ τετάρτου [9]) εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ὀκτώ. Τὸ α' Πινδαρικὸν ἐγκωμιολογικόν, τὴν τελευταίαν συλλαβὴν μετατεθὲν εἰς τὴν πρώτην. Τὸ β' τροχαϊκὸν εἰς ἴαμβον [10]) καταλῆγον. Τὸ γ' τὸ αὐτὸ τῷ α'. Τὸ δ' πενθημιμερὲς δακτυλικόν. Τὸ ε' τὸ αὐτὸ τῷ α'. Τὸ ϛ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ ζ' τροχαϊκὸν ἐπίτριτον. Τὸ η' τροχαϊκὸν δίμετρον ἀκατάληκτον.

1) Sic Heynius: olim προτρίπτου. 2) Rom. Ἰόλεια. 3) Vacat hoc νῦν, quod certe non ad νίν (vs. 123. vulg.) pertinet, ut putatur. 4) Vulgo ἀναβάς. Taceo de aliorum coniecturis. 5) Sic Rom. παῖδας, non παίδων, ut est in Heyniana. Deinde addidi κατά. 6) Rom. πρώταν, quod Heynius emendavit. 7) Sic Rom. 8) Rom. πέμπτου. 9) Rom. πέμπτου. 10) Vulgo ἰαμβικόν.

Digitized by Google

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ἕνδεκα. Τὸ α' τὸ αὐτὸ τῷ α' τῆς στροφῆς. Τὸ β' τροχαϊκὸν τρίμετρον καταληκτικὸν Ἀρχιλόχειον. Τὸ γ' Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ δ' πενθημιμερὲς δακτυλικόν. Τὸ ε' τροχαϊκὸν τρίμετρον εἰς ἴαμβον. [1]) Τὸ ς' τὸ αὐτὸ τῷ α' τῆς στροφῆς καὶ ἐπῳδοῦ. Τὸ ζ' Πινδαρικὸν ἐκ Σαπφικοῦ. Τὸ η' πενθημιμερὲς δακτυλικόν. Τὸ θ' Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ ι' πενθημιμερές. Τὸ ια' πενθημιμερὲς ἰαμβικόν.

Φυλακίδᾳ Αἰγινήτῃ.] Ταύτην τὴν ᾠδὴν Ἡφαιστίων μετὰ τὴν ἑξῆς φησι γεγράφθαι τὴν Θάλλοντος ἀνδρῶν, καὶ αὐτὴν Πυθέᾳ γεγράφθαι· ἐχρῆν οὖν καὶ προτετάχθαι. καὶ γὰρ ἐν μὲν ἐκείνῃ τὸν Φυλακίδαν ἅπαξ μόνον Ἴσθμιά φησι νικῆσαι· Ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ, τὶν ἄωτον δεξάμενοι στεφάνων, νῦν αὖτ' ἐν Ἰσθμοῦ δεσπότᾳ Νηρηΐδεσσί τε· [2]) εἶτα, Εἴη δὲ τρίτον. [3]) ὡς γὰρ πρῶτον καὶ ἅπαξ ἐν Νεμέᾳ νενικηκὼς, νῦν δὲ δεύτερον [4]) ἐν Ἰσθμῷ, τρίτον εὔχεται ἐν Ὀλυμπίᾳ. διὰ δὲ ταύτης δίς· Τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετὰ Φυλακίδα κεῖται. [5]) διηπατῆσθαι δὲ τοὺς προτεθέντας φησὶ ταύτην ἴσως ὅτι φησί· Δεύτερον κρατῆρα Μοισαίων μελέων κιρνάμεναι· [6]) ὑπολαβεῖν γὰρ ταύτῃ δευτέραν ἐκείνην λέγειν. τὸ δὲ οὐκ ἔχει οὕτως, ἀλλὰ δευτέραν αὐτῷ κατασκευάζει ἐκείνην διὰ τὸ [7]) γεγράφθαι καὶ Νεμεακὴν εἰς αὐτοὺς ᾠδὴν, ἧς ἡ ἀρχή· Οὐκ ἀνδριαντοποιός εἰμ' ὥςτε· ἥτις ἦν καὶ πρώτη, ὡς φανερὸν ἐκ τῶν ποιημάτων. § προκατασκευάζοντες ἔνιοι ὅτι Φυλακίδᾳ μόνῳ γεγράφθαι, φασὶ τὸν Πυθέαν μὴ νενικηκέναι Ἴσθμια, ὥςτε Ἰσθμιακὴν οὖσαν τὴν ᾠδὴν μὴ ἀναγεγράφθαι κἀκείνῳ· Νέμεα γὰρ κἀκεῖνος ἐνίκησεν, ὥςπερ ὁ Φυλακίδας. λανθάνει δὲ αὐτούς· ἐν γὰρ τῇ γεγραμμένῃ πρώτῃ ᾠδῇ ὡς οἰκείῳ αὐτῷ ἱστορεῖ, [8]) ὅτι καὶ ὁ Πυθέας Ἴσθμια ἐνίκησε. λέγει δὲ ἤδη τετελευτηκότα τὸν Πυθέαν· Κεῖ μοί τιν' ἄνδρα τῶν θανόντων, [9]) καὶ τὰ ἑξῆς. τὸ μὲν οὖν πρώτως [10]) τετάχθαι τῆς Μᾶτερ Ἀελίου τὴν Θάλλοντος ἀνδρῶν ὑγιές. οὐκ αἰτιατέον δὲ τοὺς διατάξαντας τὸν Πίνδαρον· οὐ γὰρ κατὰ χρόνους συνέτασσον αὐτὸν, ἀλλὰ κατὰ τὰ εἴδη. § Ἄλλως. Καλλίστρατος Φυλακίδᾳ μόνῳ γεγράφθαι φησὶ, συμπεριειλῆφθαι δὲ ἔξωθεν τὴν τοῦ Πυθέου νίκην, καθάπερ καὶ ἐν τῇ μετὰ ταύτην τὴν Εὐθυμένους [11]) ὄντος αὐτῶν συγγενοῦς.

1. Μᾶτερ Ἀελίου πολυώνυμε Θεία] ἀκολούθως τῷ Ἡσίοδῳ· καὶ γὰρ ἐκεῖνος Ἡλίου μητέρα τὴν Θείαν γενεαλογεῖ· [12])

Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην
Γείναθ' ὑποδμηθεῖσ' Ὑπερίονος ἐν φιλότητι.

1) Vulgo ἰαμβικόν. 2) Carminis sequentis vs. 4. vulg. 3) Ibid. vs. 10. 4) De meo addidi νῦν δὲ δεύτερον. 5) Huius carminis vs. 21. vulg. 6) Carm. seq. vs. 2. vulg. Romana Μοισέων. 7) Delevi vocem Νέμεα, et pro ea reposui διὰ τό. 8) Huius odae vs. 23. vulg. 9) Fragmentum carminis deperditi. 10) Rom. πρώτῳ. 11) Vs. 85. vulg. 12) Theog. 371. 374. Vulgo τέκε μέγαν.

Digitized by Google

§ Ἄλλως. Θείας γενεαλογοῦσι τὸν Ἥλιον διὰ τὸ τῆς θέας καὶ τῆς ὄψεως ἡμῖν αἴτιον εἶναι, ὁμωνύμως τῷ περὶ τὴν ὄψιν πάθει, καθὰ καὶ τὸν Ἔρωτα καὶ τὴν Ἐλπίδα. εἰσὶ δὲ, οἱ ἀπὸ τοῦ θεῖν αὐτὴν φασιν ὀνοματοποιεῖσθαι· [ἐφορᾷ γὰρ ὁ ἥλιος ἀεί· [1]] ἀφ' οὗ λόγου καὶ τὸν πατέρα Ὑπερίονα, διὰ τὸ ὑπὲρ ἡμᾶς ἰέναι.

2. Σοῦ γ' ἕκατι καὶ μεγασθενῆ] ἴσμεν φιλόχρυσον ὄντα πανταχοῦ τὸν Πίνδαρον. κἀνταῦθα οὖν τὴν ἑαυτοῦ φιλάργυρον προαίρεσιν τεκμηριοῖ τὸν πλοῦτον ἐγκωμιάζων καὶ ὑπαινιττόμενος, ὡς προσήκει τοὺς ἐγκωμιαζομένους χρυσῷ ἀμείβεσθαι τὸν Πίνδαρον. § Ἄλλως. ἐκ Θείας καὶ Ὑπερίονος Ἥλιος, ἐκ δὲ Ἡλίου ὁ χρυσός. ἑκάστῳ δὲ τῶν ἀστέρων ὕλη τις ἀνάγεται· Ἡλίῳ μὲν ὁ χρυσος, Σελήνῃ δὲ ὁ ἄργυρος, Ἄρεϊ σίδηρος, Κρόνῳ μόλιβδος, Διΐ ἤλεκτρος, Ἑρμῇ κασσίτερος, Ἀφροδίτῃ χαλκός. τὸ δὲ σαφὲς οὕτω· πολυώνυμε καὶ τιμία Θεία, σοῦ χάριν καὶ ἄγαν ἰσχυρὸν τὸν χρυσὸν ἐνόμισαν οἱ ἄνθρωποι, περισσῶς τῶν ἄλλων κτημάτων. καὶ γὰρ ἐν θαλάττῃ νῆες ἁμιλλώμεναι, οἱονεὶ ἐμπορευόμεναι, καὶ ὑπὸ τοῖς ἅρμασιν ἵπποι, καὶ πάλιν κατὰ κοινοῦ διαμιλλώμενοι, διὰ τὴν σὴν ὦ δέσποινα τιμὴν, τὸν χρυσὸν, ταῖς [2]) . . . . . ἁμίλλαις θαυμαστοὶ καὶ ἔνδοξοι γίνονται· καὶ ἐν τοῖς ἀγωνιστικοῖς ἄθλοις ἐπέραστον δόξαν ἐσχήκασιν, ἐάν τινα πλεῖστοι στέφανοι ταῖς χερσὶν ἀγωνιζόμενον καὶ νενικηκότα [3]) ἀναστέψωσι κατὰ τὰς κόμας. § νικήσαντα δὲ, ἢ χερσὶν ἢ ποδῶν ταχυτῆτι. § Ἄλλως. μεγασθενῆ [4]) ἐνομίσαμεν σοῦ, φησὶν, εἵνεκα ὦ Θεία, καὶ τὸν χρυσὸν τετιμήκαμεν, καὶ νηῶν καὶ ἵππων δρόμους ἐθεασάμεθα. εἰ μὴ ἐθεώμεθα ταῦτα, οὐκ ἂν ἐτεθήπειμεν.

9. Ἔν τ' ἀγωνίοις] τοῦτο οἰκείως ἐπὶ τῶν ἵππων καὶ τῶν ἁρμάτων· ἐπάγει δὲ, κλέος ἔπραξεν· ἔθος γὰρ Πινδάρῳ ἀπὸ πληθυντικοῦ εἰς ἑνικὸν ἀποπίπτειν ἀριθμόν.

13. Κρίνεται δ' ἀλκά] πρόσεστι δύναμις διὰ τοὺς θεούς. § Ἄλλως. ἤτοι δοκιμάζεται ἢ χωρίζεται ἡ τῶν ἀνδρῶν ἀλκὴ τῇ τῶν θεῶν εὐμενείᾳ.

14. Δύω δέ τοι ζωᾶς ἄωτον] τὸ εὖ πάσχειν καὶ τὸ λόγον ἐσθλὸν [5]) ἀκούειν δύο ὄντα ποιμαίνουσι καὶ παραθάλπουσι τὸν ἀνέλπιστον τῆς ζωῆς ἄωτον, τουτέστι τὸν δυςέλπιστον, ὡς ἀπρόςωπον τὸν κακοπρόςωπον. γράφουσι δὲ ἔνιοι τὸν ἄλπνιστον, τουτέστι τὸν ἥδιστον καὶ προςηνέστατον· ταύτῃ δὲ τῇ γραφῇ καὶ τὰ τῆς ἀντιστρόφου συνᾴδει. § ὁ δὲ νοῦς οὕτω· δύο δὲ μόνα τῆς ζωῆς κάλλιστα ἀπανθίσματα [6]) τυγχάνει, ἃ καὶ μόνα ποιμαίνει τὸν οἰκτρὸν τῶν ἀνθρώπων βίον ἀνθηρᾷ σὺν εὐδαιμονίᾳ, εἴτις καλῶς πάσχων καὶ ἀγαθῶν ἀνυμνηθεὶς ἀκούει λόγων. ἤτοι δὲ καθολικώτερος ὁ λόγος πρὸς τοὺς τῇδε τὴν ψυχὴν ἔχοντας, ἢ πρὸς τὸν νικηφόρον ὡς εὐδαιμονοῦντα καὶ ἐγκωμιαζόμενον.

18. Μὴ μάτευε Ζεὺς γενέσθαι] ὅτι ἀκαταλλήλως ἐπέζευξεν. ἔμπροσθεν γὰρ περί τινος ὁ λόγος· Εἴτις εὖ πάσχοι, φησίν· εἶτα ὡς πρός τινα ποιούμενος τὸν λόγον φησί· Μὴ μάτευε Ζεὺς γενέσθαι· ἀπόχρη γάρ σοι τῆς εὐδαιμονίας τὸ μέγεθος, ἐάν σε

1) Quae uncinis inclusi, aliena ab hoc loco sunt. 2) Delevi κατὰ θάλασσαν, male h. l. insertum, sed signa lacunae interposui, quia explicatio vocis ἀκυδινάτοις intercidit. 3) Rom. ἀγωνιζόμενοι καὶ νενικηκότες. 4) Addidi μεγασθενῆ. 5) Addidi ἐσθλόν. 6) Sic Abresch. ad Hesych. T. I, p. 670. Vulgo ἀπανίσματα.

Digitized by Google

τούτων τῶν καλῶν μερίς τις καταλάβῃ· τοῖς γὰρ φθαρτοῖς ἐφάμιλλα τῇ φύσει προσήκει καὶ τὰ τῆς εὐδαιμονίας παρεῖναι.

21. Τὶν δ' ἐν Ἰσθμῷ] σοὶ δὲ ἐν τῷ Ἰσθμῷ διπλῆ θάλλουσα, ὦ Φυλακίδα, ἀρετὴ εὐδόξως ἀνάκειται, ἐν δὲ τῇ Νεμέᾳ ἀμφοτέροις [1]) ὑμῖν, σοί τε καὶ τῷ Πυθέᾳ παγκρατίου, ἀπὸ κοινοῦ ἀρετὰ ἀνάκειται. ἡ δὲ ἐμὴ ψυχὴ γεύεται, φησὶ, τῶν ἐγκωμίων οὐκ ἄνευ τῆς τῶν Αἰακιδῶν μνήμης· Αἰγινῆται γὰρ ἀμφότεροι. § οἷον ἐπιπνέουσί μοι οἱ Αἰακίδαι εἰς τὸ ὑμνεῖν ὑμᾶς· Αἰγινῆται γὰρ οἱ περὶ τὸν Φυλακίδαν. § ἢ οὕτως· οἱ χωρὶς τοῦ τοὺς Αἰακίδας συμπεριλαμβάνειν τοῖς ὑμετέροις ὕμνοις ὑμνῶ ὑμᾶς, ἀλλὰ μεθ' ὑμῶν κἀκείνους ὑμνῶ. σὺν γὰρ ταῖς μουσικαῖς Χάρισι παρεγενόμην καὶ σὺν τοῖς του Λάμπωνος υἱοῖς εἰς ταύτην τὴν εὔνομον πόλιν Αἴγιναν. ἀπὸ κοινοῦ δὲ τὸ σὺν Χάρισι καὶ Λάμπωνος υἱοῖς.

28. Εἰ δὲ τέτραπται] τὸν λόγον πρὸς ἑαυτὸν ἀποτείνεται ὁ Πίνδαρος. εἰ δὲ τούτων ὁ βίος καθορᾷ εἰς ὁδὸν καθαρωτάτην θείων ἔργων, μὴ φθόνει τὸν ἀντὶ τῶν πόνων καὶ κατορθωμάτων προσήκοντα τῇ ᾠδῇ ὕμνον ἀνακιρνᾶν καὶ λέγειν. § οἷον μὴ φθόνει αὐτῷ ἐν τῷ ἐπαινεῖσθαι καὶ ἀπολαμβάνειν τοὺς ἐξ ἐκείνων κόμπους, ἀνθ' ὧν ἐπόνησεν.

32. Καὶ γὰρ ἡρώων ἀγαθοί] καὶ γὰρ τῶν ἡρώων οἱ ἀγαθοὶ καὶ ἀνδρεῖοι τὸν ἐγκωμιαστικὸν λόγον καὶ μετὰ τὸν θάνατον παρὰ τῶν ποιητῶν ἐκέρδαναν. ὑμνοῦνται δὲ πάντα τὸν χρόνον ἔν τε κιθάρᾳ καὶ αὐλῷ ταῖς ποικίλαις συμφωνίαις διὰ παντὸς τοῦ χρόνου.

36. Μελέταν δὲ σοφισταῖς] σοφιστὰς μὲν καὶ σοφοὺς ἔλεγον τοὺς ποιητάς. Σοφοκλῆς· [2]) Μέν' εἰς σοφιστὴν ἐμόν. § ὁ δὲ νοῦς· τοῖς δὲ σοφοῖς ἀνδρισάμενοι παρέσχοντο τὴν τῶν ἐγκωμίων φροντίδα, καὶ διὰ τὴν τοῦ Διὸς γνώμην τιμώμενοι τήνδε τὴν ἐγκωμίων φροντίδα καὶ σύνθεσιν. τὸ γὰρ σεβιζόμενοι ἀντὶ τοῦ θαυμαζόμενοι, τιμώμενοι, σεβόμενοι. καὶ τὸ τοὺς θεοὺς δὲ σέβεσθαι θαυμάζειν ἐστίν. Ὅμηρος· [3]) Σέβας μ' ἔχει εἰσορόωντα, ἀντὶ τοῦ ἔκπληξις.

38. Ἐν μὲν Αἰτωλῶν θυσίαισιν] ἐν ταῖς πανηγύρεσι ταῖς ἐπιδόξοις καὶ λαμπραῖς οἱ τοῦ Οἰνέως παῖδες ἀνυμνοῦνται οἱ ἰσχυροὶ, ἐν δὲ ταῖς Θήβαις ὁ ἱππικώτατος Ἰόλαος τιμὴν ἔχει, ὁ δὲ Περσεὺς ἐν Ἄργει, τοῦ δὲ Κάστορος καὶ Πολυδεύκους ἡ αἰχμὴ ἐπὶ τοῖς Εὐρώτου ῥεύμασι· πάλιν ἀπὸ κοινοῦ τὸ γέρας ἔχει.

44. Ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες] τουτέστιν ἐν τῇ Αἰγίνῃ· οὕτω γὰρ τοπρότερον ἐκαλεῖτο πρὶν ἢ ὑπὸ Διὸς Αἴγιναν τὴν Ἀσωποῦ τοῦ Βοιωτικοῦ ποταμοῦ θυγατέρα αὐτόθι ἐνεχθῆναι. [4]) § ὁ δὲ νοῦς· ἀλλ' ἐν τῇ Αἰγίνῃ οἱ μεγαλόψυχοι καὶ ἀνδρεῖοι τρόποι τῶν Αἰακοῦ παίδων ἀνυμνοῦνται καὶ τιμιώτατοι τυγχάνουσιν, οἵτινες ταῖς ἑαυτῶν συμμαχίαις τὴν τῶν Τρώων ἐπόρθησαν πόλιν, τὸ μὲν πρότερον συστρατεύσαντες Ἡρακλεῖ διὰ τὴν Λαομέδοντος ἀδικίαν, ὡς καὶ Ὅμηρος ἱστορεῖ λέγων, [5])

Ὅς ποτε δεῦρ' ἐλθὼν ἕνεχ' ἵππων Λαομέδοντος·

τὸ δὲ δεύτερον σὺν Ἀτρείδαις. πάλιν δὲ τῷ συλληπτικῷ τρόπῳ κέχρηται· οὐ γὰρ οἱ [6])

1) Vulgo ἀμφοτέρας, ab Heynio correctum. 2) Fragm. p. 739. 3) Odyss. γ, 123. 4) Vulgo ἐνενεχθῆναι. 5) Iliad. ε, 640. 6) Addidi οἱ.

Digitized by Google

αὐτοὶ δὶς ἐπόρθησαν τὴν Ἴλιον, ἀλλὰ Τελαμὼν μὲν σὺν Ἡρακλεῖ, Νεοπτόλεμος δὲ σὺν Ἀτρείδαις· τὸ δὲ ἑκατέρῳ συμβὰν λαβὼν εἰς ἓν ἔφη.

48. Ἔλα νῦν μοι πεδόθεν] ἔλα νῦν, ὦ Μοῦσα, ἐπ' εὐθείας ὁδοῦ καὶ δι' ὁμαλοῦ· τοῦτο γὰρ τὸ πεδόθεν· τά τε τούτων ἐγκώμια ἐξ ἀρχῆς ἀνύμνησον καὶ λέγε, τίνες τὸν Κύκνον καὶ τὸν Ἕκτορα ἀνεῖλον καὶ τὸν τῶν Αἰθιόπων ἡγεμόνα Μέμνονα τὸν τῷ χαλκῷ τοῖς ἐναντίοις προσομιλοῦντα, ἤτοι τὸν πολλοὺς χαλκῷ ἀνελόντα ἢ τὸν ὑπὸ χαλκοῦ βλαβέντα· ἑκάτερον γὰρ παρὰ τὴν ἀρήν. [1]) τίς δὲ τὸν ἀνδρεῖον Τήλεφον ἔτρωσε τῷ ἑαυτοῦ δόρατι τοῦ τῆς Μυσίας ποταμοῦ Καΐκου παρὰ τὰς ὄχθας. εἶτα κατὰ ἀπόδοσιν [2]) ὁ λόγος· οὗτοι τάδε καὶ τάδε ἔπραξαν, οἷς ὁ λόγος τὴν Αἴγιναν πατρίδα δίδωσιν. § Ἄλλως. πρὸς τὴν Μοῦσαν ὁ λόγος· λέγε μοι τὰ περὶ αὐτούς, φησίν, ἐκ ῥιζῶν. ἢ ἔλα κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν νεῶν· πρόαγε εἰς τοὔμπροσθεν ἀρξάμενος ἄνωθεν καὶ ἐξ ἀρχῆς λέγε, τίνες εἰσὶν οἱ ἀνελόντες Κύκνον, Ἕκτορα, Μέμνονα. δῆλον δὲ ὡς εἷς τῶν Αἰακιδῶν Ἀχιλλεύς.

55. Τοῖσιν Αἴγινα προφέρει στόμα] τουτέστι τοῖς προειρημένοις. κατὰ ἀπόδοσιν δὲ ὁ λόγος· οὗτοι τάδε καὶ τάδε ἔπραξαν, οἷς ὁ λόγος τὴν Αἴγιναν πατρίδα δίδωσιν. ὃ δὲ βούλεται λέγειν, τοιοῦτόν ἐστιν· εἴτις ἐρωτήσειεν αὐτούς, τίνες εἰσὶν οἱ τὰ προκείμενα διαπεπραγμένοι, πάντες ἂν εἴποιεν, ὅτι οἱ ἀπὸ Αἰγίνης.

56. Τετείχισται δὲ πάλαι πύργος] κατεσκεύασται δὲ ἐκ πολλοῦ ταῖς τῶν Αἰακιδῶν ἀρεταῖς πύργος ὑψηλότατος τῷ ὑμνῳ ἀναβαίνειν καὶ ὑψοῦσθαι, ἐφ' ὅσον βούλεται. § Ἄλλως. τοσαῦταί εἰσι περὶ τοὺς Αἰακίδας ἀρεταί, ὥστε πύργον ἐξ αὐτῶν οἰκοδομεῖσθαι. ἀλληγορεῖ δὲ ὡς ἐπὶ τούτων πρότερον· [3]) διὸ καὶ τεῖχος ὑψηλὸν εἶπε. θέλει δὲ εἰπεῖν, ὅτι ὑφέστηκεν αὐτοῖς ἡ εὐδοξία, ὥστε διὰ τῆς ἀρετῆς ἐπ' αὐτὴν ἀναβαίνειν. § οἷον ὑψοῦται αὐτῶν ἡ ἀρετὴ ὥσπερ τεῖχος· οὗτος γὰρ τὴν αὔξησιν πύργον καὶ τεῖχος εἴωθε λέγειν, ἀφ' οὗ πυργοῦν τὸ αὔξειν καὶ ὑψοῦν λέγεται.

58. Πολλὰ μὲν ἀρτιεπὴς γλῶσσά μοι τοξεύματα] τοξεύματα μεταφορικῶς λέγει τοὺς ἐγκωμιαστικοὺς λόγους, ὡς καὶ ἐν ἄλλοις· [4]) Πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα βέλη.

60. Καὶ νῦν ἐν Ἄρεϊ] ἤτοι τῷ Περσικῷ [5]) πολέμῳ· ἤκμαζε γὰρ κατὰ τὴν τούτων νίκην· ἢ ὅτι μετὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν προσφάτως γεγενημένην ἐγράφη οὗτος ὁ ἐπίνικος. § ὁ δὲ νοῦς τοιοῦτος· καὶ ἐπὶ τοῦ παρόντος ἐν [6]) τῷ πολυφθόρῳ πολέμῳ τῇ τῶν Αἰγινητῶν ἀρετῇ μαρτυρήσειεν ἂν ἡ Σάλαμις ἀνορθωθεῖσα ἐκ [7]) τῶν κινδύνων τοῖς Αἰγινήταις κατὰ τὴν ναυμαχίαν ἀριστεύσασιν. ἐμβαλόντων γὰρ τῶν Περσῶν τῇ Σαλαμῖνι συμμαχήσαντες οἱ Αἰγινῆται καὶ κατορθώσαντες τὸ πλεῖον τοῦ πολέμου κατειργάσαντο. § ἢ οὕτω· καὶ γὰρ ἐν τῷ Ἄρεϊ καὶ τῷ χαλαζήεντι Διὸς ὄμβρῳ καὶ τῷ πολυφθόρῳ τῶν ἀναρίθμων ἀνδρῶν φόνῳ μαρτυρήσειεν ἂν [8]) ἡ πόλις τοῦ Αἴαντος Σαλαμὶς ὀρθωθεῖσα ὑπὸ τῶν ναυτῶν Αἰγινητῶν· νησιῶται γάρ.

1) Male Heynius coniicit τὸν Ἄρην. Ἀρὴ est nota vox. 2) Vulgo ἀπότασιν, quod Schneiderus ex schol. vs. 55. correxit. 3) Verba corrupta. 4) Olymp. II, 149. vulg. 5) Vulgo Πελοποννησιακῷ, ineptissime. Ἤκμαζε, quippe ὁ Περσικὸς πόλεμος, κατὰ τὴν τούτων νίκην, nempe Phylacidae et Pytheae. 6) Ἐν addidit Heynius. 7) Praepositio de meo est. 8) Addidi ἂν.

Digitized by Google

63. Ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ] ὄμβρον μὲν τὸν πόλεμον εἴρηκεν, οἷον τὸν ὑπὸ τοῦ θεοῦ καταπεμφθέντα διὰ τὸ τῆς βαρβαρικῆς στρατιᾶς πλῆθος. ὑπαινίττεται τὴν περὶ Σαλαμῖνα ναυμαχίαν τῶν Ἑλλήνων, ἧς ἔλαβον τὰ ἀριστεῖα οἱ Αἰγινῆται, καθά φησιν Ἡρόδοτός [1]) τε καὶ Ἔφορος. [2]) § ὁ δὲ νοῦς· ἐν ᾧ, ἐν τῷ πολυφθόρῳ πολέμῳ, τὸ τῶν πεπτωκότων πλῆθος ἰσάριθμον ἦν τῷ χαλαζήεντι Διὸς ὄμβρῳ. § ταῦτα δὲ λέγει ὡς ἐν τῇ περὶ τὴν Σαλαμῖνα μάχῃ Λάμπωνος ἠνδραγαθηκότος. [3])

65. Ἀλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ] ἀλλ' ὅμως εἰ καὶ τηλικαῦτά εἰσι τῶν Αἰγινητῶν τὰ κατορθώματα, βρέχε καὶ ἐπικάλυπτε τῇ σιωπῇ διὰ τὸν ἔξωθεν φθόνον· ὁ γὰρ δὴ Ζεὺς τὰ πάντα τοῖς ἀνθρώποις ἀπονέμει, καὶ τὰ φαῦλα καὶ τὰ ἀγαθά.

67. Ἐν δ' ἐρατεινῷ μέλιτι] ἔτιοι οὕτως· ἐν τοιούτῳ μέλιτι γὰρ καὶ ἡδονῇ ὄντες καὶ τιμῇ τοιαύτῃ τὸ ἐπίνικον χάρμα ἀγαπῶσιν, ὅ ἐστι τὸν ὕμνον. § ἢ οὕτως· αἱ τῶν νικηφόρων τιμαὶ τὴν ἐπινίκιον ᾠδὴν ἀγαπῶσιν ὡς μέλι καὶ φιλοῦσιν· οἷον ὡς ἐν μέλιτι γλυκύτης ἐστὶν, οὕτω καὶ τοῖς νικῶσιν αἱ [4]) ἐπινίκιοι ᾠδαί. § ἢ οὕτω· καὶ αἱ τοιαίδε τιμαὶ, καίπερ ἐν μέλιτι οὖσαι, τουτέστιν ἥδουσαι, ὅμως ἀγαπῶσι τὸ καλλίνικον χάρμα, τουτέστι τὴν ἐκ τῶν γεγραμμένων ἐπινίκων χαρὰν ἀγαπῶσι. τιμὰς γὰρ λέγει τὰς ἐκ τῶν νικῶν περιγινομένας δόξας. § ὁ δὲ νοῦς οὕτως· ἐν δὲ τοιαύτῃ τοῦ λόγου ἡδονῇ καὶ τῇ τῶν κατορθωμάτων νίκῃ ἢ τιμῇ τὸ τῆς νίκης ἐγκώμιον ἀγαπητῶς καὶ οὐχ ὑπεροπτικῶς δέχονται, καίτοι παρὸν αὐτοῖς ἀλαζονεύεσθαι ἐπὶ τῇ τῶν κατορθωμάτων τιμῇ.

70. Μαρνάσθω δέ τις ἔρδων] ὁ λόγος προστακτικός. ἀγωνιζέσθω, φησὶ, τὶς ἐν ἀγῶσι καὶ ἀντεχέσθω τῶν ἄθλων, τοῦ Κλεονίκου τὸ γένος ζηλώσας· Κλεόνικος δὲ πατήρ ἐστι τοῦ Λάμπωνος, ὁ δὲ Λάμπων τοῦ Φυλακίδα· οὐδαμῶς γὰρ ἀποκέκρυπται καὶ ἀφανής ἐστιν ἡ τῶν πολυχρονίων πόνων σπουδή.

73. Οὐδ' ὁπόσαι δαπάναι] Ἀρίσταρχος οὕτως· οὐδὲ ὁπόσαι δαπάναι αὐτοῖς ἐγενήθησαν ἐπὶ τῶν ἐκβεβηκυιῶν ἐλπίδων τῶν περὶ τὴν νίκην, ἔκνισα τῇ φωνῇ, οὐδὲ ἐλυπήθην, ἀλλὰ τοὐναντίον ὕμνησα αὐτούς. ἔνιοι δὲ καταλληλότερον γράφουσι σὺν τῷ ν̄ [5]) ἔκνιξ' ὄπιν, ἵν' ᾖ Πινδαρικὸν σχῆμα· οὐκ ἔκνιξαν αἱ δαπάναι οὐδὲ ὁ μόχθος αὐτῶν τετύφλωται, ἀλλὰ ὀξυδερκεῖ καὶ ἔχει καλὰ ἀποτελέσματα. § ὥστε εἶναι· οὐδὲ ὁπόσαι δαπάναι τὴν τῶν ἐλπίδων ὄπιν, τουτέστι τὸ μέλλον ὀπίσω ἔσεσθαι, ἔκνισαν καὶ ἐλύπησαν.

75. Αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις] οὗτος ὁ Πυθέας ἐπεστάτησε τοῦ Φυλακίδα, ἢ καὶ ὁμώνυμός τις τούτῳ. ἐπαινῶ οὖν, φησὶ, καὶ τὸν ἀλείπτην αὐτοῦ τοῖς πόνοις τοῖς γυιοδάμαις ποιήσαντα τὸν τῶν πληγῶν δρόμον εὐθυπορῆσαι. παγκρατιαστὴς γὰρ, διὸ εὐθυπόρουν αἱ πληγαί. § ἤτοι τὴν τῶν πληγῶν ὁρμήν τε καὶ σπουδὴν πληγῶν δρόμον φησὶν, ἵνα λέγῃ τὸ παγκράτιον· συνεχεῖς γὰρ αἱ τῶν χειρῶν ἐξορμήσεις. ἐν γυιοδάμαις δὲ, τοῖς ἀθληταῖς τοῖς τὰ γυῖα τῇ γυμνασίᾳ καταπονοῦσιν, ἢ τοῖς καταπονοῦσι τὰ τῶν ἐναντίων γυῖα.

1) VIII, 93. 122. 2) P. 221. Marx. 3) Haec vulgo ad Isthm. VI, 37. legebantur, ut tot alia in scholiorum codicibus sedem suam mutant. Et ibi quidem neque Lamponi locus est, neque pugnae Salaminiae, sed ibi Thebanorum res narrantur, qui in bello Persico arma contra Graecos tulerunt neque ei proelio interfuere. Ceterum addidi ἐν τῇ: praeterea vulgo μάχην et ἀνδραγ. legitur. 4) Vulgo οἱ. 5) Male vulgo νῶ. Verum vidit Heynius. Aristarchus legerat ὀπί.

Digitized by Google

77. Χερσὶ δεξιὸν, νόῳ ἀντίπαλον] τουτέστιν ἴσα ἐπιτάγματα ἔχοντα ἐν τῷ νοεῖν καὶ τοῖς ἐπιτάγμασι [1]) τῶν χειρῶν. § οἷον καθ' ἑκάτερον ἐπίσης ἐπιδέξιον.

78. Λάμβανέ οἱ στέφανον] οἱ μὲν τὸν λόγον πρὸς τὴν Αἰγινάν φασιν εἶναι· ὑποδέχου αὐτῷ τὸν στέφανον· οἱ δὲ πρὸς τὴν Μοῦσαν. καὶ στέφανον μὲν τὸν ἐπίνικον λέγει, εὔμαλλον δὲ μίτραν τὴν ταινίαν τὴν ἐξ ἐρίου ξανθοῦ τοῖς στεφάνοις [2]) προσπλεκομένην.

ΙΣΘΜΙΩΝ ΕΙΔΟΣ Ε'. [3]) [ϛ'.]

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ πέμπτου [4]) τῶν Ἰσθμίων εἴδους.

Τοῦ πέμπτου [5]) εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ιγ'. Τὸ α' ἰαμβέλεγος. Τὸ β' τροχαϊκὸν εἰς ἴαμβον καταλῆγον. Τὸ γ' δίμετρον τροχαϊκὸν ἀκατάληκτον. Τὸ δ' δακτυλικὸν ἑφθημιμερές. Τὸ ε' ἴαμβος δίμετρος ὑπερκατάληκτος. Τὸ ϛ' πενθημιμερὲς δακτυλικόν. Τὸ ζ' δίμετρον ἰαμβικὸν ἀκατάληκτον. [6]) Τὸ η' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ θ' τροχαϊκὸν ἐπίτριτον. [7]) Τὸ ι' τρίμετρον τροχαϊκὸν καταληκτικόν. [8]) Τὸ ια' ἰαμβικὸν δίμετρον [9]) ἀκατάληκτον. Τὸ ιβ' Βακχειακόν. Τὸ ιγ' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον.

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων ια'. Τὸ α' ἐκ Σαπφικοῦ τοῦ ἑνδεκασυλλάβου [10]) Πινδαρικόν. ἤ τοι [11]) κοινή ἐστι. Τὸ β' ἰαμβέλεγος τοῦ τέλους ἐπὶ τὴν ἀρχὴν μετατεθέντος. Τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ' πενθημιμερές. Τὸ ε' Εὐριπίδειον. Τὸ ϛ' παρὰ τὸ Ἀρχιλόχειον· Ἐρασμονίδη Χαρίλαε. ἔστι δὲ συγκείμενον [12]) ..... περιττεύοντος μιᾷ συλλαβῇ καὶ ἰθυφαλλικοῦ, μεμειωμένου τοῦ ἰθυφαλλικοῦ ἑνὶ τροχαίῳ. Τὸ

1) Mire Faehsius Syllog. p. 407. coniicit ἐπιτύμμασι. Corruptum tamen locum esse non dubito. 2) Vulgo στέρνοις. Correxit et Schneiderus et Iacobsius Obss. in Anthol. Gr. Act. phil. Monac. T. I. Fasc. II, p. 143. Conf. Schol. Olymp. IX, 125. 3) Sic Rom. 4) Rom. ἕκτου. 5) Rom. ἕκτου. 6) Delevi verba μετὰ τοῦ (voluit τὸ) ε̄ εὕρηται, quibus ni fallor librarius significabat, notationem metri versus septimi post ea, quae de quinto dicuntur, in aliquo codice scripta fuisse. 7) Vulgo ἐπίτριτος. 8) Vulgo ἀκατάληκτον. 9) Vulgo τρίμ. 10) Vulgo τοῦ ια'. 11) Vulgo ἤτοι. Significatur ultima syllaba vocis χρυσάρματοι vs. 27. vulg. 12) Excidit ἐκ τριμέτρου δακτυλικοῦ aut simile.

Digitized by Google

ϛ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η' ἐγκωμιολογικόν. Τὸ θ' ἐγκωμιολογικὸν παρὰ συλλαβὴν μίαν τοῦ πενθημιμεροῦς ἰαμβικοῦ. Τὸ ι' ..... Τὸ ια' Σαπφικόν.

Φυλακίδᾳ, Πυθέᾳ, Εὐθυμένει.] Πεποίηται ὁ ἐπινίκιος οὗτος Φυλακίδᾳ καὶ Πυθέᾳ καὶ Εὐθυμένει παγκρατιασταῖς, Ἴσθμια [1]) καὶ Νέμεα. τῶν δὲ ῥηθέντων ὁ Εὐθυμένης οὗτος μητράδελφος ἦν.

1. Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου] ὥσπερ ἀκμάζοντος, φησὶ, συμποσίου καὶ δεύτερον κρατῆρα, οὕτω καὶ ἡμεῖς τοῖς Λάμπωνος υἱοῖς, θάλλουσι καὶ ἀκμάζουσιν αὐτοῖς, καὶ δεύτερον στήσομεν κροῦμα μουσικῶν ἐγκωμίων. τὸ δὲ Λάμπωνος εὐάθλου γενεᾶς, τουτέστιν ὑπὲρ τῶν κατορθωμάτων τοῦ Λάμπωνος.

4. Ἐν Νεμέᾳ μὲν πρῶτον ὦ Ζεῦ] δεξάμενοι, φησὶ, τὸ ἄνθος τῶν στεφάνων ἐν Νεμέᾳ, σοὶ ὦ Ζεῦ πρῶτον κίρναμεν κρατῆρα. ὁ πρῶτος οὖν κρατὴρ Διὸς Ὀλυμπίου, ὁ δεύτερος Γῆς καὶ ἡρώων, ὁ τρίτος Διὸς σωτῆρος.

7. Νῦν αὖτ' ἐν Ἰσθμῷ] νῦν δὲ νικήσαντος ἐν Ἰσθμῷ, τουτέστι τὰ Ἴσθμια, τοῦ νεωτέρου Φυλακίδου, τῷ δεσπότῃ αὐτοῦ Ποσειδῶνι καὶ ταῖς Νηρεΐσι κίρναμεν τὸν δεύτερον κρατῆρα.

10. Εἴη δὲ τρίτον σώτῆρι πορσαίνοντας] ὁ λόγος εὐκτικός. εὔχεται δὲ τὸν τρίτον [2]) τῶν ᾠδῶν κρατῆρα κεράσαι, νικήσαντος αὐτοῦ τὰ Ὀλύμπια. τὸν δὲ τρίτον κρατῆρα Διὸς σωτῆρος ἔλεγον, καθὰ καὶ Σοφοκλῆς ἐν Ναυπλίῳ· [3])

Ζεῦ παυσίλυπε, καὶ Διὸς σωτηρίου
Σπονδὴ τρίτου κρατῆρος.

τὸν μὲν γὰρ πρῶτον Διὸς Ὀλυμπίου ἐκίρνασαν, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον Διὸς σωτῆρος. καθὰ καὶ Αἰσχύλος ἐν Ἐπιγόνοις·

Λοιβὰς Διὸς μὲν πρῶτον ὡραίου γάμου
Ἥρας τε.

εἶτα·

Τὴν δευτέραν γε κρᾶσιν ἥρωσιν νέμω.

εἶτα·

Τρίτον Διὸς σωτῆρος εὐκταίαν λίβα.

Διὸς δὲ σωτῆρος ἔλεγον τὸν τρίτον διὰ τὸ τοὺς τοῦτον πίνοντας σταθεροὺς γίνεσθαι, τοὺς δὲ μετὰ τοῦτον εἰς ἄτην καὶ ἀνομίαν καὶ ἀσέλγειαν τρέπεσθαι. ἔλεγον δὲ αὐτὸν καὶ τέλειον διὰ τὸ τέλειον εἶναι τὸν τρίτον ἀριθμὸν ἀρχὴν ἔχοντα καὶ μέσον καὶ τέλος. § ὁ δὲ νοῦς· εἴη δὲ ἡμᾶς καὶ τρίτον τῷ σωτῆρι καὶ Ὀλυμπίῳ Διὶ στῆσαι κρατῆρα καὶ ταῖς ἡδείαις ᾠδαῖς ἀνυμνεῖν τὴν Αἴγιναν. δύναται μὲν οὖν τοῦτο καὶ οὕτω· κατὰ Αἴγιναν σπένδειν· δύναται δὲ καὶ τὸ ἑξῆς· κατασπένδειν τὴν Αἴγιναν. χαριέντως δὲ τὸ κατασπένδειν ὡς ἐπὶ κρατῆρος καὶ σπονδῆς διόλου τροπικῶς ἐφυλάχθη. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· γένοιτο αὐτὸν καὶ Ὀλύμπια νικῆσαι.

1) Addidi Ἴσθμια. 2) Rom. δεύτερον. 3) In Ναυπλίῳ καταπλέοντι. V. Schol. Plat. Ruhnk. p. 43. et quem Heynius nominat, scholiorum interpretem Chardon. de la Rochette Mel. de crit. et phil. T. II, p. 432 sqq.

Digitized by Google

14. Εἰ γάρ τις ἀνθρώπων] εἰ γάρ τις, φησὶ, τῶν ἀνθρώπων καὶ ἐπὶ τὸ δαπανᾶν εἰς τὰ τοιαῦτα χαρεὶς, καὶ οὐχ ὑποστειλάμενος δαπάνην, καὶ ἐπὶ τὸ πονεῖν τῷ ἰδίῳ σώματι, τουτέστι καὶ φιλοπονήσας πράττει τὰς θεοδμήτους ἀρετὰς, ὅ ἐστιν ὑπὸ θεῶν δεδομημένας καὶ κατεσκευασμένας, ὁ θεός τε αὐτῷ συμφυτεύει δόξαν· πάντων, φησὶ, τούτων μετέχων πρὸς ταῖς ἐσχατιαῖς τοῦ ὄλβου βάλλεται ἄγκυραν, οἷον ὁρμίζει ἐπ' ἄκρον τῆς εὐδαιμονίας, ὥστε ἂν μὴ πορρωτέρω δύνασθαι προελθεῖν τῆς εἰς ἄνθρωπον πιτνούσης εὐδαιμονίας. § ὁ δὲ νοῦς· εἰ γάρ τις ἀνθρώπων ἐπὶ τῇ δαπάνῃ χαρεὶς καὶ ἡσθεὶς γλυκεῖαν ἔσχε τὴν ἔκβασιν, καὶ τὰς ἐκ θεῶν ἀρετὰς κατορθοῖ καὶ ἡ τύχη αὐτῷ ἐπιφύει δόξαν ἐπέραστον, γινωσκέτω ἤδη πρὸς τὸ ἔσχατον καὶ ἄκρον τῆς εὐδαιμονίας ἑαυτὸν προςορμίσας.

20. Τοίαισιν ὀργαῖς εὔχεται ἀντιάσαις] τοιούτοις τρόποις, φησὶν, εὐδαιμονίας ὁ παῖς τοῦ Κλεονίκου Λαμπων συντυχὼν εὔχεται λοιπὸν τόν τε θάνατον καὶ τὸ γῆρας δέξασθαι.

23. Ἐγὼ δ' ὑψίθρονον Κλωθώ] ἐγὼ δὲ τὴν τιμίαν, φησὶ, Κλωθὼ καὶ τὰς αὐτῆς ἀδελφὰς παρακαλῶ τελειῶσαι τὰς εὐχὰς αὐτοῦ, ὅ ἐστιν ἐπακοῦσαι καὶ ἐπακολουθῆσαι ταῖς εὐχαῖς τοῦ φίλου ἀνδρὸς καὶ τέλος ἐπιθεῖναι. προςηύξατο δὲ καὶ Ὀλύμπια νικῆσαι καὶ τρίτον κρατῆρα κεράσαι. ἐφετμαὶ δὲ οὐ κυρίως αἱ εὐχαὶ, ἀλλ' αἱ ἐντολαί. εὐχὴ δὲ ἡ παρὰ [1]) τῶν ὑπερεχόντων αἴτησις.

27. Ἔμμε τ' ὦ χρυσάρματοι Αἰακίδαι] ὑμᾶς δὲ, ὦ τίμιοι κατὰ τὰ ἅρματα Αἰακίδαι, νόμιμον καὶ σύνηθες εἶναί μοι λίγω σαφέστατον καὶ δῆλον εἰς μνήμην εἰςερχομένῳ τῆς Αἰγίνης πρότερον ἐγκωμιάζειν. ἵνα τὸ ὑπερβατὸν οὕτως ἔχῃ· ἐμοὶ δὲ τήνδε τὴν νῆσον ἐπιπορευομένῳ πρότερους ὑμᾶς, ὦ χρυσάρματοι Αἰακίδαι, νόμιμόν ἐστι φαίνειν τοῖς ὕμνοις καὶ ἐγκωμιάζειν.

31. Μυρίαι δ' ἔργων καλῶν] τῶν γὰρ ἀγαθῶν ἔργων, φησὶ, πολλαὶ καὶ μεγάλαι αἱ τῶν ἐγκωμίων ὁδοὶ, ὥστε καὶ πέρα Νείλου διαβαίνειν καὶ εἰς Ὑπερβορέους ἀκμητὶ καὶ ἀνεμποδίστως τὸ ἐγκώμιον. § Ἄλλως. ὁδοὶ πολλαί εἰσιν ἑκατόμπεδοι, τουτέστι μεγάλαι καὶ κατὰ τὸ ἑξῆς φέρουσαι τῶν ὑμετέρων πράξεων εἰς τοὺς ὕμνους· ἐπὶ τὰ πέρατα ὑμῶν ἥκει ἡ εὔκλεια μέχρι Νείλου καὶ Ὑπερβορέων. τὰ δὲ ἑκατέρωθεν παρείληφε πέρατα, τὴν σύμπασαν οἰκουμένην θέλων εἰπεῖν. τέτμηνται δὲ, κατώρθωνται, πρόκεινται.

34. Οὐδ' ἔστιν οὕτω βάρβαρος] οὐδαμῶς δέ ἐστιν οὕτω βάρβαρος οὐδὲ τὴν γλῶσσαν ἀλλόκοτος πόλις, ἥτις τοῦ Πηλέως οὐ κατακούει τὴν δόξαν.

38. Οὐδ' ἥτις Αἴαντος Τελαμωνιάδα] οὐδ' ἥτις πόλις τοῦ Τελαμῶνος τοῦ Αἰακοῦ παιδὸς καὶ τοῦ πατρός· εἶτα ἀπὸ κοινοῦ, οὐ κατακούει τὴν δόξαν· ὅντινα Τελαμῶνα εἰς ἰσχυρότατον πόλεμον συνεπήγαγε σὺν τοῖς Ἀργείοις αὐτοῦ ὑπηρέταις ὁ Ἡρακλῆς πρόθυμον ὄντα σύμμαχον καὶ μεγάλην βλάβην τοῖς κατὰ Τροίαν οἰκοῦσιν ἥρωσι τῶν τοῦ Λαομέδοντος ἁμαρτιῶν χάριν. ὁ γὰρ Ἡρακλῆς μετὰ Τελαμῶνος δοκεῖ κατειργάσθαι τὰ πολλά.

1) Vulgo περί. Correxerunt Heynius et Abresch. ad Hesych. T. I, p. 1547.

Digitized by Google

45. Εἶλε δὲ Περγαμίαν] καὶ ἐπόρθησε τὴν Πέργαμον, φησίν. οὕτω γὰρ τὴν τῶν πόλεων ἀκρόπολιν λεγομένην εἶπεν, ὡς καὶ Ὅμηρος μνημονεύει· Καί μιν ..... ναιομένην ..... § ὁ δὲ νοῦς· σὺν δὲ τῷ Τελαμῶνι καὶ τὰ τῶν Κώων ἔθνη καταγωνισάμενος ἀνεῖλεν.

47. Καὶ τὸν βουβόταν οὔρεϊ ἴσον Φλέγραισιν εὑρὼν Ἀλκυονῆ] Φλέγρα τῆς Θρᾴκης χωρίον. διέτριβε δὲ ὁ Ἀλκυονεὺς κατὰ τὸν Θρᾳκικὸν Ἰσθμόν. βουβόταν δὲ τὸν βουκόλον φησὶ, παρ' οὗ τὰς Ἡλίου βοῦς ἀπήλασε ..... τοξεύσας ὁ Ἡρακλῆς. § ὁ δὲ νοῦς· ἐν δὲ τῇ Φλεγραίᾳ ὁ Ἡρακλῆς ἰδὼν τὸν Ἀλκυονέα μέγαν καὶ ἐκτράπελον καὶ τερατώδη τὸ σῶμα οὐκ ἐφείσατο τοῦ ἑαυτοῦ τόξου. καὶ καλῶν [1]) τὸν Αἰακοῦ παῖδα τὸν Τελαμῶνα εἰς τοῦτον τὸν πλοῦν καὶ ταύτην τὴν συμμαχίαν ..... ἔτυχεν ἀνευρεῖν εὐωχούμενον τὸν Τελαμῶνα. § Ἄλλως. ταῦτα ἀπήρτισται τὸ κατάλληλον οὐκ ἔχοντα, ἃ δὴ ὁ Ἀρίσταρχος σημειοῦται. καὶ εἰσὶν οἱ κεχιάσθαι φασὶν, ὅτι ἰδίως ἐπιβέβληκεν ὡς ἐν διαστολῇ τοῦ οὐκ ἐφείσατο· Ἀλλ' Αἰακίδαν καλέων· ἀνατρέχων ἐπὶ τὴν ἀρχὴν τῆς ἱστορίας. οὐκ ἔστι δὲ ἴδιον, ἐὰν ὁ ἀλλὰ ἀντὶ τοῦ δὴ τάσσηται· Αἰακίδαν δὴ καλῶν. νῦν ἄρχεται τῶν ἐπὶ μέρους, ἀκριβῶς τὸ ὅλον προεκθείς.

53. Τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα] τοῦτο ἰδίως. οὐ γὰρ ὁ Τελαμὼν ἐκέλευσε τῷ Ἡρακλεῖ ἐμβῆναι τῷ δέρματι καὶ εὔξασθαι, ἀλλ' αὐτὸς ὁ Ἡρακλῆς τοῦτο κατ' ἰδίαν ἔπραξε προαίρεσιν. εἴληπται δὲ ἐκ τῶν μεγάλων Ἡοιῶν [2]) ἡ ἱστορία· ἐκεῖ γὰρ εὑρίσκεται ἐπιξενουμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι καὶ ἐμβαίνων τῇ δορᾷ καὶ εὐχόμενος, καὶ οὗτος [3]) ὁ διόπομπος αἰετὸς, ἀφ' οὗ τὴν προσωνυμίαν ἔλαβεν Αἴας. ἔνιοι δὲ οὕτως ἀκούουσι· τοῦτον μὲν ἐν [4]) ῥινῷ λέοντος ἰδὼν ὁ Τελαμὼν τὸν Ἡρακλέα ἄφνω ἐφεστῶτα ἐν τῇ δορᾷ, παρεκελεύσατο αὐτῷ, ὡς ἦκεν ἐκ τῆς ὁδοῦ, σπένδειν· τουτέστι μὴ ἀποθέμενον τὸ δέρμα, ἀλλ' ὡς εἶχεν, ἄρξασθαι τῶν σπονδῶν· ὡς ὅμοιον εἶναι τῷ· [5])

Ἥφαιστε, πρόμολ' ὧδε, Θέτις νύ τι σεῖο χατίζει.

§ ὁ δὲ νοῦς· τοῦτον μὲν οὖν τὸν Ἡρακλέα σὺν τῇ τοῦ λέοντος δορᾷ στάντα ἐκέλευσεν ὁ Τελαμὼν σπονδῶν ἀπάρξασθαι καὶ θῦσαι τοῖς θεοῖς.

58. Οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν] Ἀρίσταρχος ἐκ μεταφορᾶς τῶν κάπρων φησὶν εἰρῆσθαι· Φρίξας εὖ λοφιήν· [6]) ὡς ..... τῆς φιάλης καὶ τετραχυμένης τῇ ποικιλίᾳ τοῦ χρυσίου, καθαπερεὶ πεφρικότος αὐτοῦ. ἵν' ᾖ ὅμοιον τῷ· [7])

Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσιν.

διὰ γὰρ αὐτῶν τῶν δοράτων φρίξαι φησὶ τὴν μάχην. ἔνιοι δὲ τὴν λαμπρὰν ἤκουσαν. § ὁ δὲ νοῦς· παρέδωκε δὲ αὐτῷ ὁ ἀγαθὸς Τελαμὼν οἴνου δεκτικὴν φιάλην, ὁ δὲ ἀνατείνας οὐρανῷ τὰς ἀκαταμαχήτους αὐτοῦ χεῖρας τοιοῦτον ἐφώνησε λόγον· ὦ πάτερ Ζεῦ, εἴποτε τῶν ἐμῶν εὐχῶν ἑκὼν καὶ μετὰ προθυμίας κατήκουσας, ἐπὶ τοῦ παρόντος θείαις εὐχαῖς καθικετεύω, ἀνδρειότατον Τελαμῶνι ἐκ τῆς γαμετῆς Ἐριβοίας γενέσθαι παῖδα. ἦν γὰρ ὁ Τελαμὼν παιδοποιΐας ἐπιθυμῶν.

1) Addito καλῶν explevi lacunam. 2) Rom. Ἠνιῶν, quod editor Brubachianae in margine correxit. 3) Vulgo οὕτως: sed ne οὗτος quidem mihi satisfacit. 4) Addidi ἐν. 5) Iliad. σ, 392. Rom. Θέτις δήτι. 6) Odyss. τ, 446. 7) Iliad. ν, 339.

Digitized by Google

67. Μοιρίδιον τελέσαι] τὸ τελέσαι κατὰ κοινοῦ· τελέσαι τῷδε [1]) παῖδα, καὶ λίσσομαί σε τὸν ἐμὸν φίλον Τελαμῶνα εὐτυχῆ τελέσαι. τὸ δὲ περιπλανᾶται ἀντὶ τοῦ παρακινεῖται ἢ περιλαμβάνει· διὸ καὶ εὐσυμβόλως ἐν ἀρχαῖς τὸν Ἡρακλέα ἐπιστῆναι τῇ λεοντείᾳ δορᾷ ἐκέλευσε, τὸ δὲ Θυμὸς δ' ἔπέσθω, ἤτοι ἀνδρεία δὲ αὐτῷ καὶ ῥώμη ἑπέσθω ἴσως τῷ τοῦ λέοντος θυμῷ· ἢ οὕτως· ἑπέσθω δὲ τῷ Αἴαντι καὶ ἡ ψυχὴ ἀνδρεία καὶ μὴ ὑπείκουσα, καθάπερ καὶ τὸ σῶμα.

72. Ταῦτ' ἄρα οἱ φαμένῳ] ταῦτα εἰπόντι, φησί, τῷ Ἡρακλεῖ ἀπέστειλεν ὁ Ζεὺς τῶν ὀρνίθων τὸν μέγαν καὶ ἔξοχον ἀετόν· ἡδεῖα δὲ αὐτὸν διεκίνησεν ἡδονή, καὶ εἶπε τοιαῦτα ὥσπερ τις ἀκριβέστατος μάντις. § ἢ οὕτω· χαρὰ ἐκέντρισε, τουτέστιν ἐχάρη καὶ ἡ ψυχή.

76. Ἔσσεταί τοι παῖς] γεννήσεταί σοι παῖς, ὦ Τελαμών. καὶ δὴ αὐτὸν τὸ θεῖον παρακελεύεται τοῦδε φανέντος ὄρνιθος ἐπώνυμον Αἴαντα, ἔξωθεν τὸ καλεῖσθαι τὸ ὄνομα, γενναῖον ὄντα πᾶσι τοῖς ἥρωσι [2]) τοῦ πολέμου καὶ ἔξαρχον τῶν ἄλλων ὄχλων. ἵνα τὸ ἐσόμενον ἔξωθεν ἀκούωμεν. δῆλον οὖν ὅτι παρὰ τὴν πτῆσιν καὶ τὴν τοῦ ἀετοῦ ἐπιφάνειαν Αἴαντα τὸν παῖδα κέκληκεν ὁ Τελαμών.

82. Ἐμοὶ δὲ μακρόν] ἐμοὶ δὲ μέγα καὶ ἀπερίγραπτον λόγῳ τὸ διηγήσασθαι πάσας τὰς τῶν Αἰακιδῶν ἀρετάς· ἦλθον δέ, ὦ Μοῦσα, συντόμως [3]) κατὰ τὸν Ἀργείων τρόπον τῷ Φυλακίδᾳ καὶ τῷ Πυθέᾳ καὶ τῷ Εὐθυμένει τῶν ἐγκωμίων δοτὴρ καὶ ταμίας.

87. Εἰρήσεταί πού κ' ἐν βραχίστοις] τουτέστιν ἐπὶ βραχὺ εἰρήσθω. μακρολόγοι μὲν οὖν οἱ Ἴωνες, σύντομοι δὲ οὐ μόνον Λάκωνες, ἀλλὰ καὶ Ἀργεῖοι. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ·

Πάντ' οἶσθα, πάντ' ἔλεξα τἀντεταλμένα·
Μῦθος γὰρ Ἀργολιστὶ συντέμνειν βραχύς.

§ ὁ δὲ νοῦς· ῥηθήσεται δὲ ἐν βραχέσι λόγοις τὸ ἐγκώμιον· ἐδέξαντο νίκας ἀγωνιζόμενοι παγκρατίῳ τρεῖς μὲν ἐν Ἰσθμῷ, τὰς δὲ αὐτῶν ἐκ τῆς ἐπιδόξου Νεμέας οἵ τε ἀγλαοὶ παῖδες τοῦ Λάμπωνος καὶ οἱ τούτων μήτρωες, ἐδέξαντο νίκας ἀπὸ κοινοῦ. μήτρωες δὲ, ἀντὶ τοῦ μήτρως δὲ, τουτέστιν ἀδελφὸς τῆς [4]) μητρός. . . . . τῶν υἱῶν. τὸ δὲ οἵαν θαυμαστικῶς ἀντὶ τοῦ ὁποίαν εἴρηκεν· ὁποίαν δὲ καὶ ἡλίκην ὕμνων μερίδα ἀνήγαγον εἰς φῶς ἐπὶ ταῖς ἑαυτῶν ἀνδρείαις. § ἢ οὕτως· ἀνήγαγον δὲ, φησὶν, εἰς φῶς τὴν μοῖραν τῶν ὕμνων. λέγει δὲ τὴν τῶν αὐτοῦ μοῖραν ὕμνων, ἣν νικήσαντες ἀνήγαγον εἰς φῶς. οἷον οἱ ὕμνοι οἱ εἰς τὸν Φυλακίδαν ἐπιφανεῖς ἐγένοντο, ὅτι ἐνίκησε. Ψαλυχίδαι δὲ φυλὴ ἐν Αἰγίνῃ, ἀφ' ἧς ὁ νικηφόρος. τὴν δὲ τῶν Ψαλυχιαδῶν φατρίαν τῇ τῶν Χαρίτων καλλίστῃ δρόσῳ καταβρέχουσι, φησὶ δὲ τοῖς ὕμνοις. § Ἄλλως. συλληπτικῶς εἶπε τὸ χωρὶς ἑκατέρῳ συμβεβηκός· ὁ μὲν γὰρ Φυλακίδας Ἴσθμια δὶς νικᾷ καὶ Νέμεα ἅπαξ, ὁ δὲ Πυθέας Νέμεα· ὃν δὴ μήτρωα καλεῖ τούτου ὡς κατὰ μητέρα προσήκοντα· οὐ γὰρ πιθανὸν μητράδελφον ἀκούειν.

1) Vulgo τῷ. 2) Faehsius Syllog. p. 407. corrigit τοῖς ἔργοις; sed ἥρωσι opponuntur τοῖς ἄλλοις ὄχλοις. Tamen dictio γενναῖος τοῖς ἥρωσι τοῦ πολέμου me offendit, nec dubito vitium subesse. 3) Malim σύντομος. 4) Verbis τουτέστιν ἀδελφὸς τῆς μητρὸς insertis lacunam explevi. V. schol. ad inscr. huius odae. Aliter censebat alius interpres in fine notarum ad hunc versum.

Digitized by Google

95. **Τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον**] καὶ τὸν τοῦ Θεμιστίου δὲ οἶκον ταῖς ἑαυτῶν εὐδοξίαις ἀνορθώσαντες ταύτην τὴν πόλιν οἰκοῦσι τὴν θεοφιλῆ. ἦν δὲ ὁ Θεμίστιος πρόγονος αὐτοῦ, οὗ καὶ ἐν τοῖς Νεμεονίκαις μνημονεύει· Εἰ δὲ Θεμίστιον ἵκεις ὥστ' ἀείδειν. [1])

97. *Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων Ἡσιόδου*] Μελέτη τοι ἔργον ὀφέλλει. [2]) ὁ δὲ Λάμπων, φησὶ, διηνεκῶς τοῖς ἔργοις τὴν μελέτην διδοὺς τὸν τοῦ Ἡσιόδου τιμᾷ καὶ ἀποδέχεται λόγον, καὶ τοῖς ἑαυτοῦ παισὶ λέγων τὸν στίχον παραινεῖ ἆθλον καὶ εὐδοξίαν τεύχεσθαι, κοινὴν εὐδοξίαν τῇ αὐτοῦ πατρίδι συνάπτων.

102. *Καὶ ξείνων εὐεργεσίαις ἀγαπᾶται*] τιμᾶται δὲ καὶ ἐπὶ ταῖς τῶν ξένων εὐεργεσίαις· τυγχάνει γὰρ ὢν φιλόξενος· τὰ προσήκοντα μὲν τῇ γνώμῃ τῇ ἑαυτοῦ μετερχόμενος, τὰ προσήκοντα δὲ καὶ κατέχων εἰς ἑαυτὸν καὶ λογιζόμενος. § ἢ οὕτω· διὰ τὸ φιλόξενος εἶναι καὶ ὑπὸ ξένων καὶ ὑπὸ πολιτῶν τιμᾶται, καὶ διανοούμενος τὰ μέτρια καὶ ἐνεργῶν καὶ πράττων.

105. *Γλῶσσα δ' οὐκ ἔξω φρενῶν*] τουτέστιν οὐδὲν ἄκαιρον φλυαρεῖ, ἀλλ' ἃ παρέπεται. παρὰ γὰρ τὴν γλῶτταν προτρέχει τὰ [3]) τῆς διανοίας. § ἢ οὕτως· ἡ δὲ γλῶσσα αὐτοῦ καὶ ὁ λόγος οὐκ ἔστιν ἔξωθεν τῶν δεουσῶν φρενῶν, ἀντὶ τοῦ οὐ προπετῶς φθέγγεται.

106. *Φαίης κέ νιν*] εἴποι δ' ἄν τις αὐτὸν τὸν Λάμπωνα εἶναι τοιοῦτον ἄνδρα ἐν τοῖς ἀθληταῖς, οἷαν ἐν πέτραις ἑτερογενέσι Ναξίαν ἀκόνην δυνατὴν μάλιστα παραθῆξαι. νομίζονται γὰρ διαφορώταται τῶν ἄλλων ἀκονῶν αἱ κατὰ τὴν ἐν Κρήτῃ Νάξον. τοσοῦτον οὖν φησι τῶν ἄλλων ἀλειπτῶν διαφέρειν ἐν τοῖς ἀθληταῖς, ὅσον ἐν ἄλλαις ἀκόναις αἱ Ναξίαι διαφέρουσιν. § ὁ δὲ νοῦς· εἴποις δ' ἂν αὐτὸν τὸν Λάμπωνα ἐν τοῖς ἄλλοις ἀθληταῖς οὕτως ἰσχυρὸν εἶναι ὥσπερ ἐν τοῖς ἄλλοις λίθοις ἡ Ναξία. [4]) ποιεῖ δὲ πρὸς ἀκόνην ὁ Νάξιος λίθος.

108. *Πίσω σφε Δίρκας*] ἀλληγορεῖ νῦν· ποτιῶ, φησὶν, αὐτοὺς τὸ ἀπὸ τῆς Δίρκης ὕδωρ, ὃ αἱ Μοῦσαι ἀνατεῖλαι ἐποίησαν· τουτέστι τῷ ἐμῷ ῥεύματι, ἤτοι τῷ ποιήματι [5]) ποτιῶ αὐτούς. Θηβαῖος γὰρ, ἡ δὲ Δίρκη ἐν Θήβαις· διὸ ἐξ αὐτῆς ἀναβεβλῆσθαί φησι τὸν ὕμνον. πῖσαι δὲ τὸ ποτίσαι, καὶ τὰς ποτίστρας δὲ πίσας ἔλεγον.

1) Nem. V, 91. vulg. 2) Opp. et D. 410. ubi μελέτη δέ τοι. 3) Vulgo προτρέχεται τῆς δ. 4) Aut ταῖς ἄλλαις λ. aut ὁ Νάξιος aut ἡ Ναξία πέτρα scribendum. 5) Vulgo πονήματι.

Digitized by Google

ΙΣΘΜΙΩΝ ΕΙΔΟΣ ς'. [1]) [Ζ'.]

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἕκτου [2]) τῶν Ἰσθμίων εἴδους.

Τοῦ ἕκτου [3]) εἴδους ἡ στροφὴ καὶ ἀντίστροφος κώλων ἡ. Τὸ α' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ β' Ἰωνικὸν τετράμετρον ἰαμβικῷ κατακλειόμενον, βραχυκατάληκτον. Τὸ γ' ἐκ πενθημιμεροῦς ἰαμβικοῦ καὶ διμέτρου τροχαϊκοῦ βραχυκατάληκτον. [4]) Τὸ δ' Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ ε' δακτυλικὸν τρίμετρον καταληκτικόν. ἡ τελευταία βραχεῖα. Τὸ ς' Ἰωνικὸν δίμετρον ἀκατάληκτον. [5]) Τὸ ζ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. [6])

Περὶ τῆς ἐπῳδοῦ αὐτοῦ.

Ἡ ἐπῳδὸς κώλων καὶ αὐτὴ ὀκτώ. Τὸ α' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον. Τὸ β' παλιαμβικὸν [7]) τρίμετρον ἀκατάληκτον. Τὸ γ' Ἰωνικὸν δίμετρον καταληκτικόν. [8]) Τὸ δ' ἀντισπαστικὸν τρίμετρον καταληκτικόν. Τὸ ε' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ς' Ἰωνικὸν δίμετρον καταληκτικόν. Τὸ ζ' δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ η' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον.

---

1. Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα] ὁ λόγος πευστικὸς ἐπὶ τὴν Θήβην, ᾧ καὶ ἀποχρώμενος λεληθότως αὐτῆς ἐγκώμια καταριθμεῖται. § ὁ δὲ νοῦς οὕτω· τίνι τῶν φθασάντων ἐπιχωρίων ἀγαθῶν, ὦ μακαριωτάτη Θήβη, μάλιστα τὴν σὴν ψυχὴν εὔφρανας;

3. Ἦ ῥα χαλκοκρότου πάρεδρον] παρὰ τὰ ἐπικτυποῦντα ἐν ταῖς τελεταῖς τῆς Δήμητρος κύμβαλα. μετὰ γὰρ κυμβάλων καὶ τυμπάνων περιϊοῦσα ἡ θεὸς καὶ τούτοις ἠχοῦσα ἐζήτει πρὸς τὸ πάντας ἀκούειν καὶ πυνθάνεσθαι ὅ,τι ζητεῖ. πάρεδρον δὲ Δήμητρος εἶπε τὸν Διόνυσον, κατὰ μὲν τὸν μυστικὸν λόγον, ὅτι παρεδρεύει αὐτῇ ὁ ἐκ Περσεφόνης γεγονὼς Ζαγρεὺς Διόνυσος, ὁ κατά τινας Ἴακχος· κατὰ δὲ τὸν φυσικὸν λό-

1) Rom. ΕΚΤΟΝ. 2) Rom. τοῦ αὐτοῦ. 3) Rom. ἑβδόμου. 4) Vulgo καταληκτικόν. Editor Brubachianae vult διμ. χοριαμβικοῦ καταληκτικόν. 5) Olim καταληκτικόν. 6) Vulgo ὑπερκατάληκτον. 7) Voluit credo Ἰωνικόν. Editor Brubachianae coniicit παλιωνικόν. 8) Vulgo ἀκατάληκτον.

Digitized by Google

γον, ἐπειδὴ τῇ ξηρᾷ τροφῇ, ἣ ἀνάκειται τῇ Δήμητρι, παρέπεται ἡ τοῦ οἴνου χρῆσις, ἢ ὅτι ἡ σταφυλὴ ἐδωδίμη ἐστὶ καὶ εἰς πόσιν ἐπιτηδεία. § ὁ δὲ νοῦς· ἄρ' ἡνίκα ἀνέτειλας καὶ ἐγέννησας τὸν εὔτριχα Διόνυσον τὸν πάρεδρον τῆς χαλκοκρότου Δήμητρος.

5. Ἢ χρυσῷ μεσονύκτιον] ἢ ὅτε τὸ μεσονύκτιον χρυσῷ καταστάζοντα ἐδέξω τὸν τῶν θεῶν ἔξαρχον Δία. § Ἄλλως. ἰδίως λέγει τὸν Δία ὕσαι χρυσὸν, ἡνίκα ἐμίγη τῇ Ἀλκμήνῃ· ἢ τὰ ἐπὶ Δανάης μυθευόμενα ἐπὶ Ἀλκμήνην μετήγαγεν.

9. Ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις] ἡνίκα τοῦ Ἀμφιτρύωνος κατὰ τὰ πρόθυρα σταθεὶς τὴν γαμετὴν μετῆλθε ταῖς θείαις γοναῖς. κατὰ πάντων δὲ ἀπὸ κοινοῦ τὸ εὔφρανας ἀκουστέον.

11. Ἢ ὅτ' ἀμφὶ Τειρεσίᾳ] ἢ ὅτε ταῖς τοῦ Τειρεσίου πυκναῖς καὶ συνεταῖς μαντείαις. ἱππόμητιν δὲ τὸν Ἰόλαόν φησι, παρόσον ἡνιόχησεν Ἡρακλεῖ. ἀπὸ κοινοῦ δὲ πρὸς πάντα τὸ θυμὸν τεὸν εὔφρανας.

13. Ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν] τῶν κατὰ τὰς Θήβας ἀναδοθέντων ἐκ τῶν δρακοντείων ὀδόντων, ὧν καὶ Εὐριπίδης [1]) μέμνηται· ἢ Σπαρτῶν φησι τῶν ἄγαν πολεμικῶν. ὁ γὰρ Φερεκύδης [2]) διττά φησιν εἶναι Σπαρτῶν γένη· τὸν γὰρ Ἄρη καὶ τὴν Ἀθηνᾶν τοὺς μὲν ἡμίσεις τῶν ὀδόντων Κάδμῳ δοῦναι, τοὺς δὲ ἡμίσεις Αἰήτῃ. Ἀνδροτίων [3]) δέ φησι φυγόντα ἐκ τῆς Φοινίκης τὸν Κάδμον μετὰ ἱκανῶν σποράδων κατελθεῖν εἰς Θήβας, ὅθεν διὰ τὸ συμμιγὲς [4]) καὶ σποράδην εἶναι Σπαρτοὶ ἐκλήθησαν· οἱ δὲ Θηβαῖοι τὰ περὶ αὐτῶν ψευδῶς ἑτερατούργησαν.

14. Ἢ ὅτε καρτερᾶς Ἄδραστον ἐξ ἀλαλᾶς] τῆς μάχης, διὰ τὰς θορυβώδεις φωνάς. ὅτι δὲ ἐκ τῶν ἑπτὰ λόχων ἀπεσώθη ὁ Ἄδραστος, δῆλον. § ὁ δὲ νοῦς· ἢ ὅτε ἐκ τῆς ἰσχυροτάτης μάχης ἀπέπεμψας τὸν Ἄδραστον ὀρφανωθέντα, ὦ Θήβη, μυρίων καὶ ἀναρίθμων στρατιωτῶν [5]) εἰς τὸ ἱππικὸν Ἄργος.

18. Ἢ Δωριδ' ἀποικίαν] οἱ Ἡρακλεῖδαι ἔσχον παρὰ τοῦ θεοῦ χρησμὸν συλλαβεῖν Αἰγείδας, καὶ οὕτω τῆς Πελοποννήσου κρατῆσαι. ἦσαν δὲ οὗτοι Φλεγραῖοι ἀνέκαθεν. οἱ δὲ δεξάμενοι κατὰ τὸ Πυθικὸν χρηστήριον, τῆς ἐλπίδος οὐκ ἐκπεσόντες, κρατήσαντες δὲ τῆς Πελοποννήσου, μετῴκισαν εἰς Θήβας [6]) τοὺς Αἰγείδας. ἔνιοι δέ φασιν Αἰγινήτας [7]) Θηβαίους τὸ ἀνέκαθεν εἶναι· ἔνιοι δὲ Αἰγείδας φυλὴν ἐν Θήβῃ, ἀφ' ἧς σύμμαχοι ἐπὶ τὴν Λακεδαίμονα ἦλθον καὶ ἐκράτησαν· ἔνιοι, ὅτι οὕτως ὀνομάζονταί τινες ἐν Λακεδαίμονι ἀπὸ Αἰγέως τινὸς Θηβαίου, ὃν συνεργῆσαι τοῖς Ἡρακλείδαις φασὶ πρὸς τὴν κατάκτησιν τῆς Λακωνικῆς. ἔνιοι Ἀργεῖδαι γράφουσι διὰ τὸ Ἀργείαν ὀνομάζεσθαι τὴν Ἀριστοδήμου γυναῖκα τοῦ ἀπογόνου τῶν Ἡρακλειδῶν, ἐξ ἧς ἐγένετο Προκλῆς καὶ Εὐρυσθένης οἱ κατασχόντες τὴν Λακωνικήν. § ὁ δὲ νοῦς· ἢ ὅτε τὴν Δωρίδα τῶν Ἡρακλειδῶν κάθοδον ἐπ' ἀσφαλοῦς στῆναι παρεσκεύασας· ἔλαβον γὰρ τὰς Ἀμύκλας οἱ σοὶ ἀπόγονοι Αἰγεῖδαι τοῖς τοῦ Πυθίου Ἀπόλλωνος μαντεύμασιν. § Ἄλλως. Αἰγείδας νῦν οὐκ ἂν εἴη λέγων τοὺς Ἀθηναίους· περὶ γὰρ Θηβῶν ὁ λόγος. καὶ εἰσὶν Αἰγεῖδαι φατρία Θηβαίων, ἀφ' ἧς ἧκόν τινες εἰς Σπάρτην Λακεδαιμονίοις βοηθήσοντες ἐν τῷ πρὸς Ἀμυκλαεῖς πολέμῳ, ἡγεμόνι χρησάμενοι Τιμομάχῳ, ὃς πρῶτος μὲν πάντα τὰ πρὸς

1) Phoen. 802. 2) Sturz. Fragm. p. 113. 3) Cf. Tzetz. ad Lycophr. 1206. Schol. Eurip. Phoen. 674. 4) Coniicias συμμιγεῖς: sed non opus. 5) Vulgo στρατῶν. 6) An εἰς Λακεδαίμονα? 7) Immo τοὺς Αἰγείδας.

Digitized by Google

πόλεμον διέταξε Λακεδαιμονίοις, μεγάλων δὲ παρ' αὐτοῖς ἠξιώθη τιμῶν· καὶ τοῖς Ὑακινθίοις δὲ ὁ χάλκεος αὐτῷ θώραξ προτίθεται· [1]) τοῦτον δὲ Θηβαῖοι ὅπλον ἐκάλουν. ταῦτα ἱστορεῖ καὶ Ἀριστοτέλης ἐν τῇ Λακώνων πολιτείᾳ. ἔνιοι δέ φασι τὸν Πίνδαρον νῦν μὴ τοῦ πρὸς Ἀμυκλαεῖς πολέμου μνημονεύειν μηδὲ τῶν σὺν Τιμομάχῳ Αἰγειδῶν, ἀλλὰ τῶν σὺν τοῖς Ἡρακλείδαις εἰς Πελοπόννησον κατελθόντων, ὧν Ἀριστόμαχος ὁ Κλεάδα καὶ Κλεάδας [2]) ὁ Ὕλλου ἡγοῦντο· καὶ γὰρ τότε Θήβηθεν ἥκειν τοῖς Δωριεῦσι τοὺς ἁψαμένους τῆς καθόδου Αἰγείδας μετὰ τῶν Ἀθηναίων· εἶναι δὲ τοὺς Θήβηθεν Αἰγείδας τὸ ἀνέκαθεν Ἀθηναίους. δυεῖν οὖν ἀποστάσεων ἐκ τῆς τῶν Αἰγειδῶν τῶν Θηβαίων φατρίας [3]) εἰς Σπάρτην γεγονυιῶν, ἔργον ἀποφήνασθαι, ποτέρας ὁ Πίνδαρος νῦν μνημονεύει. μή ποτε δὲ τῆς δευτέρας· Ἀριστοτέλης γάρ φησιν, ὅτι πολεμοῦντες οἱ Λάκωνες Ἀμυκλαεῦσιν, ὡς ἐπύθοντο παρὰ θεοῦ τοὺς Αἰγείδας συμμάχους λαβεῖν, εἰς Ἀθήνας ἐπορεύοντο· καταλύσαντες δὲ ἐν Θήβαις εὐωχουμένης τῆς τῶν Αἰγειδῶν φατρίας ἐκλήθησαν. ἀκούσαντες μετὰ δεῖπνον εὐχομένου τοῦ ἱερέως διδόναι τοῖς Αἰγείδαις τοὺς θεοὺς τὰ ἀγαθά, καὶ συμβαλόντες τὸν χρησμόν, ἐντεῦθεν ἔλαβον τὴν συμμαχίαν.

23. Ἀλλὰ παλαιὰ γὰρ εὔδει χάρις] Ἀρίσταρχος τοῦτο λεγόμενον, φησίν, ὑπόνοιαν δίδωσιν, ὡς ὅτε ἔγραφεν ὁ Πίνδαρος, ἀχαριστουμένων τι τῶν Θηβαίων ὑπὸ τῶν Λακεδαιμονίων. ἐὰν δὲ ὑποτεθῇ τὰ ἑξῆς, Ὅ,τι μὴ σοφίας ἄωτον, ὡς ἐν τῷ καθόλου λέγων ἔσται, ὅπερ πολλάκις εἴωθε λέγειν· ὅτι πᾶσα χάρις πεπαλαιωμένη καθεύδει καὶ μεμάρανται, καὶ ὅτι τοιούτου πράγματος ἀμνήμονές εἰσιν οἱ ἄνθρωποι, ὅταν μὴ ἀοίδιμον γένηται καὶ τύχῃ ὕμνου τινός. § ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀλλὰ πᾶσα χάρις, φησί, παλαιῶν ἔργων ἀφυπνώττει καὶ εἰς λήθην ἐμπίπτει, ἀμνήμονες δὲ καὶ οἱ ἄνθρωποι γίνονται τούτου, ὅπερ ἂν μὴ τὸ τῆς σοφίας ἄκρον ἀπάνθισμα ἐπικαταλάβῃ καὶ ἐπαίνοις ἐπιζεύξῃ. [4]) § ἢ οὕτως· ἀμνήμονες δὲ οἱ ἄνθρωποι τούτου, ὅ,τι μὴ εἰς τὸ τῆς σοφίας ἄκρον ἀπάνθισμα παραγένηται ὑποζυγὲν τοῖς ἐνδόξοις τῶν λόγων ἐγκωμίοις.

27. Κώμαζ' ἔπειτ' ἐν ἀδυμελεῖ σὺν ὕμνῳ] πρὸς τὴν πόλιν ὁ λόγος· εἴ τι ἐκείνοις ἥσθης, [5]) φησί, καὶ νῦν κώμαζε. § ἵνα μὴ ἡ νίκη τοῦ Στρεψιάδου σιωπφθῇ, κώμαζε καὶ σὺ [6]) σὺν ἀδυμελεῖ ὕμνῳ. περιεστεύει δὲ ἤτοι ἡ ἐν πρόθεσις ἢ ἡ σύν· μία γὰρ ἀρκεῖ. § Ἄλλως. ἐνταῦθα ἀπὸ τῆς πεύσεως ἀποδέδωκεν. εὐφρανθεῖσα, ὦ Θήβη, ἐπὶ τοῖς ἀρχαιοτέροις καλοῖς, καὶ ἐπὶ τοῦ παρόντος χόρευε, καὶ ἐπὶ τῷ Στρεψιάδῃ.

30. Ἰδεῖν τε μορφάεσσ' ἄγει] οὐχ ἥττόν ἐστι, φησίν, ἡ γνώμη τοῦ κάλλους. οὐχ [7]) ὅμοιόν ἐστι τῷ παρ' Ὁμήρῳ· [8])

Οὐκ ἄρα σοίγ' ἐπὶ εἴδεϊ καὶ φρένες ἦσαν.

§ ἢ οὕτω· φέρει δὲ καὶ τὴν τῆς ψυχῆς ἀρετὴν οὐκ αἰσχύνουσαν τὴν τοῦ κάλλους εὐμορφίαν.

34. Μάτερ θ' ὁμωνύμῳ] τοῦ Στρεψιάδου μήτρως ὁμώνυμος. οὗτος ἀνῃρέθη

1) Heynius mavult περιτίθεται. Male. 2) Qui aliis Κλεοδαῖος. V. intt. Herodot. VI, 52. intt. Pausan. II, 7. III, 15. Heyn. ad Apollod. p. 505. 506. 3) Hanc vocem de meo inserui. 4) Hic Scholiastes τὸ ἄωτον pro nominativo habuisse perperam videtur. 5) Rom. εἴτε ἐκ. μάθης. Quod reposui, anteponendum iudico coniecturae Faehsii Syllog. p. 407. γηθεῖς p. μάθης. 6) Post voculam σὺ delevi nomen Κλέαρχε, nescio unde illatum. 7) Fortasse delendum οὐχ, ex antecedentibus repetita negativa particula. Nisi fuit οὐχ ὅμοιος. Paulo ante vide ne scribendum sit ἥττων. 8) Odyss. ρ, 454.

Digitized by Google

κατὰ τὸν Πελοποννησιακὸν [1]) πόλεμον. § ὁ δὲ νοῦς· τῷ δὲ ὁμωνύμῳ αὐτοῦ μήτρωϊ τὴν τῆς νίκης εὐδοξίαν τε καὶ ἡδονὴν παρέσχετο, ᾧ τῷ μήτρωϊ ὁ Πελοποννησιακὸς πόλεμος τὸν θάνατον παρέσχετο καὶ ἐπέβαλε· τῇ δὲ τιμῇ τοῖς ἀγαθοῖς ἰσοῦται. ἐὰν δὲ κατ' εὐθεῖαν πτῶσιν τὸ τιμά, ὁ νοῦς τοιοῦτος· πᾶσι γὰρ τοῖς ἀγαθοῖς ἡ τιμὴ ἀντίκειται καὶ πλησιάζει, καὶ μάλιστα τοῖς τὴν ψυχὴν ὑπὲρ τῆς πατρίδος προεμένοις ἀντὶ τῆς ψυχῆς τιμὴ κεῖται. ὥστε δῆλον, ὅτι πρὸς τὸν τετελευτηκότα ὁ λόγος.

37. Ἴστω γὰρ σαφὲς, ὅστις ἐνταῦθα] ὅστις, φησὶν, ἐν τῇ τοῦ Ἄρεος νεφέλῃ, τουτέστιν ἐν τῷ πολέμῳ, τὴν τοῦ αἵματος χάλαζων ἀμύνεται ἐναντίον φέρων ὄλεθρον τοῖς πολεμίοις, ἴστω ὁ τοιοῦτος μέγιστον παρὰ τῶν ἀστῶν κλέος αὔξων τῷ ἑαυτοῦ γένει. [2]) § Ἄλλως. ἐν τῇ τοῦ πολέμου νεφέλῃ, φησὶ δὲ τῇ βλαβερᾷ τῆς μάχης φθορᾷ, ἀπὸ μεταφορᾶς τῶν χειμώνων. καὶ διόλου τὰ τῆς ἀλληγορίας σώζεται. τὸ δὲ Διοδότοιο παῖ πρὸς τὸν ὁμώνυμον τῷ νικηφόρῳ μήτρωα Στρεψιάδην [3]) Διοδότου παῖδα ποιεῖται· σὺ δὲ, Διοδότου παῖ, ἐν ἐπαίνῳ τιθέμενος Μελέαγρόν τε καὶ Ἕκτορα καὶ τὰς τούτων ζηλῶν ἀρετὰς κατὰ πόλεμον ἐτελεύτησας προμαχόμενος τῆς πατρίδος.

50. Ἐσχάταις ἐλπίσιν] ἀντὶ τοῦ ἔσχατα ἐπελπίζοντες, ὅ ἐστιν ἀπολέσθαι, καὶ μὴ ἐπὶ τούτῳ ὑποστελλόμενοι.

51. Ἔτλαν δὲ πένθος οὐ φατόν] ὁ τῷ ἀποθανόντι διαφέρων ἐγὼ ὁ χορὸς, φησὶν, ἔτλαν. ἢ [4]) οἱ σοὶ οἰκεῖοι. § ὁ δὲ νοῦς· ὑπέμεινά σου πεπτωκότος λύπην καὶ συμφορὰν ἀφόρητον, ἀλλ' ἐπὶ τοῦ παρόντος εὐδίαν ἔδωκε Ποσειδῶν ἐξ ἐκείνου τοῦ χειμῶνος. § ὁ αἰὼν μετὰ τὴν χειμερινὴν τῶν φθασάντων κατάστασιν εὐδίαν ἄλυπον τὰ παρὰ τῶν θεῶν ὑμᾶς διεδέξατο. [5])

53. Ἀείσομαι χαίταν] ὁ λόγος ἐπαμφοτερίζει. ἤτοι γὰρ τὴν ἐμαυτοῦ κεφαλὴν ἁρμόσας τοῖς στεφάνοις ἀείσομαι τὸν ἐπίνικον, ἢ οὕτω· τὸν ἐπίνικον ᾄσω τὴν τοῦ νικηφόρου κεφαλὴν τοῖς στεφάνοις ἁρμόζων· φησὶ δὲ τοῖς μουσικοῖς. § Ἄλλως. τοὐναντίον εἶπε· βούλεται γὰρ λέγειν τοὺς στεφάνους τῇ χαίτῃ ἁρμόζων.

55. Ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος] Ἀρίσταρχος ἐπὶ τοῦ ἐρεθίζειν ἀκούει, [6]) τάττεσθαι δέ φησι καὶ ἐπὶ τοῦ ταράττειν. μὴ οὖν, φησὶν, ὁ ἐκ θεῶν ταραττέτω φθόνος, εἰ τὸ ἐν τῷ βίῳ τερπνὸν τοῦτο ἀεὶ κατὰ τὴν παροῦσαν ἡμέραν διώκων καὶ θηρεύων, μεθ' ἡσυχίας καταστρέψω τὸν βίον. § ἢ οὕτως· ὁ δὲ παρὰ τῶν θεῶν φθόνος μὴ συνθραυέτω, ὅτι ἑκάστης ἡμέρας ἥσυχος καὶ πρᾷος ὢν μετὰ ἡσυχίας καταγηράσκω, καὶ παραγίνομαι εἰς τὸν μεμοιραμένον χρόνον. ἐὰν δὲ κατὰ τὸ φθόνος θῶμεν τὴν τελείαν, ἔσται ὁ νοῦς τοιοῦτος· εἴθε, ὅπερ τερπνὸν, ἐφ' ἑκάστης ἡμέρας μεταδιώκων [7]) καὶ δεξάμενος, μεθ' ἡσυχίας ἐπί τε τὸ γῆρας καὶ τὸν μεμοιραμένον χρόνον πα-

1) Absurdum hoc esse nemo non intelligit: neque tamen ideo hoc loco et paullo post Persicum bellum intulerim cum Corsino F. A. T. II, p. 63. in quo Thebani a partibus Persarum steterunt. Fortasse Strepsiades maior ante Persica in aliqua pugna cum Atheniensibus cecidit: quod quum relatum a Grammatico antiquo esset, imperitus Scholiastes ad bellum Peloponnesiacum retulit. 2) Hoc loco delevi, quae de Lampone et pugna Salaminia legebantur, translata a nobis ad Isthm. IV, 63. ubi v. not. 3) Vulgo πρὸς τ. ὁμών. τῷ μήτρωϊ Στρ. 4) Addidi ἢ. 5) Haec prorsus corrupta sunt. Dele verba ὁ αἰὼν, et scribe: εὐδία ἄλυπος παρὰ τῶν θεῶν. 6) Rom. ἀκούειν. 7) Sic Rom.

Digitized by Google

ραγενοίμην. καὶ ἔσται ὁ λόγος ὡς παρὰ τοῦ νικηφόρου, ἐκεῖνο μέντοι ὡς παρὰ τοῦ ποιητικοῦ προςώπου.

59. Θνάσκομεν γὰρ ὁμῶς ἅπαντες] καθάπαξ γὰρ πάντες ἄνθρωποι ἑνὶ καὶ τῷ αὐτῷ ὑποπίπτομεν θανάτῳ, τὰ δὲ τοῦ δαίμονος καὶ τῆς τύχης οὐκέτι ἴσα ἐστὶ καὶ ὅμοια τοῖς πᾶσιν.

60. Δαίμων δ' ἄϊστος] τουτέστιν οὐκ ἔστι προφανὴς ὁ δαίμων τοῖς ἀνθρώποις, οὐδὲ οἶδε [1]) τὸ ἐκβησόμενον.

Τὰ μακρὰ δ' εἴ τις παπταίνει] εἰ δέ τις τὰ ὑπὲρ [2]) ἑαυτὸν σκοπεῖ καὶ λαβεῖν σπουδάζει, οὗτος βραχὺς καὶ ἀσθενὴς πρὸς τὸ τῆς ἐπιθυμίας παραγενέσθαι τέλος καὶ ἀπελθεῖν εἰς τὸ τῶν θεῶν ἰσχυρότατον ἕδρασμα. § ἢ οὕτως· ἀσθενής ἐστι πᾶς ἄνθρωπος, εἴτις μακρὰ βλέπει ὡς ἐφαψόμενος τοῦ οὐρανοῦ καὶ τῆς τῶν θεῶν διαίτης. θνητὸς εἶ, φησί· τὸ παρὸν εὖ τίθεσο.

63. Ὅτι πτερόεις ἔῤῥιψε] ὑπόδειγμα τοῦ μὴ δεῖν ἐπαίρεσθαι τὸν ἄνθρωπον μέχρις οὐρανοῦ Βελλεροφόντην καὶ Πήγασον ἔλαβεν. § ὁ δὲ νοῦς· ὁ γὰρ δὴ Πήγασος ἀπεσείσατο καὶ κατέστρεψε τὸν ἑαυτοῦ δεσπότην τῶν ἀδυνάτων ἐπιθυμήσαντα καὶ εἰς τὸ τῶν θεῶν ἄθροισμα παραγενέσθαι βουληθέντα.

67. Τὸ δὲ πᾶρ δίκαν γλυκύ] τὸ ἐξ ἀδικίας ἡδὺ γενόμενον πικρὸν τέλος λαμβάνει. § οἷον οἱ ἀδίκως κερδαίνοντες ἄχρι τέλους οὐχ ἥδονται.

69. Ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων] ὦ Ἀπόλλων, παράσχου καὶ ἐν τοῖς σοῖς Πυθικοῖς ἀγῶσιν ἀγωνισαμένοις ἀνθηρὸν ἀναδήσασθαι στέφανον. εὔχεται γοῦν αὐτὸν καὶ Πύθια νικῆσαι.

ΙΣΘΜΙΩΝ ΕΙΔΟΣ Ζ'. [3]) [Η'.]

Περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ἑβδόμου [4]) τῶν Ἰσθμίων εἴδους.

Τὸ ἕβδομον [5]) εἶδος μονοστροφικόν ἐστι καὶ διαιρεῖται κατὰ κῶλα εἰκοσιδύο, ὧν τὸ α' Φαλαίκειον. Τὸ β' ὅμοιον τῷ Τίς σὰς παρήειρε φρένας. Τὸ γ' ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ δ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ε' ἐννεασύλλαβον Σαπφικὸν [6]) πλεονάζον τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ. Τὸ ϛ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ζ' τροχαϊκὸν ἀπὸ ἰαμβικοῦ καταληκτικόν. Τὸ η' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ι' τὸ αὐτό. Τὸ ια' καὶ τὸ ιβ' ὁμοίως τὸ αὐτό. Τὸ ιγ' ἰαμβικὸν δίμετρον καταληκτικόν. Τὸ ιδ'

1) Heynius τις addendum censet. Meo iudicio excidit ὁ ἄνθρωπος. 2) Vulgo περὶ, quod correxit Faehsius Syllog. p. 408. 3) Rom. Η'. 4) Rom. ὀγδόου. 5) Rom. ὄγδοον. 6) Sic correxit editor Brubachianae. Vulgo τὸ ε' ἀπὸ ἐννεασυλλάβου Σαπφικοῦ.

Digitized by Google

ἐννεασύλλαβον Σαπφικὸν πλεονάζον μιᾷ συλλαβῇ τοῦ Γλυκωνείου. Τὸ ιε' Ἰωνικὸν ἀπ' ἐλάσσονος βραχυκατάληκτον. Τὸ ις' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιζ' ἐπιωνικὸν δίμετρον ἀκατάληκτον. Τὸ ιη' τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιθ' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. [1]) ἡ νον μακρά. [2]) Τὸ κ' δακτυλικὸν πενθημιμερές. Τὸ κα' ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ κβ' ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον.

---

1. Κλεάνδρῳ τις ἀλικίᾳ] τῷ Κλεάνδρῳ τις καὶ τῇ ἡλικίᾳ αὐτοῦ καταγέτω τῶν πόνων τὸν εὔδοξον κῶμον, τουτέστι τὴν διὰ τοῦ ἐγκωμίου εὔκλειαν ἐσομένην αὐτῷ· τῶν γὰρ κατὰ τὴν ἄθλησιν πόνων οἷον λύσις ἐστὶ τὸ τοιοῦτον ἢ [3]) λύτρον καὶ λυτήριον· οὕτω γὰρ τὸν εἰς τὸν νικηφόρον ὕμνον εἶπε. τῶν τε γὰρ πόνων καὶ τῆς Ἰσθμιακῆς νίκης ἔτι τε τῆς Νεμεακῆς ἔλαβε τὸ κράτος. § ὁ δὲ νοῦς· τῷ Κλεάνδρῳ τις ἐν [4]) τῇ τούτου ἡλικίᾳ λύσιν καὶ ἀμοιβὴν ἐπίδοξον τῶν καμάτων ἐγειρέτω τὸν ὕμνον παρὰ τὰ πρόθυρα τοῦ Τελεσάρχου στάς, ὄντα τὸν ὕμνον τῆς τε Ἰσθμιακῆς νίκης καὶ τῆς ἐν Νεμέᾳ λύσιν καὶ ἀμοιβὴν, ὅτι δὴ τῶν ἄθλων νίκην καὶ ἐπικράτειαν εὗρεν ἀνδρείως ἀγωνισάμενος.

8. Τῷ καὶ ἐγώ] τούτῳ οὖν τῷ Κλεάνδρῳ ἐγὼ καίπερ λυπούμενος τὴν ψυχὴν τῶν τετελευτηκότων προγόνων εἵνεκεν, ὅμως αἰτοῦμαι τὴν τιμίαν προσκαλέσασθαι [καὶ παρέσεσθαι [5])] Μοῦσαν.

12. Ἐκ μεγάλων δὲ πενθέων] ὡς ἔστιν εἰκάσαι, ἐν τῇ περὶ Σαλαμῖνα ναυμαχίᾳ προσήκοντές τινες Κλεάνδρῳ ἐτελεύτησαν· συντέτακται γὰρ ἡ ᾠδὴ ἐπὶ κατορθώμασι τοῖς Ἕλλησιν [6]) . . . . ἤδη πολέμῳ· ὥς γε [7]) παρίστησιν ἐν τούτοις· [8]) Ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς γε Ταντάλου λίθον, καὶ τὰ ἑξῆς.

14. Μήτ' ἐν ὀρφανίᾳ πέσωμεν] ἐκ δὲ τῶν μεγάλων πενθῶν μὴ καταπέσωμεν ἀδοξίᾳ καὶ ὀρφανίᾳ στεφάνων, μήτε ἐπιπλέον ταῖς λύπαις ἐπίκεισο καὶ αὔξανε. ἔνιοι δὲ ἐπὶ δύο προσώπων εἶπον, ἀντὶ τοῦ θεραπεύωμεν. λέγει δέ· τὰ κακὰ μὴ κολακεύωμεν μηδὲ θρηνῶμεν ἀεί.

17. Παυσάμενοι δ' ἀπρήκτων καπῶν] τῶν δὲ ἀνωφελήτων λυπῶν καὶ πενθῶν ἀνάπαυσιν ἐσχηκότες γλυκύ τι παίξωμεν καὶ εἰς τὸν δῆμον ἀγάγωμεν μετὰ τοὺς πόνους, ἐπειδὴ τὸν ὑπὲρ τῆς κεφαλῆς ἡμῶν ἐπηρτημένον Ταντάλειον λίθον παρέτρεψέ τις θεῶν τὸν ἀνυπομόνητον καὶ δεινὸν τῇ Ἑλλάδι πόλεμον· φησὶ δὲ τὸν Ξέρξου πόλεμον. [9]) § Ἄλλως. [10]) Ἰστέον ὅτι μετὰ τὴν ἧττταν τῶν Περσῶν καὶ τὴν Ξέρξου στρατείαν ἐπὶ τοὺς Ἕλληνας ἐγράφη οὗτος ὁ ἐπίνικος· Ταντάλου γὰρ λίθον εἴρηκε μεταφορικῶς τὸν ἐπι-

1) Vulgo ἀκατάληκτον, quod emendavit editor Brubachianae. Ceteras eiusdem notas marginales omitto, quia nihil e libris duxit. 2) Vs. 19. vulg. in voce πόνον. 3) Addidi ἢ. 4) Fortasse ἐν mutandum in καί. 5) Καὶ παρέσεσθαι ut a recentiore allitum Heynius non sine causa uncis inclusit. 6) Vocem Ἕλλησιν addidi e Victorii excerptis, quamquam cum praegresso κατορθώμασι non satis apte coeuntem. 7) Vulgo ὥςτε. 8) Vs. 19. vulg. 9) Hanc quoque vocem Victoriana excerpta praebent. 10) Vulgo ἀλλ'.

Digitized by Google

κρεμάμενον καὶ προσδοκώμενον τοῖς Ἕλλησι φόβον τῆς προειρημένης στρατείας, διὰ τὸ μυθολογεῖσθαι τῷ Ταντάλῳ λίθον ἐπαιωρεῖσθαι, καθάπερ καὶ Εὐριπίδης [1]) εἴρηκε·

Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
Ἀέρι ποτᾶται.

23. Ἀλλ' ἐμοὶ δεῖμα μὲν παροιχομένων] ἐμοὶ δὲ τῶν φθασάντων κακῶν τόν τε φόβον καὶ τὴν μέριμναν αἱ νῦν τῆς νίκης εὐφροσύναι ἔλυσαν.

26. Τὸ δὲ πρὸ ποδός] τῶν παρόντων [2]) καὶ ἐνεστηκότων ἀεί φησιν ὁ Πίνδαρος δεῖν ἀντέχεσθαι καὶ μὴ ὀρέγεσθαι τῶν μελλόντων ἀκούειν. πᾶν δὲ προσήκει τὸ παρὰ πόδας πρᾶγμα σκοπεῖν καὶ εὖ διατιθέναι. § ἀεὶ δὲ βέλτιόν ἐστι πᾶν τὸ παρὰ πόδας πρᾶγμα προβλέπειν. [3]) § ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι καιροῦ νίκης καὶ εὐφροσύνης παραπεσόντος τῶν παρὰ πόδας ἐχώμεθα.

27. Δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κρέμαται [4])] ποικίλος καὶ εὐμετάθετος. ὁ δὲ νοῦς· ὁ γὰρ δὴ τῆς ζωῆς χρόνος ἐνήρτηται τοῖς ἀνθρώποις τὸν τοῦ βίου πόρον [5]) κυλίων καὶ προϊών. § ἢ οὕτως· ὁ γὰρ χρόνος πολλὰς εὑρίσκει μεταβολὰς, ἐλίσσων τὸν τοῦ βίου πόρον, τουτέστι τὴν ὁδὸν τοῦ βίου.

30. Ἰατὰ δ' ἔστι βροτοῖς] τὰ προσπίπτοντα μετὰ ἐλευθερίας ἰατά ἐστι καὶ ἐὰν ἀτυχία ὑπάρχῃ. ἠλευθερωμένοι οὖν καὶ νενικηκότες τοὺς Πέρσας, εἰ καὶ ἐν ἀτυχίᾳ γεγόνατε, εὐθυμεῖτε. § ἢ οὕτως· ἀλλ' ὅμως πρὸς τὰ συμβεβηκότα δεινὰ φορητά ἐστι καὶ ταῦτα, προσούσης καὶ τῆς ἐλευθερίας.

32. Χρὴ δ' ἀγαθὰν ἐλπίδα] προσήκει δὲ τὴν τῶν ἀγαθῶν ἐλπίδα τοῖς ἀνδράσι φροντίζεσθαι· προσήκει δὲ καὶ ἐν ταῖς ἑπταπύλοις Θήβαις τὸν τραφέντα τῇ τε Θήβῃ καὶ τῇ Αἰγίνῃ τὸν ὕμνον τὸν ὄντα Χαρίτων ἀπάνθισμα [6]) διδόναι. § ἢ οὕτω· δεῖ δὴ τὸν Θηβαῖον εὐχαριστεῖν τῇ Αἰγίνῃ καὶ τὸ ἄνθος τὸ ἀπὸ τῶν Χαρίτων προσνέμειν. πρὸς τί δὲ τοῦτό φησιν; ὅτι ὁ μὲν νενικηκὼς Αἰγινήτης, αὐτὸς δὲ Θηβαῖος.

37. Πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες] Θήβη καὶ Αἴγινα αἱ Ἀσωποῦ τοῦ Βοιωτιακοῦ ποταμοῦ θυγατέρες νεώτεραι τὴν γένεσιν· ἦν γὰρ προτεχθεῖσα Μετώπη καὶ ἄλλαι τινές. § ὁ δὲ νοῦς· ὅτι δὴ ἐκ τῶν Ἀσωποῦ θυγατρῶν νεώτεραι ἐγεννήθησαν Αἴγινα καὶ Θήβη, καὶ ἀμφότεραι ἀρέσασαι τῷ Διῒ τίμιαι γεγένηνται . . . . .

1) Orest. 6. 2) Correxit Schneiderus. Vulgo περιόντων. 3) Malim προσβλέπειν. 4) Haec inde a vs. 27. Petrus Victorius e codice manuscripto exemplari Pindari Romano, quod Monachii in bibliotheca regia asservatur, adscripserat: ex quo edidit vir doctus in Mus. ant. stud. Vol. I. Fasc. III. Germ. p. 574. Cf. Thiersch. Act. phil. Mon. Vol. I. Fasc. III, p. 514. Victorius autem hauserat, ut videtur, ex libro Mediceo ap. Bandin. Bibl. Laurent. T. II, p. 210. significato, nobis Med. B. Vide Praefationem nostram T. I, p. XXVI. ubi quod alios secutus scholia usque ad vs. 157. continuari dixi, error est, debebatque vs. 37. dici. 5) Codex tum hic tum infra ὅρον. 6) Codex ἀνανθίαμα. Ἀπάνθισμα etiam alibi scholia nostra habent, ut Olymp. I, 20. II, 13. 14. Isthm. IV, 14. VI, 23.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google